βραχέων. ἐπειδὴ φασίν, τὰ μὲν ἔστιν ἐν ὕλῃ, τὰ δὲ ἄνευ ὕλης, ὁποῖαι αἱ ἀσώματοι καὶ χωρισταὶ οὐσίαι. ἐν μὲν τοῖς χωριστοῖς ταυτόν ἐστι τὸ νοοῦν, καὶ τὸ νοούμενον. ὅτι γὰρ νοῦς, μὴ ἔξω ἀποτεινόμενος, ἀλλ' ἐν αὐτῷ μένων, νοεῖ τὰ πράγματα· διὸ ὁ αὐτὸς τοῖς νοητοῖς. τά τε ἄυλα πάντα ἀμέριστα ὄντα, καὶ ζωῆς καὶ γνώσεως πλήρη, νοερὰ τυγχάνει ὄντα. ἐπεὶ καὶ τὰ μὲν αἰσθητὰ διὰ τὸν ὑλικὸν διασπασμόν, ἑτέροις ἐστὶν αἰσθητά, ἑαυτοῖς δὲ οὐκ ἔστιν οὐδαμῶς. τὰ δὲ ἄυλα, νοητὰ ὄντα, καὶ ταύτῃ τῶν αἰσθητῶν διενήνοχε, τῷ μὴ δεῖσθαι ἀπὸ τοῦ νοοῦντος, μὴ δὲ ἔξωθεν τελειοῦσθαι, ἀλλὰ τελείως ἀφ' ἑαυτῶν εἶναι νοητά. διὸ καὶ νοοῦντα, ἔτι ἀμέριστα ὄντα, ἀμερίστως καὶ τῷ νοοῦντι ἥνωται, καὶ ὅλα δι' ὅλων ὄντα νοητά, ὅλα δι' ὅλων ἥνωται τῷ νῷ. καὶ οὐ κατὰ συμβεβηκός, ἀλλὰ κατ' οὐσίαν ὄντα νοητά, καὶ τέλεια ὄντα κατ' οὐσίαν. καὶ διὰ τοῦτο καὶ τέλεια κατὰ τὴν οἰκείαν οὐσίαν νοητὰ εἴη ἂν καὶ νοοῦντα τὰ αὐτά, ἵνα καὶ καθ' ἑαυτὰ ᾖ νοητά τε, καὶ τέλεια νοητά. ὁ δὲ Ἀριστοτέλης, καὶ ἀπὸ τῆς ἐπιστήμης ὑπέμνησεν, ὅτι ἐν τοῖς χωριστοῖς ταυτὸν τὸ νοοῦν καὶ τὸ νοούμενον. ἡ γὰρ ἐπιστήμη ἡ θεωρητική, φησί, καὶ τὸ οὕτως ἐπιστητόν, ταυτόν ἐστι. τουτέστιν, ἡ γὰρ ἐπιστήμη καίτοι ἔξω οὐ δι' ὅλως ἀποτεινομένη, ἐν ἑαυτῇ δὲ μένουσα, καὶ εἴσω ἐνεργοῦσα, ὅμως θεωρητικὴ τῶν πραγμάτων τυγχάνει οὖσα. καὶ τὸ οὕτως ἐπιστητόν, ταυτόν ἐστι. ἐπεὶ γὰρ ἐπιστητὰ φαμέν, καὶ τὰ ἔνυλα, καὶ τὰ ἐξ ἀφαιρέσεως, οὐχ ὡς συστοίχως αὐτὰ τῆς ἐπιστήμης θεωρούσης, ἀλλ' ὡς ἀπὸ αἰτίων τῶν ἐν αὐτῇ λόγων. πρὸς ταῦτα ἀντιδιαστέλλων, τὸ οὕτως ἐπιστητόν φησι, τουτέστι τὸ συστοίχως ἐπιστητόν, τοιοῦτον δὲ τὸ ἀιδίως, καὶ ἐν αὐτῇ τῇ ψυχῇ· τοῦτο δὲ ταυτὸν τῆς ἐπιστήμης. ἤδη μὲν γὰρ καὶ ἐπὶ τῆς αἰσθήσεως εἴρηται, ὡς οὐκ ἄλλως ἐπιτελεῖται ἡ γνῶσις, εἰ μὴ εἰς ταύτην ἡ κατ' ἐνέργειαν ἔλθοι γνῶσις τῷ κατ' ἐνέργειαν γνωστῷ. ὥστε καὶ ἡ κατ' ἐνέργειαν ἐπιστήμη, ἡ αὐτὴ τῷ κατ' ἐνέργειαν ἐπιστητῷ. ἀλλ' ἡ διαφορά, ὅτι μὴ ἔξωθεν ἥκει, μὴ δὲ ἔξω κεῖται τὸ προηγουμένως γνωστόν, ὡς ἐπὶ τῆς αἰσθήσεως. εἰ δ' οὖν ἡ ἐπιστήμη καὶ τὸ ἐπιστητὸν ταυτόν, μειζόνως δὲ τὸ νοοῦν καὶ τὸ νοούμενον ἥνωται, διὸ καὶ εἰκότως ἐν μέσῳ ὡς ζητήσεως καὶ σκέψεως ἀξίου ἐπεσημειώσατο. τί δή ποτε μὴ ἀεὶ νοοῦμεν, εἴγε ἐν ἡμῖν καὶ τὸ νοοῦν καὶ τὸ νοούμενον; ταῦτα γὰρ ἄμφω· πρὸς τοῦτο δὲ φθάνομεν τὸν δυνατὸν ἡμῖν τρόπον ἐπισκεψάμενοι. ἐν μὲν οὖν τοῖς χωριστοῖς, ταυτὸν (ὡς εἴρηται) τὸ νοοῦν καὶ τὸ νοούμενον. ἐν δὲ τοῖς μετὰ ὕλης, δυνάμει ἕκαστον τῶν νοητῶν ἐστι. τὰ γὰρ ἔνυλα, οὐ καθ' αὑτὰ νοητά ἐστι, οὐδὲ κατὰ τὴν οὐσίαν, οὐδὲ συστοίχως τῷ νῷ. πῶς οὖν δυνάμει λέγεται; εἰ γὰρ δυνάμει, καὶ ἐνεργείᾳ ποτὲ ἔσται νοητά. ἢ ἔσται μέν, ἀλλ' οὐ συστοίχως. κατὰ δὲ τὰ εἴδη ἐν τῷ αἰτίῳ. καὶ ἐπειδὴ ἡ τῶν αἰτιατῶν ἐστι τοῖς αἰτίοις ἰδιότητος, καὶ αὐτὰ λέγεται νοητά· δυνάμει δέ, ὅτι δεηρημένως τῷ νοοῦντι κατὰ δὲ τὴν δεηρημένην αἰτίαν, ἀλλ' οὐχ ἑαυτοῖς· οὐ γὰρ ἑαυτὰ νοεῖ. διὸ καὶ ἐπάγει· ὥστε ἐκείνοις μὲν οὐχ ὑπάρχει ὁ νοῦς, τοῖς ἐνύλοις λέγων. διό τι μὴ ἑαυτοῖς ἐστι τὰ νοητά· ἐπειδὴ ταῦτα μὲν ἔνυλα, ἄυλος δὲ ὁ νοῦς. ἄνευ γὰρ ὕλης φησί, δύναμις ὁ νοῦς τῶν τοιούτων. ὧν τὸ μὲν ἄνευ ὕλης, τὸ ἄυλον δηλοῖ τοῦ νοῦ. δύναμις δὲ ὁ νοῦς τῶν ἐνύλων, ἢ ὡς αἰτία τῶν ἐνεργειῶν· οὕτω γὰρ ὁ Πλούταρχος. ἢ ὡς μὴ συστοίχως, ἀλλὰ κρειττόνως αὐτὰ θεωρῶν, διό γε ἀπὸ αἰτίας. ἢ ὁ δυνάμει νοῦς, δύναμις καὶ τῶν τοιούτων, ὡς καὶ ταῦτα κατὰ τὴν ἀπὸ τοῦ κρείττονος πλέωσιν νοῶν. τοῖς μὲν οὖν ἐνύλοις οὐχ ὑπάρχει ὁ νοῦς· ἐκείνῳ δὲ τὸ νοητὸν ὑπάρξει. τοῦτο δὲ διαρθρῶν ὁ Θεόφραστος, ἐπάγει· ἀλλ' ὅταν γένηται, καὶ νοηθῇ, δῆλον ὅτι ταῦτα ἕξει, τὰ δὲ νοητὰ ἀεί, εἴπερ ἡ ἐπιστήμη ἡ θεωρητική, ταυτὸ τοῖς πράγμασιν. αὕτη δέ, ἡ κατ' ἐνέργειαν δηλονότι. κυριωτάτη γὰρ τοῦ νοῦ φησί, τὰ μὲν νοητά, τουτέστι τὰ ἄυλα, ἀεὶ ὑπάρχει· ἐπειδὴ κατ' οὐσίαν αὐτοῖς σύνεστι. καὶ ἔστιν, ὅπερ τὰ νοητά· τὰ δὲ ἔνυλα, ὅταν νοηθῇ, καὶ αὐτὰ τῷ νῷ ὑπάρξει, οὐχ ὡς συστοίχως αὐτῷ νοηθησόμενα· οὐδὲ ποτὲ γὰρ τὰ ἔνυλα τῷ νῷ ἀύλῳ ὄντι· ἀλλ' ὅταν ὁ νοῦς τὰ ἐν αὐτῷ, μὴ ὡς αὐτὰ μόνον, ἀλλὰ καὶ ὡς αἴτια τῶν ἐνύλων γινώσκῃ, τότε καὶ τῷ νῷ ὑπάρξει τὰ ἔνυλα, κατὰ τὴν αἰτίαν. ταῦτα δὴ πρὸς μὲν τοῦ ἐνεργείᾳ, οὐκ ἂν φαίην εἰρῆσθαι νοῦ. οὐ γὰρ δύναμις ἐκεῖνος, οὐδὲ τὸ ὅταν γένηται.

ΤΕΛΟΣ.

Ἐτυπώθη ἐν Βασιλέᾳ, ἀναλώμασι καὶ ἐπιμελείᾳ Ἰωάννου τοῦ Ὀπωρίνου, ἔτει τῷ ἀπὸ τῆς ἐνσάρκου οἰκονομίας τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, χιλιοστῷ πεντακοσιοστῷ τεσσαρακοστῷ πρώτῳ, μαιμακτηριῶνος δευτέρᾳ.

BIBLIOTECA NAZ. ROMA VITTORIO EMANUELE

εἰσὶν, ὡς τὰ ἄϋλα· τὰ δὲ κατ' ἐπίνοιαν, ὡς τὰ κατὰ ἀφαίρεσιν. οὕτω καὶ νοεῖται ἄμφω, τὰ μὲν ὡς ὄντως χωριστά, τὰ δὲ εἰ καὶ τῇ διανοίᾳ χωρίζονται, ἀλλ' οὐκ ἂν ἄλλως ἢ ἐνύλως ὑφιστῶνται. ἢ μᾶλλον ἐκεῖνο, ὅτι τὰ περὶ τοῦ νοῦ οὕτω λεκτέον, ὥσπερ τὰ χωριστὰ καὶ ἄϋλα διατιθέμεθα, ἵνα μὴ κατ' ἐπίνοιαν, ἀλλὰ κυρίως τὸ χωριστὸν ἀκούσωμεν. ὡς γὰρ τὰ ἄϋλα ἐστὶν ὄντως χωριστά, οὕτω καὶ ὁ νοῦς χωριστός. καὶ γὰρ πρῶτον ἐνύλων τὰ ἄϋλα εἴδη ὑφεστάναι τι ἀνάγκη, καὶ νοητῶς ὑφεστάναι, ἅτε ἀμέριστα ὄντα, καὶ ζωῆς ὅλα δι' ὅλων, καὶ γνώσεως ἡνωμένης πλήρη. ἡ γὰρ ἀζωΐα καὶ ἡ ἄγνοια, κατὰ στέρησιν. ἡ δὲ στέρησις, ἐν τῇ πρὸς ὕλην μίξει. ἐπεὶ οὖν νοερὰ τὰ ἄϋλα, δῆλον ὡς καὶ ἐν νῷ· καὶ ὁ νοῦς αὐτός τε ἐστὶν ἄϋλος, καὶ τοῖς ἀΰλοις συνουσίωται ἀδισιν. εἴτε ἀμέριστος ἐστὶν ἡ ζωή τε καὶ ἡ γνῶσις, εἰς ἑαυτὴν ἐστραμμένη, καὶ ἐν ἑαυτῇ τὰ ὄντα εὑρίσκουσα. ἐπεὶ δὲ καὶ ἐν τοῖς ὄντως χωριστοῖς καὶ ἀΰλοις πράγμασιν, διαφορά τις ἐστὶ καθ' ὑπόβασιν. τὰ μὲν γὰρ πάντη ἀμέριστα, τὰ δὲ μετά τινος ἀνελίξεως. τὰ δὲ μέσα, ὡς ἀμέριστα μέν, ὀρεκτικὰ δὲ τῶν ἀνελιττομένων· οὕτω καὶ νοῦς πρῶτον μὲν ὁ ἐνεργείᾳ χωριστός, δεύτερος δὲ ὁ δυνάμει ὢν μετεχόμενος ὑπὸ ψυχῆς. ταύτης ἡ λογική. καὶ γὰρ αὕτη, εἰ καὶ μετὰ ἀνελίξεως, ἀλλὰ καὶ συνάγει, καὶ εἰς τὸ ἀμέριστον συναιρεῖται· ἀφ' ἑαυτῆς τε ἄρχεται, καὶ ἐν αὐτῇ θεωρεῖ τὰ ὄντα, καὶ αὕτη ἄρα χωριστή, καὶ τῶν χωριστῶν. ἔστι δὲ πλήρης λόγου.

Πάλιν δὲ ὑπομιμνήσκει φιλοσοφώτατα ὁ Θεόφραστος, ὡς καὶ αὐτὸ τὸ εἶναι τὰ πράγματα τοῦ νοῦ, καὶ δυνάμει καὶ ἐνεργείᾳ ληπτέον οἰκείως· ἵνα μὴ ὡς ἐπὶ ὕλης κατὰ στέρησιν τὸ δυνάμει, ἢ κατὰ τὴν ἔξωθεν καὶ παθητικὴν τελείωσιν, τὸ ἐνεργείᾳ ὑπονοήσωμεν. ἀλλὰ μηδὲ ὡς ἐπὶ αἰσθήσεως, ἔνθα διὰ τῆς αἰσθητηρίου κινήσεως, ἡ τοῦ λόγου γίνεται προβολή, καὶ αὕτη τῶν ἔξω κειμένων οὖσα θηρευτική. ἀλλὰ νοερῶς ἐπὶ νοῦ καὶ τὸ δυνάμει, καὶ τὸ ἐνεργείᾳ εἶναι τὰ πράγματα ληπτέον· καθ' ἕνωσιν μὲν ἀμέριστον, καὶ ὅρον ἀκραιφνῆ, καὶ τελειότητα ἡνωμένην τὸ ἐνεργείᾳ. οὐ γὰρ ὁ ἐνεργείᾳ νοῦς, τὰ πράγματα οὐ κατὰ μέθεξιν, οὐδὲ διῃρημένως, οὐδὲ ὡς ἄλλως, ἀλλ' οὐδὲ ὡς ὁριζόμενος ὑπ' αὐτῶν, ἢ τελειούμενος. ὡς δὲ αὐτὸς ὢν τὰ πράγματα, καὶ ὁ πάντων ὅρος, καὶ ἡ τελειότης. κατὰ δὲ τὴν μεθ' ἑτερότητος συναφήν, καὶ τὴν εἰς τὸ ὁριζόμενόν πως, καὶ τελειούμενον ὑπόβασιν τὸ δυνάμει, διαφανέστερον μὲν ἐπὶ τῆς λογικῆς ψυχῆς τῆς ἑτερότητος ἐκφαινομένης, ὡς καὶ ἡ θεωρία αὐτῆς δηλοῖ μετὰ ἀνελίξεως συναιρουμένη τοῖς γνωστοῖς. οὐδὲ αὐτὴ πάντη μερίζεται, οὔτε διεστῶσα τῶν πραγμάτων. οὐ γὰρ ἂν εἰς τὸ ἀμέριστον συνῃρεῖτο, οὐδὲ ἂν ἐφ' ἑαυτῆς, καὶ ἐν ἑαυτῇ ἐνυπάρχει τὰ γνωστά. ἀλλ' οἷον κεχαρισμένη, ἔχουσα τὴν πρὸς τὰ πράγματα ἕνωσιν. διὸ καὶ ἤρτηται τῆς ἀκραιφνῶς ἡνωμένης, καὶ ταύτῃ δυνάμει. διαφανέστερος μὲν οὖν ὁ χαλασμὸς οὗτος ἐπὶ τῆς ψυχῆς· ἔστι δὲ καὶ ἐπὶ τοῦ μετεχομένου ὑπ' αὐτῆς νοῦ, διά τε τὴν ὑπόβασιν, καὶ μετεχομένου, καὶ τοῦ ἡνωμένου, καὶ παντελῶς ἀμερίστου ὅρου ἀπηωρημένου, καὶ ὑπ' ἐκείνου κατὰ οὐσίαν τελειουμένου, ὁ δυνάμει· ἀλλ' ἐπεὶ καὶ αὐτὸς ἀμέριστος, καὶ οὐ κατὰ ἀπόστασιν, οὐδὲ διὰ παντελοῦς ἑτερότητος ἀπὸ τοῦ πρώτου ὑπέβη. διὰ τοῦτο οὔτε ὡς ἑτεροκίνητος, οὔτε ὡς ὑφ' ἑτέρου τελειοῦται, ἀλλ' ἑαυτοῦ καὶ τῷ ἐκείνου τέλειον ὁρᾷ, ὡς δεύτερον ὢν ὅπερ ἐκεῖνος. καὶ κατὰ δευτέραν ἑνάδα, καὶ πρὸς ἐκεῖνον ἡνωμένην ἕνωσιν. οὕτως οὖν οἰκείως τῇ δυνάμει ἐπὶ τοῦ νοῦ ληπτέον.

Καί μοι δοκεῖ ἐπισημαίνεσθαι κἀνταῦθα, τὸ δεῖν οἰκείως λαμβάνειν, ὑποδεδειγμένος τὸ ἄγραφον γραμματεῖον· ἐνταῦθά που ὑπὸ τοῦ Ἀριστοτέλους ὡς παράδειγμα τοῦ δυνάμει νοῦ προφερόμενον, ἵνα καὶ τὸ ἄγραφον ὡς ἐν νῷ θεωρῶμεν, ἔχοντι μὲν κατ' οὐσίαν τὰ εἴδη, καὶ τέλεια ἔχοντι, ὑπὸ δὲ τοῦ πρώτου νοῦ τελειουμένῳ, καὶ ἐντελεχείᾳ γραφομένῳ. τὸ γὰρ ἀμέριστον καὶ ἡνωμένον, τῆς τελειότητος ἐκεῖθεν δυνάμει νοῦς, ὡς κατὰ ὑπόβασιν μὲν καὶ μετά τινος ἑτερότητος, ἀλλ' ἐγειρόμενος ἐφ' ἑαυτοῦ εἰς τὴν ἀπὸ τοῦ πρώτου νοῦ ἀμέριστον τελειότητα. τοιοῦτον γὰρ τὸ νοερὸν δυνάμει. ἐντελεχείᾳ δὲ οὐδ' ἓν πρὶν νοεῖν, τουτέστιν οὐκ ἀμερίστως, οὐδὲ ἡνωμένως, πρὶν ὑπὸ τοῦ πρώτου τελειωθῆναι. τὸ δὲ πρίν, εἰ καὶ ἐπὶ τῆς ψυχῆς, ἀλλ' οὔτι γε ἐπὶ τοῦ μετεχομένου νοῦ χρονικῶς ἀκουστέον. κατὰ δὲ τὴν ὕφεσιν, καὶ τὸν ἐπινοούμενον χωρισμόν, καὶ κατὰ τὴν αὐτὴν ἰδιότητα. ὡς γὰρ ὑφειμένος, καὶ ὡς αὐτὸς ὁ δυνάμει νοῦς, οὔπω ἐντελέχεια, ἀλλ' ἢ ὑπὸ τοῦ πρώτου συμπέπληται ὑπ' ἐκείνου τελειούμενον. μᾶλλον δὲ κατ' ἐκεῖνον, ἑαυτὸν τελειῶν.

Ἐπὶ δὲ τούτοις ἐκθέμενος τὰ Ἀριστοτέλους, ἐν οἷς ἐκεῖνος τά τε χωριστὰ καὶ τὰ ἄϋλα εἰς ταὐτὸν ἄγει τῷ νῷ, ἐν δὲ τοῖς ἐνύλοις δυνάμει ἕκαστον εἶναι τῶν νοητῶν, καὶ τούτοις μὴ ἐνυπάρχειν τὸν νοῦν· ἐπιμαρτυρεῖ τε τὰ εἰρημένα, καὶ ἐπαπορεῖ τινά. ἵνα οὖν καὶ τούτων σαφέστερον ἀντιλαβώμεθα, τὸ Ἀριστοτέλους ἡμῖν προδιαρθρωτέον, ὡς οἷόν τε δια-

φέρει

ἀναιρεῖν, ἵνα μὴ χωρῶ, ἢ ἄλλου πλήθους πρόσεισι, τὸ ἀμέτρητον, συνέχηται εἰς ἓν πάντα, καὶ πρὸς μίαν συμφύηται ἀρχήν· τὸ ἐν τούτῳ ζητήσομεν. πότερον μονοειδές ἐστι καὶ ἀκήρατον πάντῃ, καὶ ἀμετάβλητον. ἀλλ' οὕτω πάλιν οὐδὲ μία ἔσται ποτὲ ἐν ταῖς ψυχαῖς, ἢ κατ' οὐσίαν, ἢ κατ' ἐνέργειαν ἀτέλεια, ἢ κακία, ἢ πάθος. ἀκολουθοῦσι γὰρ τῇ οὐσίᾳ καὶ αἱ ἐνέργειαι. ἀλλ' οὐδὲ πάντῃ μεταβαλλομένην, οἷόν τε συγχωρεῖν. διαμένει γὰρ ἡ ζωὴ ἐν ταῖς μεταβολαῖς. Ἄμφω ἄρα κατὰ τὸν Ἰάμβλιχον, ἡ μερικὴ ψυχὴ δεῖ ἴσως συνείληφε, καὶ τὸ μόνιμον, καὶ τὸ μεταβαλλόμενον· ἵνα καὶ ταύτῃ ἡ μεσότης σώζηται. τὰ μὲν γὰρ κρείττω, μόνιμα μόνον· τὰ δὲ θνητά, πάντῃ μεταβλητά. ἡ δὲ μερικὴ ψυχή, ὡς μέση οὖσα πᾶσι τοῖς περικοσμίοις γίνεσθαι συμμεριζομένη τε καὶ συμπληθυνομένη, οὐ μόνον μένει, ἀλλὰ καὶ μεταβάλλεται. τοσαύτας διαζῶσα μερικὰς ζωάς. καὶ οὐ κατὰ τὰς ἕξεις μόνας, ἀλλὰ καὶ κατὰ τὴν οὐσίαν μεταβάλλεταί πῃ, ὃ δὴ οἶμαι καὶ αὐτὸς ἐνδεικνύμενος, ἔοικε μᾶλλον φάσιν ἕξεως· διαφαίνεται μὲν γὰρ ἡ κατὰ τὰς ἕξεις μεταβολὴ καὶ τελείωσις. διὸ μᾶλλον αὐτὸ δὲ τὸ μᾶλλον φαίνεσθαι ἠνίξατο, καὶ τὴν κατὰ οὐσίαν τελείωσιν. διὸ καὶ ἐπάγει· αὕτη δὲ οἷον τελειοῖ τὴν φύσιν τοῦ ἐνεργοῦντος, δηλαδὴ ἡ ὡς ἡ πρότερον οὐσία τελείαν. οὐδὲ γὰρ ἂν πάντῃ τελείας οὔσης τῆς οὐσίας, ἀτελὴς ἦν ἡ ἕξις καὶ ἡ ἐνέργεια, ἀπὸ μόνης προϊοῦσα τῆς οὐσίας. Ἐφεξῆς δὲ καὶ αὐτὸς ὥσπερ ὁ Ἀριστοτέλης τιθέμενος ἔνια μὲν ἄυλα τῶν εἰδῶν, ἐφ' ὧν ταυτὸν αὐτό τι ἕκαστον, καὶ τὸ εἶναι αὐτοῦ. τὸν γὰρ λόγον, καὶ τὸ εἶδος, τὸ εἶναι δηλοῖ· αὐτὸ δέ, τὴν ὅλην ὑπόστασιν. ὧδε δὲ τῶν ἀύλων, κατὰ μόνον καὶ τὸ εἶδος καὶ τὸν λόγον ἡ ὅλη ὑπόστασις. ἔνια δὲ ἔνυλα, ἐφ' ὧν ἕτερον αὐτό, καὶ τὸ εἶναι αὐτῷ. κατὰ γὰρ τὸ συναμφότερον, αὐτό. τὸ δὲ εἶναι πάλιν κατὰ τὸ εἶδος, ἐπειδὴ ἀμφοτέρων θεωρητικὸς ὁ δυνάμει νοῦς, ζητεῖ πῶς ἑκάτερα, καὶ πῶς τὰ ἐν ὕλῃ, καὶ ἀφαιρέσει. καὶ γὰρ αὐτὰ τὰ ἔνυλα, ἢ κατὰ τὸ συναμφότερον, ἢ κατὰ μόνον θεωρεῖ τὸ εἶδος. διακρίνεται μὲν οὖν ταῦτα σαφέστερον περὶ τοῖς γνησίοις τοῦ Ἀριστοτέλους ἐξηγηταῖς, τῷ τε Ἰαμβλίχῳ, καὶ τῷ Νεστορίου Πλουτάρχῳ φανερωμένως δέ τι καὶ ἡμῖν, δι' ὀλίγον τὰ ζητούμενα διευκρινοῦσι. φημὶ τοίνυν, τὸν δυνάμει νοῦν, τόν τε μετεχόμενον ὑπὸ τῆς ψυχῆς, καὶ αὐτὴν τὴν λογικήν, ὅταν καθαρῶς τῷ λόγῳ χρῆται, καὶ μὴ συναισθήσει καὶ φανταστικῶς εἰς τὰ ἔξω ἐκτείνηται, τά τε ἐν αὐτῇ θεωρεῖν εἴδη, καὶ τοὺς ἐν αὐτῇ ἀύλους λόγους, κατὰ τούτους καὶ τὰ ἄυλα καὶ τὰ ἔνυλα θεωρεῖν· τὰ μὲν κατὰ ταυτότητα, καὶ τὴν πρὸς τὰ ἄλληλα τῶν ἀύλων ἕνωσιν· τὰ δέ, ὡς ἐκ αἰτίας, τὰ πρὸς τὴν αἰτίαν ὅμοια. ὡς γὰρ ὁ ἐνεργείᾳ νοῦς ἑαυτὸν νοῶν, καὶ τὰ μεθ' ἑαυτὸν ἅπαντα γινώσκει, ἅτε αὐτὸς ὢν τὰ ἀληθῶς πράγματα, καὶ ἐκ αἰτίων τούτων καὶ τὰ αἰτιατὰ κρειττόνως, ἢ ἔστιν ἐκεῖνα νοῶν· οὕτω καὶ ὁ δυνάμει νοῦς, δευτέρως ἐκ τῶν ἐν αὐτῷ, προσεχῶν αἰτίων γινώσκει τὰ ἔνυλα. ἄυλα μὲν εἴδη ὡς τὰ ἐν αὐτῷ, αἴτια δὲ τῶν ἐνύλων. γινώσκει δὲ τὰ ἔνυλα, οὐχ ὡς ἡ αἴσθησις· αὕτη μὲν γὰρ ὡς μερικά, κατὰ τὰς ποιότητας, οἷον ὡς θερμά, ἢ ψυχρά, ἢ λευκά, ἢ τι τοιοῦτον. ὁ δὲ νοῦς, καὶ ἡ λογικὴ ζωή, τὰς οὐσίας, κατὰ τὰ τῶν ἐνύλων κοινὰ εἴδη. ἆρα οὖν ὅτι θερμὸν τὸ πῦρ οὐκ οἶδεν, ἢ καὶ αἱ ποιότητες καὶ τὰ συμβεβηκότα πάντα, ἐκ τῆς ἑκάστης προϊόντα οὐσίας. διὸ ὁ τὴν οὐσίαν εἰδὼς νοῦς, καὶ τὰ συμβεβηκότα κρειττόνως τῆς οὐσίας γνωρίζει λόγον. ἀλλὰ τὸ προκείμενον, πῶς ἑκάτερα γινώσκει ἡ ψυχή, τά τε ἄυλα φημί, καὶ τὰ ἔνυλα; ἢ ὡς εἴρηται, ἄμφω μὲν κατὰ τοὺς ἐν αὐτῇ λόγους, ἀλλὰ τὰ μὲν ὡς σύστοιχα τοῖς ἐν ἑαυτῇ, ἢ καὶ ὡς κρείττω· τὰ δὲ ὡς αἰτιατά. τὰ δὲ ἐν ἀφαιρέσει, ὅτι μέν πως τὰ αὐτὰ τοῖς ἐνύλοις εἴδεσιν. ἐπινοεῖται δὲ καθ' αὑτά, τουτέστιν οὐ μετὰ τῆς ὕλης· ἐπεὶ οὐδὲ ὑφίσταται χωριστῶς, οὐδὲ νοεῖται, ὡς χωριστῶς οὐσιωμένα. ἀλλ' ὅταν μὲν μετὰ τῆς ὕλης αὐτὰ γινώσκωμεν, τότε ὡς ἔνυλα. ὅταν δὲ εἴδη μόνον, εἰδότες ὅτι ἐν ὕλῃ, καὶ οὐκ ἄλλως ὑφίστανται, τότε ἐξ ἀφαιρέσεως. ἆρα οὖν ἑτέρως ἢ ἑτέρως ἔχοντα, κρίνει τά τε ἄυλα καὶ τὰ ἔνυλα· καὶ τὰ ἐν ὕλῃ αὖ, καὶ τὰ ἐξ ἀφαιρέσεως, ἢ παρ' αὐτῷ, καὶ ὡσαύτως ἔχοντι· ἢ ἄμφω ἀληθῆ. καὶ γὰρ τὸ αὐτὸ τῶν διαφόρων ἐστὶ κριτικόν, τὸ νοητικὸν φημί, καὶ ὡσαύτως ἔχον. κατὰ γὰρ τοὺς οἰκείους λόγους, καὶ ἑτέρως δὲ πῶς, καὶ ἑτέρως ἔχοντι. διότι ἢ ὡς αἰτίας θεωρεῖ τοὺς οἰκείους λόγους, ὅταν ἀπ' αὐτῶν τὰ ἔνυλα θεωρῇ· ἢ ὡς συστοίχους τοῖς ἀύλοις· ἢ καὶ ὡς αἰτία τοὺς τῶν νοερῶν εἰδῶν, καὶ κατὰ τοῦτο ἑτεροιουμένοις, καὶ ἑτέρως ἔχουσιν. Ὅλως δὲ ὡς χωριστὰ τὰ πράγματα τῆς ὕλης, οὕτω καὶ τὰ περὶ τὸν νοῦν ἀμφότερα ἐκφαίνονται ὅτι Ἀριστοτέλης καὶ ὁ Θεόφραστος· ἢ τοῦτο δηλοῦντες, ὅτι ὥσπερ τὰ ἔνυλα εἴδη τῇ ἐπινοίᾳ μόνῃ χωρίζεται τῆς ὕλης, καὶ ταύτῃ ἑτέρως καὶ ἑτέρως ἔχοντι κρίνεται, ὡς μόνῃ ἐκλαμβανόμενα τῇ ἐπινοίᾳ, οὕτω καὶ τοῦ δυνάμει νοῦ κατὰ μόνην ἐπίνοιαν χωρίζεται τὰ εἴδη· ἐπεὶ κατ' οὐσίαν ἀεὶ σὺν τοῖς εἴδεσιν ὑπάρχει, ἵνα καὶ ὅπως δυνάμει λέγηται. καὶ μηδ' ἐν ἐνεργείᾳ ἐπιστώμεθα, ὅτι κατὰ μόνην ἐπίνοιαν. ἢ οὖν τοῦτο σημαίνουσιν. οὕτω γὰρ ἐξηγεῖται ὁ Πλούταρχος· ἢ ὅτι ὥσπερ τὰ χωριστὰ τῆς ὕλης, τὰ μέν ἐστιν ὄντως χω-

δευτέραν καὶ προϊοῦσαν ἀπὸ τῆς οὐσίας ἐνέργειαν. εἰ μὴ ἄρα ἀπὸ τῆς ψυχῆς, οὐχ ἁπλοῦν οὐδὲ μονοειδής, οὐδὲ τὸ εἶναι οὐδὲ τὸ ἐνεργεῖν· ἀλλὰ τὸ μὲν μόνιμον, τὸ δὲ μεταβαλλόμενον. περὶ δὲ τὴν μένουσαν τῆς μεταβαλλομένης προϊούσης, κατ᾽ ἀμφοτέρας τῆς ὅλης θεωρουμένης ψυχῆς. καὶ διὰ τοῦτο ἅμα τε μενούσης καὶ μεταβαλλομένης, καὶ ἅμα τε ἀεὶ ἐνεργούσης κατὰ τὴν ἱδρυμένην καὶ συμφυῆ τῇ μονίμῳ οὐσίᾳ ἐνέργειαν, καὶ κατὰ τὴν ἔξω προϊοῦσαν καὶ μεταβαλλομένην ζωήν· ὅταν αὐτὴ περὶ τὰ δεύτερα καὶ μεριστὰ ὅλως στρέφηται πρὸς ταῦτα, ἐνεργούσης δόξῃ μετὰ αἰσθήσεως χρωμένης. ἀλλ᾽ οὐ πρὸς τὰ ἐπιστητά, ἅπερ τὰ ἐν αὐτῇ ἐστι πράγματα. οὐδὲ ἔτι μᾶλλον πρὸς τὰ νοητά, οἷς διὰ τῶν ἐπιστητῶν συνάπτεται κατὰ μίαν οἷον συνέχειαν. καὶ ὅταν δὴ πρὸς τὰ ἐν αὐτῇ μένοντα τὴν προβεβλημένην ἐπανακαλῆται ζωήν τε καὶ ἐνέργειαν, οὐ περὶ πάντα ἅμα ἐνεργεῖ, ἀλλὰ νῦν μὲν ἐνθάδε, νῦν δὲ ἄλλα, διὰ τὴν μεριστὴν φύσιν. Τὸ οὖν δυνάμει καὶ ἐνεργείᾳ, κατὰ τὴν μεταβολήν. ἢ ὅταν μὴ ᾖ ἡ προϊοῦσα ἐνέργεια, καθ᾽ ἣν ἡ ἐπιστήμη, τότε τὴν ταύτης προβλητικὴν τὴν μένουσαν οὐσίαν δυνάμει φαμέν, ὅταν δὲ τὰ πράγματα, οὐκ ἐνεργοῦσαν δὲ κατὰ τὴν προϊοῦσαν ἐνέργειαν. ἐὰν οὖν μὴ πάντα ἅμα, ἄλλο τε δ᾽ ἄλλα γινώσκῃ, οὐ διὰ τοῦτο καὶ ἔστιν ἄλλοτε ἄλλα. καὶ οὐδέ ποτε τὰ αὐτά, διότι οὐ πάντοτε μεταβάλλεται. ἀλλ᾽ ἔστι τι, καὶ τὸ μένον ἐπὶ τῆς ψυχῆς, καθὰ ἀεὶ ὑπάρχει ἐν αὐτῇ τὰ πράγματα. καὶ γὰρ ἄτοπόν φασιν, εἰ δυνάμει μὲν ὢν μηδὲν ἔστιν. ἐνεργείᾳ δὲ ἕτερος, ὅταν μὴ ἑαυτὸν νοῇ. τὸ δὲ ἄλλο καὶ ἄλλο νοεῖν, οὐδέ ποτε ὁ αὐτός. ἄκρειτος γὰρ ἦν αὐτῇ γε, καὶ ἄπλεκτος ἡ φύσις ἄριστα ἐλέγχων τοὺς δυνάμει πάντα καὶ μηδὲν ἐνεργείᾳ καθ᾽ αὑτὸν νοῦν ὑποτιθεμένους. πρῶτον μὲν γάρ, ὅταν μὴ νοῇ, οὐδὲν ἔσται. ἔπειτα δὲ καὶ νοεῖν, ὅταν ἄλλα, καὶ μὴ ἑαυτὸν νοῇ, ἕτερόν τι ἔσται, καὶ οὐκ αὐτός, ἄλλο τε ἄλλος, καὶ ἀεὶ μεταβαλλόμενος. διό φησιν, οὐχ οὕτω ληπτέον, ἀλλ᾽ ὡς ἐλέχθη πρότερον. ἐν οἷς ἀξιοῖ κατὰ ἀναλογίαν ἑκάτερον τὸ δυνάμει καὶ ἐνεργείᾳ. καὶ μὴ ὡς ἐπὶ τῆς ὕλης, οὕτω καὶ ἐπὶ τοῦ νοῦ. τὸ δὲ γάρ τι εἶναι τὸν νοῦν, μὴ δὲ μὴν ὡς ἐπὶ τῆς αἰσθήσεως. αὕτη μὲν γάρ, ὡς καὶ νῦν ἐπάγει, οὐκ ἄνευ σώματος· ὁ δὲ χωριστός. διὸ τῶν ἔξω προελθόντων, οὐ δεῖται πρὸς τὴν τελείωσιν. καὶ ὅταν ἄρα μὴ γινώσκῃ ἡ ψυχή, ἐνεργείᾳ πάντα ἐστί, κατὰ τὴν μένουσαν καὶ οὐσιώδη τελειότητα. ἐλλείπει δὲ ἡ κατὰ προβολὴν ἐνέργεια. διὸ δυνάμει ὡς πρὸς ταύτην. καὶ ἐπειδὴ συμφυής ἐστι τοῖς ἐπιστητοῖς, ὅταν ὄντως ἐπίσταται, ἐνεργείᾳ οὖσα, ὅπερ τὸ ἐπιστητόν. οὐχ ἑτέρα ἐστὶν ἑαυτῆς. διότι αὐτὴ κατὰ τὰ ἐπιστητὰ πάντα οὐσιοῦται. ἀλλὰ δὴ φαίνεται καὶ γινομένης πῶς. ὅταν γὰρ οὕτως ἕκαστα γένηται, ὡς ἐπιστήμων κατ᾽ ἐνέργειαν λέγεται. τοῦτο δὲ συμβαίνειν φαμέν, ὅταν δύνηται δι᾽ αὑτοῦ ἐνεργεῖν. ἔστι μὲν οὖν καὶ τότε δυνάμει πῶς, οὐ μὴν ὁμοίως, καὶ πρὶν μαθεῖν καὶ εὑρεῖν. ὑπό τινος οὖν ἡ γένεσις, καὶ πῶς. εἰ τὸ οὖν ἢ ἕξεως καὶ δυνάμεως, εἴτε οὐσίας. ἔοικε δὲ μᾶλλον ἕξεως. αὕτη γὰρ οἷον τελειοῖ τὴν φύσιν. γίνεται μὲν οὖν πῶς ἡ ψυχή, ἐπειδὴ μὴ ἐστὶ μονοειδής, ὡς τὰ νοερά· μὴ δὲ καθαρῶς μονίμως. ἅμα δὲ μένει, καὶ ἔμφυτον ἔχει τὴν μεταβολήν, ἀμφίβολός τε ἐστὶ διὰ τὴν μεσότητα καὶ τὴν ἐν κινήσει ἀφοριζομένην ζωήν. διὸ καὶ εἰς ἄγνοιαν ὑποφέρεται κατὰ τὴν εἰς τὸ χεῖρον ῥοπήν, καὶ τῇ ἐπιστήμῃ αὖ τελειοῦται κατὰ τὴν ἐπὶ τὸ κρεῖττον στροφήν. διὸ καὶ ἀτελὴς ποτὲ γίνεται, καὶ τελεία. ὅταν μὲν ἀγνοῇ, ἀτελής. καὶ διὰ τοῦτο δυνάμει, ἐπειδὴ τὴν τοῦ γνῶναι δύναμιν ἔχει καὶ τότε. ὅταν δὲ ἐπίσταται, τελεία, διὸ ἐνέργεια μὲν τὸ ἐνεργεῖν ἡ τελειότης. ἐπεὶ δὲ καὶ ὅταν ἐπίσταται, οὐ πάντως ἐνεργεῖ, δυνάμει μέν ἐστι καὶ τότε. οὐ μὴν ὁμοίως, ὥσπερ καὶ πρὶν μαθεῖν ἢ εὑρεῖν, ἅτε τὴν ἕξιν ἤδη ἀπειληφυῖα, καὶ τελειώσασα τὴν τῶν ἐπιστημονικῶν ἐνεργειῶν προβλητικὴν δύναμιν. ὑπό τινος οὖν φησὶν ἡ γένεσις, εἴτε ἕξεως καὶ δυνάμεως, εἴτε οὐσίας, τουτέστι πότερον καθ᾽ ἕξιν μόνον καὶ δύναμιν ἐν τῇ ψυχῇ ἡ μεταβολή, ἢ καὶ κατ᾽ οὐσίαν. Ἐπεὶ οὖν ἀπὸ τῆς οὐσίας αἵ τε ἕξεις καὶ ἐνέργειαι, ἀδύνατον ὑποτίθεσθαι τὴν οὐσίαν, μένουσαν πάντη ἀμετάβλητον, καὶ ἀεὶ ὡσαύτως ἔχουσαν. ποτὲ μὲν τελείων καὶ ἀγαθοειδῶν ἐνεργειῶν εἶναι ἀρχοδοτικήν, ποτὲ δὲ ἀτελῶν καὶ διεστραμμένων. αἱ γὰρ οὐσίαι, τῶν ἐνεργειῶν αἰτίαι. καὶ ὁποῖαι ἂν ὦσιν αἱ ἐνέργειαι, τοιοῦτον ἡμῖν καὶ τῆς δυνάμεως, καὶ τῆς οὐσίας τὸ εἶδος συλλογίζεσθαι παρέχονται. εἰ δὲ διττὴν ἐν ἡμῖν οὐσίαν νοοῖτό τις, καὶ διττὰς δυνάμεις τε καὶ ἐνεργείας, καὶ τὰς μὲν ἀεὶ τελείας, τὰς δὲ ποτὲ μὲν ἀτελεῖς, ποτὲ δὲ τελείας οἰηθείς· εἰ μὲν διεσπασμένας, πολλὰ ζῷα τὸ ἓν ποιήσει, καὶ παντελῶς ἀκρείσει τὴν κρείττονα οὐσίαν, ὡς μήτε ἀρχούσας τῆς ζωῆς, μήτε κοινὸν ἔχουσαν. εἴγε κατὰ τὴν δευτέραν, τὸ παρὰ μέρος ἀτελές τε καὶ τέλειον· ἐν ᾗ ἡ ἀνθρωπεία ὁρίζεται ζωή. εἰ δὲ χρὴ ἐφεξῆς λέγειν διττάς, ἢ λόγους, ἢ ζωάς, τὴν ἕνωσιν τῶν δυεῖν μὴ εἶναι.

ἑαυτοῦ νοητοῖς, καὶ ἅμα καὶ τοῖς κρείττοσι συνημμένος, τῷ μὴ ἀπεσπάσθαι τὰ αὐτοῦ τῶν προτέρων. καὶ ἐνεργεῖ μὲν καὶ τὰ νοητὰ εἰς τὸν νοῦν, ὡς καὶ τὰ αἰσθητὰ εἰς τὴν αἴσθησιν· ἀλλ' οὐκ ἔξωθεν, ἐπειδὴ μὴ κεχώρισται· διὸ μία ἡ ἀμφοῖν, τουτέστι τοῦ περὶ τὰ νοητά, καὶ τῶν νοητῶν εἰς τὸν νοῦν ἡ ἐνέργεια. καθὸ οὐ διίσταται, ἀλλ' ὁ νοῦς ἐστι τὰ νοητά. ἔτι καὶ ἐπὶ τῆς αἰσθήσεως τὸ πάθος περὶ τὸ αἰσθητήριον συμβαίνει, ἐπεὶ τὸ πρῶτον αἰσθητικὸν κατ' οἰκείαν τελειοῦται ἐνέργειαν, καὶ τὴν ἀπὸ τῶν αἰσθητῶν κίνησιν οὐ παθητικῶς, ἀλλ' ἐνεργητικῶς δεχόμενον. μειζόνως δὲ ὁ νοῦς ἀφ' ἑαυτοῦ ἐνεργεῖ, καὶ τὴν ἀπὸ τῶν νοητῶν τελείωσιν, οὐ παθητικῶς, ἀλλ' ἐνεργητικῶς δέχεται· εἰ καὶ δέχεσθαι δεῖ φάναι, ἀλλὰ μὴ προάγειν ἀφ' ἑαυτοῦ. ἀφ' ἑαυτοῦ γοῦν ἀρχόμενος, τελειοῦται. καὶ ὅλως ἐν τοῖς ἑτεροκινήτοις τὸ πάθος, ὡς ἔξωθεν διεγειρομένοις. ἐν δὲ τοῖς πάντα ἔνδοθεν ἐνεργοῦσι, καὶ ὅλοις δι' ὅλων ἐνεργητικοῖς, ἀδύνατον ὑπονοεῖν τι πάθος, εἰ μὴ ὁμωνύμως. καὶ γὰρ τῇ οὐσίᾳ ἐστὶν ἐνέργεια δευτέρως, καὶ ὁ δυνάμει νοῦς, αὕτη δὲ ἡ ἐνέργεια ἀντίκειται τῷ πάθει, καὶ οὐκ ἄν ποτε παθητικῶς διατεθείη. καὶ ἁπλῶς δὲ ἐν τοῖς χωριστοῖς σωμάτων ἀσωμάτοις, ὥσπερ καὶ αὐτός φησι, τί τὸ πάθος, ἢ ποία μεταβολή. καὶ τὰ μὲν πάθη, ἔξωθεν· ὁ δὲ νοῦς ἀρχή, καὶ ἀφ' ἑαυτοῦ· πῶς οὖν παθητικός. εἰ γὰρ ὅλως ἀπαθής φησιν, οὐδ' ἐν νοήσει τὴν ἀπὸ τῶν νοητῶν τελείωσιν πάθος καλῶν· ἐπεὶ πάντῃ καθαρεύειν τὸν νοῦν ἀνάγκη. ἐπεὶ δὲ καὶ ἀπὸ τῶν νοητῶν κατ' οἰκείαν τελειοῦται ἐνέργειαν, διὰ τὸ κοινότερον, ἀλλ' οὐ κυρίως ἂν τοῦ πάθους ἐκείνου ἠκούσαμεν. ἀπαθὴς γὰρ ὁ νοῦς φησὶν ὁ Θεόφραστος. εἰ μὴ ἄρα ἄλλως, ἢ τὸ παθητικόν, οὐχ ὡς τὸ κινητικὸν (ἀτελὴς γὰρ ἡ κίνησις) ἀλλ' ὡς ἐνέργεια. ταῦτα δὲ διαφέρει· χρῆσθαι δὲ ἀναγκαῖον ἐνίοτε τοῖς αὐτοῖς ὀνόμασιν. ὁρᾷς, ὅτι οὐ διατελές, οὐδὲ κατὰ τρόπον, ἤ τινα κίνησιν, οὐδὲ ἔξωθεν, ἀλλὰ κατ' ἐνέργειαν τὸ πάθος ἀφορίζεται ἐπὶ τοῦ νοῦ. συγγνώσκειν δὲ ἀξιοῖ τῇ τῶν ὀνομάτων χρήσει, διότι ἐκ τῶν αἰσθητῶν καὶ ἐπὶ τὰ νοερὰ μεταφέρομεν τὰ ὀνόματα. ἀξιοῖ δὲ ἀφορίζεσθαι τὸ πάσχειν. καὶ εἴρηται, ὅτι κατὰ τὴν ἀπὸ τοῦ κρείττονος ἐνδιδομένην τελείωσιν, ἐνεργητικῶς τοῦ δευτέρου τελειουμένου, καὶ πῶς νοητοῦ ὑπὸ νοητοῦ πάσχει· ἐπειδὴ ὡς νοητὸν δεύτερον, τουτέστιν ὡς ἐνεργητικόν, καὶ ὡς ἀρχόν, καὶ αὐτενεργήτως ὀρεγόμενον ὑπὸ τοῦ κρείττονος. καὶ πῶς αὐτὸς ἑαυτὸν τελειοῖ, διό γε ὡς εἴρηται καὶ τὰ ἀπὸ τοῦ κρείττονος αὐτενεργήτως δέχεται. Καὶ διατί οὐκ ἀεί, ἢ ὁ μὲν νοῦς ἀεὶ ἐνεργεῖ, ἡ δὲ ψυχὴ οὐκ ἀεὶ χρῆται καὶ ἄγοντι τῷ νῷ, ἐν τῇ πρὸς τὰ σώματα στροφῇ. ἐοίκασι δὲ οἱ ἄνδρες οὗτοι, καὶ ὁ Ἀριστοτέλης καὶ ὁ Θεόφραστος, ὥσπερ καὶ ἤδη ἔφαμεν, νοῦν ἐνίοτε καὶ πᾶσαν τὴν λογικὴν προσαγορεύειν ζωήν, ὅπου γε καὶ μέχρι φαντασίας τὸ τοῦ νοῦ διατείνουσιν ὄνομα. καὶ οὕτως εὐλόγως ἂν ἐπὶ τῆς ψυχῆς ζητοίη, διατί οὐκ ἀεί. οὐ, τὸ μὴ ἔχειν δὴ τὴν δύναμιν, ἀλλὰ τὸ πρὸς τὰ δεύτερα καὶ σωματικά. καὶ ὅλως ἔξω ἑαυτῆς ἀποτείνεσθαι, διὰ τὸ ἀμφίβιον τῆς μερικῆς ζωῆς, ἐναργεῖ εἰς ἑαυτὴν στροφῇ, καὶ τῇ πρὸς νοῦν συννεύσει ἡ τελείωσις αὐτῆς. ἐν δὲ τῇ πρὸς τὰ σώματα ῥοπῇ ἡ τοῦ νοεῖν ἀπόστασις. τελειοῦται δὲ καὶ ἡ ψυχὴ ὑφ' ἑαυτῆς τε ἀρχομένη, καὶ ἑαυτὴν προσάγουσα τῷ νῷ, καὶ αὐτενεργήτως, καὶ τὴν ἀπ' ἐκείνου δεχομένη τελείωσιν. ἐπεί φησι, τὸ ὑφ' ἑτέρου κινοῦντος τὴν ἐνέργειαν, εἶναι τοῦ νοῦ, καὶ ἄλλως ἄτοπον· καὶ πρότερον τι ποιεῖν, ἐστὶν ἕτερον τοῦ νοῦ. καὶ οὐκ ἐφ' ἑαυτῷ τὸ νοεῖν, εἰ μή τις ἄλλως ὁ κινῶν νοῦς. καὶ ταῦτα ἀληθῆ, εἴτε τὴν μετεχομένην ὑπὸ ψυχῆς ἀμέριστον οὐσίαν καλοίη νοῦν, εἴτε αὐτὴν τὴν λογικὴν ψυχήν.

Ἀλλὰ τί τὸ ἐπαγόμενον; εἰ γοῦν ἐνεργῶν φησὶ γίνεται τὰ πράγματα, τὸ δὲ μάλιστα ἑκάτερον ἐστί, τὰ πράγματα ἂν εἴη ὁ νοῦς. οὐ μόνον γὰρ τὰ νοούμενα, ἀλλὰ καὶ νοῦς τότε μάλιστα ἐστίν, ὅταν νοῇ. διὸ ἑκάτερον ἔφη· εἰ οὖν ὅτε τὰ πράγματα ἐστί, τότε καὶ νοῦς ἐστίν, ὁ νοῦς ἂν εἴη τὰ πράγματα. ἆρα οὖν ὅταν μὴ νοῇ; μὴ ὢν τὰ πράγματα, οὐδὲ νοῦς ἐστι. ἢ ὁ μὲν ὄντως νοῦς, καὶ ὁ δυνάμει, ὑπὸ ψυχῆς μετεχόμενος, νοεῖ, ἅτε ὢν καὶ αὐτός, εἰ καὶ δευτέρως τῇ οὐσίᾳ ἐνέργεια. ἐπὶ δὲ τῆς μερικῆς ψυχῆς, ἔχει ἂν χώραν ἡ ἀπορία· αὕτη γοῦν καὶ οὐκ ἀεὶ νοεῖ. ἆρα οὖν οὐδ' ἔν ἐστι, πρὶν νοεῖν; ἢ ἐστὶ μὲν οἷον ὕλη, εἰδοποιεῖται δὲ ἔξωθεν ἐπιγινομένοις τοῖς πράγμασιν, ὅταν γινώσκῃ. ἀλλὰ καὶ ἐστί τι πρὶν ἐπίστασθαι ἡ ψυχή, καὶ οὐκ ἔξωθεν, ἀλλ' ἀφ' ἑαυτῆς ἄρχεταί τε καὶ προβάλλει τὰ γνωστά, καὶ εἰς ἑαυτὴν εἰσιοῦσα εὑρίσκει τὰ πράγματα. καὶ πρὶν οὖν γνῶναι ἐστὶ τὰ πράγματα. ἀλλ' ἐπειδὴ καὶ ταύτῃ μεμέρισται πως ἡ ψυχή, τῷ μὴ τῇ οὐσίᾳ εἶναι ἐνέργειαν· δευτέραν δέ, ἴσχειν καὶ προϊοῦσαν ἀπὸ τῆς οὐσίας ἐπιστημονικὴν ἐνέργειαν, ὥσπερ ἐστὶ καὶ ὅταν μὴ ἐπίστηται. οὕτω καὶ τὰ πράγματα ἐστὶν οὐκ ἐνεργητικῶς, ἀλλ' οὐσιωδῶς. δεῖ γὰρ καὶ τὰ ἐν αὐτῇ πράγματα συστοίχως τῇ ψυχῇ νοεῖν, οὐ τῷ εἶναι νοούμενα, ἀλλὰ τῷ γνωστῶς ἐνεργεῖν· καὶ γνωστὰ ἀποτελούμενα, κατὰ

μὴν, καθάπερ καὶ ἐπὶ τῶν ὑλικῶν. καὶ ὀλίγον προελθὼν, ἐπάγει· τάχα δ' ἂν φανείη καὶ τοῦτο ἄτοπον, εἰ ὁ νοῦς ἔχει ὕλης φύσιν μηδὲν ὢν, ἅπαντα δὲ δυνατός. οὐχ οὕτω δὲ ληπτέον, οὐ δὲ πάντα ἓν· ἀλλὰ δεῖ διελεῖν. ποῖος οὖν, καὶ τίς ἡ διαίρεσις; ἡ μὲν γὰρ ὕλη, οὐ τόδε τι· ὁ δὲ νοῦς, εἰ μὴ οὕτω, τί ἂν ἕτερον; κατὰ ἀναλογίαν οὖν καὶ τῇ δυνάμει ληπτέον, ἐπὶ τοῦ ψυχικοῦ νοῦ. ὡς γὰρ πρὸς τὸν ἐνεργείᾳ νοῦν, τουτέστι τὸν χωριστόν. ἡ μὲν οὖν ὕλη ὡς ἐσχάτη, εἰκότως πάντα δυνάμει, οὐ μὴν ἡ αἴσθησις ὡς ἡ ὕλη. εἶδος γὰρ, καὶ λέγεται. καὶ προέχουσα κατ' οὐσίαν τῶν αἰσθητῶν λόγους ἡ αἴσθησις. ἕτερον δὲ τρόπον δυνάμει λέγεται τὰ αἰσθητά, ὡς ὑπ' αὐτῶν κινουμένη πρὸς τὴν προβολὴν, καὶ παρόντων καὶ δρώντων αὐτῶν εἰς τὸ αἰσθητήριον, δεομένη πρὸς τὴν οἰκείαν ἐνέργειαν. ὁ δὲ ψυχικὸς νοῦς, οὔτε ὡς ὕλης, οὔτε ὡς ἡ αἴσθησις. καὶ γὰρ εἶδός ἐστι, καὶ πάντων εἰδῶν κατὰ τὴν ἑαυτοῦ οὐσίαν προδεκτικὸς, καὶ ἀφ' ἑαυτοῦ ἐνεργεῖ, καὶ ἐν ἑαυτῷ περιέχει τὰ νοητά. ἀλλὰ διὰ τὴν πρὸς τὴν ψυχὴν συγγένειαν, καὶ διὰ τὴν οὐσιώδη πρὸς αὐτὴν σχέσιν, καὶ διὰ τὴν πρὸς τὸ μεριστὸν πῶς ἀπόνευσιν. αὐτός τε ἀπὸ τῆς ἀκραιφνοῦς ἀμερίστου, καὶ πάντῃ ἡνωμένης ὑφεῖται νοερᾶς οὐσίας τε καὶ ἐνεργείας. καὶ τὰ ἐν αὐτῷ νοητά, τῆς ὑπερλάμψεως, καὶ αὐτῶν φανοτάτης ἀπολείπεται, τῶν πρώτων νοητῶν ὑποστάσεως, καὶ ἡ ἀμφοῖν συνεχὴς, κεχαλασμένη πως ἐστιν· ἀλλ' οὐκ ἀκριβὴς, ὁποία ἡ ἐν τῷ χωριστῷ ἕνωσις. καὶ διὰ ταῦτα αὐτός τε πρὸς τὴν καθαρὰν ἀμέριστον γνῶσιν, τοῦ ἐνεργείᾳ τελειοῦντος δεῖται νοῦ, καὶ τὰ ἐν αὐτῷ νοητὰ, τῆς ἀπὸ τῶν χωριστῶν νοητῶν καταλάμψεως, ἵνα τέλεια ἀποτελεσθῇ νοητά. ὅθεν καὶ ὁ Ἀριστοτέλης χρώμασιν αὐτὰ ἀπεικάζει, τῆς ἀπὸ τοῦ ἡλίου δεομένοις αὐγῆς· ὅτι ἀμφοῖν αὐτῶν συναφὴ, εἰς τὸ ἀδιαίρετον συναιρεῖται ὑπὸ τῆς συνῃρημένης ἀκραιφνοῦς ἑνώσεως. ταύτῃ οὖν δυνάμει ὁ ψυχικὸς νοῦς, ὡς πρὸς τὸν χωριστὸν νοῦν. διότι καθαρῶς ἐκεῖνος ἀμέριστος, καὶ ἡνωμένως ἀκραιφνῶς πρὸς τὰ νοητὰ ὑπέρλαμπρα ὄντα, καὶ πρῶτα καὶ τέλεια φῶτα, καὶ ὡς ὑπὸ τοῦ τοιούτου νοῦ τελειούμενος. καὶ τὸ ἄγραφον οὖν γραμματεῖον κατ' ἀναλογίαν ἀπ' αὐτοῦ ἀκουστέον. οὐ γὰρ ὡς μηδ' ὅλως ἔχοντος τὰ εἴδη, ἀλλ' ὥσπερ αὐτὸς νοῦς ἐστι δυνάμει, οὐχ ὡς μὴ δὲ ὅλως ὢν νοῦς, ἀλλ' ὡς νοῦς μὲν, τοιοῦτος δὲ οἷος τοῦ τελειοῦσθαι ὑπὸ τοῦ πρώτου δεῖσθαι νοῦ. οὕτω καὶ τὰ ἐν αὐτῷ νοητά, νοητὰ μὲν, ἀλλὰ τοιαῦτα οἷα τῆς ἀπὸ τῶν χωριστῶν δεῖσθαι καταλάμψεως, ἵνα ἀκραιφνῶς ᾖ νοητά· διὸ καὶ χρώμασιν ἀπείκασται· καὶ τὸ γραμματεῖον, ὡς πρὸς τὴν τῶν τελείων τούτων εἰδῶν ὑποδοχὴν, ἄγραφον εἴρηται. ὀρθῶς ἄρα καὶ ὁ Θεόφραστος ἄτοπον ἀποφαίνεται τὸ, ὑλικὴν ἀποδιδόναι φύσιν τῷ νῷ, καὶ τὸ οὕτως ὡς ὕλη μηδὲν ὄν, ἀλλὰ πάντα δυνατὸν· καὶ μὴ δεῖν οὕτω λαμβάνειν παρακελεύεται· ζητεῖν δὲ, πῶς καθ' ἕτερον τρόπον δυνάμει λέγεται. ὅπως δὲ πρὸς τὰ παρόντα, εἴρηται ἱκανῶς· καὶ ἅμα ὅτι οὐδὲ πᾶς νοῦς δυνάμει, ἀλλὰ ποῖος διακρίνεται. Ἀπορεῖ δὲ ἑξῆς, ὅπως γίνεται τὰ νοητά, καὶ τί τὸ πάσχειν αὐτό. δεῖ γὰρ εἴπερ εἰς ἐνέργειαν ἥξει, καθάπερ αἱ αἰσθήσεις, ἀσωμάτου δὲ ὑπὸ ἀσωμάτου, τὸ πάθος, ἢ ποία μεταβολή, καὶ πότερον ἀπ' ἐκείνου ἡ ἀρχή, ἢ ἀφ' ἑαυτοῦ. τὸ μὲν γὰρ πάσχειν ἀπ' ἐκείνου δόξειεν ἄν. οὐδὲν γὰρ ἑαυτοῦ τῶν ἐν πάθει. τῷ δὲ ἀρχὴ πάντων εἶναι, καὶ ἀφ' ἑαυτοῦ τὸ νοεῖν. καὶ μὴ ὥσπερ ταῖς αἰσθήσεσιν ἀφ' ἑαυτοῦ. γίνεται μὲν οὖν τὰ νοητά, ἀλλ' οὐκ ὄντα ὡς ὁ χωριστὸς νοῦς τὰ πράγματα, διὰ τὸ κεχαλασμένον, ὡς εἴρηται, τῆς ἑνώσεως. καὶ ἐπειδὴ συνάπτεται μὴ αὐτοῖς ἀκριβῶς, ὑπὸ τοῦ ἐνεργείᾳ νοῦ συναιρούμενος, ταύτῃ δὲ καὶ πάσχει πως, διότι ὑποβὰς ἀπὸ τῆς καθαρᾶς καὶ πάντῃ ἀμερίστου τῶν χωριστῶν νοητῶν ἑνώσεως, καὶ οἷον ἀφεστηκὼς, διὰ τῆς πρὸς ψυχὴν ὁμοφυΐαν, ὡς ἕτερος ὑφ' ἑτέρου ὑπό τε τοῦ ἐνεργείᾳ νοῦ, καὶ ὑπὸ τῶν ἐν ἐκείνῳ νοητῶν τελειοῦται. ἐπεὶ δὲ αὐτὸς ἑαυτὸν τελειοῖ, ἀφ' ἑαυτοῦ τε ἐγειρόμενος, καὶ ἑαυτὸν συνάπτων τῷ ἐνεργείᾳ νῷ, καὶ τὴν ἀπ' ἐκείνου τελειότητα αὐτενεργήτως δεχόμενος. καὶ ἐπειδὴ μὴ παντελῶς τῆς ἐνεργείᾳ ἐκπεφοίτηκε νοῦ· ἀλλὰ καί τοι ὑποβὰς, συνῆπται ὅμως πρὸς ἐκεῖνον, ἔστι νοῦς ὢν καὶ αὐτός. διὸ καὶ οὐκ ἔξω ποι στρεφόμενος, ἀλλ' εἰς ἑαυτὸν εἴσω, καὶ πρὸς ἑαυτὸν ὡς ὅτι μάλιστα συναιρούμενος, καὶ ὑπὸ τοῦ ἐνεργείᾳ τελειοῦται νοῦ. διὰ ταῦτα τοίνυν ἑτέρως, ἢ ὡς αἱ αἰσθήσεις πάσχει· καὶ ὅλως οὐ κυρίως, ἀλλὰ καθ' ὁμωνυμίαν πάσχει. ἐνεργεῖ δὲ μᾶλλον. τῇ γοῦν ἑαυτοῦ ἐνεργείᾳ καὶ τὰς ἀπὸ τῶν προτέρων δέχεται τελειότητας, καὶ οὐκ ἔξωθεν εἰσδέχεται ἅπερ νοεῖ. ἔστι γὰρ καὶ αὐτὸς τὰ πράγματα, τελειωθεὶς δευτέρως, ἡνωμένος τοῖς

ἑαυτ

τὰς κρείττους ἀτυπώτους ἐνεργείας πάσας, ὅμως καὶ τὰ αἰσθητικὰ ἀπεικονίζεται εἴδη, μορφωτικῶς καὶ μεριστῶς, καὶ κατὰ τὴν πρὸς τὰ αἰσθητὰ ἀναφοράν, ὥστε καὶ τὰς κρείττους ἀτυπώτους ἐνεργείας, ἢ ὑπὸ τῶν αἰσθητικῶν κινεῖται εἰδῶν. πῶς οὖν καὶ μὴ παρόντων τῶν αἰσθητῶν, κινεῖται ἡ φαντασία; καὶ γὰρ εἰ ὑπὸ τῶν αἰσθητικῶν κινεῖται, ἀλλὰ καὶ ταῦτα παρόντων τῶν αἰσθητῶν προβάλλεται, καὶ ἀπόντων ἀπολύπει, ἢ οὐχ ὡς ἡ αἴσθησις παρόντων μόνον κινεῖται τῶν αἰσθητῶν, οὕτω καὶ ἡ φαντασία· ἀλλ' ἐπειδὰν ἅπαξ κινηθῇ, δύναται ἀφ' ἑαυτῆς ἐγείρεσθαι, καὶ προβάλλειν τὰ φαντάσματα κατὰ τὴν πρὸς τὰ εἴδη κινήσαντα ἀναφοράν. ἐνίοτε δὲ οὐχ ἅπαξ, ἢ δίς, ἀλλὰ πλεονάκις κινηθῆναι δεῖται, πρὸς τὸ ἀφ' ἑαυτῆς ὅμοια τοῖς κινήσασι προτείνειν. καὶ τὸ μὲν μορφωτικὸν καὶ μεριστὸν κοινὸν πρὸς τὴν αἴσθησιν. τὸ δὲ καὶ ἀφ' ἑαυτῆς προτείνειν τὰ φαντάσματα, καὶ μὴ παρόντων ἔτι τῶν κινούντων, ἐξῄρηται τῆς αἰσθήσεως. τὸ δὲ εἰς ἕτερα ἀναφέρειν ἀεί, καὶ ἀφομοιοῦσθαι πρὸς τὰς διαφόρους ἐνεργείας τῆς ψυχῆς, ταύτῃ πρὸς πάσας τε τῆς ψυχῆς παρὰ πέφυκε τὰς δυνάμεις, καὶ κατὰ τὸ ἀφομοιωτικὸν τῆς ψυχῆς ἵσταται ἰδίωμα. Ἐν τίνι οὖν ἡ φαντασία, ζητεῖ ὁ Θεόφραστος. οὐδὲ γὰρ ἐν τῷ αἰσθητικῷ. διὸ καὶ ἀληθοῦς οὔσης τῆς αἰσθήσεως, ψευδὴς γίνεται ἐνίοτε ἡ φαντασία. οὔτε ἐν τῷ αἰσθητηρίῳ· τὸ μὲν γὰρ ἐν τῷ αἰσθητηρίῳ πάθημα, παρόντος συμβαίνει τοῦ αἰσθητοῦ· τὰ δὲ φαντάσματα γίνεται καὶ ἀπόντος. λέγω δὴ οὖν ἑτέραν εἶναι δύναμιν τὴν φαντασίαν παρὰ τὴν αἴσθησιν, προσεχῆ δὲ καὶ διὰ τοῦτο ὑπ' αὐτῆς πως κινουμένην, καὶ οἷον μὲν ὑποκειμένοις τοῖς αἰσθητικοῖς χρωμένην εἴδεσιν. ἐξ ὧν ἐγείρεται, καὶ πρὸς ἃ ἀναφέρει τὰ φαντάσματα· παντοδαπῶς δὲ ταῦτα ποικίλλουσαν, τῷ ὑποβεβηκέναι, καὶ ἀφ' ἑαυτοῦ μετὰ τὸ ἅπαξ κινηθῆναι δεῖν τὴν διαμόρφωσιν, ὡς ἂν ὁρμήσει ἐγείρεσθαι. τὰς δὲ ἐμφάσεις τῶν ἀπὸ τῆς φαντασίας προβαλλομένων εἰδῶν, δέχεσθαι καὶ τὸ αἰσθητήριον, ὡς οἱ μορφωτικοὶ καὶ μεριστοὶ δηλοῦσι τύποι, τὸ χωριστὸν σωμάτων οὐκ ἐμφαίνοντες. καὶ ἐναργῶς δὲ πολλάκις τοῦ σώματος συγκινουμένου ταῖς φαντασίαις, καὶ κατ' αὐτὰς διατιθεμένου, ἐμφαίνεσθαι σύμφημι καὶ ἐν τῷ αἰσθητηρίῳ τὰ φαντάσματα· ἀλλ' οὐχ ὡς αἰσθητικῶν. διὸ οὐκ ἔξωθεν, οὐδὲ ὡς ὑπὸ σωμάτων τινῶν δρώντων μεταβαλλομένους, ἀλλ' ὡς τὰ φανταστὰ δεχομένου εἴδη. καὶ οὐ θαυμαστόν· ἐπεὶ καὶ τῆς λογικῆς ἡμῶν ἐνεργείας, ἐμφάσεις τινὲς εἰς τὸ σῶμα καθήκουσιν, ὡς αἱ συστροφαὶ δηλοῦσι τῶν ὀμμάτων, καὶ αἱ τῶν ὀφρύων συναγωγαὶ ἐν ταῖς ζητήσεσι. καὶ εἰ καὶ τὰ στερεὰ ταῦτα συνδιατίθεται μόρια, πολλῷ πρότερον τὸ αἰσθητήριον αὐτό, ὡς ζωτικώτερον, δέχεσθαι τὰ ἴχνη τῆς ζωῆς ἀνάγκη. καὶ γὰρ ἐν τοῖς μὲν αἰσθητικοῖς μόνως ἐστὶν ἡ ζωή, καὶ τὸ ὄργανον μόνως ἐστὶν αἰσθητήριον· ἐν οἷς δὲ καὶ φανταστικὴ καὶ ὀρεκτική, ἢ καὶ λογική, καὶ τὸ ὄργανον ἔσται πρὸς τὴν τῆς ζωῆς ταύτης ὑποδοχὴν ἐπιτήδειον. δέξεται οὖν καὶ τὰς φανταστικὰς ἐμφάσεις, ὡς φανταστικόν· καὶ ψευδεῖς, ἐὰν ὦσι ψευδεῖς αἱ φαντασίαι. καὶ ὥσπερ ἅμα τῶν ἀληθῶν αἰσθανόμεθα, δυνάμεθα ψευδεῖς περὶ αὐτῶν προβάλλειν φαντασίας, οὕτως ἑπομένως, ὡς μὲν αἰσθητικὸν τὸ πνεῦμα, τὰς ἀληθεῖς ἀπὸ τῶν αἰσθητικῶν δέχεται ἐμφάσεις· ὡς δὲ φανταστικόν, τὰς ψευδεῖς ἀπὸ τῶν αἰσθητῶν, τὰς δὲ ἀληθεῖς ἀπὸ τῆς φαντασίας. ὡς ὅταν ποδιαῖον ὁρῶντες τὸν ἥλιον, πολλαπλασίονα τῆς γῆς φανταζώμεθα, ταῖς γεωμετρικαῖς ἐπακολουθοῦντες ἀνάγκαις. καὶ οὔτε τοῦ φαντάσματος ἡ αἴσθησις· ἐπειδὴ καὶ τὸ φάντασμα ἐν τῷ αἰσθητηρίῳ. ἀλλὰ κατὰ μὲν τῶν αἰσθητῶν ἡ αἴσθησις. τὰ δὲ τὰ φαντάσματα, ἀπὸ τῆς φανταστικῆς προβολῆς. οὔτε ἀδύνατον, ἅμα καὶ ἀληθεῖς καὶ ψευδεῖς περὶ τῶν αὐτῶν, οἷον περὶ ἡλίου, δέχεσθαι τὸ ὑποκείμενον ἐμφάσεις· ἐπειδὴ ἀπὸ διαφόρων δυνάμεων, καὶ κατὰ διάφορα ζωῆς εἴδη τὰ ἀντικείμενα δέχεται. καὶ οὐ κωλύεται, ἐν ταὐτῷ συμβαίνειν τὸ φάντασμα, καὶ τὸ αἴσθημα· κἂν ἀντικείμενα, ἢ ὡς μὴ τῆς αὐτοῦ ὄντα συστοιχίας, μὴ δὲ τῆς αὐτῆς δυνάμεως ἐνεργήματα. ἐπεὶ καὶ ἡ δόξα ἐν ταὐτῷ, καὶ ἡ αἴσθησις ἡ περὶ τοῦ ἡλιακοῦ μεγέθους, ἀντικειμένως ἔχουσαι. τοῦτο μὲν οὖν ὧδε ἀπολογιζόμεθα. ἄρχεται δὲ κἀκεῖνο, ὡς οὐ παρόντων ἀεὶ δεῖ τῶν αἰσθητῶν, πρὸς τὸ κινεῖσθαι τὴν φαντασίαν· ἀλλ' ἐπειδὰν ἐγερθῇ, καὶ ἐν τῇ προβλητικῇ τῆς ποιᾶς μορφῆς. οὐ γὰρ οὕτω φησὶ ληπτέον, οὐδὲ ὡσαύτως. κοινὸν γὰρ ἁπλῶς, ὑποκειμένην τινὰ δύνα-

τοῦ μὴ πάσχειν τὸ αἰσθητήριον, ἐνεργεῖν γὰρ ἔοικε, καὶ μὴ πάσχοντος. μειζόνως δὲ ἡ κοινή, καὶ τὰς αὐτῶν τῶν αἰσθήσεων κρίνουσα ἀργίας. Διὸ καὶ ἡ κοινή. ἀλλ' οὐχ ἑκάστη ἑαυτῆς συναισθήσεται καὶ τῆς οἰκείας ἐνεργείας. εἰ μὲν γὰρ τῆς ἐνεργείας, καὶ τῆς ἀργίας. εἰ δὲ τῆς ἀργίας, ἅμα τι ἂν ἀργοίη καὶ ἐνεργοίη, ὡς συναισθανομένη. οὐκοῦν ἀργεῖ μὲν, ὡς μερικὴ καὶ καθ' ἑαυτήν. ἐνεργεῖ δὲ, καὶ καθὸ ἐξήρτηται τῆς ἰδίας ἐνεργείας καὶ ἀργίας. ὥστε κατὰ τὴν κοινὴν, καθ' ἣν καὶ ἑκάστη, οὐχ ὡς ἑκάστη, οὐδὲ ὡς διῃρημέναι, ἀλλ' ὡς ἡνωμέναι κατὰ τὴν μίαν πασῶν ἕνωσιν. ἧς καὶ τὰ πασῶν τῶν αἰσθήσεων αἰσθητὰ κρίνειν ἔργον ἐν ταυτῷ καὶ ἀδιαιρέτως, κατὰ τοὺς διαφόρους ἐνεργούσης λόγους. διὸ καὶ ἀριθμῷ μὲν ἓν τὸ κρῖνον καὶ ἀδιαίρετον. τὸ δὲ εἶναι διαιρετὸν, ἢ κατὰ διαφόρους ἐνεργεῖ λόγους. Η δὲ φωνὴ συμφωνία εἴρηται παρὰ τοῦ Ἀριστοτέλους, ἐπειδὴ κατ' ἐνέργειαν οὖσα, αἰσθητή. ὅταν ἀκούηται. ἀκούεται δὲ, ὅταν ἐν γένωνται ἡ φωνὴ καὶ ἡ ἀκοὴ συμφωνήσασαι, καὶ συναρμοσθεῖσαι ἀλλήλαις. ἡ γὰρ ὑπερβολὴ τοῦ αἰσθητοῦ, λύει ἢ φθείρει τὴν αἰσθητικὴν ἐνέργειαν. ἐν συμμετρίᾳ δὲ ἡ αἴσθησις, καὶ ἡδέα φαμὲν τὰ κατὰ τὴν συμμετρίαν. ἆρ' οὖν ὅταν μὴ ἐνεργῇ ἡ αἴσθησις, οὐκ ἐν συμμετρίᾳ καθ' ἑαυτήν; ἢ ἐπειδὴ οὐκ ἐνεργεῖ καθ' ἑαυτήν, ἀλλ' ἐν τῇ πρὸς τὰ ἔξω ἀντιτάσει, καὶ τῇ πρὸς τὰ αἰσθητὰ σχέσει, δῆλον ὡς οὐδὲ τὴν ἐνεργητικὴν ἔχει συμμετρίαν καθ' ἑαυτήν, τὴν μέντοι κατὰ δύναμιν ἔχει συμμετρίαν. προϋπάρχει γὰρ ἡ δύναμις, καὶ καθ' ἑαυτὴν θεωρεῖται. ἀλλὰ περὶ τὰ ἑξῆς ἴωμεν, ἐπ' ἄλλης ἡμῖν ἀρχῆς τὰ λοιπὰ τοῦ πέμπτου βιβλίου ἐπεξεργαζόμενοι.

ΤΕΛΟΣ.

ΠΡΙΣΚΙΑΝΟΥ ΦΙΛΟΣΟΦΟΥ ΛΥΔΟΥ ΜΕΤΑΦΡΑΣΙΣ ΤΩΝ ΘΕΟΦΡΑΣΤΟΥ ΠΕΡΙ ΦΑΝΤΑΣΙΑΣ.

Η φαντασία, περὶ ἧς ἑξῆς ἀκολούθως τοῦ Ἀριστοτέλει ἐπεξεργάζεται, ὅτι μὲν ἑτέρα αὕτη δύναμις παρὰ τὴν αἴσθησιν, ἐκ τῶν ἐκείνου ληπτέον. καὶ ὡς διαφέρει καὶ δόξης, καὶ πάσης λογικῆς ὑπολήψεως. καὶ ὡς καθάπερ αἴσθησις ὑπὸ τῶν αἰσθητῶν κινεῖται εἰδῶν, ζωτικῶς ἐγειρομένη, καὶ κατὰ τῶν οἰκείων λόγων προβολὴν περὶ αὐτὰ ἐνεργοῦσα. οὕτω καὶ ἡ φαντασία ὑπὸ τῶν αἰσθητικῶν εἰδῶν κινεῖται, τούτοις ὡς ὑποκειμένοις προσεχῶς χρωμένη, καὶ περὶ αὐτὰ ἐνεργοῦσα. διὸ καὶ αὕτη σωματοειδὴς ζωή, καὶ οὐκ ἄνευ τῶν σωματικῶν ἐνεργοῦσα ὀργάνων. ἐπειδὴ καὶ τὰ αἰσθητικὰ εἴδη, ὑφ' ὧν κινεῖται, ἐκ τῶν ἐν τοῖς αἰσθητηρίοις τελεοῦται ἐμφάσεων. προσθετέον δὲ καὶ τὰ Ἰαμβλίχεια, ὡς πάσαις ταῖς δυνάμεσι τῆς ψυχῆς παραπέφυκεν ἡ φαντασία, καὶ πάσας ἀποτυποῦται, καὶ ἐκμάττεται τὰς τῶν εἰδῶν ὁμοιότητας, καὶ τὰς τῶν ἑτέρων δυνάμεων ἐμφάσεις εἰς τὰς ἑτέρας διαπέμπει. τὰς μὲν ἀπὸ τῆς αἰσθήσεως εἰς δόξαν ἀνεγείρουσα, τὰς δὲ ἀπὸ νοῦ δευτέρας τῇ δόξῃ προτείνουσα, ἐν αὐτῇ δὲ ἀπὸ τῶν ὅλων τὰ φαντάσματα παραδεχομένη. καὶ ὡς ἰδίως κατὰ τὴν ἀφομοίωσιν χαρακτηρίζεται, ἔν τε τῷ ποιεῖν, καὶ ἐν τῷ δέχεσθαι τὰ προσεοικότα, ἐν τοῖς νοεροῖς ἢ τοῖς γνωσιουργοῖς, ἢ τοῖς μέσοις ἐνεργήμασιν. ἀποτυπουμένη τε τὰς πάσας τῆς ψυχῆς ἐνεργείας, καὶ συναρμόζουσα τὰς ἐκτὸς πρὸς τὰς εἴσω, καὶ ἐπιτιθεῖσα ταῖς περὶ τὸ σῶμα καταντανεμημέναις ζωαῖς τὰς ἀπὸ τοῦ νοῦ κατιούσας ἐμφάσεις. καθ' ἑαυτὴν ἄρα ἡ φαντασία δύναμις οὖσα τὸ ἀφομοιοῦν τὰ ἄλλα πρὸς ἑαυτὴν, ἐντεῦθεν καὶ ταῖς ἄλλαις συνάπτεται δυνάμεσι, προκατάρχουσα αὐτῶν ταῖς ἐνεργείαις οὐκ οὖσα πάθος, οὐδὲ κίνησις, ἀλλ' ἀμέριστος καὶ ὡρισμένη ἐνέργεια, καὶ οὐ κατὰ παραδοχὴν ἔξωθεν, ὡς ὁ κηρὸς διαπλαττομένη, ἀλλ' ἔνδοθεν, καὶ κατὰ λόγων τῶν ἀφομοιωτικῶν προβολὴν εἰς τὴν τῶν φαντασμάτων ἐγειρομένη ἐπίκλησιν. Ἀλλ' εἰ καὶ τὰς ἄλλας ἀποτυποῦται ζωὰς κατὰ τὸν Ἰάμβλιχον, καὶ αὐτὰς τὰς λογικάς τε καὶ νοερὰς ἐνεργείας, πῶς ἔτι ἀληθὲς τὸ ἀριστοτελικὸν, τὸ ὑπὸ τῶν αἰσθητικῶν εἰδῶν κινεῖσθαι τὴν φαντασίαν; ἢ εἰ καὶ

τὰς

παρὰ τοῖς Πυθαγορείοις τὸ ὀπτικὸν λέγεται αἰσθητήριον; ὡς φωτός φησι δεκτικὸν, διά τε τοὺς λεπτοὺς καὶ διαυγεστάτους καὶ καθαρωτάτους ὑμένας, καὶ διὰ τὰ ἐν αὐτοῖς περιεχόμενα διαφανέστατα ὑγρά. τὸ γὰρ φῶς πύρειον εἶδος, οὐχ ὡς σῶμα, ἀλλ' ὡς ὑπὸ πυρὸς μετεχόμενον. διὰ μὲν οὖν τὸ ἀνόριστον ἐν δύο μόνοις τὸ μεταξύ. εἰ δὲ διὰ τοῦ αὐτοῦ πλείω, τὸ τοῦτο ἔχον, καὶ τὰ πλείω ἔσεται, ἐν τοῖς μὴ πεπυρωμένοις, μὴ δὲ ἀτελέσι ζώοις. καλῶς μὲν γὰρ τοῦτο ὑπὸ τοῦ Θεοφράστου ἀξιοῦται, ὅτι διὰ τοῦ αὐτοῦ τὰ πλείω γίνεται, κατὰ λόγους καὶ κατὰ διαφόρους πρὸς τὰ πλείω λόγους. τὸ δὲ τέλειον, τῷ ὄντι ἅπαντας ἔχειν τοὺς λόγους ἀναγκαῖον, εἰ τέλειον εἶναι μέλλοι. τέλειον δὲ δηλαδὴ, τὸ καὶ τῶν ἐξῃρημένων τῆς αἰσθήσεως μετέχον δυνάμεων, ὡς ἄνθρωπος, ὅ γε καὶ νοῦ μεταληφώς. τὰ δὲ ὀσφραινόμενα μὲν, μὴ ἀκούοντα δὲ, ἀτελῆ. εἰ δὲ καὶ τὸ θερμὸν πᾶσι κοινὸν, καὶ τὸ ὑγρὸν ἐνίοις, οὐ διὰ τοῦτο μικτὰ ἔσται τὰ αἰσθητήρια· οὐδὲ ὁ ἔξω ἀὴρ, ἢ τὸ ὕδωρ μικτὰ ἐν τῇ τοῦ θερμοῦ μεταλήψει γίνεται. ἕως γὰρ ἂν μὴ οὐσιωδῶς μεταβάλλῃ, μένει τὰ ἁπλᾶ. εἰ δὲ καὶ μικτὰ, ἀλλὰ τὸ ἐπικρατοῦν ὅμως κατὰ μόνα τὰ δύο. καὶ εἰ ἁπλᾶ, οὐκ ἔσται τὸ χωριζόμενον αἰσθητικόν· ἐπειδὴ οὐχ ὡς ἁπλᾶ, ὡς δὲ τοιᾷδε ζωῇ χαρακτηριζόμενα, ἦν αἰσθητικά· ἢ στερόμενα, εἰκότως ἀναίσθητα. εἰ μὴ ἄρα πλατωνικώτερον, καὶ τὰ ὄντως ἁπλᾶ, μάλιστα αἰσθητικώτατα. ὄντως δὲ ἁπλᾶ, τὰ ἐν ταῖς οἰκείαις μένοντα ὁλότησι. Πῶς οὖν ὁ λόγος, τῆς αἰσθήσεώς ἐστι; ὁ γὰρ λόγος ἐν τῇ τῶν πλειόνων μίξει, καὶ ἐν τῇ πρὸς ἄλληλα αὐτῶν σχέσει. ἢ τοῦτο καὶ αὐτὸς ἐπιλύεται, οὐκ ἐν τῇ τῶν στοιχείων, ἀλλὰ ἐν τῇ τοῦ αἰσθητηρίου πρὸς τὰ αἰσθητὰ σχέσει, ἀφορίζων τὸν λόγον. κάλλιον δὲ οἶμαι, μὴ ἐν σχέσει προηγουμένως τὸν αἰσθητικὸν θεωρεῖν λόγον, ἀλλ' ἐν οὐσίᾳ ζωτικῇ, κριτικῇ τῶν αἰσθητῶν· καὶ τὴν διάλυσιν τοῦ λόγου τῇ ἀνεπιτηδειότητι τοῦ δεχομένου αὐτὸν ὀργάνου ὑποτίθεσθαι. ἀνεπιτήδειον δὲ τίθεσθαι, καὶ τῇ ἀσυμμέτρῳ τοῦ αἰσθητοῦ προσβολῇ διαλυούσῃ τὴν δεκτικὴν τοῦ λόγου ἐν αὐτῷ ἐπιτηδειότητα. εἰ δὲ καὶ ἡ αἴσθησις τοῦ ζῆν, τὸ δὲ ζῆν ἐν τῷ θερμῷ μᾶλλον, ἔσται καὶ τὸ θερμὸν ἐν τοῖς ἐν ἡμῖν ἁπλοῖς, κατὰ τὴν τῆς ζωῆς μετάληψιν ἐπιτηδειοτάτως. εἰ δὲ καὶ μικτὰ, ἀλλ' ἡ ἐπικράτεια, ὡς εἴρηται, κατὰ μόνα τὰ δύο. Πάλιν ὁ Ἀριστοτέλης, δεικνὺς μὴ εἶναι τῶν κοινῶν ἰδίαν αἴσθησιν, τῇ κινήσει φησὶν ἡμᾶς αἰσθάνεσθαι τῶν κοινῶν, καὶ διὰ τοῦτο πλείοσιν αἰσθήσεσι γνωρίζειν, οἷον μεγέθους, καὶ ὄψει καὶ ἁφῇ. ἄτοπον δὲ ὁ Θεόφραστος φησὶ, εἰς τὴν μορφὴν τῇ κινήσει μὴ διορισθέντος οἶμαι. δεῖ οὖν οὐχ οὕτω τῇ κινήσει λέγεσθαι, γνωριστικοὺς ἡμᾶς εἶναι τῶν κοινῶν, ὡς προηγουμένως μὲν τῆς κινήσεως, κατὰ συμβεβηκὸς δὲ ἢ δευτέρως τῶν ἄλλων· ἀλλ' ὁμοίως μὲν πάντων τῶν κοινῶν· πάντως δὲ ἐπὶ πάντων τῇ κινήσει, τουτέστι τῷ ἀλλοιοῦσθαι, συναισθάνεσθαι. εἰ δὲ κινεῖται ὑπὸ τοῦ μεγέθους ἡ ὄψις, οὐ κατὰ συμβεβηκὸς αὐτοῦ αἰσθάνεται, ὡς τοῦ γλυκέος· οὐ γὰρ πάσχει, οὐδὲ ἀλλοιοῦται ἡ ὄψις ὑπὸ τοῦ γλυκέος. εἰ δὲ καὶ τὸ μέγεθος ἰδίαν τινὰ εἶχεν αἴσθησιν, κατὰ συμβεβηκὸς ἂν ταῖς ἄλλαις ἦν αἰσθητὸν, ὡς τὸ γλυκύ. νῦν δὲ οὐχ οὕτως, ἀλλὰ τῷ κινεῖν. οὐκ ἄρα ἐστί τις μεγέθους ἰδία ὡς αἴσθησις, ὁμοίως δὲ οὐδὲ τῶν ἄλλων ὅσα κοινά. καὶ ἡ μορφὴ δὲ κινεῖ, καὶ ἕτερον διαφαίνεται τὸ ἀπ' αὐτῆς πάθος· ἀλλὰ μᾶλλον ἡ ἐνέργεια τῆς αἰσθήσεως, διὰ τὸ εἰδικώτερον τῆς μορφῆς, ἐνεργητικώτερον καὶ στασιμώτερον κινούσης τὴν αἴσθησιν. Ἐφ' οἷς δὲ πῶς αἰσθανόμεθα, ὅτι αἰσθανόμεθα, κατὰ τὰ αὐτὰ τῷ Ἀριστοτέλει διατίθησι τὸν λόγον· τὴν κοινὴν αἴσθησιν βουλόμενος εἶναι τὴν ἐπικρίνουσαν, τὴν καὶ τῆς ἐνεργείας συναισθανομένην ἑκάστης, καὶ τῆς ἀργίας. τῆς γὰρ αὐτῆς τἀναντία. ἡ δὲ κοινὴ αἴσθησις, οὔτε ἡ αὐτὴ ταῖς κατὰ μέρος, οὔτε πάντη ἑτέρα. κατὰ γὰρ τὴν πασῶν συναίρεσιν, καὶ τὴν εἰς ἓν ἀμέριστον, ἀποκορύφωσιν. διὸ καὶ ἑκάστη πῶς συναισθήσεται, ὅτι αἰσθάνεται, οὐχ ᾗ μεμέρισται, ἀλλ' ᾗ συνῆπται τῇ μιᾷ. ἤδη γὰρ χωριστῆς ἐστὶν ἀπὸ σωμάτων δυνάμεως, εἰς ἑαυτὴν ἐπιστρέφεσθαι, καὶ ἑαυτὴν γνωρίζειν. σωματοειδεστέρα δὲ μᾶλλον ἑκάστη, καθὸ μεμέρισται. ἐπεὶ δὲ τὸ χωρίσιμον εἰσὶ μᾶλλον, κατὰ τὴν πρὸς τὰς ἄλλας ἀμέριστον ἕνωσιν. καὶ γὰρ αὕτη ἡ ἀμέριστος ἕνωσις, τοῖς χωρὶς τῶν σωμάτων προσήκει ἀΐδιον. εἰ δὲ, ὡς αὐτὸς καλῶς ἀξιοῖ, τῆς αὐτῆς τἀναντία κρίνειν, καὶ διὰ τοῦτο καὶ τὴν ἀργίαν, ἕξει μὲν καὶ ἑκάστη τὸ χωριστὸν πῶς ἀπὸ τῶν οἰκείων ὀργάνων. οὐ γὰρ ἂν ὅτι σκότος ᾐσθάνετο ἡ ὄψις, τῷ μὴ

ἀσπίς, οὐ διὰ τῆς ἀσπίδος ἡ λίθος πλήττεται, ὡς τὸ χρῶμα ὁρᾶται διὰ τοῦ ἀέρος· ἀλλὰ
ἅμα τῇ οὖν * τῇ ἀσπίδι καὶ τὴν χεῖρα, ὡς ἄμφω ἅμα πληγῆναι. ἐπεὶ οὖν, οὐκ ἔξωθεν ἐστὶ τῆς ἁ-
φῆς καὶ γεύσεως, τὸ διὰ οὗ ἐν ἡμῖν ἐστι. τοῦτο δὲ τῇ μὲν ἡ σάρξ, τῇ δὲ ἡ γλῶττα. ὅτι μὲν
ζωτικῶς οὖν πάσχει καὶ ἡ σάρξ, ἐναργές. δῆλον δέ, ὡς οὐχὶ τοῖς ἀψύχοις ὁμοίως. οὐκοῦν * ζωτικῶς·
αἰσθητικῶς; καὶ ἐπειδὴ αἰσθητικὴ ἡ ζωὴ τῆς σαρκός, καὶ * αἰσθητικῶς. διατί οὖν, εἰ μὴ καὶ ἐν αὐτῇ
τὸ κρῖνον; εἰ γὰρ καὶ ἄλλο τι μᾶλλον καὶ ἀκριβέστερον εἴη ἁφῆς αἰσθητήριον, οἷον τὸ πνεῦμα,
ἀλλὰ καὶ ἡ σάρξ αἰσθητική. καὶ ἔστω ἀναλογοῦσα τῷ ἀέρι ἐπὶ τῆς ὄψεως, μεταξὺ τοῦ κυ-
ριωτέρου αἰσθητηρίου. τῷ δὲ μὴ ἔξωθεν, ἀλλὰ συμπεφυκέναι ἡμῖν εἶναι νομίζεσθαι θ' αὐτὴ
οὐκ ἀναίσθητος. διὰ τί οὖν εἰ ἡ σάρξ αἰσθητική, ἀλλ' ὅτι δεῖ αἰσθητήριον ἁπτικὸν προ-
υποτίθεσθαι. ἐπειδὴ φαίνεται σφοδρότερον πάσχουσα ὑπὸ τοῦ αἰσθητοῦ, ἀμέσως αὐ-
τῇ προσπίπτοντος, ἐκκρούει τῇ σφοδρότητι τοῦ πάθους τὴν αἰσθητικὴν ἐνέργειαν. διὸ
καὶ Ἀριστοτέλης ἀξιοῖ εἶναί τι καὶ ἐπὶ τῆς ἁφῆς τε καὶ γεύσεως, τὸ μεταξύ. τοῦτο δὲ συμ-
φυὲς τιθέμενος τοῖς ζῴοις, ζωτικὸν δηλαδὴ καὶ αἰσθητικόν, καὶ αὐτὸς οἶδε τὸ μεταξὺ
ἐπὶ τούτων. Ἀξιοῦται δὲ κἀκεῖνο ὀρθῶς, τὸ δεῖν τὸ αἰσθητήριον ἐν μεσότητι ὑπάρχειν,
τῆς ἐν τοῖς αἰσθητοῖς ἐναντιώσεως, οὐ κατὰ μῖξιν τῶν ἄκρων· οὐδὲ γὰρ ἂν εἴη πεπονθός· ἀλλ' ὡς
δεκτικὸν τὸ ἀπαθές, καὶ * δεκτικῶν τῶν παθῶν. ἐπεὶ τὸ ἐκ τῶν ἄκρων, οὐκ ἔσται τῶν μέσων κριτικόν.
vel potius ἀπαθὲς γὰρ ὑπὸ τοῦ ὁμοίου τὸ ὅμοιον. Καὶ ὅτι σῶμα μὲν καὶ μέγεθος τὸ αἰσθητήριον. οὐ
κριτικὸν μὴν ᾗ μέγεθος, αἰσθητικόν· ἀλλὰ κατὰ λόγον, καὶ δύναμιν. ἐν λόγῳ γάρ τινι πρὸς τὰ αἰσθη-
τὰ τὸ αἰσθητήριον, καὶ ζωῆς εἴδει κριτικῷ τῶν σωμάτων χαρακτηριζόμενον, ἀλλ' ἐπεὶ
πάθη, ἢ διαφοραὶ σωμάτων εἰσὶ πάντα τὰ αἰσθητὰ (ποιότητες γάρ, καὶ ποσότητες· οἷς
ἐν ταῖς πάθε- δὲ δεῖ γνωστὸν ἅπαν, ἐν τούτοις καὶ δεῖ) δόξει ἂν * ταῖς διαφοραῖς εἶναι πᾶν σῶμα. ἢ οὐ μόνῃ
σι καὶ ταῖς τῇ αἰσθήσει, ἀλλὰ καὶ τῷ δοξαστικῷ λόγῳ, γνωστὸν τὸ σῶμα. δόξη γὰρ μετ' αἰσθήσεως,
διαφ. γνωστὸν κατὰ τὸν Πλάτωνα. καὶ τῆς οὐσίας τῆς σωματικῆς, ἡ δόξα δεῖν ἀντιληπτική. Τὸ δὲ
Ἀριστοτέλους, τὸ μὴ εἶναι πλείους αἰσθήσεις πιστούμενος, διὰ δὲ τοῦ πάντα ἡμῖν αἰσθητὰ εἶναι,
τὰ ἁπτὰ μὲν τῇ ἁφῇ, τὰ δὲ διὰ τῶν μεταξύ, τῷ ἔχειν ταῦτα. δι' ὧν τὸ μεταξὺ γινώσκε-
ται. γινώσκεται μὲν γὰρ τοῦτο διὰ μόνων δύο τῶν ἁπλῶν, ἀέρος τε καὶ ὕδατος. ἐκ δύο
δὲ μόνων ἁπλῶν τούτων, καὶ τὰ αἰσθητήρια ἡμῖν. τὸ γὰρ πῦρ ἢ οὐδενός, ἢ κοινὸν πάν-
των· οὐδὲ ἡ γῆ, ἀλλ' ἢ περὶ τῇ ἁφῇ πως μέμικται. Βουλόμενος δέ, εἰ μὲν δι' ἑνὸς αἰσθητή-
ρίου πλείω αἰσθητά, τὸν ἔχοντα τοῦτο ἀρκεῖν πρὸς τὰ πλείω· εἰ δὲ διὰ πλειόνων τὸ αὐτό, καὶ
τὸ ἕτερον ἔχοντα ἀμφοῖν τούτου αἰσθητικὸν ὑπάρχειν. ζητεῖ ὁ Θεόφραστος, πρῶτον μὲν,
πόθεν ὡς διὰ μόνων ἀέρος καὶ ὕδατος. μή ποτε γὰρ ἡμῖν διὰ μόνων τούτων, ἐπεὶ καὶ
τὰ αἰσθητήρια ἡμῖν ἐκ τούτων, ἡ μὲν ὄψις ὕδατος, ἡ δὲ ἀκοὴ ἀέρος· θατέρου δὲ τού-
των ἡ ὄσφρησις. δεύτερον δέ, εἰ διὰ τοῦ αὐτοῦ πλείω, οὐ πάντως ὁ τοῦτο ἔχων, καὶ τὰ πλείω
αἴσθεται· οἷον εἰ δι' ἀέρος καὶ τὰ ὀσφραντὰ καὶ τὰ ἀκουστά, οὐκ ἐξ ἀνάγκης ἄμφω· οὐ γὰρ ὅ-
σα ὀσφραίνεται, ταῦτα καὶ ἀκούει. οὐδὲ γάρ, ὡς ὁ ἀὴρ ἁπλῶς ὀσφραντικός, ἢ ἀκουστικός. οὐ
γοῦν ἐν τῷ φάρυγγι οὐδέτερον, ἀλλὰ κατὰ λόγον. καὶ δεῖ πρὸς ἑκάτερον ἔχειν λόγιον. καὶ ὁ μὴ
ἐπισκέπτεται ἔχων, οὐκ αἰσθήσεται ἀμφοῖν. Ἔτι * ἐπισκέπτεται, μή ποτε οὐδὲ ἐκεῖνο ἀληθές· τὸ γοῦν ἐξ ἀμι-
κτῶν ἁπλῶς εἶναι τὰ αἰσθητήρια, ἀλλὰ κατὰ τὸ ἐπικρατοῦν. τὸ γοῦν θερμόν, κοινὸν εἶναι φαμέν,
ἐπί τινων δὲ καὶ τὸ ὑγρόν· ἐπεὶ καὶ τὸ ἀμιγέστατον ἔσται ἀναισθητότατον, ὥστε καὶ τὸ χω-
ριζόμενον τοῦ ζῴου, ἔσται αἰσθητικόν. ἔτι εἰ ὁ λόγος αἴτιος τῆς αἰσθήσεως (καὶ γὰρ φθείρεται,
τῷ διαλύεσθαι τὸν λόγον· ὁ δὲ λόγος ἐν τῇ τῶν πλειόνων μίξει) ἐκ πλειόνων ἂν εἴη τῶν
αἰσθητηρίων ἕκαστον. διατί δὲ ἐκ δύο μόνων αἰσθήσεις; τὸ γὰρ ζῆν ἐν τῷ θερμῷ μᾶλλον,
δύο μὲν μό- ἡ δὲ αἴσθησις τοῦ ζῆν. Ἐξ ἀρχῆς τοίνυν πρὸς τὰς ζητήσεις ἐροῦμεν· ἐν * δύο μὲν μόνοις
νοις εἶναι τὰ μεταξύ, οὐ κατὰ τὸ φαινόμενον, ἀλλὰ κατὰ τὸ φυσικὸν εὔλογον. τῶν γὰρ ἁ-
πλῶν ἡ μὲν γῆ διὰ τὸ στερεὸν καὶ ἀντίτυπον, οὐκ εὐπαθής, οὔτε δεκτικὴ τῶν ἀλλο-
τρίων ὅρων. τὸ δὲ πῦρ ἑτέρως, διὰ τὸ δραστήριον, καὶ αὐτὸ εἰδοποιόν. ὁ μέντοι ἀήρ, καὶ
τὸ ὕδωρ, διὰ τὸ εὐόριστον, εὐπαράδεκτα καὶ εὐπαθῆ, καὶ οἷον εἰδοποιούμενα ῥᾳδίως, ἀκο-
λούθως· ἄρα καὶ τὰ αἰσθητήρια ἡμῖν ἐκ τούτων. πῶς οὖν καὶ πύριον, καὶ ἠλιοειδὲς

πρὸς

φοῖς τὸ διαφανές. καὶ διατί μὴ καὶ περὶ ἀκοῆς τὸ κοινόν, ἔτι καὶ ἐν ὕδατι τὸ διηχές. ὁμοίως δὲ καὶ περὶ ὀσφρήσεως ἡ ἀπορία· ἢ ἀρκεῖ καὶ θάτερον. καὶ γὰρ καὶ ἐπὶ τῶν ἔξω οὐ μίξεως δεῖ· ἀλλ' εἴτε ὕδωρ, εἴτε ἀὴρ ᾖ τὸ μεταξύ, γίνεται ἡ ὅρασις. διατί οὖν ἐν ὕδατι ἡ κόρη, ἐπειδὴ εὐφυλακτότερον καὶ εὐπιλητότερον ἀέρος ὕδωρ. διατί δὲ ἡ ἀκοὴ ἀήρ, ἐπειδὴ εὐκινητότερον ὁ ἀήρ. συντελεῖ δὲ ἡ κίνησις πρὸς τὴν τοῦ ψόφου αἴσθησιν. ἀλλ' εἰ ἄνευ τῆς ἀναπνοῆς δυνατὸν ὀσφραίνεσθαι, τί κωλύει φησὶ καὶ ἀκούειν ἄνευ τοῦ ἀέρος; ἐπειδὴ οὐ δυνατὸν ἄνευ τοῦ ἐν τοῖς ὠσὶν ἀέρος πληγῆς + γενέσθαι ψόφον. τὸ γὰρ τῆς ἀκοῆς αἰσθητήριον ἀήρ· τῆς δὲ ὀσφρήσεως, οὐ τὸ τῆς ἀναπνοῆς εἰσφερόμενον πνεῦμα, ἀλλὰ καὶ χρήσιμον τοῦτο περὶ τοῦ διανοίγειν τοὺς ὀσφραντικοὺς πόρους, οἷον οὖσιν ἐπικεκαλυμμένοις. οἷς δὲ μή, τούτοις καὶ ἄνευ τοῦ ἀναπνεῖν ὄσφρησις. ἐπιγίνεσθαι

Ὁ δὲ ψόφος ἆρα πάντως πρὸς στερεὸν φησίν; ἢ καὶ στερεοῦ χωρίς, ὡς ὁ τῶν ἀνέμων. ἀλλὰ καὶ οὗτοι τῇ γῇ προσπίπτοντες ψοφοῦσι. καὶ αἱ βρονταὶ δέ, ὡς πρὸς στερεὸν τὸ νέφος τοῦ πνεύματος προσρηγνυμένου. ἀλλ' εἰ ὁ ἀὴρ συμφυής· τὸ δὲ ἀκούειν, ὅταν ὑπὸ τῆς πληγῆς ὁ ἔξω συνάπτηται. κινούμενος δὲ καὶ οὗτος ἀεί, καὶ ἠχῶν ἡ κίνησις, ἂν τὴν κίνησιν αἰσθάνοιτο, καὶ οὐχ ὁ ψόφος τὸν ψόφον. καίτοιγε κωλύει ἂν τὸ ἐνυπάρχον, ὥσπερ καὶ ἐν τοῖς ἄλλοις, ἢ οὐ αἰσθητὸς ὁ ἐντὸς ἦχος ἁπλῶς. οὐκ αἰσθανόμεθα γοῦν ἠχοῦντος, ἂν μὴ τὰ ὦτα ἐμφράξωμεν. ἀλλὰ καὶ ἡ κίνησις αὐτοῦ ζωτική, καὶ οὐχ οἵα ἡ τοῦ πληττομένου. ὅταν δὲ ὑπὸ τοῦ πλήξαντος πάθῃ, καὶ τὸ τοῦ ψόφου ἀναδέξηται εἶδος, τότε ἡ ἐνέργεια ἀκοή. οὐκ ἄρα παραποδίζει ὁ πρώτερος ἦχος, ἐπειδὴ μὴ αἰσθητός· ἡ δὲ κίνησις, ζωτικὴ οὖσα, καὶ συνεργεῖ πρὸς τὴν αἴσθησιν τοῦ πληγέντος.

Ἀλλ' εἰ ὁ ψόφος ἔξωθεν διικνεῖται μέχρι τῆς ἀκοῆς, πῶς ἀποφαίνεται μηδεμίαν γίνεσθαι αἴσθησιν, ἁψαμένου τοῦ αἰσθητοῦ, ἐπεὶ καὶ ἐπὶ τῆς ὀσφρήσεως τῇ ἀναπνοῇ τὴν ὀσμὴν ἕλκομεν, ἕως ἂν προσπίσῃ δηλονότι τῷ κυρίῳ· ἢ τὸ αἰσθητόν, ὅπου καὶ ἡ πληγή, καὶ ὅπου τὸ εὐῶδες κεῖται, ὡς καὶ ὅπου τὸ χρῶμα. ἃ δὴ οὐχ οἷόν τε αὐτὰ προσπελάζειν τοῖς αἰσθητηρίοις, εἰ μέλλοι γίνεσθαι αἴσθησις. τὸ δὲ ἀπ' αὐτῶν τῷ μεταξὺ ἐγγινόμενον εἶδος τῆς ἐνεργείας, παρεῖναι δεῖ καὶ τῷ αἰσθητηρίῳ. οὐ γὰρ δή, ὅπερ καὶ αὐτὸς ὑπέφηνε, μηδενὸς ὑπὸ τοῦ αἰσθητοῦ διικνουμένου, κινοῖτο ἄν τις αἴσθησις. καὶ γὰρ τὸ χρῶμα διὰ τοῦ διαφανοῦς κινεῖ τὴν ὄψιν, ποιοῦντός τι καὶ τοῦ μεταξύ, καὶ συνεργοῦντος, καὶ αὐτοῦ κινηθέντος πως ὑπὸ τοῦ ὁρατοῦ. καὶ ὅμως, οὐδ' ἡ κατὰ δύναμιν διήρθρωται. καὶ οὐ τοῦ μεταξύ, ἀλλὰ τοῦ ποιοῦντος ἡ αἴσθησις. οὐ γὰρ ταυτὸν ποίησις καὶ ποιοῦν, οὐδὲ ἐνέργεια καὶ ἐνεργοῦν. ποιεῖ δὲ τὸ ποιοῦν κατὰ τὴν ποίησιν, καὶ τὸ πάσχον ὑπὸ τοῦ ποιοῦντος πάσχει· ἀλλὰ κατὰ τὴν ἀπ' αὐτοῦ ποίησιν, ἀλλ' οὐχ ὑπὸ τῆς ποιήσεως. καὶ αἰσθανόμεθα οὖν οὐ τῆς ὑπὸ τοῦ αἰσθητοῦ ἐνεργείας, ἀλλὰ τοῦ αἰσθητοῦ μέν, κατὰ δὲ τὴν ἀπ' αὐτοῦ ἐνέργειαν. διὸ οὐ τοῦ μεταξύ, ἀλλὰ διὰ τὸ ἐν μεταξὺ ἐκπεμπόμενον, ἐνεργείας εἶδος τοῦ ἐκπέμποντος.

Εἰπόντι δὲ τῷ Ἀριστοτέλει, ὡς αἱ διαφοραὶ τῶν ψόφων, οἷον ὀξὺ καὶ βαρύ, ἐν τῷ κατ' ἐνέργειαν ψόφῳ δηλοῦνται, καὶ ἐπαγαγόντι, ὥσπερ γὰρ ἄνευ φωτὸς οὐχ ὁρᾶται τὰ χρώματα, οὕτως οὐδὲ ἄνευ ψόφου τὸ ὀξὺ καὶ βαρὺ ἐπισημαίνεται, ὡς ὁμοίως ἔχειν λέγοντι φῶς πρὸς χρώματα, καὶ ψόφον πρὸς ὀξὺ καὶ βαρύ, ἀντιλέγειν δεῖν. οὐ γὰρ τὸ φῶς, ἀλλὰ τὸ χρῶμα ὁμοίως πρὸς τὸ λευκὸν καὶ μέλαν· ἢ ὡς μὲν γένος τὸ χρῶμα, ἀνάλογον ψόφῳ, ἀλλ' οὐ τὸ φῶς. ἐπεὶ δὲ τὰ χρώματα οὐκ ἄνευ φωτὸς ὁρᾶται, ὡς οὐδὲ τὸ ὀξὺ καὶ βαρὺ ἄνευ ψόφου, ταύτῃ κατὰ τὸ ὁρᾶσθαι μόνον γένοιτ' ἂν ἡ παραβολή.

Ἀλλὰ διατί τὸ αἰσθητήριον τοῦ γευστοῦ ἀξιοῖ Ἀριστοτέλης, μήτε ὑγρὸν εἶναι, μήτε ἀδύνατον ὑγραίνεσθαι· ἐπειδὴ (φησὶν) ὑγρὸν τὸ γευστόν· ἢ οὐχ ὑγρὸν φαίνοντος, ἀλλ' ὡς ἔγχυμον ὑγρόν, τῇ γεύσει ἐστὶν αἰσθητόν, ἔδει οὖν μὴ ἔγχυμον εἶναι τὸ αἰσθητήριον μόνον· ἐπειδὴ ἁπτικῶς καὶ ἡ γεῦσις ἀντιλαμβάνεται τοῦ οἰκείου αἰσθητοῦ, πάσχειν αὐτὴν καὶ ὡς ὑπ' αὐτοῦ ἀνάγκη. ὥστε καὶ ὡς ὑπὸ τοῦ ὑγροῦ, διὸ οὐ χρὴ οἰκείᾳ προκατειλῆφθαι ὑγρότητι τὸ αἰσθητήριον.

Βούλεται δὲ ὁ Ἀριστοτέλης, ὡς καὶ ὁ Θεόφραστος εἶπε), μηδὲ τὴν γλῶτταν εἶναι τὸ ὄντως αἰσθητήριον τῆς γεύσεως, μηδὲ τὴν σάρκα τῆς ἁφῆς, ἀλλὰ ἀνάλογον ταῦτα τοῖς μεταξὺ γινομένοις, ἐπὶ ὄψεως καὶ ἀκοῆς. καὶ γὰρ ἐπὶ ἁφῆς, καὶ γεύσεως δεῖ μὲν εἶναι τὸ μεταξύ· ἔτι μὴ δὲ πρὶν αὐτῷ προσπίπτον τῷ αἰσθητηρίῳ τὸ αἰσθητόν, κινεῖ τὴν αἴσθησιν, οὐκ ἔξωθεν δὲ ὑπ' αὐτῶν τὸ μεταξύ. καὶ γὰρ ὅταν τι μεταξύ, οὐ διὰ τούτου ἡ γεῦσις, ἢ ἡ ἁφή, ἀλλὰ σὺν τούτῳ, οἷον μέση ἂν ἡ

χρωμάτων κινηθῆναι. τίς οὖν ἡ κίνησις, ἵνα καὶ ὅπως αὐτὰ τὰ ὁρώμενα διὰ τοῦ μεταξὺ κινεῖ τὴν ὄψιν, γνωρίζωμεν. φημὶ τοίνυν, ὡς καθάπερ τὸ φωτίζον τελειοῖ τὸ διαφανές, χωριστῶς παρούσης αὐτῷ τῆς ἀπ' ἐκείνου ἐνεργείας· καὶ τῷ ἡμετέρῳ ὄμματι διὰ τοῦ διαφανοῦς, οὐχ ὡς πεπονθότος, ἀλλ' ὡς καὶ αὐτοῦ κατὰ τὴν χωριστὴν ἐνέργειαν τελειουμένου, οὕτω καὶ τὸ χρῶμα λαμπρυνθὲν ἐνεργεῖ εἰς τὸ διαφανές, χωριστῶς αὐτῷ ἐπικεχυμένην ἐνέργειαν, καὶ διὰ τοῦτο κατὰ διάδοσιν, ἀλλ' ἀθρόως, καὶ ὁμοῦ παντὶ καὶ ὅλῳ ἀμερίστως πανταχοῦ αὐτῷ παροῦσαν, καὶ οἷον εἰδοποιοῦσαν αὐτὸ χωριστῶς, καὶ σὺν τῷ οὕτως εἰδοποιηθέντι, καὶ τὴν ἡμετέραν κινοῦσαν ὄψιν· ὡς τὸ χρῶμα αὐτὸ ὂν εἰς τὴν ὄψιν ἐνεργεῖν, ἀλλ' οἷον ὑποκειμένῳ τῆς ἰδίας ἐνεργείας τῷ διαφανεῖ χρώμενον, οὐχ ὡς πάσχοντι, ἀλλ' ὡς εἰδοποιουμένῳ χωριστῶς καθ' αὐτήν. διὸ καὶ ἀμιγῶς τῇ ὄψει πάρεστιν ἡ τοῦ χρώματος ἐνέργεια, καίτοι οὐκ ἄλλως παροῦσα ἢ τῷ ἐπικεχύσθαι τῷ διαφανεῖ, ἐπειδὴ ἀμιγῶς ἐπικέχυται.

Τί οὖν συντελεῖ πρὸς ὅρασιν τὸ διαφανές; εἰ ἀμιγῶς αὐτῇ προσπίπτει ἡ τοῦ χρώματος ἐνέργεια. ἢ δῆλον, ὡς τῷ διαβιβάζειν. ἀνάγκη γὰρ εἰς τὴν ὄψιν τῷ διαφανεῖ ἐπικεχυμένην χωριστῶς, ὡς εἴρηται, καὶ ἀμερίστως παντὶ παροῦσαν· διὸ καὶ πάντες ἐν τῷ * αὐτῷ ὅσοι ἂν οἱ βλέποντες ὦσι τοῦ αὐτοῦ καὶ ὅλου αἰσθάνονται, ὡς καὶ τῆς φωνῆς ἀκούουσι πάντες ὅλης οἱ ἐν τῷ θεάτρῳ. θεατρ καὶ γὰρ ἡ φωνῆς ἐνέργεια δεῖ ἀμέριστος, πανταχοῦ ὅλη ἡ αὐτὴ χωριστῶς αὐτῷ παροῦσα, ἅτε μήτε συμφερομένη, μὴ δὲ συνεκλειουμένη τῷ ἀέρι. τῆς γὰρ ἀπολύτου παρουσίας τεκμήριον, τὸ καὶ πᾶσι καὶ ἑκάστῳ τῶν ἀκουόντων ὅλην ἐνυπάρχειν καὶ πληροῦν πάντας μονοειδῶς. Τί οὖν; οὐ πλήττεται καὶ κινεῖται παθητικῶς ὑπὸ τοῦ ψοφοῦντος, ὅ τε ἀὴρ καὶ τὸ αἰσθητήριον; ἢ τὸ μὲν πάθημα καὶ ἡ κίνησις προκατάρχει περὶ τὰ σώματα. ἀλλ' οὐ ταῦτα καὶ φωνή; ἀλλ' οὐδὲ ἡ ἀκοὴ ἡ δὲ κατ' ἐνέργειαν τελειότης, ἡ κατὰ τὸ εἶδος ἐπαιρομένη τῆς κινήσεως. ἀλλ' ἐνταῦθα μὲν προηγεῖται τὸ τοῦ ἀέρος πάθος· ἐπειδὴ διὰ πληγῆς τὸ ἀκουστόν. τὸ δὲ ὁρατόν, οὐ διὰ τὸ παθεῖν τὸ διαφανές, ἀλλ' ἄδηλον αὐτὸ τὸ χρῶμα. εἰ δὲ κἀνταῦθα δοίη τις, ἐγγίνεσθαι τινὰ παθητικὴν ὑπὸ τῶν χρωμάτων τῷ ἀέρι διάθεσιν, οὐ κατὰ ταύτην ὁρατὸν ἀποτελεῖται τὸ χρῶμα, ἀλλὰ κατὰ τὴν τελείαν καὶ ἀθρόαν, καὶ ὅλην ὁμοῦ τοῦ εἴδους ἐνέργειαν, ἀπολύτως παροῦσαν τῷ διαφανεῖ, καὶ παθητικῶς μὲν κινοῦσαν τὸ αἰσθητήριον οὐκ ἐν τῷ πάθει δὲ ὑπαρχούσης τῆς ὄψεως, ἀλλ' ἐν τῇ εἰδητικῇ τῆς ζωῆς τελειώσει, καὶ τῇ τοῦ λόγου προβολῇ. Ἐπὶ δὲ τοῦ ὀσφραντοῦ καὶ τῆς ὀσφρήσεως, ἐναργέστερον τὸ συμβαῖνον ἐν τῷ μεταξὺ παθήματι, ὡς ὂν ἀπελθόντος τοῦ ὀσφραντοῦ, ἐμμένειν τὴν ὀσμήν· οὐ διὰ τὰ ἀπορρυέντα μόρια μόνον, ἀλλὰ καὶ αὐτοῦ πεπονθότος τι τοῦ ἀέρος, ὥσπερ καὶ θερμανθέντος, ὅταν μεταξὺ τοῦ θερμαίνοντός τε καὶ τοῦ θερμαινομένου γίνηται, καὶ γλυκαζομένου τοῦ ἀέρος τοῦ μεταξὺ τῆς γλώττης καὶ τοῦ μέλιτος. καὶ κατὰ τὸ εἶδος μὲν κἀνταῦθα ἡ τε αἴσθησις καὶ τὸ αἰσθητόν, ἀλλὰ διὰ τὸ ἐνυλότερον καὶ τοῦ αἰσθητηρίου καὶ τοῦ αἰσθητοῦ ἐν τούτοις εἴδους σφοδρότερον, καὶ διὰ τοῦτο ἐναργέστερόν τε τοῖς αἰσθητηρίοις, καὶ ἐν τῷ ἀέρι, ἵνα μετέχῃ τοῦ αἰσθητοῦ εἴδους διαφαίνεται τὸ πάθος. οὔτε δὲ ταῦτα κατ' ἀπορροίας αἰσθανόμεθα, ὅτι ἔτι μᾶλλον τῶν χρωμάτων τι ἀπόρροιον ποιεῖ τὴν ὅρασιν, ἀλλὰ τῷ ἐνεργεῖν ὁρᾶται. Καὶ πῶς οὕτως ἰσχυρὰ ἡ τοῦ χρώματος δύναμις, ὡς ἄνευ ἀπορροῆς κινεῖν, καὶ τοῦτο συνεχῶς ποιεῖν; δῆλον γάρ, ὅτι τὴν ἐνέργειαν τὴν ἐνεργεῖ αὐτοῦ συνεχῶς, εἰ μὴ καθάπερ τὸ πῦρ ὕλης δεῖται, καὶ ἀφ' οὗ τὸ φῶς γίνεται τοῦ διαφανοῦς. ἢ οὐ τὸ χρῶμα μόνον, ἀλλὰ (ὡς εἴρηται) πᾶν αἰσθητὸν τῷ ἐνεργεῖν κινεῖ τὰς αἰσθήσεις. τὸ δὲ χρῶμα καὶ οὐκ ἀεί, ἀλλ' ὅταν ἐλλάμπηται· καὶ ὅταν ὡς αὐτὸς ἔφη, ἡ ὕλη αὐτῷ παρῇ τὸ διαφανές, ὃ ἅμα καὶ τελειοῖ τὰ χρώματα τῷ φωτί, καὶ εἰδοποιεῖται πῶς ὑπ' αὐτῶν τῇ χωριστῇ ἀπ' αὐτῶν ἐνεργείᾳ. τὸ δὲ φῶς οὐ διὰ τοῦ διαφανοῦς, ἀλλ' ἐν τῷ διαφανεῖ, καὶ καθ' αὐτὸ ὁρατόν· καὶ αὐτὸ δὲ τὸ διαφανὲς τῷ φωτὶ οὐ διαιρετέον φησίν, ὀρθῶς λέγων. οὔτε γὰρ τὸ φῶς ἄνευ τοῦ διαφανοῦς, οὐδὲ τούτου χωρὶς φωτὸς αἴσθησις. καὶ ἔστι χρῶμα τοῦ διαφανοῦς τὸ φῶς, ὃ δ' ἂν ἕτερον εἴη τοῦτο ὁρατὸν παρὰ τὰ χρώματα. Τί οὖν πάσχον τὸ διαφανὲς ποιεῖ τὴν ὄψιν; ἔνιοι γὰρ ὑποδύνασθαι φασίν· ἢ οὐχ οὕτως, ἀλλ' ἀρκεῖ), ὡς ἀπολύτως δεχομένῳ τὴν ἀπὸ τοῦ ὁρατοῦ ἐνέργειαν, καὶ τῷ αἰσθητηρίῳ

ὁρᾶται, ὡς ὁ μὲν χυμὸς ἴδιον αἰσθητὸν τῆς γεύσεως, καὶ ὁ ψόφος τῆς ἀκοῆς, οὐδενὸς ἔξωθεν εἰς τὸ κινεῖσθαι τὸ αἰσθητήριον δεόμενος, εἰ μὴ ἄρα τοῦ διηχοῦς τις εἴποι ὡς τὸ χρῶμα τοῦ διαφανοῦς. ἀλλὰ καὶ ὡς ὁ μὲν ἦχος εὐθὺς αἰσθητός, συμμέτρου ἀέρος ὄντος μεταξύ· τὸ δὲ χρῶμα δεῖται ἔξωθεν τοῦ φωτίζοντος, εἰ μέλλει γενέσθαι ὁρατόν. ἢ τοῦτο τῆς ὄψεως ἐξαίρετον, τὸ δεῖσθαι φωτός, οὐ διὰ τὸ ἀτελέστερον ἢ κατὰ τὰς ἄλλας αἰσθήσεις, αἳ οὐδενὸς ἄλλου ἔξωθεν τοῦ τελειοῦντος χρῄζουσιν· ἀλλὰ διὰ τὸ κρεῖττον καὶ ὑπερφυέστερον πῶς τῆς ἐνεργείας, οὐκ ἀρκούσης ἑαυτῆς τῆς αἰσθητικῆς δυνάμεως, θειοτέρου δέ τινος δεομένου εἴδους. ὡς γὰρ τὸ ἡμέτερον σῶμα, πρὸς μὲν τὸ βαρὺ εἶναι καὶ τὴν ἐπὶ τὸ κάτω φοράν, οὐ δεῖται τῆς ψυχῆς, πρὸς δὲ τὴν καθ' ὁρμὴν κίνησιν, διὰ τὸ ὑπερφυέστερον, ἢ ὡς αὐτὸ πέφυκεν οὕτω κινεῖσθαι· καὶ οὐ διὰ τοῦτο χεῖρον ἡ καθ' ὁρμὴν τῆς κατὰ φύσιν, ἀλλὰ κρεῖττον, οὕτω καὶ ἡ ὄψις κρείττων τῶν ἄλλων, διὰ τὸ κρειττόνως ἐνεργεῖν, ἀλλ' οὐ τοῦ τελειοῦντος δεομένη. Μή ποτε δὲ εἴποι τις, καὶ τὸ προηγούμενον ὁρατὸν τὸ λαμπρὸν εἶναι, καὶ αὐτὸ τὸ φῶς ὃ καθ' αὑτὸ κινεῖ τὴν ὄψιν, καὶ περὶ αὐτὴν ἐνεργεῖ ἔξωθεν οὐδενὸς ἄλλου τοῦ τελειοῦντος δεομένης. τὰ δὲ χρώματα, ὡς ἀμυδρά τινα φῶτα, μὴ καθ' αὑτὰ εἶναι ὁρατά, ἀλλὰ δεῖσθαι τοῦ προηγουμένως ὁρατοῦ ἐπιτελειοῦντος καὶ αὐτά. ἀλλ' οὕτω φαίη ἄν τις, οὐ συνεργεῖν ἐχρῆν τὸ φῶς τοῖς χρώμασι πρὸς τὸ ὁρᾶσθαι, τοὐναντίον δὲ ἐπικαλύπτειν αὐτά, ὡς καὶ ὁ μείζων τὸ φῶς ἐκκρούει τὸ ἔλαττον. καὶ ἐπ' αὐτῶν τῶν πραγμάτων τὸ λαμπρότερον, οὐ συγχωρεῖ διαφαίνεσθαι τὸ ἧττον λαμπρόν. ἐν γοῦν ἡλίῳ, τὸ λυχνιαῖον οὐχ ὁρᾶται φῶς. ἢ οὐχ ἡ αὐτὴ παραβολὴ μείζονος πρὸς ἔλαττον, καὶ προηγουμένου πρὸς ἑπόμενον. οὐ γὰρ ὡς ὁρατὸν παραβάλλεται τὸ χρῶμα πρὸς τὸ φῶς, οὐδὲ γὰρ ὁρατὸν ὅλως ἄνευ φωτός. διὸ ἑπομένως ὁρατόν, ὡς ὑπ' αὐτοῦ τελειούμενον, καὶ δι' ἐκείνου ὁρώμενον. αὐτὸ δὲ τὸ φῶς καθ' αὑτό, πρὸς τὸ ὁρᾶσθαι ἱκανόν. εἰ δὲ ἐπὶ τῶν ἄλλων αἰσθήσεων τὸ ἀνάλογον μὴ εὑρίσκεται, ὥστε τὸ μὲν προηγουμένως, τὸ δὲ ἑπομένως εἶναι ἀκουστόν, ἢ γευστόν, περιουσία ἐστὶ τοῦ τε πρώτως ὁρατοῦ, ὃ δὴ τὸ φῶς εἶναι φαμέν, τὸ καὶ ἄλλα ἄττα ὁρατὰ * ἐπιτελεῖν, καὶ
ἐπὶ πλεῖον τῆς ὁρατικῆς δυνάμεως, οὐ τοῦ φωτὸς μόνου, ἀλλὰ καὶ ἑτέρων τινῶν διὰ τοῦ φωτὸς αἰσθανομένης.

Ἐπεὶ δὲ φαίνεται κινεῖσθαι τὸ διαφανὲς ὑπὸ τῶν χρωμάτων, βουλομένους καὶ τὴν ἀκρίβειαν τὴν πῶς κινεῖται, πότερον ἀπορροῇ τινι, ἢ τῷ τὰ μὲν ποιεῖν, τὸ δὲ πάσχειν διαπονεῖν, καὶ ἐπὶ τοὺς μὴ διαφανοῦς ποιοῦντας τὸ ὁρᾶν, ἀλλ' ἀπ' αὐτῶν ἐπιφερομένων τῶν χρωμάτων, καὶ ἔτι ἐπὶ τοὺς ἐκπίμπτεσθαι τὸ αἰσθητήριον ὑπολαμβάνοντας, δίκαιον ἡμᾶς ἐπιζητῆσαι, ἐπὶ τῷ ὄντι κινεῖται τὸ διαφανὲς καί τινα κίνησιν, φαίνεται δὲ διὰ μέσου τοῦ διαφανοῦς ὁρώμενα τὰ χρώματα. ἐὰν δὲ ἐπ' αὐτὴν τεθῇ τὴν ὄψιν, οὐχ ὁρώμενα. πρὸς δὲ τοῦτο ἐλέγομεν, ὡς μέσου τοῦ διαφανοῦς δεῖ, ἵνα φωτίζηται τὰ ὁρώμενα, ἀλλὰ καὶ ὅταν λαμπρὸν ᾖ τὸ ὁρώμενον μέσου δεῖ τοῦ διαφανοῦς, ἢ καὶ τό τι λέγομεν, διὰ τὸ σύμμετρον τῆς διαστάσεως. δεῖν δὲ μὴ στερεὸν εἶναι τὸ μεταξύ, ἵνα μὴ τῷ σκοτεινὸν ποιεῖν παρεμποδίζῃ τὴν ἐνέργειαν. ἆρα οὖν ὡς μὴ ἐμποδίζον μόνον χρήσιμον τὸ διαφανές, καθάπερ εἰ καὶ κενὸν ἦν τὸ μεταξύ, ἢ οὐκ εὔλογον, ἀλλὰ συνεισφέρειν τι δεῖ καὶ αὐτό. οὐ γὰρ μάτην σῶμα ἐστὶ τὸ μεταξύ, ἀλλὰ καὶ ἐπὶ τῶν χρωμάτων ἐναργῶς συντελεῖ. οὐ γὰρ ἂν μὴ διαπεφωτισμένου τοῦ μεταξύ, εἴδομεν. ἀκόλουθον οὖν, καὶ ἐπὶ τῶν λαμπρῶν τι συνεισάγειν.

Ἔτι δὲ εἰ καὶ ἐπὶ τῆς ἀκοῆς κινεῖται πῶς ὁ ἀήρ, καὶ ἐπὶ τῆς ὀσφρήσεως, καὶ ἐπὶ τῆς ἁφῆς δέ, ὅταν μεταξὺ ᾖ τοῦ θερμαίνοντός τε καὶ θερμαινομένου καὶ ἐπὶ τῆς γεύσεως, εἰ τὸ ὑγρὸν τι εἴη μεταξύ. ἢ εἰ καὶ ἐπὶ τούτων τῷ μεμίχθαι, ἀλλ' οὐ τῷ ἐνεργεῖν ἀκόλουθον καὶ ἐπὶ τῆς ὄψεως. ὅτι ἅπαν τὸ φωτίζον, ἐνεργεῖ σαφῶς εἰς τὸ διαφανές. τοιοῦτον δὲ καὶ τὸ ἄγαν λαμπρόν, ὥστε καὶ τὸ ἀμυδρῶς λαμπρόν, ἐνεργεῖ εἰ καὶ μὴ οὕτως, ὥστε φωτίζειν· καὶ τὰ χρώματα συντελεσθέντα, καὶ ἐπιλαμπρυνθέντα, ὑπὸ τοῦ φωτίζοντος κινοίη ἂν καὶ αὐτὰ τὸ διαφανές.

Ἆρα οὖν αὐτὰ μὲν τὸ διαφανὲς τοῦτο; τὸ δὲ κινεῖ τὴν ὄψιν, οἷον μορφωθὲν αὐτὸ ὑπὸ τῶν χρωμάτων. ἀλλ' οὕτω τοῦ διαφανοῦς ἂν πεπονθότος αἰσθανόμεθα, καὶ οὐ τοῦ χρώματος. εἰ δὲ τοῦ χρώματος, τοῦτο ἂν καὶ τὴν ὄψιν κινοίη, ἀλλὰ καὶ τοῦ διαφανοῦς· τὸ δὲ διαφανές, καὶ καθ' αὑτὸ κινητικὸν τῆς ὄψεως, ὅταν φωτίζηται, οὐ δι' ἑτέρου, καὶ ὡς ὑπὸ τῶν

χρωμάτων

τὸ δὲ χρῶμα πέρας τοῦ ἐν ὡρισμένοις σώμασι διαφανοῦς. ὥστε καὶ ἐν γῇ τὸ διαφανὲς, οὐ μόνον ὡς σκότους ὑποδοχῆς ἐν αὐτῇ δεκτικόν, ἀλλὰ τοῦτο μὲν κατὰ τὸ βάθος· κατὰ δὲ τὰ πέρατα καὶ φωτὸς, εἰ φωτά τινα τὰ χρώματα, καὶ ἔγε φωτίζεται καὶ ἡ γῆ κατὰ τὴν ἐπιφάνειαν. τὸ δὲ ἐν ἀέρι καὶ ὕδατι, παρὰ μέρος ἀμφοῖν δεκτικόν· ὃ καὶ ἰδικώτερον διαφανὲς προσαγορεύειν εἰώθαμεν. τὸ δὲ ἐν τοῖς συνθέτοις, κατὰ σύμμιξιν. οὐ ζητήσομεν οὖν, ὑπὸ τινὸς τῶν ἁπλῶν τὸ διαφανές. οὐ γὰρ ἀπὸ τῶν στοιχείων, ἢ τῶν σωμάτων ὅλως τὰ εἴδη· αὐτὰ δὲ μετέχει τῶν εἰδῶν, καὶ χαρακτηρίζεται κατ' αὐτὰ, καὶ διὰ τὸ τὰ μὲν προσδεῖται φωτὸς εἰς τὸ ὁραθῆναι, τὰ δὲ οὔ, ὡς πῦρ καὶ τὰ λαμπρὰ, ἢ ὑποδοχῆς μετέχει τοῦ φωτεινοῦ εἴδους ἀρκούντως οὐ προσδεῖται. ἐπίγνωσθαι Καὶ πῶς ἐνέργεια τοῦ διαφανοῦς τὸ φῶς, ὃ διὰ φωτίζοντος παραγίνεται· ἐκείνου γὰρ ἐνέργεια δόξειεν ἂν μᾶλλον. τοῦτο δὲ ἀπορήσας, (ἄλλοι) ὁμοίως ἔχειν τῷ λόγον, ὡς ἐν τοῖς ἄλλοις τοῖς πάσχουσιν, ἐκεῖνο ἴσως ἐνδεικνύμενος, ὅτι ὡς ἡ θερμότης τοῦ μὲν πυρὸς, ὡς ποιοῦντος ἐστὶν ἐνέργεια, τοῦ δὲ θερμαινομένου ὡς πάσχοντος, οὕτω καὶ τὸ φῶς τοῦ δεχομένου ὡς πάθημα λέγοιτ' ἂν ἐνέργεια, οὐ κυρίως ἐνέργεια ὀνομαζομένη. διὸ καὶ ἐπάγει, μὴ δεῖν ζητεῖν τὰ ὀνόματα, ἀλλ' εἰ τὴν φύσιν αὐτοῦ νοοῦμεν, ἱκανὸν εἶναι. πρῶτον μὲν οὖν ἐκεῖνο ἀξιοῖ διορίζεσθαι, ὡς ἕτερον μὲν τὸ αἰτιατὸν φῶς, ἕτερον δὲ τὸ τούτου αἴτιον, οἷον τὸ ἐν ἡλίῳ, ἢ ἐν πυρί· καὶ οὐ περὶ τοῦ αἰτίου ὁ λόγος, ἐν τῇ περὶ τοῦ τί τὸ φῶς ζητήσει· ἀλλὰ περὶ τοῦ ἀπ' αὐτοῦ προϊόντος, ὃ δὴ ἐνέργεια εἶναι λέγεται τοῦ διαφανοῦς, τοῦ ἐν ἀέρι καὶ ὕδατι, καὶ ἐν τοῖς παρὰ μέρος φωτὸς καὶ σκότους δεκτικοῖς. Ἔπειτα δὲ τῷ Ἰαμβλίχῳ ἑπόμενος, ὅτι ποτὲ σῶμα τοῦτο εἶναι ἀξιοῖ, ὅτι μὴν πάθος, ἢ ποιότητα σώματος ἐχόντων, ὥσπερ οἱ περιπατητικοί. οὐ γὰρ ἐν τῷ ἀέρι ἔχει, τὸ εἶναι φῶς. κινουμένου γοῦν ἐκείνου, ἕστηκεν αὐτὸ, καὶ τρεπομένου πολυειδῶς αὐτοῦ ἀτρέπτως ἀκέραιον μένει, καὶ σώζει τὴν πρὸς τὸ αἴτιον ἀδιαίρετον συνέχειαν. ἀλλὰ καὶ ἡ ἀθρόα αὐτοῦ παρουσία, ὑπὸ πάντα τὰ δέχεσθαι αὐτὸ δυνάμενα, παρόντος τοῦ ἐλλάμποντος. καὶ αὖθις ἀπελθόντος, ἡ ἀθρόα ἀπόλειψις, μηδὲν ἴχνος ἑαυτοῦ καταλείποντος, σημεῖον τὸ μὴ πάθημα εἶναι τοῦ ἀέρος τὸ φῶς. τὰ γὰρ πάθη, οἷον ἡ θερμότης, οὔτε ἀθρόως ἐγγίνεται· καὶ τοῦ πυρὸς ἀπελθόντος, ἀμυδρόν τι ἐγκαταλείπει ἑαυτῆς εἶδος τῷ πεπονθότι. καὶ τὸ μὴ κατὰ διάδοσιν δὲ, μὴ δὲ κατὰ τρόπον ἐγγίνεσθαι, καὶ τὸ μὴ περιγράφεσθαι μέχρι τινὸς, προϊέναι δὲ ἄχρι παντὸς τοῦ δυναμένου αὐτὸ δέχεσθαι. καὶ τὸ μὴ συγχεῖσθαι ἐν ἀλλήλοις τὰ φῶτα, δηλοῖ ἅπαντα ταῦτα χωριστὴν εἶναι σωμάτων τὴν τοῦ φωτὸς ἐνέργειαν. πῶς οὖν ἐνέργεια λέγεται τοῦ διαφανοῦς; οὐχ ὡς πάθος φησὶν, οὐδὲ ὡς τελειότης αὐτοῦ ἐν ὑποκειμένῳ αὐτῷ γινομένη, ἀλλ' ὡς χωριστῶς αὐτὸ τελειοῦσα, οὐκ αὐτὴ ἐκείνου, ἀλλ' ἑαυτῆς ἐκεῖνο ποιουμένη μένουσα, συνεχὴς αὐτὴ τῷ ἐλλάμποντι, καὶ ἐκείνῳ συμπεριαγομένη. τοῦτο μὲν οὖν ὧδε συντόμως ὑπεμνήσθω, ἵνα μὴ ὁμοίως ὡς ἐν τοῖς ἄλλοις τοῖς πάσχουσι, καὶ τὸ φῶς ἐγγίνεσθαι ὑποπτεύωσιν. Ἀλλ' εἰ ἀσώματον τὸ φῶς, διατί φησὶ πυρὸς ἢ ὅλως σώματος παρουσία γίνεται; δόξει γὰρ ἂν ἀπόῤῥοιά τις εἶναι σωματικὴ καὶ σῶμα. ὃ δὴ ἀπολυόμενος, λεκτέον φησὶ, οὐ τοῦτον τὸν τρόπον, ἀλλ' ὡς πέφυκεν ἐκεῖνο πάντως δηλῶν, ὡς εἰδικήν τις οὖσαν ἡ τοῦ φωτὸς ἐνέργεια. ἐπεὶ καὶ ἡ θερμότης ἀπὸ εἴδους, διὸ οὐ σῶμα. οὐ γὰρ κατὰ ἀπομερισμὸν, ἢ ἀποῤῥοήν· ἀλλ' ὡς αὐτὸ τοῦτο ἐνέργεια τοῦ λαμπροῦ εἴδους ἦν, τί ποτε δεῖ καλεῖν τὸ τοῦ φωτὸς αἴτιον εἶδος. ἀλλ' εἰ τὸ σκότος ὁρᾶται ἄνευ φωτὸς, οὐκ ἔσται πᾶσι τοῦ ὁρᾶσθαι τὸ φῶς αἴτιον, ἢ οὐχ ὁρατὸν (ὡς καὶ αὐτὸς ἐπάγει) τὸ σκότος. οὐ γὰρ καθ' ὑπέρεισιν αὐτοῦ αἰσθανόμεθα, ἀλλὰ κατὰ στέρησιν, καὶ τὸ μὴ ὁρᾶν. τὸ δὲ πῦρ, καὶ τὸ τοιοῦτον ἐν σκότει ὁρᾶται, ὡς αὐτὸ καὶ τοῦ διαφανοῦς αἴτιον, καὶ διὰ τοῦτο οὐ δεόμενον πρὸς τὸ ὁραθῆναι ἐκείνου, τοῦ μὲν οὖν κατ' ἐνέργειαν διαφανοῦς, τουτέστι τοῦ ἤδη πεφωτισμένου, οὐ δεῖται πρὸς τὸ ὁραθῆναι τὸ πῦρ. ἐπεὶ δὲ δεῖ τι εἶναι μεταξὺ, οὐ γὰρ κατ' ἐπαφὴν ἡ ὅρασις, διαφανὲς εἶναι τοῦτο χρὴ, ἵνα μὴ στερεὸν καὶ ἀντίτυπον ὂν, παραποδίζῃ τῷ σκοτεινῷ ἰδιώματι τὴν τῶν φανερῶν εἰς ἄλληλα ἐνέργειαν, τοῦ τε πυρός φημι, καὶ τοῦ αἰσθητικοῦ ὀργάνου. συμβαίνει δὲ, φησὶ, καὶ τοῦ ὁρᾶσθαι τὰ χρώματα, χρῶμα τὸ αἴτιον εἶναι, καὶ τοῦ ἁπλῶς τὰ ὁρατὰ τὸ ὁρατὸν, ὑπὲρ τὸ φῶς αἴτιον χρῶμα ὂν τοῦ διαφανοῦς καὶ ὁρατοῦ. καὶ οὐκ ἄτοπον φησὶ, ἀλλὰ καὶ ὁμολογούμενον τοῖς ἄλλοις· καὶ γὰρ ἡ γεῦσις διὰ χυμοῦ. ἀλλ'

θους εἰς αὐτὸ πλεονουμένου, ὅμοιον τῷ αἰσθητῷ, ὁ τῶν αἰσθητῶν περιβάλλεται λόγος, ὡς οἰκείῳ τῷ αἰσθητῷ συναρμοζόμενος. εἰ δὲ καὶ πρὸς οἰκεῖον συμμέτρως ἐγειρόμενος, οὕτω καὶ ὁ τῶν αἰσθητῶν ποιοτήτων κριτικὸς λόγος, τὴν τῆς οὐσίας τῶν αἰσθητῶν γνωριστικὴν κινεῖ δύναμιν, οἰκείως κατὰ τὴν τῶν αἰσθητῶν ποιοτήτων πρὸς τὴν οὐσίαν ἀφ' ἧς περιέχονται οἰκειότητα. ἐπειδὴ ὑπὸ μὲν τῶν ἰδίων αἰσθητῶν, ἐναργῶς πλήττεται τὸ αἰσθητήριον· τῶν δὲ κοινῶν, οὐ πρώτως, ἀλλὰ δευτέρως ἡ καθέκαστα ἀντιλαμβάνεται αἴσθησις· πρώτως γὰρ χρώματος ἡ ὄψις, δευτέρως δὲ μεγέθους καὶ κινήσεως· δόξειεν ἂν τὰ κοινὰ μᾶλλον εἶναι ψυχῆς, καὶ οἱονεὶ κατὰ συμβεβηκὸς γινώσκεσθαι ὑπὸ τῆς αἰσθήσεως τὰ κοινά· ἀλλ' ὡς εἴρηται, δευτέρως αὐτὸ δὴ τοῦτο γνωρίζεται ὑπὸ αἰσθήσεως, ἀλλ' οὐχ ὑπὸ μόνης τῆς διανοίας. τοῦ δὲ ἀχλύος καὶ τοῦ σκοτισμένου ἡ ὄψις, καὶ τῆς σιωπῆς ἡ ἀκοὴ συναισθάνεται, οὐ κατ' ἐπέρεισιν, ἀλλ' αὐτῷ τῷ κωλύεσθαι τὴν ἐνέργειαν ἐν τῷ παρεῖναι κρίνει ἡ αἴσθησις, τὸ ἐλλιπὲς αὐτῶν, καὶ διεσπασμένον, τῷ μὴ ἐφαρμόζειν τὸν λόγον γνωρίζουσα· τοῦ δὲ αἰσθητηρίου καὶ παρατρεπομένου πως, διὰ τὸ πάσχειν ὑπὸ τοῦ αἰσθητοῦ. Τοιοῦτος μὲν οὖν ὁ κοινὸς περὶ αἰσθήσεως λόγος. περὶ δὲ τῶν κατὰ μέρος αἰσθήσεων, οἷον ὄψεως, ἀκοῆς, καὶ τῶν λοιπῶν, ἐκεῖνο πως διοριστέον, ὡς οὐ μία οὖσα (καθάπερ τινὲς φασὶν) ἡ αἴσθησις, εἰδοποιεῖται διαφόρως ὑπὸ τῶν μετεχόντων ὀργάνων. οὐ γάρ ἐστι προηγουμένη τῆς τῶν δυνάμεων διαφορᾶς ἡ τῶν ὀργάνων ἑτερότης, οὐδὲ κυρία τοῦ μερίζειν τὰς δυνάμεις, ἀλλ' αὐτὴ ἡ αἴσθησις μία οὖσα καθ' αὐτήν, καὶ εἰς πέντε μεμέρισται, εἰς τὰς τῶν καθέκαστα αἰσθητῶν διαγνώσεις. καὶ τῇ τῶν αἰσθήσεων διαιρέσει, καὶ ἡ τῶν ὀργάνων ἐπηκολούθησε διαφορά τις, οἰκείως πρὸς ἑκάστην συναρμοζομένη. τοῦ γὰρ ὑλικοῦ καὶ ὀργανικοῦ μερισμοῦ, προηγεῖσθαι * ἡ εἰδικὴ, καὶ ἐν τοῖς χρωμένοις ὡς κυριωτέρα ἑτερότης. ἡ εἰδικὴ

Αλλὰ τί τὸ ὁρᾶν, ἢ ἀκούειν, ἢ ὀσφραίνεσθαι; καὶ πότερον διὰ μέσου πάσχει τινός; ὡς ἡ ὄψις διὰ τοῦ διαφανοῦς. ἢ ἔνιαι ἀμέσως ἐφάπτονται τῶν αἰσθητῶν; καὶ τί τὸ διαφανές; οἶμαι τοίνυν, οὔτε κατ' εἰσδοχὴν ἀποτελεῖσθαι τὴν ὄψιν, ὡς μορφουμένην ὑπὸ τῶν αἰσθητῶν, κατά τινα ἀπ' αὐτῶν ἀποῤῥοήν· οὔτε κατὰ ἐκπομπὴν ὡς σώματός τινος, ἐκπεμπομένου καὶ θιγγάνοντος τῶν αἰσθητῶν· οὔτε τὰ μὲν χρώματα τοῦ διαφανοῦ εἶναι κινητικά, ὡς οἷον μορφοῦντα * αὐτῷ. τὸ δὲ διαφανὲς τῆς ὄψεως· ἀλλὰ δραστήριον ἔχοντα τὰ εἴδη δύναμιν, δρᾶν ἕκαστα εἰς τὸ παθεῖν ἐπιτήδειον, οὐκ ἐφαπτόμενα πάντως, ἀλλὰ καὶ εἰς τὰ διεστῶτα, ἕως ἂν σύμμετρος ᾖ τοῖς μὲν εἰς τὸ ποιῆσαι, τοῖς δὲ εἰς τὸ παθεῖν ἡ διάστασις. διὰ γὰρ τὸ σωματικὸν εἶναι, καὶ ἔν τινι κατέχεσθαι, καὶ τόπῳ περιγράφεσθαι, οὐκ εἰς τὸ ὁπουδήποτε ὂν ἐνεργεῖ· ἀλλὰ εἰς τὸ συμμέτρως τῇ τε δραστικῇ τῶν ποιούντων δυνάμει, καὶ τῇ τῶν πασχόντων ἐπιτηδειότητι διεστώς, καὶ ἔτι πρὸς τὸ μέτρον * τῆς ποιήσεως. αὐτό

οἷον δρᾷ τὸ ὁρατὸν, εἰς τὸ τῆς ὄψεως αἰσθητήριον, ἀπό τινος διαστήματος, ὅσον ἂν σύμμετρον ᾖ τῷ τε δρῶντι, καὶ τῷ ὁρωμένῳ· τῷ μὲν εἰς τὸ πάθειν, τῷ δὲ εἰς τὸ ποιῆσαι. ἀλλ' ἐπεὶ οὐχ ἁπλῶς ἡ τοῦ ὁρατικοῦ ὑπὸ τοῦ ὁρατοῦ πεῖσις ποιεῖ τὴν αἴσθησιν (παραποδίζει γὰρ ἡ ὑπερβάλλουσα, διὰ τὸ ἀσύμμετρον πρὸς τὸ μέτρον τῆς πείσεως, καθ' ἣν αἴσθησις) καὶ τῆς διαστάσεως δεῖ. ὅθεν τὰ σφόδρα λαμπρά, ἐγγίον τοῦ μέτρου γινόμενα, ἐμποδίζειν, καὶ τελέως κωλύειν εἰς τὴν ὅρασιν. ἐπεὶ δὲ οὐ μόνον ἐν τῷ πάσχειν τὸ αἰσθητήριον, ἀλλὰ ἐν τῷ ἐνεργεῖν, ὡς ἤδη εἴρηται, ἡ αἴσθησις, ἀποτελεῖται ἐνεργήσει καὶ τὸ ὁρῶν περὶ τὸ ὁρώμενον, οὐκ ἀλλοιοῦν αὐτό, οὐδὲ πάθος τι ἐμποιοῦν, ἀλλὰ κριτικῶς περὶ αὐτὸ ἐνεργοῦν· οὐ γὰρ ὡς σῶμα, ἀλλ' ὡς ζωτικόν, καὶ ὁρατικὸν ἐνεργεῖ. διό τι γεμὲν ἐν σώματι ἡ τοιάδε ζωή, καὶ ἡ γνωστικὴ αὐτῆς δύναμις, καὶ οὐκ ἐν αὐτῷ ἀπαθῶς, ὡς ἡ οὐρανία τὰ αἰσθητὰ περιέχουσα, ἀλλὰ κατὰ τὴν πρὸς αὐτὰ τελεοῦται ἀπόστασιν, δεῖται καὶ αὐτὴ συμμέτρου τῆς συναπτούσης αὐτὰ διαστάσεως. Καὶ ταῦτα μὲν κοινὰ καὶ ἀκοῆς, καὶ εἴ τις ἄλλη μὴ θιγγάνειν ἀναγκάζεται τοῦ οἰκείου αἰσθητοῦ. ἰδίᾳ δὲ τῆς ὄψεως ἐξαίρετος ἡ τοῦ φωτὸς χρεία, ἀμφοτέροις λυσιτελοῦντος, καὶ τὸ ὁρῶν εἰς τὸ ὁρᾶν, καὶ τὸ ὁρατὸν εἰς τὸ ὁραθῆναι. οὐδὲ γὰρ τὸ ὁρατὸν δράσει ἄν τι εἰς τὸ ὁρατικόν, ἄνευ φωτός· οὐδὲ τὸ ὁρῶν ἐνεργήσει ἂν περὶ τὸ ὁρατόν. φωτοειδὲς γὰρ ὄν, καὶ τὸ ὁρατικὸν ἡμῶν, ὡς περιφανῶς τοῦτο

τοῦ λευκοῦ λόγῳ πάντων αἰσθάνεται ἡ ψυχὴ τῶν κατὰ μέρος λευκῶν. δεῖ τοίνυν τὸν τοιοῦτον προβεβλῆσθαι λόγον, εἰ μέλλει γίνεσθαι αἴσθησις. προβάλλεται δέ, ὡς πρὸς οἰκεῖον τὸ (al. ὡς) ζωτικὸν εἶδος διεγειρόμενος, καὶ τούτῳ συναρμοζόμενος * τῷ ὁμοιώματι τοῦ ἐκτὸς εἴδους, καὶ σὺν αὐτῷ ἐνεργῶν. τὸ γὰρ κρῖνον, ὁ λόγος καὶ ἡ σύνθεσις, ἤτοι τὴν αἰσθητικὴν ψυχήν, ἐστὶν ἡ εἰς τὸ ἀμερὲς συναίρεσις ἐν τῇ χωριστῇ σωμάτων ὑποστάσει. Οὐκοῦν ἔχει τὸ τοῦ αἰσθητοῦ εἶδος ἡ ψυχή, διὰ τὸν λόγον αὐτοῦ προβάλλειν. ἀλλ᾽ οὐχ ὡς ἀπ᾽ αὐτοῦ μορφήν τινα ἢ τύπωσιν, ὡς ἀπὸ σφραγῖδος δεχομένη. ἡ γὰρ κρίσις, καὶ ἡ ἐνέργεια ἔνδοθεν καὶ ζωτική. ὁ μὲν οὖν λόγος ἔνδον, καὶ οὐσιώδης τῆς ψυχῆς. ἡ δὲ τοῦ ζῴου συμπληρωτικὴ ζωή, ἀπὸ μὲν τῶν οὐσιωδῶν ἠρτημένη λόγων. κατὰ δὲ τὴν πρὸς τὸ σῶμα τάσιν ὑφισταμένη, αἰσθητικὴ καὶ ἤδη, καὶ ὅρος, καὶ τελειότης τοῦ ζῴου. διὸ ἐν ταύτῃ τὸ τοῦ αἰσθητοῦ ὁμοίωμα τελειοῦται. ἐν δὲ τῷ αἰσθητηρίῳ ἀτελές, καὶ συμμιγὲς πάθει καὶ ἡ ἐνέργεια. καὶ τὸ μὲν πάθος ἔξωθεν, ἡ δὲ ἐνέργεια ἀπὸ τῆς ζωῆς. καὶ τὸ μὲν εἶδος ἐν τῇ τοῦ ζῴου ζωῇ, ἡ δὲ κρίσις καὶ ἡ σύνεσις ἐν τῇ τοῦ λόγου ἐνεργείᾳ. Πῶς οὖν ὁμοιοῦται αἰσθητοῖς ἡ ψυχή, οὐ διὰ δέχεσθαί τι ἀπ᾽ αὐτῶν, ἀλλὰ διὰ κατὰ τὸν λόγον αὐτῶν ἐνεργεῖν, δι᾽ ἐμφάσεως τῶν ἐκτὸς εἰδῶν. πῶς οὖν ἅμα πλείοσι καὶ τοῖς ἐναντίοις ἐνίοτε ὁμοιοῦται. ἐπεὶ δεῖ πάσχειν, οὐχ οἷόν τε ἅμα τὰ ἐναντία. ἐνεργεῖν δὲ δυνατόν. ἡ δὲ αἴσθησις κατ᾽ ἐνέργειαν καὶ κρίσιν, ἀλλ᾽ οὐ κατὰ πάθος. κατὰ γὰρ τὸν λόγον ἡ αἴσθησις, τὸ δὲ πάθος ἐν τῷ αἰσθητηρίῳ. σῶμα δὲ ὂν καὶ μεριστὸν τὸ αἰσθητήριον, καὶ αὐτὸ κατὰ διάφορα μέρη πλείω ἅμα καὶ τἀναντία ἔχειν, οὐκ ἀδύνατον. ὁ λόγος δὲ ἐν ἀμερεῖ ἅμα τἀναντία καὶ τὰ διάφορα, ὅσα ἂν ᾖ, συλλαβὼν ἐνεργεῖ. διὸ καὶ τὴν ἑτερότητα αὐτῶν κρίνει, ὡς ἅμα τῶν πλειόνων ἐν ἀμερεῖ ἐφαπτόμενος. Ὅταν οὖν καὶ ὁ Θεόφραστος τὴν ὁμοίωσιν βούληται γίνεσθαι κατὰ τὰ εἴδη, καὶ τοὺς λόγους, ἄνευ τῆς ὕλης ἀποδεξάμεθα, ἀλλ᾽ οὐκ ἔξωθεν ἁπλῶς ἐγγινόμενα. ἀπὸ δὲ τῶν ἔνδον λόγων ἐν τῇ ζωῇ κατ᾽ ἐνέργειαν ἱστάμενα αἰσθητικήν. διὰ μέντοι πρὸς τὰ ἐκτὸς ἀποτείνεσθαι, καὶ ἐκείνοις ἀφομοιοῦσθαι, εἰκότως ἄρα καὶ δύναμις νομίζεται ἡ αἴσθησις, ὡς ὑποφέρουσα τὰς ἐνεργείας. ἔνθα μὲν οὖν τῆς ψυχῆς κατ᾽ ἐνέργειαν τοῦ λόγου ἡ ὁμοίωσις. ἔνθα δὲ τοῦ αἰσθητηρίου, κατὰ τὴν ἀπὸ τοῦ αἰσθητοῦ πάθην ἅμα καὶ ζωτικὴν ἐνέργειαν.

Πῶς οὖν ἅμα ὑπό τε τοῦ πικροῦ καὶ τοῦ γλυκέος πάσχει. οὐ γὰρ μέρει μέν τινι τῆς γλώττης τόδε φησί, μέρει δὲ θάτερον· ἀλλὰ διὰ αὖ διά. καὶ ἔνθα τῆς ἀκοῆς δὲ ὁμοίως. εἰ ἄρα ἐστὶ δηλεῖν διὰ τὴν ἀκοήν, ἢ εἴτε ἡ γλῶττα τὸ γευστικὸν αἰσθητήριον, εἴτε πνεύματα ἐν τῇ γλώττῃ, μεριστὸν πάντων ὂν σῶμα ἑτέρῳ μὲν μορίῳ, ἄλλο, ἑτέρῳ δὲ ἄλλο τι πάσχειν, οὐκ ἀδύνατον. ὡς ἐναργὲς τοῦτο γίνεται ἐκ τῆς ἁφῆς· θερμαίνεσθαι γὰρ κατὰ ἄλλο μόριον, καὶ ψύχεσθαι, κατὰ ἄλλον διὰ αὖ διὰ χρόνῳ δυνατόν. καὶ τὸ αἰσθητικὸν δὲ τῆς ἀκοῆς πνεῦμα, μεριστὸν δηλαδή. ὁ δὲ λόγος εἴρηται, ὡς ἀμερὴς ὤν, ἐνεργεῖν δὲ ἅμα τἀναντία οὐ κωλύεται. πάσχειν γὰρ οὐχ οἷόν τε κατὰ τὸ αὐτὸ τὰ ἐναντία. ἀλλ᾽ ἡ μὲν θερμότης, ὡς δύναμις φυσικὴ δρᾷ καὶ εἰς τὸ αἰσθητήριον, ἡ δὲ μορφὴ καὶ ὁ τύπος καὶ ἡ κίνησις καὶ ὁ ἀριθμός, πῶς ἐξομοιοῖ. ἢ καὶ ταῦτα ἔχειν τι δραστήριον ἐροῦμεν, δρᾶν δὲ μᾶλλον εἰδητικῶς· ὡς τὴν θερμότητα, καὶ τὰς συστοίχους αὐτῇ δυνάμεις, σωματοειδέστερον, καὶ διὰ τοῦτο πληκτικώτερον καὶ παθητικώτερον. εἰ μὴ ἄρα καὶ τὰ μὲν ἴδια αἰσθητὰ ἑκάστης αἰσθήσεως ἐνεργεστέραν ἔχει τὴν ἐνέργειαν, τὰ δὲ κοινὰ ἀμυδροτέραν. τὰ μὲν προσεχῆ, ὡς οἰκεῖα· τὰ δὲ πορρώτερα. καὶ ἴσως ὡς κρείττω τὰ κοινά, οὐχ ὡσαύτως ἐστὶ τῇ αἰσθήσει σύμμετρα· ἀλλ᾽ ὅμως αἰσθητὰ καὶ κοινά, καὶ οὐ μόνῃ τῇ διανοίᾳ γνωρίζεται. εἰς ἔννοιαν μὲν ἐκ τῶν αἰσθητῶν ἡ διάνοια ἀναγομένη, αὐτὴ καθ᾽ αὑτὴν λογίζεται, οὐκ ἔτι ὄντα τῇ αἰσθήσει καταληπτά· ὡς ὅταν τὴν οὐσίαν γνωρίζῃ τῶν αἰσθητῶν. εἰ δὲ καὶ χρόνου καὶ ἀριθμοῦ, μὴ ἀντιλαμβάνεται ἡ αἴσθησις· καὶ τούτων ἔσται ἡ διάνοια, ἀπὸ τῶν αἰσθητῶν ἐναπεμπομένη, γνωριστική. Ἀλλ᾽ εἰ καθ᾽ ὁμοίωσιν ἡ γνῶσις, πῶς μὴ πάσχουσα ἀπὸ τῶν ἐν τοῖς αἰσθητοῖς, ὁμοιοῦται πρὸς αὐτὰ ἡ διάνοια. εἰ δὲ πάσχει, ὁποῖον αὐτῆς τὸ πάθος. ἢ οὐ κατὰ πάθος, οὐδὲ ἡ αἰσθητική, ὡς ἐλέγομεν, κρίσις, οὕτω λέγω ἡ διανοητικὴ σύνεσις, ἀλλὰ κατ᾽ ἐνέργειαν καὶ λόγων προβολήν. ὡς δὲ ἀπὸ τοῦ ἐν τῷ αἰσθητηρίῳ πα-

θους

ΠΡΙΣΚΙΑΝΟΥ ΦΙΛΟΣΟΦΟΥ ΛΥΔΟΥ ΜΕΤΑΦΡΑΣΙΣ ΤΩΝ ΘΕΟφράστου περὶ αἰσθήσεως.

Περὶ αἰσθήσεως αὖθις ὁ σκοπὸς ἐφεξῆς. ἐπεὶ δὲ ὑπὸ τῶν αἰσθητῶν κινούμενα τὰ αἰσθητήρια ἀφομοιοῦσθαι τοῖς αἰσθητοῖς καὶ πάσχειν βούλεται ὁ Ἀριστοτέλης, ζητεῖ τις ἡ ὁμοίωσις. καὶ γὰρ ἐπὶ τῶν αἰσθητηρίων, καὶ ἔτι μᾶλλον ἐπὶ τῆς ψυχῆς, ἄτοπον φαίνεται, καὶ χρώματι, καὶ χυμοῖς, καὶ ψόφῳ, καὶ μορφῇ ἀφομοιοῦσθαι δυνατόν. λέγοι μὲν οὖν καὶ αὐτὸς ἤδη τὰ εἴδη καὶ τοὺς λόγους ἄνευ τῆς ὕλης γίνεσθαι τὴν ἀφομοίωσιν. ἐπεξεργαστέον δὲ, πότερον ἔξωθεν τὸ εἶδος, καὶ ποῖον, καὶ ποῦ ἀποφαινόμενον. καὶ εἰ πρὸς γνῶσιν ἱκανὸν τὸ περὶ τοῖς σώμασι, μεριζόμενον, καὶ εἰς ἓν οὐ συναιρούμενον, κατὰ τὴν εἰς ἓν συναίρεσιν, καὶ τὴν ἀμέριστον τοῦ γνωστοῦ παντὸς περίληψιν ἁπάσης ἱσταμένης γνώσεως. Ἐνεργεῖν μὲν οὖν κατὰ τὸ εἶδος τοῦ γνωστοῦ ἀνάγκη τὸ γινῶσκον, καὶ τὸν ἐκείνου προβεβλῆσθαι χαρακτῆρα. καὶ τοῦτο ἀφομοίωσις. πάθημα δὲ τοῦ αἰσθητηρίου, προηγεῖσθαι ἀνάγκη τῆς αἰσθήσεως. οὐ γὰρ παντελῶς οὖσα χωριστὴ σωμάτων δύναμις ἡ αἴσθησις, ἀλλ' ἐν τῇ πρὸς τὰ αἰσθητήρια ὑφειμένη νεύσει. καὶ τοῦ ζῴου οὖσα συμπληρωτική, οὐδὲ ἐνεργεῖν ἄνευ αὐτῶν οἷα τε, οὐ μὴν ὅτι προηγουμένως αὕτη ἐγειρομένη συγκινεῖ τὸ ὄργανον, ὡς ἡ φαντασία διὰ τὸ πολὺ κατατεταγμένον, καὶ διὰ τὴν ὅλην περὶ τὰ ἐκτὸς ἀπόστασιν, καὶ παρόντων καὶ αὐτῶν δεῖσθαι τῶν αἰσθητῶν. τὰ μὲν οὖν φανταστὰ οὐκ ἐκτὸς, εἰ καὶ τῶν ἔξω ἐστὶν ἀφομοιώματα, τὰ δὲ αἰσθητὰ ἔξω. τούτων γὰρ ἡ αἴσθησις, ἀλλ' οὐχὶ τῶν ἐν τοῖς αἰσθητηρίοις παθῶν, σὺν δὲ τούτοις τῶν ἐν τοῖς σώμασιν εἰδῶν ἀντιλαμβάνεται. Πάσχει δὲ ὑπὸ τῶν αἰσθητῶν τὰ αἰσθητήρια, οὐχ ὡς τὰ ἄψυχα, ἀλλὰ ζῶντος σώματος τὸ πάθος. διὸ οὐδὲ πάθος τὸ ὅλον, οὐδὲ ἔξωθεν πάντα, ἀλλὰ καὶ κατ' οἰκείαν ἐνέργειαν. καὶ οὐ κινεῖται μὲν πρότερον, ἐνεργεῖ δὲ ὕστερον. ἀλλ' οὐδὲ κινεῖται ὅλως, εἰ μὴ μία καὶ ἐνεργοίη. οὐ μὴν οὐδὲ ἐνεργεῖ (ὅμως) ἄνευ τοῦ κινεῖσθαι. τὸ δὴ τοιοῦτον ἐν τοῖς αἰσθητηρίοις κινημένα ὁμοιοῦται τοῖς αἰσθητῶν ἄδειον, ὡς ἅμα ὑπ' αὐτῶν τε καὶ ἤδη τὴν πρὸς αὐτὰ τῆς ζωτικῆς ἐν τῷ αἰσθητηρίῳ ἐμφάσεως, διέγερσιν ἐγγινόμενον. ἀλλ' οὔπω τοῦτο αἴσθησις, τὸ ἐν τῷ αἰσθητηρίῳ πρὸς τὰ αἰσθητὰ ὁμοίωμα, πάθημα ὂν μᾶλλον ἢ ἐνέργημα καὶ σωματοειδὲς, καὶ μεριστὸν, καὶ χρόνῳ παρατεινόμενον, καὶ συνιδεῖν μὲν εἰς εἶδος, ὅπου δὲ ὂν ἐν τῷ εἴδει, ἀλλ' ἐν κινήσει ἑτέρου. ἡ δὲ αἴσθησις, ἀμερίστως τε τὴν ἀρχὴν, καὶ μέσα καὶ τέλος τοῦ αἰσθητοῦ περιλαμβάνει, καὶ ἐνέργειά ἐστι καὶ κρίσις τελεία καὶ ἐν τῷ νῦν ἅμα ὅλη καὶ κατὰ τὸ εἶδος ἤδη τοῦ αἰσθητοῦ ἑστηκυῖα. διὸ οὐκ ἄνευ μὲν τοῦ ἐν τῷ αἰσθητηρίῳ παθήματος, οὐ μὴν τοῦτο ἡ αἴσθησις· ὅθεν καὶ πασχόντων μὲν καθευδόντων τε καὶ ἐγρηγορούντων, ἐνίοτε οὐκ ἐπαισθανόμεθα. δεῖ τοίνυν μετὰ τὸ πάθημα εἰς εἶδος τελειωθῆναι τὸ τῷ αἰσθητῷ ὅμοιον. κατὰ γὰρ τὸ τέλειον εἶδος ἡ αἴσθησις. ἐπειδὴ κρίνει τὸ δὲ τοῦ αἰσθητοῦ εἶδος. τοῦτο δὴ οὐκ ἐν τῷ αἰσθητηρίῳ. πάθημα γὰρ καὶ κίνημα καὶ ἐν μερισμῷ, ἀλλ' οὐκ εἶδος. οὐ μὴν οὐδὲ ἐν τῇ ἐμφάσει τῆς ζωῆς, τῇ ἐν τῷ αἰσθητηρίῳ ἀπὸ τῆς ψυχῆς ἐνδιδομένῃ. μετὰ γὰρ πάθους καὶ τοιαύτης ἐνέργημα. καὶ κοινόν ἐστιν ἀμφοῖν τὸ κίνημα τοῦ τε ὀργάνου, καὶ τῆς ἐν αὐτῷ ζωῆς. ἀλλ' ἐν ζωῇ μὲν δηλαδὴ τὸ εἶδος, καθὸ ἡ αἴσθησις. τῇ δὲ κατ' ἐνέργειαν ἱσταμένῃ, οὐ τῇ χωριστῇ, ἀλλὰ τῇ συμπληρούσῃ τὸ ζῷον ψυχικῇ ζωῇ, καὶ τῇ ζωτικῇ αὐτῆς προβολῇ τῇ περὶ τὰ σώματα μεριζομένῃ.

Ἀλλ' οὐδὲ τοῦτο ἱκανὸν πρὸς τὴν αἴσθησιν. τὸ γὰρ τελειωθὲν περὶ τὸ αἰσθητήριον κατ' ἐνέργειαν εἶδος, ἅτε περὶ τὸ σῶμα μεριζόμενον, καὶ εἰς ἓν ἀμερὲς οὐκ ἐπιστρεφόμενον, οὐκ ἔστι γνωστικὸν, ἀλλ' ἔστι τις ἐν τῇ ψυχῇ προειλημμένος τῶν αἰσθητῶν λόγος. ὃς ζῇ καὶ καθ' ἑαυτὸν, καὶ οὐ μόνον ἐστὶ τοῦ συνθέτου. διὸ καὶ ἀμερίστως ἐνεργεῖ, καὶ δυνάμεις ὑπάρχει τῶν κατὰ τὸ μέρος, ἀλλ' οὐχ ὡς ἔν τινι μεριστὸν εἶδος ἐγγίνεται. λόγος τε γνωστικὸς τῶν αἰσθητῶν ἐν ψυχῇ ὑφεστὼς, ἀλλ' οὐκ ἐν τῷ σώματι ἱδρυμένος. εἷς μὲν, ἀλλ' οὐχ ὡς τὰ ἄτομα. τὸ δὲ ἓν ἔχον περιληπτικὸν τῶν πολλῶν, καὶ ἑκάστῳ αὐτῶν ἐφαρμόζον. τῷ γὰρ ἑνὶ

μορφαῖς καὶ ἄλλαις δυνάμεσι. τίνος δ' ἕνεκα ταῦτα, ζητήσειεν ἄν τις. αὐτὸ γὰρ τοῦτο ἄπορον, τὸ μὴ ἔχειν λόγον. καὶ ταῦτ' ἐν ἑτέροις μὲν ποιοῦσι πρότερα καὶ τιμιώτερα. ἢ καὶ ἔοικεν ὁ λόγος ἔχειν τινὰ πίστιν, ὡς ἄρα περὶ αὐτόματον ταῦτα, καὶ τῇ τοῦ ὅλου περιφορᾷ λαμβάνει τινὰς ἰδίας, ἢ πρὸς ἄλληλα διαφοράς. εἰ δὲ μὴ τοῦ θ' ἕνεκά του, καὶ εἰς τὸ ἄριστον, ληπτέον τινὰς ὅρους, οὐκ ἐπὶ πάντων ἁπλῶς θετέον· ἐπεὶ καὶ τὰ τοιάδε ἔχει τινὰ δισταγμόν, καὶ ἁπλῶς λεγόμενα καὶ καθ' ἕκαστον. ἁπλῶς μὲν, ὅτι τὴν φύσιν ἐν ἅπασιν ὀρέγεσθαι τοῦ ἀρίστου, καὶ ἐφ' ὧν ἐνδέχεται μεταδιδόναι τοῦ ἀεὶ καὶ τοῦ τεταγμένου· ὡς δ' αὔτως καὶ ἐπὶ τῶν ζώων ὁμοίως. ὅπου γὰρ οἷόν τε τὸ βέλτιον, ἐνταῦθα οὐδαμοῦ παραλείπει· οἷον τὸ ἔμπροσθεν τὴν φάρυγγα τοῦ οἰσοφάγου. τιμιώτερον γὰρ, καὶ ἐν τῇ μέσῃ κοιλίᾳ τῆς καρδίας τὴν κρᾶσιν ἀρίστην, ὅτι τὸ μέσον τιμιώτατον. ὡσαύτως δὲ, καὶ ὅσα κόσμου χάριν. εἰ γὰρ καὶ ἡ ὄρεξις οὕτως, ἀλλ' ἐκεῖνό γε ἐμφαίνει. διότι πολὺ τὸ οὐχ ὑπακοῦον, οὐδὲ δεχόμενον τὸ εὖ. μᾶλλον δὲ, πολλῷ πλεῖον. ὀλίγον γάρ τι τὸ ἔμψυχον, ἄπειρον δὲ τὸ ἄψυχον· καὶ αὐτῶν τῶν ἐμψύχων ἀκαριαῖον. καὶ βέλτιον, τὸ εἶναι· τὸ δ' ὅλον σπάνιόν τι, καὶ ἐν ὀλίγοις, τὸ ἀγαθόν. πολὺ δὲ πλῆθος, ἐστὶ τὸ κακόν. οὐκ ἐν ἀοριστίᾳ δὲ μόνον. καὶ οἷον ὕλης εἴδει, καθάπερ τὰ τῆς φύσεως, ἀμαθέστατον. εἰ δὲ γὰρ οἱ περὶ τῆς ὅλης οὐσίας λέγοντες, ὥσπερ Σπεύσιππος σπάνιόν τι τὸ τίμιον ποιεῖ, τὸ περὶ τὴν τοῦ μέσου χώραν. τὰ δ' ἄκρα, καὶ ἑκατέρωθεν. τὰ μὲν οὖν ὄντα, καλῶς ἔτυχεν ὄντα. Πλάτων δὲ, καὶ οἱ Πυθαγόρειοι, μακρὰν τὴν ἀπόστασιν ἐπιμιμεῖσθαι γ' ἐθέλειν ἅπαντα· καίτοι καθάπερ ἀντίθεσίν τινα ποιοῦσι τῆς ἀορίστου δυάδος, καὶ τοῦ ἑνός. ἐν ᾗ καὶ τὸ ἄπειρον, καὶ τὸ ἄτακτον, καὶ πᾶσα (ὡς εἰπεῖν) ἀμορφία καθ' αὑτήν. ὅλως δ' οὐχ οἷόν τε ἄνευ ταύτης τὴν τοῦ ὅλου φύσιν, ἀλλ' οἷον ἰσομοιρεῖν, ἢ καὶ ὑπερέχειν τῆς ἑτέρας, ἢ καὶ τὰς ἀρχὰς ἐναντίας. διὸ καὶ οὐδὲ τὸν θεὸν ὅσοι τῷ θεῷ τὴν αἰτίαν ἀνάπτουσι, δύνασθαι πάντα εἰς τὸ ἄριστον ἄγειν· ἀλλ' εἴπερ ἐφ' ὅσον ἐνδέχεται. τάχα δ' οὐδ' ἂν προέλοιτ' εἴπερ ἀναιρεῖσθαι συμβαίνει τὴν ὅλην οὐσίαν, ἐξ ἐναντίων γε καὶ ἐν ἐναντίοις οὖσαν. φαίνεται δὲ καὶ ἐν τοῖς πρώτοις ἐπιθεωρούμενα πολλὰ, καὶ ὡς ἔτυχεν· οἷον, τὰ περὶ τῆς γῆς λεχθέντα μεταβολίας. οὔτε γὰρ τὸ βέλτιον, οὔτε τὸ τίνος χάριν, ἀλλ' εἴπερ ἀνάγκῃ τινὶ κατακολουθεῖν. πολλὰ δὲ καὶ ἐν τῷ ἀέρι τοιαῦτα, καὶ ἐν ἄλλοις. μάλιστα δ' ἂν δόξειεν ἔχειν τὴν τάξιν τῶν μὲν αἰσθητῶν, τὰ οὐράνια· τῶν δ' ἄλλων, εἰ μὴ ἄρα καὶ προτέρα τούτων τὰ μαθηματικά. εἰ γὰρ καὶ μὴ πᾶν, ἀλλ' ἐν τούτοις πλέον τὸ τεταγμένον· πλὴν εἴ τις τοιαύτας λαμβάνει τὰς μορφὰς, οἵας Δημόκριτος ὑποτίθεται τῶν ἀτόμων. ἀλλὰ δὴ τούτων μὲν πέρι, σκεπτέον. ὃ δ' ἐξ ἀρχῆς ἐλέχθη, πειρατέον τινὰ λαμβάνειν ὅρον, καὶ ἐν τῇ φύσει, καὶ ἐν τῇ τοῦ σύμπαντος οὐσίᾳ, καὶ τοῦ ἕνεκά του, καὶ τῆς εἰς τὸ βέλτιον ὁρμῆς. αὕτη γὰρ ἀρχὴ τῆς τοῦ σύμπαντος θεωρίας, ἐν τίσι τὰ ὄντα, καὶ πῶς ἔχει πρὸς ἄλληλα.

Τοῦτο τὸ βιβλίον, Ἀνδρόνικος μὲν καὶ Ἕρμιππος ἀγνοοῦσιν· οὐδὲ γὰρ μνείαν αὐτοῦ ὅλως πεποίηνται, ἐν τῇ ἀναγραφῇ τῶν Θεοφράστου βιβλίων. Νικόλαος δὲ, ἐν τῇ θεωρίᾳ τῶν Ἀριστοτέλους μετὰ τὰ φυσικὰ, μνημονεύει αὐτοῦ, λέγων εἶναι Θεοφράστου. εἰσὶ δὲ ἐν αὐτῷ προδιαπορήσεις τινὲς ὀλίγαι τῆς ὅλης πραγματείας.

ΤΈΛΟΣ ΤΩ͂Ν ΘΕΟΦΡΆΣΤΟΥ.

καθάπερ ἐν τοῖς καὶ ποιητοῖς. οὕτως γὰρ αὐτῶν ἡ ἐνέργεια. ταὐτὸ δ' ὑπεσάμεθα καὶ οὐσίᾳ καὶ ἀριθμῷ, καὶ εἴδει, καὶ γένει, καὶ ἀναλογίᾳ· καὶ εἰ ἄρα ἃ τούτων παρὰ διαιρέσεις. διὰ πλεῖστα δὲ τὸ κατ' ἀναλογίαν, ὡς ἂν ἀπέχοντα πλεῖστον· τὰ μὲν δι' ἡμᾶς αὐτούς, τὰ δὲ διὰ τὸ ὑποκείμενον, τὰ δὲ διὰ τ' ἄμφω. πλεοναχῶς δ' ὄντος τοῦ ἐπίστασθαι, πῶς ἕκαστον μεταδιωκτέον, ἀρχή, καὶ μέγιστον ὁ οἰκεῖος τρόπος· οἷον τὰ πρῶτα καὶ νοητά, καὶ τὰ κινητά, καὶ τὴν ὑπὸ φύσιν. αὐτῶν τε τούτων τὰ ἐν ἀρχῇ, καὶ ἑπόμενα μέχρι ζώων καὶ φυτῶν, καὶ ἐσχάτων τῶν ἀψύχων. ἔστι γάρ τι καθ' ἕκαστον γένος ἴδιον, ὥσπερ καὶ ἐν τοῖς μαθηματικοῖς. ἔχει δὲ καὶ αὐτὰ τὰ μαθήματα διαφοράν, καίπερ ὁμογενῆ πως ὄντα. διῄρηται δ' ἱκανῶς. εἰ δὲ καὶ ἔνια γνωστὰ τῷ ἀγνῶσαι εἶεν, καθάπερ τινές φασιν, ἴδιος ἂν ὁ τρόπος εἴη· διαιρέσεως δὲ τινος δεῖται. τάχα δ' ἐφ' ὧν ἐνδέχεται κατ' ἀναλογίαν οἰκειότερον λέγειν, ἢ αὐτῷ τῷ ἀγνώστῳ, καθάπερ εἴ τις τῷ ἀοράτῳ τὸ ἀόρατον. πόσοι δ' οὖν τρόποι, καὶ ποσαχῶς τὸ εἰδέναι, πειρατέον διελεῖν. ἡ δ' ἀρχὴ πρὸς αὐτὰ ταῦτα. καὶ πρῶτον τὸ ἀφορίσαι, τί τὸ ἐπίστασθαι· χαλεπώτερον δ' ἂν δόξειεν. οὐ γὰρ οἷόν τε καθόλου καὶ κοινόν τι λαβεῖν ἐν τοῖς πλεοναχῶς λεγομένοις. ἢ καὶ τοῦτο ἄπορον. ἢ οὐ ῥᾴδιόν τε εἰπεῖν μέχρι πόσου, καὶ τίνων ζητητέον αἰτίας, ὁμοίως ἔν τε τοῖς αἰσθητοῖς καὶ νοητοῖς. ἡ γὰρ εἰς τὸ ἄπειρον ὁδὸς ἐν ἀμφοῖν ἀλλοτρία, καὶ ἀναιροῦσα τὸ φρονεῖν. ἀρχαὶ δὲ τρόπον τινὰ ἄμφω. τάχα δ' ἡ μὲν ἡμῖν, ἡ δ' ἁπλῶς, ἢ τὸ μὲν τέλος, ἡ δ' ἡμετέρα τις ἀρχή. μέχρι μὲν οὖν τινος δυνάμεθα δι' αἰτίου θεωρεῖν, ἀρχὰς ἀπὸ τῶν αἰσθήσεων λαμβάνοντες. ὅταν δὲ ἐπ' αὐτὰ τὰ ἄκρα καὶ πρῶτα μεταβαίνωμεν, οὐκ ἔτι δυνάμεθα, εἴτε διὰ τὸ μὴ ἔχειν αἰτίαν, εἴτε διὰ τὴν ἡμετέραν ἀσθένειαν, ὥσπερ πρὸς τὰ φωτεινότατα βλέπειν. τάχα δ' ἐκεῖνο ἀληθέστερον, ὡς αὐτῷ τῷ νῷ ἡ θεωρία θιγόντι, καὶ οἷον ἀψαμένῳ· διὸ καὶ οὐκ ἔστιν ἀπάτη περὶ αὐτά. χαλεπὴ δὲ καὶ εἰς αὐτὸ τοῦθ' ἡ σύνεσις, καὶ ἡ πίστις. ἐπεὶ καὶ ἄλλως μέγα, καὶ πρὸς τὰς καθ' ἕκαστα πραγματείας ἀναγκαῖον. καὶ μάλιστα τὰς μεγίστας ἐν αἷς ποιητέον τὸν ὅρον, περί τε τῆς φύσεως, καὶ περὶ τὰς ἔτι προτέρας. εἰ γὰρ ἁπάντων ζητοῦντες λόγον, ἀναιροῦσι λόγον. ἅμα δὲ τὸ εἰδέναι, μᾶλλον δ' ἀληθέστερον εἰπεῖν, ὅτι ζητοῦσιν ὧν οὐκ ἔστιν οὐδὲ πέφυκεν, ὅσοι τὸν οὐρανὸν ἀΐδιον ὑπολαμβάνουσιν. ἔστι δὲ τὰ περὶ τὰς φοράς, καὶ τὰ μεγέθη καὶ τὰ σχήματα, καὶ τὰς ἀποστάσεις, καὶ ὅσα ἄλλα ἀστρολογία δείκνυσι τούτοις κατάλοιπα, αὐτὰ δὲ τὰ πρῶτα κινοῦντα, καὶ τὸ τίνος ἕνεκα λέγειν, καὶ τίς ἡ φύσις ἑκάστου, καὶ ἡ πρὸς ἄλληλα θέσις, καὶ ἡ τοῦ σύμπαντος οὐσία. καὶ ὑποβαίνοντι δὲ πρὸς τὰ ἄλλα καθ' ἕκαστον τῶν εἰδῶν, ἢ μερῶν ἄχρι ζώων καὶ φυτῶν. εἰ οὖν ἀστρολόγος συνεργεῖ μέν, οὐκ ἐν τοῖς πρώτοις δὲ τῆς φύσεως. ἕτερα δὲ κυριώτατα ἂν εἴη, καὶ πρότερα. καὶ γὰρ δὴ καὶ ὁ τρόπος, ὡς οἴονταί τινες, οὐ φυσικός, ἢ οὐ πᾶς. καί τοι τό γε κινεῖσθαι, καὶ ἁπλῶς τῆς φύσεως οἰκεῖον, καὶ μάλιστα τοῦ οὐρανοῦ. διὸ καὶ ἡ ἐνέργεια τῆς οὐσίας ἑκάστου, καὶ τὸ καθ' ἕκαστον, ὅταν ἐνεργῇ καὶ κινῆται, καθάπερ ἐν τοῖς ζώοις καὶ φυτοῖς. εἰ δὲ μὴ ὁμώνυμα· δηλονότι κἂν ὁ οὐρανὸς ἐν τῇ περιφορᾷ κατὰ τὴν οὐσίαν εἴη, χωριζόμενος καὶ ἠρεμῶν, ὁμώνυμος. οἷον γάρ ζωή τις, ἡ περιφορὰ τοῦ παντός. ἆρ' οὖν εἴ τε μὴ ἐν τοῖς ζώοις τὴν ζωήν, ἢ οὐ δεῖ ζητητέον· οὐδ' ἐν τῷ οὐρανῷ, καὶ τοῖς οὐρανίοις τὴν φοράν, ἢ τρόπον τινὰ ἀφωρισμένον. συνάπτει δέ πως ἡ νῦν ἀπορία, καὶ πρὸς τὴν ὑπὸ τοῦ ἀκινήτου κίνησιν. ὑπὲρ δὲ τοῦ πάνθ' ἕνεκά του καὶ μηδὲν μάτην, ἀλλ' ὡς ὁ ἀφορισμός, οὐ ῥᾴδιος, καθάπερ πλεονάκις λέγεται. πόθεν δὲ ἄρξασθαι χρεών, καὶ εἰς ποῖα τελευτᾶν. καὶ δὴ ἔνια τῷ μὴ δοκεῖν ἔχειν οὕτως, ἀλλὰ τὰ μὲν συμπτωματικῶς, τὰ δ' ἀνάγκῃ τινί, καθάπερ ἔν τε τοῖς οὐρανίοις, καὶ ἐν τοῖς περὶ τὴν γῆν πλείοσι. τίνος γὰρ αἱ ἔφοδοι ἕνεκα, καὶ ἀνάρροιαι θαλάττης, ἢ τίνος αἱ παραχωρήσεις, ἀναξηράνσεις καὶ ὑγρότητες, καὶ ὅλως πρὸς ἄλλο τ' ἄλλο μεταβολαὶ καὶ φθοραὶ καὶ γενέσεις. ἢ αἱ μὲν ἐν αὐτῇ τῇ γῇ ἀλλοιώσεις καὶ μεταβολαὶ γίνονται πρὸς ἄλλο τ' ἄλλο μεθισταμένων· καὶ ἕτερα οὐκ ὀλίγα παρόμοια τούτοις. ἔτι δ' ἐν αὐτοῖς τοῖς ζώοις τὰ μὲν ὥσπερ μάταια, καθάπερ τοῖς ἄῤῥεσιν οἱ μαστοί, καὶ τοῖς θήλεσιν ἡ πρόεσις, εἴπερ μὴ συμβάλλεται· καὶ πώγωνος δ' ἐνίοις, ἢ ὅλως τριχῶν ἔκφυσις, ἐν τισὶ τόποις. ἔστι δὲ καὶ κεράτων μεγέθη, καθάπερ τῶν ἐλάφων. τοῖς δὲ καὶ λελωβημένοις κινήσεις τε καὶ παραιρήσει, καὶ ἐπιπροσθήσεις τῶν ὀμμάτων. καὶ ὡς ἔνια διὰ βίαν, ἢ παρὰ φύσιν, ὥσπερ ὁ ἐρωδιὸς ὀχεύει, καὶ τὸ ἡμερόβιον ζῇ, καὶ ἕτερα οὐκ ὀλίγα λάβοι τις ἂν τοιαῦτα· καὶ τὸ μέγιστον δὴ καὶ μάλιστα δοκοῦν περὶ τὰς τροφὰς καὶ γενέσεις τῶν ζώων. οὐδενὸς γὰρ τοῦθ' ἕνεκα, ἀλλὰ συμπτώματα, καὶ δι' ἑτέρας ἀνάγκας. ἔδει γάρ, εἴπερ τούτων χάριν, ἀεὶ κατὰ ταῦτα καὶ ὡσαύτως. ἔτι δὲ ἐν τοῖς φυτοῖς, καὶ μᾶλλον τοῖς ἀψύχοις, ὡρισμένην τιν' ἔχουσι φύσιν, ὥσπερ δοκοῦσι καὶ

μορφαῖς

καὶ μουσικῇ, καὶ ταῖς μαθηματικαῖς. συνακολουθεῖ δὲ καὶ τὰ μετὰ τὰς ἀρχάς. ἔτι δὲ καὶ κατὰ τέχνας ὁμοίως, αἵπερ τὴν φύσιν μιμοῦνται· καὶ τὰ ὄργανα, καὶ τὰ ἄλλα, κατὰ τὰς ἀρχάς. οἱ μὲν οὖν εὐμόρφους πάσας, οἱ δὲ μόνον τὰς ὑλικάς· οἱ δ᾽ ἄμφω, τάς τε ἀμόρφους, καὶ τὰς τῆς ὕλης· ὡς ἐν ἀμφοῖν τὸ τέλειον. οἷον καὶ ἐξ ἀντικειμένων τὴν ἅπασαν οὐσίαν. ἄλογον δὲ κἂν ἐνίοις δόξειεν, εἰ ὁ μὲν ὅλος οὐρανὸς καὶ ἕκαστα τῶν μερῶν, ἅπαντά τ᾽ ἐν τάξει καὶ λόγῳ καὶ μορφαῖς καὶ δυνάμεσι καὶ περιόδοις. ἐν δὲ ταῖς ἀρχαῖς μηθὲν τοιοῦτον. ἀλλ᾽ ὥσπερ σὰρξ εἰκῆ κεχυμένων ὁ κάλλιστος φησὶν Ἡράκλειτος, ὁ κόσμος, καὶ κατὰ τὸ ἐλάχιστον δ᾽ ὡς εἰπεῖν λαμβάνουσιν, ὁμοίως ἐν ἀψύχοις. ὡρισμέναι γὰρ ἑκάστων αἱ φύσεις, ὡς εἰπεῖν, καὶ τῶν αὐτομάτως γινομένων. τὰς δ᾽ ἀρχὰς ἀορίστους εἶναι. χαλεπὸν δὲ πάλιν αὖ τοὺς λόγους ἑκάστων περιθεῖναι, πρὸς τὸ ἕνεκά του συνάγοντας ἐν ἅπασι, καὶ ἐν ζώοις καὶ φυτοῖς, καὶ ἐν αὐτῇ πομφόλυγι· πλὴν εἰ συμβαίνει τῇ ἑτέρων τάξει καὶ μεταβολῇ μορφὰς παντοίας καὶ ποικιλίας γίνεσθαι, τῶν περὶ τὸν ἀέρα καὶ τὴν γῆν· ὧν ἐστι μέγιστόν τινες παράδειγμα ποιοῦνται, τὰ περὶ τὰς ὥρας τὰς ἐτείους· ἐν αἷς καὶ ζώων καὶ φυτῶν καὶ καρπῶν γενέσεις, οἷον γεννῶντος τοῦ ἡλίου. καὶ ταῦτα μὲν ἐνταῦθα ζητεῖ πως τὴν σκέψιν, ἀφορισμὸν ἀπαιτοῦντα μέχρι πόσου τὸ τεταγμένον· καὶ διὰ τί πλέον ἀδύνατον, ἢ εἰς τὸ χεῖρον μετάβασις. ἐν δὲ ταῖς ἀρχαῖς ὅθεν δὴ καὶ ὁ πρῶτος λόγος, εἰκότως ἄν τις καὶ τὸ περὶ τῆς ἠρεμίας ἀπορήσειεν. εἰ μὲν γὰρ ὡς βέλτιον ἀνάψει ἐν ταῖς ἀρχαῖς, εἰ δ᾽ ὡς ἀργία καὶ στέρησις τῆς κινήσεως οὐκ ἀνάψει. ἀλλ᾽ ἀντὶ τῆς τὴν ἐνέργειαν ἀντιμεταλλακτέον, ὡς προτέραν καὶ τιμιωτέραν· τὴν δὲ κίνησιν ἐν τοῖς αἰσθητοῖς. ἐπεί τοι γε διὰ τοῦτ᾽ ἠρεμεῖν, ὡς ἀδύνατον ἀεὶ κινεῖν εἶναι τὸ κινοῦν. οὐ γὰρ ἂν εἴη κίνδυνος πρῶτον, μὴ λογοδοσία· καὶ ἄλλως οὐκ ἀξιόπιστον. ἀλλὰ μείζω τινὰ αἰτίαν ζητεῖ. δοκεῖ δὲ καὶ ἡ αἴσθησις τρόπον τινὰ συνᾳδὸν ἂν, ὡς ἐνδεχόμενον, μὴ διὰ τὸ κινοῦν ἕτερον εἶναι, καὶ ὃ κινεῖ διὰ τὸ ποιεῖν καὶ πάσχειν. ἔστι δὲ, ἄν τις ἐπ᾽ αὐτὸν ἄγῃ τὸν νοῦν καὶ τὸν θεόν. ἄτοπον δὲ καὶ τὸ ἕτερον λεχθὲν, ὡς οὐ μιμοῦνται τὰ ὀρεγόμενα τοῦ ἠρεμοῦντος. οὐ γὰρ αὖ τοῖς ὅσον ἀκολουθεῖν τῶν ἄλλων. πλὴν ἴσως οὐχ ὁμοίως ληπτέον, ὡς εἰς τὸ ἀμιγὲς ἄγοντας. ἀλλ᾽ ὅπως ὅτι μάλιστα σύμφωνον ἑαυτῷ, καὶ ἀπηρτισμένον ὡς ἂν πόλις ἢ ζῷον, ἢ καὶ ἄλλο τι τῶν μερικῶν, ἢ καὶ ὅλως οὐρανὸς, ὃν δή φασιν εἶναι τελειότατον. ὑποθεῖ δέ τινα καὶ τὰ τοιάδε λόγον, πῶς ποτε τῶν ὄντων ὁ μερισμὸς εἰς ὕλην καὶ μορφήν. πότερον ὡς τὸ μὲν ὄν, τὸ δὲ μὴ ὄν· δυνάμει δ᾽ ὂν καὶ ἀγόμενον εἰς ἐνέργειαν· ἢ ὂν μὲν, ἀόριστον δὲ ὄν, καθάπερ ἐν ταῖς τέχναις. ἡ δὲ γένεσις ἡ οὐσία γε αὐτῶν, τὸ μορφοῦσθαι κατὰ τοὺς λόγους. ἀλλ᾽ οὕτω γ᾽ εἰς μὲν τὸ βέλτιον τάχα ἂν ἡ μετάβασις εἴη. τὸ δ᾽ εἶναι οὐθὲν ἂν ἧττον ἀληθὲς ὑπάρχειν καθ᾽ αὑτήν. οὐ γὰρ ἂν οὐδὲ γίνοιτο μὴ ὑπαρχούσης. ἀλλὰ τὸ μήτε τόδε, μήτε ποιὸν, μήτε ποσὸν, ὡς ἀόριστον τοῖς εἴδεσι, δύναμιν δέ τιν᾽ ἔχον. ὅλως δὲ κατ᾽ ἀναλογίαν ληπτέον ἐπὶ τὰς τέχνας, καὶ εἴ τις ὁμοιότης ἄλλη. δόξειε δ᾽ ἂν καὶ τοῦτ᾽ ἔχειν ἀπορίαν, εἰ μὴ ἄρα περιεργίαν τὸ ζητεῖν, τί δή ποτε ἡ φύσις, καὶ ἡ ὅλη δ᾽ οὐσία τοῦ παντὸς ἐν ἐναντίοις ἐστί. καὶ σχεδὸν ἰσομοιρεῖ τὸ χεῖρον τῷ βελτίονι. μᾶλλον δὲ καὶ πολὺ πλέον ἐστίν· ὥστε δοκεῖν καὶ Εὐριπίδην καθόλου λέγειν, ὡς οὐκ ἂν γένοιτο χωρὶς ἐσθλά. ὁ δὲ τοιοῦτος λόγος, ἐγγὺς τοῦ ζητεῖν, ὅτι οὐ πάντ᾽ ἀγαθὰ, οὐδὲ πάντα ὅμοια· καὶ οἷον κατὰ πάντων μετὰ τὸ εἶναι λεγόμενον· οὐθὲν δὲ ὅμοιον ἀλλήλοις, καθάπερ τὰ λευκὰ καὶ τὰ μέλανα ἐν αὐτοῖς. ἔστι δὲ καὶ τὸ δοκοῦν παραδοξότερον, ὡς οὐχ οἷόν τε τὸ ὂν ἄνευ τῶν ἐναντίων. οἱ δ᾽ ἔτι πλέον τῷ παραδόξῳ χρώμενοι, καὶ τὸ μὴ ὂν μὴ δὲ γεγονὸς μὴ δὲ μέλλον προσκαταριθμοῦσιν εἰς τὴν τοῦ παντὸς φύσιν· ἀλλ᾽ ἤδη μετ᾽ οἷον ὑπερβατική τις σοφία. τὸ δὲ ὂν, ὅτι πολλαχῶς, φανερόν. ἡ γοῦν αἴσθησις καὶ τὰς διαφορὰς θεωρεῖ, καὶ τὰς αἰτίας ζητεῖ. τάχα δ᾽ ἀληθέστερον εἰπεῖν, ὡς ὑποβάλλουσα τῇ διανοίᾳ, τὰ μὲν ἁπλῶς ζητοῦσα, τὰ δ᾽ ἀπορίαν ἐργαζομένη, δι᾽ ἧς κἂν μὴ δύνηται παραβαίνειν, ὅμως ἐμφαίνεταί τι φῶς ἐν τῷ μὴ φωτὶ ζητούντων ἐπὶ πλέον, τὸ ἐπίστασθαι ἄρα οὐκ ἄνευ διαφορᾶς τινος. ἔτι γὰρ ἕτερα ἀλλήλων, διαφορά τις. ἔν τε τοῖς καθόλου πλειόνων ὄντων, τῶν ὑπὸ τὰ καθόλου διαφέρειν ἀνάγκη· καὶ ταῦτα, ἐάν τε γένη τὰ καθόλου, ἐάν τε εἴδη. σχεδὸν δὲ καὶ ἐπιστήμη πᾶσα τῶν ἰδίων. εἴτε γὰρ οὐσία, καὶ τὸ τί ἦν εἶναι καθέκαστον ἴδιον, τά τε θεωρούμενα καθ᾽ ἑαυτὰ, καὶ οὐ κατὰ συμβεβηκὸς ἦν ἄν τι κατά τινος. ὅλως δὲ τὸ ἐν πλείοσι τὸ αὐτὸ συνιδεῖν, ἐπιστήμης ἤτοι κοινῇ καὶ καθόλου λεγομένων, ἢ ἰδίᾳ πως καθ᾽ ἕκαστον· οἷον ἀριθμοῖς, γραμμαῖς, ζώοις, φυτοῖς. τέλος δὲ τὸ ἐξ ἀμφοῖν. ἔστι δ᾽ ἔνια τῶν μὲν καθόλου τέλος, ἐν τούτοις γὰρ τὸ αἴτιον· τῶν δὲ τὸ ἐν μέρει, καθ᾽ ὃ διαίρεσις εἰς τὰ ἄτομα,

καθάπερ

ἐν ὑψηλοτέρῳ καὶ ἀληθινωτέρῳ λόγῳ τοῖς λέγουσιν ἡ ἀπόφασις. τὸ δὲ μετὰ τοῦτ' ἤδη λόγου δεῖται πλείονος περὶ τῆς ἐφέσεως, ποία καὶ τίνων. ἐπειδὴ πλείω τὰ κυκλικά, καὶ αἱ φοραὶ τρόπον τινὰ ὑπεναντίαι, καὶ τὸ ἀνήνυτον, καὶ οὗ χάριν ἀφανές. εἴτε γὰρ ἓν τὸ κινοῦν, ἄτοπον τὸ μὴ πάντα τὴν αὐτήν· εἴτε καθ' ἕκαστον ἕτερον, αἵ τ' ἀρχαὶ πλείους. ὥστε σύμφωνον αὐτῶν εἰς ὄρεξιν ἰόντων τὴν ἀρίστην, οὐδαμῶς φανερόν. τὸ δὲ κατὰ τὸ πλῆθος τῶν σφαιρῶν τῆς αἰτίας μείζονα ζητεῖ λόγον· οὐ γὰρ ὅ γε τῶν ἀστρολόγων. ἄπορον δὲ, καὶ πῶς ποτε φυσικὴν ἔφεσιν ἐχόντων, οὐ τὴν ἠρεμίαν διώκουσιν, ἀλλὰ τὴν κίνησιν. τί οὖν ἅμα τῇ μιμήσει φασὶν ἐκεῖνο ὁμοίως, ὅσοι τε τὸ ἕν, καὶ ὅσοι τοὺς ἀριθμοὺς λέγουσιν. καὶ γὰρ αὐτοὶ τοὺς ἀριθμούς φασι τὸ ἕν, ἡ δὲ ἔφεσις, ἄλλως τε καὶ τοῦ ἀρίστου μετὰ ψυχῆς. εἰ μή τις λέγοι, καθ' ὁμοιότητα καὶ διαφορὰν ἔμψυχ' ἂν εἴη τὰ κινούμενα. ψυχὴ δ' ἅμα δοκεῖ καὶ κίνησις ὑπάρχειν, ζωὴ μὲν τοῖς ἔχουσιν, ἀφ' ἧς καὶ ὀρέξεις πρὸς ἕκαστον, ὥσπερ ἐν τῷ πάσχειν οὖσαι δι' ἑτέρων, ὅμως ἔμψυχοι γίγνονται. εἰ δ' οὖν τῆς κυκλικῆς αἴτιον τὸ πρῶτον, οὐ τῆς ἀρίστης ἂν εἴη. κρεῖττον γὰρ ἡ τῆς ψυχῆς· καὶ πρώτη δὲ καὶ μάλιστα, ἡ τῆς διανοίας, ἀφ' ἧς καὶ ἡ ὄρεξις. τάχα δὲ καὶ τοῦτ' ἄν τις ἐπιζητήσειε, διὰ τί τὰ κυκλικὰ μόνον ἐφετικά· τῶν δὲ περὶ τὸ μέσον οὐθέν, καίπερ κινητῶν ὄντων, πότερον ὡς ἀδύνατα, ἢ ὡς οὐ διϊκνουμένου τοῦ πρώτου. ἀλλὰ τοῦτό γ' ἄτοπον, εἰ δι' ἀσθένειαν. ἰσχυρότερον γὰρ ἄν τις ἀξιώσειε τοῦ Ὁμήρου Διός, ὅς φησιν, » αὐτῇ κεν γαίῃ ἐρύσαιμ' αὐ» τῇ τε θαλάσσῃ. ἀλλὰ λοιπόν, ὥσπερ ἄδεκτόν τι καὶ ἀσυμβολον εἶναι. τάχα δὲ πρότερον ζητήσειεν ἄν τις, πῶς ἔχει πότερα μέρη ταῦτα, ἢ οὐ μέρη τοῦ οὐρανοῦ. καὶ εἰ μέρη, νῦν γὰρ οἷον ἀπωσμένα τὰ ἐντιμοτάτων, οὐ μόνον κατὰ τὰς χώρας, ἀλλὰ καὶ κατὰ τὴν ἐνέργειαν· εἴπερ ἡ κυκλικὴ τοιαύτη. συμβαίνει γὰρ, οἷον κατὰ συμβεβηκὸς ὑπὸ τῆς κυκλικῆς περιφορᾶς, καὶ εἰς τοὺς τόπους, καὶ εἰς ἄλληλα τὰς μεταβολάς. εἰ δὲ καὶ * ἀρίστου κάλλιον ἄν τις ἀξιοῖ τὴν πρώτου δίαιταν τῆς κυκλοφορίας, εἰ μὴ ἄρ' ἐκωλύετο μὴ δύνασθαι δέχεσθαι. τὸ γὰρ δὴ πρῶτον καὶ θειότατον, πάντα τὰ ἄριστα βουλόμενος. τάχα δὲ τοῦτο μὲν, οἷον ὑπερβατόν τι καὶ ἀζήτητον. ἀξιοῖ γὰρ ὁ τοῦτο λέγων ἅπανθ' ὅμοια, καὶ ἐν τοῖς ἀρίστοις μικρὰν εἶναί τινα, ἢ μηδεμίαν ἔχοντα διαφοράν. τόδε δ' ἄν τις ἴσως ἀπορήσειε, πρὸς αὐτὸν τὸν πρῶτον οὐρανὸν ἀναφέρων, πότερον ἡ περιφορὰ τῆς οὐσίας ἐστὶν αὐτοῦ, καὶ ἅμα τῷ παύσασθαι φθείροιτ' ἄν, ἢ ἄπερ ἐφέσει τινὶ καὶ ὀρέξει κατὰ συμβεβηκός· εἰ μὴ ἄρα σύμφυτον αὐτῷ τὸ ὀρέγεσθαι. καὶ οὐδὲν κωλύει τοιαῦτ' ἄττα τῶν ὄντων ὑπάρχειν. ἴσως δ' ἂν εἴη καὶ ἀφελόντα τὴν ὄρεξιν ὑπὲρ αὐτοῦ τοῦ κινήσεως ἀπορεῖν, εἰ ἀφαιρεθεῖσα φθείροι ἂν τὸν οὐρανόν. καὶ τοῦτο μὲν ὥσπερ ἑτέρων λόγων. αὐτὸ δ' ἐν ταύταις, ἢ τούτων τῶν ἀρχῶν, ἀξιώσειεν ἄν τις. τάχα δὲ καὶ ἀπὸ τῶν ἄλλων ἄρ' ἄν τις ἐπιζητοίη τὰς ἐφεξῆς εὐθὺς ἀποδεδόναι, καὶ μὴ μέχρι τῶν περιελθόντων παύεσθαι. τοῦτο γὰρ τελέου καὶ φρονοῦντος, ὅπερ Ἀρχύτας ποτ' ἔφη ποιεῖν Εὔρυτον, διατιθέντα τινὰς ψήφους. λέγειν γὰρ, ὡς ὅδε μὲν ἀνθρώπου ὁ ἀριθμός, ὅδε δ' ἄλλου τινὸς τυγχάνει. νῦν δ' οἵ γε πολλοὶ μέχρι τινὸς ἐλθόντες καταπαύονται, καθάπερ καὶ οἱ τὸ ἕν, καὶ τὴν ἀόριστον δυάδα ποιοῦντες. τοὺς γὰρ ἀριθμοὺς γεννήσαντες, καὶ τὰ ἐπίπεδα, καὶ τὰ σώματα, σχεδὸν τ' ἄλλα παραλείπουσι, πλὴν ὅσον ἐφαπτόμενοι. καὶ τοσοῦτο μόνον δηλοῦντες, ὅτι τὰ μὲν ἀπὸ τῆς ἀορίστου δυάδος, οἷον τόπος, καὶ κενόν, καὶ ἄπειρον· τὰ δὲ, ἀπὸ τῶν ἀριθμῶν, καὶ τοῦ ἑνός· οἷον ψυχή, καὶ ἄλλα ἄττα. χρόνον δ' ἅμα καὶ οὐρανόν, καὶ ἕτερα δὴ πλείω. τοῦ δ' οὐρανοῦ πέρι, καὶ τῶν λοιπῶν, οὐδεμίαν ἔτι ποιοῦνται μνείαν. ὡσαύτως δ' οἱ περὶ Σπεύσιππον· οὐδὲ τῶν ἄλλων οὐδείς, πλὴν Ξενοκράτης. οὗτος γὰρ ἅπαντά πως περιτίθησι περὶ τὸν κόσμον, ὁμοίως αἰσθητὰ καὶ νοητὰ καὶ μαθηματικά, καὶ ἔτι δὲ τὰ θεῖα. πειρᾶται δὲ καὶ Ἑστιαῖος μέχρι τινός, οὐχ ὥσπερ εἴρηται περὶ τῶν πρώτων μόνον. Πλάτων μὲν οὖν ἐν τῷ ἀνάγειν εἰς τὰς ἀρχάς, δόξειεν ἂν ἅπτεσθαι τῶν ἄλλων εἰς τὰς ἰδέας ἀνάπτων, ταύτας δ' εἰς τοὺς ἀριθμούς· ἐκ δὲ τούτων, εἰς τὰς ἀρχάς. εἶτα κατὰ τὴν γένεσιν, μέχρι τῶν εἰρημένων. οἱ δὲ τῶν ἀρχῶν μόνον· ἔνιοι δὲ καὶ τὴν ἀλήθειαν ἐν τούτοις. τὰ γὰρ ὄντα μόνον περὶ τὰς ἀρχάς. συμβαίνει δὲ τοὐναντίον, ἢ ἐν ταῖς ἄλλαις μεθόδοις. ἐν ἐκείνοις γὰρ τὰ μετὰ τὰς ἀρχὰς ἰσχυρότερα, καὶ οἷον τελειότερα τῶν ἐπιστημῶν. τάχα δὲ καὶ εὐλόγως. ἔνθα μὲν γὰρ τῶν ἀρχῶν, ἐν δὲ ταῖς λοιπαῖς ἀπὸ τῶν ἀρχῶν ἡ ζήτησις. πῶς δὲ ποτε χρὴ ὁποίας ἀρχὰς ὑποθέσθαι, τάχ' ἂν ἀπορήσειέ τις· πότερον ἀμόρφους, καὶ οἷον δυναμικάς, ὥσπερ ὅσοι πῦρ καὶ γῆν· ἢ μεμορφωμένας, ὡς μάλιστα δεῖον ταῦτα ὡρίσθαι, καθάπερ ἐν τῷ Τιμαίῳ φησίν. ἥκιστα γὰρ τιμιωτάτοις οἰκειότατον ἡ τάξις, καὶ τὸ ὡρίσθαι. φαίνεται δὲ καὶ ἐν ταῖς λοιπαῖς σχεδὸν ἔχειν οὕτω, καθάπερ ἡ γραμματικὴ

καὶ

τοῦ Διὸς εἰπεῖν, οὐδὲν γε τῶν ἄστρων νομίζει, ὅτι δὴ καὶ οἱ ἄλλοι λέγουσι πίστις. καὶ λέγειν πρὸς ξένους πόσους οἷα κατὰ τὰς ἱερὰς πύλας ἐξενηνέχθαι νεκρούς, πρὸς τούτους εἰπεῖν, ὅσοι ἐμοὶ καὶ σοὶ γενοίατο.

ΠΕΡΙ ΑΥΘΑΔΕΙΑΣ.

Ἡ δὲ αὐθάδειά ἐστιν ἀπήνεια ὁμιλίας ἐν λόγοις. ὁ δὲ αὐθάδης τοιοῦτός τις, οἷος ἐρωτηθεὶς ὁ δεῖνα ποῦ ἐστιν, εἰπεῖν, πράγματά μοι μὴ πάρεχε. καὶ προσαγορευθεὶς, μὴ προσαντειπεῖν. καὶ πωλῶν τι, μὴ λέγειν τοῖς ὠνουμένοις, πόσου ἂν ἀποδοῖτο, ἀλλ' ἐρωτᾶν τί εὑρίσκει. καὶ τοῖς τιμῶσι, καὶ πέμπουσιν εἰς τὰς ἑορτὰς εἰπεῖν, ὅτι οὐκ ἂν γένοιτο διδόμενα. καὶ οὐκ ἔχειν συγγνώμην οὔτε τῷ ἀπώσαντι αὐτὸν ἀκουσίως, ὅτι τῷ ὤσαντι, ὅτι τῷ ἐμβάντι. καὶ φίλῳ δὲ ἔρανον κελεύσαντι εἰσενεγκεῖν, εἰπὼν ὅτι ἀπόλλυσι καὶ τοῦτο τὸ ἀργύριον. καὶ προσπταίσας ἐν τῇ ὁδῷ δεινὸς καταράσασθαι τῷ λίθῳ. καὶ ἀναμεῖναι, οὐκ ἂν ὑπομεῖναι πολὺν χρόνον οὐδένα. καὶ ὅτι ᾆσαι, ὅτι ῥῆσιν εἰπεῖν, ὅτι ὀρχήσασθαι ἂν ἐθελῆσαι. δεινὸς δὲ καὶ τοῖς θεοῖς μὴ ἐπεύχεσθαι.

ΘΕΟΦΡΑΣΤΟΥ ΤΩΝ
ΜΕΤΑ ΤΑ ΦΥΣΙΚΑ.

ΩΣ ἀφορίσαι δεῖ, καὶ ποίοις τὴν ὑπὲρ τῶν πρώτων θεωρίαν. ἡ γὰρ δὴ τῆς φύσεως πολυχουστέρα, καὶ ὥς γε δή τινές φασιν, ἀτακτοτέρα, μεταβολὰς ἔχουσα παντοίας. ἡ δὲ τῶν πρώτων ὡρισμένη, καὶ ἀεὶ κατὰ τὰ αὐτά. διὸ δὴ καὶ ἐν νοητοῖς, οὐκ αἰσθητοῖς αὐτὴν τιθέασιν, ὡς ἀκινήτοις καὶ ἀμεταβλήτοις· καὶ τὸ ὅλον δὲ σεμνοτέραν καὶ μείζω νομίζουσιν αὐτήν. ἀρχὴ δὲ πότερα συναφής τις, καὶ οἷον κοινωνία πρὸς ἄλληλα τοῖς τε νοητοῖς καὶ τοῖς τῆς φύσεως, ἢ οὐδεμία, ἀλλ' ὥσπερ ἑκάτερα κεχωρισμένα, συνεργοῦντα δέ πως εἰς τὴν πᾶσαν οὐσίαν. εὐλογώτερον οὖν, εἶναί τινα συναφήν, καὶ μὴ ἐπεισοδιώδες τὸ πᾶν· ἀλλ' οἷον τὰ μὲν πρότερα, τὰ δὲ ὕστερα, καὶ ἀρχάς· τὰ δ' ὑπὸ τὰς ἀρχάς, ὥσπερ καὶ τὰ ἀΐδια τοῖς φθαρτοῖς. εἰ δ' οὖν οὕτω, τίς ἡ φύσις αὐτῶν, καὶ ἐν ποίοις. εἰ μὲν γὰρ ἐν τοῖς μαθηματικοῖς μόνοις τὰ νοητά, καθάπερ τινές φασιν, οὔτ' ἄγαν εὔσημος ἡ συναφὴ τοῖς αἰσθητοῖς, οὔθ' ὅλως ἀξιόχρεα φαίνεται παντός. οἷον γὰρ μεμηχανημένα· δοκεῖ δι' ἡμῶν εἶναι, σχήματά τε καὶ μορφὰς καὶ λόγους περιτιθέντων. αὐτὰ δὲ δι' αὑτῶν οὐδεμίαν ἔχει φύσιν. εἰ δὲ μή, οὐχ οὕτω συνάπτειν τοῖς τῆς φύσεως, ὥστ' ἐμποιῆσαι, καθάπερ ζωὴν καὶ κίνησιν αὐτοῖς. οὐδὲ γὰρ αὐτὸς ὁ ἀριθμός, ὅνπερ δὴ πρῶτον καὶ κυριώτατόν τινες τιθέασιν. ἡ δ' ἑτέρα τις οὐσία προτέρα καὶ κρείττων ἐστί, ταύτην πειρατέον λέγειν· πότερον μία τις κατ' ἀριθμόν, ἢ κατ' εἶδος, ἢ κατὰ γένος. εὐλογώτερον δ' οὖν, ἀρχῆς φύσιν ἐχούσας ἐν ὀλίγοις εἶναι καὶ περιττοῖς· εἰ μὴ ἄρα καὶ πρώτοις, καὶ ἐν τῷ πρώτῳ. τίς δ' οὖν αὕτη, καὶ τίνες οἱ πλείους, πειρατέον ἐμφαίνειν ἀμωσγέπως, εἴτε κατ' ἀναλογίαν, εἴτε κατ' ἄλλην ὁμοίωσιν. ἀνάγκη δ' ἴσως δυνάμει τινὶ καὶ ὑπεροχῇ τῶν ἄλλων λαμβάνειν, ὥσπερ ἂν εἰ τὸν θεόν. θεία γὰρ πάντων ἀρχή, δι' ἧς ἅπαντα καὶ ἔστι, καὶ διαμένει. τάχα μὲν οὖν ῥᾴδιον τὸ οὕτως ἀποδοῦναι. χαλεπὸν δὲ σαφέστερον, ἢ πιστικωτέρως. τοιαύτης δ' οὔσης τῆς ἀρχῆς, ἐπείπερ συνάπτει τοῖς αἰσθητοῖς. ἡ δὲ φύσις, ὡς ἁπλῶς εἰπεῖν, ἐν κινήσει, καὶ τοῦτ' αὐτῆς τὸ ἴδιον, δῆλον ὡς αἰτίαν θετέον ταύτην τῆς κινήσεως. ἐπεὶ δ' ἀκίνητος καθ' αὑτήν, φανερὸν ὡς οὐκ ἂν εἴη τῷ κινεῖσθαι τοῖς τῆς φύσεως αἰτία· ἀλλὰ λοιπὸν ἄλλῃ τινὶ δυνάμει κρείττονι, καὶ προτέρᾳ. τοιαύτη δ' ἡ τοῦ ὀρεκτοῦ φύσις, ἀφ' ἧς ἡ κυκλικὴ ἡ συνεχὴς καὶ ἄπαυστος. ὥστε κατ' ἐκεῖνο λύοιτ' ἂν τὸ μὴ εἶναι κινήσεως ἀρχήν, ἢ εἰ κινούμενον κινήσει. μέχρι μὲν δὴ τούτων, οἷον ἄρτιος ὁ λόγος, ἀρχήν τε ποιῶν μίαν πάντων καὶ τὴν ἐνέργειαν, καὶ τὴν οὐσίαν ἀποδιδούς. ἔτι δὲ ποσόν τι λέγων· ἀλλ' ἁπλῶς ἐξαίρων εἰς κρείττω τινὰ μερίδα καὶ θειοτέραν. οὕτω γὰρ μᾶλλον ἀποδοτέον, ἢ τὸ διαιρετὸν καὶ μεριστὸν ἀφαιρετέον. ἅμα γὰρ

δυνάμενα φέρειν. καὶ ἐλάχιστα αὐτοῖς δοῦναι τὴν ἱκανήν. καὶ ἐπὶ τῶν ξενίων τὸ μέρος τὸ αὐτοῦ ἀπαιτήσας ἀποδόσθαι. καὶ ἀλειφόμενος ἐν τῷ βαλανείῳ, καὶ εἰπὼν, σαπρόν γε τὸ ἔλαιον ἐπρίω τῷ παιδαρίῳ, τῷ ἀλλοτρίῳ ἀλείφεσθαι. καὶ τῶν εὑρισκομένων χαλκῶν ἐν ταῖς ὁδοῖς ὑπὸ τῶν οἰκετῶν δεινὸς ἀπαιτῆσαι τὸ μέρος, κοινὸν εἶναι φήσας τὸν ἑρμῆν. τὰ δὲ διαῦτα φαιδωνίῳ μέτρῳ τὸ πύνδακα ἐκκεκρουσμένῳ μετρεῖν αὐτὸς τοῖς ἔνδον. τὰ ὑπτίαζα σφόδρα ἀποψῶν, ὑποπριάσθαι φίλῳ ἀπολαβὼν ἀποδόσθαι. ἀμέλει δὲ καὶ χρέος ἀποδιδοὺς τριάκοντα μνῶν, ἔλαττον τέτρασι δραχμαῖς ἀποδιδόναι. καὶ φράτερας ἑστιῶν, αἰτεῖν τοῖς αὐτοῦ παισὶν ἐκ τοῦ κοινοῦ ὄψον. τὰ δὲ καταλειπόμενα ἀπὸ τῆς τραπέζης ἡμίσεα τῶν ῥαφανίδων ἀπογράφεσθαι, ἵνα οἱ διακονοῦντες παῖδες μὴ λάβωσιν.

ΠΕΡῚ ἈΚΑΙΡΊΑΣ.

Ἡ μὲν οὖν ἀκαιρία ἐστὶν ἐπίτευξις, λυποῦσα τοὺς ἐντυγχάνοντας. ὁ δὲ ἄκαιρος τοιοῦτός τις, οἷος ἀσχολουμένῳ προσελθὼν ἀνακοινοῦσθαι. καὶ πρὸς τὴν αὐτοῦ ἐρωμένην, κωμάζειν πυρέττουσαν. καὶ δίκην ὠφληκότα ἐγγύης προσελθὼν κελεῦσαι αὐτὸν ἀναδέξασθαι. καὶ μαρτυρήσων παρεῖναι τοῦ πράγματος ἤδη κεκριμένου. καὶ κεκλημένος εἰς γάμους, τοῦ γυναικείου γένους κατηγορεῖν. καὶ ἐκ μακρᾶς ὁδοῦ ἥκοντας ἄρτι, παρακαλεῖν εἰς περίπατον. δεινὸς δὲ καὶ προσάγειν ὠνητὴν πλείω διδόντα ἤδη πεπρακότι. καὶ ἀκηκοότας καὶ μεμαθηκότας, ἀνίστασθαι ἐξ ἀρχῆς διδάσκων. καὶ πρόθυμος δὲ ἐπιμεληθῆναι, ἃ μὴ βούλεταί τις γενέσθαι. αἰσχύνεται δὲ ἀπαιτεῖσθαι. θύοντας, καὶ ἀναλίσκοντας ἥκειν † τόκον ἀπαιτήσων. καὶ μαστιγουμένου οἰκέτου παρεστὼς, διηγεῖσθαι, ὅτι καὶ αὐτοῦ ποτε παῖς οὕτω πληγὰς λαβὼν, ἀπήγξατο. καὶ παρὼν διαίτῃ συγκρούειν ἀμφοτέρων βουλομένων διαλύεσθαι. καὶ ὀρχησάμενος ἅψασθαι ἑτέρου μηδέπω μεθύοντος.

ΠΕΡῚ ΠΕΡΙΕΡΓΕΊΑΣ.

Ἀμέλει περιεργία δόξειεν ἂν εἶναι προσποίησίς τις λόγων καὶ πράξεων, μετὰ εὐνοίας. ὁ δὲ περίεργος τοιοῦτός τις, ἐπαγγέλλεσθαι ἀναστὰς ἃ μὴ δυνήσεται. καὶ ὁμολογουμένου τοῦ πράγματος δικαίου εἶναι, ἐν τινι στὰς ἐλεγχθῆναι. καὶ πλείω δὲ ἐπαναγκάσαι τὸν παῖδα κεράσαι, ἢ ὅσα δύνανται οἱ παρόντες πιεῖν. καὶ διείργειν τοὺς μαχομένους, καὶ οὓς οὐ γινώσκει. ἀτραποῦ ἡγήσασθαι, εἶτα μὴ δύνασθαι εὑρεῖν ποῦ πορεύεται. καὶ τὸν στρατηγὸν δὲ προσελθὼν ἐρωτῆσαι, πότε μέλλει παρατάττεσθαι. καὶ τί μετὰ τὴν αὔριον παραγγέλλει. καὶ προσελθὼν τῷ πατρὶ εἰπεῖν, ὅτι ἡ μήτηρ καθεύδει ἐν τῷ δωματίῳ. καὶ ἀπαγορεύοντος τοῦ ἰατροῦ, ὅπως μὴ δώσει οἶνον τῷ μαλακιζομένῳ, φήσας βούλεσθαι διάπειραν λαμβάνειν, εὐτρεπίσαι τὸν κακῶς ἔχοντα. καὶ γυναικὸς δὲ τελευτησάσης ἐπιγράψαι ἐπὶ τὸ μνῆμα τοῦ τε ἀνδρὸς αὐτῆς, καὶ τοῦ πατρὸς καὶ αὐτῆς τῆς γυναικὸς τοὔνομα, καὶ ποταπή ἐστι, καὶ προσεπιγράψαι ὅτι οὗτοι πάντες χρηστοὶ ἦσαν. καὶ ὀμνύναι μέλλων εἰπεῖν πρὸς τοὺς περιεστηκότας, ὅτι καὶ πρότερον πολλάκις ὀμώμοκα.

ΠΕΡῚ ἈΝΑΙΣΘΗΣΊΑΣ.

Ἔστι δὲ καὶ ἡ ἀναισθησία, ὡς ὅρῳ εἰπεῖν, βραδυτὴς ψυχῆς ἐν λόγοις καὶ πράξεσιν. ὁ δὲ ἀναίσθητος τοιοῦτός τις, οἷον λογισάμενος ταῖς ψήφοις, καὶ κεφάλαιον ποιήσας, ἐρωτᾶν τὸν παρακαθήμενον, τί γίνεται. καὶ δίκην φεύγων, καὶ ταύτης εἰσιέναι μέλλων, ἐπιλαθόμενος εἰς ἀγρὸν πορεύεσθαι. καὶ θεωρῶν ἐν τῷ θεάτρῳ μόνος καταλείπεσθαι καθεύδων. καὶ πολλὰ φαγὼν τῆς νυκτὸς, καὶ ἐπὶ θᾶκον ἀνιστάμενος ὑπὸ τοῦ γείτονος δηχθῆναι. καὶ λαβὼν καὶ ἀποθεὶς αὐτὸς τοῦτο ζητεῖν, καὶ μὴ δύνασθαι εὑρεῖν. καὶ ἀπαγγέλλοντός τινος αὐτῷ, ὅτι τετελεύτηκέ τις αὐτοῦ τῶν φίλων, ἵνα παρῇ, γίνεται σκυθρωπάσας, καὶ δακρύσας εἰπεῖν, ἀγαθῇ τύχῃ. δεινὸς δὲ, καὶ ἀπολαμβάνων ἀργύριον ὀφειλόμενον, μάρτυρας παραλαβεῖν, καὶ χειμῶνος ὄντος μάχεσθαι τῷ παιδὶ, ὅτι σικύους οὐκ ἠγόρασε. καὶ τὰ παιδία ἑαυτοῦ παλαίειν ἀναγκάζων, καὶ τροχάζειν, καὶ εἰς κόπους ἐμβάλλειν. καὶ ἐν ἀγρῷ αὐτὸς φακῆν ἕψων, δὶς ἅλας εἰς τὴν χύτραν ἐμβαλὼν, ἄβρωτον ποιῆσαι. καὶ ὕοντος τοῦ Διὸς

ΠΕΡῚ ἈΝΙΣΧΥΝΤΊΑΣ.

Ἡ δὲ ἀναισχυντία ἐστὶ μὲν (ὡς ὅρῳ λαβεῖν) καταφρόνησις δόξης αἰσχροῦ ἕνεκα κέρδους. ὁ δὲ ἀναίσχυντος τοιοῦτος, οἷος πρῶτον μὲν ὃν ἀποστερεῖ, πρὸς τοῦτον ἀπελθὼν δανείζεσθαι. εἶτα θύσας τοῖς θεοῖς, αὐτὸς μὲν δειπνεῖν παρ' ἑτέρῳ. τὰ δὲ κρέα ἀποτιθέναι ἁλσὶ πάσας. καὶ προσκαλεσάμενος τὸν ἀκόλουθον δοῦναι ἀπὸ τῆς τραπέζης ἄρας κρέας, καὶ ἄρτον. καὶ εἰπεῖν ἀκουόντων πάντων, εὐωχοῦ Τίβειε. καὶ ὀψωνῶν δὲ ὑπομιμνήσκειν τὸν κρεοπώλην, εἴ τι χρήσιμος αὐτῷ γέγονεν ἑστηκὼς πρὸς τῷ σταθμῷ μάλιστα μὲν κρέας. εἰ δὲ μή, ὀστοῦν εἰς τὸν ζυγὸν ἐμβαλεῖν. καὶ ἐὰν μὲν λάβῃ, εὖ ἔχει. εἰ δὲ μή, ἁρπάσας ἀπὸ τῆς τραπέζης χολίκιον, ἅμα γελῶν ἀπαλλάττεσθαι. καὶ ξένοις δὲ αὐτοῦ κρέα ἀγοράσας, μὴ δοὺς τὸ μέρος θεωρεῖν. ἄγειν δὲ καὶ τοὺς εἰς τὴν ὑστεραίαν, καὶ τὸν παιδαγωγόν. καὶ ὅσα ἐωνημένος τις φέρει μεταδοῦναι κελεῦσαι καὶ αὐτῷ. καὶ ἐπὶ τὴν ἀλλοτρίαν οἰκίαν ἐλθὼν, δανείζεσθαι κριθὰς, ποτὲ δὲ ἄχυρον. καὶ ταῦτα χρήσαντας, ἀναγκάσαι ἀποφέρειν πρὸς αὐτόν. δεινὸς δὲ καὶ πρὸς τὰ χαλκεῖα τὰ ἐν τῷ βαλανείῳ προσελθὼν, καὶ βάψας ἀρύταιναν βοῶντος τοῦ βαλανέως, αὐτὸς αὑτοῦ καταχέασθαι, καὶ εἰπεῖν, ὅτι λέλουται ἀπιὼν κἀκεῖ, οὐδεμία σοι χάρις.

ΠΕΡῚ ΜΙΚΡΟΛΟΓΊΑΣ.

Ἡ δὲ μικρολογία ἐστὶ φειδωλία † τοῦ διαφόρου ὑπὲρ τὸν καιρόν. ὁ δὲ μικρολόγος τοιοῦτός τις, οἷος ἐν τῷ μηνὶ ἡμιωβόλιον ἀπαιτεῖν ἐπὶ τὴν οἰκίαν. καὶ συσσιτῶν ἀριθμεῖν πόσας κύλικας ἕκαστος ἐκπέπωκε. καὶ ἀπάρχεσθαι ἐλάχιστον τῇ Ἀρτέμιδι τῶν συνδειπνούντων. καὶ ὅσα μικροῦ τις πριάμενος λογίζεται, πάντα φάσκειν εἶναι ἄγαν. καὶ οἰκέτου χύτραν ἢ λοπάδα κατάξαντος εἰσπράξαι ἀπὸ τῶν ἐπιτηδείων. καὶ τῆς γυναικὸς ἀποβαλούσης τρίχαλκον, οἷος μεταφέρειν τὰ σκεύη, καὶ τὰς κλίνας, καὶ τὰς κιβωτοὺς, καὶ † δίφος τὰ καλύμματα. καὶ ἐάν τι πωλῇ, τοσούτου ἀποδόσθαι, ὥστε μὴ λυσιτελεῖν τῷ πριαμένῳ. καὶ οὐκ ἂν ἐάσας οὔτε συκοτραγῆσαι ἐκ τοῦ αὐτοῦ κήπου, οὔτε διὰ τοῦ αὐτοῦ ἀγροῦ πορευθῆναι. οὔτε ἐλαίαν, ἢ φοίνικα τῶν χαμαὶ πεπτωκότων ἀνελέσθαι. καὶ τοὺς ὅρους δὲ ἐπισκοπεῖσθαι ὁσημέραι, εἰ διαμένουσιν οἱ αὐτοί. δεινὸς δὲ καὶ ὑπερημερίαν πρᾶξαι, καὶ τόκον τόκου. καὶ ἑστιῶν δημότας, μικρὰ τὰ κρέα κόψας παραθεῖναι. καὶ ὀψωνῶν μηδὲν πριάμενος εἰσελθεῖν. καὶ ἀπαγορεῦσαι τῇ γυναικὶ μήτε ἅλας χρωννύειν, μήτε ἐλλύχνιον, μήτε κύμινον, μήτε ὀρίγανον, μήτε ὀλὰς, μήτε στέμματα, μήτε θυλήματα. ἀλλὰ λέγειν, ὅτι τὰ μικρὰ ταῦτα πολλά ἐστι τοῦ ἐνιαυτοῦ. καὶ τὸ ὅλον δὲ τῶν μικρολόγων, καὶ τὰς ἀργυροθήκας ἔστιν ἰδεῖν εὐρωτιώσας, καὶ κλεῖς ἰωμένας. καὶ αὐτοὺς δὲ φοροῦντας ἐλάττω τῶν μηρῶν τὰ ἱμάτια, καὶ ἐκ ληκυθίων μικρῶν πάνυ ἀλειφομένους, καὶ ἐν χρῷ κειρομένους, καὶ τὸ μέσον τῆς ἡμέρας ὑπολυομένους. καὶ πρὸς τοὺς γναφεῖς διατεινομένους, ὅπως τὸ ἱμάτιον αὐτοῖς ἕξει πολλὴν γῆν, ἵνα μὴ ῥυπαίνηται ταχύ.

τῶν διαφόρων

δίφρος καὶ

ΠΕΡῚ ΒΔΕΛΥΡΊΑΣ.

Οὐ χαλεπὸν δὲ ἐστὶ τὴν βδελυρίαν διορίσασθαι. ἐστὶ γὰρ παιδιὰ ἐπιφανὴς, καὶ ἐπονείδιστος. ὁ δὲ βδελυρὸς τοιοῦτος, οἷος ἀπαντήσας γυναιξὶν ἐλευθέραις, ἀνασυράμενος δεῖξαι τὸ αἰδοῖον. καὶ ἐν θεάτρῳ κροτεῖν, ὅταν οἱ ἄλλοι παύωνται. καὶ συρίττειν οὓς ἡδέως θεωροῦσιν οἱ λοιποί. καὶ ὅταν σιωπήσῃ τὸ θέατρον, ἀνακύψας ἐρυγεῖν, ἵνα τοὺς καθημένους ποιήσῃ μεταστραφῆναι. καὶ πληθούσης τῆς ἀγορᾶς προσελθὼν πρὸς τὰ κάρυα, ἢ τὰ μῆλα, ἢ τὰ ἀκρόδρυα ἑστηκὼς, τραγηματίζεσθαι ἅμα τῷ πωλοῦντι προσλαλῶν. καὶ καλέσαι δὲ τῶν παριόντων ὀνόματι τινὰ, ᾧ μὴ συνήθης ἐστί. καὶ σπεύδοντας δέ ποι ὁρῶν περιμεῖναι κελεῦσαι. καὶ ἡττημένῳ δὲ μεγάλην δίκην ἀπιόντι ἀπὸ τοῦ δικαστηρίου προσελθεῖν, καὶ συνησθῆναι. καὶ ὀψωνεῖν ἑαυτῷ, καὶ αὐλητρίδας μισθοῦσθαι. καὶ δεικνύειν δὲ τοῖς ἀπαντῶσι τὰ ὠψωνημένα. καὶ παρακαλεῖν ἐπὶ ταῦτα. καὶ διηγεῖσθαι προσεστὼς πρὸς κουρεῖον, ἢ μυροπωλεῖον, ὅτι μεθύσκεσθαι μέλλει. καὶ οἰνοπωλῶν, καὶ κεκραμένον τὸν οἶνον τῷ φίλῳ ἀποδόσθαι. καὶ ἐπὶ θέαν ἡνίκα ἂν δέοι πορεύεσθαι, ἄγων τοὺς υἱεῖς, ἡνίκα προῖκα ἀφιᾶσιν, οἱ θεατρῶναι. καὶ ἀποδημῶν δημοσίᾳ, τὸ μὲν ἐκ τῆς πόλεως ἐφόδιον, οἴκοι καταλιπεῖν, παρὰ δὲ τῶν συμπρεσβευτῶν δανείζεσθαι. καὶ τῷ ἀκολούθῳ ἐπιθεῖναι μεῖζον φορτίον, ἢ

χθυοπωλεῖα, τὰ ταριχοπωλεῖα. καὶ τοὺς τόκους ἀπὸ τοῦ ἐμπολήματος εἰς τὴν γνάθον ἐκλέγειν. ἐργώδεις δέ εἰσι, τὸ στόμα εὔλυτον ἔχοντες πρὸς λοιδορίαν, καὶ φθεγγόμενοι μεγάλῃ τῇ φωνῇ, ὡς συνηχεῖν αὐτοῖς τὴν ἀγορὰν, καὶ τὰ ἐργαστήρια.

ΠΕΡῚ ΛΑΛΙΑ͂Σ.

Ἡ δὲ λαλιὰ εἴ τις αὐτὴν ὁρίζεσθαι βούλοιτο, εἶναι ἂν δόξειεν ἀκρασία τοῦ λόγου. ὁ δὲ λάλος τοιοῦτός ἐστιν, οἷος τῷ ἐντυγχάνοντι εἰπεῖν ἄν, ὅ,τι ἂν πρὸς αὐτὸν φθέγξηται, ὅτι οὐδὲν λέγει. καὶ ὅτι αὐτὸς πάντα οἶδε. καὶ ἂν ἀκούῃ αὐτοῦ μαθήσεται. καὶ μεταξὺ δὲ ἀποκρινομένῳ ὑποβάλλειν, εἴπας σὺ μὴ ἐπιλάθῃ ὃ μέλλεις λέγειν. καὶ εὖγε ὅτι με ὑπέμνησας. καὶ τὸ λαλεῖν ὡς χρήσιμόν που. καὶ ὃ παρέλιπον. καὶ ταχύ γε συνῆκας τὸ πρᾶγμα. καὶ πάλαι σε παρετήρουν, εἰ ἐπὶ τὸ αὐτὸ ἐμοὶ κατενεχθήσῃ. καὶ ἑτέρας ἀφορμὰς τοιαύτας πορίζεσθαι, ὥστε μηδὲ ἀναπνεῦσαι τὸν ἐντυγχάνοντα. καὶ ὅταν γε τοὺς καθ' ἕνα ἀποκναίσῃ, δεινὸς καὶ ἐπὶ τοὺς ἀθρόους, καὶ συνεστηκότας πορευθῆναι, καὶ φυγεῖν ποιῆσαι μεταξὺ χρηματίζοντας. καὶ εἰς τὰ διδασκαλεῖα δὲ, καὶ εἰς τὰς παλαίστρας εἰσιὼν, κωλύειν τοὺς παῖδας προμανθάνειν τοσαῦτα. καὶ προσλαλεῖν τοῖς παιδοτρίβαις καὶ διδασκάλοις, καὶ τοὺς ἀπιέναι φάσκοντας δεινὸς προπέμψαι, καὶ ἀποκαταστῆσαι εἰς τὴν οἰκίαν. καὶ πυθόμενος τὰς ἐκκλησίας παραγγέλλειν. προσδιηγήσασθαι δὲ καὶ τὴν ἐπ' Ἀριστοφῶντος ποτὲ γενομένην τοῦ ῥήτορος μάχην, καὶ τὴν Λακεδαιμονίων ἐπὶ Λυσάνδρου. καὶ ὅς ποτε λόγους αὐτὸς εἶπεν εὐδοκιμήσας ἐν τῷ δήμῳ. καὶ κατὰ τῶν πλήθων γε ἅμα διηγούμενος, κατηγορίαν παρεμβαλεῖν, ὥστε τοὺς ἀκούοντας ἤτοι ἐπιλαθέσθαι, ἢ νυστάξαι, ἢ μεταξὺ καταλιπόντας ἀπαλλάττεσθαι. καὶ συνδικάζων δὲ, κωλῦσαι κρῖναι. καὶ συνθεωρῶν, θεάσασθαι. καὶ συνδειπνῶν, φαγεῖν. λέγων ὅτι χαλεπόν ἐστι τῷ λάλῳ σιωπᾶν, καὶ ὡς ἐν ὑγρῷ ἐστιν ἡ γλῶττα· καὶ ὡς οὐκ ἂν σιωπήσειεν, οὐδ' εἰ τῶν χελιδόνων δόξειεν ἂν εἶναι λαλίστερος. καὶ σκωπτόμενος ὑπομεῖναι. καὶ ὑπὸ τῶν αὑτοῦ παιδίων, ὅταν αὐτὸν ἤδη καθεύδειν βουλόμενον κελεύῃ λέγοντα ταῦτα, λαλεῖν τι ἡμῖν, ὅπως ἂν ἡμᾶς ὕπνος λάβῃ.

ΠΕΡῚ ΛΟΓΟΠΟΙΙ͂ΑΣ.

Ἡ δὲ λογοποιΐα ἐστὶ σύνθεσις ψευδῶν λόγων καὶ πράξεων, ὧν βούλεται ὁ λογοποιῶν. ὁ δὲ λογοποιὸς τοιοῦτός ἐστιν, οἷος ἀπαντήσας τῷ φίλῳ εὐθὺς καταβαλὼν τὸ ἦθος, καὶ μειδιάσας ἐρωτῆσαι, πόθεν σὺ, καὶ λέγεις τί, καὶ ἔχεις περὶ τοῦδε εἰπεῖν καινόν. καὶ ἐπιβαλὼν ἐρωτᾶν, μὴ λέγεταί τι καινότερον. καὶ μὴν ἀγαθά ἐστι τὰ λεγόμενα. καὶ οὐκ ἐάσας ἀποκρίνασθαι εἰπεῖν. τί λέγεις; οὐδὲν ἀκήκοας; δοκῶ μοί σε εὐωχήσειν καινῶν λόγων. καὶ ἔστιν αὐτῷ ἢ στρατιώτης, ἢ παῖς Ἀστείου τοῦ αὐλητοῦ, ἢ Λύκων ὁ ἐργολάβος παραγεγονὼς ἐξ αὐτῆς τῆς μάχης, οὗ φασιν ἀκηκοέναι. αἱ μὲν οὖν ἀναφοραὶ τῶν λόγων τοιαῦταί εἰσιν αὐτοῦ, ὧν οὐδεὶς ἂν ἔχοι ἐπιλαβέσθαι. διηγεῖται δὲ τούτους φάσκων λέγειν, ὡς Πολυσπέρχων, καὶ ὁ Βασιλεὺς, μάχῃ νενίκηκε, καὶ Κάσανδρος ἐζώγρηται. κἂν εἴποι τις αὐτῷ, σὺ δὲ ταῦτα πιστεύεις, φήσει, τὸ πρᾶγμα βοᾶσθαι γὰρ ἐν τῇ πόλει, καὶ τὸν λόγον ἐπεντείνειν, καὶ πάντα συμφωνεῖν. ταὐτὰ γὰρ λέγειν περὶ τῆς μάχης, καὶ πολὺν τὸν φόνον γεγονέναι. εἶναι δὲ αὐτῷ καὶ σημεῖον τὰ πρόσωπα τῶν ἐν τοῖς πράγμασιν. ὁρᾶν γὰρ αὐτῶν πάντων μεταβεβληκότα. λέγει δ' ὡς καὶ παρακήκοε παρὰ τούτοις κρυπτόμενόν τινα ἐν οἰκίᾳ, ἤδη πέμπτην ἡμέραν ἥκοντα ἐκ Μακεδονίας, ὃς πάντα ταῦτα οἶδε. καὶ πάντα διεξιὼν πῶς οἴεσθε πιθανῶς σχετλιάζει λέγων· δυστυχὴς Κάσανδρος ὦ ταλαίπωρος. ἐνθυμῇ τὸ τῆς τύχης; ἀλλ' οὖν ἰσχυρὸς γενόμενος. καὶ δεῖν δὲ αὐτὸν σε μόνον εἰδέναι. πᾶσι δὲ τοῖς ἐν τῇ πόλει προσδεδράμηκε λέγων, τῶν τοιούτων ἀνθρώπων τεθαύμακα τί ποτε βούλονται λογοποιοῦντες. οὐ γὰρ μόνον ψεύδονται, ἀλλὰ καὶ ἀλυσιτελῶς ἀπαλλάττουσι. πολλάκις γὰρ αὐτῶν οἱ μὲν ἐν τοῖς βαλανείοις περιστάσεις ποιούμενοι, τὰ ἱμάτια ἀποβεβλήκασιν. οἱ δ' ἐν τῇ στοᾷ πεζομαχίᾳ καὶ ναυμαχίᾳ νικῶντες, ἐρήμους δίκας ὠφλήκασιν. εἰσὶ δ' οἳ, καὶ πλεῖστοι λέγω, κατὰ κράτος αἱρούντων παρεδειπνήθησαν. πάνυ δὴ ταλαίπωρον αὐτῶν ἐστι τὸ ἐπιτήδευμα. ποῖα γὰρ οὐ στοᾶ, ποῖον δὲ ἐργαστήριον, ποῖον δὲ μέρος τῆς ἀγορᾶς οὐ διημερεύουσιν ἀπαυδᾶν ποιοῦντες τοὺς ἀκούοντας, οὕτως καὶ καταπονοῦντες ταῖς ψευδολογίαις.

περὶ

τὸ δὲ χρῶμα πέρας τοῦ ἐν ὡρισμένοις σώμασι διαφανοῦς. ὥστε καὶ ἐν γῇ τὸ διαφανὲς, οὐ μόνον ὡς σκότους οὐσιωδῶς ἐν αὐτῇ δεκτικόν, ἀλλὰ τοῦτο μὲν κατὰ τὸ βάθος· κατὰ δὲ τὰ πέρατα καὶ φωτὸς, εἰ φωτά τινα τὰ χρώματα, καὶ ἄχρι φωτίζεται καὶ ἡ γῆ κατὰ τὴν ἐπιφάνειαν. τὸ δὲ ἐν ἀέρι καὶ ὕδατι, παρὰ μέρος ἀμφοῖν δεκτικόν· ὃ καὶ ἰδικώτερον διαφανὲς προσαγορεύειν εἰώθαμεν. τὸ δὲ ἐν τοῖς συνθέτοις, κατὰ σύμμιξιν. οὐ ζητήσομεν οὖν, ὑπὸ τίνος τῶν ἁπλῶν τὸ διαφανές. οὐ γὰρ ἀπὸ τῶν στοιχείων, ἢ τῶν σωμάτων ὅλως τὰ εἴδη· αὐτὰ δὲ μετέχει τῶν εἰδῶν, καὶ χαρακτηρίζεται κατ' αὐτά, καὶ διὰ τὸ τὰ μὲν προσδεῖται φωτὸς εἰς τὸ ὁραθῆναι, τὰ δὲ οὔ, ὡς πῦρ καὶ τὰ λαμπρά, ἢ οὐσιωδῶς μετέχει τοῦ φωτεινοῦ εἴδους ἀρκούντως οὐ προσδεῖται. ἐπίγνωσθαι

Καὶ πῶς ἐνέργεια τοῦ διαφανοῦς τὸ φῶς, ὃ διὰ φωτίζοντος παραγίνεται ἐκείνου γὰρ ἐνέργεια δόξειεν ἂν μᾶλλον. τοῦτο δὲ ἀπορήσας, ὑπολύει), ὁμοίως ἔχειν τοῦτο λέγων, ὡς ἐν τοῖς ἄλλοις τοῖς πάσχουσιν, ἐκεῖνο ἴσως ἐνδεικνύμενος, ὅτι ὡς ἡ θερμότης τοῦ μὲν πυρὸς, ὡς ποιοῦντος ἐστὶν ἐνέργεια, τοῦ δὲ θερμαινομένου ὡς πάσχοντος, οὕτω καὶ τὸ φῶς τοῦ δεχομένου ὡς πάθημα λέγοιτ' ἂν ἐνέργεια, οὐ κυρίως ἐνέργεια ὀνομαζομένη. διὸ καὶ ἐπάγει, μὴ δεῖν ζητεῖν τὰ ὀνόματα, ἀλλ' εἰ τὴν φύσιν αὐτοῦ νοοῦμεν, ἱκανὸν εἶναι. πρότερον μὲν οὖν ἐκεῖνο ἀξιοῖ διορίζεσθαι, ὡς ἕτερον μὲν τὸ αἰτιατὸν φῶς, ἕτερον δὲ τὸ τούτου αἴτιον, οἷον τὸ ἐν ἡλίῳ, ἢ ἐν πυρί· καὶ οὐ περὶ τοῦ αἰτίου ὁ λόγος, ἐν τῇ περὶ τοῦ τί τὸ φῶς ζητήσει· ἀλλὰ περὶ τοῦ ἀπ' αὐτοῦ προϊόντος, ὃ δὴ ἐνέργεια εἶναι λέγεται τοῦ διαφανοῦς, τοῦ ἐν ἀέρι καὶ ὕδατι, καὶ ἐν τοῖς παρὰ μέρος φωτὸς καὶ σκότους δεκτικοῖς.

Ἐπαινεῖ δὲ τοῦ Ἰαμβλίχου ἐπιμελῶς, ὅτι μήτε σῶμα τοῦτο εἶναι ἀξιοῖ, μήτε πάθος, ἢ ποιότητα σώματος ἐχούσης, ὥσπερ οἱ περιπατητικοί. οὐ γὰρ ἐν τῷ ἀέρι ἔχει τὸ εἶναι φῶς. κινουμένου γοῦν ἐκείνου, ἕστηκεν αὐτὸ, καὶ τρεπομένου πολυειδῶς [illegible] ἀκατάτμητον, καὶ σώζει τὴν πρὸς τὸ αἴτιον ἀδιαίρετον συνέχειαν. ἀλλὰ καὶ ἡ ἀθρόα αὐτοῦ παρουσία, ὑπὸ πάντα τὰ δέχεσθαι αὐτὸ δυνάμενα, παρόντος τοῦ ἐλλάμποντος, καὶ αὖθις ἀπελθόντος, ἡ ἀθρόα ἀπόλειψις, μηδὲν ἴχνος ἑαυτοῦ καταλείποντος, σημεῖον τὸ μὴ πάθημα εἶναι τοῦ ἀέρος τὸ φῶς. τὰ γὰρ πάθη, οἷον ἡ θερμότης, οὔτε ἀθρόως ἐγγίνεται· καὶ τοῦ πυρὸς ἀπελθόντος, ἀμυδρόν τι ἐγκαταλείπει ἑαυτῆς εἶδος τῷ πεπονθότι. καὶ τὸ μὴ κατὰ διάδοσιν δὲ, μηδὲ κατὰ τροπὴν ἐγγίνεσθαι, καὶ τὸ μὴ περιγράφεσθαι μέχρι τινὸς, προϊέναι δὲ ἄχρι παντὸς τοῦ δυναμένου αὐτὸ δέχεσθαι. καὶ τὸ μὴ συγχεῖσθαι ἐν ἀλλήλοις τὰ φῶτα, δηλοῖ ἅπαντα ταῦτα χωριστὴν εἶναι σωμάτων τὴν τοῦ φωτὸς ἐνέργειαν. πῶς οὖν ἐνέργεια λέγεται τοῦ διαφανοῦς; οὐχ ὡς πάθος φησὶν, οὐδὲ ὡς τελειότης αὐτοῦ ἐν ὑποκειμένῳ αὐτῷ γενομένη. ἀλλ' ὡς χωριστῶς αὐτὸ τελειοῦσα, οὐκ αὐτὴ ἐκείνου, ἀλλ' ἑαυτῆς ἐκεῖνο ποιουμένη μένουσα, συνεχὴς αὐτὴ τῷ ἐλλάμποντι, καὶ ἐκείνῳ συμπεριαγομένη. τοῦτο μὲν οὖν ὡς δὲ συντόμως ὑπομνησθῶ, ἵνα μὴ ὁμοίως ὡς ἐν τοῖς ἄλλοις τοῖς πάσχουσι, καὶ τὸ φῶς ἐγγίνεσθαι ὑποπτεύσωμεν.

Ἀλλ' εἰ ἀσώματον τὸ φῶς, διατί φησὶ πυρὸς ἢ ὅλως σώματος παρουσίᾳ γίνεται; δόξει γὰρ ἂν ἀπορροή τις εἶναι σωματικὴ καὶ σῶμα. ὃ δὴ ἐπιλυόμενος, λυτέον φησὶ, οὐ τοῦτον τὸν τρόπον, ἀλλ' ὡς πέφυκεν ἐκεῖνο πάντως δηλῶν, ὡς εἰδικήν τις οὖσαν ἡ τοῦ φωτὸς ἐνέργεια. ἐπεὶ καὶ ἡ θερμότης ἀπὸ εἴδους, διὸ οὐ σῶμα. οὐ γὰρ κατὰ ἀπομερισμόν, ἢ ἀπορροήν· ἀλλ' ὡς αὐτὸ τοῦτο ἐνέργεια τοῦ λαμπροῦ εἴδους ἢ ὅ, τί ποτε δεῖ καλεῖν τὸ τοῦ φωτὸς αἴτιον εἶδος. ἀλλ' εἰ τὸ σκότος ὁρᾶται ἄνευ φωτὸς, οὐκ ἔσται πᾶσι τοῦ ὁρᾶσθαι τὸ φῶς αἴτιον, ἢ οὐχ ὁρατὸν (ὡς καὶ αὐτὸς ἐπάγει) τὸ σκότος, οὐ γὰρ καθ' ἐπέρεισιν αὐτοῦ αἰσθανόμεθα, ἀλλὰ κατὰ στέρησιν, καὶ τὸ μὴ ὁρᾶν. τὸ δὲ πῦρ, καὶ τὸ τοιοῦτον ἐν σκότει ὁρᾶται, ὡς αὐτὸ καὶ τοῦ διαφανοῦς αἴτιον, καὶ διὰ τοῦτο οὐ δεόμενον πρὸς τὸ ὁραθῆναι ἐκείνου. τοῦ μὲν οὖν κατ' ἐνέργειαν διαφανοῦς, τουτέστιν τοῦ ἤδη πεφωτισμένου, οὐ δεῖται πρὸς τὸ ὁραθῆναι τὸ πῦρ. ἐπεὶ δὲ δεῖ τι εἶναι μεταξὺ, οὐ γὰρ κατ' ἐπαφὴν ἡ ὅρασις, διαφανὲς εἶναι τοῦτο χρὴ, ἵνα μὴ στερεὸν καὶ ἀντίτυπον ὂν, παραποδίζῃ τῷ στερεοποιῷ ἰδιώματι τὴν τῶν φωτοειδῶν εἰς ἄλληλα ἐνέργειαν, τοῦ τε πυρός φημι, καὶ τοῦ αἰσθητικοῦ ὀργάνου. συμβαίνει δὲ, φησὶ, καὶ τοῦ ὁρᾶσθαι τὰ χρώματα, χρῶμα τὸ αἴτιον εἶναι, καὶ τοῦ ἁπλῶς τὰ ὁρατὰ τὸ ὁρατόν, ὑπὲρ τὸ φῶς αἴτιον χρῶμα ὂν τοῦ διαφανοῦς καὶ ὁρατοῦ. καὶ οὐκ ἄτοπον φησὶ, ἀλλὰ καὶ ὁμολογούμενον τοῖς ἄλλοις· καὶ γὰρ ἡ γεῦσις διὰ χυμοῦ. ἀλλ'

ἔνια τῶν ζώων ἐπιδείκνυσι, προλάμποντα τὰ ἀφ' ἑαυτῶν ὁρῶμεν. διὸ καὶ νυκτὸς ὁρᾶν δύναται. καὶ τὰ χρώματα δέ, περὶ τὰ πέρατα τοῦ διαφανοῦς τῶν ὡρισμένων σωμάτων θεωρούμενα, ὑπὸ τοῦ φωτὸς ἑκάτερα ἄμφω τελειοῦται, ἀμυδρότερον ἔχοντα καθ' ἑαυτὰ τὸ φαντασθές, ὡς πρὸς τελείαν τὴν πρὸς ἄλληλα ἐνέργειαν. διὸ καὶ τοῦ ἔξωθεν δεῖται φωτός, καὶ τὸ ὁρατικὸν ὡς φωτοειδές, καὶ τὰ χρώματα ὡς φωτεινὰ ὄντα, ὡς ὑποδοχὴ αὐτῶν δηλοῖ. ταῦτα γὰρ τοῦ διαφανοῦς πέρατα. τὸ δὲ διαφανές, ἐπιτηδειότης οὖσα εἰς ὑποδοχὴν φωτός, ἢ ἴχνος τι φωτὸς ἀμυδρόν, ὅ ποτε τελειοῖ τὸ μεταξὺ πρὸς τὴν ὄψιν, καὶ τὸ μεταξὺ πρὸς τὴν ὄψιν οὐχ ὡς ἀήρ, ὡς ὕδωρ, ἢ ἄλλο τι, ἀλλ' ὡς διαφανὲς εἰς ἐνέργειαν ἤδη τελειωθὲν ὑπὸ τοῦ φωτίζοντος, καὶ τελειοῖ ἑκάτερον, τό, τε ὁρῶν καὶ τὸ ὁρώμενον. ἐπειδὰν αὐτὸ τὸ ὁρατὸν οὕτως ἔχῃ λαμπρότητος, ὡς ἱκανὸν αὐτὸ εἶναι τελειοῦν τὴν ὄψιν, καθάπερ τὸ πῦρ καὶ ὅσα ἐν σκότει, καὶ ὅσα λαμπρὰ ὁρῶμεν, οὐκ ἔτι τὸ μέσον ὡς τελειοῦν, ἀλλ' ὡς μόνην τὴν διάστασιν σύμμετρον παρεχόμενον, ἐστὶ χρήσιμον. τοῖς γὰρ ὀφθαλμοῖς ἐπιτεθὲν τὸ λαμπρόν, οὐχ ὁρᾶται, διὰ τὸ μὴ φωτίζεσθαι. Πολλὴ οὖν συμβαίνει περὶ τὰς ὄψεις ἡ ποικιλία· καὶ γὰρ ἐκτὸς δοκεῖ προϊέναι, διὰ τὸ περὶ τὸ αἰσθητὸν ἐνεργεῖν ἔξω κείμενον· καὶ εἰσδέχεσθαι τι ἀπὸ τοῦ ὁρατοῦ, διὰ τὸ πάσχειν τι ὑπ' αὐτοῦ. καὶ διαπορθμεύειν νομίζεται τὸ διαφανές, καὶ τὸ μεταξύ, ὡς τῷ τε φωτὶ τελειοῦν, καὶ τῇ διαστάσει τὸ σύμμετρον παρεχόμενον. προσθῶμεν δέ, καὶ ὅσα κοινῇ περὶ πάσης ἐθεωρήσαμεν αἰσθήσεως· τὴν ἐν τῷ αἰσθητηρίῳ τοῦ αἰσθητοῦ ἔμφασιν, καὶ τὴν πεῖσιν ἅμα καὶ τὴν ἐνέργειαν συνισταμένην, ἐν τῇ πρὸς τὸ αἰσθητὸν ὁμοιότητι· καὶ τὴν ἔμφασιν εἰς εἶδος τελειουμένην, ἐν τῇ κοινῇ τοῦ συνθέτου ζωῇ καὶ τὸν τοῖς εἴδεσι τούτοις ἐφαρμόζοντα, προβαλλόμενον ἀπὸ τῆς αἰσθητικῆς ψυχῆς λόγον, καθ' ὃν ἡ κρίσις καὶ ἡ σύνεσις. τοιοῦτος ὁ τρόπος τῆς περὶ ἑκάστην αἴσθησιν θεωρίας· ὃν δεῖ μάλιστα ἐκ τῶν Ἰαμβλίχῳ ἐν τοῖς περὶ ψυχῆς πεφιλοσοφημένων ἀναλαμβάνειν, ἐξ ὧν καὶ νῦν ἡμεῖς ταῦτα συνῃρημένως γεγράφαμεν, τὸν τύπον ὑπογράψαι τῆς ἀκριβοῦς περὶ ἑκάστην θεωρίας βουλόμενοι. ἐπεὶ οὐ τοῦτο νῦν ἡμῖν πρόκειται ἐπεξιέναι τῇ περὶ αὐτῶν διαρθρώσει, ἀλλὰ τὰ τοῦ Θεοφράστου, εἴ τι τε ἐπὶ πλέον τῆς Ἀριστοτέλους παραδόσεως προστίθησι συναιρεῖν· καὶ εἴ τι ἀπορῶν προτείνει, ἐπεξεργάζεσθαι κατὰ δύναμιν. Ἐπὶ οὖν τὰ τοῦ Θεοφράστου ἐπανίωμεν. φαίνεται δὴ καὶ αὐτός, οὐδὲ μίαν ἀξιῶν αἴσθησιν αὐτόθεν θιγγάνειν τοῦ αἰσθητοῦ. τὸ γὰρ μὴ κοινόν φησι, μὴ δὲ ὅμοιον ἐν τοῖς ὁμογενέσιν, οὐκ εὔλογον. ἐπάγει δὲ περὶ τοῦ διαφανοῦς, ὡς ἐπιταράξειεν ἄν τινας διὰ τὸ ἀσύνηθες, ὅπως λέγεται ὁρατὸν μὴ καθ' αὑτό, ἀλλὰ διὰ τὸ ἀλλότριον χρῶμα· ὡσεὶ καὶ γευστόν τι κατὰ ἀλλότριον ἔλεγε τὸν χυμόν. διαπόλυτος δὲ ἡ δοκοῦσα ταραχή· ἀλλότριον γὰρ χρῶμα τὸ φῶς, ὡς ἀλλαχόθεν ἧκον, ἀπὸ τοῦ φωτίζοντος λέγεται. ἐπεὶ ὥς γε οἰκειότατον ἐστὶ τῶν ὁρωμένων τὸ φῶς, ὡς τελειοῦν αὐτά, καὶ εἰς ἐνέργειαν ἄγον. διὸ εἴτε ἔχει ἴδιον χρῶμα τὸ διαφανές, τελειοῦται, ὥσπερ καὶ τὰ τῶν ἄλλων χρώματα, ὑπὸ τοῦ φωτός. οὐ γὰρ ἀφαιρεῖται τὰ οἰκεῖα τὸ φῶς, ἀλλὰ τοὐναντίον εἰς ἐνέργειαν ἄγει, εἴτε ἄχροον ἐστὶ καθ' αὑτὸ ὑπὸ τοῦ φωτός, οἷον χρωννύμενον τελειοῦται, καὶ ὁρατὸν ἀποτελεῖται. Τί οὖν ἡ φύσις τοῦ διαφανοῦς; οὐ γὰρ ἀρκεῖ τὸ φάναι, ἐνυπάρχειν αὐτὸ ἀέρι καὶ ὕδατι καὶ αἰθέρι, καὶ ἐν τισι στερεοῖς. ἀνάγκη δέ φησιν, ἤτοι πάθος ἢ διάθεσιν εἶναι, σῶμα γὰρ οὐχ οἷόν τε ἐν σώματι. εἰ δὲ πάθος ἢ διάθεσις, ὑπό τινος ζητήσομεν. ἢ γὰρ ὑφ' ἑνός, ἢ ὑπὸ πλειόνων τῶν ἁπλῶν· ἀλλ' οὐχ οἷόν τε. αὐτὰ γὰρ τὰ ἁπλᾶ, ὅ τε ἀὴρ καὶ τὸ ὕδωρ, διαφανῆ, ἡ δὲ κατὰ τὸ πῦρ καὶ ἡ γῆ, μᾶλλον δὲ καὶ τὰ σύνθετα πάντα σώματα, ὥσπερ πάντα κέχρωσται. τὸ δὲ χρῶμα, πέρας τοῦ διαφανοῦς. λέγω δὴ οὐ πάθος, οὐδὲ διάθεσιν ὑπό τινος ἐγγινομένην εἶναι τὸ διαφανές, ἀλλ' εἶδος ὑπάρχει, συναρμοστικὸν τῶν ἐν γενέσει σωμάτων, πρός τε τὴν τοῦ φωτός, καὶ πρὸς τὴν τοῦ σκότους ὑποδοχὴν παρεχόμενον, ἢ πλειότητα οὐσιωδῶς ἑκατέρου μετέχουσιν, ἢ παρὰ μέρος ἀμφοτέρων, ἢ κατά τινα μίξιν. τὸ μὲν γὰρ ἐν καὶ ἐπιτηδειότητα πυρὶ διαφανές, οὐσιωδῶς ἔχει φῶς. τὸ δὲ ἐν γῇ οὐσιωδῶς, σκότος. διὸ ὡς φωτουργόν τε πῦρ, ὁπότε αὖθις οὕτω σκοτοποιὸν ἡ γῆ. οὐ γὰρ στέρησις φωτὸς τὸ σκότος, ἀλλ' ἐνέργεια καὶ αὐτό. ἀλλὰ μή ποτε πρὸς τὴν τοῦ κακῶς τὸ διαφανὲς τιθέμεθα, εἴπερ καὶ ἐν γῇ, εἴ τε φωτὸς δεκτικὸν τὸ διαφανές; ἢ οὐ κακῶς φωτός. οὐ γὰρ φωτὸς μόνον, ἀλλὰ καὶ σκότους δεκτικόν, ὡς εἴρηται, ἐπεί τε δὲ καὶ ἡ γῆ κέχρωσται.

τὸ δὲ

θους εἰς εἶδος πλειουμένου, ὅμοιον τῷ αἰσθητῷ, ὁ τῶν αἰσθητῶν προβάλλεται λόγος, ὡς οἰκείῳ τῷ αἰσθητῷ συναρμοζόμενος. εἰ δὲ καὶ πρὸς οἰκεῖον συμμέτρως ἐγειρόμενος, οὕτω καὶ ὁ τῶν αἰσθητῶν ποιοτήτων κριτικὸς λόγος, τὴν τῆς οὐσίας τῶν αἰσθητῶν γνωριστικὴν κινεῖ δύναμιν, οἰκείως κατὰ τὴν τῶν αἰσθητῶν ποιοτήτων πρὸς τὴν οὐσίαν ἀφ' ἧς προέρχονται οἰκειότητα. ἐπειδὴ ὑπὸ μὲν τῶν ἰδίων αἰσθητῶν, ἐναργῶς πλήττεται τὸ αἰσθητήριον· τῶν δὲ κοινῶν, οὐ πρώτως, ἀλλὰ δευτέρως ἡ καθ' ἕκαστα ἀντιλαμβάνεται αἴσθησις· πρώτως γὰρ χρώματος ἡ ὄψις, δευτέρως δὲ μεγέθους καὶ κινήσεως· δόξειεν ἂν τὰ κοινὰ μᾶλλον εἶναι ψυχῆς, καὶ οἱονεὶ κατὰ συμβεβηκὸς γινώσκεσθαι ὑπὸ τῆς αἰσθήσεως τὰ κοινά· ἀλλ' ὡς εἴρηται, δευτέρως αὐτὸ δὴ τοῦτο γνωρίζεται ὑπὸ αἰσθήσεως, ἀλλ' οὐχ ὑπὸ μόνης τῆς διανοίας. τοῦ δὲ ἄχρι καὶ τοῦ ἀποσκοτισμένου ἡ ὄψις, καὶ τῆς σιωπῆς ἡ ἀκοὴ συναισθάνεται, οὐ κατ' ἐπέρεισιν, ἀλλ' αὐτῷ τῷ κωλύεσθαι τὴν ἐνέργειαν ἐν τῷ παρεῖναι κρίνει ἡ αἴσθησις, τὸ ἐλλιπὲς αὐτῶν, καὶ διεσπασμένον, τῷ μὴ ἐφαρμόζειν τὸν λόγον γνωρίζουσα· τοῦ δὲ αἰσθητηρίου καὶ παρατρεπομένου πως, διὰ τὸ πάσχειν ὑπὸ τοῦ αἰσθητοῦ. Τοιοῦτος μὲν οὖν ὁ κοινὸς περὶ αἰσθήσεως λόγος. περὶ δὲ τῶν κατὰ μέρος αἰσθήσεων, οἷον ὄψεως, ἀκοῆς, καὶ τῶν λοιπῶν, ἐκεῖνο πρῶτον διοριστέον, ὡς οὐ μία οὖσα (καθάπερ τινές φασιν) ἡ αἴσθησις, διαποιεῖται διαφόρως ὑπὸ τῶν μετεχόντων ὀργάνων. οὐ γὰρ διὰ προηγουμένην τὴν τῶν δυνάμεων διαφορὰς ἡ τῶν ὀργάνων ἑτερότης, οὐδὲ κυρία τοῦ μερίζειν τὰς δυνάμεις, ἀλλ' αὐτὴ ἡ αἴσθησις μία οὖσα καθ' αὑτήν, καὶ εἰς πέντε μεμέρισται, εἰς τὰς τῶν καθ' ἕκαστα αἰσθητῶν διαγνώσεις. καὶ τῇ τῶν αἰσθήσεων διαιρέσει, καὶ ἡ τῶν ὀργάνων ἐπηκολούθησε διαφορά τις, οἰκείως πρὸς ἑκάστην συναρμοζομένη. τοῦ γὰρ ὑλικοῦ καὶ ὀργανικοῦ μερισμοῦ, προηγεῖσθαι * ἡ εἰδικὴ, καὶ ἐν τοῖς χωρισμένοις ὡς κυριωτέρα ἑτερότης. Ἀλλὰ τί τὸ ὁρᾶν, ἢ ἀκούειν, ἢ ὀσφραίνεσθαι; καὶ πότερον διὰ μέσου πάσχει τινός; ὡς ἡ ὄψις διὰ τοῦ διαφανοῦς. ἢ ἔνιαι ἀμέσως ἐφάπτονται τῶν αἰσθητῶν; καὶ τί τὸ διαφανές; οἶμαι τοίνυν, οὔτε κατ' εἰσδοχὴν ἀποτελεῖσθαι τὴν ὄψιν, ὡς μορφουμένης ὑπὸ τῶν αἰσθητῶν, κατά τινα ἀπ' αὐτῶν ἀποῤῥοήν· οὔτε κατὰ ἐκπομπὴν ὡς σώματός τινος, ἐκπεμπομένου καὶ θιγγάνοντος τῶν αἰσθητῶν· οὔτε τὰ μὲν χρώματα τοῦ διαφανοῦς εἶναι κινητικά, ὡς οἷον μορφοῦντα * αὐτῷ. τὸ δὲ διαφανὲς τῆς ὄψεως· ἀλλὰ δραστήριον ἔχοντα τὰ εἴδη δύναμιν, δρᾶν ἕκαστα εἰς τὸ παθεῖν ἐπιτήδειον, οὐκ ἐφαπτόμενα πάντως, ἀλλὰ καὶ εἰς τὰ διεστῶτα, ἕως ἂν σύμμετρος ᾖ τοῖς μὲν εἰς τὸ ποιῆσαι, τοῖς δὲ εἰς τὸ παθεῖν ἡ διάστασις. διὰ γὰρ τὸ σωματικὸν εἶναι, καὶ ἔν τινι κατέχεσθαι, καὶ τόπῳ περιγράφεσθαι, οὐκ εἰς τὸ ὁπουδήποτε ὂν ἐνεργεῖ· ἀλλὰ εἰς τὸ συμμέτρως τῇ τε δραστικῇ τῶν ποιούντων δυνάμει, καὶ τῇ τῶν πασχόντων ἐπιτηδειότητι διεστώς, καὶ ἔτι πρὸς τὸ μέτρον * τῆς ποιήσεως. οἷον δρᾷ τὸ ὁρατόν, εἰς τὸ τῆς ὄψεως αἰσθητήριον, ἀπό τινος διαστήματος, ὅσον ἂν σύμμετρον ᾖ τῷ τε δρῶντι, καὶ τῷ δρωμένῳ· τῷ μὲν εἰς τὸ παθεῖν, τῷ δὲ εἰς τὸ ποιῆσαι. ἀλλ' ἐπεὶ οὐχ ἁπλῶς ἡ τοῦ ὁρατικοῦ ὑπὸ τοῦ ὁρατοῦ πεῖσις ποιεῖ τὴν αἴσθησιν (παραποδίζει γὰρ ἡ ὑπερβάλλουσα, διὰ τὸ ἀσύμμετρον πρὸς τὸ μέτρον τῆς πείσεως, καθ' ἣν αἴσθησις) καὶ τῆς διαστάσεως δεῖ. ὅθεν τὰ σφόδρα λαμπρά, ἐγγίον τοῦ μέτρου γινόμενα, ἐμποδίζειν, καὶ τελέως κωλύειν εἰς τὴν ὅρασιν. ἐπεὶ δὲ οὐ μόνον ἐν τῷ πάσχειν τὸ αἰσθητήριον, ἀλλὰ ἐν τῷ ἐνεργεῖν, ὡς ἤδη εἴρηται, ἡ αἴσθησις, ἀποτελεῖται ἐνεργήσει καὶ τὸ ὁρᾶν περὶ τὸ ὁρώμενον, οὐκ ἀλλοιοῦν αὐτό, οὐδὲ πάθος τι ἐμποιοῦν, ἀλλὰ κριτικῶς περὶ αὐτὸ ἐνεργοῦν· οὐ γὰρ ὡς σῶμα, ἀλλ' ὡς ζωτικόν, καὶ ὁρατικὸν ἐνεργεῖ. διότι γε μὴν ἐν σώματι ἡ τοιάδε ζωή, καὶ ἡ γνωστικὴ αὐτῇ δύναμις, καὶ οὐκ ἐν αὐτῷ αἰτιωδῶς, ὡς ἡ οὐρανία τὰ αἰσθητὰ περιέχουσα, ἀλλὰ κατὰ τὴν πρὸς αὐτὰ τελειοῦται ἀπόστασιν, δεῖται καὶ αὕτη συμμέτρου τῆς συναπτούσης αὐτὰ διαστάσεως. Καὶ ταῦτα μὲν κοινὰ καὶ ἀκοῆς, καὶ εἴ τις ἄλλη μὴ θιγγάνειν ἀναγκάζεται τοῦ οἰκείου αἰσθητοῦ. ἐπὶ δὲ τῆς ὄψεως ἐξαίρετος ἡ τοῦ φωτὸς χρεία, ἀμφοτελοῦντος, καὶ τὸ ὁρῶν εἰς τὸ ὁρᾶν, καὶ τὸ ὁρατὸν εἰς τὸ ὁρᾶσθαι. οὐδὲ γὰρ τὸ ὁρατὸν δράσει ἄν τι εἰς τὸ ὁρατικόν, ἄνευ φωτός· οὐδὲ τὸ ὁρῶν ἐνεργήσει ἂν περὶ τὸ ὁρατόν. φωτοειδὲς γοῦν ὄν, καὶ τὸ ὁρατικὸν ἡμῶν, ὡς περιφανῶς τοῦτο

ἡ εἰδικὴ

αὐτὸ

τῆς πάσεως

τοῦ λευκοῦ λέγω πάντων αἰσθάνεται ἡ ψυχὴ τῶν κατὰ μέρος λευκῶν. δεῖ τοίνυν τὸν τοιοῦτον προβεβλῆσθαι λόγον, εἰ μέλλει γίνεσθαι αἴσθησις. προβάλλεται δέ, ὡς πρὸς οἰκεῖον τὸ al. ὡς ζωτικὸν εἶδος διεγειρόμενος, καὶ τούτῳ συναρμοζόμενος * τῷ ὁμοιώματι τοῦ ἐκτὸς εἴδους, καὶ σὺν αὐτῷ ἐνεργῶν. τὸ γὰρ κρῖνον, ὁ λόγος καὶ ἡ σύνθεσις, ἤτοι τὴν αἰσθητικὴν ψυχήν, καὶ ἡ εἰς τὸ ἀμερὲς συναίρεσις ἐν τῇ χωριστῇ σωμάτων ὑποστάσει. Οὐκοῦν ἔχει τὸ τοῦ αἰσθητοῦ εἶδος ἡ ψυχή, διὰ τὸν λόγον αὐτοῦ προβάλλειν. ἀλλ᾽ οὐχ ὡς ἀπ᾽ αὐτοῦ μόρφωσίν τινα ἢ τύπωσιν, ὡς παρὰ σφραγῖδος δεχομένη. ἡ γὰρ κρίσις, καὶ ἡ ἐνέργεια ἔνδοθεν καὶ ζωτική. ὁ μὲν οὖν λόγος ἔνδον, καὶ οὐσιώδης τῆς ψυχῆς. ἡ δὲ τοῦ ζώου συμπληρωτικὴ ζωή, παρὰ μὲν τῶν οὐσιωδῶν ἠρτημένη λόγων. κατὰ δὲ τὴν πρὸς τὸ σῶμα τάσιν ὑφισταμένη, αἰσθητικὴ καὶ ἤδη, καὶ ὅρος, καὶ τελειότης τοῦ ζώου. διὸ ἐν ταύτῃ τὸ τοῦ αἰσθητοῦ ὁμοίωμα τελειοῦσθαι. ἐν δὲ τῷ αἰσθητηρίῳ ἀτελές, καὶ συμμιγὲς πάθει καὶ ἡ ἐνέργεια. καὶ τὸ μὲν πάθος ἔξωθεν, ἡ δὲ ἐνέργεια παρὰ τῆς ζωῆς. καὶ τὸ μὲν εἶδος ἐν τῇ τοῦ ζώου ζωῇ, ἡ δὲ κρίσις καὶ ἡ σύνεσις ἐν τῇ τοῦ λόγου ἐνεργείᾳ. Πῶς οὖν ὁμοιοῦται αἰσθητοῖς ἡ ψυχή, οὐ διὰ τὸ δέχεσθαί τι ἀπ᾽ αὐτῶν, ἀλλὰ διὰ τὸ κατὰ τὸν λόγον αὐτῶν ἐνεργεῖν, δι᾽ ἐμφάσεως τῶν ἐκτὸς εἰδῶν. πῶς οὖν ἅμα πλείοσι καὶ τοῖς ἐναντίοις ἐνίοτε ὁμοιοῦται. ἐπεὶ δεῖ πάσχειν, οὐχ οἷόν τε ἅμα τὰ ἐναντία. ἐνεργεῖν δὲ δυνατόν. ἡ δὲ αἴσθησις κατ᾽ ἐνέργειαν καὶ κρίσιν, ἀλλ᾽ οὐ κατὰ πάθος. κατὰ γὰρ τὸν λόγον ἡ αἴσθησις, τὸ δὲ πάθος ἐν τῷ αἰσθητηρίῳ. σῶμα δὲ ὂν καὶ μεριστὸν τὸ αἰσθητήριον, καὶ αὐτὸ κατὰ διάφορα μέρη πλείω ἅμα καὶ τἀναντία ἔχειν, οὐκ ἀδύνατον. ὁ λόγος δὲ ἐν ἀμερεῖ ἅμα τἀναντία καὶ τὰ διάφορα, ὅσα ἂν ᾖ, συλλαβὼν ἐνεργεῖ. διὸ καὶ τὴν ἑτερότητα αὐτῶν κρίνει, ὡς ἅμα τῶν πλειόνων ἐν ἀμερεῖ ἐφαπτόμενος. Ὅταν οὖν καὶ ὁ Θεόφραστος τὴν ὁμοίωσιν βούληται γίνεσθαι κατὰ τὰ εἴδη, καὶ τοὺς λόγους, ἄνευ τῆς ὕλης παραδεξάμεθα, ἀλλ᾽ οὐκ ἔξωθεν ἁπλῶς ἐγγινόμενα. παρὰ δὲ τῶν ἔνδον λόγων ἐν τῇ ζωῇ κατ᾽ ἐνέργειαν ἱστάμενα αἰσθητικήν. διὰ μέν τοι τὸ πρὸς τὰ ἐκτὸς παρατείνεσθαι, καὶ ἐκείνοις ἀφομοιοῦσθαι, εἰκότως ἄρα καὶ δύναμις νομίζεται ἡ αἴσθησις, ὡς ὑποφέρουσα τὰς ἐνεργείας. ὧδε μὲν οὖν τῆς ψυχῆς κατ᾽ ἐνέργειαν τοῦ λόγου ἡ ὁμοίωσις. ὧδε δὲ τοῦ αἰσθητηρίου, κατὰ τὴν παρὰ τοῦ αἰσθητοῦ πάθησιν ἅμα καὶ ζωτικὴν ἐνέργειαν.

Πῶς οὖν ἅμα ὑπό τε τοῦ πικροῦ καὶ τοῦ γλυκέος πάσχει. οὐ γὰρ μέρει μέν τινι τῆς γλώττης τόδε φησί, μέρει δὲ θάτερον· ἀλλὰ δι᾽ αὐτοῦ δι᾽ ὅλου. καὶ ὧδε τῆς ἀκοῆς δὲ ὁμοίως. εἰ ἄρα καὶ δηλεῖν δεῖ τὴν ἀκοήν, ἢ ὅτι ἡ γλῶττα τὸ γευστικὸν αἰσθητήριον, ἔτι ὑποδύματα ἐν τῇ γλώττῃ, μεριστὸν πάντων ὂν σῶμα ἑτέρῳ μὲν μορίῳ, ἄλλο, ἑτέρῳ δὲ ἄλλο τι πάσχειν, οὐκ ἀδύνατον. ὡς ἐναργὲς τοῦτο γίνεται ἐκ τῆς ἁφῆς· θερμαίνεσθαι γὰρ κατὰ ἄλλο μόριον, καὶ ψύχεσθαι, κατὰ ἄλλον δι᾽ αὐτοῦ χρόνῳ δυνατόν. καὶ τὸ αἰσθητικὸν δὲ τῆς ἀκοῆς ὑπόδυμα, μεριστὸν δηλαδή. ὁ δὲ λόγος εἴρηται, ὡς ἀμερὴς ὤν, ἐνεργεῖν δὲ ἅμα τἀναντία οὐ κωλύεται. πάσχειν γὰρ οὐχ οἷόν τε κατὰ τὸ αὐτὸ τὰ ἐναντία. ἀλλ᾽ ἡ μὲν θερμότης, ὡς δύναμις φυσικὴ δρᾷ κἂν εἰς τὸ αἰσθητήριον, ἡ δὲ μορφὴ καὶ ὁ τύπος καὶ ἡ κίνησις καὶ ὁ ἀριθμός, πῶς ἐξομοιοῖ. ἢ καὶ ταῦτα ἔχειν τι δραστήριον ἐροῦμεν, δρᾶν δὲ μᾶλλον εἰδητικῶς· ὡς τὴν θερμότητα, καὶ τὰς συστοίχους αὐτῇ δυνάμεις, σωματοειδέστερον, καὶ διὰ τοῦτο πληκτικώτερον καὶ παθητικώτερον. εἰ μὴ ἄρα καὶ τὰ μὲν ἴδια αἰσθητὰ ἑκάστης αἰσθήσεως ἐναργεστέραν ἔχει τὴν ἐνέργειαν, τὰ δὲ κοινὰ ἀμυδροτέραν. τὰ μὲν προσεχῆ, ὡς οἰκεῖα· τὰ δὲ πορρώτερα. καὶ ἴσως ὡς κρείττω τὰ κοινά, οὐχ ὡσαύτως ὄντα τῇ αἰσθήσει σύμμετρα· ἀλλ᾽ ὅμως αἰσθητὰ καὶ κοινά, καὶ οὐ μόνῃ τῇ διανοίᾳ γνωρίζεται. εἰς ἔννοιαν γενομένην ἐκ τῶν αἰσθητῶν ἡ διάνοια ἀναγομένη, αὐτὴ καθ᾽ αὑτὴν λογίζεται, οὐκέτι ὄντα τῇ αἰσθήσει καταληπτά· ὡς ὅταν τὴν οὐσίαν γνωρίζῃ τῶν αἰσθητῶν. εἰ δὲ καὶ χρόνου καὶ ἀριθμοῦ, μὴ ἀντιλαμβάνηται ἡ αἴσθησις· καὶ τούτων ἔσται ἡ διάνοια, παρὰ τῶν αἰσθητῶν ἀναπεμπομένη, γνωριστική. Ἀλλ᾽ εἰ καθ᾽ ὁμοίωσιν ἡ γνῶσις, πῶς μὴ πάσχουσα παρὰ τῶν ἐν τοῖς αἰσθητοῖς, ὁμοιοῦται πρὸς αὐτὰ ἡ διάνοια. εἰ δὲ πάσχει, ὁποῖον αὐτῆς τὸ πάθος; ἢ οὐ κατὰ πάθος, οὐ δὲ ἡ αἰσθητική, ὡς ἐλέγομεν, κρίσις, οὕτω λέγω ἡ διανοητικὴ σύνεσις, ἀλλὰ κατ᾽ ἐνέργειαν καὶ λόγων προβολήν. ὡς δὲ παρὰ τοῦ ἐν τῷ αἰσθητηρίῳ πα-

θους

ΠΡΙΣΚΙΑΝΟΥ ΦΙΛΟΣΟΦΟΥ ΛΥΔΟΥ ΜΕΤΑΦΡΑΣΙΣ ΤΩΝ ΘΕΟφράστου περὶ αἰσθήσεως.

ΠΕΡΙ αἰσθήσεως αὐτοῦ ὁ σκοπὸς ἐφεξῆς. ἐπεὶ δὲ ὑπὸ τῶν αἰσθητῶν κινούμενα τὰ αἰσθητήρια ἀφομοιοῦσθαι τοῖς αἰσθητοῖς τοῦ πάσχειν βούλεται ὁ ἀριστοτέλης, ζητεῖ τίς ἡ ὁμοίωσις. καὶ γὰρ ἰδεῖ τῶν αἰσθητηρίων, καὶ ἔτι μᾶλλον ἰδεῖ τῆς ψυχῆς, ἄπεπτον φαίνεται, τοῦ χρώματι, καὶ χυμοῖς, καὶ ψόφῳ, καὶ μορφῇ ἀφομοιοῦσθαι δυνατόν. λέγει μὲν οὖν καὶ αὐτὸς κατὰ τὰ εἴδη καὶ τοὺς λόγους ἄνευ τῆς ὕλης γίνεσθαι τὴν ἀφομοίωσιν. ἐπιζητεῖ δὲ, πότερον ἔξωθεν τὸ εἶδος, καὶ ποῖον, καὶ ποῦ ἀποφαινόμενον. καὶ εἰ πρὸς γνῶσιν ἱκανὸν τὸ περὶ τοῖς σώμασιν μεριζόμενον, καὶ εἰς ἓν οὐ συναιρούμενον, κατὰ τὴν εἰς ἓν συναίρεσιν, καὶ τὴν ἀμερεστέραν τοῦ γνωστοῦ παντὸς περίληψιν ἀπάσης ἱσταμένης γνώσεως. Ἐνέργειαν μὲν οὖν κατὰ τὸ εἶδος τοῦ γνωστοῦ ἀνάγκη τὸ γινῶσκον, καὶ τὸν ἐκείνου προβεβλῆσθαι χαρακτῆρα. καὶ αὕτη ἀφομοίωσις. πάθημα δὲ τοῦ αἰσθητηρίου, προηγεῖσθαι ἀνάγκη τῆς αἰσθήσεως. οὐ γὰρ παντελῶς οὖσα χωριστὴ σωμάτων δύναμις ἡ αἴσθησις, ἀλλ' ἐν τῇ πρὸς τὰ αἰσθητήρια οἰκειωμένῃ νεύσει. καὶ τοῦ ζώου οὖσα συμπληρωτική, οὐδὲ ἐνεργεῖν ἄνευ αὐτῶν, οἶμαι, οὐ μὴν ὅτι προηγουμένως αὕτη ἐγειρομένη συγκινεῖ τὸ ὄργανον, ὡς ἡ φαντασία διὰ τὸ πολὺ κατατεταγμένον, καὶ διὰ τὴν ὅλην περὶ τὰ ἐκτὸς ἀπόστασιν, καὶ παρόντων καὶ αὐτῶν δεῖσθαι τῶν αἰσθητῶν. τὰ μὲν οὖν φανταστὰ οὐκ ἐκτός, εἰ καὶ τῶν ἔξω ἐστὶν ἀφομοιώματα, τὰ δὲ αἰσθητὰ ἔξω. τούτων γὰρ ἡ αἴσθησις, ἀλλ' οὐχὶ τῶν ἐν τοῖς αἰσθητηρίοις παθῶν, σὺν δὲ τούτοις τῶν ἐν τοῖς σώμασιν εἰδῶν ἀντιλαμβάνεται. Πάσχει δὲ ὑπὸ τῶν αἰσθητῶν τὰ αἰσθητήρια, οὐχ ὡς τὰ ἄψυχα, ἀλλὰ ζῶντος σώματος τὸ πάθος. διὸ οὐδὲ ἐπαθὸς τὸ ὅλον, οὐδὲ ἔξωθεν πάντα, ἀλλὰ καὶ κατ' οἰκείαν ἐνέργειαν. καὶ οὐ κινεῖται μὲν πρότερον, ἐνεργεῖ δὲ ὕστερον. ἀλλ' οὐδὲ κινεῖται ὅλως, ἀμὴ μία καὶ ἐνέργεια. οὐ μὴν οὐδὲ ἐνεργεῖ ἄνευ τοῦ κινεῖσθαι. τὸ δὴ τοιοῦτον ἐν τοῖς αἰσθητηρίοις κινούμενα ὁμοιοῦται τοῖς αἰσθητῶν ἄδεσιν, ὡς ἅμα ὑπ' αὐτῶν τε καὶ κατὰ τὴν πρὸς αὐτὰ τῆς ζωτικῆς ἐν τοῦ αἰσθητηρίου ἐμφάσεως, διέγερσιν ἐγγινόμενον. ἀλλ' οὔπω αὕτη αἴσθησις, τὸ ἐν τοῦ αἰσθητηρίου πρὸς τὰ αἰσθητὰ ὁμοίωμα, πάθημα ὂν μᾶλλον ἢ ἐνέργημα καὶ σωματοειδές, καὶ μεριστόν, καὶ χρόνῳ παρατεινόμενον, καὶ συνδιδὸν μὲν εἰς εἶδος, ὅπου δὲ ὂν ἐν τοῦ εἴδει, ἀλλ' ἐν κινήσει ἑστῶσα. ὁμοίως

ἡ δὲ αἴσθησις, ἀμερίστως τε τὴν ἀρχήν, καὶ μέσα καὶ τέλος τοῦ αἰσθητοῦ περιλαμβάνει, καὶ ἐνέργεια ἐστὶ καὶ κρίσις τελεία καὶ ἐν τῷ νῦν ἅμα ὅλη καὶ κατὰ τὸ εἶδος ἤδη τοῦ αἰσθητοῦ ἑστῶσα. διὸ οὐκ ἄνευ μὲν τοῦ ἐν τοῦ αἰσθητηρίου παθήματος, οὐ μὴν αὐτὸ ἡ αἴσθησις· ὅθεν καὶ πάσχοντων μὲν καθευδόντων τε καὶ ἐγρηγορούντων, ἐνίοτε οὐκ ἐπαισθανόμεθα. δεῖ τοίνυν μετὰ τὸ πάθημα εἰς εἶδος τελειωθῆναι τὸ τοῦ αἰσθητοῦ ὅμοιον. κατὰ γὰρ τὸ τέλειον εἶδος ἡ αἴσθησις. ἐπειδὴ κρίνει τὸ δὲ τοῦ αἰσθητοῦ εἶδος. αὕτη δὴ οὐκ ἐν τοῦ αἰσθητηρίου. πάθημα γὰρ καὶ κίνημα καὶ ἐν μερισμῷ, ἀλλ' οὐκ εἶδος. οὐ μὴν οὐδὲ ἐν τῇ ἐμφάσει τῆς ζωῆς, τῇ ἐν τοῦ αἰσθητηρίου ἀπὸ τῆς ψυχῆς ἐνδιδομένη. μετὰ γὰρ πάθους καὶ τοιαύτης ἐνέργημα. καὶ κοινὸν ἐστὶν ἀμφοῖν τὸ κίνημα τοῦ τε ὀργάνου, καὶ τῆς ἐν αὐτῷ ζωῆς. ἀλλ' ἐν ζωῇ μὲν δηλαδὴ τὸ εἶδος, καθὸ ἡ αἴσθησις. τῇ δὲ κατ' ἐνέργειαν ἱσταμένῃ, οὐ τῇ χωριστῇ, ἀλλὰ τῇ συμπληρούσῃ τὸ ζῶον ψυχικῇ ζωῇ, καὶ τῇ ζωτικῇ αὐτῆς προβολῇ τῇ περὶ τὰ σώματα μεριζομένῃ.

Ἀλλ' οὐδὲ αὕτη ἱκανὸν πρὸς τὴν αἴσθησιν. τὸ γὰρ τελειωθὲν περὶ τὸ αἰσθητήριον κατ' ἐνέργειαν εἶδος, ἅτε περὶ τὸ σῶμα μεριζόμενον, καὶ εἰς ἓν ἀμερὲς οὐκ ἐπιστρεφόμενον, οὐκ ἐστὶ γνωστικόν, ἀλλ' ἔστι τις ἐν τῇ ψυχῇ προειλημμένος τῶν αἰσθητῶν λόγος, ὃς ζῇ καὶ καθ' ἑαυτόν, καὶ οὐ μόνον ἐστὶ τοῦ συνθέτου. διὸ καὶ ἀμερίστως ἐνεργεῖ, καὶ δυνάμεις ὑπάρχει τῶν κατὰ τὸ μέρος, ἀλλ' οὐχ ὡς ἔν τι μεριστὸν εἶδος ἐγγίνεται. λόγος τε γνωστικὸς τῶν αἰσθητῶν ἐν ψυχῇ ὑφεστώς, ἀλλ' οὐκ ἐν τοῦ σώματι ἱδρυμένος. εἷς μὲν, ἀλλ' οὐχ ὡς τὰ ἄτομα. τὸ δὲ ἓν ἔχον περιληπτικὸν τῶν πολλῶν, καὶ ἑκάστῳ αὐτῶν ἐφαρμόζον. τοῦ γὰρ ἑνὸ

μορφαῖς καὶ ἄλλαι καὶ δυνάμεσι. τίνος δ' ἕνεκα ταῦτα ζητήσειεν ἄν τις. αὐτὸ γὰρ τοῦτο ἄπορον, τὸ μὴ ἔχειν λόγον. καὶ ταῦτ' ἐν ἑτέροις μὴ ποιοῦσι προτέροις καὶ τιμιωτέροις. ἢ καὶ ἔοικεν ὁ λόγος ἔχειν τι πιστόν, ὡς ἄρα περὶ αὐτόματον ταῦτα, καὶ τῇ τοῦ ὅλου περιφορᾷ λαμβάνει τινὰς ἰδέας, ἢ πρὸς ἄλληλα διαφοράς. εἰ δὲ μὴ τοῦθ' ἕνεκά τε, καὶ εἰς τὸ ἄριστον, ληπτέον τινὰς ὅρους, οὐκ ἐπὶ πάντων ἁπλῶς θετέον· ἐπεὶ καὶ τὰ τοιαῦτα ἔχει τινὰ δίστασιν, καὶ ἁπλῶς λεγόμενα καὶ καθ' ἕκαστα. ἁπλῶς μὲν, ὅτι τὴν φύσιν ἐν ἅπασιν ὀρέγεσθαι τοῦ ἀρίστου, καὶ ἐφ' ὧν ἐνδέχεται μεταδιδόναι τοῦ ἀεὶ καὶ τοῦ τεταγμένου· ὡς δ' αὔτως καὶ ἐπὶ τῶν ζώων ὁμοίως. ὅπου γὰρ οἷόν τε τὸ βέλτιον, ἐνταῦθα οὐδαμοῦ παραλείπει· οἷον τὸ ἔμπροσθεν τὴν φάρυγγα τοῦ οἰσοφάγου. τιμιώτερον γάρ, καὶ ἐν τῇ μέσῃ κοιλίᾳ τῆς καρδίας τὴν κρᾶσιν ἀρίστην, ὅτι τὸ μέσον τιμιώτατον. ὡσαύτως δὲ, καὶ ὅσα κόσμου χάριν. εἰ γὰρ καὶ ἡ ὄρεξις οὕτως, ἀλλ' ἐκεῖνό γε ἐμφαίνει. διότι πολὺ τὸ οὐχ ὑπακοῦον, οὐδὲ δεχόμενον τὸ εὖ. μᾶλλον δὲ, πολλῷ πλεῖον. ὀλίγον γάρ τι τὸ ἔμψυχον, ἄπειρον δὲ τὸ ἄψυχον· καὶ αὐτῶν τῶν ἐμψύχων ἀκαριαῖον, καὶ βέλτιον, τὸ εἶναι· τὸ δ' ὅλον σπάνιόν τι, καὶ ἐν ὀλίγοις, τὸ ἀγαθόν. πολὺ δὲ πλῆθος, ἐστὶ τὸ κακόν. οὐκ εἰ ἀοριστίᾳ δὲ μόνον, καὶ οἷον ὕλης εἴδει, καθάπερ τὰ τῆς φύσεως, ἀμαθέστατον. εἰ γὰρ οἱ περὶ τῆς ὅλης οὐσίας λέγοντες, ὥσπερ Σπεύσιππος σπάνιόν τι τὸ τίμιον ποιεῖ, τὸ περὶ τὴν τοῦ μέσου χώραν. τὰ δ' ἄκρα, καὶ ἑκατέρωθεν. τὰ μὲν οὖν ὄντα, καλῶς ἔτυχεν ὄντα. Πλάτων δὲ, καὶ οἱ Πυθαγόρειοι, μακρὰν τὴν ἀπόστασιν, ἐπιμιμεῖσθαι γ' ἐθέλειν ἅπαντα· καίτοι καθάπερ ἀντίθεσίν τινα ποιοῦσι τῆς ἀορίστου δυάδος, καὶ τοῦ ἑνός. ἐν ᾗ καὶ τὸ ἄπειρον, καὶ τὸ ἄτακτον, καὶ πᾶσα (ὡς εἰπεῖν) ἀμορφία καθ' αὑτήν. ὅλως δ' οὐχ οἷόν τε ἄνευ ταύτης τὴν τοῦ ὅλου φύσιν, ἀλλ' οἷον ἰσομοιρεῖν, ἢ καὶ ὑπερέχειν τῆς ἑτέρας, ἢ καὶ τὰς ἀρχὰς ἐναντίας. διὸ καὶ οὐδὲ τὸν θεὸν ὅσοι τῷ θεῷ τὴν αἰτίαν ἀνάπτουσι, δύνασθαι πάντα εἰς τὸ ἄριστον ἄγειν· ἀλλ' εἴπερ ἐφ' ὅσον ἐνδέχεται. τάχα δ' οὐδ' ἂν προέλοιτ', εἴπερ ἀναιρεῖσθαι συμβήσεται τὴν ὅλην οὐσίαν, ἐξ ἐναντίων γε καὶ ἐν ἐναντίοις οὖσαν. φαίνεται δὲ καὶ ἐν τοῖς πρώτοις ἐπιθεωρούμενα πολλά, καὶ ὡς ἔτυχεν· οἷον, τὰ περὶ τῆς γῆς λεχθέντα μεταβολίας. οὔτε γὰρ τὸ βέλτιον, οὔτε τὸ τίνος χάριν, ἀλλ' εἴπερ ἀνάγκῃ τινὶ κατακολουθεῖν. πολλὰ δὲ καὶ ἐν τῷ ἀέρι τοιαῦτα, καὶ ἐν ἄλλοις. μάλιστα δ' ἂν δόξειεν ἔχειν τὴν τάξιν τῶν μὲν αἰσθητῶν, τὰ οὐράνια· τῶν δ' ἄλλων, εἰ μὴ ἄρα καὶ πρότερα τούτων τὰ μαθηματικά. εἰ γὰρ καὶ μὴ πᾶν, ἀλλ' ἐν τούτοις πλέον τὸ τεταγμένον· πλὴν εἴ τις τοιαύτας λαμβάνει τὰς μορφάς, οἵας Δημόκριτος ὑποτίθεται τῶν ἀτόμων. ἀλλὰ δὴ τούτων μὲν πέρι, σκεπτέον. ὃ δ' ἐξ ἀρχῆς ἐλέχθη, πειρατέον τινὰ λαμβάνειν ὅρον, καὶ ἐν τῇ φύσει, καὶ ἐν τῇ τοῦ σύμπαντος οὐσίᾳ. καὶ τοῦ ἕνεκά του, καὶ τῆς εἰς τὸ βέλτιον ὁρμῆς. αὕτη γὰρ ἀρχὴ τῆς τοῦ σύμπαντος θεωρίας, ἐν τίσι τὰ ὄντα, καὶ πῶς ἔχει πρὸς ἄλληλα.

Τοῦτο τὸ βιβλίον, Ἀνδρόνικος μὲν καὶ Ἕρμιππος ἀγνοοῦσιν· οὐδὲ γὰρ μνείαν αὐτοῦ ὅλως πεποίηνται, ἐν τῇ ἀναγραφῇ τῶν Θεοφράστου βιβλίων. Νικόλαος δὲ, ἐν τῇ θεωρίᾳ τῶν Ἀριστοτέλους μετὰ τὰ φυσικά, μνημονεύει αὐτοῦ, λέγων εἶναι Θεοφράστου. εἰσὶ δὲ ἐν αὐτῷ προδιαπορήσεις τινὲς ὀλίγαι τῆς ὅλης πραγματείας.

ΤΈΛΟΣ ΤΩ͂Ν ΘΕΟΦΡΆΣΤΟΥ.

καθάπερ ἐν τοῖς καὶ ποιητοῖς. οὕτως γὰρ αὐτῶν ἡ ἐνέργεια. ταὐτὸ δ' ἀπεσάμεθα καὶ οὐσίᾳ καὶ ἀριθμῷ, καὶ εἴδει, καὶ γένει, καὶ ἀναλογίᾳ· καὶ εἰ ἄρα ἔτι ταῦτα παρὰ διαιρέσεις. διὰ πλείστου δὲ τὸ κατ' ἀναλογίαν, ὡς ἂν ἀπέχοντα πλεῖστον· τὰ μὲν δι' ἡμᾶς αὐτούς, τὰ δὲ διὰ τὸ ὑποκείμενον, τὰ δὲ δι' ἄμφω. πλεοναχῶς δ' ὄντος τοῦ ἐπίστασθαι, πῶς ἕκαστον μεταδιωκτέον, ἀρχὴ καὶ μέγιστον ὁ οἰκεῖος τρόπος· οἷον τὰ πρῶτα καὶ νοητά, καὶ τὰ κινητά, καὶ τὰ ὑπὸ φύσιν. αὐτῶν τε τούτων τὰ ἐν ἀρχῇ, καὶ τὰ ἑπόμενα μέχρι ζώων καὶ φυτῶν, καὶ ἐσχάτων τῶν ἀψύχων. ἔστι γάρ τι καθ' ἕκαστον γένος ἴδιον, ὥσπερ καὶ ἐν τοῖς μαθηματικοῖς. ἔχει δὲ καὶ αὐτὰ τὰ μαθήματα διαφοράν, καίπερ ὁμογενῆ πως ὄντα. διῄρηται δ' ἱκανῶς. εἰ δὲ καὶ ἔνια γνωστὰ τῷ ἄγνωστα εἶναι, καθάπερ τινές φασιν, ἴδιος ἂν ὁ τρόπος εἴη· διαιρέσεως δέ τινος δεῖται. τάχα δ' ἐφ' ὧν ἐνδέχεται κατ' ἀναλογίαν οἰκειότερον λέγειν, ἢ αὐτῷ τῷ ἀγνώστῳ, καθάπερ ἄν τις τῷ ἀοράτῳ τὸ ὁρατόν. πόσοι δ' οὖν τρόποι, καὶ ποσαχῶς τὸ εἰδέναι, πειρατέον διελεῖν. ἡ δ' ἀρχὴ πρὸς αὐτὰ ταῦτα, καὶ πρῶτον τὸ ἀφορίσαι, τὸ ἐπίστασθαι· χαλεπώτερον δ' ἂν δόξειεν. οὐ γὰρ οἷόν τε καθόλου καὶ κοινόν τι λαβεῖν ἐν τοῖς πλεοναχῶς λεγομένοις. ἢ καὶ τοῦτο ἄπορον. ἢ οὐ ῥᾴδιόν τε εἰπεῖν μέχρι πόσου, καὶ τίνων ζητητέον αἰτίας, ὁμοίως ἔν τε τοῖς αἰσθητοῖς καὶ νοητοῖς. ἡ γὰρ εἰς τὸ ἄπειρον ὁδὸς ἐν ἀμφοῖν ἀλλοτρία, καὶ ἀναιροῦσα τὸ φρονεῖν. ἀρχαὶ δὲ τρόπον τινὰ ἄμφω. τάχα δ' ἡ μὲν ἡμῖν, ἡ δ' ἁπλῶς, ἢ τὸ μὲν τέλος, ἡ δ' ἡμετέρα τις ἀρχή. μέχρι μὲν οὖν τινος δυνάμεθα δι' αἰτίου θεωρεῖν, ἀρχὰς ἀπὸ τῶν αἰσθήσεων λαμβάνοντες. ὅταν δὲ ἐπ' αὐτὰ τὰ ἄκρα καὶ πρῶτα μεταβαίνωμεν, οὐκέτι δυνάμεθα, εἴτε διὰ τὸ μὴ ἔχειν αἰτίαν, εἴτε διὰ τὴν ἡμετέραν ἀσθένειαν, ὥσπερ πρὸς τὰ φωτεινότατα βλέπειν. τάχα δ' ἐκεῖνο ἀληθέστερον, ὡς αὐτῷ τῷ νῷ ἡ θεωρία θιγόντι, καὶ οἷον ἁψαμένῳ· διὸ καὶ οὐκ ἔστιν ἀπάτη περὶ αὐτά. χαλεπὴ δὲ καὶ εἰς αὐτὸ τοῦθ' ἡ σύνεσις, καὶ ἡ πίστις. ἐπεὶ καὶ ἄλλως μέγα, καὶ πρὸς τὰς καθέκαστα πραγματείας ἀναγκαῖον. καὶ μάλιστα τὰς μεγίστας ἐν αἷς ποιητέον τὸν ὅρον, περί τε τῆς φύσεως, καὶ περὶ τὰς ἔτι προτέρας. οἱ γὰρ ἁπάντων ζητοῦντες λόγον, ἀναιροῦσι λόγον. ἅμα δὲ τὸ εἰδέναι, μᾶλλον δ' ἀληθέστερον εἰπεῖν, ὅτι ζητοῦσιν ὧν οὐκ ἔστιν οὐδὲ πέφυκεν, οἷον τὸν οὐρανὸν ἀΐδιον ὑπολαμβάνουσιν. ἔστι δὲ τά τε περὶ τὰς φοράς, καὶ τὰ μεγέθη καὶ τὰ σχήματα, καὶ τὰς ἀποστάσεις, καὶ ὅσα ἄλλα ἀστρολογία δείκνυσι τούτοις κατάλοιπα, αὐτὰ δὲ τὰ πρῶτα κινοῦντα, καὶ τὸ τίνος ἕνεκα λέγειν, καὶ τίς ἡ φύσις ἑκάστου, καὶ ἡ πρὸς ἄλληλα θέσις, καὶ ἡ τοῦ σύμπαντος οὐσία. καὶ ὑποβαίνοντι δὴ πρὸς τὰ ἄλλα καθ' ἕκαστον τὸ εἶδος, ἡμέρων ἄχρι ζώων καὶ φυτῶν. εἰ οὖν ἀστρολόγος συνεργεῖ μὲν, οὐκ ἐν τοῖς πρώτοις δὲ τῆς φύσεως. ἕτερα δὲ κυριώτατα ἂν εἴη, καὶ πρότερα. καὶ γὰρ δὴ καὶ ὁ τρόπος, ὡς οἴονταί τινες, οὐ φυσικός, ἢ οὐ πᾶς. καί τοι τό γε κινεῖσθαι, καὶ ἁπλῶς τῆς φύσεως οἰκεῖον, καὶ μάλιστα τοῦ οὐρανοῦ. διὸ καὶ ἡ ἐνέργεια τῆς οὐσίας ἑκάστου, καὶ τὸ καθ' ἕκαστον, ὅταν ἐνεργῇ καὶ κινῆται, καθάπερ ἐν τοῖς ζώοις καὶ φυτοῖς. εἰ δὲ μὴ ὁμώνυμα· δηλονότι καὶ ὁ οὐρανὸς ἐν τῇ περιφορᾷ κατὰ τὴν οὐσίαν εἴη, χωριζόμενος καὶ ἠρεμῶν, ὁμώνυμος. οἷον γὰρ ζωή τις, ἡ περιφορὰ τοῦ παντός. ἆρ' οὖν εἴ τε μὴ δ' ἐν τοῖς ζώοις τὴν ζωήν, ἢ οὐ δεῖ ζητητέον· οὐδ' ἐν τῷ οὐρανῷ, καὶ τοῖς οὐρανίοις τὴν φορὰν ἢ τρόπον τινὰ ἀφωρισμένον. συνάπτει δέ πως ἡ νῦν ἀπορία, καὶ πρὸς τὴν ὑπὸ τοῦ ἀκινήτου κίνησιν. ὑπὲρ δὲ τοῦ πάνθ' ἕνεκά του καὶ μηδὲν μάτην, ἀλλ' ὡς ὁ ἀφορισμός, οὐ ῥᾴδιος, καθάπερ πλεονάκις λέγεται. πόθεν δὲ ἄρξασθαι χρή, καὶ εἰς ποῖα τελευτᾶν. καὶ δὴ ἔνια τῶν μὴ δοκεῖν ἔχειν οὕτως, ἀλλὰ τὰ μὲν συμπτωματικῶς, τὰ δ' ἀνάγκῃ τινί, καθάπερ ἔν τε τοῖς οὐρανίοις, καὶ ἐν τοῖς περὶ τὴν γῆν πλείοσι. τίνος γὰρ αἱ ἔφοδοι ἕνεκα, καὶ ἀνάρροιαι θαλάττης, ἢ τίνος αἱ περιχωρήσεις, ἀναξηράνσεις καὶ ὑγρότητες, καὶ ὅλως πρὸς ἄλλο τ' ἄλλο μεταβολαὶ καὶ φθοραὶ καὶ γενέσεις. ἢ αἱ μὲν ἐν αὐτῇ τῇ γῇ ἀλλοιώσεις καὶ μεταβολαὶ γίνονται πρὸς ἄλλο τ' ἄλλο μεθισταμένων· καὶ ἕτερα οὐκ ὀλίγα παρόμοια τούτοις. ἔτι δ' ἐν αὐτοῖς τοῖς ζώοις τὰ μὲν ὥσπερ μάταια, καθάπερ τοῖς ἄρρεσιν οἱ μαστοί, καὶ τοῖς θήλεσιν ἡ πρόεσις, εἴπερ μὴ συμβάλλεται· καὶ πώγωνος δ' ἐνίοις, ἢ ὅλως τριχῶν ἔκφυσις, ἐν τοῖς τόποις. ἔστι δὲ καὶ κεράτων μεγέθη, καθάπερ τῶν ἐλάφων. τοῖς δὲ καὶ λελωβημένοις κινήσεις τε καὶ παραιωρήσεις, καὶ ἐπιπροσθήσεις τῶν ὀμμάτων. καὶ ὡς ἔνια διὰ βίας, ἢ παρὰ φύσιν, ὥσπερ ὁ ἐρωδιὸς ὀχεύει, καὶ τὸ ἡμερόβιον ζῇ, καὶ ἕτερα οὐκ ὀλίγα λάβοι τις ἂν τοιαῦτα· καὶ τὸ μέγιστον δὴ καὶ μάλιστα δοκοῦν περὶ τὰς τροφὰς καὶ γενέσεις τῶν ζώων. οὐδενὸς γὰρ ταῦθ' ἕνεκα, ἀλλὰ συμπτώματα, καὶ δι' ἑτέρας ἀνάγκας. ἔδει γάρ, εἴπερ τούτων χάριν, ἀεὶ κατὰ ταῦτα καὶ ὡσαύτως. ἔτι δ' ἐν τοῖς φυτοῖς, καὶ μᾶλλον τοῖς ἀψύχοις, ὡρισμένην τιν' ἔχουσι φύσιν, ὥσπερ δοκοῦσι καὶ

μορφαῖς

καὶ μουσικῇ, καὶ ταῖς μαθηματικαῖς. συνακολουθεῖ δὲ καὶ τὰ μετὰ τὰς ἀρχάς. ἔτι δὲ καὶ κατὰ τέχνας ὁμοίως, αἵπερ τὴν φύσιν μιμοῦνται· καὶ τὰ ὄργανα, καὶ τὰ ἄλλα, κατὰ τὰς ἀρχάς. οἱ μὲν οὖν ἀμόρφους πάσας, οἱ δὲ μόνον τὰς ὑλικάς· οἱ δ' ἄμφω, τάς τε ἀμόρφους, καὶ τὰς τῆς ὕλης· ὡς ἐν ἀμφοῖν τὸ τέλειον. οἷον καὶ ἐξ ἀντικειμένων τὴν ἅπασαν οὐσίαν. ἄλογον δ' ἂν κἀκείνοις δόξειεν, εἰ ὁ μὲν ὅλος οὐρανὸς καὶ ἕκαστα τῶν μερῶν, ἅπαντά τ' ἐν τάξει καὶ λόγῳ καὶ μορφαῖς καὶ δυνάμεσι καὶ περιόδοις. ἐν δὲ ταῖς ἀρχαῖς μηθὲν τοιοῦτον. ἀλλ' ὥσπερ σὰρξ εἰκῆ κεχυμένων ὁ κάλλιστος, φησὶν Ἡράκλειτος, ὁ κόσμος, καὶ περὶ τὰ τῶν ἐλάχιστον δ' ὡς εἰπεῖν λαμβάνουσιν, ὁμοίως ἐν ἀψύχοις. ὡρισμέναι γὰρ ἑκάστου αἱ φύσεις, ὡς εἰπεῖν, καὶ περὶ τῶν αὐτομάτως γινομένων. τὰς δ' ἀρχὰς ἀορίστους εἶναι. χαλεπὸν δὲ πάλιν αὐτὸ τοὺς λόγους ἑκάστους περιβῆναι, πρὸς τὸ ἕνεκά του συνάγοντας ἐν ἅπασι, καὶ ἐν ζώοις καὶ φυτοῖς, καὶ ἐν αὐτῇ πομφόλυγι· πλὴν εἰ συμβαίνει τῇ ἑτέρων τάξει καὶ μεταβολῇ μορφὰς παντοίας καὶ ποικιλίας γίνεσθαι, τῶν περὶ τὸν ἀέρα καὶ τὴν γῆν· ὧν τε μέγιστόν ἐστι παράδειγμα ποιοῦνται, τὰ περὶ τὰς ὥρας τὰς ἐτείους. ἐν αἷς καὶ ζώων καὶ φυτῶν καὶ καρπῶν γενέσεις, οἷον γεννῶντος τοῦ ἡλίου. καὶ ταῦτα μὲν ἐνταῦθα ζητεῖ πού τινα σκέψιν, ἀφορισμὸν ἀπαιτοῦντα μέχρι πόσου τὸ τεταγμένον· καὶ διὰ τί πλέον ἀδύνατον ἢ εἰς τὸ χεῖρον μετάβασις. ἐν δὲ ταῖς ἀρχαῖς ὅθεν δὴ καὶ ὁ πρῶτος λόγος, ὁπότως ἄν τις καὶ τὸ περὶ τῆς ἠρεμίας ἀπορήσειεν. εἰ μὲν γὰρ ὡς βέλτιον ἀνάψαι ἐν ταῖς ἀρχαῖς, εἰ δ' ὡς ἀργία καὶ στέρησις τῆς κινήσεως οὐκ ἀνάψαι. ἀλλ' ἀντὶ τὴν ἐνέργειαν ἀντιμεταλλακτέον, ὡς προτέραν καὶ τιμιωτέραν· τὴν δὲ κίνησιν, ἐν τοῖς αἰσθητοῖς. ἐπεί τοί γε διὰ τὸ τ' ἠρεμεῖν, ὡς ἀδύνατον ἀεὶ κινοῦν εἶναι τὸ κινοῦν. οὐ γὰρ ἂν εἴη κίνδυνος πρῶτον, μὴ λογοειδὴς καὶ ἄλλως οὐκ ἀξιόπιστον. ἀλλὰ μείζω τινὰ αἰτίαν ζητεῖ. δοκεῖ δὲ καὶ ἡ αἴσθησις τρόπον τινὰ συναυδᾶν, ὡς ἐνδεχόμενον, μὴ διὰ τὸ κινοῦν ἕτερον εἶναι, καὶ ὃ κινεῖ διὰ τὸ ποιεῖν καὶ πάσχειν. ἔστι δέ, ἄν τις ἐπ' αὐτὴν ἄγῃ τὸν νοῦν καὶ τὸν θεόν. ἄτοπον δὲ καὶ τὸ ἕτερον λεχθέν, ὡς οὐ μιμοῦνται τὰ ὀρεγόμενα τοῦ ἠρεμοῦντος. εἰ γὰρ αὐτοῖς οὖσιν ἀκολουθεῖ ἡ τῶν ἄλλων. πλὴν ἴσως οὐχ ὁμοίως ληπτέον, ὡς εἰς τὸ ἀμερὲς ἄγοντας. ἀλλ' ὅπως ὅτι μάλιστα σύμφωνον ἑαυτῷ, καὶ ἀπηρτισμένον ὡς ἂν πόλις ἢ ζῷον, ἢ καὶ ἄλλο τι τῶν μερικῶν, ἢ καὶ ὅλως οὐρανός, ὃν δή φασιν εἶναι τελεώτατον. ὑποθεῖ δέ τινα καὶ τὰ τοιάδε λόγον, πῶς ποτε τῶν ὄντων ὁ μερισμὸς εἰς ὕλην καὶ μορφήν. πότερον ὡς τὸ μὲν ὄν, τὸ δὲ μὴ ὄν· δυνάμει δ' ὂν καὶ ἀγόμενον εἰς ἐνέργειαν· ἢ ὂν μέν, ἀόριστον δὲ ὄν, καθάπερ ἐν ταῖς τέχναις. ἡ δὲ γένεσις ἡ οὐσία γε αὐτῶν, τὸ μορφοῦσθαι κατὰ τοὺς λόγους. ἀλλ' οὕτω γ' εἰς μὲν τὸ βέλτιον τάχα ἂν ἡ μετάβασις εἴη. τὸ δ' εἶναι οὐθὲν ἂν ἧττον ἀληθὲς ὑπάρχειν καθ' αὑτήν. οὐ γὰρ ἂν οὐδὲ γίνοιτο μὴ ὑπαρχούσης. ἀλλὰ τὸ μήτε τόδε, μήτε ποιόν, μήτε ποσόν, ὡς ἀόριστον τοῖς εἴδεσι, δύναμιν δέ τιν' ἔχον. ὅλως δὲ κατ' ἀναλογίαν ληπτέον ἐπὶ τὰς τέχνας, καὶ εἴ τις ὁμοιότης ἄλλη. δόξειε δ' ἂν καὶ τοῦτ' ἔχειν ἀπορίαν, εἰ μὴ ἄρα περιεργίαν τὸ ζητεῖν, τί δή ποτε ἡ φύσις, καὶ ἡ ὅλη δ' οὐσία τοῦ παντὸς ἐν ἐναντίοις ἐστί. καὶ σχεδὸν ἰσομοιρεῖ τὸ χεῖρον τῷ βελτίονι. μᾶλλον δὲ καὶ πολὺ πλέον εἶναι· ὥστε δοκεῖν καὶ Εὐριπίδην καθόλου λέγειν, ὡς οὐκ ἂν γένοιτο χωρὶς ἐσθλά. ὁ δὲ τοιοῦτος λόγος, ἐγγὺς τοῦ ζητεῖν, ὅτι οὐ πάντ' ἀγαθά, οὐδὲ πάντα ὅμοια· καὶ διὰ τί οὐ πάντων ἓν τὸ εἶναι λέγομεν· οὐδὲν δὲ ὅμοιον ἀλλήλοις, καθάπερ τὰ λευκὰ καὶ τὰ μέλανα ἐν αὐτοῖς. ἔστι δὲ καὶ τὸ δοκοῦν παραδοξότερον, ὡς οὐχ οἷόν τε τὸ ὂν ἄνευ τῶν ἐναντίων. οἱ δ' ἔτι πλέον τῶν παραδόξων χρώμενοι, καὶ τὸ μὴ ὂν μὴ δὲ γεγονὸς μὴ δὲ μέλλον προσκατηριθμοῦσιν εἰς τὴν τοῦ παντὸς φύσιν· ἀλλ' ἃ δὴ μὲν οἷον ὑπερβατική τις σοφία. τὸ δ' ὄν, ὅτι πολλαχῶς, φανερόν. ἡ γὰρ αἴσθησις καὶ τὰς διαφορὰς θεωρεῖ, καὶ τὰς αἰτίας ζητεῖ. τάχα δ' ἀληθέστερον εἰπεῖν, ὡς ὑποβάλλοντα τῇ διανοίᾳ, τὰ μὲν ἁπλῶς ζητοῦσα, τὰ δ' ἀπορίαν ἐργαζομένη, δι' ἧς κἂν μὴ δύνηται παραβαίνειν, ὅμως ἐμφαίνεταί τι φῶς ἐν τῷ μὴ φωτὶ ζητούντων ἐπὶ πλέον. τὸ ἐπίστασθαι ἄρα οὐκ ἄνευ διαφορᾶς τινος. ἔτι γὰρ ἕτερα ἀλλήλων, διαφορά τις. ἔν τε τοῖς καθόλου πλειόνων ὄντων, τῶν ὑπὸ τὰ καθόλου διαφέρειν ἀνάγκη· καὶ ταῦτα, ἐάν τε γένη τὰ καθόλου, ἐάν τε εἴδη. σχεδὸν δὲ καὶ ἐπιστήμη πᾶσα τῶν ἰδίων. ἔτι γὰρ οὐσία, καὶ τὸ τί ἦν εἶναι καθέκαστον ἴδιον, τά τε θεωρούμενα καθ' ἑαυτά, καὶ οὐ κατὰ συμβεβηκὸς ἦν ἄν τι κατά τινος. ὅλως δὲ τὸ ἐν πλείοσι τὸ αὐτὸ συνιδεῖν, ἐπιστήμης ἤτοι κοινῇ καὶ καθόλου λεγομένων, ἢ ἰδίᾳ πρὸς καθ' ἕκαστον· οἷον ἀριθμοῖς, γραμμαῖς, ζώοις, φυτοῖς. τέλος δ' ἐξ ἀμφοῖν. ἔστι δ' ἐνίων μὲν τὸ καθόλου τέλος, ἐν τούτῳ γὰρ τὸ αἴτιον· τῶν δὲ τὸ ἐν μέρει, καθ' ὅσα διαίρεσις εἰς τὰ ἄτομα,

καθάπερ

ἐν ὑψηλοτέρῳ καὶ ἀληθινωτέρῳ λόγῳ τοῖς λέγουσιν ἡ ἀπόφασις. τὸ δὲ μετὰ ταῦτ' ἤδη λόγου δεῖται πλείονος περὶ τῆς ἐφέσεως, ποία καὶ τίνων. ἐπειδὴ πλείω τὰ κυκλικά, καὶ αἱ φοραὶ τρόπον τινὰ ὑπεναντίαι, καὶ τὸ ἀνήνυτον, καὶ οὗ χάριν ἀφανές. εἴτε γὰρ ἓν τὸ κινοῦν, ἄτοπον τὸ μὴ πάντα τὴν αὐτήν· εἴτε καθ' ἕκαστον ἕτερον, αἵτ' ἀρχαὶ πλείους. ὥστε σύμφωνον αὐτῶν εἰς ὄρεξιν ἰόντων τὴν ἀρίστην, οὐδαμῶς φανερόν. τὸ δὲ κατὰ τὸ πλῆθος τῶν σφαιρῶν τῆς αἰτίας μείζονα ζητεῖ λόγον· οὐ γὰρ ὅ γε τῶν ἀστρολόγων. ἄπορον δὲ, καὶ πῶς ποτε φυσικὴν ἔξιν ἐχόντων, οὐ τὴν ἠρεμίαν διώκουσιν, ἀλλὰ τὴν κίνησιν. τί οὖν ἅμα τῇ μιμήσει φασὶν ἐκεῖνο ὁμοίως, οἵ τε τὸ ἓν, καὶ ὅσοι τοὺς ἀριθμοὺς λέγουσιν. καὶ γὰρ οὗτοι τοὺς ἀριθμούς φασι τὸ ἕν, ἔτι δὲ ἡ ἔφεσις, ἄλλως τε καὶ τοῦ ἀρίστου μετὰ ψυχῆς. εἰ μή τις λέγοι, καθ' ὁμοιότητα καὶ διαφορὰν ἔμψυχ' ἂν εἴη τὰ κινούμενα. ψυχὴ δ' ἅμα δοκεῖ καὶ κίνησις ὑπάρχειν, ζωὴ μὲν τοῖς ἔχουσιν, ἀφ' ἧς καὶ ὀρέξεις πρὸς ἕκαστον, ὥσπερ ἐν τῷ πάσχειν οὖσαι δι' ἑτέρων, ὅμως ἔμψυχοι γίγνονται. εἰ δ' οὖν τῆς κυκλικῆς αἴτιον τὸ πρῶτον, οὐ τῆς ἀρίστης ἂν εἴη. κρείττων γὰρ ἡ τῆς ψυχῆς· καὶ πρώτη δὲ καὶ μάλιστα, ἡ τῆς διανοίας, ἀφ' ἧς καὶ ἡ ὄρεξις. τάχα δὲ καὶ τοῦτ' ἄν τις ἐπιζητήσειε, διὰ τί τὰ κυκλικὰ μόνον ἐφετικά· τῶν δὲ περὶ τὸ μέσον οὐδέν, καίπερ κινητῶν ὄντων, πότερον ὡς ἀδυνατῆ, ἢ ὡς οὐ διικνουμένου τοῦ πρώτου. ἀλλὰ τοῦτό γ' ἄτοπον, εἰ δὴ ἀσθένειαν. ἰσχυρότερον γὰρ ἄν τις ἀξιώσειε τοῦ Ὁμήρου Διὸς, ὅς φησιν, αὐτῇ κεν γαίῃ ἐρύσαιμ' αὐτῇ τε θαλάσσῃ. ἀλλὰ λοιπόν, ὥσπερ ἄδεκτόν τι καὶ ἀσύμβατον εἶναι. τάχα δὲ πρότερον ζητήσειεν ἄν τις, πῶς ἔχει· πότερα μέρη ταῦτα, ἢ οὐ μέρη τοῦ οὐρανοῦ. καὶ εἰ μέρη, νῦν γὰρ οἷον ἀπηωρημένα τὰ ἐντιμότατον, οὐ μόνον κατὰ τὰς χώρας, ἀλλὰ καὶ κατὰ τὴν ἐνέργειαν εἴπερ ἡ κυκλικὴ τοιαύτη. συμβαίνει γὰρ, οἷον κατὰ συμβεβηκὸς ὑπὸ τῆς κυκλικῆς περιφορᾶς, καὶ εἰς τοὺς τόπους, καὶ εἰς ἄλληλα τὰς μεταβολάς. εἰ δὲ καὶ * ἄριστον κάλλιον ἂν εἴη παρὰ τοῦ πρώτου διὰ τῆς κυκλοφορίας. εἰ μὴ ἄρ' ἐκωλύετο μὴ δύνασθαι δέχεσθαι. τὸ γὰρ δὴ πρῶτον καὶ θειότατον, πάντα τὰ ἄριστα βουλόμενος. τάχα δὲ τοῦτο μὲν, οἷον ὑπερβατόν τι καὶ ἄζητον. ἀξιοῖ γὰρ ὁ τοῦτο λέγων ἅπανθ' ὅμοια, καὶ ἐν τοῖς ἀρίστοις μηδὲν εἶναί τινα, ἢ μηδεμίαν ἔχοντα διαφοράν. τόδε δ' ἄν τις ἴσως ἀπορήσειε, πρὸς αὐτὸν τὸν πρῶτον οὐρανὸν ἀναφέρων, πότερον ἡ περιφορὰ τῆς οὐσίας ἐστὶν αὐτοῦ, καὶ ἅμα τῷ παύσασθαι φθείροιτ' ἄν, ἢ εἴπερ ἐφίεταί τινι καὶ ὀρέξει κατὰ συμβεβηκός· εἰ μὴ ἄρα σύμφυτον αὐτῷ τὸ ὀρέγεσθαι. καὶ οὐδὲν κωλύει τοιαῦτ' ἄττα τῶν ὄντων ὑπάρχειν. ἴσως δ' αὖ εἴη καὶ ἀφελόντα τὴν ὄρεξιν ὑπὲρ αὐτῆς τῆς κινήσεως ἀπορεῖν, εἰ ἀφαιρεθεῖσα φθείροιτο ἂν τὸν οὐρανόν. καὶ τοῦτο μὲν ὥσπερ ἑτέρων λόγων. αὐτὸ δ' οὖν ταύτης, ἢ τούτων τῶν ἀρχῶν, ἀξιώσαιεν ἄν τις. τάχα δὲ καὶ ἀπὸ τῶν ἄλλων ἄρ' ἄν τις ζητοίη τὰς ἐφεξῆς εὐθὺς ἀποδεδόναι, καὶ μὴ μέχρι τοῦ προελθόντας παύεσθαι. τοῦτο γὰρ τελέου καὶ φρονοῦντος, ὅπως Ἀρχύτας ποτ' ἔφη ποιεῖν Εὔρυτον, διατιθέντα τινὰς ψήφους. λέγειν γὰρ, ὡς ὅδε μὲν ἀνθρώπου ὁ ἀριθμός, ὅδε δ' ἄλλου τινὸς τυγχάνει. νῦν δ' οἵ γε πολλοὶ μέχρι τινὸς ἐλθόντες καταπαύονται, καθάπερ καὶ οἱ τὸ ἓν, καὶ τὴν ἀόριστον δυάδα ποιοῦντες. τοὺς γὰρ ἀριθμοὺς γεννήσαντες, καὶ τὰ ἐπίπεδα, καὶ τὰ σώματα, σχεδὸν τἆλλα παραλείπουσι, πλὴν ὅσον ἐφαπτόμενοι. καὶ τοσοῦτο μόνον δηλοῦντες, ὅτι τὰ μὲν ἀπὸ τῆς ἀορίστου δυάδος, οἷον τόπος καὶ κενὸν καὶ ἄπειρον· τὰ δὲ, ἀπὸ τῶν ἀριθμῶν, καὶ τοῦ ἑνός· οἷον ψυχὴ, καὶ ἄλλα ἄττα. χρόνον δ' ἅμα καὶ οὐρανὸν, καὶ ἕτερα δὴ πλείω. τοῦ δ' οὐρανοῦ πέρι, καὶ τῶν λοιπῶν, οὐδεμίαν ἔτι ποιοῦνται μνείαν. ὡσαύτως δ' οἱ περὶ Σπεύσιππον· οὐδὲ τῶν ἄλλων οὐδείς, πλὴν Ξενοκράτης. οὗτος γὰρ ἅπαντά πως περιτίθησι περὶ τὸν κόσμον, ὁμοίως αἰσθητὰ καὶ νοητὰ καὶ μαθηματικὰ, καὶ ἔτι δὲ τὰ θεῖα. πειρᾶται δὲ καὶ Ἑστιαῖος μέχρι τινός, οὐχ ὥσπερ εἴρηται περὶ τῶν πρώτων μόνον. Πλάτων μὲν οὖν ἐν τῷ ἀνάγειν εἰς τὰς ἀρχὰς, δόξειεν ἂν ἅπτεσθαι τῶν ἄλλων εἰς τὰς ἰδέας ἀνάπτων, ταύτας δ' εἰς τοὺς ἀριθμοὺς, ἐκ δὲ τούτων, εἰς τὰς ἀρχάς. εἶτα κατὰ τὴν γένεσιν, μέχρι τῶν εἰρημένων. οἱ δὲ τῶν ἀρχῶν μόνον· ἔνιοι δὲ καὶ τὴν ἀλήθειαν ἐν τούτοις. τὰ γὰρ ὄντα μόνον περὶ τὰς ἀρχάς. συμβαίνει δὲ τοὐναντίον, ἢ ἐν ταῖς ἄλλαις μεθόδοις. ἐν ἐκείναις γὰρ τὰ μετὰ τὰς ἀρχὰς ἰσχυρότερα, καὶ οἷον τελειότερα τῶν ἐπιστημῶν. τάχα δὲ καὶ εὐλόγως. ἔνθα μὲν γὰρ τῶν ἀρχῶν, ἐν δὲ ταῖς λοιπαῖς ἀπὸ τῶν ἀρχῶν ἡ ζήτησις. πῶς δέ ποτε χρὴ ὁποίας ἀρχὰς ὑποθέσθαι, τάχ' ἂν ἀπορήσειέ τις· πότερον ἀμόρφους, καὶ οἷον δυναμικὰς, ὥσπερ ὅσοι πῦρ καὶ γῆν· ἢ μεμορφωμένας, ὡς μάλιστα δέον ταῦτα ὡρίσθαι, καθάπερ ἐν τῷ Τιμαίῳ φησίν. τοῖς γὰρ τιμιωτάτοις οἰκειότατον ἡ τάξις, καὶ τὸ ὡρίσθαι. φαίνεται δὲ καὶ ἐν ταῖς λοιπαῖς σχεδὸν ἔχειν οὕτω, καθάπερ ἡ γραμματικὴ

καὶ

τοῦ Διὸς εἰπεῖν, ἡδύ γε τῶν ἄστρων νομίζει, ὅτι δὴ καὶ οἱ ἄλλοι λέγουσι πίσσης. καὶ λέγοντος τινος πόσους οἴει κατὰ τὰς ἱερὰς πύλας ἐξενηνέχθαι νεκρούς, πρὸς τοῦτον εἰπεῖν, ὅσοι ἐμοὶ καὶ σοὶ γένοιντο.

ΠΕΡῚ ΑὐΘΑΔΕΊΑΣ.

Ἡ δὲ αὐθάδεια ἐστὶν ἀπήνεια ὁμιλίας ἐν λόγοις. ὁ δὲ αὐθάδης τοιοῦτός τις, οἷος ἐρωτηθεὶς ὁ δεῖνα ποῦ ἐστιν, εἰπεῖν, πράγματά μοι μὴ πάρεχε. καὶ προσαγορευθεὶς, μὴ προσειπεῖν. καὶ πωλῶν τι, μὴ λέγειν τοῖς ὠνουμένοις, πόσου ἂν ἀποδοῖτο, ἀλλ' ἐρωτᾶν τί εὑρίσκει. καὶ τοῖς τιμῶσι, καὶ πέμπουσιν, εἰς τὰς ἑορτὰς εἰπεῖν, ὅτι οὐκ ἂν γένοιτο διδόμενα. καὶ οὐκ ἔχειν συγγνώμην οὔτε τῷ ἀπώσαντι αὐτὸν ἀκουσίως, οὔτε τῷ ὤσαντι, οὔτε τῷ ἐμβάντι. καὶ φίλοις δὲ ἔρανον κελεύσασιν εἰσενεγκεῖν, εἰπὼν ὅτι ἀπόλλυσι καὶ ὕστερον τὸ ἀργύριον. καὶ προσπταίσας ἐν τῇ ὁδῷ δεινὸς καταράσασθαι τῷ λίθῳ. καὶ ἀναμεῖναι, οὐκ ἂν ὑπομεῖναι πολὺν χρόνον οὐδένα. καὶ οὔτε ᾆσαι, οὔτε ῥῆσιν εἰπεῖν, οὔτε ὀρχήσασθαι ἂν ἐθελῆσαι. δεινὸς δὲ καὶ τοῖς θεοῖς μὴ ἐπεύχεσθαι.

ΘΕΟΦΡΑΣΤΟΥ ΤΩΝ
ΜΕΤᾺ ΤᾺ ΦΥΣΙΚΆ.

ΩΣ ἀφορίσαι δεῖ, καὶ ποίοις τὴν ὑπὲρ τῶν πρώτων θεωρίαν. ἡ γὰρ δὴ τῆς φύσεως πολυχουστέρα, ἢ ὥς γε δή τινές φασιν, ἀτακτοτέρα, μεταβολὰς ἔχουσα παντοίας. ἡ δὲ τῶν πρώτων ὡρισμένη, καὶ ἀεὶ κατὰ τὰ αὐτά· διὸ δὴ καὶ ἐν νοητοῖς, οὐκ αἰσθητοῖς αὐτὴν τιθέασιν, ὡς ἀκινήτοις καὶ ἀμεταβλήτοις· καὶ τὸ ὅλον δὲ σεμνοτέραν καὶ μείζω νομίζουσιν αὐτήν. ἀρχὴ δὲ πότερα συναφής, καὶ οἷον κοινωνία πρὸς ἄλληλα τοῖς τε νοητοῖς καὶ τοῖς τῆς φύσεως, ἢ οὐδεμία, ἀλλ' ὥσπερ ἑκάτερα κεχωρισμένα, συνεργοῦντα δέ πως εἰς τὴν πᾶσαν οὐσίαν. εὐλογώτερον οὖν, εἶναί τινα συναφήν, καὶ μὴ ἐπεισοδιῶδες τὸ πᾶν· ἀλλ' οἷον τὰ μὲν πρότερα, τὰ δ' ὕστερα, καὶ ἀρχάς· τὰ δ' ὑπὸ τὰς ἀρχάς, ὥσπερ καὶ τὰ ἀΐδια τοῖς φθαρτοῖς. εἰ δ' οὖν οὕτω, τίς ἡ φύσις αὐτῶν, καὶ ἐν ποίοις. εἰ μὲν γὰρ ἐν τοῖς μαθηματικοῖς μόνοις τὰ νοητά, καθάπερ τινές φασιν, οὔτ' ἄγαν εὔσημος ἡ συναφὴ τοῖς αἰσθητοῖς, οὔθ' ὅλως ἀξιόχρεα φαίνεται παντός. οἷον γὰρ μεμηχανημένα· δοκεῖ δ' ἡμῶν εἶναι σχήματά τε καὶ μορφὰς καὶ λόγους περιτιθέντων. αὐτὰ δὲ δι' αὑτῶν οὐδεμίαν ἔχει φύσιν. εἰ δὲ μή, οὐχ οἷόν τε συνάπτειν τοῖς τῆς φύσεως, ὥστ' ἐμποιῆσαι, καθάπερ ζωὴν καὶ κίνησιν αὐτοῖς. οὐδὲ γὰρ αὐτὸς ὁ ἀριθμός, ὅνπερ δὴ πρῶτον καὶ κυριώτατόν τινες τιθέασιν. εἰ δ' ἑτέρα τις οὐσία προτέρα καὶ κρείττων ἐστί, ταύτην πειρατέον λέγειν· πότερον μία τις κατ' ἀριθμόν, ἢ κατ' εἶδος, ἢ κατὰ γένος. εὐλογώτερον δ' οὖν, ἀρχῆς φύσιν ἐχούσας ἐν ὀλίγοις εἶναι περιττοῖς· εἰ μὴ ἄρα καὶ πρώτοις, καὶ ἐν τῷ πρώτῳ. τίς δ' οὖν αὕτη, καὶ τίνες αἱ πλείους, πειρατέον ἐμφαίνειν ἁμωσγέπως, εἴτε κατ' ἀναλογίαν, εἴτε κατ' ἄλλην ὁμοίωσιν. ἀνάγκη δ' ἴσως δυνάμει τινὶ καὶ ὑπεροχῇ τῶν ἄλλων λαμβάνειν, ὥσπερ ἂν εἰ τὸν θεόν. θεία γὰρ πάντων ἀρχή, δι' ἧς ἅπαντα καὶ ἔστι, καὶ διαμένει. τάχα μὲν οὖν ῥᾴδιον τὸ οὕτως ἀποδοῦναι. χαλεπὸν δὲ σαφέστερον, ἢ πιστοτέρως. τοιαύτης δ' οὔσης τῆς ἀρχῆς, ἐπείπερ συνάπτει τοῖς αἰσθητοῖς, ἡ δὲ φύσις, ὡς ἁπλῶς εἰπεῖν, ἐν κινήσει, καὶ τοῦτ' αὐτῆς τὸ ἴδιον, δῆλον ὡς αἰτίαν θετέον ταύτην τῆς κινήσεως. ἐπεὶ δ' ἀκίνητος καθ' αὑτήν, φανερὸν ὡς οὐκ ἂν εἴη τῷ κινεῖσθαι τοῖς τῆς φύσεως αἰτία· ἀλλὰ λοιπὸν ἄλλῃ τινὶ δυνάμει κρείττονι, καὶ προτέρᾳ. τοιαύτη δ' ἡ τοῦ ὀρεκτοῦ φύσις, ἀφ' ἧς ἡ κυκλικὴ ἡ συνεχὴς καὶ ἄπαυστος. ὥστε κατ' ἐκεῖνο λύοιτ' ἂν τὸ μὴ εἶναι κινήσεως ἀρχήν, ἢ εἰ κινούμενον κινήσει. μέχρι μὲν δὴ τούτου, οἷον ἄρτιος ὁ λόγος, ἀρχήν τε ποιῶν μίαν πάντων καὶ τὴν ἐνέργειαν, καὶ τὴν οὐσίαν ἀποδιδούς. ἔτι δὲ ποσόν τι λέγων· ἀλλ' ἁπλῶς ἐξαιρῶν εἰς κρείττω τινὰ μερίδα καὶ θειοτέραν. οὕτω γὰρ μᾶλλον ἀποδοτέον, ἢ τὸ διαιρετὸν καὶ μεριστὸν ἀφαιρετέον. ἅμα γὰρ

δυνατὰ φέρειν. καὶ ἐλάχιστα ἀντιτιθέναι τῶν ἱκανῶν. καὶ ἀεὶ τῆς ξενίας τὸ μέρος τὸ αὑτοῦ ἀπαιτήσας ἀποδόσθαι. καὶ ἀλειφόμενος ἐν τῷ βαλανείῳ, καὶ εἰπὼν, σαπρόν γε τὸ ἔλαιον ἐπρίω τῷ παιδαρίῳ, τῷ ἀλλοτρίῳ ἀλείφεσθαι. καὶ τῶν εὑρισκομένων χαλκῶν ἐν ταῖς ὁδοῖς ὑπὸ τῶν οἰκετῶν δεινὸς ἀπαιτῆσαι τὸ μέρος, κοινὸν εἶναι φήσας τὸν Ἑρμῆν. τὰ δὲ διαιτῶντα φειδωνίῳ μέτρῳ τὸν πύνδακα ἐκκεκρουμένῳ μετρεῖν αὐτὸς τοῖς ἔνδον. τὰ ὑπερτέλεια σφόδρα ἀποψῶν, ὑποπρίασθαι φίλου ὑπολαβὼν ἀποδόσθαι. ἀμέλει δὲ καὶ χρέος ἀποδιδοὺς τριάκοντα μνῶν, ἔλαττον τέτρασι δραχμαῖς ἀποδιδόναι. καὶ φράτορας ἑστιῶν, αἰτεῖν τοῖς αὑτοῦ παισὶν ἐκ τοῦ κοινοῦ ὄψον, τὰ δὲ καταλειπόμενα ἀπὸ τῆς τραπέζης ἡμίσεα τῶν ῥαφανίδων ἀπογράφεσθαι, ἵνα οἱ διακονοῦντες παῖδες μὴ λάβωσιν.

ΠΕΡῚ ἈΚΑΙΡΊΑΣ.

Ἡ μὲν οὖν ἀκαιρία ἐστὶν ἐπίτευξις, λυποῦσα τοὺς ἐντυγχάνοντας. ὁ δὲ ἄκαιρος τοιοῦτός τις, οἷον ἀσχολουμένῳ προσελθὼν ἀνακοινοῦσθαι. καὶ πρὸς τὴν αὑτοῦ ἐρωμένην, κωμάζειν πυρέττουσαν. καὶ δίκην ὠφληκότα ἐγγύης προσελθὼν κελεῦσαι αὐτὸν ἀναδέξασθαι. καὶ μαρτυρήσων παρεῖναι τοῦ πράγματος ἤδη κεκριμένου. καὶ κεκλημένος εἰς γάμους, τοῦ γυναικείου γένους κατηγορεῖν. καὶ ἐκ μακρᾶς ὁδοῦ ἥκοντας ἄρτι, παρακαλεῖν εἰς περίπατον. δεινὸς δὲ καὶ προσάγειν ὠνητὴν πλείω διδόντα ἤδη πεπρακότι. καὶ ἀκηκοότας καὶ μεμαθηκότας, ἀνίστασθαι ἐξ ἀρχῆς διδάσκων. καὶ πρόθυμος δὲ ἐπιμεληθῆναι, ἃ μὴ βούλεταί τις γενέσθαι. αἰσχύνεσθαι δὲ ἐπιπηδᾶσθαι. καὶ θύοντας, καὶ ἀναλίσκοντας ἥκειν † τόμον ἀπαιτήσων. καὶ μαστιγουμένου οἰκέτου παρεστὼς, διηγεῖσθαι, ὅτι καὶ αὐτοῦ ποτὲ παῖς οὕτω πληγὰς λαβὼν, ἀπήγξατο. καὶ παρὼν διαίτῃ συγκρούειν ἀμφοτέρων βουλομένων διαλύεσθαι. καὶ ὀρχησόμενος ἅψασθαι ἑτέρου μηδέπω μεθύοντος.

ΠΕΡῚ ΠΕΡΙΕΡΓΕΊΑΣ.

Ἀμέλει περιεργία δόξειεν ἂν εἶναι προσποίησίς τις λόγων καὶ πράξεων, μετὰ εὐνοίας. ὁ δὲ περίεργος τοιοῦτός τις, ἐπαγγέλλεσθαι ἀναστὰς ἃ μὴ δυνήσεται. καὶ ὁμολογουμένου τοῦ πράγματος δικαίου εἶναι, ἔν τινι στὰς ἐλεγχθῆναι. καὶ πλείω δὲ ἐπαναγκάσαι τὸν παῖδα κεράσαι, ἢ ὅσα δύνανται οἱ παρόντες πιεῖν. καὶ διεγείρειν τοὺς μαχομένους, καὶ οὓς οὐ γινώσκει. ἀτραποῦ ἡγήσασθαι, εἶτα μὴ δύνασθαι εὑρεῖν ποῦ πορεύεται. καὶ τὸν στρατηγὸν δὲ προσελθὼν ἐρωτῆσαι, πότε μέλλει παρατάττεσθαι. καὶ τί μετὰ τὴν αὔριον παραγγέλλει. καὶ προσελθὼν τῷ πατρὶ εἰπεῖν, ὅτι ἡ μήτηρ καθεύδει ἐν τῷ δωματίῳ. καὶ ἀπαγορεύοντος τοῦ ἰατροῦ, ὅπως μὴ δώσει οἶνον τῷ μαλακιζομένῳ, φήσας βούλεσθαι διάπειραν λαμβάνειν, εὐτρεπίσαι τὸν κακῶς ἔχοντα. καὶ γυναικὸς δὲ τελευτησάσης ἐπιγράψαι ἐπὶ τὸ μνῆμα τοῦ τε ἀνδρὸς αὐτῆς, καὶ τοῦ πατρὸς καὶ αὐτῆς τῆς γυναικὸς τοὔνομα, καὶ ποδαπὴ ἐστὶ, καὶ προσεπιγράψαι ὅτι οὗτοι πάντες χρηστοὶ ἦσαν. καὶ ὀμνύναι μέλλων εἰπεῖν πρὸς τοὺς περιεστηκότας, ὅτι καὶ πρότερον πολλάκις ὀμώμοκα.

ΠΕΡῚ ἈΝΑΙΣΘΗΣΊΑΣ.

Ἔστι δὲ καὶ ἡ ἀναισθησία, ὡς ὅρῳ εἰπεῖν, βραδυτὴς ψυχῆς ἐν λόγοις καὶ πράξεσιν. ὁ δὲ ἀναίσθητος τοιοῦτός τις, οἷον λογισάμενος ταῖς ψήφοις, καὶ κεφάλαιον ποιήσας, ἐρωτᾶν τὸν παρακαθήμενον, τί γίνεται. καὶ δίκην φεύγων, καὶ ταύτης εἰσιέναι μέλλων, ἐπιλαθόμενος εἰς ἀγρὸν πορεύεσθαι. καὶ θεωρῶν ἐν τῷ θεάτρῳ μόνος καταλείπεσθαι καθεύδων. καὶ πολλὰ φαγὼν τῆς νυκτὸς, ἐπὶ θᾶκον ἀνιστάμενος τῆς τοῦ γείτονος δηχθῆναι. καὶ λαβὼν καὶ ἀποθεὶς αὐτὸς τοῦτο ζητεῖν, καὶ μὴ δύνασθαι εὑρεῖν. καὶ ἀπαγγέλλοντός τινος αὐτῷ, ὅτι τετελεύτηκέ τις αὐτοῦ τῶν φίλων, ἵνα πάρος γένηται σκυθρωπάσας, καὶ δακρύσας εἰπεῖν, ἀγαθῇ τύχῃ. δεινὸς δὲ, καὶ ἀπολαμβάνων ἀργύριον ὀφειλόμενον, μάρτυρας παραλαβεῖν, καὶ χειμῶνος ὄντος μάχεσθαι τῷ παιδὶ, ὅτι σικύους οὐκ ἠγόρασε. καὶ τὰ παιδία ἑαυτοῦ παλαίειν ἀναγκάζων, καὶ τροχάζειν, καὶ εἰς κόπους ἐμβάλλειν. καὶ ἐν ἀγρῷ αὐτὸς φακῆν ἕψων, δὶς ἅλας εἰς τὴν χύτραν ἐμβαλὼν, ἄβρωτον ποιῆσαι. καὶ ὕοντος

τοῦ Διὸς

ΠΕΡῚ ἈΝΑΙΣΧΥΝΤΊΑΣ.

Ἡ δὲ ἀναισχυντία ἐστὶ μὲν (ὡς ὅρῳ λαβεῖν) καταφρόνησις δόξης αἰσχροῦ ἕνεκα κέρδους. ὁ δὲ ἀναίσχυντος τοιοῦτος, οἷος πρῶτον μὲν ὃν ἀποστερεῖ, πρὸς τοῦτον ἀπελθὼν δανείζεσθαι. εἶτα θύσας τοῖς θεοῖς, αὐτὸς μὲν δειπνεῖν παρ' ἑτέρῳ. τὰ δὲ κρέα ἀποθεῖναι ἁλσὶ πάσας. καὶ προσκαλεσάμενος τὸν ἀκόλουθον δοῦναι ἀπὸ τῆς τραπέζης ἄρας κρέας, καὶ ἄρτον. καὶ εἰπεῖν ἀκουόντων πάντων, εὐωχοῦ τίμιε. καὶ ὀψωνῶν δὲ ὑπομιμνήσκειν τὸν κρεοπώλην, εἴ τι χρήσιμος αὐτῷ γέγονε· καὶ ἑστηκὼς πρὸς τῷ σταθμῷ μάλιστα μὲν κρέας. εἰ δὲ μή, ὀστοῦν εἰς τὸν ζυγὸν ἐμβαλεῖν. καὶ ἐὰν μὲν λάβῃ, εὖ ἔχει. εἰ δὲ μή, ἁρπάσας ἀπὸ τῆς τραπέζης χολίκιον, ἅμα γελῶν ἀπαλλάττεσθαι. καὶ ξένοις δὲ αὑτοῦ κρέα ἀγοράσας, μὴ δοὺς τὸ μέρος θεωρεῖν. ἄγειν δὲ καὶ τοὺς υἱεῖς εἰς τὴν ὑστεραίαν, καὶ τὸν παιδαγωγόν. καὶ ὅσα ἐωνημένος τις φέρει μεταδοῦναι κελεῦσαι καὶ αὐτῷ. καὶ ἐπὶ τὴν ἀλλοτρίαν οἰκίαν ἐλθὼν, δανείζεσθαι κριθὰς, ποτὲ δὲ ἄχυρον. καὶ ταῦτα χρήσαντας, ἀναγκάσαι ἀποφέρειν πρὸς αὐτόν. δεινὸς δὲ καὶ πρὸς τὰ χαλκεῖα τὰ ἐν τῷ βαλανείῳ προσελθὼν, καὶ βάψας ἀρύταιναν βοῶντος τοῦ βαλανέως, αὐτὸς αὑτοῦ καταχέασθαι, καὶ εἰπεῖν, ὅτι λέλουται ἀπιὼν κἀκεῖ, οὐδεμία σοι χάρις.

ΠΕΡῚ ΜΙΚΡΟΛΟΓΊΑΣ.

Ἡ δὲ μικρολογία ἐστὶ φειδωλία † τοῦ διαφόρου ὑπὲρ τὸν καιρόν. ὁ δὲ μικρολόγος τοιοῦτός τις, οἷος ἐν τῷ μηνὶ ἡμιωβόλιον ἀπαιτεῖν ἐπὶ τὴν οἰκίαν. καὶ συσσιτῶν ἀριθμεῖν πόσας κύλικας ἕκαστος ἐκπέπωκε. καὶ ἀπάρχεσθαι ἐλάχιστον τῇ Ἀρτέμιδι τῶν συνδειπνούντων. καὶ ὅσα μικροῦ τις πριάμενος λογίζεται, πάντα φάσκειν εἶναι ἄγαν. καὶ οἰκέτου χύτραν ἢ λοπάδα κατάξαντος εἰσπράξαι ἀπὸ τῶν ἐπιτηδείων. καὶ τῆς γυναικὸς ἀποβαλούσης ῥίχαλκον, οἷος μεταφέρειν τὰ σκεύη, καὶ τὰς κλίνας, καὶ τὰς κιβωτοὺς, καὶ † διφᾶν τὰ καλύμματα. καὶ ἐάν τι πωλῇ, τοσούτου ἀποδόσθαι, ὥστε μὴ λυσιτελεῖν τῷ πριαμένῳ. καὶ οὐκ ἂν ἐάσας οὔτε συκοτραγῆσαι ἐκ τοῦ αὑτοῦ κήπου, οὔτε διὰ τοῦ αὑτοῦ ἀγροῦ πορευθῆναι. οὔτε ἐλάαν, ἢ φοίνικα τῶν χαμαὶ πεπτωκότων ἀνελέσθαι. καὶ τοὺς ὅρους δὲ ἐπισκοπεῖσθαι ὁσημέραι, εἰ διαμένουσιν οἱ αὐτοί. δεινὸς δὲ καὶ ὑπερημερίαν πρᾶξαι, καὶ τόκον τόκου. καὶ ἑστιῶν δημότας, μικρὰ τὰ κρέα κόψας παραθεῖναι. καὶ ὀψωνῶν μηδὲν πριάμενος εἰσελθεῖν. καὶ ἀπαγορεῦσαι τῇ γυναικὶ μήτε ἅλας χρωννύειν, μήτε ἐλλύχνιον, μήτε κύμινον, μήτε ὀρίγανον, μήτε ὀλὰς, μήτε στέμματα, μήτε θυλήματα. ἀλλὰ λέγειν, ὅτι τὰ μικρὰ ταῦτα πολλά ἐστι τοῦ ἐνιαυτοῦ. καὶ τὸ ὅλον δὲ τῶν μικρολόγων, καὶ τὰς ἀργυροθήκας ἐστὶν ἰδεῖν εὐρωτιώσας, καὶ κλεῖς ἰωμένας. καὶ αὐτοὺς δὲ φοροῦντας ἐλάττω τῶν μηρῶν τὰ ἱμάτια, καὶ ἐκ ληκυθίων μικρῶν πάνυ ἀλειφομένους, καὶ ἐν χρῷ κειρομένους, καὶ τὸ μέσον τῆς ἡμέρας ὑπολυομένους. καὶ πρὸς τοὺς γναφεῖς διατεινομένους, ὅπως τὸ ἱμάτιον αὐτοῖς ἕξει πολλὴν γῆν, ἵνα μὴ ῥυπαίνηται ταχύ.

τῶν διαφόρων

διφος καὶ

ΠΕΡῚ ΒΔΕΛΥΡΊΑΣ.

Οὐ χαλεπὸν δὲ ἐστὶ τὴν βδελυρίαν διορίσασθαι. ἔστι γὰρ παιδιὰ ἐπιφανὴς, καὶ ἐπονείδιστος. ὁ δὲ βδελυρὸς τοιοῦτος, οἷος ἀπαντήσας γυναιξὶν ἐλευθέραις, ἀνασυρόμενος δεῖξαι τὸ αἰδοῖον. καὶ ἐν θεάτρῳ κροτεῖν, ὅταν οἱ ἄλλοι παύωνται. καὶ συρίττειν οὓς ἡδέως θεωροῦσιν οἱ λοιποί. καὶ ὅταν σιωπήσῃ τὸ θέατρον, ἀνακύψας ἐρυγεῖν, ἵνα τοὺς καθημένους ποιήσῃ μεταστραφῆναι. καὶ πληθούσης τῆς ἀγορᾶς προσελθὼν πρὸς τὰ κάρυα, ἢ τὰ μῆλα, ἢ τὰ ἀκρόδρυα ἑστηκὼς, τραγηματίζεσθαι ἅμα τῷ πωλοῦντι προσλαλῶν. καὶ καλέσαι δὲ τῶν παριόντων ὀνομαστὶ τινὰ, ᾧ μὴ συνήθης ἐστί. καὶ σπεύδοντας δέ τινας ὁρῶν περιμεῖναι κελεῦσαι. καὶ ἡττημένῳ δὲ μεγάλην δίκην ἀπιόντι ἀπὸ τοῦ δικαστηρίου προσελθὼν, καὶ συνησθῆναι. καὶ ὀψωνεῖν ἑαυτῷ, καὶ αὐλητρίδας μισθοῦσθαι. καὶ δεικνύειν δὲ τοῖς ἀπαντῶσι τὰ ὠψωνημένα. καὶ παρακαλεῖν ἐπὶ ταῦτα. καὶ διηγεῖσθαι πρὸς τοὺς πρὸς κουρεῖον, ἢ μυροπωλεῖον, ὅτι μεθύσκεσθαι μέλλει. καὶ οἰνοπωλῶν, καὶ κεκραμένον τὸν οἶνον τῷ φίλῳ ἀποδόσθαι. καὶ ἐπὶ θέαν ἡνίκα ἂν δέοι πορεύεσθαι, ἀπιὼν τοὺς υἱεῖς, ἡνίκα προῖκα ἀφιᾶσιν, οἱ θεατρῶναι. καὶ ἀποδημῶν δημοσίᾳ, τὸ μὲν ἐκ τῆς πόλεως ἐφόδιον, οἴκοι καταλιπεῖν, παρὰ δὲ τῶν συμπρεσβευτῶν δανείζεσθαι. καὶ τῷ ἀκολούθῳ ἐπιθεῖναι μεῖζον φορτίον, ἢ

χρυσοπωλεῖα, τὰ ταριχοπωλεῖα. καὶ τοὺς τόκους ἀπὸ τοῦ ἐμπολήματος εἰς τὴν γνάθον ἐκλέγειν. ἐργώδεις δέ εἰσι, τὸ στόμα εὔλυτον ἔχοντες πρὸς λοιδορίαν, καὶ φθεγγόμενοι μεγάλῃ τῇ φωνῇ, ὡς συνηχεῖν αὐτοῖς τὴν ἀγορὰν, καὶ τὰ ἐργαστήρια.

ΠΕΡῚ ΛΑΛΙΆΣ.

Ἡ δὲ λαλιὰ εἴ τις αὐτὴν ὁρίζεσθαι βούλοιτο, εἶναι ἂν δόξειεν ἀκρασία τοῦ λόγου. ὁ δὲ λάλος τοιοῦτός τις, οἷος τῷ ἐντυγχάνοντι εἰπεῖν ἂν, ὅταν πρὸς αὐτὸν φθέγξηται, ὅτι οὐδὲν λέγει. καὶ ὅτι αὐτὸς πάντα οἶδε. καὶ ἂν ἀκούῃ αὐτοῦ μαθήσεται. καὶ μεταξὺ δὲ ἀποκρινομένῳ ὑποβάλλειν, εἴπας, σὺ μὴ ἐπιλάθῃ ὃ μέλλεις λέγειν. καὶ εὖγε ὅτι με ὑπέμνησας. καὶ τὸ λαλεῖν ὡς χρήσιμόν που. καὶ ὃ παρέλιπον. καὶ ταχύ γε συνῆκας τὸ πρᾶγμα. καὶ πάλαι σε παρετήρουν, εἰ ἐπὶ τὸ αὐτὸ ἐμοὶ κατενεχθήσῃ. καὶ ἑτέρας ἀφορμὰς τοιαύτας πορίζεσθαι, ὥστε μηδὲ ἀναπνεῦσαι τὸν ἐντυγχάνοντα. καὶ ὅταν γε τοὺς καθ' ἕνα ἀποκναίσῃ, δεινὸς καὶ ἐπὶ τοὺς ἀθρόους, καὶ συνεστηκότας πορευθῆναι, καὶ φυγεῖν ποιῆσαι μεταξὺ χρηματίζοντας. καὶ εἰς τὰ διδασκαλεῖα δὲ, καὶ εἰς τὰς παλαίστρας εἰσιὼν, κωλύειν τοὺς παῖδας προμανθάνειν τοσαῦτα. καὶ προσλαλεῖν τοῖς παιδοτρίβαις καὶ διδασκάλοις, τοὺς καὶ ἀπιέναι φάσκοντας δεινὸς προπέμψαι, καὶ ἀποκαταστῆσαι εἰς τὴν οἰκίαν. καὶ πυθόμενος τὰς ἐκκλησίας ἀπαγγέλλειν. προσδιηγήσασθαι δὲ καὶ τὴν ἐπ' Ἀριστοφῶντος ποτὲ γενομένην τοῦ ῥήτορος μάχην, καὶ τὴν Λακεδαιμονίων ὑπὸ Λυσάνδρου. καὶ οὕς ποτε λόγους αὐτὸς εἶπεν εὐδοκιμήσας ἐν τῷ δήμῳ. καὶ κατὰ τῶν πλήθων γε ἅμα διηγούμενος, κατηγορίαν παρεμβαλεῖν, ὥστε τοὺς ἀκούοντας ἤτοι ἐπιλαθέσθαι, ἢ νυστάξαι, ἢ μεταξὺ καταλιπόντας ἀπαλλάττεσθαι. καὶ συνδικάζων δὲ, κωλῦσαι κρῖναι. καὶ συνθεωρῶν, θεάσασθαι. καὶ συνδειπνῶν, φαγεῖν. λέγων ὅτι χαλεπόν ἐστι τῷ λάλῳ σιωπᾶν, καὶ ὡς ἐν ὑγρῷ ἐστὶν ἡ γλῶττα· καὶ ὡς οὐκ ἂν σιωπήσειεν, οὐδ' εἰ τῶν χελιδόνων δόξειεν εἶναι λαλίστερος. καὶ σκωπτόμενος ὑπομεῖναι. καὶ ὑπὸ τῶν αὐτοῦ παιδίων, ὅταν αὐτὸν ἤδη καθεύδειν βουλόμενον κελεύῃ λέγοντα ταῦτα, λαλεῖν τι ἡμῖν, ὅπως ἂν ἡμᾶς ὕπνος λάβῃ.

ΠΕΡῚ ΛΟΓΟΠΟΙΐΑΣ.

Ἡ δὲ λογοποιία ἐστὶ σύνθεσις ψευδῶν λόγων καὶ πράξεων, ὧν βούλεται ὁ λογοποιῶν. ὁ δὲ λογοποιὸς τοιοῦτός τις, οἷος ἀπαντήσας τῷ φίλῳ εὐθὺς καταβαλὼν τὸ ἦθος, καὶ μειδιάσας ἐρωτῆσαι, πόθεν σὺ, καὶ λέγεις τι, καὶ ἔχεις περὶ τοῦδε εἰπεῖν καινόν. καὶ ἐπιβαλὼν ἐρωτᾶν, μὴ λέγεταί τι καινότερον. καὶ μὴν ἀγαθά ἐστι τὰ λεγόμενα. καὶ οὐκ ἐάσας ἀποκρίνασθαι εἰπεῖν. τί λέγεις; οὐδὲν ἀκήκοας; δοκῶ μοι σε εὐωχήσειν καινῶν λόγων. καὶ ἔστιν αὐτῷ ἢ στρατιώτης, ἢ παῖς Ἀστείου τοῦ αὐλητοῦ, ἢ Λύκων ὁ ἐργολάβος παραγεγονὼς ἐξ αὐτῆς τῆς μάχης, οὗ φησὶν ἀκηκοέναι. αἱ μὲν οὖν ἀναφοραὶ τῶν λόγων τοιαῦταί εἰσιν αὐτοῦ, ὧν οὐδεὶς ἂν ἔχοι ἐπιλαβέσθαι. διηγεῖται δὲ τούτους φάσκων λέγειν, ὡς Πολυπέρχων, καὶ ὁ Βασιλεὺς, μάχῃ νενίκηκε, καὶ Κάσσανδρος ἐζώγρηται. καὶ ἂν εἴποι τις αὐτῷ, σὺ δὲ ταῦτα πιστεύεις, φήσει, τὸ πρᾶγμα βοᾶσθαι γὰρ ἐν τῇ πόλει, καὶ τὸν λόγον ἐπεντείνειν, καὶ πάντα συμφωνεῖν. ταὐτὰ γὰρ λέγειν περὶ τῆς μάχης, καὶ πολὺν τὸν φόνον γεγονέναι. εἶναι δὲ αὐτῷ καὶ σημεῖον τὰ πρόσωπα τῶν ἐν τοῖς πράγμασιν. ὁρᾶν γὰρ αὐτῶν πάντων μεταβεβληκότα. λέγει δ' ὡς καὶ παρακήκοε παρὰ τούτοις κρυπτόμενόν τινα ἐν οἰκίᾳ, ἤδη πέμπτην ἡμέραν ἥκοντα ἐκ Μακεδονίας, ὃς πάντα ταῦτα οἶδε. καὶ πάντα διεξιὼν πῶς οἴεσθε πιθανῶς σχετλιάζει λέγων· δυστυχὴς Κάσσανδρος, ὦ ταλαίπωρος. ἐνθυμῇ τὸ τῆς τύχης; ἀλλ' οὖν ἰσχυρὸς γενόμενος. καὶ δεῖν δὲ αὐτόν σε μόνον εἰδέναι. πᾶσι δὲ τοῖς ἐν τῇ πόλει προσδεδράμηκε λέγων. τῶν τοιούτων ἀνθρώπων τεθαύμακα τί ποτε βούλονται λογοποιοῦντες. οὐ γὰρ μόνον ψεύδονται, ἀλλὰ καὶ ἀλυσιτελῶς ἀπαλλάττουσι. πολλάκις γὰρ αὐτῶν οἱ μὲν ἐν τοῖς βαλανείοις περιστάσεις ποιούμενοι, τὰ ἱμάτια ἀποβεβλήκασιν. οἱ δ' ἐν τῇ στοᾷ πεζομαχίᾳ καὶ ναυμαχίᾳ νικῶντες, ἐρήμους δίκας ὠφλήκασιν. εἰσὶ δ' οἳ, καὶ πόλεις λίθῳ, κατὰ κράτος αἱροῦντες παρεδειπνήθησαν. λόγω πάνυ δὴ ταλαίπωρον αὐτῶν ἐστι τὸ ἐπιτήδευμα. ποία γὰρ οὐ στοά, ποῖον δὲ ἐργαστήριον, ποῖα δὲ μέρη τῆς ἀγορᾶς οὐ διημερεύουσιν, ἀπαυδᾶν ποιοῦντες τοὺς ἀκούοντας, οὕτως καὶ καταπονοῦντες ταῖς ψευδολογίαις.

περὶ

ὄντος φυλάσσεται τὸ χωρίον, καὶ τὴν οἰκίαν, καὶ τὸν φύλον. ἀργύριον δὲ παρὰ τοῦ λαβεῖν ἀποδοκιμάζειν, λίαν μὲν λυπρὸν εἶναι, καὶ ἕτερον ἅμα ἀλλάττεσθαι. καὶ ὃ ἄροτρον ἔχρησεν, ἢ κόφινον, ἢ δρέπανον, ἢ θύλακον, ταῦτα τῆς νυκτὸς κατὰ ἀγρυπνίαν ἀναμιμνησκόμενος. καὶ εἰς ἄστυ καταβαίνων, ἐρωτῆσαι τὸν ἀπαντῶντα πόσου ἦσαν αἱ διφθέραι, καὶ τὸ τάριχος. καὶ εἰ σήμερον ὁ ἀγὼν, νουμηνίαν ἄγει. καὶ εἰπεῖν εὐθὺς, ὅτι βούλεται καταβὰς, ἀποκείρασθαι, καὶ ἐν βαλανείῳ δὲ ᾆσαι. καὶ εἰς τὰ ὑποδήματα δὲ, ἥλους ἐγκροῦσαι. καὶ τῆς αὐτῆς ὁδοῦ παριὼν κομίσασθαι † παρ' ἀρχίου τοῦ ταρίχους. ἀπὸ Βραχίωνος

ΠΕΡῚ ἈΡΕΣΚΕΊΑΣ.

Η δὲ ἀρέσκειά ἐστι μὲν (ὡς ὅρῳ περιλαβεῖν) ἔντευξις οὐκ ἐπὶ τῷ βελτίστῳ ἡδονῆς παρασκευαστική. ὁ δὲ ἄρεσκος ἀμέλει τοιοῦτός τις, οἷον πόῤῥωθεν προσαγορεύσας, καὶ ἄνδρα κράτιστον εἰπὼν, καὶ θαυμάσας ἱκανῶς ἀμφοτέραις ταῖς χερσὶ μὴ ἀφιέναι. καὶ μικρὸν προπέμψας, καὶ ἐρωτήσας πότε αὐτὸν ὄψεται, ἔτι ἐπαινῶν ἀπαλλάττεσθαι. καὶ παρακληθεὶς δὲ πρὸς δίαιταν, μὴ μόνον ᾧ πάρεστι βούλεσθαι ἀρέσκειν, ἀλλὰ καὶ τῷ ἀντιδίκῳ, ἵνα κοινός τις εἶναι δοκῇ. καὶ τοὺς ξένους δὲ εἰπεῖν ὡς δικαιότερα λέγουσι τῶν πολιτῶν. καὶ κεκλημένος δὲ ἐπὶ δεῖπνον, κελεῦσαι καλέσαι τὰ παιδία τὸν ἑστιῶντα, καὶ εἰσιόντα φῆσαι, σύκου ὁμοιότερα εἶναι τῷ πατρί. καὶ προσαγαγόμενος φιλῆσαι, καὶ παρ' αὐτὸν καθίσαι. καὶ τοῖς μὲν συμπαίζειν αὐτὸς λέγων, ἀσκὸς, πέλεκυς. τὰ δὲ ἐπὶ τῆς γαστρὸς ἐᾶν καθεύδειν, ἅμα θλιβόμενος. καὶ πλειστάκις δὲ ἀποκείρασθαι. καὶ τοὺς ὀδόντας λευκοὺς ἔχειν. καὶ τὰ ἱμάτια δὲ, χρηστὰ μεταβάλλεσθαι. καὶ χρίσματι ἀλείφεσθαι, καὶ τῆς μὲν ἀγορᾶς πρὸς τὰς τραπέζας προσφοιτᾶν. τῶν δὲ γυμνασίων, ἐν τούτοις διατρίβειν, οὗ ἂν ἔφηβοι γυμνάζωνται. τοῦ δὲ θεάτρου καθῆσθαι, ὅταν ᾖ θέα, πλησίον τῶν στρατηγῶν. καὶ ἀγοράζειν αὐτῷ μὲν μηδὲν, ξένοις δὲ εἰς Βυζάντιον ἐπιστάλματα. καὶ λακωνικὰς κύνας, εἰς Κύζικον. καὶ μέλι ὑμήττιον, εἰς Ῥόδον. καὶ ταῦτα ποιῶν, τοῖς ἐν τῇ πόλει διηγεῖσθαι. ἀμέλει δὲ καὶ πίθηκον θρέψαι δεινὸς, καὶ τίτυρον κτήσασθαι, καὶ σικελικὰς περιστερὰς. καὶ δορκαδείους ἀστραγάλους, καὶ θουριακὰς τῶν στρογγύλων ληκύθους, καὶ βακτηρίας τῶν σκολιῶν, ἐκ Λακεδαίμονος, καὶ αὐλαίαν ἔχουσαν πέρσας ἐνυφασμένους, καὶ αὐλίδιον παλαιστρικὸν κόνιν ἔχον, καὶ σφαιριστήριον. καὶ τοῦτο περιιὼν, χρᾶν ἀεὶ τοῖς φιλοσόφοις, τοῖς σοφισταῖς, τοῖς ὁπλομάχοις, τοῖς ἁρμονικοῖς ἐπιδείκνυσθαι. καὶ αὐτὸς ταῖς ἐπιδείξεσιν ὕστερον ἐπεῖν. ἐπὶ τῶν θεωμένων εἰπεῖν πρὸς τὸν ἕτερον, ὅτι τούτου ἐστὶν ἡ παλαίστρα.

ΠΕΡῚ ἈΠΟΝΟΊΑΣ.

Η δὲ ἀπόνοια ἐστὶν ὑπομονὴ αἰσχρῶν ἔργων καὶ λόγων. ὁ δὲ ἀπονενοημένος τοιοῦτός τις, οἷος ὀμόσαι ταχὺ, κακῶς ἀκοῦσαι, καὶ λοιδορηθῆναι δυνάμενος. τῷ ἤθει ἀγοραῖός τις, καὶ ἀνασεσυρμένος, καὶ παντοποιός. ἀμέλει δυνατὸς καὶ ὀρχεῖσθαι, νήφων τὸν κόρδακα. καὶ προσωπεῖον ἔχων ἐν κωμικῷ χορῷ. καὶ ἐν θαύμασι δὲ τοὺς χαλκοῦς ἐκλέγειν, καθ' ἕκαστον παριών. καὶ μάχεσθαι τοῖς τὸ σύμβολον φέρουσι, καὶ προῖκα θεωρεῖν ἀξιοῦσι. δεινὸς δὲ καὶ πανδοχεῦσαι, καὶ πορνοβοσκῆσαι, καὶ τελωνῆσαι, καὶ μηδεμίαν αἰσχρὰν ἐργασίαν ἀποδοκιμάσαι, ἀλλὰ κηρύττειν, μαγειρεύειν, κυβεύειν· τὴν μητέρα μὴ τρέφειν, ἀπάγεσθαι κλοπῆς, τὸ δεσμωτήριον πλείω χρόνον οἰκεῖν ἢ τὴν αὐτοῦ οἰκίαν. καὶ τοῦτο δ' ἂν εἶναι δόξει, τῶν περιϊσταμένων τοὺς ὄχλους, καὶ προσκαλούντων μεγάλῃ τῇ φωνῇ, καὶ παρεῤῥωγυίᾳ λοιδορουμένων, καὶ διαλεγομένων πρὸς αὐτούς. καὶ μεταξὺ οἱ μὲν προσίασιν, οἱ δὲ ἀπίασιν πρὶν ἀκοῦσαι αὐτοῦ. ἀλλὰ τοῖς μὲν ἀρχὴν, τοῖς δὲ συλλαβὴν, τοῖς δὲ μέρος τοῦ πράγματος λέγειν. οὐκ ἄλλως θεωρεῖσθαι ἀξιῶν τὴν ἀπόνοιαν αὐτοῦ, ἢ ὅταν ᾖ πανήγυρις. ἱκανὸς δὲ καὶ δίκας τὰς μὲν φεύγειν, τὰς δὲ διώκειν, τὰς δὲ ἐξόμνυσθαι, ταῖς δὲ παρεῖναι. ἔχων ἐχῖνον ἐν τῷ προκολπίῳ, καὶ ὁρμαθοὺς γραμματιδίων ἐν ταῖς χερσίν. οὐκ ἀποδοκιμάζων δὲ οὐδὲ ἅμα πολλῶν ἀγοραίων στρατηγεῖν, καὶ εὐθὺς τούτοις δανείζειν, καὶ τῆς δραχμῆς τόκον τρία ἡμιωβόλια τῆς ἡμέρας πράττεσθαι. καὶ ἐφοδεύειν τὰ μαγειρεῖα, τὰ ἰχθυοπωλεῖα,

ἐν τῇ στοᾷ. πλειόνων γὰρ ἢ τριάκοντα ἀνθρώπων καθημένων, καὶ ἐμπεσόντος λόγου τίς εἴη βέλτιστος, ἀπ' αὐτοῦ ἀρξαμένους πάντας ἐπὶ τὸ ὄνομα αὐτοῦ κατενεχθῆναι.

καὶ ἄλλα τοιαῦτα λέγων· ἀπὸ τοῦ ἱματίου, ἀφελεῖν κροκύδα. καὶ ἐάν τις πρὸς τὸ τρίχωμα τῆς κεφαλῆς ἄχυρον προσενεχθῇ ὑπὸ πνεύματος, καρφολογῆσαι. καὶ ἐπιγελάσας δὲ εἰπεῖν, ὁρᾷς ὅτι δυοῖν σοι ἡμερῶν οὐκ ἐντετύχηκα πολιῶν ἔσχηκας τὸν πώγωνα μεστόν, καίπερ εἴ τις καὶ ἄλλος ἔχεις πρὸς τὰ ἔτη μέλαιναν τὴν τρίχα. καὶ λέγοντος δὲ αὐτοῦ τι, τοὺς ἄλλους σιωπᾶν κελεῦσαι, καὶ ἐπαινέσαι δὲ ἀκούοντος. καὶ ἐπισημαίνεσθαι δὲ εἰ παύσεται ὀρθῶς. καὶ σκώψαντι πικρῶς ἐπιγελάσαι, τό τε ἱμάτιον ὦσαι εἰς τὸ στόμα, ὡς δὴ οὐ δυνάμενος κατασχεῖν τὸν γέλωτα. καὶ τοὺς ἀπαντῶντας ἐπιστῆναι κελεῦσαι ἕως αὐτὸς παρέλθῃ. καὶ τοῖς παιδίοις μῆλα καὶ ἀπίους πριάμενος, εἰσενέγκας δοῦναι ὁρῶντος αὐτοῦ, καὶ φιλήσας δὲ εἰπεῖν, χρηστοῦ πατρὸς νεόττια. καὶ συνωνούμενος δὲ κρηπίδας, τὸν πόδα φῆσαι εἶναι εὐρυθμότερον τοῦ ὑποδήματος. καὶ πορευομένου πρός τινα τῶν φίλων, προδραμὼν εἰπεῖν, ὅτι πρὸς σὲ ἔρχεται, καὶ ἀναστρέψας, ὅτι προσήγγελκα. ἀμέλει δὲ καὶ τὰ ἐκ γυναικείας ἀγορᾶς διακονῆσαι δυνατὸς ἀπνευστί. καὶ τῶν ἑστιωμένων, πρῶτος ἐπαινέσαι τὸν οἶνον. καὶ παραμένων εἰπεῖν, ὡς μαλακῶς ἐσθίεις. καὶ ἄρας τι τῶν ἀπὸ τῆς τραπέζης, φῆσαι, τουτὶ ἄρα ὡς χρηστόν ἐστι, καὶ ἐρωτῆσαι, μὴ ῥιγοῖ. καὶ εἰ ἐπιβάλλεσθαι βούλεται, καὶ ἔτι περιστεῖλαι αὐτόν. καὶ μὴν ταῦτα λέγων εἰς τὸ οὖς προσκύπτων, ψιθυρίζειν, καὶ εἰς ἐκεῖνον ἀποβλέπων τοῖς ἄλλοις λαλεῖν. καὶ τοῦ παιδὸς ἐν τῷ θεάτρῳ ἀφελόμενος τὰ προσκεφάλαια, αὐτὸς ὑποστρῶσαι. καὶ τὴν οἰκίαν φῆσαι, εὖ ἠρχιτεκτονῆσθαι, καὶ τὸν ἀγρὸν εὖ πεφυτεῦσθαι, καὶ τὴν εἰκόνα ὁμοίαν εἶναι. καὶ τὸ κεφάλαιον, τὸν κόλακα ἔστι θεάσασθαι πάντα καὶ λέγοντα καὶ πράττοντα, οἷς χαριεῖσθαι ὑπολαμβάνει.

ΠΕΡῚ ἈΔΟΛΕΣΧΊΑΣ.

Ἡ δὲ ἀδολεσχία, ἐστὶ μὲν διήγησις λόγων μακρῶν καὶ ἀπροβουλεύτων. ὁ δὲ ἀδολέσχης τοιοῦτός ἐστιν, οἷος ὃν μὴ γινώσκει τούτῳ παρακαθεζόμενος πλησίον, πρῶτον μὲν τῆς ἑαυτοῦ γυναικὸς εἰπεῖν ἐγκώμιον. εἶτα ὃ τῆς νυκτὸς εἶδεν ἐνύπνιον, τοῦτο διηγήσασθαι. εἶθ' ὧν εἶχεν ἐπὶ τῷ δείπνῳ τὰ καθέκαστα διεξελθεῖν. εἶτα δὴ προχωροῦντος τοῦ πράγματος λέγειν, ὡς πολὺ πονηρότεροί εἰσιν οἱ νῦν ἄνθρωποι τῶν ἀρχαίων. καὶ ὡς ἄξιοι γεγόνασιν οἱ πυροὶ ἐν τῇ ἀγορᾷ. καὶ ὡς πολλοὶ ἐπιδημοῦσι ξένοι. καὶ τὴν θάλατταν ἐκ Διονυσίων πλώϊμον εἶναι. καὶ εἰ ποιήσειεν ὁ Ζεὺς ὕδωρ, τὰ ἐν τῇ γῇ βελτίω ἔσεσθαι, καὶ ὁ ἀγρὸς εἰς νέωτα γεωργήσει. καὶ ὡς χαλεπόν ἐστι τὸ ζῆν. καὶ ὡς Δάμιππος μυστηρίοις μεγίστην δᾷδα ἔστησε. καὶ πόσοι εἰσὶ κίονες τοῦ ᾠδείου. καὶ χθὲς ἤμεσα. καὶ τίς ἐστιν ἡμέρα σήμερον. κἂν ὑπομένῃ τις αὐτόν, μὴ ἀφίστασθαι. καὶ ὡς Βοηδρομιῶνος μὲν τὰ μυστήρια, Πυανεψιῶνος δὲ ἀπατούρια, Ποσειδεῶνος δὲ κατ' ἀγροὺς Διονύσια. παρασείσαντα δὲ χρὴ τοὺς τοιούτους τῶν ἀνθρώπων, καὶ διαράμενον ἀπαλλάττεσθαι, ὅστις ἀπύρετος βούλεται εἶναι. ἔργον γάρ, συναρκεῖσθαι τοῖς μήτε χολήν, μήτε σπουδὴν διαγινώσκουσιν.

ΠΕΡῚ ἈΓΡΟΙΚΊΑΣ.

Ἡ δὲ ἀγροικία δόξειεν ἂν εἶναι ἀμαθία, ἀσχήμων. ὁ δὲ ἄγροικος τοιοῦτός τις, οἷος κυκεῶνα πιὼν, εἰς ἐκκλησίαν πορεύεσθαι. καὶ τὸ μύρον φάσκειν οὐδὲν τοῦ θύμου ἥδιον ὄζειν. καὶ μείζω τοῦ ποδὸς, τὰ ὑποδήματα φορεῖν. καὶ μεγάλῃ τῇ φωνῇ λαλεῖν. καὶ τοῖς μὲν φίλοις, καὶ οἰκείοις ἀπιστεῖν, πρὸς δὲ τοὺς αὐτοῦ οἰκέτας ἀνακοινοῦσθαι περὶ τῶν μεγίστων, καὶ τοῖς παρ' αὐτῷ ἐργαζομένοις μισθωτοῖς ἐν ἀγρῷ πάντα τὰ ἀπὸ τῆς ἐκκλησίας διηγεῖσθαι. καὶ ἀναβεβλημένος ἄνω τοῦ γόνατος, καθίζειν, ὥστε τὰ γυμνὰ αὐτοῦ φαίνεσθαι. καὶ ἐπ' ἄλλῳ μὲν μήτε θαυμάζειν, μήτε ἐκπλήττεσθαι ἐν ταῖς ὁδοῖς. ὅταν δὲ ἴδῃ βοῦν, ἢ ὄνον, ἢ τράγον, ἑστηκὼς θεωρεῖν. καὶ προαιρῶν δέ τι ἐκ τοῦ ταμιείου δεινὸς φαγεῖν. καὶ ζωρότερον πιεῖν. καὶ τὴν σιτοποιὸν πειρᾶν λαθεῖν. κἆτ' ἀλέσας μετ' αὐτῆς τοῖς ἔνδον πᾶσι καὶ αὐτῷ τὰ ἐπιτήδεια. καὶ ἀριστῶν δὲ ἅμα τοῖς ὑποζυγίοις ἐμβαλεῖν τὸν χόρτον. καὶ κόψαντος τὴν θύραν ὑπακοῦσαι αὐτός. καὶ τὸν κύνα προσκαλεσάμενος, καὶ ἐπιλαβόμενος τοῦ ῥύγχους εἰπεῖν,

οὗτος

BIBLIOTECA

ΘΕΟΦΡΑΣΤΟΥ ΗΘΙ-ΚΟῚ ΧΑΡΑΚΤΗ͂ΡΕΣ.

Εἰρωνείας, κολακείας, ἀδολεσχίας, ἀγροικίας, ἀρεσκείας, ἀπονοίας, λαλιᾶς, λογοποιίας, ἀναισχυντίας, μικρολογίας, βδελυρίας, ἀκαιρίας, περιεργίας, ἀναισθησίας, αὐθαδείας.

Ἤδη καὶ πρότερον πολλάκις ἐπιστήσας τὴν διάνοιαν, ἐθαύμασα. ἴσως δὲ οὐδὲ παύσομαι θαυμάζων. τί γὰρ δή ποτε τῆς Ἑλλάδος ὑπὸ τὸν αὐτὸν ἀέρα κειμένης, καὶ πάντων τῶν Ἑλλήνων ὁμοίως παιδευομένων, συμβέβηκεν ἡμῖν οὐ τὴν αὐτὴν τάξιν τῶν τρόπων ἔχειν. ἐγὼ γὰρ ὦ Πολύκλεις συνθεωρήσας ἐκ πολλοῦ τὴν ἀνθρωπίνην φύσιν, καὶ βεβιωκὼς ἔτη ἐννενήκοντα ἐννέα, ἔτι δὲ ὡμιληκὼς πολλαῖς τε καὶ παντοδαπαῖς φύσεσι, καὶ παρατεθεαμένος ἐξ ἀκριβείας πολλῆς τούς τε ἀγαθοὺς τῶν ἀνθρώπων καὶ τοὺς φαύλους, ὑπέλαβον δεῖν συγγράψαι ἃ ἑκάτεροι αὐτῶν ἐπιτηδεύουσιν ἐν τῷ βίῳ. ἐκθήσω δέ σοι κατὰ γένος, ὅσα τε τυγχάνει γένη τρόπων τούτοις προσκείμενα, καὶ ὃν τρόπον τῇ οἰκονομίᾳ χρῶνται. ὑπολαμβάνω γὰρ ὦ Πολύκλεις, τοὺς υἱεῖς ἡμῶν βελτίους ἔσεσθαι, καταλειφθέντων αὐτοῖς ὑπομνημάτων τοιούτων. οἷς παραδείγμασι χρώμενοι, αἱρήσονται τοῖς εὐσχημονεστάτοις συνεῖναί τε καὶ ὁμιλεῖν, ὅπως μὴ καταδεέστεροι ὦσιν αὐτῶν. τρέψομαι δὲ ἤδη ἐπὶ τὸν λόγον. σὸν δὲ παρακολουθῆσαί τε καὶ εἰδῆσαι εἰ ὀρθῶς λέγω. πρῶτον μὲν οὖν ποιήσομαι τὸν λόγον ἀπὸ τῶν τὴν εἰρωνείαν ἐζηλωκότων, ἀφεὶς τὸ προοιμιάζεσθαι, καὶ πολλὰ περὶ τοῦ πράγματος λέγειν. καὶ ἄρξομαι πρῶτον ἀπὸ τῆς εἰρωνείας, καὶ ὁριοῦμαι αὐτήν. εἶθ' οὕτως τὸν εἴρωνα διέξειμι, ποῖός τίς ἐστι, καὶ εἰς τίνα τρόπον κατενήνεκται. καὶ τὰ ἄλλα δὴ τῶν παθημάτων ὥσπερ ὑπεθέμην, πειράσομαι κατὰ γένος φανερὰ καταστῆσαι.

ΠΕΡῚ ΕἸΡΩΝΕΊΑΣ.

Ἡ μὲν οὖν εἰρωνεία δόξειεν ἂν εἶναι (ὡς τύπῳ λαβεῖν) προσποίησις ἐπὶ χεῖρον πράξεων καὶ λόγων. ὁ δὲ εἴρων τοιοῦτός τις, οἷος προσελθὼν τοῖς ἐχθροῖς ἐθέλειν λαλεῖν, οὐ μισεῖν. καὶ ἐπαινεῖν παρόντας, οἷς ἐπέθετο λάθρα. καὶ τούτοις συλλυπεῖσθαι ἡττωμένοις. καὶ συγγνώμην δὲ ἔχειν τοῖς κακῶς αὐτὸν λέγουσιν, καὶ ἐπὶ τοῖς καθ' ἑαυτοῦ λεγομένοις. καὶ πρὸς τοὺς ἀδικουμένους, καὶ ἀγανακτοῦντας πράως διαλέγεσθαι. καὶ τοῖς ἐντυγχάνειν κατὰ σπουδὴν βουλομένοις, προστάξαι ἐπανελθεῖν. καὶ μηδὲν ὧν πράττει ὁμολογῆσαι. ἀλλὰ φῆσαι βουλεύεσθαι, καὶ προσποιήσασθαι ἄρτι παραγεγονέναι, καὶ ὀψὲ γενέσθαι αὐτὸν καὶ μαλακισθῆναι. καὶ πρὸς τοὺς δανειζομένους καὶ ἐρανίζοντας, ὡς οὐ πωλεῖ, καὶ μὴ πωλῶν φῆσαι πωλεῖν. καὶ ἀκούσας τι, δείξει μὴ† προσποιεῖσθαι. καὶ ἰδὼν, φῆσαι μὴ ἑωρακέναι. καὶ ὁμολογήσας, μὴ μεμνῆσθαι. καὶ τὰ μὲν ἐσκέφθαι φάσκειν, τὰ δὲ οὐκ εἰδέναι. τὰ δὲ θαυμάζειν, τὰ δ' ἤδη ποτὲ καὶ αὐτὸς οὕτω διαλογίσασθαι. καὶ τὸ ὅλον δεινὸς τῷ τοιούτῳ τρόπῳ τοῦ λόγου χρῆσθαι, οὐ πιστεύω, οὐχ ὑπολαμβάνω, ἐκπλήττομαι. καὶ λέγει ἑαυτὸν ἕτερον γεγονέναι. καὶ μὴν οὐ ταῦτα πρὸς ἐμὲ διεξῄει, παράδοξόν μοι τὸ πρᾶγμα, ἄλλῳ τινὶ λέγε. ὅπως δέ σοι ἀπιστήσω, ἢ ἐκείνου καταγνῶ, ἀποροῦμαι, ἀλλ' ὅρα μὴ σὺ θᾶττον πιστεύσῃς. τοιαύτας φωνὰς, καὶ πλοκὰς, καὶ παλιλλογίας. οὐ χεῖρόν ἐστιν εὑρεῖν ὄντα, τὰ δὲ τῶν ἠθῶν μὴ ἁπλᾶ, ἀλλ' ἐπίβουλα φυλάττεσθαι μᾶλλον δεῖ ἢ τοὺς ἔχεις.

† id est, αὐτιποιεῖσθαι.

ΠΕΡῚ ΚΟΛΑΚΕΊΑΣ.

Τὴν δὲ κολακείαν ὑπολάβοι ἄν τις ὁμιλίαν αἰσχρὰν εἶναι, συμφέρουσαν δὲ τῷ κολακεύοντι. τὸν δὲ κόλακα τοιοῦτόν τινα, ὥστε ἅμα πορευόμενον εἰπεῖν, ἐνθυμῇ ὡς ἀποβλέπουσιν εἰς σὲ οἱ ἄνθρωποι, τοῦτο οὐδενὶ γίνεται τῶν ἐν τῇ πόλει πλὴν ἢ σοί, ηὐδοκίμεις χθὲς

λον. διὸ οὐδὲ πόνος ἐνταῦθα, καὶ ἱδρώς. ἅμα δὲ καὶ ἡ διάστασις τοῦ πνεύματος, ἐξωθεῖ μᾶλλον. ὥσθ᾽ ὅταν ἀνεθῇ πλεῖον, καὶ ἀθροωτέρως ἐκεῖθεν. τὸ δὲ πρόσωπον μάλιστα ἱδροῦσιν, ἀραιότερον ὄν, καὶ ἥκιστα πονοῦν. διὸ καὶ ἡ κεφαλὴ ὑγρὰ καὶ * δὲ πνευμονώτερος. ἀλλά τι πολλὰ σημεῖα, καὶ ὁ ἐγκέφαλος, καὶ ἡ τριχῶν ἔκφυσις· ὁ μὲν τὸ ὑγρόν, αἱ δὲ τὸ μανὸν ἀποδηλοῦσαι. διὸ καὶ πρῶτον καὶ μάλιστα ἱδροῦσι τὸ μέτωπον· ἐστὶ γὰρ ὑπὸ τὸν ἐγκέφαλον. ἔτι δ᾽ ἡ τοῦ πνεύματος κάθεξις, διατείνεταί πως εἰς τὴν κεφαλήν. διὰ δὲ τὰς χεῖρας τριβόντων μάλιστα ἱδροῦσιν, οὐ τἆλλα ὁμοιοσχημονοῦσιν, κατὰ συμβεβηκός πως τὴν αἰτίαν ληπτέον. ἰσχύουσι γὰρ μάλιστα τῷ τόπῳ. τὸ γὰρ πνεῦμα οὕτω κατέχουσι, τῷ ἐγγυτάτω ἰσχύοντες. πονοῦντες δὲ μᾶλλον ἱδροῦσιν, τοῦ ἔχοντος μάλιστα τὸ πνεῦμα μάλιστα κατέχουσιν. εἶτα καὶ χειρὶ τριβομένων, συμπονούμενοι ἄλλων, ὅταν ἄλλο τι μέρος τριβώμεθα. τῇ γὰρ καθέξει τοῦ πνεύματος καὶ γυμναζόμεθα, καὶ τρίβοντες μᾶλλον ἱδροῦμεν. καὶ ὅταν τοὺς πόδας καὶ τὰς κνήμας ἐν ἐν τῷ ὕδατι ἔχωσιν, ἢ ὅταν τὸ ἄλλο σχῆμα διά τι τὰ περιῃρημένα. κωλύει γὰρ τὸ ὕδωρ τὸν ἱδρῶτα. καὶ ὅτι διαθερμαινομένων τούτων, καὶ τὰ ἄνω συνθερμαίνεται· οἱ δ᾽ ἱδρῶτες, ὅπου θερμὸν καὶ ὑγρόν. ἄτοπον δ᾽ ὅτι οἱ ἀγωνιῶντες τοὺς πόδας ἱδροῦσι, τὸ δὲ πρόσωπον οὔ. καίτοι μᾶλλον εὔλογον, τὸ μάλιστα ἱδρωτικόν, καὶ τὸ μὴ ἥκιστα. τὸ δ᾽ αἴτιον, ὅτι ἡ ἀγωνία ἐστὶν οὐ μετάστασις θερμότητος, ὥσπερ ἐν τοῖς φόβοις, ἀλλὰ μᾶλλον αὔξησις· καθάπερ ἐν τῷ θυμῷ. καὶ γὰρ ὁ θυμός, ζέσις τοῦ περὶ καρδίαν θερμοῦ. καὶ ἀγωνιώντων δ᾽ οὐ διὰ φόβον τοῦτο πάσχουσιν, ἀλλὰ τὸ μὲν οὐ διὰ τὸ, τὸ μὲν πρὸς τὸ μᾶλλον θερμαίνεσθαι. ξηραίνει γὰρ ἡ θερμότης ἀποπολάζουσα· τὸ δὲ ἐν τοῖς ποσὶ συντήκει, διὰ τὸ ἐλάττω μὲν εἶναι, ὥστε ξηρᾶναι, πλείω δὲ συμφύτου καὶ περιπαρχούσης. ἔνιοι δ᾽ ἱδροῦσιν ἂν ψυχθῶσιν, ἢ πνεύματι, ἢ ὕδατι. συμβαίνει γὰρ ναυτιᾶν, οὐκ ἀλόγως, καὶ ὅτι τὸ ὑγρὸν ψυχθὲν ἀθρόον ἐστί. πρότερον δ᾽ οὐχὶ ῥιγοῦν, καὶ ὅτι τὸ πνεῦμα τὸ ἴδιον καὶ ἔξω γινόμενον περιττὸν τῷ ἀναπνευστικῷ τόπῳ ποιεῖ τὴν ναυτίαν. οἱ δ᾽ ἡμεροδρόμοι, καὶ ἱδρῶτες, καὶ * ψεις εἰς ἱμάτιον ἀθρόους ποιοῦσι. διότι ἡ δύσχροια γίνεται, διὰ δύσπνοιαν. ἡ δ᾽ ἄχροια, διὰ τὴν κατάπνιξιν. συνθερμαινόμενον γάρ, καὶ μὴ διαψυχόμενον τὸ ἀπὸ πολλῆς ὑγρόν, ἄχροιαν ποιεῖ. τοῦτο δὲ συμβαίνει, καὶ ἐκ τῶν δρόμων, καὶ ἐκ τῶν ὑπολήψεως. οἱ δὲ γυμνοὶ δρόμοι, διὰ τοὐναντίον. εὔχροοι γάρ, καὶ καταψύχει ὁ ἀὴρ τὰς συνισταμένας ἐκκρίσεις, καὶ διαπνέοντας. ἐν δὲ τοῖς ὕπνοις οἱ ἱδρῶτες μᾶλλον, ἢ ἐγρηγορῶσιν· ὅτι ὑγρότατα καὶ θερμότατα πάντα διὰ τὴν ἀντιπερίστασιν. ἐξ ἀμφοῖν δὲ τούτοιν ἱδρώς, ὥσπερ εἴρηται πολλάκις.

χόντων· ὥστε πλειόνων ἡ ξηρότης, καὶ τὸ μὴ διιδροῦν. ἡ γὰρ κατ' ἄλλον τρόπον ἀπέρασις, ἡ περὶ τὴν αὐτὸν, ἑκατέρα κωλύει ἀνιδρῶτας διὰ τοῦτο. καὶ γὰρ ὧν αἱ κοιλίαι ὑγραί, καὶ εἰς κύστιν ἡ ἐπίρροια. πλείω δ' οἱ ἱδρῶτες, ὅτι πᾶν τὸ ὑγρὸν ἐν τούτῳ ἀθροίζεται. οἷς δὲ πάλιν ἐπὶ τὰ σῖτα τῆς κοιλίας καὶ κύστεως. οὗτοι δὲ δυσίδρωτες μᾶλλον. ἡ γὰρ ἐν τούτῳ μεριζομένη περίττωσις, ἀναφέρεται πρὸς τὰς σάρκας, καὶ εἰς τοὺς ἄνω τόπους· ἐπεὶ καὶ ἀπέπτων τῶν σιτίων ὄντων, καὶ ἀγρυπνήσαντες, δυσίδρωτες μᾶλλον· ὅτι συμβαίνει τὴν πέψιν διαμερίζειν τὴν ὑγρότητα, καὶ τὸν ὕπνον ἐκπέμπειν. ἐκ ξηροῦ δ' οὐκ ἔστιν ἱδρώς. ἄτοπον δ' αὖ ἐκεῖνο δόξειεν, καὶ ὥσπερ ὑπεναντίον, ἢ οἱ γυμναζόμενοι καὶ συνέχοντες ἱδρῶτες. καὶ πάλιν οἱ ἀγύμναστοι κακῶς, καὶ πεπεμμένην δὲ καὶ ἄπεπτον ἔχοντες τὴν τροφήν. οὐκ ἔστι δ' ἄτοπον * γεγυμνασμένοι τῶν ἀνὰ τὰ σώματα, καὶ ἀνεῳγμένους ἔχοντες πόρους. ἔχει δὲ * ἀνιδρῶτας. διὰ τοῦτο γὰρ καὶ οἱ μὲν χρονίως ποιούμενοι τὰς ἀφιδρώσεις δυσ- * ἔτι τῶν μὲν ἀνεῳγμένων, τῶν δὲ συμμεμυκότων οἱ πόροι διὰ τὸ μὴ χρῆσθαι. συμβαίνει δὲ τούτοις καταπεπεμμένης τῆς τροφῆς, διὰ τὴν αὐτὴν αἰτίαν. οἱ δὲ κακῶς ἔχοντες, καὶ μὴ πεπεμμένην τὴν τροφὴν διὰ πλῆθος τῆς ὑγρότητος δυσίδρωτοι, διότι οὔτ' ἀπὸ τῶν αὐτῶν, οὔθ' ὡσαύτως· ἀλλ' ἐκεῖνοι μὲν μετὰ πόνου, καὶ ἀεὶ τὸ σύμμετρον ἀφαιρουμένων. οὗτοι δὲ καὶ αὐτομάτως, καὶ ὡς ἂν τύχῃ, καὶ τὸ ὅλον ἀεὶ περιττώματος ἐχόντων πλῆθος. δοκοῦσι δέ τινες καὶ ἐν τῷ χειμῶνι μᾶλλον δυσίδρωτοι, ἢ ἐν τῷ θέρει εἶναι, μὴ τὰς ὑπερβολὰς ἑκατέρου λαμβανόντων, οἷον ψύχους τε καὶ καύματος. οἱ μὲν γὰρ οἷον ῥῖγος ἂν ποιήσειεν, ἡ δὲ τοῦ καύματος σύντηξις. ἀλλὰ τὸ μέσον ἐν ἑκατέρῳ. τὴν δ' αἰτίαν ταύτην ὑποληπτέον, εἴπερ ἀληθές, ὅτι ἡ μὲν ξηρὰ τῶν ὑγρῶν, ἡ δὲ ὑγρὰ εἶναι περίστασίν τινα τοῦ θερμοῦ, καὶ κατάστασιν. ὁ δὲ ἱδρὼς ἐξ ἀμφοῖν, τοῦ μὲν ὡς ποιοῦντος, τοῦ δὲ ὡς πάσχοντος. ἔτι δὲ τοῦ θέρους καὶ διατήκονται τὸ πολὺ τοῦ ὑγροῦ. διότι δὲ καὶ ἀνώμαλον ἱδροῦσι τρόπον τινά, φανερόν. καὶ γὰρ τὸ ὑγρόν, καὶ τὸ πνεῦμα, καὶ τὸ θερμὸν ἐν τούτοις μᾶλλον, ἐξ ὧν καὶ δι' ὧν ὁ ἱδρώς. καὶ οὐδ' οἱ πονοῦντες, ἀλλ' ὅταν παύσωνται μᾶλλον ἱδροῦσιν, οὐδὲ συγγεγονότες, οὐδὲ κατέχοντες τὸ πνεῦμα, ἀλλ' ὅταν ὦσιν ἐν τούτοις ἡ αἰτία. πάντων μὲν γὰρ ὑπὸ πνεύματος αἱ φλέβες ἐμφυσώμεναι, συμμύειν ποιοῦσι τοὺς πόρους· παυσαμένων δὲ συνίζουσιν. ὥστε δὴ εὐρυτέρων, καθάπερ ἀνεῳγμένων, μᾶλλον ἐξέρχεται τὸ ὑγρόν. καὶ ἡ κατοχὴ δὲ τοῦ πνεύματος πληροῖ τὰς φλέβας, ὥστε κωλύει διηθεῖν, καθάπερ τὸ ὕδωρ τὸ ἐκ τῶν κλεψυδρῶν, ὅταν γε πλή- * δυσίς τις ὑπολαβεῖν. ὅταν δ' ἀναισθητῇ, τότ' ἐξέρχεται μαδηρὸς ἐμφράττοντος τὰ δὲ καὶ ἡ ἀπόκρισις, ἡ ὑπὸ τῆς θερμότητος γινομένη, διὰ τῶν πόρων ἐκ τοῦ ὑγροῦ πνεύματος, ἣ καὶ ἄγει πρὸς τὸ ὑπὲρ πολλοῦς. ὅταν δ' ἐπαίσθηται πόνων, ἥ τε θερμότης ἅπασα δίεισι, καὶ ἐκ τοῦ πνεύματος ἀποψυχομένου γίνεται ὑγρότης, ὁ καλούμενος ἱδρώς· ὥστε καὶ πλεῖον καὶ ῥᾷον ἐκπίπτειν. μετὰ δὲ τοὺς δρόμους καὶ πόνους, ἐν τῇ σκιᾷ μᾶλλον ἱδροῦσιν, ἢ ἐν τῷ ἡλίῳ, διὰ τὸ τὸν ἥλιον ἀναξηραίνειν καὶ πυκνοῦν τοὺς πόρους. ὅλως γάρ, οὔτε πολὺ τὸ θερινὸν ἄγαν, οὔτε ὀλίγον διὰ τὸ ἐκτὸς εἶναι. τὸ μὲν γὰρ οὐ κινεῖ, τὸ δ' ἀναξηραίνει. διὸ καὶ ἄν τις ἄγαν ἐγγὺς ἵσταται τοῦ πυρός, ἧττον ἂν ἱδρώσειεν. καὶ ἐν τοῖς ἀλειπτηρίοις, ἐὰν μὲν εὐθὺς πίνῃ τις πολὺ ὕδωρ, ἧττον ἱδρώσειεν· ἐὰν δὲ ὕστερον ἐπενέγκῃ, μᾶλλον. προδιαποιουμένου μὲν γὰρ καὶ παρορμῶντος τοῦ σώματος, συνεργεῖ καὶ τὸ ἐπεισελθόν, ἐκεῖνο δ' οὐ δύναται τὸ πλεῖον διὰ ἀσθένειαν. τοῦτο δὲ πρὸς τοῖς εἰρημένοις, καὶ ὅτι τρέχοντες ἧττον ἱδροῦσιν ἢ παυσάμενοι. τὸ μὲν γὰρ ἥ τε τοῦ πνεύματος κάθεξις, καὶ ἡ τοῦ ἀέρος κίνησις κωλύει. τὰ δ' ὑπὸ τοῦ ὕδατος κάτω φερόμενα μέρη τοῦ σώματος, οὐ διιδροῦσιν, ὅτι κωλύει τὸ ὕδωρ τὴν τῆξιν· ὁ δὲ ἱδρὼς τῆξίς τις ἐστίν. οἷον τῆς κακῶς προσαποδεδομένης ταῖς σαρξίν, ὅταν ἐκκρίνηται διὰ τὸ θερμόν. οἱ δὲ γυμναζόμενοι διαπαλαίοντες τῷ βρέχειν ἢ παλαίειν μᾶλλον ἱδροῦσιν· ἢ ἐὰν συνεχῶς συναθροίζηται, καὶ δαπανώμενον ἡ ὑγρότης εἶτα ταύτην ἐξάγει ὕστερον, ἢ πάλιν καὶ ὁ δρόμος. ἡ δὲ συνεχὴς ἀναξηραίνει, καθάπερ ὁ ἥλιος, καὶ τὰ πνεύματα. διότι μᾶλλον ἱδροῦσι τὰ ὄπισθεν τῶν ἔμπροσθεν, καὶ ἡ θερμότης, καὶ ἡ πρὸς τῆς πλείων ἐν τοῖς ἔμπροσθεν· ὅτι διά τε τὴν πάλην καὶ τὴν τρῖψιν ἧττον κωλύεται. καὶ ἡ διάστασις, ἐκ τῶν ἀνωμα-

νοί γε οἱ τόποι, ἀλλ' ἡ κατάπνιξις καὶ ποικιλία ποιεῖ τὴν κακωδίαν. τοιοῦτο δέ πως καὶ πόθεν ὁ τόπος ὁ χιτῶδης, καὶ ὅλως τὸ σῶμα πρὸς τὴν κακωδίαν· ἀπεψία γὰρ κἀκεῖ γίγνεται. τὴν δὲ διὰ τὸ πήγανον κακωδίαν, καὶ ὑπὸ μυρίων φύλων, ὅταν ἀναδίδωσιν (καὶ γὰρ τοῦτο συμβαίνει) λεκτέον ὕστερον. γίγνεται δὲ καὶ ὁ μὲν θερμὸς, ὁ δὲ ψυχρὸς ἱδρώς, ὁ μὲν ὥσπερ πεπεμμένος, ὁ δ' ἄπεπτος. ἡ δ' ἀπεψία διαφέρει τι εἰς τὴν κακωδίαν. αὕτη μὲν γὰρ ἔοικε κατεργασίᾳ τινὶ καὶ μεταβολῇ οἷα δή τις ὑγρότης, ἐκεῖνο δὲ μεταβολῇ μὲν ἤδη καὶ ἀλλοιώσει οὐ φυσικῇ δὲ, οὐδὲ κατακεκρατημένῃ, καθάπερ οὐδὲ τὰ τῆς κοιλίας περιττώματα δυσώδη. Διότιμος δ' ἔλεγεν ὁ γυμναστὴς, ὅτι τρεῖς τινες διαφοραὶ τῶν ἱδρώτων εἰσίν· ἀρχομένων τε, καὶ μεσούντων, καὶ ληγόντων. αὗται μὲν οὖν αἱ διαφοραὶ γίγνονται, τῇ τε τῶν πόνων ἐπιτάσει, καὶ τῇ τοῦ σώματος ἀλλοιώσει. δῆλον γοῦν, ὡς ἀπὸ τῆς ἀνομοίας διαθέσεως, ἀνόμοιον καὶ τὸ αἴτιον. ἐπεὶ καὶ λεπτότης τις καὶ παχύτης ἐστὶν ἐν τοῖς ἱδρῶσιν. ὁ μὲν γὰρ ἐπιπόλαιος, καὶ πρῶτος ὑδατώδης τις καὶ λεπτὸς· ὁ δ' ἐκ βάθους, μᾶλλον βαρύτερος, ὥσπερ συντηκομένης τῆς σαρκός. ἤδη δέ τινές φασι καὶ αἵματι εἰκάσαι, καθάπερ Μενέας ἔλεγεν ὁ ἰατρός. δῆλος, ὡς πλεονασθεὶς καὶ πλείονος ὑγρότητος ἐκ τῶν φλεβῶν. ἀπέπτου δὲ, ὥσπερ ἀνακεχωρισμένης ταύτης. ἐνίοτε γὰρ καὶ αὐτὸ αἷμα γίγνεται ἄπεπτον. ἁπλῶς δὲ τοῦτό γε, ὥσπερ πολλάκις εἴρηται, καὶ ἐπὶ πάντων ἐστὶν ἀληθὲς, ὅτι κατὰ τὰς ἕξεις τῶν σωμάτων αἱ ἐκκρίσεις ἀεὶ τῶν περιττωμάτων γίγνεται. ἐπεὶ διὰ τοῦτο ἔνιοι ὅταν πλείω πονήσωσιν, ἕλκη ἔχουσι. διὰ γὰρ τὴν ἀκαθαρσίαν τοῦ σώματος, ἡ κίνησις προσοῦσα καὶ θερμαίνουσα, συνεξικμάζει τὰ περιττώματα μετὰ τοῦ ἱδρῶτος * ὑπερβολ. ὅτι δὲ παχέα ὄντα, καὶ χυμοὺς ἔχοντα μοχθηροὺς, οἷον ὀξεῖς, καὶ ἁλμυροὺς καὶ πικροὺς, ἐκκρίνεσθαι μὲν, οὐ δύνασθαι δὲ διὰ τὸ πλῆθος. διαιρεῖται δὲ, καὶ διέλκει τὴν σάρκα, διὰ τὴν πικρότητα τοῦ χυμοῦ. παραπλήσιον δὲ τρόπον τινὰ τούτῳ καὶ τὸ περὶ τὴν ψώραν, καὶ τοὺς λειχῆνας, καὶ λέπραν, καὶ ὅλως ὅσα ἐκφύματα γίγνεται. καὶ γὰρ ἐν τούτοις ἀπέπτου τινὸς χυμοῦ καὶ περιττώματος ἔκκρισις τὸ ἐπιπολῆς ἐστιν. ὧν παραγίνονται, καὶ δεῖν κατ' ἄλλον τρόπον ἀντισπάσαντας καὶ ἀντικαθιστάντας, παῦλαν ἵνα ποιῶμεν. ἀλλὰ περὶ μὲν τούτων, καὶ πόσα καὶ ποῖα τὰ διαφέροντα * καθ' αὑτὰ χρὴ θεωρεῖν. ὅτι δὲ διὰ καχεξίαν τινὰ καὶ ἡ τῶν τοιούτων ἔκκρισις, φανερὸν ἐκ τῶν εἰρημένων. οὐ γὰρ ὅτι ταῦτα πόνου προσδεῖται καὶ τῆς ἔξωθεν κινήσεως, ἀλλὰ τὰ δι' αὑτῶν διαθεῖναι ὑπὸ τῆς κρατούντων. συμβαίνει γὰρ, τὰ μὲν τῇ ὥρᾳ κινούμενα, τὰ δ' ἐν κινήσει καὶ τῇ ἐκ ταύτης θερμότητι ποιεῖσθαι τὴν ἔκκρισιν. τὰ δ' ἤδη διὰ πλῆθος ἀεὶ αὐτῶν, ἢ τοῦ αἰτίου γέ τι χυλοῦ καθ' ἕκαστον. ὅτι δὲ κινήσεις καὶ οἱ πόνοι ποιοῦσιν ἐνίοις τὰ τοιαῦτα, φανερὸν καὶ ἐκ τῶν ἐνοδίων καλουμένων· ἃ γίνεται πολλοῖς, ὅταν εἰς ὁδὸν ἐμπέσωσι· μάλιστα μὲν ἐπὶ τοὺς μα

* ὅτι δὲ καὶ ἐπὶ πλεῖον. ἔστι δ' αἷς καὶ αἱ κνῆμαι παραπίμπρανται. πρὸς ἅπαντα δὲ τὰ τοιαῦτα συμφέρει, τὸ μὴ ἐρεθίζειν, μὴ δὲ κινεῖν, ἀλλ' ἐᾶν ἀποκαταστῆναι. συνεγκαλεῖσθαι γάρ ἐστι κινοῦντα τὴν ὁρμὴν, ὅπερ καὶ πρὸς τὰ διαιρούμενα συμβαίνει. πολλάκις γὰρ διὰ τὴν ἁλμυρίδα τὴν ἀπὸ τοῦ ἱδρῶτος γινομένην * μετά τινι κνισμῷ δὲ καὶ ἐπάρσεις τινὲς ἰονθώδεις γίνονται, πρὸς ἃς οὐ συμφέρει τὸ κινεῖν, οὔτε ταύτῃ ποιούμενον τὴν ἔκκρισιν, οὔτε δριμύτητι χυλῶν, οἷον ὀξεῖ καὶ στρυφνῷ καὶ ἁλικῷ κατέχειν πειρώμενον, οὐδὲ θερμολουσίας ἢ ψυχρολουσίας χρώμενον, ἀλλὰ περικαύσει χλιαρᾷ μὴ πολλῇ. καθίστησι γὰρ αὕτη μάλιστα· τἆλλα δὲ ἐρεθίζει καὶ κινεῖ. ταῦτα μὲν οὖν, ὥσπερ εἴρηται, διὰ καχεξίαν καὶ δι' ὑπερβολὴν ἐνίοτε πόνων γίνεται. καὶ γὰρ ἐνταῦθα συμμετρία τίς ἐστι τῆς ἐκκρίσεως, ὥσπερ καὶ κατὰ τοὺς ἄλλους πόρους. οἱ δ' ἄγαν ἐνδιδόντες ἑαυτοὺς, ὥσπερ συντήκουσι, τοῦτο ποιοῦσιν ὡς Ἀντιφάνης ὁ Δήλιος, καὶ Ὑγιαίδας. διὰ τί δ' οἱ παῖδες δυσίδρωτες τῶν ἀνδρῶν μᾶλλον, καὶ μάλιστα δὴ τὰ παιδία, καθάπερ θερμὰ τὴν φύσιν ὄντα καὶ ὑγρά· καὶ τοῦ ἱδρῶτος ἐκ τούτων πως γινομένου, τὴν δὲ τὴν αἰτίαν ὑποληπτέον, ὅτι πυκνὸς ὁ χρὼς τῶν παιδίων, πυκνότατος δ' ὁ τῶν παίδων, ὥσπερ γοῦν κεκλεισμένους ἔχων τοὺς πόρους. ἔτι δ' ἡ θερμότης ἐπικρατοῦσα, πέττει διὰ τὴν αὔξησιν. ἐὰν δέ τι καὶ γίνεται περίττωμα, τοῦτο ἐκκρίνεται κατὰ τὴν κοιλίαν. ξηρότερα γὰρ, καὶ ὡς ἐπίπαν ὑγρότερα τῶν παιδίων. οἱ δὲ γέροντες, μανόχροοι μὲν, ἀλλὰ ξηροί. δεῖ δὲ τῷ ἱδρῶτι καθάπερ ὕλην τινὰ ὑπάρχειν. ἀλλὰ δὲ καὶ αὐτὸ τοῦτο εὔπνουν καὶ μανὸν, ἱκανὴν ποιεῖ τὴν ἔκκρισιν, ἀεί τι συνεχὲς ὂν, καὶ μὴ πολλῶν ἐνυπαρχόντων·

ἐρυθρὸν καὶ λευκόν. εἶναι δέ τινα λόγον πρὸς τὸν καττίτερον. ἐμβάλλεσθαι δ' οὐ μεγέθους χάριν, ἀλλὰ τῆς πικρότητος.

ΘΕΟΦΡΑΣΤΟΥ ΠΕΡΙ ἹΔΡΩΤΩΝ.

Ο ἹΔΡΩΣ ποτὲ μὲν ὑγρότερος εὐθὺς ἐκκρινομένου γίνεται, ἢ πνεύματος, ὡς τούτου διιόντος διὰ τῆς σαρκός, ἔπειτ' ἔξω πήγνυται καὶ συνίσταται καταψυχόμενος, ἕτερος ἴσως ἂν ἄλλος λόγος. διότι δὲ ἁλμυρός, ἢ ὀξύς, ἢ κακώδης, ἢ τὰς ἄλλας ἔχων διαφοράς, νῦν πειρατέον θεωρεῖν. ἁλμυρὸς μὲν οὖν γίνεται, διότι τὸ ἀλλότριον ἐκκρίνεται πρὸς φύσιν τῆς σαρκός, ἐξαναλωμένου τοῦ γλυκυτάτου καὶ κουφοτάτου. τὸ γὰρ τοιοῦτον, ἐν μὲν τῇ ὑποστάσει τῇ κατὰ τὴν κύστιν, οὖρον· ἐν δὲ τῇ σαρκί, ἱδρὼς καλεῖται. πλὴν ὅτι συμβαίνει τὸ μὲν αὐτομάτως, καὶ οἷον αὐτῆς τῆς φύσεως ἐργαζομένης ὑφίσταται· τὸν ἱδρῶτα δ' ἐκκρίνεσθαι διὰ τὴν κίνησιν ἢ πόνον, ἢ ἁπλῶς τὴν τοῦ θερμοῦ καὶ πνεύματος δύναμιν. διὸ καὶ τὸ μὲν ἀεί, τὸ δ' οὐκ ἀεὶ συνεχές, ἧττον ἡ τοῦ πνεύματος ἔκκρισις. ἄφατος δὲ τῇ αἰσθήσει, καθάπερ ἀθμίζοντος ἀεὶ τοῦ σώματος. * ἄπεπτον τὸ δὲ πεπεμμένον γλυκύ, τὸ δ' ὑπέρπολυ ὑδατῶδες, ὥσπερ τὸ φλέγμα καὶ δάκρυον. τάχα δὲ ταῦτα μὲν εὐλόγως, τὸ μὲν ὅτι ἀπὸ τῆς τροφῆς, τὸ δ' ὅτι ἀπὸ τῶν περὶ τὸν ἐγκέφαλον· ὁ δ' ἱδρώς, καθάπερ ἐκ σαρκὸς καὶ φλεβός, ἐν οἷς ἤδη μεταβολὴ τῆς τροφῆς καὶ τύπος τοιαύτη. καὶ οὕτως, ὥστε κατὰ τὸν ἐγκέφαλον, ἐπεὶ καὶ ἐνταῦθ' ὅταν ἐκ συντήξεως ἄλλου τινὸς πάθου, ἁλμυρὸν τὸ πτύελον καὶ τὸ δάκρυον. ἢ τούτῳ μὲν μαρτυρεῖ ὁ λόγος τὸ πρότερον, ὅτι ὁ ἱδρὼς πᾶς ἁλμυρός· εἰ δὲ πορρωτέρωθεν, ἁλυκώτερος. οὗτος δὲ μᾶλλον τῇ προσφύσει δόξειεν, οὐκ ἂν τοῦ ἁλυσίου ἡ ἔκκρισις εἴη. τὸ δ' ἁλμυρὸν πάλιν ἀλλότριον. ὑπὲρ μὲν οὖν τούτων σκεπτέον. ἔοικε γὰρ ὁ μέν τις τοιοῦτος, ὁ δ' οὐ τοιοῦτος εἶναι τῶν ἱδρώτων, ἢ τό γε μᾶλλον καὶ ἧττον φανερῶς. ἀκόλουθον δέ πως τούτων αἰτίας εἶναι, καὶ χρεῖον τῆς αὐτῆς. καὶ ὅτι ὁ μὲν κακώδης, ὁ δ' ἄνοσμος, ἐνίοις δὲ ὀξὺς τῇ ὀσμῇ. καὶ ἄλλοι δὲ τρόποι τῆς κακωδίας ἅπτονται. καὶ γὰρ ταῦτα ὡς γίνεται λαβεῖν, ἄπεψις. τῆς δ' ἀπεψίας, ὅτε μὲν ἀκαθαρσία τῆς κοιλίας, ὅτε δ' ὅλως καχεξία τις αἰτία. πολλάκις δὲ καὶ βρωμάτων τινὲς προσφοραί. καὶ γὰρ ταῦτα ποιεῖ τινα δυσωδίαν, ὥσπερ καὶ τὸ πήγανόν φασι· τάχα δὴ ταῦτα μὲν ὡς συμβαλλόμενα θετέον. τὴν δ' αἰτίαν τοῖς πρότερον ἀποδοτέον, καὶ τῇ αὖ τῇ ὅλῃ τοῦ σώματος κράσει. πολλοὶ γὰρ τῶν γυμναζομένων καὶ λουομένων εὖ ἔχειν, βαρεῖς καὶ κακώδεις τοῖς ἱδρῶσιν. ἐπεὶ ὅτι γε τῇ καχεξίᾳ πολλαχόθεν φανερόν, ἔκ τε τῶν καμνόντων καὶ ἐκ τῶν ἀφροδισιαζόντων πλείω ἕξιν ἐχόντων ἤδη, καὶ τῶν θεραπευτῶν ἤδη ὅλως. ἄτοπον δ' ἂν δόξῃ τούτοις εἶναι, καὶ ἐνίαν πίωσιν τιν' ἔχον πρὸς ταῦτα, καὶ πρὸς τὸ καθόλου λεχθέν, ὅτι οἱ περὶ ἥβην μάλιστα κακώδεις τοῖς ἱδρῶσι· προϊούσης δὲ τῆς ἡλικίας ἧττον· καὶ οἱ γέροντες οὐδαμῶς. ἀλλ' ἡ βαρύτης τοῦ χρώματος. καίτοι πιμελικωτάτη ἡ ἡλικία τῶν ἐν ἥβῃ, σημεῖον δὲ, τὸ τῆς αὐξήσεως. ἡ δὲ τῶν πρεσβυτέρων, ἧττον. τῶν δ' ἤδη γερόντων, παντελῶς. αἴτιον δ' ὅτι πρὸς τὰ ἀφροδίσια μάλιστ' ἐνορμᾷ τῶν ἐν ἥβῃ, καὶ τῶν πόρων ἄνοιξις καὶ μεταβολή. πάντα δὲ ταῦτα συνεργὰ πρὸς κακωδίαν. ἡ δὲ τῶν πρεσβυτέρων * οἷον τις ἕξις ἤδη καὶ μένουσα. ἡ δὲ τῶν γερόντων, διὰ μανότητα καὶ εὔπνοιαν. διὸ καὶ οὔτε περιττωματικά. ἅμα δὲ καὶ ὕπνοιαν * ἀποῤῥίπτωσιν καὶ οὐδ * ἐται τοιοῦτον ἀφ' οὗ γίγνοιτ' ἂν τὸ κακῶδες. ἐπεὶ καὶ διὰ τοῦτο καὶ ἐκ τῆς κεφαλῆς λογισμός, ἢ ἧττόν γε τά τε ἐκ τοῦ σώματος, ὅτι εὔπνους ἡ κεφαλή. δηλοῖ δ' ἡ διὰ τῶν τριχῶν ἔκφυσις * τὴν μανότητα. δυσώδης δὲ τόπος καὶ τὰ ἐν αὐτοῖς, ὡς ἂν μὴ εὔπνοια· σήπεται γάρ. ἡ δὲ κακωδία, σῆψίς τις. διὸ ὁ ἐκ τῶν μασχάλων ἱδρώς, καὶ ὅλως ὁ ἐκ τῶν κοιλῶν κακωδέστατος. καίτοι μα-

ὅλως. ἡ δ᾽ ὀχεία τότε μὲν μεγάλην μερίδα συμβάλλεται, καθ᾽ αὑτὴν δ᾽ αἰτία γίνεται τῆς διαθέσεως. εὐλόγως δὲ τὰ μύρα φαρμακώδη, διὰ τὴν τῶν ἀρωμάτων δύναμιν. καὶ γὰρ τὰ ἀρώματα τοιαῦτα. δηλοῖ δὲ τά τε καταπλάσματα, καὶ ἃ δή τινες μαλάγματα καλοῦσιν, οἷον ἀπολαύουσι τῆς δυνάμεως, τά τε φύματα καὶ τὰ ἀποστήματα διαχέοντα. καὶ ἄλλα πλείω τῶν περὶ τὸ σῶμα διαλλοιοῦντα ἐπὶ πολλῆς μέν. ἀλλὰ καὶ τὰ ἐν βάθει, οἷον ἄν τις καταπλάσῃ, τὰ ὑποχόνδρια καὶ τὸ στῆθος εὐθὺς σὺν τοῖς ἐρυγμοῖς ἀποδιδόασιν εὐώδεις τὰς ὀσμάς. ἔνια δὲ καὶ εἰς οὔρησιν ἄγει, συνεξόζειν ποιοῦντα ἑαυτά. ἔτι δὲ τούτου μεῖζον, ὅτι καὶ ἀπὸ τῆς κεφαλῆς ἄν τις καταπλάσῃ, δίδωσι τὴν ὀσμὴν εἰς τὰ οὖρα, τὴν ἀπὸ τῶν ἀρωμάτων. ἐπεί γε κοιλίαν κινεῖ καὶ ἀΐεις, ὥσπερ ἐλέχθη. πάντα δὲ ταῦτα ποιεῖ, καθάπερ πολλάκις εἴρηται, διὰ τὸ φύσει στρυφνὰ καὶ ὑπόπικρα, θερμαντικὰ καὶ εὐδίοδα πρὸς τοὺς πόρους εἶναι. τμητικὰ γὰρ ὄντα καὶ θερμαντικὰ, καὶ στύφειν ἅμα καὶ θερμαίνειν δυνάμενα, καὶ ἐξάγειν καὶ ἐκπέττειν δύναται, καὶ τὸ ὅλον ἀλλοιοῦν καὶ μεταβάλλειν. συμβαίνει δὲ τρόπον τινὰ καὶ ἐν ἄλλοις ἡ τοιαύτη συμπάθεια. καὶ γὰρ οἶνος ἅμα τῇ σταφυλῇ δοκεῖ συνα * καὶ τὰ σκόροδα καὶ τὰ κρόμμυα. τὸ δὲ δριμύτατον ὄζειν ὅταν ἐν τῇ γῇ βλαστάνῃ. πλὴν τούτοις δ᾽ ἅμα συμβαίνει, καὶ αὐτοῖς βλαστάνειν. ὅλως δὲ πάντα κινεῖσθαι τὰ φλοιὰ, ῥίζαι μὴ ἀπεξηρασμένα κατὰ τὰς πλασικὰς ὥρας. ἡ γὰρ ἐνυπάρχουσα δύναμις, ἐν αὐτοῖς κινεῖται. θαυμασιώτατον δ᾽ ἐστὶ τῶν τοιούτων τὸ ἐπὶ τοῦ στέατος τῆς ἄρκτου συμβαῖνον, ἅπερ ἅμα ταῖς φωλείαις ἐπαίρεται καὶ ἐκπληροῖ τὰ ἀγγεῖα. τί δή ποτε Δημόκριτος τοὺς μὲν χυλοὺς πρὸς τὴν γεῦσιν ἀποδίδωσι, τὰς δ᾽ ὀσμὰς καὶ τὰς χρόας οὐχ ὁμοίως πρὸς τὰς ὑποκειμένας αἰσθήσεις. ἔδει γὰρ ἐκ τῶν σχημάτων. ἢ τοῦτό γε πρὸς ἅπαντα κοινόν. ἁπάντων γὰρ, οἱ μὲν μόνης, οἱ δὲ μάλιστα ταύτης τὰ πάθη λέγουσι, καὶ τὰς διαφοράς· ὡς ἐν χρώμασι λευκὸν καὶ μέλαν, καὶ ἐν χυλοῖς γλυκὺ καὶ πικρὸν, οὕτως ἐν ὀσμαῖς. οὐ γὰρ δὴ μόνον εὔοσμον καὶ κακόσμον. ἔτι δὲ τὰ μὲν μικτὰ, τὰ δ᾽ ἀνάμικτα· οὐδ᾽ ἐν ἁπτοῖς· πλείω γὰρ εὐθὺ τὰ ὑποκείμενα· σκληρὸν, μαλακὸν, τραχὺ, λεῖον. ἀλλὰ μᾶλλον ἐν φωναῖς, ὀξὺ καὶ βαρὺ, ἄμικτοι χυλοί· οἱ μὲν περὶ μὴ καταμεμίχθαι, ὥστ᾽ ἐξ ἀμφοῖν, οἷον ὕδωρ, ἔλαιον, φλέγμα, αἷμα, ὅλως πᾶν τὸ ἐπίνειον, ἢ τὸ διαιροῦν· ὥσπερ τὸ ὄξος, καὶ τὸ γάλα. τὸ γὰρ τῇ πιέσει καὶ τρίψει μιγνύμενον, ἕτερον εἶδος. ἄλλον δὲ τρόπον οἱ μὴ εὔμικτοι πρὸς τὴν χρείαν, οἱ καὶ λυμαινόμενοι ἀλλήλοις· οἷον ἡ θάλαττα, καὶ τὰ ἰσχρώδη καὶ πικρὰ ὕδατα τοὺς οἴνους, καὶ τὰ πότιμα, ἐὰν μὴ εὐθὺς χρῆταί τις. ὀσμαὶ δὲ, αἱ μὲν οὕτως ἄμικτοι πλείους, καὶ ὥστε καθόλου λαβεῖν, καὶ κακώδεις ταῖς κακώδεσιν· ὡς δὲ μὴ, ἔν τι τὸ ἐξ ἀμφοῖν ἔργον εὑρεῖν μὴ ἀδύνατον. εἰς τὴν τοιαύτην δὲ δύναμιν ἅπαν, ὡς εἰπεῖν, πᾶν εὔοσμον. ἀλλ᾽ ἔνθα μὲν ἴσως χεῖρον ποιεῖν, ἐνθάδε δὲ βελτίον, καθάπερ ἐπὶ τῶν μύρων. τὰ μὲν γὰρ ἀφαιρεῖται τὸ εὔκρατον, καὶ σκληρόν· τὰ δ᾽ ἀποθηλύνει, καὶ ὥσπερ ἐξυδατοῖ τὰς ὀσμάς. ἐν δὲ τοῖς ξηροῖς, ἅπασαι πάσαις μικτοί. τὰ γὰρ διαπάσματα ὅσῳ ἂν ᾖ ἐκ πλειόνων, ἀμείνω. ποιεῖ δὲ καὶ ἡ τοῦ οἴνου κατάμιξις, καὶ μυρεία ἔνια, καὶ θυμία τὰ εὐοσμότερα, καθάπερ τὴν σμύρναν. δοκεῖ δὲ καὶ τὸ μύρον, ἡδύνειν τοὺς οἴνους. διὸ καὶ οἱ μὲν ἐν τῇ οἰνοποιΐᾳ μιγνύουσιν, οἱ δὲ οὕτως ἐπιχεόμενον πίνουσιν. οὐκ ἄλογον δὲ, σύνεγγυς τὰς αἰσθήσεις οὔσας, καὶ ἐν τοῖς αὐτοῖς ὑποκειμένοις ἔχειν τινὰ ἐπικοινωνίαν. ὡς γὰρ ἐπὶ τὸ πᾶν, οὐδεὶς οὔτε χυλὸς ἄοσμος, οὔτε ὀσμὴ ἄχυλος. πλὴν δ᾽ ὅτι οὐδεμία ἐκ μὴ ἔχοντος χυλόν. συμβαίνει δὲ καὶ μεταβάλλειν τὰς ὀσμὰς ἅμα τοῖς χυλοῖς, ὥσπερ ἐπί τε τοῦ οἴνου, καὶ ἐπὶ καρπῶν τινῶν· ἐνίων δὲ καὶ ἐν τῷ ἄνθει πρότερον, ὥσπερ τῶν βοτρύων. ἡ δὲ τῶν μύρων εἰς ἀκμὴν μόνον, καὶ οἷον φθίσιν. μετακινοῦνται δ᾽ ἐν ταῖς ἰδίαις ὥραις πάνθ᾽ ὡς εἰπεῖν, μάλιστα δὲ τὰ ἀνθήσαντα. τὰ δ᾽ ἄνθινα, καθ᾽ ἣν ὥραν ἀνθεῖ τὸ ἄνθος, τὰς συνθέσεις ποιοῦσιν ἐκ τῶν ἀρωμάτων θραύσαντες πολλὰ, καὶ μίξαντες εἰς ταυτὸ, κλίνουσιν εἰς κιβώτιον· εἶθ᾽ ἀνοίγοντες διὰ τινων ἡμερῶν, ὅταν μάλιστα ὄζειν δοκῇ, τότ᾽ αἴρουσι. καὶ πάλιν ἐστὶ καὶ πάλιν διαδύοντες χρόνῳ, ὅπως αὖ μηδενὸς ἐνόζῃ, θαυμαστὴν δὲ ὀσμὴν λαμβάνειν τὰ ἱμάτια εἰς ταῦτα τιθέμενα. τὸ δὲ πλαταίνου τῆς αἰγυπτίας μύρον, αὐτὸ μὲν οὐκ ἄγαν ἀναπνεῖ. μιγνύμενον δὲ ποιεῖ τ᾽ ἄλλα βελτίω, μάλιστα δὲ τὴν ἴριν. ἐν τῇ ἐρυθρᾷ θαλάττῃ διακοπτομένων τῶν λίθων, ἔνδον ἐμπεφυκότα φαίνεται ἰχθύδια καὶ καρίδια. καὶ ἄλλα θαλάττια ζῷα ἐπίκλη * Ἀθήνησι λέγειν ὡς πάντα χαλκὸν κοῖλον ἐμβάλλεσθαι σίδηρον ὁμοίως

ἐρυθρὰν

ὡς ἔοικε, τὴν ἡδονήν, ἠρτυμένος ὄξει. ἐμβάλλουσι γὰρ εἰς τὸ κεράμιον * ταῖς μέλιτι φυράσαντες. ὥστε τὴν μὲν ὀσμὴν ἀπ᾽ αὐτοῦ, τὴν δὲ γλυκύτητα ἐκ τοῦ σταιτὸς λαμβάνειν τὸν οἶνον. συμβαίνει δὲ ὥσπερ καὶ κατὰ τὰς τῶν οἴνων μίξεις· οἷον ἐάν τις κεράσῃ εἰς σκληρὸν καὶ δύσοσμον μαλακὸν καὶ ἄοσμον, καθάπερ τὸν ἡρακλεώτην καὶ τὸν ἐρυθραῖον, τοῦ μὲν τὴν μαλακότητα, τοῦ δὲ τὴν δυσοσμίαν παρεχομένου. συμπίπτει γὰρ ἅμα καὶ τὰ κακὰ ἀλλήλων ἀφανίζειν, τῇ μαλακότητι θατέρου. πολλὰς δὲ καὶ ἄλλας οἱ ἔμπειροι λέγουσι καὶ ἴσασι κράσεις· ὃ καὶ ἐπὶ τῶν ὀσμῶν εὔλογον συμβαίνειν, καὶ ἐπὶ τῶν χρωμάτων, ἄν τις λαμβάνῃ τὰς ἁρμοττούσας μίξεις. ὥσπερ μὲν οὖν ἴδιον τοῦ ῥοδίνου. τὸ δὲ κοινὸν ἐπὶ πάντων ἀπέρημα, τί δή ποτε ἐκ τοῦ καρποῦ διὰ χρόνου ἥδιστα φαίνεται. διὸ καὶ οἱ μυρεπῶλαι ὥσπερ μυρίζουσι τὸ μύρον. τὴν δ᾽ αἰτίαν ἐκ τοῦ ἐναντίου ληπτέον, ὅτι τὸ θερμὸν ἐξίστησιν, οὐκ ἀλλοιοῖ. ταχεῖα δ᾽ ἤδη ἡ αἴσθησις τοῖς μύροις, ἀναμιγνυμένοις τῷ χρώματι. ἀπορεῖται δέ, διότι οἱ μὲν εἰωθότες μυρίζεσθαι, μᾶλλον ὄζουσι τῶν νεωστὶ μυριζομένων. εἴη μὲν γὰρ ἂν λέγειν, καὶ εἶναι φαντασίας, καὶ οὐκ ἀληθείας διὰ τὸ μὴ εἰωθός. εἰ δ᾽ οὖν καὶ ἀληθὲς ἔοικε τὸ μὲν οἷον συναναμίγνυσθαι πλείοσιν ὀσμαῖς ἑτέραις, ὑφ᾽ ὧν ἀμαυροῦται συγκαταμιγνυμένου καὶ τοῦ χρώματος· καὶ τὸ ὥσπερ ἀκέραιον δέχεσθαι τὸ μανόν, καὶ ἐκφαίνειν τῇ αἰσθήσει χρονιζόμενον. εἴη δ᾽ ἂν καὶ ἐναντίως λαβεῖν, ὡς ἧττον δεχομένου διὰ τὸ συνήθες. βραδύτερον δ᾽ ἀναμιγνύμενα, πλείω χρόνον ὄζειν. καὶ ὥσπερ μὲν ἔλαττον, καὶ οὐ φανερῶς ὁμολογούμενον. ἅπτεται δὲ μάλιστα τοῦ χρωτός, καὶ κεφαλῆς, καὶ τῶν ἄλλων· καὶ πλεῖστον χρόνον ἐμμένει ταῖς ἰσχυροτάταις ὀσμαῖς, οἷον μεγαλεῖον αἰγύπτιον ἀμαράκινον. τὰ δ᾽ ἀσθενῆ καὶ πολύοσμα, κούφην ἔχοντα τὴν ἀναπνοὴν καὶ ταχεῖαν, ποιεῖ καὶ τὴν ἀπόληψιν· ὥστε τό, τε ῥόδινον, καὶ ἡ κύπρος. ἔνια δὲ καὶ εἰς τὴν ὑστέραν οὐ χέ * ζειν. διαπεπνευκυίας ἄν τις ᾖ βαρύτης. τὰ δὲ καὶ ὅλως ἔμμονα μᾶλλον, ὥσπερ ἡ νάρδος, καὶ τὸ ἴρινον, πάντων δὲ μάλιστα ἰσχυρότατα. καὶ τὰ μὲν ἔν τε τοῖς λουτροῖς καὶ τῇ κινήσει διατηρεῖ πως τὴν ὀσμήν, οὐ συγκινεῖ. τὰ δὲ κινούμενα, πλείω ποιεῖ δυσωπίαν αὐτῶν τῶν ἱδρώτων, ὡς ἂν σήψεώς τινος ἢ διαφθορᾶς γινομένης, καὶ τὰ μὲν περὶ τε καὶ τῶν μύρων ποιήσεώς τε καὶ δυνάμεως, ἐπὶ τοσοῦτον εἰρήσθω. τὰ δὲ περὶ τὴν τῶν ξηρῶν μίξιν, ἐξ ὧν διαπάσματα καὶ αἱ συνθέσεις, οὐκ ἔτι ζητεῖ μίξιν. τῶν δὲ τινῶν ὡρισμένως, ἀλλ᾽ ὅσῳ ἄν τις πλείω καὶ ποικιλώτερα μίξῃ, τοσούτῳ καὶ ἡ ὀσμὴ λαμπροτέρα καὶ ἡδίων· ὥσπερ καὶ ἐξ αὐτῶν τῶν ἀρωμάτων τῶν [illegible]. εἰς ταὐτὸ γὰρ μιγνύντες ἅπαντα χρῶνται. ζητοῦσι δὲ τούτοις, καὶ συνδιδοῦσιν· ὥστε μὴ ἑνός, ἀλλὰ πάντων κοινήν τινα τὴν ὀσμὴν εἶναι. διὸ καὶ ἀνοίγοντες διά τινων ἀμυδρῶν ὄζον ἐξαιροῦσιν ἀεί, καὶ τῶν ἰσχυρῶν ἐλάττω μιγνύουσιν, ὥσπερ * τὸ δ᾽ ὅλως οὐ μιγνύουσιν, ὥσπερ τὸ χρυσίκοπτον, ὑπὲρ οὗ καὶ ἀρτίως ἐλέχθη. βρέχουσι δέ, συντιθέντες τὸ οἴνῳ τῷ εὐώδει. ἔοικε δ᾽ οὖν χρήσιμον εἶναι πρὸς τὰς δυσοσμίας, ἅ γε καὶ οἱ μυρεψοὶ χρῶνται. μένουσι δὲ πολὺν χρόνον αἱ συνθέσεις. ἡ δὲ χρῆσις τούτων μὲν εἰς τὴν τῶν ἱματίων ὀσμήν· τῶν δὲ διαπλασμάτων εἰς τὴν στρωμνήν, ὅπως πρὸς τὸν χρῶτα προσίῃ. καὶ γὰρ ἅπτεται μᾶλλον, καὶ ἔμμοσ * νιώτερον ὥσπερ, καὶ ὥσπερ αὐτὸ ἐκείνου τοιοῦτο ποιοῦσιν. οἱ δὲ πρότερον ἐνέβαλον οἴνῳ καταβρέχοντες εὐώδει, πρὸς τὸ παραιρεῖσθαι τὴν ὀσμήν· ἔνιοι δὲ καὶ μελικράτῳ. τὸ γὰρ ὅλον ἄμφω ταῦτα συνεργεῖ πρὸς εὐοσμίαν. διαμένουσι δὲ αἱ συνθέσεις. φανερὸν δ᾽ ἐκ τούτων, ὅπερ καὶ πρότερον ἐλέχθη, διότι τὰ ξηρὰ καὶ εὐοσμότερα πρὸς ἄλληλα ταῖς ὀσμαῖς. αἱ δὲ τῶν ζώων ὀσμαί, κατὰ τὰς ἰδίας γίνονται φύσεις. ἑκάστῳ γὰρ ἐστί τις οἰκεία κατὰ τὴν κρᾶσιν. αὗται δὴ λεῖαι μὲν καὶ καθαραί, καὶ κατὰ τὰς ἀκμάς, καὶ ὅταν εὖ ἔχωσιν ἑαυτῶν. ἔτι δ᾽ ἡδίους ἁπαλῶν καὶ νέων ὄντων. πλεῖσται δὲ καὶ κακωδέσταται, περὶ τὰς ὀχείας· καὶ ὅλως συντηκομένων καὶ καμνόντων σωμάτων. διὸ καὶ οἱ τράγοι καὶ οἱ ἔλαφοι, καὶ λαγοί, καὶ τἆλλα, τότε μάλιστα ὄζει. θαυμαστὸν δὲ φαίνεται, τὸ ἴδιον τὸ συμπάσχειν τὰς τραγέας, ὅταν ἡ ὥρα καθήκει τῆς ὀσμῆς. αἴτιον δὲ δηλονότι, τὸ ὑπολείπεσθαί τινα ἐν τῷ δέρματι δύναμιν, ἢ ὑγρότητα τοιαύτην, ἀφ᾽ ἧς ἡ ὀσμὴ γίνεται καὶ ζώντων. κινουμένης οὖν καὶ διαθερμαινομένης ταύτης ὑπὸ τοῦ ἀέρος, εὔλογον καὶ τὰ δέρματα καθ᾽ ὅσον ἐπιβάλλει. διὸ καὶ ὡς πρώτην αἴτιον ἡ διάθεσις. τότε γὰρ καὶ οἱ μὴ ὀχεύοντες ἔξουσι, καὶ οἱ ἄγονοι, καὶ αἱ αἶγες

συλλογὴν τρία ἔτη, καὶ διαμένει δὲ πλεῖστον χρόνον ἓξ ἔτη. τὸ δὲ μύρον, ἔτη δύο. ἡ δὲ σμύρνα, δέκα ἔτη διαμένει, βελτίων γινομένη. παραπλησίως δὲ τούτοις, ἡ τῆς ἀκμῆς διαμονή, καὶ τοῦ κινναμώμου, καὶ τοῦ κόστου, καὶ τῆς κασίας. σχοῖνος δὲ καὶ κάλαμος, παρακμάζει ταχύ. τῶν δ᾽ ἀνθῶν τὰ μὲν εὐθὺς χλωρὰ ὄντα, τὰς δυνάμεις ἔχει, καθάπερ τὸ ῥόδον· τὰ δὲ ξηρανθέντα, καθάπερ ὁ κρόκος, καὶ ὁ μελίλωτος. χλωρὰ γὰρ ὑγρότερα. τὰς μὲν οὖν φύσεις καὶ δυνάμεις τῶν ἀρωμάτων ἐκ τούτων θεωρητέον. δοκεῖ δὲ τὸ μεγαλεῖον ἀφλέγματον εἶναι παντὸς τραύματος, τὸ δὲ ῥόδινον ἄριστον πρὸς τὰ ὦτα· ταῦτα δ᾽ οὐκ ἀλόγως. τοῦ μὲν γὰρ ἡ σύνθεσις ἐκ ῥητίνης κεκαυμένης, ὥσπερ ἐλέχθη, καὶ κασίας καὶ κινναμώμου καὶ σμύρνης. ἅπαντα δὲ ταῦτα συνακτικὰ καὶ ξηραντικά. τὸ δὲ ῥόδινον τοῖς ὠσὶν ἀγαθόν, ὅτι ἁλσὶν ἡ ποίησις. ἀναξηραίνει γὰρ καὶ ἐκθερμαίνει, διὰ τοὺς ἅλας. διὸ καὶ ἁλοσάχνη ἀγαθόν. ἀλλὰ τὸ τῆς στραγγουρίας, λόγου δεῖται. τοῦτο γὰρ ταύτῃ λέγουσι μάλιστα βοηθεῖν. αἴτιον δ᾽ ἂν εἴη, διότι πᾶν τὸ μᾶλλον ἀναλῦσαι δεῖ πρότερον τὸ ὑπαχθησόμενον. τοῦτο δ᾽ οἱ ἅλες ποιοῦσιν. ἡ δ᾽ εὐωδία τὴν ὀσμὴν ἀπέδωκε. διότι δὲ τὸ ἴρινον εὔοσμον μέν, οὐ ποιεῖ δὲ τὴν ὁρμὴν ἢ διότι συνακτικόν, καὶ συνάγει τοὺς πόρους, ὥστε συγκλείσει κωλύειν τὴν δίοδον. ἀλλὰ καὶ κοιλίας λυτικά, διά τε τὴν θερμότητα, καὶ διὰ τὸ ἐμφράττειν τοὺς ἐπὶ τὴν κύστιν πόρους. ἐμφραττομένων γὰρ τούτων εἰς τὴν κοιλίαν ἡ συρροή· τὸ δ᾽ ὅλον φαρμακῶδες, καὶ τὸ ἴρινον, καὶ ἄλλα τῶν μύρων. ἡ δ᾽ αἰτία πάντων, ὡς καθόλου εἰπεῖν, ἐν ταῖς δυνάμεσι ταῖς εἰρημέναις, ὅτι συνακτικὰ καὶ θερμαντικά. τὰ ἀρώματα γὰρ τὰ τοιαῦτα φαρμακώδη. ταῦτα μὲν οὖν ἔξω τῆς τέχνης. κρᾶσις δὲ καὶ μίξις οὐκ ἔστιν ὡρισμένη τῶν ἀρωμάτων, ὥστ᾽ ἐκ τῶν αὐτῶν ἀεὶ χρηστὰ καὶ ὅμοια γίνεσθαι. ἀεὶ δὲ συμβαίνει διὰ τὴν ἀνωμαλίαν τῶν δυνάμεων, τῶν ἐν τοῖς ἀρώμασι. τῆς δ᾽ ἀνωμαλίας αἰτίαι πλείους· μία μέν, ἥπερ καὶ τοῖς ἄλλοις καρποῖς, ἡ τοῦ ἔτους κατάστασις. αὕτη γὰρ πολυχουστέρας, ὁτὲ δ᾽ ἀσθενεστέρας τὰς δυνάμεις. ἑτέρα δ᾽ ἐν τῇ συλλογῇ περὶ τὸ προτερῆσαι τῆς ἀκμῆς, ἢ ὑστερῆσαι. καὶ γὰρ τοῦτο οὐ μικρὸν διαφέρει. τρίτη δ᾽ ἡ μετὰ τὴν συλλογήν, ὅσα χρόνου δεῖται πρὸς τὴν ἀκμήν, ὥσπερ ἐλέχθη. καὶ γὰρ ἐνταῦθα ἔστι τὸ προτερεῖν καὶ ὑστερεῖν. τούτων δὲ τὸ μὲν τῶν ἐτῶν οὐκ ἐφ᾽ ἡμῖν, πλὴν εἰς τὸ εἰδέναι τὰ ποῖα σφοδροτέρας καὶ ἀσθενεστέρας ἔχει τὰς δυνάμεις. τὰ δὲ κατὰ τὰς ἀκμὰς τῆς τε συλλογῆς, καὶ μετὰ τὴν συλλογὴν ἐφ᾽ ἡμῖν ἐστιν, τῷ εἰδότι μᾶλλον τὸ ἐπιτυγχάνειν. ἡ μὲν οὖν γένεσις καὶ σύνθεσις τῶν μύρων, ἐκ τούτων. πολυχρονιώτατον δ᾽ ἐστὶ τό τ᾽ αἰγύπτιον, καὶ τὸ ἴρινον, καὶ τὸ ἀμαράκινον, καὶ τὸ νάρδινον. πάντων δὲ μάλιστα ἡ στακτή. διαμένει γὰρ ὁποσονοῦν χρόνον. μυροπώλης δέ τις ἔφη παρ᾽ αὑτῷ μεμενηκέναι, αἰγύπτιον μὲν ὀκτὼ ἔτη, ἴρινον δὲ εἴκοσι, καὶ ἔτι διαμένειν βέλτιον ὂν τῶν ἀκμαζόντων. ἡ μὲν οὖν χρονιότης ἐν τούτοις. τὰ δ᾽ ἄνθινα πάντα ἀσθενῆ. συμβαίνει δὲ τοῖς ἀνθίνοις, ἀκμάζειν μὲν ὡς ἐπὶ τὸ πᾶν μετὰ δίμηνον. μεταβάλλειν δ᾽ ἐπὶ τὸ χεῖρον ἐνιαυτοῦ παρελθόντος, καὶ πρότερον τελευτώσης τῆς ὥρας, ἐν ᾗ τὴν ἀκμὴν λαμβάνει τὸ ἄνθος. ἀνάλογον δὲ τῇ ἀσθενείᾳ, καὶ τὸ εὐέκπνευστα εἶναι, καὶ ὅλως εὐδιάπνευστα. τὰ δὲ ἐκ τῶν ῥιζῶν καὶ τῶν λοιπῶν χρονιώτερα. πλείων γὰρ ἡ ὀσμή, καὶ ἰσχυροτέρα, καὶ σωματωδεστέρα. διαφθείρει δὲ τὰ μύρα, καὶ ὥρα θερμή, καὶ τόπος, καὶ ὁ ἥλιος ἂν τεθῶσι. διὸ καὶ οἱ μυροπῶλαι ζητοῦσι τὰς οἰκίας ὑπωρόφους, καὶ μὴ προσηλίους, ἀλλ᾽ ὅτι μάλιστα παλισκίους. ἀφαιρεῖται γὰρ τὰς ὀσμὰς ὁ ἥλιος, καὶ τὸ θερμόν· καὶ ὅλως ἐξίστησι τῆς φύσεως μᾶλλον τοῦ ψυχροῦ. τὸ δὲ ψυχρόν, καὶ ὁ πάγος, εἰ καὶ ἀοσμότερον, ποιεῖ διὰ τὸ συστέλλειν. ἀλλ᾽ οὐκ ἀφαιρεῖταί γε τὴν δύναμιν τελείως. ἡ πονηρὰ γὰρ φθορά, καθάπερ τοῦ οἴνου καὶ τῶν ἄλλων χυλῶν, περὶ τὸ οἰκεῖον θερμόν. διὸ καὶ εἰς ἀγγεῖα μολυβδᾶ ἐγχέουσι, καὶ τοὺς ἀλαβάστρους ζητοῦσι τοιούτου λίθου. ψυχρὸν γὰρ καὶ πυκνὸν καὶ ὁ μόλυβδος, καὶ ὁ λίθος ὁ τοιοῦτος, καὶ ἄριστος τοῖς μύροις ὁ μάλιστα τοιοῦτος· ὥστε δι᾽ ἄμφω τηροῦσι, καὶ διὰ ψυχρὸν καὶ διὰ πυκνόν, μήτε διιέντα ἔξω τὴν ὀσμήν, μήθ᾽ ὅλως ἐπιδεχόμενοι μηδέν. καὶ γὰρ ἡ ἀναπνοὴ φθείρει, καὶ τὸ ἔξωθεν ἐπεισιὸν καὶ ἀλλότριον. ἐπεὶ καὶ τὰ πνεύματα φθείρει καὶ καταναλίσκει, καθάπερ ἐλέχθη, τὰς ὀσμάς, ἄλλως τε καὶ τὰς μὴ φυσικάς. κεφαλαλγῆ δὲ τῶν μὲν πολυτελῶν, τὸ ἀμαράκινον, καὶ τὸ νάρδινον, καὶ τὸ μεγαλεῖον. τῶν δὲ εὐτελῶν, ὅλως μὲν τὰ πλεῖστα· μάλιστα δὲ τὸ δάφνινον. ἐλαφρότατα δὲ τὸ ῥόδινον, καὶ ἡ κύπρος, ἃ καὶ τοῖς ἀνδράσι μάλιστα ἁρμόττειν δοκεῖ· καὶ πρὸς τούτοις τὸ κρίνον. ταῖς δὲ γυ-

ται γὰρ εἰς τὸν ἀμφορέα δύο μέδιμνοι. τῆς δὲ κύπρου, ἡ μὲν ἐργασία παραπλησία τῇ τῆς ῥοδίνου, πλὴν ἐάν τις μὴ ταχέως ἐξαίρῃ καὶ ἀποθλίβῃ, σῆψις ἐγγινομένη φθείρει τὰ μύρα διὰ τὴν δυσωδίαν. ποιεῖ γὰρ σῆψιν ἀνυγραινομένη. παραπλησία δ᾽ ἡ ἐργασία καὶ τῆς μηλίνου. προσυφίντες γὰρ ἐλαίῳ, εἶτα τὰ μῆλα ἐμβάλλουσιν εἰς ψυχρόν. εἶτ᾽ ἐξαίρουσι πάλιν πρὸ τοῦ μελαίνεσθαι, καὶ πάσας τὰς ἐμβολάς. μελαινομένων γάρ, σῆψις, διὰ τὸ ἀνυγραίνεσθαι. καθάπερ καὶ ἐπὶ τῆς κύπρου. ἅπαντα δὲ συντίθενται τὰ μύρα, τὰ μὲν ἀπ᾽ ἀνθῶν, τὰ δὲ ἀπὸ φύλλων, τὰ δὲ ἀπὸ κλωνός, τὰ δὲ ἀπὸ ῥίζης, τὰ δ᾽ ἀπὸ ξύλου, τὰ δ᾽ ἀπὸ καρποῦ, τὰ δ᾽ ἀπὸ δακρύου. μικτὰ δὲ πάνθ᾽ ὡς εἰπεῖν· ἀπ᾽ ἀνθῶν μέν, οἷον τὸ ῥόδινον, καὶ τὸ λευκόϊνον, καὶ τὸ σούσινον· καὶ γὰρ τοῦτο ἐκ τῶν κρίνων. ἔτι δὲ τὸ σισύμβρινον, καὶ τὸ ἑρπύλλινον, καὶ ἡ κύπρος· καὶ πρὸς τούτοις τὸ κρόκινον. βέλτιστος δ᾽ ἐν αἰγίνῃ καὶ κιλικίᾳ. ἀπὸ δὲ τῶν φύλλων, οἷον τό τε μύρτινον, καὶ τὸ οἰνάνθινον· αὕτη δ᾽ ἐν κύπρῳ φύεται ὀρεινή, καὶ πολύοσμος. ἀπὸ δὲ τῆς ἐν τῇ ἑλλάδι, οὐ γίνεται διὰ τὸ ἄοσμον. ἀπὸ ῥιζῶν δέ, τό, τε ἴρινον, καὶ τὸ νάρδινον, καὶ τὸ ἀμαράκινον ἐκ τοῦ κόστου. τοῦτο γὰρ ὀνομάζουσι τὴν ῥίζαν. τὸ δὲ χρῖσμα τὸ ἐρετρικόν, ἐκ τοῦ κυπείρου. κομίζεται δὲ ἀπὸ τῶν κυκλάδων τὸ κύπειρον. ἀπὸ ξύλου δέ, ὁ φοῖνιξ καλούμενος. ἐμβάλλουσι γάρ, τὴν ὀνομαζομένην σπάθην ξηράναντες. ἀπὸ καρπῶν δὲ τό τε μήλινον, καὶ τὸ μύρτινον, καὶ τὸ δάφνινον. τὸ δ᾽ αἰγύπτιον, ἐκ πλειόνων· ἔκ τε τοῦ κινναμώμου καὶ ἐκ σμύρνης, καὶ ἐξ ἄλλων. ἔτι δὲ ἐκ πλειόνων τούτου, τὸ μεγαλεῖον· καὶ γὰρ ἐκ κινναμώμου, καὶ τῆς ἐκ σμύρνης κεκομμένης, ἔλαιον ῥεῖ. στακτὴ δὲ καλεῖται, διὰ τὸ μικρὸν στάζειν· ὃ δὴ μόνον τινές φασιν ἁπλοῦν εἶναι, καὶ ἀσύνθετον τῶν μύρων. τὰ δ᾽ ἄλλα πάντα σύνθετα, πλὴν τὰ μὲν ἐκ πλειόνων, τὰ δὲ ἐξ ἐλαττόνων. ἐξ ἐλαχίστων δέ, τὸ ἴρινον. οἱ μὲν οὖν οὕτω λέγουσιν. οἱ δὲ τὴν ἐργασίαν τῆς στακτῆς εἶναι τοιάνδε, τὴν σμύρναν, ὅταν κόψωσι καὶ διατήξωσιν ἐν ἐλαίῳ βαλανίνῳ πυρὶ μαλακῷ, ὕδωρ ἐπιχέειν θερμόν, συνίστασιν εἰς βυθὸν τὴν σμύρναν, καὶ τοὔλαιον, καθάπερ ὕλην. ὅταν δὲ τοῦτο συμβῇ, τὸ μὲν ὕδωρ ἀπηθεῖν, τὴν δ᾽ ἀπόστασιν ἀποθλίβειν ὀργάνοις. τὸ δὲ μεγαλεῖον ἐκ ῥητίνης κεκαυμένης συντίθεσθαι, καὶ ἐλαίου βαλανίνου. μιγνῦσι δὲ κασίαν, κιννάμωμον, σμύρναν. πλείστην δὲ πραγματείαν περὶ τὸ μεγαλεῖον καὶ τὸ αἰγύπτιον εἶναι. πλείστων γὰρ μίξιν, καὶ πολυτελεστάτων. ὑπὸ δὲ μεταλλίῳ καὶ τὸ ἔλαιον, ἕψεσθαι δέχ᾽ ἡμέρας καὶ δέκα νύκτας· εἶτα οὕτως τὴν ῥητίνην ἐμβάλλεσθαι, καὶ τἆλλα. δεκτικώτερον γὰρ ἀφεψηθέν. τὸ δ᾽ ἀμαράκινον τὸ χρυσὸν ἐκ τῶν βελτίστων ἀρωμάτων συντίθεσθαι, χωρὶς ἀμαράκου. τούτου δ᾽ οὐ χρῆσθαι μόνου τῶν ἀρωμάτων τῶν μυρεψῶν, οὐδ᾽ εἶναι μύρον, ἀλλὰ ψευδωνυμός τις ἡ ἐπίκλησις. ποιοῦσι δὲ καὶ τὰ μὲν ἀχρωμάτιστα, τὰ δὲ κεχρωματισμένα. χρωματίζουσι δέ, ἀμαράκινον, ῥόδινον, μεγαλεῖον. ἀχρωμάτιστα δὲ τῶν μὲν πολυτελῶν, αἰγύπτιον, μήλινον, κύπρος. τὰ δὲ εὐτελῆ πάντα· ταῦτα δ᾽ ἀχρωμάτιστα. διό γε τὸ μὲν αἰγύπτιον, καὶ τὴν κύπρον, λευκὰ εἶναι βούλονται· τὸ δὲ μήλινον, τὴν τῶν μήλων χρόαν. τοῖς δ᾽ εὐτελέσιν οὐ λυσιτελεῖ τὸ χρῶμα προστιθέναι. χρωματίζουσι δὲ τὰ μὲν ἐρυθρὰ τῇ ἀγχούσῃ· τὸ δ᾽ ἀμαράκινον, τῷ καλουμένῳ χρώματι. τοῦτο δ᾽ ἐστὶ ῥίζιον, ὃ ἄγουσιν ἐκ συρίας. συνεργεῖν δὲ δοκοῦσι πρὸς τὰς γεύσεις οὐχ αἱ ὀσμαὶ μόνον, ἀλλὰ καὶ αἱ δριμύτητες, καὶ αἱ θερμότητες ἐνίων· διὸ καὶ τῶν οἴνων ἐνίοις τὰ τοιαῦτα μιγνῦντες, ὥσπερ κέντρον ἐμποιοῦσιν. ἔστι δ᾽ ἡ μὲν σμύρνα θερμὴ καὶ δηκτικὴ μετὰ στύψεως. ἔχει δὲ καὶ πικρίαν. τὸ δὲ κιννάμωμον δριμύτητά τινα μετρίαν μετὰ θερμότητος. παραπλησίως δὲ καὶ τὸ κόστον. ἡ δὲ κασία τούτων ὑπερβάλλει θερμότητι τε καὶ δριμύτητι καὶ στύψει. θερμὴ δὲ καὶ στυπτικὴ καὶ ἡ ἶρις. καθ᾽ ὑπερβολὴν δὲ καὶ πικρὰ νέα οὖσα, καὶ τὸν χρῶτα τῶν ἐργαζομένων αὐτὴν ἀφέλκουσι. δηκτικὸν δὲ καὶ τὸ καρδάμωμον μετὰ θερμότητος. τοῦ δὲ βαλσάμου ὁ μὲν ὀπός, καὶ τὸ καρπίον ἀνδρειότερα πρὸς ἀμφότερα ταῦτα· τὸ δὲ ξύλον ἀσθενέστερον. παραπλησίαν δ᾽ ἔχει τούτῳ δύναμιν καὶ τὸ κιννάμωμον. ὁ δὲ σχοῖνος, δηκτικώτερον μὲν τοῦ καλάμου, καὶ θερμότερον. στυπτικὰ δὲ ὁμοίως ἄμφω. τούτων δὲ στυπτικώτερον τὸ κύπειρον. στύφει δὲ ἡ ἀσπάλαθος, ἡ αὔδης. ἡ δὲ νάρδος, δηκτικὴ μετὰ θερμότητος. τὸ δὲ μάρον, καὶ τὸ χρῶμα τὸ εἰς τὸ ἀμαράκινον ἐμμιγνύμενον, θερμαντικά. συνεργεῖ δὲ καὶ τῆς ἀγχούσης τὸ ῥίζιον εἰς τὴν χρόαν τοῦ ῥοδίνου καὶ τοῦ ἰδίου. νέα μὲν οὖν ὄντα τῶν ἀρωμάτων, ἔνια δυνάμεις μὲν εὐθὺς ἔχει βαρείας καὶ δριμείας, παλαιούμενα δὲ μέχρι τῆς ἀκμῆς γλυκαίνεται, εἶτα ἀναλύεται πάλιν· οἷον ἡ ἶρις, εἰς μὲν τὴν ἐργασίαν ἀκμάζει μετὰ τὴν

τὴν περὶ Κιλικίαν, καὶ ποιοῦσιν ἐξ αὐτῆς χρῖσμα. φασὶ δὲ, καὶ εἰς τὰ συνθέματα τῶν μύρων ἁρμόττειν, ὥσπερ καὶ τὸ ἐκ τῆς βαλάνου. ἔστι δὲ ποιεῖ ἡ κέλυφος αὐτῆς ἥδυσμα, εἰς τὸ ἔλαιον ἐμβαλλόμενα· ἐπεὶ καὶ τὰ τῶν πικρῶν. ἐλαιῶν δὲ πῶς οὐκ ἐναντίον, ἅμα μὲν τὸ ἀοσμότατον ζητεῖν, ὥσπερ καὶ τὸ ὠμοτριβὲς ἐκ τῶν φαυλίων· ἅμα δὲ ἐν τούτοις ποιεῖν. δριμύτατα γὰρ ἔχει τὰ τῶν ἀμυγδάλων, εἰ μὴ ἄζει τὸ ἔλαιον ἑψόμενον κακῶδες. ταῦτα μὲν οὖν ἐπισκεπτέον. χρῶνται δὲ πρὸς πάντα τοῖς ἀρώμασι, τοῖς μὲν ὑποστύφοντες τὸ ἔλαιον, τοῖς δὲ καὶ τὴν ὀσμὴν ἐκ τούτων ἐμποιοῦντες. ὑποστύφουσι γὰρ πᾶν εἰς τὸ δέξασθαι μᾶλλον τὴν ὀσμὴν, ὥσπερ τὰ ἔρια τὴν βαφήν. ὑποστύφεται δὲ τοῖς ἀσθενεστέροις τῶν ἀρωμάτων· εἶθ' ὕστερον ἐμβάλλουσιν, ἀφ' οὗ ἂν βούλωνται τὴν ὀσμὴν λαβεῖν. ὑπερκρατεῖ γὰρ εἰς τὸ ἔσχατον ἐμβαλλόμενον, καὶ ἂν ἔλαττον ᾖ· οἷον ἐὰν εἰς κοτύλην σμύρνης ἐμβληθῇ μνᾶ, καὶ ὕστερον ἐμβληθῶσι κινναμώμου δύο δραχμαί. θαυμάσειε ἄν τις ἴσως οὖν τότε, καὶ διότι ποτὲ τὰ ἀρώματα προεμβαλλόμενα δεκτικώτερον ποιεῖ τὸ ἔλαιον ὀσμὴν ἔχοντα. δεῖ γὰρ οὐδεμίαν ἔχειν τὸ δεξόμενον· τὸ δὲ κατειλημμένον ἐφ' ἑτέρας οὐκ οὐδεμίας· ἀλλ' ἧττον ἐχέτω δεκτικόν. αἴτιον δ' ἀμφοτέρων, ἢ πάντων, τὸ αὐτό. ξηρὰ γὰρ ὄντα, τὸ λίπος ἕλκει πρὸς ἑαυτά, καὶ ἀναδέχεται. διὸ καὶ τὴν συνέχειαν ἐξαιρεῖ. μανὸν δὲ γινόμενον, καὶ τοῦ λίπους ἀφαιρεθέντος, ἐν ᾧ καὶ ἡ οἰκεία μάλιστα ὀσμὴ, δεκτικώτερον ἐγίνετ' αὐτοῦ ἐπεμβαλλομένης, διὰ τὸ μὴ ἀντισπᾶν. ἡ δὲ ἐκ τῶν ἀρωμάτων ὀσμὴ, καὶ ἀσθενής, ἅτε εἰς τὸ λεπτὸν ἀνηλωμένη· καὶ ἔτι κατέχεται τούτων, διὰ τὸ πληρῶσαι τοὺς πόρους. ὥστε κατὰ λόγον, κἂν ἔλαττον ᾖ τὸ ἐπεμβαλλόμενον ὑπερκρατεῖν τὴν τούτου ὀσμήν. εἰς ἀσθενέστερον γὰρ ἐμπίπτει, καὶ δεκτικώτερον. εὐωδέστερον δ' ἔχει καὶ ἡ πολυχρονιότης ἡ ἐν ἑκάστῳ, καὶ ἡ πρὸς τὴν πύρωσιν ἀσθένεια, καὶ τἄλλα τὰ τοιαῦτα. τὸ μὲν δεκτικώτατον, οἷον τὸ βαλάνου, καὶ χρονιώτατον, καὶ διὰ τὴν αὐτὴν αἰτίαν. μάλιστα γὰρ ὥσπερ ἓν γίνεται, καὶ συμφυὲς τὸ μάλιστα δεχόμενον. ἀεὶ γὰρ τὸ τοιοῦτον διαμονώτατον. διὸ καὶ πυρούμενον μάλιστα ἀπαθές. ὡσαύτως δὲ καὶ τῶν ἄλλων τὸ στακτὸν· ἔστι γὰρ δεκτικώτατον. τὸ δ' ἀμυγδάλινον παρακμάζει ταχύ, καὶ ὀλιγοχρονιώτατον διὰ τὴν ἐναντίαν αἰτίαν. τὸ γὰρ ἥκιστα δεξάμενον, τάχιστα μεθίστησι. τὸ ῥόδινον δὲ μάλιστα δεκτικὸν τὸ στακτόμενον, διὰ τὴν λεπτότητα. πυρούμενον δὲ ἐξόζει στακτὸν καθάπερ ἀναλυόμενον. αἱ μὲν οὖν τῶν ἐλαιῶν φύσεις καὶ δυνάμεις, τοιαῦται. τὰ ἀρώματα δὲ πάντα, σχεδὸν ἐστὶν ἥδυσμα, πλὴν τῶν ἀνθῶν, ξηρὰ καὶ θερμὰ καὶ στυπτικὰ καὶ δηκτικά. τὰ δὲ καὶ ἔχοντά τινα πικρότητα, καθάπερ καὶ ἐν τοῖς πρότερον εἴπομεν, ὥσπερ ἶρις, σμύρνα, λιβανωτός. ὡς δ' ἁπλῶς εἰπεῖν, καὶ τὰ μύρα. κοινόταται δὲ τῶν δυνάμεων, τό τε στυπτικόν, καὶ τὸ θερμαντικόν. αἱ δὲ καὶ ἐργάζονται. ὑποστύφονται μὲν οὖν πάντα πυρούμενα. τὰς δ' ὀσμὰς τὰς κυρίας ἀναλαμβάνει ψυχρὰ καὶ ἄπυρα. καὶ ἔοικεν, ὥσπερ τῶν ἀνθῶν, τὰ μὲν ψυχροπαγῆ, τὰ δὲ θερμοπαγῆ, παραπλησίως ἔχειν καὶ ἐπὶ τῶν ὀσμῶν. πάντων δὲ ἡ ἕψησις, καὶ εἴς τε ὑπόστυψιν καὶ τὰς κυρίας ὀσμὰς ἐνισταμένων, ἡ τῶν ἀγγείων ἐν ὕδατι γίνεται, καὶ οὐκ αὐτῶν τῷ πυρὶ χρωμένων. ἔστι δ' ἔτι μαλακὸν εἶναι δεῖ τὴν θερμότητα, καὶ ἀχρηστία πολλὴ γένοιτ' ἂν τῇ φλογὶ χρωμένων· ἔτι καύσιμον ὄζει. ποιεῖ δ' ἐλάττω τὴν ἀπουσίαν, ὅσα πυρούμενα λαμβάνει τὰς κυρίας ὀσμὰς μᾶλλον ἢ ὅσα ψυχρά, διὰ τὸ προσφυρᾶσθαι τὰ πυρούμενα· τὰ μὲν οἴνῳ εὐώδει, τὰ δ' ὕδατι. ἧττον γὰρ ἀναπίνει. τὰ δὲ ψυχρὰ ξηρὰ ὄντα, μᾶλλον· καθάπερ ἶρις κοπεῖσα. λαμβάνοντες γὰρ τὸν ἀμφορέως ξηρᾶς ἴρεως κεκομμένης μέδιμνον, καὶ δύο ἡμίεκτα, πολλὴν ποιεῖν φασιν ἀπουσίαν. ἐὰν δὲ μετρίως φυραθῇ λείπειν ὅσον δύο χοᾶς, οὐδὲ πολλοὺς ἔλαττον. γίνεται δὲ τὸ βέλτιον τὸ ἴρινον, ἐὰν ᾖ ξηρὰ καὶ ἀπύρωτος ἡ ἶρις. ἀκρατεστέρα γὰρ ἡ δύναμις, ἢ ἐὰν φυραθεῖσα καὶ πυρουμένη. συμβαίνει δ' ὥσπερ καὶ ἐκθλίβεσθαι μᾶλλον ἐκ τῶν προπεφυραμένων, διὰ τὸ ἧττον ἀναδέχεσθαι, καὶ ἕλκειν εἰς αὑτό. προστύφοντες δ' οὐ πολὺν χρόνον ἐῶσι τὰ ἀρώματα, ἀλλ' ἐξαιροῦσιν, ὅπως μὴ πολὺ ἐκπίνωσι. πρὸς ἕκαστον δὲ τῶν μύρων ἐμβάλλουσι τὰ πρόσφορα τῶν ἀρωμάτων, οἷον εἰς μὲν τὴν κύπρον καρδάμωμον, ἀσπάλαθον ἀναφυράσαντες ἐν οἴνῳ εὐώδει. εἰς δὲ τὸ ῥόδινον, σχοῖνον, ἀσπάλαθον, κάλαμον. ἡ δ' ἀναφύρασις ὁμοίως, καὶ τοῖς ἄλλοις, ἃ δεῖ τὰ ἁρμόττοντα. εἰς τὸ ῥόδινον δ' ἐμβάλλονται, καὶ ἅλες πολλοί, καὶ τοῦτ' ἴδιον παρὰ τἄλλα· διὸ καὶ πλείστη ἀπουσία γίνεται. μίγνυται γὰρ

διαιρήμασι, καὶ γίνονται καὶ μεθίστανται καθάπερ οἱ χυλοί. ὅσαι δὲ διὰ τῆς τέχνης καὶ ἐπινοίας γίνονται, περὶ τούτων πειρατέον εἰπεῖν, ὥσπερ καὶ περὶ τῶν χυλῶν. ἐν ἀμφοῖν δὲ δῆλον, ὡς ἀεὶ πρὸς τὸ βέλτιον πλείων ἡ ἡμῖν ἡ διαφορά. πᾶσα γὰρ τέχνη στοχάζεται τούτου. εἰσὶ μὲν οὖν καὶ ταῖς ἀμίκτοις ὀσμαί τινες. πρὸς ἃς συνεργεῖν πειρῶνται καὶ ταῖς παρὰ * ταῖς τῶν χυλῶν δυσό * ἢ μὴν ἀλλ' ὥστε ἁπλῶς εἰπεῖν ἐν μίξει τὸ πλέον, καὶ οὕτως αἱ * διττοῖν μὲν ὡς ἐπὶ γένει λαβεῖν ὑγροῦ καὶ ξηροῦ. τριχῶς δέ γε * ὅταν ἢ ὁμογενὴς ὁμογενεῖ, ἢ παράλληλον ἐπὶ αὐτ * ἢ ὑγρῷ ὑγρόν, ἢ ξηρῷ ξηρόν. ἐν διττοῖν γὰρ τούτων καὶ ἡ τῶν χυλῶν καὶ τῶν ὀσμῶν γένεσις. ὡς μὲν οἱ τὰ ἀρώματα καὶ τὰ διαπάσματα συντιθέντες ξηροῖς πρὸς ξηρά. ὡς δὲ οἱ τὰ μύρα κεραννῦντες, ἢ ἐπὶ οἶνον ἐπιχέοντες ὑγροῖς πρὸς ὑγρά. τὸ δὲ τρίτον, ὃ καὶ πλεῖστόν ἐστιν, ὡς οἱ μυρεψοὶ ξηροῖς πρὸς ὑγρά. παντὸς γὰρ μύρου καὶ χρίσματος ἡ σύνθεσις αὕτη. δεῖ δὲ εἰδέναι, ποῖαι ποίοις εὔμικτοι, καὶ ποῖαι ποίοις συνεργοῦσιν εἰς τὸ ποιεῖν μίαν, ὥσπερ ἐπὶ τῶν χυλῶν. καὶ γὰρ ἐκεῖ ταυτὸ τοῦτο ζητοῦσιν οἱ μιγνύντες, καὶ οἷον ἀρτύοντες. ταῦτα μὲν οὖν, ἐν οἷς καὶ δι' ὧν αἱ τέχναι ποιοῦνται τὰ τέλη, μιγνύουσι δὲ τὰ μὲν αὐτοῦ τῆς ὀσμῆς ἕνεκα, καὶ πρὸς ταύτην τὴν αἴσθησιν. τὰ δ' ὥσπερ ἡδύνειν βουλόμενοι τὴν γεῦσιν, οἷον ὡς οἱ τὰ μύρα τοῖς οἴνοις ἐπιχέοντες, οἱ τὰ ἀρώματα ἐμβάλλοντες. αἱ γὰρ αἰσθήσεις συνεγγὺς οὖσαι, ποιοῦσί τινα ἀπόλαυσιν ἀλλήλων, ὅθεν καὶ αὐτοῖς τοῖς γευστοῖς ζητοῦσι τὰς εὐοσμίας.

Ἀπορήσειε δ' ἄν τις ἴσως, διὰ τί ποτε μύρον, καὶ τἆλλα εὔοσμα, τῶν μὲν οἴνους ἡδύνει, τῶν δὲ βρωμάτων οὐδέν, ἀλλὰ πάντα λυμαίνεται καὶ ἐμπύρευτα καὶ πεπυρωμένα· τὸ δ' αἴτιον ὑποληπτέον, ὅτι συμβαίνει τῶν μὲν ξηρῶν ἀφαιρεῖσθαί τι τὸν οἰκεῖον χυλὸν διὰ τὴν ἰσχύν, καὶ ἅμα συνεπιφαίνειν τὸν αὐτὸν ὄντα στρυφνὸν καὶ ὑπόπικρον. ἅπαν γὰρ τὸ εὔοσμον τοιοῦτον. διαμασωμένοις δὲ μᾶλλον ἐμφανές, διά τε τὴν θλίψιν καὶ τομήν, καὶ ἔτι τὸ χρονίζεσθαι. τὸν δ' οἶνον ἡδίω ποιεῖ. καὶ γὰρ ὁ χυλὸς ἰσχυρότατος, καὶ πλέον εἰς τὸ μὴ κρατεῖσθαι. καὶ ὀλίγα τῇ γεύσει χρόνον ἐπιταξίδων, ἀλλ' οἷον ἀποθιγγάνειν. ὥστε τὸ μὲν ἡδὺ ἐνδιδόναι τῇ αἰσθήσει, τὸ δὲ πικρὸν καὶ δύσχολον τῇ γεύσει μὴ ἐμφαίνειν. ἀλλὰ συμβαίνειν ἐπὶ ὄντι, καθάπερ ἥδυσμα γίνεσθαι τῷ πόματι τὴν ὀσμήν. τὸ μὲν γὰρ γλυκύ, καὶ μάλιστα δεόμενον διὰ τὸ μηδὲν ἔχειν· τοῖς δ' ἄλλοις, ὥσπερ μιᾶς ἐξ ἀμφοῖν γινομένοις, διὰ τὴν μίξιν. ὁ γὰρ οἶνος, ὥσπερ καὶ πρότερον ἐλέχθη, δεκτὸς δ' ἔξεσθαι τὰς ὀσμάς. ἔχει δ' ἀπόρησιν καὶ τόδε· διότι τὰ μὲν ἄνθη καὶ τὰ στεφανώματα ἀσθενέστερα ὄντα ταῖς ὀσμαῖς, καὶ πόρρωθεν ὄζει· ἡ δ' ἶρις, καὶ τὸ νάρδον, καὶ τὰ ἄλλα τὰ εὔοσμα τῶν ξηρῶν, ἰσχυρότερα ἐγγύθεν. καὶ ἔνιά γε προσεγχαμένοις, ἔνια δὲ καὶ τρίψεως προσδεῖται καὶ διαιρέσεως· τὰ δὲ καὶ πυρώσεως, ὥσπερ ἡ σμύρνα, καὶ ὁ λιβανωτός, καὶ πᾶν τὸ θυμιατόν. αἴτιον δ' ὅτι τῶν μὲν ἀνθῶν ἐπιπολῆς τὸ ποιοῦν τὴν ὀσμήν, ἅτε μανῶν ὄντων, καὶ οὐκ ἐχόντων βάθος. τῶν δὲ ῥιζῶν, καὶ πάντων τῶν στερεῶν, ἐν βάθει. τὰ δ' ἔξωθεν ἀπεξηραμμένα καὶ πεπυκνωμένα. διὸ καὶ ἀφιᾶσι πόρρω τὰς ἀποπνοίας. τὰ δ' οἷον ἀνοίξεως δέονται τῶν πόρων· ὅθεν καὶ αἰρόμενα καὶ κοπτόμενα, πάντ' εὐωδέστερα. τὰ δ' ἄνθη κακωδέστερα, τριβόμενα. τὰ μὲν γὰρ ἐκφαίνει τὸ οἰκεῖον, τὰ δὲ προσλαμβάνει τὸ ἀλλότριον. ὁ δὲ λιβανωτός, καὶ ἡ σμύρνα, πυκνότερον ἔτι τὴν φύσιν ἔχοντα, προσδέονται πυρώσεως μαλακῆς· ἢ διὰ μικρὸν ἐκθερμαίνουσα, ποιήσει τὴν ἀναθυμίασιν. ἐὰν γὰρ κόπτῃ τις ἢ τρίβῃ ταῦτα, προσοίσονται μὲν ὀσμήν· οὐχ ὁμοίως δὲ ἡδεῖαν, οὐδ' εὐταμίευτον. τούτων μὲν οὖν τοιαῦταί τινες αἱ αἰτίαι. τῶν δὲ μύρων ἡ σύνθεσις καὶ ἡ κατασκευὴ τὸ ὅλον, οἷον εἰς θησαυρισμόν ἐστι τῶν ὀσμῶν· διόπερ εἰς ἔλαιον τίθενται. τοῦτο γὰρ χρονιώτατον, καὶ ἅμα πρὸς τὴν χρείαν μάλιστ' ἁρμόττον, ἐπεὶ φύσει ἥκιστα δεκτικὸν ὀσμῆς, διὰ τὴν πυκνότητα καὶ τὸ λίπος. αὐτῶν δὲ τούτων τὸ λιπαρώτατον, οἷον τὸ ἀμυγδάλινον. τὸ δὲ σησάμινον, καὶ τὸ ἐκ τῶν ἐλαιῶν, μάλιστα. χρῶνται δὲ μάλιστα τῷ ἐκ τῆς βαλάνου, τῆς αἰγυπτίας καὶ συρίας· ἥκιστα γὰρ λιπαρόν. ἐπεὶ καὶ τῷ ἐκ τῶν ἐλαιῶν μάλιστα χρῶνται τῷ ὠμοτριβεῖ τοῦ φαυλίου· δοκεῖ γὰρ ἀλιπέστατον ἔχειν, καὶ λεπτότατον. καὶ τούτου νέῳ, καὶ μὴ παλαιῷ· τὸ γὰρ ὑπὲρ ἐνιαυτοῦ, ἀρχαῖον, παχύτερον καὶ λιπαρώτερον γινόμενον ἔλαιον μὲν οὖν τὸ τοιοῦτον, οἰκειότατον· ἀνεδέξατο γάρ. φασὶ δέ τινες, καὶ ἐν τῷ χρώματι τὸ ἐκ τῶν πικρῶν ἀμυγδάλων. πολλὰ δὲ γίνε-

ται περὶ

ἔχει, καὶ τὴν συνέχειαν παρὰ τὰ * μέρη. ἐν δὲ τῇ θέσει τῶν μορφῶν, τὸ πλεῖ-
στα διὰ τὰ ὑγρὰ τῶν * σωμάτων, καὶ γάρ τοι. * μᾶλλον καὶ τὸ πήγνυται
ἧττον διὰ * τὰ δὲ σκληρὰ * τοῦ * τίον.

ΘΕΟΦΡΑΣΤΟΥ ΠΕ
ΡῚ ὈΣΜΩ͂Ν.

Αἱ ὀσμαὶ, τὸ μὲν ὅλον ἐκ μίξεώς εἰσι, καθάπερ οἱ χυλοί. τὸ γὰρ ἄμικτον ἅπαν ἄοδμον, ὥσπερ ἄχυλον. διὸ καὶ τὰ ἁπλᾶ, ἄοδμα· οἷον ὕδωρ, ἀὴρ, πῦρ. ἡ δὲ γῆ μάλιστα μόνη ὀδμὴν ἔχει, διὸ μάλιστα μικτή. τῶν δ' ὀδμῶν, αἱ μὲν ὥσπερ ἀκολεῖς καὶ ὑδαρεῖς, καθάπερ ἐπὶ τῶν χυλῶν· αἱ δὲ ἔχουσαί τινας ἰδέας· αἱ δ' ἰδέαι, δοκοῦσι μὲν ἀκολουθεῖν ταῖς τῶν χυλῶν. οὐ μὴν ἔχουσί γε πᾶσαι τὰς αὐτὰς προσηγορίας, ὥσπερ ἐν τοῖς πρότερον εἴπομεν· οὐδ' ὅλως οὕτω διῃρημέναι τοῖς εἴδεσιν, ὥσπερ οἱ χυλοί· ἀλλ' ὡς ἂν τοῖς γένεσιν. ὅτι τὰ μὲν εὔοσμα, τὰ δὲ κάκοσμα. τὰς δὲ εὐοσμίας καὶ κακωδίας, οὐκέτι τὰ εἴδη κατωνόμασαι, καίπερ ἔχοντα διαφορὰς μεγάλας. ἐπεὶ γὰρ τῶν γλυκέων καὶ πικρῶν μᾶλλον, ἀλλὰ δριμέα λέγεται καὶ ἰσχυρὰ, καὶ μαλακὴ καὶ γλυκεῖα καὶ βαρεῖα ὀδμή. κοιναὶ δ' ἔνιαι τούτων, καὶ τῶν κακωδῶν. ἡ δὲ καθόλου, καὶ ὥσπερ ἐπὶ πᾶσι τοῖς διαφθειρομένοις, σαπρότης. ἅπαν γὰρ τὸ σηπόμενον κακῶδες, εἰ μή τις τὴν ὀξύτητα λέγει τοῦ οἴνου σαπρότητα, τῇ ὁμοιότητι τῆς φθορᾶς. ἐν ἅπασι δ' οὖν ἡ τῆς σαπρᾶς κακωδία, καὶ ἐν φυτοῖς, καὶ ἐν ζώοις, καὶ τοῖς ἀψύχοις. ἐν ἅπασι δὲ διαφθειρομένοις, ὧν μὴ ἡ σύστασις εὐθὺς ἐκ τοιαύτης ὕλης. ἔχει γὰρ ἔνια καὶ τὴν τῆς ὕλης ὀσμήν. οὐ μὴν ἐπὶ πάντων γε τοῦτ' ἀκολουθεῖ· πολλὰ γὰρ οὐ κακώδη τὰ ἐκ τῶν σαπρῶν, ὡς οὐδ' οἱ μύκητες οἱ ἐκ τῆς κόπρου φυόμενοι. τὰ δὲ ἐκ σήψεως φυόμενα καὶ συνιστάμενα, κακώδη. εὔοσμα μὲν οὖν, ὡς ἁπλῶς εἰπεῖν, τὰ πεπεμμένα λεπτὰ καὶ ἥκιστα γεώδη. τὸ γὰρ τῆς ὀσμῆς ἐν ἀναπνοῇ, κακώδη δὲ δηλονότι τἀναντία. πολλὰ δ' ὥσπερ τῶν γλυκέων, ἐμφαίνει τινὰ πικρότητα, καὶ τῶν εὐωδῶν βαρύτητα ταῖς ὀσμαῖς. ἔχει δ' ἕκαστον ὀσμὴν ἰδίαν καὶ ζώων καὶ φυτῶν, καὶ τῶν ἀψύχων ὅσα ὀσμώδη. πολλὰ δ' ἡμῖν οὐ φαίνεται, διὰ τὸ χείρω ἔχειν τὴν αἴσθησιν ταύτην, ὡς εἰπεῖν. ἐπεὶ τοῖς γε ἄλλοις καὶ τὰ παντελῶς ἄοδμα φαινόμενα δίδωσι τινὰ ὀσμήν. ὥσπερ αἱ κριθαὶ τοῖς ὑποζυγίοις, αἱ ἐκ τῆς κεδροπόλιος, ἃς οὐκ ἐσθίουσι διὰ τὴν κακωδίαν. ἡμᾶς δὲ καὶ αἱ τῶν ζώων λανθάνουσι τῶν ὀσμῶν διαφορῶν. εὐωδία μὲν οὖν οὐδὲν φαίνεται καθ' αὑτὸ χαίρειν, ὡς εἰπεῖν· ἀλλ' ὅσα πρὸς τὴν τροφὴν, καὶ τὴν ἀπόλαυσιν. πονεῖν δ' ἔνια φαίνεται ταῖς ὀσμαῖς καὶ ταῖς εὐωδίαις, ὥσπερ ἀληθὲς τὸ ἐπὶ τῶν γυπῶν, καὶ τῶν κανθάρων. τοῦτο δὲ ὡς ἁπλῶς εἰπεῖν, δῆλον, τῶν διὰ τὴν ἐναντίωσιν τῆς ἐναντίας φύσεως. ὡς δὲ καθ' ἕκαστον ἅμα δεῖ τήν τε κρᾶσιν τὴν ἑκάστου, καὶ τὴν τῆς ὀσμῆς λαμβάνειν δύναμιν. εἰσὶ μὲν οὖν ἔνιαι τῶν εὐόσμων, καὶ ἐν ταῖς τροφαῖς, οἷον αἱ τῶν ἀκροδρύων καὶ ἀπίου, καὶ μήλου· αὗται γὰρ ἄνευ τῆς προσφορᾶς ἡδεῖαι. καὶ μᾶλλον, ὡς εἰπεῖν, οὐ μὴν ἀλλ' ὥς γ' ἁπλῶς δηλοῦν, αἱ μέν εἰσι καθ' αὑτὰς, αἱ δὲ κατὰ συμβεβηκός. αἱ μὲν τῶν χυλῶν καὶ τῆς τροφῆς κατὰ συμβεβηκός, αἱ δ' ὥσπερ τῆς ἀναπνοῆς καθ' αὑτάς. ὡς γὰρ ἐπίπαν τὰ εὔοσμα, καθάπερ καὶ πρότερον ἐλέχθη, δύσχυλα καὶ στρυφνὰ, καὶ ὑπόπικρα. ἔνια δὲ τῶν εὐχύλων καὶ κακώδη, καθάπερ καὶ τὸ αἰγύπτιον καλούμενον σῦκον, γλυκὺ ὄν· καὶ εἰ μὴ πανταχοῦ, ἀλλ' ἐνιαχοῦ. καὶ ἡ ἄρκευθος ἐμφαίνει τινὰ τῇ μασήσει κακωδίαν, γλυκεῖα οὖσα. τὸ δ' οὖρον ποιεῖ εὐῶδες. ἐπεὶ δὲ τῶν ὀσμῶν αἱ μὲν ἐν φυτοῖς καὶ τοῖς τούτων μορίοις, οἷον κλωσὶ, φύλλοις, φλοιοῖς, καρποῖς, δακρύοις· αἱ δὲ ὥσπερ διέλομεν, ἐν ζώοις καὶ φυτοῖς, καὶ τοῖς ἀψύχοις, αὗται μὲν φανερὸν ὅτι πέψιν ἑκάσται λαμβάνουσιν ἐν τοῖς οἰκείοις, εἷς καὶ τὸ εὐῶδες καὶ κακῶδες ἀκολουθεῖ κατὰ τὰς οἰκείας φύσεις· ἡ δὲ πέψις ὑπὸ οἰκείου θερμοῦ. ἐν δὲ τοῖς ἀψύχοις ταῖς τῶν ἁπλῶν δυνάμεσι.

τὰ ἐπίπεδα τῶν κοίλων κοπιαρώτερα, καὶ κατάκυρτα τῶν ὑπτίων. ἡ γὰρ θλῖψις, σφοδροτέραν ποιεῖ καὶ μείζω τὸν πόνον, ἐφ᾽ ἕνα τόπον ἀθροιζομένου τοῦ βάρους. τὸ μὲν οὖν κυρτὸν τοῦ ὀρθίου, τούτου δὲ μᾶλλον τὸ κοῖλον. διότι δὲ τοὺς μηροὺς καὶ τὰς κνήμας μᾶλλον κοπιῶσιν, ὅτι μάλιστα ὁ πόνος τῆς τοῦ συνεχοῦς διαστάσεις. συνεχέστερος δὲ καὶ συμφυέστερος ὁ μηρός. ἅμα δὲ καὶ ἡ τῶν νεύρων διάστασις, καὶ ἐν τούτῳ ἔστιν ἐνδοτέρω τοῦ τόπου τοῦ ἔχοντος περίπλεγμα. διόπερ αὖ ὑπερβάλλει τῇ θερμότητι διὰ τὴν κίνησιν τι μᾶλλον καὶ πλεῖον. ὅτι δ᾽ ἡ ἀνάρτησις ποιεῖ συμπάθειαν τῶν νεύρων καὶ φλεβῶν, καὶ ἐκ τῶν βουβώνων δῆλον. πληγέντων γὰρ τῶν κάτωθεν, ἐνταῦθα βουβῶνες. διότι δὲ καταβαίνοντες μὲν κατάντη τοὺς μηροὺς μάλιστα πονοῦσιν· ἀναβαίνοντες δὲ τὰς κνήμας, ὅτι κατὰ μὲν τὴν ἀνάβασιν ὁ πόνος περὶ τὸ αἴρειν τὸ σῶμα. φορτίον γὰρ γίνεται. ἱκανὸν οὖν ἅπαν ἐπίκειται τὸ βάρος, καὶ ὀρώμενον τοῦτο μάλιστα ὁ πόνος. ἡ δὲ κνήμη τοιοῦτον. ἔχει τὸ γὰρ ἔχειν μῆκος, καὶ οὐχ ὥσπερ ὁ πούς πλάτος· διόπερ σαλεύεται. καθάπερ οὖν ὑπὸ τοῦ βάρους τοὺς ὤμους μάλιστα πονοῦσιν, ὥστε ἐπὶ τούτῳ ἔχουσι τὸ βάρος, ὁμοίως καὶ τὰς κνήμας. ἐν δὲ τῷ καταβαίνειν ὁ πόνος περὶ τὸ ὑποπίπτειν τὸ σῶμα, καὶ προωθεῖν παρὰ φύσιν· ὥστε καὶ ὁμαλῶς ὑποπίπτει, καὶ σαλεύει τοῦτο μάλιστα, καὶ ποιεῖ τὸν πόνον. ὡς οὖν ἡ κνήμη ἐν τῷ ἀναβαίνειν κακοπαθεῖ, οὕτως ὁ μηρὸς ἐν τῷ καταβαίνειν, ἐξαίρειν τὸ σῶμα ὅλον. ἁπλῶς τὰ βάρη κάτω φέρεται, ὥστε χαλεπώτερον τὸ ἀναβαίνειν τοῦ καταβαίνειν. χαλεπώτεροι δ᾽ οἱ περὶ τὸν θώρακα τόποι, τῶν κάτω· διότι ἐγγυτέρω τοῦ πνευματικοῦ τόπου. συμβαίνει οὖν ταχὺ συνεκφλεγμένην. τοῦτο δ᾽ ὁ πυρετός. ἡ δ᾽ ἀπὸ τῶν σκελῶν φλεγμονὴ πόρρω, διὰ τὸ ἀπομαραίνεσθαι θᾶττον. τῶν δὲ βραχίονι κοπιαρώτερον Διογένης ῥίπτειν λίθον, ἢ ἄλλο τι βάρος, ἐστι σπασμωδέστερον, καὶ καματωδέστερον. οὐ γὰρ ἐπερείδεται, καθάπερ ὁ βάλλων πρὸς τὸν ἐν τῇ χειρὶ ὄγκον. ὥσπερ ὁ πένταθλος πρὸς τοὺς ἁλτῆρας καὶ τοὺς καρπούς· διὸ ὁ μὲν μεῖζον ἅλλεται ἢ μὴ ἔχων. ὁ δὲ θᾶττον θεῖ, μὴ περιάσσων· ὁ δὲ ἧττον ἀπαιτεῖ προπηδᾶν, διὰ τὸ βάρος. εἰ δὲ βραχεῖς περίπατοι, κοπιαρώτεροι τῶν μακρῶν, καὶ οἱ ὁμαλοὶ τῶν ἀνωμάλων, ὅτι πολλάκις ἐπάνοδος συμβαίνει. τῷ δ᾽ ἐν τῷ αὐτῷ σχήματι χαλεπὸν καὶ κοπῶδες, οὐδὲν οὐδ᾽ ἐκεῖνο ὑπεναντίον, ὡς κοπιῶσι τε μᾶλλον ἢ ἐν τοῖς ὁμαλοῖς χωρίοις, καὶ θᾶττον βαδίζουσιν ἢ ἐν τοῖς ἀνωμάλοις. κοπιαρώτερον μὲν γὰρ τὸ ἐν αὐτῷ σχήματι. θᾶττον δ᾽ ἡ βάδισις ἡ ἐν τῷ ἴσῳ χρόνῳ ἐλάττω τὴν ἀναφορὰν ἔχουσα. τοιαύτη δ᾽ ἡ ἐν τῷ ὁμαλῷ. τὸ δὲ παρ᾽ ἑκάστην πορείαν γινόμενον, γίνεται περὶ τὰ πολλά. διότι δὲ μακροὶ μὲν ὄντες οἱ περίπατοι ἐν τοῖς ὁμαλοῖς, κοπιαρώτεροι τῶν ἀνωμάλων. εἰ δὲ βραχεῖς, ἀκοπώτεροι· ἢ ὅτι ἅτε πολλὴ κίνησις ποιεῖ κόπον, ἔστι ἰσχυρὰ τοιαύτη σπασματώδης. πολλὴ δ᾽ ἡ συνεχής, καὶ μία. ἐν μὲν οὖν τοῖς ἀνάντεσιν, αἳ ἔχουσι μῆκος αἱ μεταβολαί, ποιοῦσιν ἀνάπαυσιν. ἐν δὲ τοῖς ὁμαλέσιν, ἡ ὁμοιότης τοῦ σχήματος οὐ διαλαμβάνει, ἀλλὰ συνεργάζεται πρὸς τὸ συνεχῆ τὴν κίνησιν εἶναι. ὅταν δ᾽ ἡ βραχεῖα, διὰ μὲν τὸ πλῆθος τῆς κινήσεως, οὐ γίνεται κόπος. διὰ δὲ τὴν μεταβολὴν ἰσχυρὰν οὖσαν, καὶ ἐναντίαν τῇ κάτω καὶ ἄνω, ποιεῖ κόπον. τοιαύτη δ᾽ ἡ ἐν τοῖς ἐναντίοισιν. ἐν δὲ τοῖς πεδίοις τοῦθ᾽ ὅτι θερμά τε καὶ κάθυγρα τὰ σώματα διὰ τὴν σύνταξιν. ἡ δὲ τοιαύτη διάθεσις ἀσθματική. καταπαύεται δ᾽ ὕπνοις, διὰ τὴν ἔκλυσιν. ἐν τούτῳ γὰρ τῷ σώματι μάλιστ᾽ ἄνεσις, καὶ πρὸς τὸν ἐξονδρευμένον συνεργεῖ. συμβαίνει δ᾽ αὖθις καθεύδειν μὲν μᾶλλον, τὴν δ᾽ ἴσην τροφὴν ἧττον πέττειν. καὶ διὸ ὁ ὕπνος πεπτικόν, ὅτι ἅμα τροφὴ προσαπτομένη ἔχουσι πλῆθος· ὃ καὶ αὐτὸ μέτριον ὄν, δυσπεπτότερόν ἐστι πολλῆς τροφῆς. διὸ καὶ ἀναμιγνύμενον κωλύει πέττεσθαι τὴν τροφήν. ὁ δὲ ὕπνος μᾶλλον γίνεται ἀπὸ τοῦ πλείονος ὑγροῦ καὶ θερμοῦ, καθάπερ τοῖς μεθύουσι. κελεύουσι δέ τινες τοὺς μὲν χειμερινοὺς ἀλείμματι, τοὺς δὲ θερινοὺς λουτρῷ θεραπεύειν· τοὺς μὲν διὰ τὰς μεταβολὰς καὶ φρίκας, τοὺς δὲ διὰ τὴν ξηρότητα τῆς ὥρας καθυγραίνειν. διὸ καὶ τοῖς πότοις τοῦ θέρους μᾶλλον ἀδυνὴ σιτία· κοινὸν μέν, εἰκαιότερον δὲ τῷ θέρει. διὰ γὰρ τὴν ὥραν ὑπὸ τῶν σιτίων θερμαίνεται. διότι δὲ τὰ ὑγρὰ σώματα κοπιαρώτερα τῶν μὴ ὑγρῶν· αἰσθανικώτερα γάρ. τὸ δ᾽ ἰσχυρότερον μέν, ἀπαθέστερον δέ, οὐ πρὸς ἅπασαν ἀπάθειαν τὸ σκληρόν, οἷον πρὸς θραῦσιν, ἢ κατάταξιν, ἢ θλάσιν, ἢ διάσπασιν· ἀλλὰ γλισχρότερα. ὧν ἔνια μαλακὰ καὶ ὑγρὰ τὴν φύσιν, ὁ δὲ κόπος ἐκ σπαστικῆς καὶ ἐκπληκτικῆς κινήσεως· ἐν μὲν γὰρ τῇ μεταβολῇ τῆς πορείας τοῦτ᾽ ἔχει, καὶ τὴν

ΘΕΟΦΡΑΣΤΟΥ ΠΕΡΙ ΚΟΠΩΝ.

ΕΝ ΤΙΝΙ ποθ' ὁ κόπος, τίσιν ὡς πρωτυπώτερον, ὡς ἐπίπαν ὑπέλαβε· φλεψὶ καὶ νεύροις, ἢ μόνον ἐν νεύροις. ἐπεὶ γὰρ καὶ ἡ κίνησις, ἢ ὑπερβολὴ συντήξεως διακρίνει· καὶ ἁπλῶς πόνον, οὗπερ αἰτία καὶ ὁ κόπος. διὸ καὶ ἀεὶ βαρύνεται ὁ κοπιῶν. εἰ οὖν τὸ νεῦρον μὴ δεκτικὸν ὑγρότητος, οὐκ ἂν ἐνταῦθα ὁ κόπος εἴη κατὰ φύσιν. ὁ δὲ κόπος ἐξαλλαγή τις, ἄτοπον, τὸ μὴ δι' ὧν ἡ κίνησις καὶ ὁ πόνος, ἐν τούτοις καὶ ὁ κόπος. ἀλλ' ἐκ τῆς κινήσεως συρροὴ τῆς συντήξεως εἰς αὐτὰ ταῦτα καὶ τὰς καμπὰς, ἅπερ μάλιστα βαρύνεται καὶ κοπιῶσι. λέγουσι δὲ καὶ τὰς σάρκας, καὶ ὅλον τὸ σῶμα κοπιᾷν· ὅθεν καὶ τοὺς ὀστοκόπους ὀστάγρας καλοῦσιν. εἰ δ' ἐν ὀστοῖς ὁ κόπος, πότερον ὡς κινοῦσιν ἢ κινουμένοις, ἢ ὡς συρροὴν δεχομένοις, ἢ οὐδὲν κωλύει τρόπον τινὰ ὡς ἄμφω. καὶ γὰρ κινούμενά πως, καὶ δεχόμενα κατὰ τὴν συρροήν. ὅταν γὰρ εἰς τὸ ἐντὸς διίκηται διὰ πλῆθος τοῦ πόνου, τότ' ἐν τοῖς ὀστοῖς κόπος ἐστὶ καὶ ἐν τῇ σαρκὶ, καὶ ἐν ὅλοις τοῖς σώμασιν, ὃ δὴ καλοῦσι συγκεκόφθαι, ὃ διαβάντος συμβαίνει τοῦ πόνου πρὸς ἅπαντα τὰ μέρη. καὶ μάλιστα οἷς ἄν τις ἐνεργῇ, καθάπερ τοῖς ἄνω καὶ κάτω. καὶ αὐτῶν τούτοις μορίοις ἴσοι, ὥσπερ καὶ ἐν ταῖς σκληροκοιτίαις. ὡς δ' ἁπλῶς εἰπεῖν, ἐν τοῖς καλυπτομένοις μέρεσι μάλιστα, καὶ νεύροις δ' ἴσως, ὅταν τις σύντηξις ἐπὶ τὰ νεῦρα καὶ τὰς καμπὰς ἔλθῃ, καὶ ἡ βαρύτης ἀπὸ ταύτης. διὸ καὶ οὐδεὶς πώποτε τὴν γαστέρα ἐκοπίασεν, οὐδὲ τὴν κεφαλήν. ἆρα δ' ὅταν καὶ ἄλλως πως ἡ ὑγρότης συρρυῇ, πάντως κόπος. οὐ γὰρ ἂν ἔτι διὰ τὴν κίνησιν. ἢ τοῦτο μὲν οὐκ ἀναγκαῖον, ἀλλὰ μᾶλλον πόνος τις ἀκολουθεῖ: καὶ γὰρ καθήμενοι καὶ ἑστῶτες, καὶ κατακείμενοί φασι κοπιᾷν. καὶ ἐν τῷ αὐτῷ σχήματι καὶ ἡ πίεσις ἐπίπονον· οἷον γὰρ θλίψις καὶ πάλη τις. ἀλλ' ἐνίοτε δὲ καὶ ὑπὸ πλησμονῆς καὶ ἀγρυπνίας, καὶ ὑπὸ κατάρρου φασὶ κοπιᾷν. ἅπαντα δέ πως καὶ ταῦτα πλῆθος ὑγρότητος. εἴτε γὰρ πλησμονὴ κρατοῦντος τοῦ σώματος, εἴτε ἀγρυπνία κωλύει τὴν τρίψιν. ὅτε κατάρρους, φανερά τις σύντηξις, ἢ ἁπλῶς εἰπεῖν ὑγρότης. πότερον οὖν κόπους ταῦτα, ἢ ὠμότης ἡ διάθεσις, ὥσπερ καὶ ἐκ τῶν ὕπνων συμβαίνει. βαρύνονται γὰρ διὰ τὴν σύντηξιν, ἢ οὐδὲν κωλύει διὰ πλείους αἰτίας γίνεσθαι τὸν κόπον. ἐπεὶ ἐνίοτε καὶ κατεξηραμμένου τοῦ σώματος, καὶ οὐδεμιᾶς ὑγρότητος ὑπαρχούσης, οὐδαμοῦ κοπιῶσι. καὶ μάλιστα γ' ὡς εἰπεῖν οὗτοι, πλὴν εἰ ἐν τούτοις τοῖς μέρεσι λέγει τὴν σύντηξιν ὑπάρχειν. ἐπεὶ ὅταν γ' ἁπλῶς ὑγρότητος συρροὴ γίνηται, οὐ πάντως κόπος. ὥσπερ τοῖς ὑδρωπιῶσι τοῖς ὑπὸ καθέδρας, ὧν τὰ γόνατα καὶ οἱ πόδες οἰδοῦσιν. οὐδὲ γὰρ ὅλως, ὅταν ὑγρανθῇ καὶ βαρυνθῇ τὸ σῶμα. σχεδὸν γὰρ πᾶσι τοῦτο συμβαίνει ἐν τοῖς νοτίοις. ταῦτα μὲν οὖν ἄγαν διορίσαι χαλεπόν. αἱ δὲ θεραπεῖαι δόξαιεν ἐναντίαι πως εἶναι καὶ τοῦ πάθους, καὶ ἑαυταῖς· οἷον εἴτε καθυγραίνουσαι καὶ λουτροῖς καὶ πότοις, εἴπερ ἐν ὑγρότητι καὶ συντήξει τὸ πάθος, καὶ τῷ κόπῳ λύουσι τὸν κόπον, κατὰ τὴν παροιμίαν. οὐκ εἰσὶ δ' ἐναντίαι. καὶ γὰρ μάλ' ὀξέως δεῖται τὸ κατάξηρον καὶ συντετηγμένον, καὶ πλείω τόπον ἔκκρισιν ἐποίησε τοῦ λυποῦντος, καὶ τὴν σάρκα καὶ κατὰ λύσιν. εἴτε κίνησις καὶ ὁ πόνος ἅπαν ἐξήρανε τὸ σύντηγμα, καὶ ἐξέπεψεν οὐχ ἅπασιν, οὐδὲ πάντως αἱ διὰ τοῦ παρ' ἀξίας. ἀλλ' οἷς μὴ μεγάλαι, μὴ δ' ἀπὸ μεγάλων αἱ ἀρχαί, τὰ δ' ἀντίτυπα καὶ σκληρὰ μᾶλλον ποιεῖ κόπον. καὶ ἐν πορείᾳ, καὶ ἐν δρόμῳ, καὶ ἐν κατακλίσει, καὶ ἐν καθέδρᾳ, διὰ τὸ μᾶλλον ποιεῖν πληγὴν καὶ ἐπίθεσιν, τάχα δ' ἴσως καὶ τὴν συντομίαν πλείω, κοπωδέστερον δὲ τὸ τοιοῦτο καὶ δόξειεν, ἀλλ' ἔν γε ταῖς καθέδραις καὶ ταῖς κατακλίσεσι τὸ ὑπεῖκον καὶ ἐνδιδόν, ὅταν ἅπαξ λάβῃ τὸ βάρος, οὐκ ἔτι ὑπείκει· ὥστε καὶ ταῦτα ἐχρῆν ὁμοίως ἀποπιέζειν. οὐκ ἔστι δὲ τοῦτ' ἀληθές. ἀεὶ γὰρ ἔχει πρὸς τὰ τοιαῦτα ἔνδοσιν, ὡς ἀπῆρται τῇ φύσει. καὶ ἐπεὶ δῆλον ἐν τῷ πλείονι χρόνῳ ποιεῖν ὑποκείμενον, ὅτι τοιοῦτον. τινὰ δὲ πιεσθέντα, καὶ μηδὲν ἐνδιδόντα τῇ θλίψει ποιεῖ τὸν κόπον. ἔτι κατὰ τὴν κίνησιν καὶ τὴν τροφὴν τ' ἀλλ' ἐνδιδόασι, καὶ ποιεῖ τινα μεταβολὴν τάχα. οὐ διὰ ταῦτα δέ πως, καὶ

κλον. διὸ συμβαίνει, καθάπερ ἐν τῷ αὐτῷ στρέφειν τὴν κεφαλήν. καὶ ὅσῳ δὲ ἐλάττω κύκλον μᾶλλον· ὀξύτερος γὰρ ὁ κῶνος. καὶ ἐὰν θᾶττον πλεονάκις ἐν τούτῳ γίνεσθαι ἤτοι τὸν ἴσον χρόνον· καὶ τοῖς μακροτέροις δὲ μᾶλλον, ὅσῳ ἐγκλείουσιν. ἐγγυτέρω γὰρ ἔχειν τὴν κεφαλήν, ὁ μείζων τοῦ κώνου κορυφῆς. διὸ σχεδὸν ὥσπερ ἐν τῷ αὐτῷ συμβαίνει ἴσην ἔχοντα τὴν κεφαλήν. ὅτι δὲ μάλιστα ὁ ἴλιγγος, καὶ οἱ εἰς τὰ ἀριστερὰ θέοντες. ἔτι μᾶλλον ἴσως νεύουσι, καὶ ὀξυτέραν ποιοῦσι γωνίαν πρὸς τὸν κύκλον. ἐμβριθέστερα γὰρ ὄντα τὰ δεξιά, περισπᾶται μᾶλλον αὐτοὺς διὰ τὴν ἀσθένειαν τῶν ἀριστερῶν. καὶ ἐὰν μὴ μετὰ πολλῶν θέωσι μᾶλλον, καὶ θᾶττον, ἢ μόνοι. πρὸς γὰρ τῇ κύκλῳ περιφορᾷ, καὶ ἡ ὄψις αὐτὴ προσβάλλεται τοῖς θέουσι, καὶ συνεχὲς διὰ τῶν ἐγκεφάλων, ποιεῖ τινα κίνησιν ἑτέραν, καὶ ταραχήν. ἅμα γὰρ τὰ ἔξω διαδίδοται, καὶ πρὸς τὰ ἐντός, ὥστ' ἐπεὶ καὶ ἑκάτερον ποιεῖ τὴν ἴλιγγον, οἷον ἥ τε κύκλῳ κίνησις τῆς κεφαλῆς, καὶ ἡ ὄψις συνεχῶς βλέπουσα τὸ κύκλῳ κινούμενον. ἐξ ἀμφοτέρων εὔλογον, θᾶττον καὶ μᾶλλον γίνεσθαι τὸ πάθος. ὅτι δὲ διὰ τὴν τῆς ὄψεως κίνησιν ἰλιγγιᾶν συμβαίνει, φανερὸν ἐκ πολλῶν. οἵ τε γὰρ πλέοντες θᾶττον καὶ μᾶλλον ἰλιγγιῶσιν, ὅταν ἐμβλέπωσι τοῖς κύμασι, καὶ τῇ τῶν ὅλων ἀστάτῳ κινήσει. διὸ καὶ ἐγκαλύπτονται, τοῦτ' εὐλαβούμενοι. καὶ οἱ τὰς αἰώρας καὶ τοὺς τροχοὺς θεωροῦντες, ἢ καὶ συμπεριφέροντες τὴν ὄψιν, ταχὺ σκοτοῦνται. συμβαίνει γὰρ κινουμένην κύκλῳ τὴν ὄψιν, κινεῖν τὰ ἐντός, καὶ ταράττειν ἀνωμάλως. τῶν ἰλιγγιώντων δέ, καὶ οἱ τὰ ὑψηλὰ καὶ τὰ μεγάλα καὶ ἀπότομα ἀποβλέποντες, διὰ τὸ συμβαίνειν μακρὰν ἀποτεινομένην σείεσθαι καὶ κραδαίνεσθαι τὴν ὄψιν. σειομένη δ' οὕτως καὶ κινουμένη, ταράττει καὶ κινεῖ τὰ ἐντός. ἀναβλέπουσι δὲ οὐ συμβαίνει τοῦτο, διὰ τὸ μὴ ὡς ἀποτείνειν μακράν, ἀλλ' ἀποτέμνεσθαι ἐν τῷ φωτί. γίνεται δὲ ἴλιγγος. καὶ ὅταν εἰς τοῦτο βλέπωσι συνεχῶς, καὶ ἐπατενίζωσιν. ὃ καὶ ἐπαπορεῖται, διατί ποτε κινουμένης κύκλῳ τῆς ὄψεως, καὶ ἠρεμούσης, συμβαίνει τὸ πάθος. ἄτοπον γὰρ τὸ ὑπὸ τῶν ἐναντίων. αἴτιον δὲ τοῦ μὲν ἐν τῇ κυκλοφορίᾳ τὸ εἰρημένον, τοῦ δὲ ἐν τῇ ἐπιστάσει καὶ τῷ ἀτενισμῷ, διότι τὰ ἐν τῷ κινεῖσθαι σωζόμενα λύουσι, καὶ ἡ στάσις τῆς ὄψεως διάστασις ἑνὸς μορίου, καὶ τἆλλα τὰ συνεχῆ ἐν τῷ ἐγκεφάλῳ συνίστασθαι. διϊστάμενα δὲ καὶ χωριζόμενα τὰ βαρέα, καταβαρύνει, καὶ ποιεῖ τὸν ἴλιγγον. τὰ γὰρ πεφυκότα κινεῖσθαι τὴν δὲ τὴν κίνησιν, ἄλλο τε καὶ συμμένει διὰ ταύτην. εἰ δὲ μή, καθάπερ Ἡράκλειτός φησι, καὶ ὁ κυκεὼν διΐσταται κινούμενος. ἔτι δ' ἂν καὶ τῇ κυκλοφορίᾳ τὸ αὐτὸ τοῦτ' ἀποδιδόναι. διΐσταται γὰρ ἡ δίνη. τὰ δὲ βαρέα καὶ κοῦφα δεῖ ἅμα εἶναι, τὰ μὲν εἰς τὸ μέσον ἄγουσα, τὰ δ' εἰς τὸ ἔσχατον. ποιεῖ δὲ καὶ τὸ κύπτειν ἰλίγγους διὰ τοῦτο. χωρίζεται γὰρ τὰ βαρέα, καὶ ἐλαφρά, τὰ μὲν ἄνω, τὰ δὲ κάτω. δεῖ δὲ ἅμα εἶναι, καθάπερ ἐλέχθη. ποιεῖ δὲ καὶ ἄλλα τινὰ ἐναντίωσιν, ὡς δοκεῖ * οἷον ἡ τῆς ἐνδείας καὶ τῆς πληρώσεως. ἡ μὲν γὰρ ἔνδεια σύντηξιν, ἡ δὲ πλησμονὴ περίπτωσιν ἐποίησεν, ὥστε πλήρεις γίνεσθαι τοὺς πόρους. ἀνιοῦσα γὰρ ταῦτα καταβαίνει, καὶ διΐστησι τὰς περιόδους, ὅπερ ἐστὶν ὁ ἴλιγγος. ἐπεὶ καὶ αἱ μέθαι, καὶ αἱ φαρμακεῖαι, καὶ ὅσα ἄλλα τούτοις παραπλήσια, διὰ τοῦτο ποιεῖ τοὺς ἰλίγγους. ὅθεν καὶ τὸ σημεῖον τινὲς ἐπ' ἀμφοῖν κοινὸν λαμβάνουσιν. ὅταν γὰρ μὴ δύνωνταί τινες τοὺς ἀστέρας ἢ δοκοὺς ἀριθμεῖν, τοῦ μὲν ὕπνου καὶ * τᾶσθαι τοῦ δὲ μεθύειν ἡ ἱλαρότης. ἡ ἀλλοτρία γὰρ ἐμπεπτωκυῖα, ποιεῖ τὴν ταραχήν. διὸ καὶ ἐφ' ὅσων ἄλλων συμβαίνει πνεύματος ἢ ὑγρότητος γίνεσθαί τινα * ἢ καὶ τῶν ὑπαρχόντων διάστασις, ἀεὶ πάντων συμβαίνει τοῦτο τὸ πάθος. ἀναστάμενοι δὲ μᾶλλον ἢ καθίζοντες, ἰλιγγιῶσιν· ὅτι ἠρεμούντων συνίσταται τὸ ὑγρὸν ἐν τῇ κεφαλῇ πλεῖον. ὅταν δὲ κινῶνται, σφαλερὸν γίνεται, καὶ εἰς ἓν μόνον ἀθρόον ἄγον ποιεῖ τὸν ἴλιγγον.

BIBLIOTECA NAZ. VITTORIO EMANUELE ROMA

τα. παρὰ δὲ αἰνιανίας, ὃν ἄλλοι βορρᾶν οἴονται εἶναι. Ἀπηλιώτης· οὗτος ἐν μὲν τριπόλει τῆς φοινίκης, ποταμεὺς καλεῖται. πνεῖ δὲ ἐκ πεδίου ὁμοίου ἅλωνι μεγάλῃ, περιεχομένου ὑπό τε τῆς λιβάνου καὶ τῆς βαπύρου ὄρους. διὸ καὶ ποταμεὺς καλεῖται. ἐνοχλεῖ δὲ καὶ περὶ ποσειδώνιον. ἐν δὲ τῷ ἰσσικῷ κόλπῳ, καὶ περὶ ῥωσσὸν, συριάδης. πνεῖ δὲ ἀπὸ τῶν συρίων πυλῶν, ἃς διείργει ὅ, τε ταῦρος καὶ ταυρόσια ὄρη. ἐν δὲ τῷ τριπολιτικῷ κόλπῳ ὁ μαρσεὺς, ἀπὸ μάρσου κώμης. ἐν δὲ πελοποννήσῳ, καὶ ἐν τήνῳ, καὶ ἐν κρήτῃ, καὶ εὐβοίᾳ, καὶ κυρήνῃ, ἑλλησποντίας. μάλιστα δὲ ἐνοχλεῖται τε τῆς εὐβοίας καφηρέα, καὶ τὸν κυρηναῖον λιμένα, καλούμενον δὲ ἀπολλωνίαν. πνεῖ δὲ ἀφ' ἑλλησπόντου. ἐν δὲ σινώπῃ, βιθυνίας, ἀπὸ τῶν περὶ φρυγίαν τόπων πνέων. ἐν δὲ σικελίᾳ, καταπορθμίας, πνέων ἀπὸ τοῦ πορθμοῦ. τινὲς δὲ αὐτὸν καικίαν οἴονται εἶναι, θηβαίαν προσαγορεύοντες. Εὖρος· οὗτος ἐν μὲν αἰγαῖς ταῖς περὶ συρίαν, σκοπελεὺς καλεῖται, ἀπὸ τοῦ ῥωσσίου σκοπέλου. ἐν δὲ κυρήνῃ, καρβᾶς, ἀπὸ τῶν καρβανῶν τῶν περὶ φοινίκην. διὸ καὶ τὸν αὐτὸν φοινικίαν καλοῦσί τινες. εἰσὶ δὲ οἳ καὶ ἀπηλιώτην νομίζουσιν εἶναι. ὀρθόνοτον ὥσπερ οἱ μὲν εὖρον, οἱ δὲ ἀμνία προσαγορεύουσι.

Νότος δὲ ὁμοίως παρὰ πᾶσι καλεῖται. τὸ δὲ ὄνομα, διὰ τὸ νοσώδη εἶναι. ἔξω δὲ κάθυμβρον, κατ' ἀμφότερα δὲ νότον. Λευκόνοτος· τὸ δὲ ὄνομα ἀπὸ τοῦ συμβαίνοντος. λευκαίνεται γάρ. Λίψ· καὶ οὗτος τὸ ὄνομα ἀπὸ λιβύης, ὅθεν πνεῖ. Ζέφυρος· καὶ οὗτος τόδε τὸ ὄνομα, διὰ τὸ ἀφ' ἑσπέρας πνεῖν. ὁ δὲ ἑσπέρα ἰάπυξ, οὗτος ἐν τάραντι. Σκυτυλῖνος, ἀπὸ χωρίου σκυλαντίμου.† καταδυόμενος τοῦ φρυγίας. ὑπὸ δέ τινων, φαραγγίτης· πνεῖ γὰρ ἔκ τινος φάραγγος τῶν περὶ τὸ πάγγαιον. παρὰ πολλοῖς δέ, ἀργέστης. Θρακίας· περὶ μὲν θρᾴκην, στρυμονίας· πνεῖ γὰρ ἀπὸ τοῦ στρυμόνος ποταμοῦ. περὶ δὲ τὴν μεγαρικὴν, σκίρρων, ἀπὸ τῶν σκιρρωνίδων πετρῶν. ἐν δὲ ἰταλίᾳ καὶ σικελίᾳ, κίρκιας, διὰ τὸ πνεῖν ἀπὸ τοῦ κιρκαίου. ἐν δὲ εὐβοίᾳ καὶ λέσβῳ ὀλυμπίας· τὸ δὲ ὄνομα ἀπὸ τοῦ πιερικοῦ ὀλύμπου. ὀχλεῖ δὲ πυρραίους. ὑπογέγραφα δέ σοι καὶ τὰς θέσεις αὐτῶν, ὡς κεῖνται, καὶ πνέουσιν, ὑπογράψας τὸν τῆς γῆς κύκλον, ἵνα καὶ πρὸ ὀφθαλμῶν σοι τεθῶσι.

ΘΕΟΦΡΑΣΤΟΥ ΠΕΡΙ ἸΛΙ΄ΓΓΩΝ.

Οἱ ἴλιγγοι γίνονται, ὅταν ἢ πνεῦμα ἀλλότριον περὶ τὴν κεφαλὴν ἔλθῃ, ἢ ὑγρότης περιττωματικὴ ἢ ἀπὸ τροφῆς γένηται, οἷον ἢ τῆς οἴνου, ἢ καὶ ἄλλου τινὸς χυλοῦ ἢ ῥίζης, ὅταν κινῆται κύκλῳ τῇ κεφαλῇ. ὁ γὰρ τόπος ὁ περὶ τὸν ἐγκέφαλον, φύσει μὲν ὑγρὸς ὤν. ὅταν δ' ἔλθῃ τι πνεῦμα ἀλλότριον, βιάζεται διακλυόμενον, καὶ πρὸς τὰς φλέβας ὠθεῖ κύκλῳ τὸ ὑπάρχον ὑγρόν· ὥστε τρόπον τινὰ τὸ αὐτὸ συμβαίνει, κἂν τις περιαγείσῃ κύκλῳ κινῇ τὴν κεφαλήν. οὐδὲν γὰρ διαφέρει, ἔξωθεν ἢ ἔσωθεν εἶναι τὸ κινοῦν, ὥστε οἷον δίνης τινὸς τῆς φορᾶς τοῦ ὑγροῦ μὴ συνεχοῦς ὁμοίως. ἀλλ' ἐν τῇ κινήσει τοῦ μὲν ὑστεροῦντος, τοῦ δὲ προτεροῦντος, τὸ ὑφιστάμενον ἀντικρούειν ἴσωσι. τὸ δ' ἱστάμενον διὰ τὸ μὴ ἰσορροπεῖν ὁμοίως αὐτῷ ἢ ἂν ῥέῃ, ταύτῃ φέρεται, καὶ τὸν ἴλιγγον ποιεῖ καὶ κατὰ * πολλάκις. αἴτιον δὲ τοῦ μὴ δύνασθαι τὰ ὑγρὰ ῥᾳδίως στρέφεσθαι, καὶ δινεῖσθαι διὰ τὴν λεχθεῖσαν αἰτίαν, ὅτι οὐ συνεχῆ. παραπλήσιον γὰρ τὸ συμβαῖνον, ὥσπερ ἐν τοῖς ὠοῖς τοῖς ὠμοῖς. οὐδὲ γὰρ ταῦτα δύναται δινεῖσθαι διὰ τὴν ὑγρότητα. τὰ δ' ἑφθὰ δύναται, διὰ τὸ μὴ ἔχειν τὸ σφάλλον ὑφιστάμενον, ἑνὸς ὄντος καὶ συνεχοῦς. αἱ μὲν οὖν αἰτίαι σχεδὸν αὗται, καὶ τοιαῦται τοῦ πάθους. ἀφ' ὧν δὲ συμβαίνει γίνεσθαι τοῖς καθ' ἕκαστα, περὶ ὧν ἀποροῦσι, πρὸς ταῦτα ἀνάγειν πειρατέον· οἷον διότι κύκλῳ περιπατοῦντες ἰλιγγιῶσι. καὶ ἔτι μᾶλλον, καὶ ὅσῳ ἂν ἐλάττω κύκλον καὶ θᾶττον θέωσι σφοδρότερον, κἂν μετὰ πολλῶν ἢ μόνον, καὶ ἐπ' ἀριστερὰ θέοντες μᾶλλον· καὶ οἱ μακρότεροι δὲ μάλιστα. πάντων γὰρ τούτων καὶ ἔτι ἄλλων τοιούτων, ἐν τοῖς πρότερον εἰρημένοις αἰτιᾶται. ἅπερ γὰρ ὁ ἴλιγγος γίνεται, ἐὰν ἐν τῷ αὐτῷ στρέφοιτο τάχιστ' ἂν καὶ μάλιστα τῶν λοιπῶν ἰλιγγιῴη ὁ ἐγγυτάτω, ἢ ὁ ἐν ἐλάττονι κύκλῳ στρέφων, καὶ ὅσῳ ἂν θᾶττον μᾶλλον· διότι οἱ θέοντες τῶν περιπατούντων, καὶ οἱ ταχέως τῶν βραδέως. θέουσι γὰρ οἱ * πρὸς τὸ κέντρον. ὡς ὅταν κατ' εὐθὺ τὰ μήκη αὐτῶν ἐκπίπτῃ, πρὸς μίαν κορυφὴν συνάπτει, καὶ γίνεται κῶνον· βάσιν δ' εἶναι τὸν κύ-

ΠΕΡΙ ΕΥ̓ΔΙΑΣ ΣΗΜΕΙΩΝ.

Εὐδίας δὲ σημεῖα τάδε. ἥλιος μὲν ἀνίσχων λαμπρὸς, καὶ μὴ καυματίας, καὶ μὴ ἔχων σημεῖον μηδὲν ἐν ἑαυτῷ, εὐδίαν σημαίνει. ὡς δὲ αὔτως σελήνη πανσέληνος. καὶ δυόμενος ἥλιος χειμῶνος εἰς καθαρὸν εὐδιεινός, ἐὰν μὴ ταῖς προτέραις ἡμέραις εἰς μὴ καθαρὸν δεδυκὼς ᾖ τῆς εὐδίας. ἔτι δὲ ἄδηλον, καὶ ἐὰν χειμάζοντος ἡ δύσις γίνηται εἰς καθαρόν, εὐδιεινόν. καὶ ἐὰν δύνων χειμῶνος ὠχρὸς ᾖ ἐν εὐδίᾳ σημαίνει. καὶ ὁ μεὶς ἐὰν τριταῖος ὢν λαμπρὸς ᾖ, εὐδιεινόν. καὶ ἡ τῆς ὄνου φάτνη, ὅτι ἂν καθαρὰ καὶ λαμπρὰ φαίνηται, εὐδιεινόν. ἅλως δὲ, ἐὰν ὁμαλῶς παγῇ καὶ μαρανθῇ, εὐδίαν σημαίνει. αἱ κοιλάδες νεφέλαι χειμῶνος, εὐδιειναί. ὄλυμπος δὲ καὶ ἄθως, καὶ ὅλως τὰ ὄρη τὰ σημαντικὰ, ὅταν τὰς κορυφὰς καθαρὰς ἔχωσιν, εὐδίαν σημαίνει. καὶ ὅταν τὰ νέφη πρὸς τὴν θάλασσαν αὐτῇ παράζωνται, εὐδιεινόν. καὶ ὅταν ὕσαντος πρὸς δυσμὰς χαλκώδη τὰ νέφη χρῶμα ἔχῃ· εὐδία γὰρ ὡς τὰ πολλὰ τῇ ὑστεραίᾳ. ὅταν δὲ ὁμίχλη γίνηται, ὕδωρ οὐ γίνεται, ἢ ἔλαττον. ὅταν γέρανοι πέτωνται, καὶ μὴ ἀνακάμπτωσιν, εὐδίαν σημαίνει. οὐ γὰρ πέτονται, πρὶν ἂν τὰ πετόμενα καθαρὰ ἴδωσι. γλαὺξ ἡσυχαῖον φθεγγομένη ἐν χειμῶνι, εὐδίαν προσημαίνει· καὶ νύκτωρ χειμῶνος ἡσυχαῖον ᾄδουσα. θαλαττία δὲ γλαὺξ ᾄδουσα χειμῶνος μὲν εὐδίαν σημαίνει, εὐδίας δὲ χειμῶνα· καὶ κόραξ δὲ μόνος μὲν ἡσυχαῖον κράζων. καὶ ἐὰν τρὶς κράξας, μετὰ ταῦτα πολλάκις κράξῃ, εὐδιεινός. καὶ κορώνη ἕωθεν εὐθὺς ἐὰν κράξῃ τρὶς, εὐδίαν σημαίνει, καὶ ἑσπέρας χειμῶνος ἡσυχαῖον ᾄδουσα. καὶ ὄρχιλος ἐκ τῶν ὀπῶν ἐκπετόμενος, καὶ ἐκ τῶν ὀρνίων, καὶ ἐκ τῆς οἰκίας ἔξωθεν, εὐδίαν σημαίνει. καὶ ἐὰν χειμῶνος βορείου ὄντος, βόρραθεν ὑπολαμπὴς γίνηται λευκὴ νότοθεν. νότοθεν δὲ, ἐὰν περιφερομένη ἡ νεφέλη ὀγκώδης ὡς ἐπὶ τὸ πολὺ, εἰς εὐδίαν σημαίνει μεταβολήν. καὶ ὅταν βορέας νεφέλας πολλὰς κινῇ ἐκ πνέων μέγας, εὐδίαν σημαίνει. πρόβατα ἐπὶ ὀχευόμενα, εὐδιεινὸν ἀποτελοῦσι τὸ σημεῖον. καὶ βοῦς ἐπὶ τὸ ἀριστερὸν ἰσχίον κατακλινόμενος, εὐδίαν σημαίνει. καὶ κύων ὡσαύτως. ἐπὶ δεξιὸν δὲ, χειμῶνα. τέττιγες πολλοὶ γινόμενοι, νοσώδες τὸ ἔτος σημαίνουσι. λύχνος χειμῶνος καιόμενος ἡσυχαῖος, εὐδίαν σημαίνει. καὶ ἐὰν ἐπ' ἄκρον οἷον κέγχρους ἔχῃ λαμπροὺς, καὶ ἐὰν ἐν κύκλῳ τὴν μύξαν περιγράφῃ λαμπρὰ γραμμή. ὁ τοῦ σχοίνου καρπὸς, σημαίνει τοὺς ἀρότους. ἔχει δὲ τρία μέρη. καὶ ἔστιν ὁ πρῶτος τοῦ πρώτου ἀρότου σημεῖον, ὁ β' τοῦ β', ὁ γ' τοῦ γ'. καὶ ὡς ἂν τοῦτον κρίνῃ, κάλλιστα καὶ γίνεται ἀδρότατος, οὕτως ἕξει καὶ ὁ κατὰ τοῦτον ἄροτος. λέγεται δὲ καὶ τοιάδε σημεῖα, ὅλου τε τοῦ ἐνιαυτοῦ γίνεσθαι καὶ τοῦ μορίου. ἐὰν ἀρχομένου τοῦ χειμῶνος ζόφος ᾖ, καὶ καύματα γίνηται, καὶ τὰ ὕδατα ὑπὸ ἀνέμων διαλυθῇ, πρὸς τὸ ἔαρ σημαίνει χάλαζαν ἐσομένην. καὶ ἐὰν μετὰ τὴν ἐαρινὴν ἰσημερίαν ὁμίχλαι πίπτωσι, πνεύματα καὶ ἀνέμους σημαίνουσιν εἰς ἕβδομον μῆνα ἀμφοτέρων ἀριθμουμένων. ὅσαι μὲν ἅμα νουμηνίᾳ τῇ σελήνῃ πίπτουσιν, αὗται μὲν πνεύματα σημαίνουσιν εἰς ἐκεῖνον τὸν χρόνον. ὅσαι δὲ ἀμφικύρτου οὔσης τῆς σελήνης, ὕδατα. καὶ ὅσῳ ἂν μᾶλλον ἐφ' ἑκατέρου τοῦ σχήματος ὁμίχλαι πίπτωσι, μᾶλλον τὰ εἰρημένα σημαίνει. σημαίνει δὲ καὶ τὰ πνεύματα ἅμα ταῖς ὁμίχλαις ἐπιπιπτούσαις γινόμενα, καὶ ἐὰν μὲν ἀπ' ἠοῦς καὶ μεσημβρίας γίνηται τὰ πνεύματα, ὕδατα σημαίνει. ἐὰν δὲ ἀφ' ἑσπέρας καὶ ἀπὸ τῆς ἄρκτου, πνεύματα καὶ ψύχη. οὓς δὲ κομήτας αἰγύπτιοι λέγουσιν, οὐ μόνον τὰ προειρημένα σημεῖα ὅταν φαίνωνται, ἀλλὰ καὶ ψύχη. τοῖς δὲ ἄστροις ἔοικεν, ὡς ἐπὶ τὸ πολὺ σημαίνειν. καὶ ταῖς ἰσημερίαις καὶ τροπαῖς, οὐκ ἐπ' αὐταῖς ἄλλαις, ἢ πρὸ αὐτῶν ἢ ὕστερον μικρόν.

ΑΝΕΜΩΝ ΘΕΣΕΙΣ ΚΑΙ ΠΡΟΣΗΓΟΡΙΑΙ ἐκ τῶν Ἀριστοτέλους περὶ σημείων.

Βορρᾶς οὗτος ἐν μὲν μαλλῷ, πατρεύς. πνεῖ γὰρ ἀπὸ κρημνῶν μεγάλων, καὶ ὀρῶν διὰ τῶν παραλλήλων κειμένων, ἃ καλεῖται πατρικά. ἐν δὲ καύνῳ, μέσης. ἐν δὲ ῥόδῳ, καυνίας. πνεῖ γὰρ ἀπὸ καύνου, ἐνοχλῶν τὸν λιμένα αὐτῶν τὸν ἀκανθίαν. ἐν δὲ ὀλβίᾳ τῇ κατὰ μυκάλην καὶ παμφυλίας, γαυρεύς. πνεῖ γὰρ ἀπὸ νήσου, ἣ καλεῖται γαυρίς. ἔνιοι δὲ αὐτὸν βορρᾶν οἴονται εἶναι, ἐν οἷς καὶ λυρναττεῖς οἱ κατὰ φασηλίδα. Καικίας οὗτος ἐν μὲν λέσβῳ καλεῖται θηβαικός. πνεῖ γὰρ ἀπὸ θήβης πεδίου, τῆς ὑπὲρ τὸν ἐλαϊτικὸν κόλπον τῆς μυσίας. ἐνοχλεῖ δὲ τὸν μιτυληναίων λιμένα, μάλιστα δὲ τὸν μαλόεν-
τα. περὶ

τῶν μὴ εἰωθότων λευκῶν, χειμῶνα μέγαν σημαίνουσιν. ὥσπερ καὶ μέλανες, ἐὰν πολλοὶ φανῶσιν, ὕδωρ. καὶ ἐὰν ἐκ πελάγους ὄρνιθες φεύγωσι, χειμῶνα σημαίνουσι. καὶ αἰθ᾽, ἐὰν οἰκίᾳ οἰκουμένῃ φθεγγόμενος, χειμέριον. ὅσα ὕδωρ σημαίνει, χειμῶνα ἄγει ἐὰν μὴ ὕδωρ, χιόνα καὶ χειμῶνα. κόραξ φωνὰς πολλὰς μεταβάλλων, χειμῶνος, χειμέριον. κολοιοὶ ἐκ τοῦ νότου πετώμενοι, καὶ τολύβιδες, χειμέριαι. φωνὴ ἐν λιμένι ἀψοφοῦσα, καὶ πολύποδες ἔχουσα, χειμέριον. καὶ οἱ πνεύμονες οἱ θαλάττιοι, ἐὰν πολλοὶ φαίνωνται ἐν τῷ πελάγει, χειμερινοῦ ἔτους σημεῖον. πρόβατα ἐὰν πρωῒ ὀχεύηται, πρώϊον χειμῶνα σημαίνουσι. μετοπώρου ἐὰν πρόβατα ἢ βόες ὀρύττωσι, καὶ κοιμῶνται ἀθρόοι πρὸς ἀλλήλους ἔχοντες τὰς κεφαλάς, τὸν χειμῶνα χειμέριον σημαίνει. ἐν δὲ τῷ πόντῳ φασίν, ὅταν ἀρκτοῦρος ἀνατέλλῃ, θᾶττον ἐναντίους τῷ βορρᾷ νέμεσθαι. βόες μᾶλλον ἐσθίοντες τοῦ εἰωθότος, καὶ ἐπὶ τὸ δεξιὸν κατακλινόμενοι, χειμέριον. καὶ ὦτα κρούων ὄνος, χειμέριον. καὶ μαχόμενα πρόβατα καὶ ὄρνιθες περὶ σίτου παρὰ τὸ ἔθος προπαρασκευάζονται γάρ. καὶ μύες τρίζοντες καὶ ὀρχούμενοι, χειμέριον. καὶ κύων τοῖς πολλοῖς ὀρύττουσα καὶ ὀλολύγων ᾄδουσα μόνη ἀκρωρείας, χειμέριον. γῆς ἔντερα πολλὰ φαινόμενα, χειμῶνα σημαίνει. καὶ ἐὰν πυρὸν μὴ θέλῃ σκέψασθαι, χειμέριον. καὶ ἐὰν λύχνος ἅπτεσθαι μὴ ἐθέλῃ, χειμῶνα σημαίνει. καὶ τέφρα πηγνυμένη, νιφετόν. λυχνίας, εὐδίας ἡσυχαῖος καιόμενος, χειμῶνα σημαίνει. καὶ ἐὰν χειμῶνος ὄντος μύκαι μέλαιναι ἐπιγίνωνται, χειμῶνα σημαίνει. καὶ ἐὰν ὥσπερ κέγχροις πολλοῖς κατάπλεως ᾖ, χειμερίσει. καὶ ἐὰν κύκλῳ περὶ τὸ λαμπρὸν ὦσιν εὐδίας οὔσης, χιονικόν. ἡ τῶν ὄνων φάτνη, ἐὰν συνίσταται καὶ ζοφερὰ γίνεται, χειμῶνα σημαίνει. καὶ ἐὰν ἀστραπὴ λαμπρὰ μὴ ἐν τῷ αὐτῷ μένῃ, χειμέριον. ἐπὶ πλειάδι δυομένῃ ἐὰν λάμψῃ πάρνηθα, καὶ βριλήττον, καὶ ὑμηττόν, ἐὰν δὲ ἅπαντα καταλάμψῃ, μέγαν χειμῶνα σημαίνει. ἐὰν δὲ τὰ δύο, ἐλάττω. ἐὰν δὲ πάρνηθα μόνον, εὐδινόν. καὶ ἐὰν χειμῶνος ὄντος νεφέλη μακρά, ἐπὶ τοῦ ὑμηττοῦ ἢ χειμῶνος ἐπίτασιν σημαίνει. ἄθως καὶ ὄλυμπος, καὶ ὅλως ὀρέων κορυφαὶ κατεχόμεναι ὑπὸ νεφελῶν, χειμέριον. ἐὰν εὐδίας γινομένης νεφέλιον φαίνηται ἐν τῷ ἀέρι παρατεταμένον καὶ ἐλλόμενον, ὕπω παύεται ὁ χειμών. ἐὰν τὸ μετόπωρον εὔδιον παρὰ τὸ εἰκὸς γίνηται, τὸ ἔαρ γίνεται ψυχρὸν ὡς τὰ πολλά. ἐὰν πρωῒ χειμάζειν ἄρξηται, πρωῒ παύεται καὶ ἔαρ καλόν. ἐὰν δὲ τοὐναντίον, καὶ ἔαρ ὀ γίνεται. ἐὰν χειμὼν ὑέτιος, τὸ ἔαρ αὐχμηρόν. ἐὰν δὲ αὐχμηρὸς ὁ χειμών, τὸ ἔαρ καλόν. ἐὰν ἡ σκωρία γίνεται ἐπίξηρος, τὰ πολλὰ γίνεται τοῖς προβάτοις λιμός. ἐὰν τὸ ἔαρ καὶ τὸ θέρος ψυχρὰ γίνηται, ἥ τε ὀπώρα γίνεται, καὶ μετόπωρον πνιγηρόν, καὶ οὐκ ἀνεμῶδες. οἱ πρῖνοι ἐὰν εὐκαρπῶσι, χειμῶνες πολλοὶ σφόδρα γίνονται. ἐὰν ἐπὶ κορυφῆς ὄρους νέφος ὀρθὸν στῇ, χειμῶνα σημαίνει. ὅθεν καὶ Ἀρχίλοχος ἐποίησε, γλαῦχ᾽ ὅρα· βαθὺς γὰρ ἤδη κύμασι ταράσσεται πόντος, ἀμφὶ δὲ ἄκρας ὀρθὸν ἵσταται νέφος· ὅ ἐστι σημεῖον χειμῶνος. ἐὰν ὁ πόμαχος ᾖ ὑμένι λευκῷ, χειμέριον. ὅταν ἐναντίων νεφῶν ἕτερα ἐπιφέρηται, τὰ δὲ ἠρεμῇ, χειμέρια. * ἐὰν χειμῶνος διαλάμψας πάλιν ἀποκρυφθῇ, καὶ τοῦτο ποιήσῃ δίς, ἢ τρίς, ἡμέρα χειμερία δίεισιν. ὁ τῆς ἐρημοῦ ἀστὴρ χειμῶνος μὲν φαινόμενος, ψύχη σημαίνει· θέρους δέ, καῦμα. ὅταν μέλιτται μὴ ἀποπέτωνται μακράν, ἀλλ᾽ αὐτοῦ ἐν τῇ εὐδίᾳ πέτωνται, χειμῶνα ἐσόμενον σημαίνει. λύκος ὠρυόμενος, χειμῶνα σημαίνει. λύκος τριῶν ἡμερῶν, ὅταν πρὸς τὰ ἔργα ὁρμᾷ, ἢ εἴσω, χειμῶνος ὥρᾳ ἢ χειμῶνα σημαίνει εὐθύς. ἔστι δὲ σημεῖον χειμώνων μεγάλων, καὶ ὄμβρων, καὶ ὅταν γίνωνται ἐν τῷ μετοπώρῳ πολλοὶ σφῆκες, καὶ ὅταν ὄρνιθες λευκοὶ πρὸς τὰ ἐργάσιμα πλησιάζωσι· καὶ ὅλως τὰ ἄγρια θηρία ἐὰν πρὸς τὰ ἐργάσιμα. βόρειον καὶ χειμῶνος μέγεθος σημαίνει. τὸ πάρνηθος, ἐὰν τὰ πρὸς ζέφυρον ἄνεμον καὶ τὰ πρὸς φυλῆς φράττηται νέφεσι βορείων ὄντων, χειμέριον τὸ σημεῖον. ὅταν πνίγη γίνηται τὰ πολλὰ ἰσχυρῶς, ἀνταποδίδωσι καὶ γίνεται χειμὼν ἰσχυρός. ἐὰν ὕδατα ἐαρινὰ πολλὰ γίνηται, καύματα ἰσχυρὰ ἐν τοῖς πεδινοῖς καὶ κοίλοις γίνεται. δεῖ οὖν τὴν ἀρχὴν ὁρᾶν, ἐὰν τὸ μετόπωρον εὔδιον γίνηται σφόδρα, ἔαρ ὡς τὰ πολλὰ γίνεται ψυχρόν. ἐὰν δὲ τὸ ἔαρ ὄψιον γίνηται καὶ ψυχρόν, ἡ ὀπώρα ὀψία γίνεται, καὶ μετόπωρον ὡς τὰ πολλὰ πνιγηρόν. οἱ πρῖνοι ὅταν εὐκαρπῶσι σφόδρα, ὡς μὲν τὰ πολλὰ χειμῶνα ἰσχυρὸν σημαίνουσιν· ἐνίοτε δὲ καὶ αὐχμούς φασι γίνεσθαι. καὶ ἐάν τις ἀσπάλακα * λαβὼν ὑποπτύσας ἄργιλον εἰς πιθακνὴν θῇ, σημαίνει ταῖς φωναῖς, εἰς ἀφίησιν ἄνεμον, καὶ εὐδίαν. καὶ τὸ πανταχοῦ δὲ λεγόμενον σημεῖον δημόσιον χειμέριον, ὅταν μύες περὶ φορυτὸν μάχωνται, καὶ φέρωσιν.

πνεύματος γαλήνη γίνεται, μεταβολὴν πνεύματος ἢ ἐπίδοσιν. ἐὰν ἄκραι μετέωροι φαίνωνται, ἢ αἱ νῆσοι ἐκ μιᾶς πλείους, νοτίαν μεταβολὴν σημαίνει. γῆ τε μέλαινα, Βόρειον· ὑποφαινομένη λευκὴ δὲ, νότιον. αἱ ἅλωνες περὶ τὴν σελήνην πνευματώδεις μᾶλλον ἢ περὶ ἥλιον. σημαίνουσι δὲ πνεῦμα, ῥαγεῖσαι περὶ ἀμφοῖν· καὶ ᾗ ἂν ῥαγῇ, ταύτῃ πνεῦμα, ἐπὶ νεφελῶν. ὅθεν ἂν ἀνατέλλῃ, ἐντεῦθεν ἄνεμος. αἱ κηλάδες νεφέλαι θέρους, ἄνεμον σημαίνουσιν. ἐὰν ἀστραπῇ πανταχόθεν γίνονται, ὕδωρ σημαίνει. καὶ ὅθεν ἂν αἱ ἀστραπαὶ πυκναὶ γίνωνται, ἐντεῦθεν πνεύματα γίνεται. θέρους, ὅταν ἀστραπαὶ καὶ βρονταὶ γίνωνται, ἐντεῦθεν πνεύματα γίνεται ἰσχυρά. ἐὰν μὲν σφόδρα καὶ ἰσχυρὸν ἀστράπτῃ, θᾶττον καὶ σφοδρότερον πνεύσουσιν· ἐὰν δὲ ἠρέμα καὶ μανῶς κατ' ὀλίγον. τοῦ δὲ χειμῶνος καὶ φθινοπώρου, τοὐναντίον· παύουσι γὰρ τὰ πνεύματα αἱ ἀστραπαί· καὶ ὅσῳ ἂν ἰσχυρότεραι γίνωνται ἀστραπαὶ καὶ βρονταί, τοσούτῳ μᾶλλον παύονται. τοῦ δὲ ἔαρος ἧττον ἂν τοιαῦτα σημεῖα λέγοι, ὥσπερ καὶ χειμῶνος. ἐὰν νότου πνέοντος, Βορρᾶθεν ἀστράπτῃ, παύεται. ἐὰν ἕωθεν ἀστραπαῖος, ἕωθεν παύεται τριταῖος· οἱ δὲ ἄλλοι πεμπταῖοι, ἑβδομαῖοι, ἐνναταῖοι. οἱ δὲ δειλινοί, ταχὺ παύονται. οἱ Βορέαι παύονται ὡς ἐπὶ τὸ πολὺ ἐν περιτταῖς, οἱ δὲ νότιοι ἐν ἀρτίαις. ἄνεμοι αἴρονται ἅμ' ἡλίῳ ἀνατέλλοντι, καὶ σελήνῃ. ἐὰν ἀνατέλλων ὁ ἥλιος καὶ σελήνη παύσωσιν, ἐπιτείνει τὰ πνεύματα. χρονιώτερα δὲ καὶ ἰσχυρότερα τὰ πνεύματα γίνεται, τὰ ἡμέρας ἢ νύκτωρ ἀρχόμενα. ἐὰν ἐτησίαι πολὺν χρόνον πνεύσωσι, καὶ μετόπωρον γίνεται αὐχμῶδες, ὁ χειμὼν ἠνέμιος γίνεται· ἐὰν δὲ ἐναντίως, καὶ ὁ χειμὼν ἐναντίος. περὶ κορυφὰς ὄρους ὁπόθεν ἂν νεφέλη μηκύνηται, ταύτῃ ἄνεμον πνευσεῖται. αἱ νεφέλαι ἐκ τῶν ὄπισθεν προσίζουσαι, καὶ ὄπισθεν πνευσοῦνται. ὁ μέλας διεζωσμένος νότιος. καὶ ὅλως τὰ ὄρη διεζωσμένα, νότια ὡς τὰ πολλά. οἱ κομῆται ἀστέρες ὡς τὰ πολλά, πνεύματα σημαίνουσιν. ἐὰν δὲ πολλοί, καὶ αὐχμόν. μετὰ χιόνα νότος, μετὰ πάχνην Βορέας εἰώθασι πνεῖν. μύκητες ἐπὶ λύχνου, νότιον πνεῦμα, ἢ ὕδωρ σημαίνουσιν. αἱ δὲ στάσεις τῶν πνευμάτων, οὕτως ἔχουσιν, ὡς ἐν τῷ γράμματι διώρισται.

Τῶν δὲ ἀνέμων ἔτι πνεύσουσι τοῖς ἄλλοις ἐπιπίπτουσι μάλιστα, ἀπαρκτίας, θρακίας, ἀργέστης. ὅταν δὲ μὴ ὑπὸ ἀλλήλων διαλύωνται τὰ πνεύματα, ἀλλὰ αὐτὰ καταμαραίνωσι, μεταβάλλουσιν εἰς τοὺς ἐχομένους ἐπὶ δεξιά, ὥσπερ ἡ τοῦ ἡλίου ἔχει φορά. ὁ νότος ἀρχόμενος, ξηρός· τελευτῶν δὲ, ὑγρός. καὶ ὁ εὖρος. ὁ δὲ ἀπηλιώτης, ἀπὸ ἀνατολῆς ἰσημερινῆς ὑδατώδης· διὰ λεπτῶν δὲ ἄγει τὰ ὕδατα. ὑγροὶ δὲ μάλιστα, ὅ, τε καικίας καὶ λίψ. χαλαζώδεις δὲ ἀπαρκτίας, καὶ θρακίας, καὶ ἀργέστης· νιφετώδεις δὲ ὅ, τε μέσης, ἢ Βορέας καὶ ἀπαρκτίας. καυματώδεις δὲ, νότος καὶ ζέφυρος καὶ εὖρος. οἱ μὲν, οἷς ἂν ἐκ πελάγους προσπίπτωσιν· οἱ δὲ, οἷς ἐὰν διὰ γῆς. δασύνουσι δὲ οὐρανὸν νέφεσι, καὶ καλύπτουσι, καικίας μάλιστα, εἶτα λίψ. καὶ οἱ μὲν ἄλλοι ἄνεμοι ἀφ' ἑαυτῶν τὰ νέφη ὠθοῦσι, καικίας δὲ μόνος πνέων εἰς ἑαυτόν. αἴθριοι δὲ μάλιστα, θρακίας καὶ ἀργέστης, καὶ τῶν λοιπῶν ἀπαρκτίας. ἐκνεφίαι δὲ μάλιστα, ὅ, τε ἀπαρκτίας, καὶ ὁ θρακίας, καὶ ὁ ἀργέστης. γίνονται δὲ ἐκνεφίαι, ὅταν εἰς ἀλλήλους ἐμπίπτωσι πνέοντες, μάλιστα μὲν μετοπώρου, τοῦ δὲ λοιποῦ ἔαρος. ἀστραπαῖος δὲ θρακίας καὶ ἀργέστης, καὶ ἀπαρκτίας καὶ μέσης. ἐὰν ἐν τῇ θαλάσσῃ πάπποι φέρωνται πολλοί, οἱ γινόμενοι ἀπὸ τῶν ἀκανθῶν, ἄνεμον σημαίνουσιν ἔσεσθαι μέγαν. ὅθεν ἂν ἀστέρες διάττωσι πολλοί, ἄνεμον ἐντεῦθεν· ἐὰν δὲ πανταχόθεν, ὁμοίως πολλὰ πνεύματα σημαίνουσι. πνευμάτων μὲν οὖν σημεῖα, ταῦτα.

ΠΕΡΙ ΣΗΜΕΙΩΝ
χειμῶνος.

ΧΕιμῶνος δὲ, τάδε. ἥλιος δυόμενος εἰς μὴ καθαρόν. καὶ ὡς ἂν μαρανθῇ δυόμενος, οὕτως αἱ ἡμέραι ἐπιτελοῦνται. οἷον εἰ τὸ τρίτον μέρος ἀπολειφθῇ, ἢ τὸ ἥμισυ σελήνιον, ἐὰν ὀρθὸν ᾖ, μέχρι τετράδος. καὶ εἰ δύσκυκλον, χειμάσει μέχρι διχοτόμου. γέρανοι, ἐὰν πρωῒ πέτωνται, καὶ ἀθρόοι, πρωῒ χειμάσει· ἐὰν δὲ ὀψὲ καὶ πολὺν χρόνον, ὀψὲ χειμάσει· καὶ ἐὰν ἀναστρέφωσι πετόμενοι, χειμῶνα σημαίνουσι. χῆνες βοῶντες μᾶλλον, ἢ περὶ σῖτον μαχόμενοι, χειμέριον. σπίνος, στρουθὸς, σπίζων ἕωθεν χειμέριον. ὄρχιλος, ὡς εἰσιὼν καὶ εἰσδυόμενος εἰς ὀπάς, χειμῶνα σημαίνουσι· καὶ ἐριθεὺς ὡσαύτως. κορώνη, ἐὰν ταχὺ δὶς κρώζῃ, καὶ τρίτον, χειμερία. καὶ κορώνη, καὶ κόραξ, καὶ κολοιός, ὀψὲ ᾄδοντες, χειμέριοι. στρουθὸς ἐὰν λευκός, ἢ χελιδὼν, ἢ ἄλλο τι

τῶν μὴ

σίζῃ, ἐντεῦθεν ὕδωρ ἢ ἄνεμον σημαίνει. ὅταν ἶρις γίνηται, ὕδωρ σημαίνει. ἐάν τε πολλαὶ ἴριδες γίνωνται, σημαίνει ὕδωρ ἐπὶ πολύ. ἀλλὰ πολλάκις καὶ οἱ ὀξεῖς ἧλοι, ὅταν ἐκ νεφέλης. μύρμηκες ἐν κοίλῳ χωρίῳ ἐὰν τὰ ᾠὰ ἐκφέρωσιν ἐκ τῆς μυρμηκίας ἐπὶ τὸ ὑψηλὸν χωρίον, ὕδωρ σημαίνουσιν· ἐὰν δὲ καταφέρωσιν, εὐδίαν. ἐὰν παρήλιοι δύο γίνωνται, καὶ ὁ μὲν νοτόθεν, ὁ δὲ βορρᾶθεν, καὶ ἄλλως ἅμα, ὕδωρ διὰ ταχέων σημαίνουσι. καὶ ἅλως αἱ μέλαιναι, ὑδατικόν· καὶ μᾶλλον αἱ διπλαῖ. ἐν τῷ καρκίνῳ δύο ἀστέρες εἰσὶν οἱ καλούμενοι ὄνοι, ὧν τὸ μεταξὺ τὸ νεφέλιον † ἡ φάτνη καλουμένη, ἐὰν δὲ ἐὰν ζοφώδης γίνηται ὑδατικόν, ὃν
ἐὰν μὴ ἐπὶ καινῇ ὕσῃ ἢ ἐπὶ ἀρκτούρῳ ὡς ἐπὶ τὸ πολὺ πρὸς ἰσημερίαν, ὕδωρ ἢ ἄνεμος. καὶ τὸ δημόσιον τὸ περὶ τὰς μυίας λεγόμενον, ἀληθές· ὅταν γὰρ δάκνωσι σφόδρα, ὕδατος σημεῖον. σπῖνος φθεγγόμενος ἕωθεν μὲν, ὕδωρ σημαίνει, ἢ χειμῶνα· δείλης δὲ, ὕδωρ· τῆς δὲ νυκτὸς, ὅταν τοῦ ὑμηττοῦ καθύπερθεν τῶν ἄκρων νεφελῶν διασώζῃ λευκὰ καὶ μακρὰ, ὕδωρ γίνεται ὡς τὰ πολλὰ μετρίων ἡμερῶν. καὶ ἐὰν ἐν αἰγίνῃ καὶ ἐπὶ τοῦ διὸς τοῦ ἑλλανίου νεφέλη καθίζηται, ὡς τὰ πολλὰ ὕδωρ γίνεται. ἐὰν ὕδατα πολλὰ γίνηται χειμερινὰ, τὸ ἔαρ ὡς τὰ πολλὰ γίνεται αὐχμηρόν. ἐὰν δὲ αὐχμηρὸς ὁ χειμὼν, τὸ ἔαρ ὑδατῶδες. ὅταν χιόνες πολλαὶ γίνωνται, ὡς τὰ πολλὰ εὐετηρία γίνεται. φασὶ δέ τινες, καὶ εἰ ἐν ἄστρασι λαμπρὰ χάλαζα ὑποφαίνεται, χάλαζαν προσημαίνει ὡς τὰ πολλά. ἐὰν δὲ ὥσπερ κέγχροι μικροὶ, λαμπροὶ πολλοὶ, ἀνέμου μὲν ὄντος εὐδίαν, μὴ ἀνέμου δὲ ὕδωρ ἢ ἄνεμον. ἔστι δὲ ἄμεινον προὔργου γίνεσθαι βόρειον ὕδωρ νοτίου, καὶ τοῖς φυομένοις καὶ τοῖς ζώοις. δεῖ δὲ γλυκὺ εἶναι, καὶ μὴ ἁλμυρὸν τοῖς γινομένοις. καὶ ὅλως, ἔτος βέλτιον νοτίου βόρειον καὶ ὑγιεινότερον. καὶ ὅταν ὀχεύωσι πρόβατα, ἢ αἶγας, χειμῶνος μακροῦ σημεῖον.

ΠΕΡΙ ΣΗΜΕΙΩΝ
ἀνέμων.

Ὕδατος μὲν οὖν ταῦτα λέγεται σημεῖα· ἀνέμων δὲ καὶ πνευμάτων, τάδε. ἀνατέλλων ὁ ἥλιος καυματίας, κἂν μὴ ἀποστίλβῃ, ἀνέμου δ᾽ ἂν τὸ σημεῖον. καὶ ἐὰν κοῖλος φαίνηται ὁ ἥλιος, ἀνέμου ἢ ὕδατος τὸ σημεῖον. καὶ ἐὰν ἐπὶ πολλὰς ἡμέρας καυματίας, αὐχμοὺς καὶ ἀνέμους πολυχρονίους σημαίνει. ἐὰν αἱ ἀκτῖνες, αἱ μὲν πρὸς βορρᾶν, αἱ δὲ πρὸς νότον σχίζωνται, τούτου μέσου ὄντος κατ᾽ ὄρθριον, κοινὸν ὕδατος καὶ ἀνέμου σημεῖόν ἐστιν. ἔστι δὲ σημεῖα ἐν ἡλίῳ καὶ σελήνῃ, τὰ μὲν μέλανα ὕδατος, τὰ δὲ ἐρυθρὰ πνευμάτων. ἐὰν δὲ ὁ μεὶς βορείου ὄντος ὀρθὸς εἱστήκῃ, ζέφυροι εἰώθασιν ἐπιπνεῖν· καὶ ὁ μὴν χειμερινὸς διατελεῖ, ὅταν μὲν ἡ κεραία τοῦ μηνὸς ἐπικύπτῃ βόρειος ὁ μεὶς· ὅταν δὲ ἡ καθύπερθεν, νότιος. ἐὰν δ᾽ ὀρθὸς, καὶ μὴ καλῶς ἐγκεκλιμένος, μέχρι τετράδος καὶ εὔκυκλος, εἴωθε χειμάζειν μέχρι διχομηνίας, σημαίνει ζοφώδης μὲν ὢν ὕδωρ, πυρώδης δὲ πνεῦμα. αἴθυιαι καὶ νῆτται πτερυγίζουσαι, καὶ ἄγριαι καὶ τιθασσαί, ὕδωρ μὲν σημαίνουσι δυόμεναι, πτερυγίζουσαι δὲ ἄνεμον. οἱ κέπφοι εὐδίας οὔσης, ὅποι ἂν πέτωνται, ἄνεμον προσημαίνουσι. στρουθοὶ χειμῶνος ἀφ᾽ ἑσπέρας θορυβοῦντες, ἢ ἀνέμου μεταβολὴν σημαίνουσιν, ἢ ὕδωρ ὕζιον. ἐρῳδιὸς ἀπὸ θαλάσσης πετόμενος, καὶ βοῶν, πνεύματος σημεῖόν ἐστι· καὶ ὅλως βοῶν μέγα, ἀνεμώδης. κύων κυλινδούμενος χαμαὶ, μέγεθος ἀνέμου σημαίνει. † ὁ ἄμπωτις βόρειον πνεῦμα σημαίνει· πλημμύρα δὲ, ἡ
νότιον. ἀράχνια πολλὰ φερόμενα, πνεῦμα ἢ χειμῶνα σημαίνει. θάλαττα οἰδοῦσα, καὶ ἀκταὶ βοῶσαι, καὶ αἰγιαλὸς ἠχῶν, ἀνεμώδης. ἐὰν μὲν γὰρ ἐκ βορείου πλημμύρα ἥκῃ, εἰς νότον μεταβάλλει· ἐὰν δὲ ἐκ νοτίου ἄμπωτις γίνηται, εἰς βόρειον μεταβάλλει· καὶ ὁ μὲν βορέας λήγων ἐλάττων, ὁ δὲ νότος ἀρχόμενος. παρήλιος ὁπόθεν ἂν ᾖ, ὕδωρ ἢ ἄνεμον σημαίνει. ἡ τερέμινθος καὶ δὲ κάτω ἀπὸ βορέων τῶν χειμερινῶν, ὡς τὰ πολλὰ νότιοι. βορείων δὲ γινομένων ξηραίνει πάντα, νοτίων δὲ ὑγραίνει. ἐὰν δὲ νοτίων ὄντων ψοφῇ τῶν κεκολλημένων, εἰς τὰ νότια σημαίνει τὴν μεταβολήν· ἐὰν δὲ πόδες οἰδῶσιν, νοτία ἡ μεταβολή. τὸ δὲ αὐτὸ σημεῖον καὶ ἐκ νεφρῶν καὶ ὀσφύος τῆς δεξιᾶς. ἐχῖνος ὁ χερσαῖος σημαντικόν. ποιεῖται γὰρ δύο ὀπὰς, ὅπου ἂν οἰκῇ, τὴν μὲν πρὸς βορρᾶν, τὴν δὲ νοτόθεν. ὁποτέραν δ᾽ ἂν ἀποφράττῃ, ἐντεῦθεν πνεῦμα σημαίνει. ἐὰν δὲ ἀμφοτέρας, ἀνέμου μέγεθος· ἐὰν ὄρος πρὸς βορρᾶν, ἄνεμον προσημαίνει. ἐὰν ἐν θαλάττῃ ἐξαίφνης

δύνοντος ἡλίου δὲ ἢ τὸν ἑωθινόν. καὶ ἐὰν δύνῃ χειμῶνος ἢ ἀέρος εἰς νεφέλιον, τριῶν ἡμερῶν ὡς τὰ πολλὰ ὕδωρ σημαίνει. καὶ ἐὰν ῥάβδοι νοτόθεν, ταυτὰ δὲ ταῦτα βορρᾶθεν γινόμενα ἀσθενέστερα. καὶ ἐὰν ἀνίσχων μέλαν σημεῖον ἔχῃ, καὶ ἐὰν ἐκ νεφελῶν ἔχῃ ὑδατεινῶν, καὶ ἐὰν ἀκτῖνες ἀνίσχοντος ἀνατείνωσι πρὶν ἀνατεῖλαι, κοινὸν ὕδατος σημεῖον καὶ ἀνέμου. καὶ ἐὰν καταφερομένου τοῦ ἡλίου ὑφίστηται νέφος, ὑφ' οὗ ἐὰν σχίζωνται αἱ ἀκτῖνες, χειμερινὸν τὸ σημεῖον. καὶ ὅταν καυματίας δύηται ἀνατέλλῃ, ἐὰν μὴ ἄνεμος γένηται, ὕδατος τὸ σημεῖον. τὰ αὐτὰ δὲ σημαίνει καὶ σελήνη πανσέληνος ἀνίσχουσα. ἀσθενέστερα δὲ ὁ μήν, ἐὰν μὲν ᾖ πυρώδης, σημαίνει τὸν μῆνα· ἐὰν δὲ ζοφώδης, ὑδατώδη. σημαίνει δέ, ὅτι ἂν σημαίνῃ, τριταῖος ὢν ὁ μήν, ἀστέρες πολλοὶ διάττοντες, ὕδατος ἢ πνεύματος· καὶ ὅθεν ἂν διάττωσιν, ἐντεῦθεν τὸ πνεῦμα, ἢ τὸ ὕδωρ. καὶ ἐὰν ἀκτῖνες ἀθρόαι ἀνίσχωσιν, ἀνιόντος ἢ δύνοντος σημεῖον, καὶ ὅταν ἀνίσχοντος τοῦ ἡλίου αἱ αὐγαὶ οἷον ἐκλείποντος χρῶμα ἔχωσιν, ὕδατος σημεῖον. καὶ ὅταν νεφέλαι πόκοις ἐρίων ὅμοιαι ὦσιν, ὕδωρ σημαίνει. νυκτὸς δὲ σημεῖα, πομφόλυγες ἀνιστάμεναι πλείους ἐπὶ τῶν ποταμῶν, ὕδωρ σημαίνουσι πολύ. ὡς δ' ἐπὶ τὸ πολὺ ἶρις περὶ λύχνον ἢ διὰ λύχνου διαφαινομένη, νότια σημαίνει ὕδατα. καὶ οἱ μύκητες, ἐὰν νότια ᾖ, ὕδωρ σημαίνουσι. σημαίνουσι δὲ καὶ ἄνεμον κατὰ λόγον, ὡς ἐὰν ἔχωσι πλῆθος καὶ μέγεθος, σμικροὶ καὶ κεγχρώδεις καὶ λαμπροί, ὕδωρ καὶ ἄνεμον· καὶ ὅταν χειμῶνος τὴν φλόγα ἀπωθῇ, διαλιπὼν οἷον πομφόλυγας, ὕδατος σημεῖον. καὶ ἐὰν πηδῶσιν αἱ ἀκτῖνες ἐπ' αὐτόν. καὶ ἐὰν βοῶς νύκτῃ ἐπιγίνονται ὄρνιθες λουόμενοι, μὴ ἐν ὕδατι βιοῦντες, ὕδωρ ἢ χειμῶνας σημαίνουσι. καὶ φρύνη λουομένη, καὶ βάτραχοι μᾶλλον ᾄδοντες, σημαίνουσιν ὕδωρ. καὶ ἡ σαύρα φαινομένη, ἣν καλοῦσι σαλαμάνδραν· ἔτι δὲ καὶ χλωροὶς βάτραχος ἐπὶ δένδρου ᾄδων, ὕδωρ σημαίνει. χελιδόνες τῇ γαστρὶ τύπτουσαι τὰς λίμνας, ὕδωρ σημαίνουσι. βοῦς τὴν πρόσθιαν ὁπλὴν λείξας, χειμῶνα ἢ ὕδωρ σημαίνει. ἐὰν δὲ εἰς τὸν οὐρανὸν ἀνακύπτων ὀσφραίνηται, ὕδωρ σημαίνει. κορώνη ἐπὶ πέτρας κορυσσομένη, ἣν κῦμα κατακλύζει, ὕδωρ σημαίνει. καὶ κολυμβῶσα πολλάκις, καὶ περιϊπταμένη, ὕδωρ σημαίνει. κόραξ πολλὰς μεταβάλλων εἰωθυίας φωνάς, τούτων ἐὰν ταχὺ δὶς φθέγξηται, καὶ ἐπιρροιζήσῃ, καὶ τινάξῃ, ὕδωρ σημαίνει. καὶ ἐὰν ὑετῶν ὄντων πολλὰς μεταβάλλῃ φωνάς, καὶ ἐὰν φθειρίζηται ἐπ' ἐλαίας, καὶ ἐάν τε εὐδίας ἐάν τε ὕδατος ὄντος μιμῆται τῇ φωνῇ οἷον σταλαγμούς, ὕδωρ σημαίνει. ἐάν τε κόρακες, ἐάν τε κολοιοί, ἄνω πέτωνται, καὶ ἱερακίζωσιν, ὕδωρ σημαίνουσι. καὶ ἐὰν κόραξ εὐδίας μὴ τὴν εἰωθυῖαν φωνὴν ἱῇ, καὶ ἐπιρροιβδῇ, ὕδωρ σημαίνει. ἐὰν ἱέραξ ἐπὶ δένδρου καθιζόμενος, καὶ ἔσω ἀποπετόμενος φθειρίζηται, ὕδωρ σημαίνει. καὶ θέρους ὅταν πολλοὶ ἀθρόοι φανῶσιν ὄρνιθες, οἱ βιοτεύουσιν ἐν νήσῳ, ὕδωρ σημαίνουσιν. ἐὰν δὲ μέτριοι, ἀγαθὸν αἰξὶ καὶ βοτοῖς. ἐὰν δὲ πολλοὶ ὑπερβολῇ, αὐχμὸν ἰσχυρόν. ὅλως δὲ ὄρνιθες καὶ ἀλεκτρυόνες φθειριζόμενοι, ὑδατικὸν σημεῖον. καὶ ὅταν μιμῶνται ὕδωρ, ὡς ὕον, καὶ ἡ νῆττα ἥμερος ὑποδύουσα ὑπὸ τὰ γεῖσα ἀποπτερυγίζηται, ὕδωρ σημαίνει. ὁμοίως δὲ καὶ κολοιοὶ καὶ ἀλεκτρυόνες, ἐάν τε ἐπὶ λίμνῃ ἢ θαλάττῃ ἀποπτερυγίζωνται, ὡς νῆττα, ὕδωρ σημαίνει. καὶ ἐρωδιὸς ὄρθριον φθεγγόμενος, ὕδωρ ἢ πνεῦμα σημαίνει. καὶ ἐὰν ἐπὶ θάλατταν πετόμενος βοᾷ, μᾶλλον ὕδατος σημεῖον, ἢ πνεύματος. καὶ ὅλως βοῶν, ἀνεμώδης. καὶ ὁ πίλος, ἐν οἰκίᾳ οἰκουμένῃ ἐὰν φθέγξηται ἕωθεν, ὕδωρ σημαίνει, ἢ χειμῶνα. καὶ χύτρα ἀποσπινθηρίζουσα πᾶσα περὶ ἴπλεως, ὕδατος σημεῖον. καὶ ἴουλοι πολλοὶ πρὸς τοῖχον ἕρποντες, ὑδατικόν. δελφὶς παρὰ γῆν κολυμβῶν, καὶ ἀναδυόμενος πυκνά, ὕδωρ ἢ χειμῶνα σημαίνει. ὑμηττὸς ἐλάττων ἄνυδρος καλούμενος, ἐὰν τῷ κοίλῳ νεφέλιον ἔχῃ, ὕδατος σημεῖον. καὶ ἐὰν ὁ μέγας ὑμηττὸς τοῦ θέρους λευκὰς ἔχῃ νεφέλας, ἄνωθεν καὶ ἐκ πλαγίου, ὕδατος σημεῖον. καὶ ἐὰν ὁ ἄνυδρος ὑμηττὸς λευκὰς ἔχῃ ἄνωθεν, καὶ ἐκ πλαγίου. καὶ ἐὰν περὶ ἰσημερίαν λὶψ πνεύσῃ, ὕδωρ σημαίνει. αἱ δὲ βρονταὶ αἱ μὲν χειμεριναὶ καὶ ἑωθιναί, μᾶλλον ὕδωρ σημαίνουσιν· αἱ δὲ θεριναὶ μεσημβρίας καὶ ἑσπεριναὶ βρονταί, ὑδατικὸν σημεῖον. ἀστραπαὶ δὲ ἐάν γε πανταχόθεν γίνωνται, ὕδατος αὖ ἢ ἀνέμου σημεῖον· καὶ ἑσπεριναὶ ὡσαύτως. καὶ ἐὰν ἀκρωρείας νότου πνέοντος, νοτόθεν ἀστράπτῃ, ὕδωρ σημαίνει ἢ ἄνεμος. καὶ ζέφυρος ἀστράπτων πρὸς βορρᾶν, ἢ χειμῶνα ἢ ὕδωρ σημαίνει. καὶ θέρους αἱ ἑσπέριαι ἀστραπαί, ὕδωρ αὐτίκα σημαίνουσιν ἢ τριῶν ἡμερῶν. καὶ ὀπώρας βορρᾶθεν ἀστράπτων, ὑδατικὸν σημεῖον. ἡ Δίβεια, ὅταν διαχωσθῇ μέση, ὕδωρ διὰ ταχέων. καὶ ἐὰν ἐπὶ τὸ πήλιον νεφέλη προσίζῃ, ὅθεν ἂν προ-

σίζῃ

ΠΕΡΙ ΣΗΜΕΙΩΝ ΥΔΑ

των καὶ πνευμάτων.

ΣΗΜΕΙ͂Α ὑδάτων καὶ πνευμάτων, καὶ χειμώνων καὶ εὐδιῶν, ὧδε ἐγράψαμεν, καθόσον ἦν ἐφικτόν, ἃ μὲν αὐτὰ προσκοπήσαντες, ἃ δὲ παρ' ἑτέρων οὐκ ἀδοκίμων λαβόντες. τὰ μὲν οὖν ἀπὸ τοῖς ἄστροις δυομένοις, καὶ ἀνατέλλουσιν, ἐκ τῶν ἀστρονομικῶν δεῖ λαμβάνειν. εἰσὶ δὲ δύσεις διτταί· αἵ τε γὰρ ἀφανισμοὶ δύσεις εἰσί. τοῦτο δέ ἐστιν, ὅταν ἅμα συνδύνῃ τῷ ἡλίῳ τὸ ἄστρον, καὶ ὅταν † ἀνατέλλοντι δύνῃ. ὁμοίως δὲ καὶ ἀνατολαὶ διτταί· αἱ μὲν ἑῷαι, ὅταν προανατέλλῃ τοῦ ἡλίου τὸ ἄστρον· αἱ δὲ ἀκρόνυχοι, ὅταν ἅμα δυομένου ἀνατέλλῃ. αἱ μὲν οὖν τοῦ ἀρκτούρου λεγόμεναι ἀνατολαὶ, ἀμφοτέρως συμβαίνουσιν. ἡ μὲν γὰρ τοῦ χειμῶνος ἀκρόνυχός ἐστιν, ἡ δὲ μετοπωρινὴ ἑῴα. τῶν δὲ ἄλλων αἱ πλεῖσται τῶν ὀνομαζομένων ἑῷαι, οἷον πλειάδος καὶ ὠρίωνος, καὶ κυνός. τῶν δὲ λοιπῶν σημείων ἔνια μὲν ἴδια κατὰ τὰς χώρας ἐστίν, ἐν ὅσαις ὄρη ὑψηλὰ καὶ αὐλῶνές εἰσι. μάλιστα δὲ, ὅσα πρὸς θάλασσαν καθήκει τῶν ὑψηλῶν. † τῶν τε γὰρ πνευμάτων ἀρχομένων, τὰ νέφη προσπίπτει πρὸς τοὺς τοιούτους τόπους, καὶ μεθισταμένων εἰς τοὐναντίον αὖ μεθίστανται, καὶ ὑστέρα γινόμενα διὰ βάρους εἰς τὰ κοῖλα συγκαθίζει. διὸ δεῖ προσέχειν, οὗ ἂν τις ἱδρυμένος ᾖ. ἔστι γὰρ ἀεί τινα λαβεῖν τοιοῦτον γνώμονα. καὶ ἔστι σαφέστατα σημεῖα τὰ ἀπὸ τούτων. διὸ καὶ ἀγαθοὶ γεγένηνται κατὰ τόπους τινὰς ἀστρονόμοι ἔνιοι, οἷον Ματρικέτας ἐν Μηθύμνῃ ἀπὸ τοῦ Λεπετύμνου, καὶ Κλεόστρατος ἐν Τενέδῳ ἀπὸ τῆς Ἴδης, καὶ Φαεινὸς Ἀθήνησιν ἀπὸ τοῦ Λυκαβηττοῦ τὰ περὶ τὰς τροπὰς συνεῖδε· παρ' οὗ Μέτων ἀκούσας, τὸ τοῦ ἑνὸς δέοντα εἴκοσιν ἐνιαυτῶν συνέταξεν. ἦν δὲ ὁ μὲν Φαεινὸς, μέτοικος Ἀθήνησιν· ὁ δὲ Μέτων Ἀθηναῖος, καὶ ἄλλοι δὲ τοῦτον τὸν τρόπον ἠστρολόγησαν. ἄλλα δ' ἐστὶ σημεῖα, ἃ λαμβάνεται ἀπό τε ζώων, καὶ τῶν κατ' οἰκείαν ἑτέρων τινῶν τόπων καὶ παθημάτων· μάλιστα δὲ κυριώτατα ἀπὸ τοῦ ἡλίου καὶ τῆς σελήνης. ἡ γὰρ σελήνη νυκτὸς, οἷον ἥλιός ἐστι. διὸ καὶ αἱ σύνοδοι τῶν μηνῶν, χειμέριοί εἰσιν. ὅτι ἀπολείπει τὸ φῶς τῆς σελήνης, ἀπό τε τετράδος φθίνοντος μέχρι τετράδος ἱσταμένου. ὥσπερ οὖν ἡλίου ἀπόλειψις γίνεται, κατὰ τὸν ὅμοιον τρόπον καὶ τῆς σελήνης ἔκλειψις. δεῖ οὖν προσέχειν μάλιστα ταῖς ἀνατολαῖς ταῖς τούτων, καὶ ταῖς δύσεσιν, ὁποίας ἂν ποιῶνται τὸν βουλόμενον προγινώσκειν. πρῶτον μὲν οὖν λαμπρόν, ὅτι αἱ διχομηνίαι διορίζουσι τὰς ὥρας. ὥστε ἀπὸ τούτων δεῖ ἀθρεῖν, καὶ ἐνιαυτὸν καὶ μῆνα καὶ ἡμέραν. διχοτομεῖ δὲ τὸν μὲν ἐνιαυτὸν πλειάς τε δυομένη καὶ ἀνατέλλουσα· ἀπὸ γὰρ δύσεως μέχρι ἀνατολῆς, τὸ ἥμισυ τοῦ ἐνιαυτοῦ ἐστιν, ὥστε δίχα τέμνεται ὁ πᾶς χρόνος. ὁμοίως δὲ καὶ αἱ τροπαὶ καὶ ἰσημερίαι ποιοῦσιν· οἷά τις ἂν ἡ κατάστασις πλειάδος δυομένης, οὕτω ἔχει ὡς ἐπὶ τὸ πολὺ μέχρι τροπῶν, κἂν μεταβάλλῃ μετὰ τροπάς. ἐὰν δὲ μὴ μεταβάλλῃ, δεῖ ἔχειν ἕως ἰσημερίας, κἀκεῖθεν ὡσαύτως μέχρι πλειάδος, καὶ ἀπὸ ταύτης μέχρι τροπῶν θερινῶν, καὶ ἐντεῦθεν μέχρι ἰσημερίας, καὶ ἀπὸ ἰσημερίας μέχρι πλειάδος δύσεως. ὡς δ' αὕτως ἔχει καὶ περὶ τὸν μῆνα ἕκαστον. διχοτομοῦσι γὰρ αἵ τε πανσέληνοι, καὶ αἱ ὀγδόαι, καὶ αἱ τετράδες. ὥστε ἀπὸ νουμηνίας ὡς ἀπ' ἀρχῆς δεῖ σκοπεῖν. μεταβάλλει γὰρ, ὡς ἐπὶ τὸ πολὺ, ἐν τῇ γε τετράδι· ἐὰν δὲ μὴ, ἐν τῇ ὀγδόῃ· εἰ δὲ μὴ, πανσελήνῳ. ἀπὸ δὲ πανσελήνου, εἰς ὀγδόην φθίνοντος. καὶ ἀπὸ ταύτης, εἰς τετράδα. ἀπὸ δὲ τετράδος, εἰς τὴν νουμηνίαν. ὡς δ' αὔτως καὶ ἐπὶ τῆς ἡμέρας ἔχουσιν αἱ μεταβολαὶ ὡς ἐπὶ τὸ πολύ. ἀνατολὴ γὰρ, καὶ πρωΐ, καὶ μεσημβρία, καὶ δείλη, καὶ δύσις, καὶ τὰ τῆς νυκτὸς μέρη τὰ ἀνάλογα, τὸ αὐτὸ ποιεῖ τοῖς εἰρημένοις, περὶ πνευμάτων καὶ χειμῶνος καὶ εὐδίας. μάλιστα γὰρ ἐὰν μέλλῃ μεταβάλλειν, ἐν ταῖς διχοτομίαις μεταβάλλει. καθόλου μὲν οὖν τὰς ὥρας οὕτω δεῖ παρατηρεῖν. καθ' ἕκαστα δὲ τῶν σημείων, κατὰ τὸν ὑπογεγραμμένον τρόπον. ὕδατος μὲν οὖν σημεῖα τὰ τοιαῦτα δοκεῖ εἶναι. ἐναργέστατον μὲν οὖν τὸ ἑωθινόν, ὅταν πρὸ ἡλίου ἀνατολῆς φαίνοιτο ἐπιφοίνισσον σημεῖον. ἢ γὰρ αὐθημερινὸν ὕδωρ σημαίνει, ἢ τριῶν ἡμερῶν ὡς ἐπὶ τὸ πολύ. δηλοῖ δὲ καὶ τὰ ἄλλα σημεῖα. ἐὰν γὰρ διὰ πρότερον τριταῖα, μάλιστα σημαίνει τὸ ἐπιφοίνισσον καὶ δύοντος.

αὐτοὶ

ἅμα αὐτῷ

τῶν τε

νὶ μεταβολαῖς ἀεὶ πάντα μάλιστα πέφυκεν ἀοριστεῖν. ὁ δ' ἀργέστης ἀνατέλλει μὲν ἐν ἀρχῇ ὀπώρας, λήγει δὲ ἐν ἀρχῇ χειμῶνος· ὥστε διὰ τὸ μήπω καθεστάναι, μηδὲ μίαν ὥραν εἶναι γινομένης, εἶναι δὲ πεπονημένης, ἀνάγκη καὶ τὰ πνεύματα ἀκατάστατα καὶ ἄκριτα εἶναι διαπαίζειν * οἴακα αὐτόθι διὰ χαλεπὸν γίνεται, καὶ δύνειν καὶ ἀνατέλλειν εἶναι διὰ τὴν ἀοριστίαν τῆς ὥρας. ἀνάγκη γὰρ ταράττεσθαι καὶ ἀνώμαλα εἶναι. ἃ ταῦτα μὲν οὖν, καὶ ὅσα ἄλλα τοιαῦτα περὶ τὸν ἀέρα καὶ τὸν ὅλον οὐρανὸν, συμβαίνει τέλει * εἰς τὰς ἡμετέρας διαθέσεις, οἷον ἑτέρων ἐν τοῖς νοτίοις ἔχουσιν ἀνθρώπων, καὶ ἀδυνατώτεροι, αἴτιον δ' ὅτι δεῖ * πολὺ ὑγρὸν γίνεται, καὶ ἡ πνεύματος ὑγρότης βορέα αὐτῇ κούφη. ἔτι δ' ἡ μὲν ἰσχὺς καὶ δύναμις ἐν τοῖς ἀθρόοις ἐστὶ περὶ τὰ μέρη κινεῖ. λίαν δ' ὑγρὰ κεχυμένη συντίθεσθαι. τὰ δὲ μέτρια ποιεῖ τινα συμμετρίαν, ὥστε καὶ ἰσχὺν καὶ συντείνεσθαι. καὶ παλίρροια, καὶ μὴ ὑδατώδεις ὄντες τόποι πυρετώδεις. ὑγρότατα γὰρ ἐνίας, τοῖς σώμασι θερμὴν ἀλλοτρίαν ἔσται θερμοὶ φύσει καὶ ὑγροὶ ὄντες. ἡ δὲ τοιαύτη διάθεσις πυρετώδης. ὁ γὰρ πυρετὸς δεῖ ἀμφοῖν τόποις ὑπερβολῆς δεῖν, ὅταν ὑδάτινα πίωσι τὸ ὕδωρ καταψύχει τὴν ἕξιν. τὸν αὐτὸν δὲ τρόπον καὶ ὅσα ἄλλα τῶν συμπτωμάτων περὶ ταῦτα, δεῖ ἕως καθ' ἑκάτερον συμβαίνει γίνεσθαι. πλείω γὰρ δεῖ τὰ τοιαῦτα, καὶ ἐν πλείοσιν· ὧν ἁπάντων αἱ αὐταὶ καὶ παραπλήσιαί τινες αἰτίαι. καὶ τῶν καρπῶν δὲ, καὶ ἄλλων τῶν φυτῶν ὁμοίως. ἅπαντα γὰρ εἰς τὴν ὑγρότητα καὶ διάλυσιν, καὶ τὴν πυκνότητα καὶ σύστασιν, καὶ ὅσα ἄλλα τῆς συστοιχίας ἑκατέρας ἀναχθήσεται. καὶ ἐπὶ τῶν ἀψύχων δ' ὡσαύτως· οἷον αἵ τε ῥηγνύμεναι χορδαί, καὶ οἱ ψόφοι τῶν κεκολλημένων, καὶ ὅσα ἄλλα συμβαίνει διυγραινομένων καὶ ἀνιεμένων, περὶ τὴν τοῦ σιδήρου κατεργασίαν. πλείω γάρ φασιν ἐξελαύνειν τοῖς νοτίοις ἢ βορείοις. αἴτιον δ' ὅτι τὰ μὲν βόρεια ξηραίνει, καὶ σκληρύνει· τὰ δὲ νότια ἀνυγραίνει, καὶ διανθεῖ. πᾶν δὲ ἀργότερον διακεχυμένον, καὶ ὑποσκληρυνόμενον. ἅμα δὲ καὶ μᾶλλον ἔχουσι καὶ συντονωτέρως τοῖς βορείοις. ἁπλῶς δὲ τὰ μὲν τοιαῦτα σχεδὸν ἐμφανεῖς ἔχει τὰς αἰτίας, οἷον ἐκ μιᾶς ἀρχῆς ἀνάλογον ἔχοντα τὸ ἐφεξῆς. ἐκεῖνο δὲ ἡ ἀπορία, καὶ ζητήσει μᾶλλον γίνεται καθ' ἑκάτερον ἄν. οἷον εἰ μὴ σκληρότης, μὴ δὲ ξηρότης, μὴ δὲ πυκνότης τοῖς βορείοις, ἀλλὰ τὰ ἐναντία. καὶ τῷ νότῳ δ' ὡσαύτως. τὸ γὰρ παράλογον αἰτίαν ἐπιζητεῖν, τὸ δ' εὔλογον καὶ ἄνευ αἰτίας. συγχωροῦσι δὲ καὶ αὐτοί· δεινοὶ γὰρ προσθεῖναι τὸ ἐλλιπές. ὅτι δὲ ψυχροὶ ὄντες οἱ ἄνεμοι ξηραίνουσιν, καὶ θᾶττον ὁ ἥλιος θερμὸς ὤν, καὶ μάλιστα οἱ ψυχρότατοι, ταύτην ὑπολειπτέον τὴν αἰτίαν, ὅτι ἀτμίδα ποιοῦσι, καὶ ταύτην ἀπάγουσι καὶ οἱ ψυχρότεροι μᾶλλον. ὁ δ' ἥλιος κατὰ * διά τι ποτε λέγεται, μή ποτ' ἀπ' ἀπείρου δάσης νέφος, ὡς ἐκ πόντου χειμῶνος, θέρος δ' ἀπ' ἀπείροιο μελαίνης. ἢ διότι τοῦ μὲν χειμῶνος ἡ θάλαττα θερμοτέρα, ὡς ἐπεὶ συνίστησιν ἰσχυράς. ἐλύθη γὰρ αὖ περὶ ἀέρι, διὰ τὸ ἀλεεινὸν εἶναι τὸν τόπον. τοῦ τε θέρους ἡ μὲν θάλαττα ψυχρά, καὶ τὰ πόντια πνεύματα· ἡ δὲ γῆ θερμή, ὥστε διὰ ἀπὸ τῆς γῆς συνίσταται. διαλύει γὰρ αὖ εἰς ἀραιότητα. τὸ δὲ μὴ πνεῖν νότου λαμπροῦ ἐν αἰγύπτῳ, μηδ' ἡμέρας δρόμον ἀπέχοντι καὶ νυκτός, ψεῦδος· δασύνειν δὲ τὸν οὐρανὸν μάλιστα βορέαν καὶ ἀργέστην, τὸν δὲ νότον παραφέρειν. αἱ δ' ἕωθεν ὑπονεφεῖν καὶ δασύνειν, ἄχρις ἂν ὁ ἥλιος ἀνίσχῃ. οὐχ ὕειν δὲ, διὰ τὸ μὴ ἔχειν ὅπου προσκαθίσωνται τὰ νέφη. νότον δὲ καὶ εὖρον, καὶ ὅσα ἀπὸ μεσημβρίας, ἄρχεσθαι μετὰ ἀνατολήν, συμπαραχωρεῖν δὲ τῷ ἡλίῳ. βορέαν δὲ καὶ ἀργέστην ἀνάπαλιν, ἀπὸ δυσμῶν ἐπ' ἀνατολάς. ἐν σικελίᾳ καικίαν δ' οὐ καλοῦσιν, ἀλλ' ἀπηλιώτην. δοκεῖ δ' οὐχ ὁ αὐτὸς εἶναί τισιν, ἀλλὰ διαφέρειν· ὅτι ὁ μὲν δασύνει τὸν οὐρανόν, ὁ δ' οὔ * πάρεγγυς δὲ * οἱ μὲν οὖν ὀλυμπίαν, οἱ δὲ σκίρωνα καλοῦσιν,
οἱ περὶ σικελίαν δορκίαν. τὸν ἀπηλιώτην δὲ ἑλλησποντίαν, καικίαν δὲ φοινικίαν βορέα * δὲ ἐν τῷ πόντῳ.

ΠΕΡΙ

νὸν ἀπὸ τῆς ἕω πνεῖ. τὸ δὲ θέρος, καὶ τὸ δ' ὅλως ἀπὸ τῆς ἑσπέρας, ἐκείνην τὴν αἰτίαν ὑποληπτέον, ὅταν ὁ ἥλιος ἕλκων μηκέτι κρατῇ, ποτ' ἐφειμένος ὁ ἀὴρ εἰς διαλυόμενος συγκαλύπτεται. ἀφ' οὗ τὰ ζεφύρια, καὶ ὅλως ἀνάγκη τοῖς ἐν τῷ ἡμισφαιρίῳ κατοικοῦσιν τοῦτο πνεῦμα γίνεσθαι. κατ' ἐκεῖνο δ' ὅταν δύνῃ ἐν τῷ κάτω μερίζεται, ἕτερος ἂν ἐκείνοις ποιήσῃ. τὸ δ' ἐν τῷ ὕδει καθ' ὃν πνεῦμα ἀπὸ τῆς συνωθουμένης ἀέρος. αὐτὸ τοῦτο καὶ ἐὰν λάβῃ πνέοντα ἄλλον ἄνεμον, ὡς ἂν ὁ μείζων γίνεται. διὸ καὶ πρόσεστιν, ὥσπερ ὁ ζέφυρος ἀεὶ καὶ πόρρω πνεῖ τοῖς ἑσπερίοις, οὕτω τοῖς κατὰ τοὺς πρὸς τὴν ἡμετέραν ἕω, ἐκείνων δ' ἑσπέραν ἀλλὰ πνεύματα. ταῦτα μὲν οὖν παρὰ τὴν ὁμοιότητα περὶ ἑκατέρους, ὅτι τοῖς ἄκροις ἑκατέρων πνοὴ γίνεται ἂν ὥσπερ καὶ τὰ ὑδάτια, καὶ τὰ ἄλλα κατὰ συμβεβηκός. οὐ μὴν γε ἀκρίβειαν ἄλλως ἐστὶ τὸ πᾶν. ἔσωθεν δ' ὥσπερ ἀλλ' ὅτε τὸ τεταγμένον καὶ ἐπικοινωνόν τι πνεῖν. αἴτιον δέ, ὅτι θερμαίνει τὰ κάτω τὸν ἥλιον πόρρω ὄντος, ὥστε γίνεται πολλὰ ἐτησίας. ἔπνεον δ' αὖ πολλοί, μὴ κωλυόμενοι τοῖς ἐτησίαις, νῦν δ' οὗτοι διακωλύουσιν, οἱ δὲ νυκτερινοὶ βορέαι ῥᾳδίως πίπτουσιν. ὅθεν ἡ παροιμία λέγεται, ὡς οὔ ποτε νυκτερινὸς βορέας. ῥῖγος καὶ τὸ φέγγος, διὸ καὶ ἀσθενῆ τὰ πνεύματα γίνεται τὰ ἀπὸ τῆς ἄρκτου νύκτωρ ἀρξάμενα. φανερὰ γάρ, ὡς πολὺς ὁ κινηθεὶς ἀήρ, ὅταν τηνικαῦτα πνέῃ τῆς θερμότητος ὀλίγης οὔσης. ὀλίγον γὰρ ὀλίγη κινεῖ. τελευτᾷ δὲ πάντα ἐν τρισί, καὶ τὰ ἐλάχιστα δ' ἐν τῇ πρώτῃ τριάδι. ὅτι δ' οὐκ αὐτὸ τοῦτο συμβαίνει καὶ ἐπὶ τοῦ νότου νυκτερινοῦ πνεύσαντος, αἴτιον ὅτι ἐγγὺς ὁ ἥλιος ἐστὶ τῆς πρὸς νότον χώρας, καὶ ἀλεεινότεραι αἱ νύκτες ἐκεῖ, πρὸς ἄρκτον δὲ ἡμέραι ὁ κινούμενος ἀήρ, καὶ οὐδὲν ἐλάττων ἢ μεθ' ἡμέραν. ἀλλ' ὅσῳ θερμότεραι αἱ ἡμέραι κωλύουσι πνεῖν, ξηραίνουσαι τὰς ὑγρότητας. τάχα δὲ κἀκεῖνο τοῦ βορέου, ὅτι ἀθρόως ἡ ἔγχυσις ὥσπερ τοῦ ἐκνεφίου· ταχεῖα δ' ἡ παῦλα τοῦ ἀθρόου ἀσθενοῦς ἀρχῆς τὸ μέγεθος. ἀεὶ δ' ὡς ἐπίπαν λαῦρος. μετὰ δὲ χιόνα καὶ πάχνην· ὅθεν καὶ ἡ παροιμία, φιλεῖ δὲ νότος μετὰ πάχνην· ὅτι πέψεως τινὸς γενομένης, καὶ ἀποκαθάρσεως, ἐκεῖ θερμόν τι πίπτει. μετὰ δὲ τὴν πέψιν καὶ τὴν ἀποκάθαρσιν, εἰς τοὐναντίον ἡ μεταβολή. βορέᾳ δὲ ἐναντίος ὁ νότος, τὸ αὐτὸ τοῦτο, ὅτι μετὰ τὸ ὕειν καὶ τὴν χάλαζαν καὶ τὰς τοιαύτας τινάς, ὡς ἐπὶ τὸ πολὺ πίπτει τὰ πνεύματα. πάντα γὰρ ταῦτα καὶ τὰ τοιαῦτα πέψεις καὶ ἀποκαθάρσεις τινὲς εἰσίν. ἐπεὶ δὲ πρὸς τὰς χώρας ἑκάστοις καὶ τοὺς τόπους ἐπινεφεῖς καὶ αἴθριαι, διὰ τοῦτο καὶ τὴν ἐν παροιμίᾳ λεγομένων πρὸς τινὰς τόπους εἰσίν, ὥσπερ τὸ ἀργέστου καὶ λιβός. αἰσχρὸν δὲ μάλιστα περὶ κνίδον καὶ ῥόδον λὶψ ἄνεμος· ταχὺ δὲ νεφέλας, ταχὺ δ' αἰθρίας ποιεῖ. ἀργέστῃ δ' ἀνέμῳ πάντα ἕπεται νεφέλα. περὶ γὰρ τοὺς τόπους τούτους, ὅτι λὶψ ἀμφότερα ταχέως ποιεῖ, πνέων ἀπὸ τοιαύτης ἀρχῆς, ὅτ' ἀργέστης ταχὺ δασύνει τὸν οὐρανόν. ἐνιαχοῦ δὲ καθάπερ τάξις τίς ἐστι τῶν πνευμάτων, ὥστε θάτερον μετὰ θάτερον πνεῖν, ἐὰν μένῃ τινὰ χρόνον. τάχα δ' οὐδὲ τὸ ὅλον ἄτοπον πέφυκε τοῦτο, εἴπερ ἡ περίστασις ἀεὶ τῶν ἀνέμων εἰς τοὺς ἐφεξῆς πάλιν μεταβολὴν εἰς τοὺς ἐναντίους. δύο γὰρ οὗτοι τρόποι μεταλλαγῆς, εἴπερ ἱσταμένων ἢ ἐκπνευσάντων τελέως. ἐπεὶ ἂν ἡ κατὰ τὴν περίστασιν εὖρος εἰς τοὺς ἐφεξῆς (ἐγγυτάτω γὰρ αὕτη μετάβασις, ἐν ᾗ καὶ ἀναστρέφει πολλάκις ἐπὶ τὸ αὐτό, ὅταν ὑπὸ χειμῶνος ὁ ἀρκτίας ᾖ) ἡ δὲ κατὰ τὴν μεταβολὴν εἰς τοὺς ἐναντίους, καὶ ὅλως τοῦτο πέφυκεν ἐπὶ πάντων καὶ ἐστὶ τούτων ἡ ἀνταπόδοσις, καὶ οἷον ἡ ἀντίῤῥοια κατὰ λόγον· ὅπερ καὶ τὰς ἀπογαίας ὑπάρχειν πρὸς τὰς τροπαίας. αὕτη δὲ πολλαχοῦ, καθάπερ ἐφήμερος ἐστὶ τάξις τῆς μεταβολῆς. ἐνιαχοῦ δ' οὐ τροπαία τὸ ἀντιπνέον, ἀλλ' ἕτερόν τι πνεῦμα πελάγιον, ὥσπερ καὶ περὶ τὸν παμφυλικὸν κόλπον. ἔσωθεν μὲν γὰρ διὸ κάρσης καλούμενος ἀπὸ τοῦ ποταμοῦ τοῦ ἰδύρου, πνεῖ μέγας καὶ πολύς· ἐπιπνεῖ δὲ αὐτῷ νότος καὶ εὖρος. ὅταν δ' ἀντικόψωσιν ἀλλήλοις, κύματός τε μεγέθους αἴρεται συνωθουμένης τῆς θαλάττης, καὶ πρηστῆρες πολλοὶ πίπτουσιν, ὑφ' ὧν καὶ τὰ πλοῖα ἀπόλλυνται. τὸ γὰρ ὅλον, ὅπου τοιαύτη σύγκρουσις γίνεται τῶν ἀνέμων, καὶ κυμάτων μέγεθος αἴρεται, καὶ χειμὼν γίνεται πολύς. ὥσπερ ὅταν ἀντιπνέοντων ἀλλήλοις μάχεσθαι φασὶ τοὺς ἀνέμους. ἐπεὶ κἀκεῖνο κατὰ λόγον ἐστίν, ὅταν ἐπιπέσωσιν ἀλλήλοις μή πω τελέως ἐκπεπνευκόσι τὸν χειμῶνα ποιεῖν. οἷον γὰρ ὕλην προστίθησι θάτερος, θατέρου δὲ μᾶλλον τοῦτο ἐμφανὲς ἐπὶ τοῦ βορέου. χειμεριώτερος γὰρ οὗτος, καὶ δι' αὐτὸ τὴν προσγενηθεῖσαν πῆξιν. ὡσαύτως δὲ καὶ ὁ νότος ἐξύγραινε, καὶ ὑδατώδη ἐποίησεν. ἐνιαχοῦ δὲ καὶ τοὺς νεφελώδεις δοκεῖ ποιεῖν, ὥσπερ καὶ περὶ τὸν πόντον καὶ τὸν ἑλλήσποντον, ὅταν ὁ βορέας οὕτω γίνηται ψυχρός, ὥστε πάγους κατέχειν. οὐ μὴν ἀλλ' ὅ γε τὸ πλεῖον διέπηξεν, ἢ εἰς ὕδωρ διέλυσεν. καὶ ταῦτα μὲν οἷον χειμεριναί τινες ἐπίπνοιαι, καὶ ἀντικόψεις ἤδη ἐπ' ὀρθίων ἀναβολῇ καὶ δύσει τῶν πνευμάτων ἀκρασίαι συμβαίνουσιν, οὔτ' ἐ-

νι μὲν

δ᾽ ἄλλοις πνεύσαις. ἰδιώτατα δ᾽ οὖν ὡς εἰπεῖν τὰ περὶ τὸν ἀπαρκτίαν, καὶ τὰ περὶ τὸν ζέφυρόν ἐστιν. ὁ μὲν γὰρ ἀπαρκτίας μόνος ἐφ᾽ αὑτὸν ἄγει τὰ νέφη, καθάπερ καὶ ἡ παροιμία λέγει, ἕλκων ἐφ᾽ αὑτὸν ὥστε καικίας νέφη. ὁ δὲ ζέφυρος λειότατος τῶν ἀνέμων, καὶ πνεῖ δειλινὸς καὶ πρὸς τὴν γῆν. καὶ ψυχρὸς τῶν ἐν ταῖς δυσὶ μόνον ὥραις, ἐαρινῇ καὶ μετοπωρινῇ. πνεῖ δὲ ἐνιαχοῦ μὲν χειμέριος, ὅθεν καὶ ὁ ποιητὴς δυσαῆ προσηγόρευσεν· ἐνιαχοῦ δὲ μετρίως καὶ μαλακῶς, διὸ καὶ Φιλόξενος ἰδίαν αὐτοῦ πεποίηκε τὴν πνοήν. τοῖς μὲν ἐκρίπει, τοῖς δ᾽ ἐκκλίνει καὶ διαφέρει τελέως. αἴτιον δὲ τοῦ μὲν καικίου, διότι πέφυκε κυκλοτερεῖ φέρεσθαι γραμμῇ, ἧς τὸ κοῖλον πρὸς τὸν οὐρανὸν, καὶ οὐ περὶ τὴν γῆν ἐστιν, ὥσπερ τῶν ἄλλων, διὰ τὸ καθ᾽ αὑτὸν πνεῖν. πνέων δὲ ἐστι τὴν ἀρχὴν ∗ οὗτος δὲ ἐφ᾽ αὑτὸν ἄγει τὰ νέφη. πρὸς ὃ γὰρ ἡ πνοὴ, καὶ ἡ τῶν νεφῶν ἐντεῦθεν φορά. ὁ δὲ ζέφυρος, ψυχρὸς μὲν, διὰ τὸ πνεῖν ἀφ᾽ ἑσπέρας, ἀπὸ θαλάσσης, καὶ πεδίου ἀναπεπταμένου, καὶ ἔτι μετὰ χειμῶνα τοῦ ἦρος, ἄρτι τοῦ ἡλίου κρατοῦντος. καὶ μετόπωρον πάλιν, ὅτ᾽ οὐκ ἔτι κρατεῖ τοῦ βορέου ἧττον ψυχρὸς, διὰ τὸ ἀφ᾽ ὕδατος πνευματουμένου, καὶ μὴ χιόνος πνεῖν. οὐ συνεχὴς δὲ, διὰ τὸ μὴ κρατεῖσθαι τὸ γινόμενον πνεῦμα. οὐ γὰρ, ὥσπερ ἐν γῇ, ἀλλὰ πλανᾶται διὰ τὸ ἐφ᾽ ὑγροῦ βεβηκέναι, καὶ ἐφ᾽ ὁμαλοῦς. διὰ τοῦτό ἐστι ∗ περ δὲ εὔριον. δι᾽ αὐτὴν μὲν γὰρ πρὸς βορέαν καὶ νότον, πρὸς ἑσπέραν δ᾽ οὐχ ἕτερος οὐδέ τίς ἐστιν, ἀλλὰ τὸ ἀτλαντικὸν πέλαγος ὡς ἐπὶ τῆς γῆς φέρεται. τῆς δ᾽ εἴλης ἡ πνοὴ διὰ τὸν τόπον. πάντα γὰρ μετὰ τοῦ ἡλίου διαχέοντος τὸ ὑγρὸν, ἢ ἀτμίζοντος γίνεται, ἢ συνεργοῦντος εἰς τὴν ἀρχήν. ὅταν οὖν εἰς τὸν τόπον ἀφίκηται, καὶ ἡ πνοὴ καὶ ἐν νυκτὶ παύεται διὰ τὸ ἐκλείπειν τὴν τοῦ ἡλίου κίνησιν. ἄγει δὲ καὶ νεφέλας μεγίστας ὅτι ἐκ πελάγους πνεῖ, καὶ ἐπὶ ἔλαττον ὥστε ἐκ τοῦ πολλοῦ συνάγειν· χειμέριος δὲ, καὶ δυσαής. διόπερ τὰ πρότερα εἰρημένα. μετὰ δὲ τὸν χειμῶνα πνεῖν, ψυχροῦ ἔτι τοῦ ἀέρος ῥέοντος. ἔπειθ᾽ ὁ μετοπωρινὸς οὐ τοιοῦτος, εἰ μὴ τῷ μεγέθει λαμβάνοντος τὸ χειμέριον. ἐν γὰρ τοῖς συνεχέσι τόποις μείζους πνεῖ, καθάπερ καὶ οἱ ἄλλοι, καὶ λαμπρότερον ἴσως. ὁ δὲ ὡς τὸ χειμέριον, ὡς οὐ πᾶσι ἡ δ᾽ ὁμαλότης καὶ λειότης, ὅταν ᾖ, ποιεῖ ἕνα χάριν ἐπὶ τῇ κινήσει καὶ φορᾷ· οὐδ᾽ ὅπου πνεύσας, ἐνταῦθα καὶ ἥδιους· εἰ μὴ ἄρα τὸ παράλληλον ὄν, ἐμπίπτει τῇ προσηγορίᾳ, τὸν λεῖον ζέφυρον καλοῦντες. χειμέριος γὰρ οὗτος. ἀλλὰ ταῦτα μὲν ἐπισκεπτέον. ὅτι δὲ τοὺς καρποὺς ὃς μὲν φθείρει, ὃς δὲ τρέφει, καθόλου μὲν ἐκεῖνο ἀληθὲς εἰπεῖν, ὃ καὶ ἐπὶ τῶν ἄλλων κοινόν, ὅτι τρέφει μὲν ὅπου ψυχρὸς πνεῖ τοῦ θέρους, ἀπόλλυσι δὲ ὅπου θερμός. καὶ πάλιν τοῦ χειμῶνος καὶ τοῦ ἦρος ὁμοίως, ὅπου μὲν ψυχρὸς ἀπόλλυσι, ὅπου δὲ θερμὸς τρέφει, καὶ σώζει ἐναντίαν ταῖς ὥραις τὴν πνοὴν ἔχων. τοῦτο δ᾽ ἐστὶν, ὅταν ἐκ θαλάσσης ᾖ. θερμὴ γὰρ αὕτη χειμῶνος, θέρους δὲ ψυχρά. διὰ τοῦτο δὲ καὶ ὁ νότος ἐνιαχοῦ τοιοῦτος, ὥσπερ καὶ ἐν Ἄργει. καὶ ὁ Βορέας δὲ παρ᾽ ἄλλοις. τὸ μὲν οὖν ἁπλοῦν καὶ κοινὸν, ὥσπερ ἐλέχθη, τοῦτο. τὰ δὲ καθ᾽ ἑκάστους τόπους ἐκ τῶν θέσεων δεῖ καὶ τῶν ἄλλων τῶν συμβαινόντων ἀνασκοπεῖν, καὶ θεωρεῖν. εὑρήσεις γὰρ σχεδὸν ἐν ταύταις ταῖς αἰτίαις τὴν διαφοράν, οἷον τῆς Ἰταλίας, ἡ μὲν Κρίσα, καὶ ἡ ταύτῃ συνεχὴς ἐνδέχεται τῷ ζεφύρῳ διὰ τὸ ἐκ θαλάσσης προσπίπτειν· ἄλλη δὲ ἄλλως, οὐχ ὁμοίως· ἐνίας δὲ καὶ βλάπτοντος. καὶ πάλιν τῆς Κρήτης ἡ μὲν Γορτύνα τρέφεται· κεῖται γὰρ ἀναπεπταμένη, καὶ προσβάλλει τὴν ἐκ τοῦ πελάγους. ἑτέρα δέ τις ἀπόλλυται, πρὸς ἣν ἐκ τῆς γῆς καὶ ὀρῶν τινων προσπίπτει. φθείρει δὲ καὶ ἐν τῷ Μηλιακῷ κόλπῳ πάντα καὶ τὰ ἔφιλα, καὶ τὰ τῶν δένδρων τὰ τῆς Θετταλίας περὶ τὸ πεδίον. ἀμφοτέρων γὰρ τῶν τόπων ἡ αὐτὴ φύσις, καὶ τὰ περιέχοντα ὅμοια. κεῖνται μὲν γὰρ ἄμφω πρὸς ἀνατολήν, περιέχονται δ᾽ ὄρεσιν ὑψηλοῖς· ὁ μὲν τῇ Οἴτῃ καὶ τοῖς συνεχέσι, ὁ δὲ πνέων ζέφυρος ἀπὸ δυσμῶν ἰσημερινῶν, τὴν ὑπὸ ἡλίου θερμότητα προσπίπτουσαν τοῖς ὄρεσιν, ἀνακλωμένην καὶ τῇ ∗ εὐθὺς εἰς πεδίον καὶ ἀπόκαυσιν. ὁμοίως δὲ καὶ παρὰ τοῖς ἄλλοις, οἷς ἐστι τοιοῦτον ἢ παραπλήσιον, τοῦτο συμβαῖνόν ἐστι, καὶ τοῖς ἐναντίοις ἀνάπαλιν. ὅλως γὰρ, ὃ πολλάκις λέγεται, τοῦτ᾽ ἀληθὲς, ὅτι μέγα ∗ συμβάλλεται. δι᾽ ὧν ἀναπνεῖ, καὶ ὅθεν εἴς τε τἄλλα, καὶ εἰς θερμότητα καὶ εἰς ψυχρότητα. διὰ τοῦτο γὰρ καὶ ὁ νότος ψυχρὸς οὐχ ἧττον τοῦ βορέου, ἐπὶ τὴν παροιμίαν, ὅτι ∗ ἀέρα κατεψυγμένον. ἔτι καὶ ὑγρὸν ὑπὸ τοῦ χειμῶνος τοιαύτην ἀνάγκη τὴν ἀναπνοὴν προσπίπτειν, οἷος ἂν ὁ ἀὴρ ᾖ καὶ βορέας. ὁ δὲ τὸν πηλὸν τῶν ὄντων, ὅν φησι πάλιν ἡ παροιμία χειμῶνα ποιεῖν, διὰ τὴν αὐτὴν αἰτίαν ποιεῖ. βρεχθεὶς γὰρ ὁ ἀὴρ, ψυχρός. ὡσαύτως δὲ καὶ ἀπὸ τῶν ποταμῶν αὖραι, ὥσπερ ἐλέχθη πρότερον, ἡ μὲν τούτων ἰδιότης ἔχει τιν᾽ εὔλογον· ὅτι δὲ τὰ πνεύματα τοῦ μὲν χειμῶνος, καὶ τὸ ἑωθι-

νὸν ἀεὶ

ποῖς, ὅταν κατακλεισθῶσι καὶ συμπίεσωσι, λαμπροὶ πνέουσι, καὶ ἐν ταῖς πύλαις, καὶ αἱ θυρίδες ἕλκουσιν ἀεί, καὶ πολὺν περιέχουσιν. πάντων γὰρ τούτων καὶ τῶν τοιούτων ἡ αὐτὴ καὶ μία τις ἡ εἰρημένη αἰτία. πάλιν δ' ἔνιοι τόποι διὰ τὴν κοιλότητα, καὶ διὰ τὸ περιέχεσθαι μείζοσιν, ἐγγὺς ὄντος γε ἢ ἐγγυτέρω, ἑτέρων ταῖς ἀρχαῖς, ὅλως ἀπνόως τυγχάνουσιν. οἱ δὲ πορρωτέρω πνευματώδεις, ὥσπερ καὶ περὶ Θετταλίαν καὶ Μακεδονίαν συμβαίνει περὶ τοὺς ἐτησίας. οὐ γὰρ πνέουσι περὶ αὐτούς, ὡς εἰπεῖν. ἐν δὲ ταῖς νήσοις λαμπροί, ταῖς μακρὰν ἀπηρτημέναις. αἴτιον δὲ, τὸ τὰς χώρας κοίλας καὶ ἐπισκεπεῖς εἶναι. ταῖς δὲ νήσοις οὐδὲ ἐπίπεδον· ἡ φορά. κωλύονται δὲ καὶ οὗτοι, καὶ ὅλως πᾶς ἄνεμος πνεῖν, ἢ διὰ τὴν ἀπόστασιν· οὐ γὰρ δύναται διατείνειν εἰς τὸ πορρωτέρω, διὰ τὸ μῆκος· ἢ διὰ τὴν πρόσθεσιν ἑτέρων, ἢ ῥέπειν εἰ τὸ πνεῦμα ἐγχώριον αὖ ἐπιπνεῖ καὶ κρατεῖ. ὅτε δὲ συμβαίνει περὶ τὴν ὥραν τοὺς ἐτησίας ἐπαίρεσθαι, καὶ τὴν τροπαίαν πνεῖν περὶ Μακεδονίαν, ὥσπερ σύμπτωμα θετέον. πανταχοῦ γὰρ τῆς μεσημβρίας ἀπολήγει τὰ πνεύματα, διὰ τὸν ἥλιον. ἅμα δὲ τῇ δείλῃ πάλιν αἴρεται. συμβαίνει δὲ περὶ τὸν αὐτὸν καιρὸν τήν τε τροπαίαν πρὸς ταῖς ἀρχαίαις αὔραις, καὶ τοὺς ἐτησίας ἐπαίρεσθαι πάλιν. οὐδὲ γὰρ τῇ ἀνακλάσει τῇ ἀπὸ τοῦ Ὀλύμπου καὶ τῆς Ὄσσης τῶν ἐτησίων αἰτιατέον, ἣν μὴ ἐρημώσουσιν οἱ μέχρι παντελῶς. τὰ μὲν οὖν συμπτώματα πειρατέον ἅπασι διαιρεῖν. ἐκεῖνο δ' ἂν δόξειεν ἄτοπον καὶ παράλογον εἶναι, διὰ τί τῶν ὑψηλῶν τόπων τὰ μὲν προσήνεμα πάντα ἀπνεύματα τυγχάνει, τὰ δὲ ἐπισκεπῆ πνευματώδη, καὶ οὐ μετρίως, ἀλλὰ σφοδρῶς. οἷον ἐν Πλαταιαῖς τῆς Βοιωτίας κειμένης πρὸς τὸν Βορέαν, ὁ μὲν Βορέας εὐδιεινός, ὁ δὲ νότος μέγας καὶ χειμερινός, καὶ ἐπιπροσθοῦντος τοῦ Κιθαιρῶνος. καὶ πάλιν παρὰ μὲν τὰ κοῖλα τῆς Εὐβοίας ὑπὸ τοὺς ἐτησίας τρόπαια παραθέουσιν. ἐν Καρύστῳ δὲ τηλικοῦτοι πνέουσιν, ὥστ' ἐξαίσιον εἶναι μέγεθος. ἔτι δὲ τοῦ Κεριάδος ἐν τῷ Καλαμῶνι φασὶ * κειμένῳ πρὸς νότον ὑψηλὸν καὶ ἀπότομον θαυμαστόν τε κῦμα μὲν εἰσπίπτει, πνεῦμα δ' οὐκ ἔστιν. ἀλλὰ καὶ τὰ πλοῖα προσορμίζοντα τοῖς λειοτέροις ἀλιμένων πλήσια καὶ τὰ συμβαίνοντα θεωρεῖν ἔστιν. αἴτιον δὲ τῶν μὲν, μὴ διικνεῖσθαι τὸ πνεῦμα πρὸς τὴν γῆν, τῷ μὴ ὑπεξάγειν τὸν ἀέρα, μὴ δέχεσθαι, ὅπερ συμβαίνει διὰ τὸ ὕψος πρὸς κα * οὐχ ὑποσφαῖρον. ὅτι δ' ὑπεξάγειν ἀεὶ δεῖ, καὶ μὴ ἵστασθαι τὸν ἀέρα, φανερόν. ἐν γὰρ τοῖς οἰκήμασιν ὅταν κατακλείσωσι τὰς θύρας, ἧττον διὰ θυρίδων ἡ πνοὴ φέρεται. πλήρης γὰρ ὤν, καὶ μὴ ὑπεξάγων, οὐκ εἰσδέχεται τὸν ἔξωθεν ἀέρα· πρὸς γὰρ τὸ κενὸν ἡ φορά. διὸ καὶ τὸ ἕλκειν οὐ καλῶς λέγεται. τὰ δὲ πρὸς Βορρᾶν, καὶ ὅλως κατάνυμα ἐπισκεπῆ διὰ τὴν τοῦ πνεύματος [illegible]. διὸ συμβαίνει συναθροιζόμενον ἐπὶ τὸ ὕψος, οἷον ὑπερχεῖσθαι τὸ πνεῦμα, καὶ ἐμπίπτειν ἀθρόον * ᾗ γὰρ ἂν ἐπικυρήσῃ, ταύτῃ κατέρραξεν ἀληθῶς ἀθρόον. γίνονται δὲ καὶ αἱ καταιγίδες ἐν τοῖς τοιούτοις. συστροφὴ γὰρ ἐνταῦθα, καὶ ἀθροισμὸς πνεύματος. ὥσθ' ὅταν ἐν ῥαγῇ καθάπερ πληγὴν ἐποίησεν. ἰσχυρὸν γὰρ τὸ ἀθρόον, καὶ συνεχές, ὥσπερ καὶ ἐπὶ τῶν τυφώνων. ἃ μὲν οὖν διὰ τοὺς τόπους συμβαίνει, ταῦτα καὶ τοιαῦτα τυγχάνει. πολλὰ δ' ἐστὶ καὶ πολλαχοῦ, περὶ ὧν ἑκάστης ἱστορίας λέγειν. τὰ δὲ τοιάδε κοινὰ πάντων τῶν ἀνέμων, οἷον ὅτι σημαίνουσι καθ' ἕκαστον ἐν τῷ μέλλειν. ὁ γὰρ ἀὴρ ἀλλοιούμενος περὶ πυκνότητα καὶ μανότητα, ἢ περὶ θερμότητα καὶ ψύξιν, μὴ κατ' ἄλλην τινὰ τοιαύτην διάθεσιν, ἐκδηλοῖ πως ἀεὶ τὴν ἐσομένην πνοήν. ὁμοιοπαθῆ γὰρ τὰ περὶ τὸν ἀέρα, καὶ προτηρεῖ τὸν ἄνεμον εἰς τὴν ἡμετέραν αἴσθησιν. ὡσαύτως δὲ καὶ ἐπὶ τῆς θαλάττης καὶ τῶν ὑδάτων, ἔστι τινὰ τὰ αὐτὰ σημεῖα λαβεῖν. ἐπεὶ καὶ τὰ κύματα προανιστάμενα καὶ προεκπίπτοντα σημαίνει τοὺς ἀνέμους, προωθεῖται * δὲ συνεχῶς ἀλλὰ κατὰ μικρόν, ὥσπερ δὲ προωθεῖ ἀλλ' ὁ προῶσεν καὶ πάλιν * ἄλλης πνοῆς ἐκκινηθείσης μαραινομένης δὲ τῆς πρώτης. εἶθ' οὕτως ἀεὶ προωθουμένης προσέρχεται. προϊόντος δὲ τοῦ κινουμένου, φανερὸν ὅτι καὶ τὸ κινοῦν ἥξει. συμβαίνει δὲ καὶ ὕστερον τὰ κύματα τῶν πνευμάτων. ὕστερον δὲ διαλύονται καὶ παρακμάζουσι, διὰ τὸ δυσκινητότατον καὶ δυσκαταπαυστότερον. κοινὰ δὲ καὶ τὰ τοιαῦτα πλειόνων, οἷον ἀστέρων τάλις * σκοτ' ἄλλον καὶ παρ' ἡλίου φάσεις, καὶ ἀπομαράνσεις, ἢ ῥήξεις, καὶ ἐπὶ τοιουτότροπον. πρότερον γὰρ ὁ ἀὴρ ἄνω τὸ πάσχειν ἀποδηλοῖ τὴν τῶν πνευμάτων φύσιν. ἔστι δὲ τὸ ἐπὶ τέλει μεγίστους εἶναι. καὶ γὰρ τοῦτο ἴσως κενὸν πλάσσειν. ὅταν γὰρ ἀθρόον ἐμπνεύσωσιν, μικρὸν γίγνεται τὸ λοιπόν. τὰ μὲν οὖν τοιαῦτα, καθάπερ εἴρηται, κοινά πως τῆς οὐσίας. ἔστι δὲ τὰ καθ' ἕκαστον ἴδια κατὰ τὴν ἑκάστου φύσιν, καὶ θέσιν· ὧν τὰ μὲν τοῖς τόποις μερίζεται, καθ' οὓς καὶ πρὸς οὓς ἂν πνέωσι. τὰ δὲ ταῖς ἀρχαῖς, ὑφ' ὧν τὰ

μὲν τοῖς τόποις ἢ τοῖς συνεχέσιν ἔμπυρος ἡ πνοὴ γίνεται. πορρωτέρω δὲ πνέουσιν, οὐχ ὁμοίως. ἐνίοτε δὲ καὶ τὸ ἄλλοθεν ἰδεῖν, ἐὰν δὲ ἐμπύρων ᾖ τόπων, καὶ ἐχόντων ἀέρα παχὺν καὶ διακαόμενον καὶ ὑπερβάλλον φαίνεται τῇ θερμότητι. διὸ καὶ οἱ ὁδοιπόροι μὲν καὶ θερισταί, πολλάκις ἀποθνήσκουσιν ὑπὸ τῶν τοιούτων πνευμάτων, ἐν τοῖς πεδίοις καὶ ἐν τοῖς πνιγηροῖς τόποις. τὰ μὲν οὖν τῶν συνεργαζομένων τοῦ συνυπάρχοντος ἀέρος, τὸ δὲ τῆς διαφορᾶς διὰ τὴν πνοὴν καὶ τὴν πρόσπτωσιν, ὅπου δ' ὑπ' αὐτοῦ μόνος κινούμενος ὁ ἀὴρ ὁ ὑπὸ τοῦ θερμοῦ κρατούμενος, ταύτην φέρεται τὴν φορὰν κάτωθεν, δῆλον. εἰ μὲν γὰρ διὰ τὸ ψῦχος φύσει καὶ ἀτμιδώδης κάτω ἀνεφέρετο, εἴθ' ὑπὸ τοῦ θερμοῦ ἄνω. τὸ γὰρ πῦρ ὡς ἐπὶ φύσιν αὕτη ἡ φορά. νῦν δ' ὥσπερ δὴ ἀμφοῖν μικτή, διὰ τὸ μὴ δ' ἑτέρου κρατεῖν. τοῦτο μὲν οὖν καθόλου τὸ κοινόν, ὅτι ὁποῖος ἂν ὁ ἀὴρ ἢ ἀναθυμίασις καθ' ἑκάστους ᾖ τόπους, οὕτως ἕξει καὶ τὰ πνεύματα τῇ ψυχρότητι. καὶ τάδε συμμαρτυρεῖ. ὅσα γὰρ ἀπὸ ποταμῶν ἢ λιμνῶν, πάντα ψυχρὰ διὰ τὴν ὑγρότητα τοῦ ἀέρος. ἀποψύχεται μὲν γὰρ ἀπολάμποντος τοῦ ἡλίου, καὶ ἅμα παχύτερος ὁ ἀτμός. καὶ ἔτι δ' ἡ σύνεγγυς. ὥσθ' ὅταν προσπίπτῃ, συμβαίνει καθαπερεὶ ῥᾶσιν τινὰ γίνεσθαι τοῖς σώμασι. καὶ διὰ τοῦτο πολλάκις ἔγκοιλοι καὶ δυσκεπεῖς τινες ὄντες τόποι τῶν ἔξω πνευμάτων, ὑπὸ τῶν ἐγχωρίων εἰσὶ ψυχροί. τὸ γὰρ ἀναχθὲν ὑπὸ τοῦ ἡλίου, μένειν ὅτι πεφυκὸς οὐ δυνάμενον, φέρεται καὶ ποιεῖ πνοήν, ἔθ' αἵ τε ἀπὸ τῶν ποταμῶν καὶ λιμνῶν αὖραι, καὶ ὅλως αἱ ἀπόγειαι πνέουσιν ἕωθεν, ἀποψυχομένης τῆς ἀτμίδος διὰ τὴν ἀπόλειψιν τοῦ θερμοῦ. τὴν γὰρ θύραν ταύτην αὐτῇ γίνεσθαι κατ' ὀλίγον δεῖ, διά τε τἆλλα καὶ διὰ τὴν εὐδίαν. καὶ ὅταν ψακάδια καὶ ὑετοὶ μέτριοι γίνονται, μᾶλλον πνέουσιν. πρόσεστι γὰρ ὅλως τότε πανταχοῦ, καὶ μᾶλλον αἱ ἀπόγειαι γίνονται μετὰ τοῦτο. ἀπὸ μόνου δὲ τοῦ Νείλου δοκοῦσιν οὐκ ἀποπνεῖν αὖραι, ἢ ἐλάχισται· διὰ θερμὸς ὁ τόπος, καὶ δὴ οὗ καὶ εἰς ὃν ῥεῖ. αἱ δ' αὖραι πυκνουμένου τοῦ ὑγροῦ εἰσί· διὸ καὶ οὐδ' ἀπὸ τῶν ἐν Λυβίῃ ποταμῶν, οὐδ' ἀφ' ἑνὸς αὔρας οὐδαμῶς· ἅπαντες γὰρ θερμοί. τοῦτο δὲ δῆλον, ὅτι οὐδ' ἀπὸ τῶν περὶ Βαβυλῶνα, καὶ Σοῦσα, καὶ ὅλως πρὸς τοὺς ἐμπύρους τόπους, καί τοι φασί γε θαυμαστῶς καταψύχεσθαι τὸν ἀέρα πρὸς τὴν ἕω. τοῦτο μὲν οὖν ἐπισκεπτέον. τάχα γὰρ ἀποψύχεται μέν, οὐ δύναται δὲ πορρωτέρω προϊέναι, καὶ ποιεῖν αὔρας, διὰ πύρων διὰ τῶν ὑποδεχομένων ὄντων τόπων. ἀπὸ γοῦν τῶν ἀρχαίως καὶ τῶν τοιαύτης αὔρας καὶ αἱ ῥοπαὶ γίνονται, συναθροισθέντος τοῦ ὑγροῦ ἀέρος. ἡ γὰρ ῥοπή, καθάπερ πάλιν περὶ τῶν ῥοπῶν καλουμένων πνοαί τίς ἐστι πνεύματος, ὥσπερ ἐν τοῖς εὐρίποις τῶν ὑγρῶν. ὅταν γὰρ ἀθροισθῇ, καὶ πλῆθος λάβῃ, μεταβάλλει πάλιν εἰς τὸ ἐναντίον. μάλιστα δ' ἐν τοῖς κοίλοις ταῦτα γίνεται, καὶ ὅπως πνέουσιν αἱ ἀπόγειαι. τούτων δ' ἑκάτερον εὐλόγως. ἐν μὲν γὰρ τοῖς κοίλοις, ὡς συναθροισθήσεται πλεῖστον. ἐν γὰρ τοῖς ἀναπεπταμένοις διαχεῖται. τῶν δ' ἀπογείων πνευμάτων ἀσθενὴς ἡ φύσις· ὥστ' οὐ δύνασθαι βιάζεσθαι πόρρω. συμβαίνει δὲ καὶ ἡ ἀνταπόδοσις ἀνάλογον τοῦ τε πλήθους καὶ τοῦ μεγέθους, ὡς ἂν αἱ ἀπόγειαι πνεύσωσι. ὁμοίως δὲ καὶ περὶ τὰς ὥρας, οἷον τὸ ὀψιαίτερον, ἢ τὸ πρωϊαίτερον ἐμβάλλειν αὐτάς. γίνεται δὲ καὶ ἀνάκλασίς τις τοῦ ἀνέμου, ὥστ' ἀντιπνεῖν αὐτοῖς, ὅταν ὑψηλοτέροις τόποις προσπνεύσαντες ὑπερᾶραι μὴ δύνανται. διὸ ἐνιαχοῦ τὰ νέφη τοῖς πνεύμασιν ὑπεναντία φέρεται, καθάπερ καὶ περὶ Αἰγὰς τῆς Μακεδονίας, Βορέου πνέοντος πρὸς τὸν Βορέαν. αἴτιον δ' ἐστὶ τῶν ὀρῶν ὄντων ὑψηλῶν, τῶν τε περὶ τὸν Ὄλυμπον καὶ τὴν Ὄσσαν τὰ πνεύματα προσπίπτοντα, καὶ οὐχ ὑπεραίροντα τοῦτον ἀνακλᾶται πρὸς τοὐναντίον, ὥστε καὶ τὰ νέφη κατωτέρω ὄντα φέρουσιν ἐναντίως. συμβαίνει δὲ καὶ αὐτὸ τοῦτο περὶ ἄλλους. ἐνιαχοῦ δὲ καὶ ὑπ' αὐτοὺς τοὺς ἐτησίας ἀντίπνοιαι γίνονται τοῦ Βορέα διὰ τὴν περίκλασιν, ὥστε καὶ ἀντιδρομεῖν τὰ πλοῖα, καθάπερ καὶ περὶ τὸν πορθμὸν τὸν ἐκ Χαλκίδος εἰς Ὠρωπόν, ὃς δὴ καλοῦσιν παλιμβορέας. γίνεται δὲ τοῦτο ἴδιον, ὅταν ὦσι λαμπρότατοι. τότε γὰρ μάλιστα δύναται ὡς πορρωτάτω διατείνειν, ὅταν πλῆθος ᾖ τὸ ἀντικόπτον. ἐνιαχοῦ δὲ διὰ τὸ προσκόπτειν, σχίζεσθαι συμβαίνει τὸν ἄνεμον, ὥστε τὸ μὲν ἐκεῖσε, τὸ δὲ δεῦρο ῥεῖν, καθάπερ καὶ τὸ ὕδωρ ὑπὸ μιᾶς πηγῆς καὶ τοῦ αὐτοῦ ῥέον. ἁπλῶς δὲ οἱ τόποι πολλὰς ποιοῦσι τῶν πνευμάτων μεταβολάς, ἄλλως τε καὶ τὸ σφοδρότερα καὶ ἠρεμαιότερα γίνεσθαι, καθάπερ ἐὰν διὰ στενοῦ καὶ ἀχανοῦς πνέῃ. σφοδρότερον γὰρ ἀεὶ καὶ λαμπρότερον τὸ διὰ τοῦ στενοῦ, καθάπερ ὕδατος ῥεῦμα. ἐκβιάζεται γάρ, καὶ διωθεῖ μᾶλλον ἀθρόον. διὸ καὶ ἐν τοῖς ἄλλοις ἀπνοίας οὔσης, ἐν τοῖς στενοῖς ἀεὶ πνεῦμα. μένειν γὰρ ὁ ἀὴρ οὐ δύναται διὰ τὸ πλῆθος. ἡ δὲ τούτου κίνησις, ἄνεμος. ὅθεν καὶ ἐν τοῖς στενωποῖς,

τι καὶ οἱ περὶ Κρήτην, ὡς ἄρα νῦν μείζους οἱ χειμῶνες. καὶ χιὼν πλείων πίπτει, τεκμήρια φέροντες, ὡς τότε μὲν ᾤκειτο τὰ ὄρη, καὶ ἔφερε καρπόν, καὶ τὸν σίδηρον, καὶ τὸν δενδρίτην πεφυτευμένης καὶ διειργασμένης τῆς χώρας. εἰσὶ γὰρ πεδία ἐν τοῖς Ἰδαίοις ὄρεσιν εὐμεγέθη καὶ ἐν τοῖς ἄλλοις, ὧν νῦν οὐδὲν ἐπιγεωργοῦσι, διὰ τὸ μὴ φέρειν. τότε δ' ὥσπερ εἴρηται, καὶ ἐπῴκουν· ὅθεν καὶ ἡ νῆσος πλήρης ἦν ἀνθρώπων, ὄμβρων μὲν γινομένων κατ' ἐκεῖνον τὸν χρόνον, πολλῶν χιόνων δὲ καὶ χειμώνων μὴ γινομένων. εἰ δ' ἐστὶν ἀληθῆ ταῦτα, καθάπερ λέγομεν, ἀναγκαῖον καὶ τοὺς ἐτησίας εἶναι πλείους. εἰ δέ ποτ' ἐξέλιπον, καὶ Ἀρισταῖος αὐτοὺς ἀνεκαλέσατο, θύσας τὰς ἐν Κέῳ θυσίας τῷ Διί, καθάπερ μυθολογοῦσι, καίτοιγε ἂν εἴη τὰ περὶ χειμέρια οὐχ ὁμοίως, οὐδὲ χιονώδη, ταῦτα διά τινα ἔχειν διαλλαγήν, εἴτε τεταγμένην, εἴτ' ἄτακτον, εἴη ἂν καὶ τῶν πνευμάτων ταῦτα καὶ μεταλλαγὴ περὶ τοὺς αὐτοὺς χρόνους. ἄτοπον δ' ἂν δόξειεν, εἰ μὴ καὶ τοῖς πρὸς μεσημβρίαν οὐκ ἦν τοιαύτη τις μεταβολὴ περὶ τὸ πλῆθος. πολὺ γὰρ ἐκπυρώτερος ὁ τόπος ἐκεῖνος. δῆλον οὖν τοίνυν πλείω εἰς τὸν μέσον καρπόν, οἱ δὲ περιτρέπουσιν, οἱ δ' ἀπαθεῖς εἰσι. περὶ μὲν τούτων σκεπτέον. εἰ δὲ πάντων τῶν πνευμάτων ἡ αὐτὴ καὶ ὑπὸ τῶν αὐτῶν γένεσις, τῷ καταλαβεῖν ἥλιος αὐτὰ ποιεῖν ἄν, τάχα δ' οὐκ ἀληθὲς καθόλου εἰπεῖν, ἀλλ' ὡς ἡ ἀναθυμίασις· οὕτως δ' ὡς συνεργῶν. ἀλλ' ὁ ἥλιος δοκεῖ καὶ κινεῖν ἀνατέλλων, καὶ καταπαύειν τὰ πνεύματα. διὸ καὶ ἐπαυξάνεται, καὶ ἐμπίπτει πολλάκις. οὐ καθόλου δὲ τοῦτ' ἀληθές· ἀλλ' ἐφ' ὧν τοῦτο συμβαίνει, ταύτην ὑποληπτέον τὴν αἰτίαν. ὅταν μὲν γὰρ ἔλαττον ᾖ τὸ ἀνηγμένον ὑγρόν, τότε κατακρατεῖ, ἐξαναλίσκει καὶ κατέπαυσεν ὁ ἥλιος. ὅταν δὲ πλέον, συμπαρώρμησε, καὶ σφοδροτέραν ἐποίησε τὴν κίνησιν. ἐνίοτε δὲ καὶ ἅμα τῇ δύσει κατέπαυσεν, ἀφελόμενος τὴν ἀπ' αὐτοῦ κίνησιν ἣν ἐδίδωκεν. ταύτην δὲ δῆλον, ὡς ἔχειν τινὰ δεῖ συμμετρίαν, ὥστε μὴ ἐξαναλίσκεσθαι, μήτ' ἐξ αὐτοῦ δύνασθαι κινεῖσθαι πλείω χρόνον. ἔνια δὲ καὶ δύνοντος τοῦ ἡλίου ὑπνεῖν οὐδὲν κωλύει μᾶλλον, οἷον ὅσα κατέχεται τῇ θερμότητι, καὶ ὥσπερ ἐξαναξηραίνεται καὶ ἐγκαίεται. διὰ τοῦτο γὰρ καὶ ἐν μεσημβρίᾳ μάλιστα πνεύματα. παρεγκλίναντος δὲ τοῦ ἡλίου, πνεύματα διίσταται. ποιεῖ δὲ καὶ ἡ σελήνη ταῦτα, πλὴν οὐχ ὁμοίως· οἷον γὰρ ἀσθενὴς ἥλιός ἐστιν. διὸ καὶ νύκτωρ δὲ νοτώτεραι * καὶ αἱ συνόδοι τῶν μηνῶν χειμεριώτεραι. συμβαίνει δ' οὖν ὅτι μὲν ἀνατέλλοντος τοῦ ἡλίου τὰ πνεύματα ἐπαίρεσθαι, ὅτι δὲ λήγειν. καὶ περὶ τὰς δύσεις ὁμοίως· ὅτι μὲν γὰρ κατέπαυσεν, ὅτι δ' ὥσπερ ἀφῆκεν. εἰ δέ ποτε καὶ περὶ σύμπτωμα γίνοιτο, ταῦτα καθάπερ καὶ τὰ περὶ τῶν ἄστρων ἀνατολὰς καὶ δύσεις, ἐπισκεπτέον. ταὐτὸ δὲ καὶ περὶ τῆς αἰτίας, καὶ διὰ μέσων νυκτῶν καὶ μεσημβρίας ἄπνοιαι γίνονται καὶ μάλιστα. συμβαίνει γάρ, ποτὲ μὲν κρατεῖν, ποτὲ δὲ κρατεῖσθαι τὸν ἀέρα τὸν τοιοῦτον ὑπὸ τῶν * μέσων μὲν νυκτῶν κρατεῖν· πορρωτάτω γὰρ ὁ ἥλιος τότε μεσημβρίας, κρατεῖν δὲ καὶ κρατούμενος ἴσχειν. ἡ δὲ στάσις, νηνεμία. συμβαίνει δὲ καὶ τὰς καταπαύσεις γίνεσθαι τῶν πνευμάτων κατὰ λόγον. ἄρχεται γὰρ ἡ θερμὴ περὶ δυσμάς. λέγει δὲ τὰ μὲν ἕωθεν, ὅταν κρατηθῇ. κρατεῖται δὲ περὶ μεσημβρίαν, καὶ ἀπὸ δυσμῶν, ὅταν παύσηται κρατῶν. τοῦτο δὲ γίνεται μέσων νυκτῶν. εἰ δέ τινες θαυμάζουσιν, ὡς ἄλογον, ὅτι τὰ πνεύματα ψυχρά ἐστιν ἀπὸ τῆς τοῦ ἡλίου κινήσεως, καὶ ἁπλῶς τοῦ θερμοῦ γινόμενα, ψεῦδος τὸ φαινόμενον αὐτοῖς ἄλογον. οὔτε γὰρ ἁπλῶς, ἀλλ' ὡς συναίτιον προσαπτέον, οὔτε πάντως ἡ ὑπὸ τοῦ θερμοῦ κίνησις θερμὴ καὶ πυρώδης, ἀλλ' ἐὰν τρόπον τινὰ γίνηται. ἀθρόως μὲν γὰρ ἐκπίπτουσα, καὶ ἡ συνεχὴς αὐτῷ τῷ ἀφιέντι θερμή. κατὰ μικρὸν δὲ καὶ διὰ στενοῦ τινος αὕτη μὲν θερμή, ὁ δ' ὑπὸ ταύτης κινούμενος αὐτοῦ ὁποῖος ἄν ποτε τυγχάνῃ πρότερον ὑπάρχων, τοιαύτην δὲ τὴν κίνησιν ἀποδίδωσιν. παράδειγμα δ' ἱκανὸν τὸ ἐκ τῶν στομάτων ἀφιέμενον, ὅ φασιν εἶναι θερμὸν καὶ ψυχρόν, οὐκ ἀληθῆ λέγοντες. ἀλλ' ἀεὶ μὲν θερμόν ἐστι· διαφέρει δὲ τῇ προέσει καὶ ἐκπτώσει. χανόντων μὲν γάρ, καὶ ἀθρόον ἀφιέντων θερμόν. ἐὰν δὲ διὰ στενοῦ σφοδρότερον φερόμενον ὠθῇ τὸν πλησίον ἀέρα, κἀκεῖνος τὸν ἐχόμενον ψυχρῶν ὄντων, καὶ ἡ πνοὴ καὶ ἡ κίνησις γίνεται ψυχρά. τὸ αὐτὸ δὲ καὶ ἐπὶ τῶν πνευμάτων συμβαίνει. διασείει γὰρ ὥσπερ τῆς πρώτης κινήσεως, αὐτὸ μὲν τὸ πρῶτον οὐ ψυχρόν. τὸ δ' ὑπὸ τούτου κινούμενον, ὡς ἂν ἔχον τυγχάνῃ πρὸς θερμότητα καὶ ψυχρότητα. ψυχροῦ μὲν γὰρ ὄντος, ψυχρόν· θερμοῦ δέ, θερμόν. καὶ διὰ τοῦτο θέρους μὲν θερμά, χειμῶνος δὲ ψυχρὰ πνεύματα. καθ' ἑκατέραν γὰρ τὴν ὥραν τοιοῦτος ὁ ἀήρ. φανερὸν δ' ὅτι διὰ τῆς * ἐκπεπυρωμένου οἷον τετύχηκεν. ἐὰν γὰρ ὅτι * πνεῦμα καὶ ὁ πόθος * θερμὸν εἴτε ψυχρὸν ὅμως * διαφορὰ τοῦ ἀέρος ἂν ᾖ τοιοῦτος φαίνεται καὶ ἐν αὐτοῖς

νότος πῶς αἰτίων, ἢ οἱ ἐξ ἐκείνου τοῦ τόπου πνέοντες τοῖς πρὸς ἄρκτον. οὐ μικρὰ δὲ κἀνταῦθα, ἀλλὰ μεγίστη ῥοπὴ τὸ τὰς χώρας ὕψος ἔχειν, ὅπου ἂν προσκόπτῃ τὰ νέφη, καὶ λάβῃ στάσιν, κἀνταῦθα καὶ ὕδατά πως γίνεται. διὸ καὶ τῶν σύνεγγυς τόπων, ἄλλοι παρ' ἄλλοις ὑέτιοι τῶν ἀνέμων. ἀλλὰ περὶ μὲν ὑδάτων ἐν ἑτέροις εἴρηται διὰ πλειόνων. ἐκ τῆς αὐτῆς δὲ αἰτίας, καὶ ὁ μὲν Βορέας εὐθὺς ἀρχόμενος μέγας, ὁ δὲ νότος λήγων. ὅθεν καὶ ἡ παροιμία συμβουλεύει τὰ περὶ τοὺς πλοῦς. ὁ μὲν γὰρ εὐθὺς, οἷον ἐπίκειται τοῖς περὶ ἄρκτον οἰκοῦσιν· ὁ δὲ μακρὰν ἀφικνεῖται. χρονιωτέρα δὲ ἡ τοῦ ἄπωθεν ἐκεῖθεν, καὶ ὅταν ἀθροισθῇ πλῆθος. τοῖς γὰρ περὶ Αἴγυπτον καὶ τοὺς τόπους ἐκείνους, ἀνάπαλιν ὁ νότος ἀρχόμενος, μέγας. ὅθεν καὶ τὴν παροιμίαν ἐναντίως λέγουσιν. ὡσαύτως δὲ καὶ τὸ πυκνὸν καὶ ἄκυμον καὶ συνεχὲς καὶ ὁμαλὲς ἐκείνοις ὁ νότος ποιεῖ μᾶλλον. ἀεὶ γὰρ τοῖς ἐγγὺς ἕκαστος τοιοῦτος· τοῖς δὲ πόρρω καὶ ἀνώμαλος καὶ διεσπασμένος. τούτων μὲν οὖν τὰς εἰρημένας αἰτίας ὑποληπτέον, αἵπερ ἐμφανεῖς καὶ κατ' ἄλλους τρόπους εἰσίν, ἐλάττους καὶ ἔλαττον ἀπέχοντας ἀλλήλων. ὥσπερ δ' οὖν καὶ δόξα ἀνάλογον εἶναι. ὁ μὲν γὰρ νότος ἀεὶ τοῖς ἑαυτοῦ τόποις αἴθριος. ὁ δὲ Βορέας, ὅταν ᾖ χειμὼν μέγας, ἐν μὲν τοῖς πλησίον συννεφὴς, ἔξω δ' αἴθριος. αἴτιον δ' ὅτι διὰ μὲν τὸ μέγεθος πολὺν ἀέρα κινεῖ. ὥσπερ δὲ φθαίνει καὶ πήγνυσι πρὶν ἀπωσαι. παγέντα δὲ μένει τὰ νέφη διὰ βάρος εἰς τὰ ἔξω, καὶ πορρωτέρω τοῦ μεγέθους μᾶλλον ἡ ψυχρότης διαδίδοται, καὶ ὥσπερ ἐργαζομένη. ὁ δὲ νότος ἧττόν τε ἔχων ὕλην, καὶ ταύτην οὐ πηγνὺς, ἀλλ' ἀπωθῶν, αἰθρίαν ἄγει τοῖς πλησίον. ὑετιώτερος δ' ἀεὶ τοῖς πόρρω μέγας πνέων, καὶ λήγων μᾶλλον ἢ ἀρχόμενος. διὰ ἀρχόμενος μὲν ὀλίγον ἀέρα ἀπωθεῖται, παυόμενος δὲ πλείω. καὶ οὕτως ἀθροιζόμενος ἐπινεφοῦταί τε, καὶ πυκνωθεὶς ὑδατώδης γίνεται. τὸ δὲ καὶ τὸ ἀπ' ἐλάττονος ἢ μείζονος ἀρχῆς ἄρχεσθαι, διαφέρει. μικρᾶς μὲν γὰρ οὔσης, αἴθριος· μεγάλης δὲ ἐπινεφὴς καὶ ὑέτιος, διὰ τὸ πλείω συνωθεῖν ἀέρα. τὸ δὲ μὴ πνεῖν παρὰ ταύτην τὴν Αἴγυπτον εἰς θάλατταν τὸν νότον, ὥς τινές φασιν, μηδ' ὅσον ἡμέρας ἀπέχοντα καὶ νυκτὸς δρόμον, ἀλλὰ τὰ ὑπὲρ Μέμφιδος λαμπρόν. ὁμοίως δὲ καὶ ἐὰν ἀπέχῃ τοσοῦτον, οὐκ ἀληθὲς μὲν εἶναί φασιν, ἀλλὰ ψευδές. οὐ μὴν ἴσως γε, ἀλλ' ἔλαττον πνεῖ. τὸ δὲ αἴτιον, ὅτι κοίλη τὰ κάτω ἡ Αἴγυπτος, ὥσθ' ὑπερπίπτειν αὐτοῦ· τὰ δ' ἄνω ὑψηλότερα. ἐπεί τό γε σύνεγγυς ἀπαιτεῖ τὸ μέγεθος. τὰ γὰρ τοιαῦτα μάλιστ' ἐκ τῶν τόπων ἀκροατέον, ἅπερ καὶ φύσιν ἔχειν. διαμένει δὲ ἐπινεφῆ καὶ αἴθρια τὰ πνεύματα τοῦθ' ὁμοίως, ὥσπερ ἀρτίως ἐλέχθη. τὸ δὲ τὸν Βορέαν ἐπιπνεῖν νότῳ, τὸν δὲ νότον μὴ τῷ Βορέᾳ, πρὸς ἐκείνην τὴν αἰτίαν ἀνακτέον, ἣν μείζουσαν ἑκατέρα παρὰ τοὺς τόπους. παρ' ἡμῖν γὰρ ὥσπερ συμβαίνει, καὶ ὅλως τοῖς ὑπὸ τὴν ἄρκτον οἰκοῦσιν. τοῖς δὲ πρὸς τὴν μεσημβρίαν ἀνάπαλιν. αἴτιον δ' ἀμφοῖν τὸ αὐτό. τοῖς μὲν γὰρ ὁ Βορέας, τοῖς δ' ὁ νότος πλησίον. ὥστ' εὐθὺς ἀρχόμενοι ποιοῦσιν αἴσθησιν. εἰς δὲ τὰ πόρρω βραδέως διικνοῦνται. πλειόνων δὲ ὄντων, ὥσπερ εἴρηται, Βορείων καὶ νοτίων, ἑκατέρας οἷον τάξεις. ἐν οἷς χρόνοις μάλιστα πνέουσι παρὰ λόγον μέχρι τοῦ λέγειν. τοῖς δὲ νοτίοις, παρὰ χειμῶνά τε καὶ ἀρχομένου καὶ μετοπώρου λήγοντος. ὅτε γὰρ αἵ τε τοῦ ἡλίου φοραὶ συνεργοῦσιν ἀμφοτέροις, καὶ ἡ ἀνταπόδοσις γίνεται καθάπερ παλιρροοῦντος τοῦ ἀέρος. ὁ γὰρ ἀπωσθεὶς παρὰ χειμῶνα, πλείους γὰρ ὡς ἐπίπαν Βορέαι πνέουσι, καὶ ἔτι πρότερον τοῦ θέρους ὑπὸ τῶν ἐτησίων, καὶ τοῖς ἐκεῖ τόποις ἀνταποδίδωσι πάλιν τοῦ ἦρος εἰς τούσδε τοὺς τόπους, καὶ λήγοντος μετοπώρου καὶ περὶ πλειάδος δύσιν ἀνάλογον. ὃ δὴ καὶ τὸ θαυμαζόμενον, ὡς οὐκ ὂν, διὰ τί Βορέαι μὲν ἐτησίαι γίνονται, νότοι δ' οὐ γίνονται, φαίνεται πῶς συμβαίνειν. οἱ γὰρ ἠρινοὶ νότοι, καθάπερ ἐτήσιοι τινές εἰσιν, οὓς καλοῦσι λευκονότους. αἴθριοι γὰρ, καὶ ἀσυννεφεῖς, ὡς ἐπίπαν. ἅμα δὲ καὶ τὸ μακρὰν ἀπορπῶσθαι λαμβάνουσιν. ὁ δὲ Βορέας εὐθὺς ἐν ἡμῖν· ἡ δὲ τῶν ἐτησίων φύσις. διὰ τί δὲ ταύτην τὴν ὥραν καὶ πῶς οὕτως πνέουσι, καὶ διὰ τί λήγουσι τῆς ἡμέρας λαγώσης, καὶ νύκτωρ πνέουσι, χαλεπὸν ἐν ταύταις λέγεται ταῖς αἰτίαις, ὡς ἄρα ἡ μὲν πνοὴ γίνεται διὰ τὴν τῆς χιόνος τῆξιν. ὅταν μὲν οὖν ὁ ἥλιος ἄρξηται λύειν τὸν πάγον, καὶ κρατεῖν, οἱ πρόδρομοι. μετὰ δὲ ταῦτα οἱ ἐτησίαι. τὸ δὲ ἅμα τῇ καταφορᾷ τοῦ ἡλίου λήγειν, καὶ νύκτωρ μὴ πνεῖν, αἴτιον τὸ τὴν χιόνα τηκομένην παύεσθαι δυομένου, καὶ νύκτωρ μὴ τήκεσθαι δεδυκότος. οὐ μὴν ἀλλ' ἐνίοτε πνέουσιν, ὅταν πλείων ἡ τῆξις γίνηται. καὶ γὰρ δὴ ἀνωμαλίας αἴτιον τοῦτο· λοιπὸν μὲν γὰρ μεγάλοι καὶ συνεχεῖς, ὅτε δ' ἐλάττους καὶ διαλείποντες πνέουσι, διὰ τὸ τὰς τήξεις ἀνωμαλεῖς γίνεσθαι. παρὰ δὲ τὴν ὕλην ἡ φορά, ταύτην δὲ τὴν ἀνωμαλίαν ἐνδέχεται καὶ τοῖς τόποις, καὶ τῷ σύνεγγυς ἢ πόρρω, καὶ ἄλλαις τοιαύταις διαφοραῖς συμβαίνειν. εἰ δ' οὖν ἀληθὲς ὃ λέγουσιν ἄλλοι

τε καὶ

διὸ καὶ μαλακώτατα καὶ συμμετρίαν τινὰ ζητοῦσι πρὸς τὴν ὄπτησιν, καὶ ἐργωδέστερόν φασι τὸ καλῶς ὀπτῆσαι καὶ μᾶλλον τέχνης, ἢ τὸ ἑψῆσαι. οἱ δ᾽ ἄνθρακες γίνονται μὲν μέλανες, ὅτι ἐγκατακλείεται ὁ καπνὸς ἐν αὐτοῖς μέλας ὢν φύσει, καθάπερ βάπτει. διὸ μελίτταις οἱ σκευασταί· καίουσι γὰρ οὕτως, ὥστε ἀποσβέννυσθαι θυμιῶντες, καὶ κατὰ μικρὸν διαδόντες ἀναπνοήν. ἐὰν γὰρ φλογωθῇ, κατακαίει, καὶ διαλλοιοῦται εἰς τέφραν. ὁ δὲ καπνὸς ὁ μέλας, διὰ σύγκειται ἐξ ὑγροῦ διαλυομένου εἰς πνεῦμα καὶ γῆν, καὶ τοῦ πνεύματος ὄντος μέλανος· ὁ γὰρ ἀὴρ φύσει μέλας. ἕως μὲν οὖν αὖ ἔχουσι πῦρ, ἐρυθροὶ φαίνονται. διὰ γὰρ τοῦ μέλανος, τὸ λευκὸν φαίνεται φοινικοῦν, ὥσπερ ὁ ἥλιος διὰ καπνοῦ καὶ ἀχλύος. διὸ καὶ ὁ ἄνθραξ τῆς φλογὸς ἐρυθρότερος· λεπτότερος γὰρ ὁ ἀποκρινόμενος καπνός, τοῦ ἐνυπάρχοντος ἐπιγειώδους τῷ χυλῷ. διὸ καὶ ἧττον ὄντος εὐδιόπτος. ἐπεὶ καὶ αὐτῆς τῆς φλογὸς ἡ μᾶλλον καπνώδης, καὶ τῶν χλωρῶν ἐρυθρὰ ξύλων. ὅταν δ᾽ ἀποσβεσθῶσι πνίξει συγκατακλειομένου, καὶ ἐναποσβεννυμένου τοῦ καπνοῦ, μέλανες γίνονται διὰ τὴν λεχθεῖσαν αἰτίαν. τὰ δ᾽ ἐκκαύματα μάλιστα διαμένει, ὅτι ἐναπολαμβάνεται τὸ πνεῦμα τοῦ πυρός. πνευματῶδες γὰρ μάλιστα τὸ πῦρ. ἀλλὰ περὶ μὲν τούτων ἱκανῶς εἴρηται μέχρι γε τοσούτου, ἀκριβέστερον δὲ πάλιν ἐν ἄλλοις ἐροῦμεν περὶ αὐτῶν.

ΘΕΟΦΡΑΣΤΟΥ ΠΕ
ρὶ ἀνέμων.

Ἡ ΤΩΝ ἀνέμων φύσις, ἐκ τίνων μὲν, καὶ πῶς, καὶ διὰ τίνας αἰτίας γίνεται, τεθεώρηται πρότερον. ὅτι δ᾽ ἑκάστοις αἱ δυνάμεις, καὶ ὅλως τὰ παρακολουθοῦντα κατὰ λόγον ἀκολουθεῖ, πειρατέον λέγειν εἰς τὸ πρόχειρον διαφέρει ἀλλήλων. αἱ γὰρ διαφοραὶ περὶ ταῦτα, καὶ ἐν τούτοις· οἷον μέγεθος, καὶ μικρότης, ψυχρότης, θερμότης, ἁπλῶς τὸ χειμερινὸν ἢ εὐδιεινόν, καὶ ὑέτιον ἢ αἴθριον· ἔτι δὲ τὸ πολλάκις ἢ ὀλιγάκις καθ᾽ ὥραν, ἢ τὸ μὴ ἀεὶ πνεῖν καὶ συνεχεῖς καὶ ὁμαλεῖς, ἢ διαλείποντας καὶ ἀνωμαλεῖς. καὶ ὅλως ἃ συμβαίνει περὶ τὸν οὐρανόν, ἢ περὶ τὸν ἀέρα καὶ τὴν γῆν, καὶ τὴν θάλατταν διὰ τὴν πνοήν. ὡς γὰρ ἂν ἁπλῶς εἰπεῖν, ἐν τούτοις ἐστὶ περὶ ταῦτα τυγχάνουσιν αἱ ζητήσεις, ἐν οἷς καὶ τὰ περὶ τῶν ζώων καὶ φυτῶν περιλαμβάνεται. ἐπεὶ δ᾽ ἑκάστου τόπος ἴδιος ὑπόκειται, καὶ τοῦθ᾽ ὥσπερ τῆς οὐσίας ἀπὸ τούτων, οἷς ἁπλῶς εἰπεῖν καὶ αἱ διαφοραὶ εἰσὶ αἱ δυνάμεις καὶ ἕκαστον εἰπεῖν· οἷον πρῶτον ἡ τοῦ μεγέθους καὶ σμικρότητος, καὶ ψυχρότητος καὶ θερμότητος, καὶ πλήθους καὶ ὀλιγότητος, καὶ τῶν ἄλλων τῶν πλείστων. ὑπάρχει δὲ ταῦτα. τὰ δ᾽ ἐναντία τοῖς ἐναντίοις· ἀμφότερα δ᾽ εὐλόγως, οἷον τῷ Βορέᾳ καὶ τῷ νότῳ. μεγάλοι μὲν γὰρ ἄμφω, καὶ πλεῖστον χρόνον πνέουσι, διὰ τὸ συμβαίνειν πλεῖστον ἀέρα πρὸς ἄρκτον καὶ μεσημβρίαν, πλαγίων ὄντων πρὸς τὴν τοῦ ἡλίου φοράν, τὴν ἀπ᾽ ἀνατολῶν ἐπὶ δυσμάς. ἐξωθεῖσθαι γὰρ ἐνταῦθα τῇ τοῦ ἡλίου δυνάμει· διὸ καὶ πυκνότατος καὶ συνεφεστατος ὁ ἀήρ. ἀθροιζομένου δ᾽ ἐφ᾽ ἑκάτερα πολλοῦ, καὶ πλείων ἡ ῥύσις, καὶ συνεχεστέρα γίνεται πλεονάκις. ἐφ᾽ ὧν τά τε μεγέθη, καὶ ἡ συνέχεια, καὶ τὸ πλῆθος αὐτῶν, καὶ ἄλλο τοιοῦτόν ἐστιν. ἡ δὲ ψυχρότης καὶ θερμότης ἐμφανέστατα δόξαιεν ἂν εἶναι, διὰ τοὺς τόπους γινόμεναι· ψυχρὰ γὰρ τὰ πρὸς ἄρκτον, τὰ δὲ πρὸς μεσημβρίαν ἀλεεινά. τὸ δ᾽ ἐφ᾽ ἑκάτερον ῥεῖν, ὅμοιον. ἅμα γὰρ καὶ ἧττον ἐναπεπλησμένα τῷ σύνεγγυς, καὶ ἐναπεπλησμένη φορᾷ. τὸ δὲ διὰ ξηροῦ καὶ σφοδροτέρως φερόμενον, ψυχρότερα· ὥς τε τὸ πόρρω διακεκαυμένον μᾶλλον, καὶ αὐχμηρόν. διὸ καὶ ὁ νότος ἐκεῖ ψυχρότερος, ἢ παρ᾽ ἡμῖν· ὥς δή τινές φασι, καὶ μᾶλλον ἢ Βορέας. ποιεῖ δέ τι καὶ ἡ μεταβολὴ πρὸς φαντασίαν. ἀλλ᾽ εἰ περιέχοντος τοῦ τόπου. καὶ τοῦτο μὲν κοινόν, ὡς εἰπεῖν, πᾶσι. τὸ δὲ ὑέτιον καὶ αἴθριον, ἑκάτερον καὶ τὸ κυματῶδες καὶ ἄκυμον καὶ πυκνόν, καὶ συνεχὲς καὶ ἀνώμαλον καὶ ὁμαλόν. ἔτι δὲ τὸ μέγεθος τοῦ μὲν ἐρχομένου, τοῦ δὲ λήγοντος πρὸς τὴν ἐπίστασιν τοῦ τόπου ἀκολουθεῖ μᾶλλον. ὅθεν μὲν γὰρ ἕκαστος πνεῖ, παρ᾽ ἐκείνοις αἴθριος· ὅπου δ᾽ ἀπωθεῖ τὸν ἀέρα, παρ᾽ ἐκείνοις δ᾽ ἐπινεφὴς καὶ ὑέτιος. διόπερ ὁ μὲν Βορέας, καὶ μᾶλλον οἱ ἐτησίαι, τοῖς πρὸς μεσημβρίαν καὶ ἀνατολὴν οἰκοῦσιν ὑέτιοι. ὁ δὲ

παλιλλαμπόμενον πῦρ, ὥσπερ οἱ λύχνοι. καὶ οὔθ' ἡ παλαιὰ σφόδρα, οὔθ' ἡ νέα, ἀλλ' ἡ ἀρτίκαυστος καὶ βωλοειδής. τῆς μὲν γὰρ ὁ χρόνος ἐξήρηται, διὰ τὴν ἀναπνοήν. ἡ δὲ μικρομερὴς ἄγαν ὀλίγον ἔχει. μικρὸν δὲ ὂν τὸ πῦρ ἀσθενές. ἔοικε δὲ καὶ τὸ περὶ τὴν γύψον τὴν φοινικικὴν τοιοῦτον εἶναι· φασὶ γὰρ καὶ ἐκείνην ἀναφυσωμένην καίειν· οὐδὲν γὰρ διαφέρειν σύμφυρμα, καὶ ἐπακτὴν ἔξωθεν ἔχειν τὸ θερμόν. ἐμφαίνει δέ πως καὶ τὸ νίτρον τὸ κεκαυμένον ἐν τῷ ὀρύττεσθαι τὴν τοιαύτην δύναμιν. ὅταν γὰρ ὕδωρ θερμὸν ἐπιχυθῇ, διαθερμαίνει, καὶ αἴσθησιν ἐμποιεῖ περὶ τὴν ἁφήν, ἀεὶ δεῖ συμμετρίας τινὸς εἰς ἅπαντα τὰ τοιαῦτα πρὸς τὸ κρατεῖσθαι. διὰ τοῦτο γὰρ καὶ ὁ οἶνος ἐγχεόμενος ἐπὶ τὴν φλόγα, καθάπερ τοῖς σπένδουσιν ἐκλάμπει. καὶ ἡ θάλαττα, ὅταν σβεννύωσιν. ἐὰν δ' ἔλαττον ᾖ καὶ τὸ ὕδωρ· συνεκλάμπεσθαι γάρ, καὶ ἀθροισθὲν ἰσχυρότερον. ἐν δὲ τῇ πίττῃ καιομένῃ μᾶλλον, ὅτι σφοδροτέρα καὶ πλείων ἡ φλόξ, ὥστε καὶ ἐκπηδᾶν, καὶ κατακαίειν τὰς οἰκίας. διακρίνεται γὰρ τὸ ἐμπίπτον κρατυθέν, καὶ ἐκφλογοῦται. ψόφος δὲ γίνεται πυρουμένης, διὰ τὸ μάχεσθαι τὸ θερμὸν καὶ τὸ ὑγρόν· ὅπερ συμβαίνει κατὰ τὴν σβέσιν. ἀεὶ γάρ τις ὁ ψόφος περὶ τὴν ἐναπόληψιν καὶ ἐνταῦθα κἀκεῖ. ταῦτα δὲ καὶ ἐπὶ τῶν λύχνων ἔστιν ὁρᾶν, ὅταν ὕδωρ ἔχῃ τὸ ἔλαιον· τὸ γὰρ ὕδωρ σβέννυσι. καὶ τὰ φύλλα δὲ τὰ τῆς δάφνης, καὶ τῆς κιττοῦ, καὶ τὰ ἄλλα τὰ τοιαῦτα, πηδᾷ διὰ πυκνότητα, καὶ διὰ τὸ ἔχειν πολὺ τὸ ὑγρὸν ἐξάγει. ὅτε γὰρ πολύ, καὶ οὐ δίεισι τῇ πυκνότητι, διὸ καὶ ὁ ψόφος. ὡσαύτως δὲ καὶ τὰ ξύλα τὰ καιόμενα, τὰ μὲν ῥήγνυται καὶ πηδᾷ, τὰ δὲ συνεχῆ ποιεῖ τινα ψόφον. καλοῦσι δὲ οἱ μὲν μέλαν τὸν ἥφαιστον, οἱ δ' ἀπειλεῖν. ἀεὶ γὰρ καὶ ἐνταῦθα διαιρουμένου τοῦ ὑγροῦ, καὶ ἀθρόου ὅτι δὲ φερομένου μετὰ βίας, ὅτε μὲν ῥῆξις γίνεται καὶ πήδησις, † ὅταν δὲ συνεχὴς ψόφος καὶ φλόγωσις· ὃ καὶ αὐτὸ ποιεῖ τρόπον τινὰ τὸ πῦρ ἐν φρέατι πνεύματος ὄντος, ἅτε πυρουμένου. ὁ δὲ καπνὸς ἐπιλυπεῖ, ὅταν ἐν τῷ αὐτῷ πυρί. διὸ καὶ οἱ ἐν τοῖς σπηλαίοις πολιορκούμενοι τῷ καπνῷ πῦρ ἐὰν ἔχωσιν, οὐδὲν πάσχουσιν. σβέννυσι γὰρ τὸ ἐν τῷ καπνῷ θερμὸν τὸ πῦρ, ἐπεὶ πέφυκε τὸ πλεῖον τὸ ἔλαττον μαραίνειν. σβεννυμένου δὲ φθείρεται καὶ ὁ καπνός. διὸ καὶ ὁ ἥλιος ὥσπερ τὸ πῦρ, βοηθεῖ πρὸς τὸ μὴ καπνίζεσθαι. τὸ δ' ἐν ἐφιστῷ, καὶ προσπίπτοντα ἐκπυροῖ. διὰ τοῦτο καὶ οἱ ἐγγὺς τοῦ πυρὸς ἧττον ἐνοχλοῦνται· καὶ γὰρ τοῦτο ποιεῖ καὶ ἀναφέρει καὶ ἀνωθεῖ πρὸς τὰ ἄνω. διὰ τὸ αὐτὸ δὲ καὶ τὸ πολὺ πῦρ ἄκαπνον, ὅτι φλογοῦται καὶ κατισχύεται πολλοῦ τοῦ πυρὸς ὄντος. ὃ γὰρ ἂν πλεῖον τὸ καιόμενον, ἔλαττον τὸ καπνίζον, ἐξαφθέντος ἢ θυμιωμένου. καὶ ἐπὶ τῶν ξηρῶν ξύλων πυκνῶν συντιθεμένων ἄνωθεν, οἱ ἄνθρακες ἐπιβαλλόμενοι ποιοῦσιν ἀκαπνότερον. ὅτι ἐκφλογοῦται πᾶς ὁ καπνός, ἐμπίπτων δ' εὐθὺς εἰς τὸ πῦρ, καὶ τῇ πυκνότητι καταδυόμενος. δύσκαπνα δὲ τῶν ξύλων τά τε χλωρά, καὶ τὰ σκολιά, καὶ τὰ τινώδη, καθάπερ ὁ φοῖνιξ· δύσπνουν γὰρ ἀεὶ καὶ δυσδιαίρετον ἐστὶ τῇ φλογί. διὸ καὶ τὰ ἐσχισμένα τῶν ἀσχίστων εὐκαυστότερα· κωλύει γὰρ ὁ φλοιός. καὶ ἐάν τις κινῇ καὶ μεταστιθῇ καιόμενα, καπνωδέστερα. ὅτι συμβαίνει τὰ μὲν μεταστραφέντα συνίεσθαι, τὰ δὲ μὴ καίεσθαι, προσπίπτοντος ἄρτι τοῦ πυρός, ἀλλ' ὅσα καπνοῦν. ἔνια δὲ καὶ τῶν ἀποκίσσων περιφλαυθέντα πολυκαυστότερα γίνεσθαι, καθάπερ τὰ ἐλάινα. διὸ καὶ ὃ πολὺν χρόνον φασὶ δεῖν φυσᾶν, ἐὰν μὴ πλῆθος ᾖ ξύλων. ἡ δὲ δριμύτης τοῦ καπνοῦ, περὶ τὴν ὑγρότητα τὴν ἐκεῖσε. διὸ καὶ ὁ τῶν συκίνων δριμύς· ὀπωδέστατον γάρ. ὁ δὲ τῆς δᾳδὸς καὶ πεύκης οὐ δηκτικός, ὅτι πλείων καὶ ἐλαιώδης, ὥσπερ ὁ καπνὸς οὐκ ἔχων οὐδὲν τραχὺ καὶ γεῶδες. ὅτι δ' ἀπὸ μὲν τοῦ ἡλίου φῶς ἅπτεσι τῇ ἀνακλάσει ἀπὸ τῶν λείων, τί τὸ ἄπορον. συμμιγνῦσι δὲ τὸ ὑπέκκαυμα, ἀπὸ δὲ τοῦ πυρὸς οὐχ ἅπτουσιν. ὅμοιον δ' ἅτε λεπτομερές, καὶ ὅτι συνεχὲς γίνεται μᾶλλον ἀνακλώμενον. τὸ δὲ ἀδυνατεῖ διὰ τὴν ἀνομοιότητα γίνεσθαι. ὥστε τὰ μὲν τῷ ἀθροισμῷ, καὶ τῇ λεπτότητι διαδυόμενον, εἰς τὸ ἔκκαυμα δύναται καίειν, τὰ δ' οὐδ' ἕτερον ἔχον οὐ δύναται. ἐξάπτεται δὲ ἀπό τε τῆς ὕελου, καὶ ἀπὸ τοῦ χαλκοῦ, καὶ τοῦ ἀργύρου τρόπον τινὰ ἐργασθέντων. οὐχ ὥσπερ Γοργίας φησί, καὶ ἄλλοι δέ τινες οἴονται, διὰ τὸ ἀπιέναι τὸ πῦρ διὰ τῶν πόρων. οἱ δ' ἐρριγότες, κατὰ μικρὸν διαθερμαίνονται. καὶ οἱ λουόμενοι χλιαρῷ καταχέονται πρῶτον, ὅπως εἰσδυόμενον διαχέῃ. τὸ γὰρ ἄγαν θερμὸν ἀθρόον συνέκλεισε τοὺς πόρους, ὅτι μὲν αὐτοῖς προσέπεσεν καὶ συνέθλιψεν φρίκην ἐποίησεν. ὅτι δ' ἐκώλυσεν ἐξελθεῖν, ὥστε μὴ ἐκπαύεσθαι τὸ ῥῖγος, ἀλλὰ τὸ μὲν περικεκαῦσθαι, τὸ δὲ καταψῦξαι, καθάπερ καὶ ἐπὶ τῶν κακῶς ὀπτωμένων. καὶ γὰρ ἐνταῦθα τὰ μὲν ἐξωκαίεται, τὰ δ' ἐντὸς ὠμὰ πυκνούμενα, καὶ οὐ διέντων τῶν πόρων.

διὸ καὶ

νυχὶς, ὅθεν καὶ ἐπὶ τῶν ὑδάτων γίνεται. καὶ γίγνοιτ᾽ ἂν εἰ μὴ περιπίπτειν ἔξωθεν ἕτερα ῥεῖθρα. πολλὰς γὰρ ἴσως καὶ ἀθρόας τῶν πηγῶν, τὸ ἐγγύτατον πλεῖον· εἶτα ἐλάττω ἀεὶ, καὶ ἔλαττον. τελευτῶν δ᾽ ὑπολείπειν, ἐὰν μὴ που τόπος ἔγκοιλος ὤν, ἢ καὶ ἄλλως ἀνωμαλὴς ἀθροισμὸν ἢ διάχυσιν εἰς πλείω ποιήσῃ. ὥσπερ δ᾽ ἐπὶ τοῦ ἀέρος, καὶ τῆς φλογὸς οὐχ ἔστιν· ὁ μὲν γὰρ ὁμαλής. ἡ δὲ φλὸξ οὐ τῇ αὐτῇ φέρεται, ἀλλὰ διὰ τὴν τοῦ τόπου ἔγκλισιν. ὅμοιον δὲ, καὶ οὐχ ἥκιστ᾽ ἴσως οἰκεῖον τῷ ἐπὶ τῶν φυτῶν. καὶ γὰρ τούτων ἡ αὔξησις εἰς λεπτὸν ἀνάγκη, καὶ εἰς ὀξὺ ἡ τοῦ θερμοῦ φορὰ γινομένη, μέχρι ὅταν ἀρχὰς ἑτέρας ἐν αὐτῷ λαμβάνοντα ποιήσηται τὴν ὄζωσιν καὶ κλαδώδη ἔκφυσιν. εἰ δ᾽ ἄρα καὶ τὸ περιέχον κωλύει τι καὶ ἀφαιρεῖται, καθάπερ εἰκός, οὐχ ἧττον κινουμένου, ἀλλ᾽ ἢ ψυχρὸν ὥσπερ δρᾷ, πλείω δ᾽ ἀφαιρεῖται, καὶ μᾶλλον συνέχει, δῆλον ὅτι τοῦ ἀσθενεστέρου καὶ πορρωτέρω διατεινομένου. καὶ περὶ μὲν τοῦ σχήματος ἱκανῶς εἴρηται. φθοραὶ δὲ γίνονται πλείους τοῦ πυρός. θεωρητέον δ᾽ εἰς ἑκάστην τούτων ἀνάγων ἐπὶ μέρος, οἷα καὶ τὰ τοιάδε· διατί τὴν σάρκα καίοντα τὴν κοιλίαν οὐ καίει, οὐδὲ τὰ στόματα ὁμοίως· διατί δὲ τοὺς λύχνους τινὲς εἰς τὰ στόματα λαμβάνοντες ἀποσβεννύουσι, καὶ οὐ καίονται· διατί δὲ τοὺς διαπύρους ὀβελίσκους σφοδρότερον πιέσαντες, ἧττον οὐ καίονται. διὸ καὶ διὰ τῶν πυρῶν βαδίζοντας πρὸς τοῖς ἄλλοις οἷς παρασκευάζονται, καὶ τὸ φασὶ δρᾶν· καὶ διατί τὰ κατακαύματα τῷ θερμῷ καθίσταται, καὶ κωλύει φλυκταίνας ἐξαίρεσθαι. πάντα γὰρ ταῦτα, καὶ εἴ τι τούτοις ὅμοιον, εἰς ἐκείνας πίπτει τὰς αἰτίας, ὥστε τὴν τὸ ἔλαττον ὑπὸ τοῦ πλείονος φθείρεσθαι καὶ μαραίνεσθαι, καὶ εἰς τὸ συνθλίβειν τε καὶ καταπνίγειν τὴν ἀρχήν. ὥσπερ γὰρ ποιεῖ καὶ τὰ στόματα καὶ ἡ κοιλία καὶ ἡ πίεσις. οὐκ ἐᾷ γὰρ ἀπορρεῖν. μὴ ἀπορρέον δὲ, ἧττον καίει· τοῦτο γὰρ ἡ δύναμις. ἐπεὶ καὶ θλίβοντες οὗτοι καὶ μεταβάλλοντες τοὺς ἄνθρακας τοὺς ἀποπιέσει σβεννύουσιν. αἱ δὲ τῶν ὑγρῶν δυνάμεις αἱ σβεστικώτεραι τῷ περιδύεσθαι μάλιστα εἰς τὴν ἀρχήν, ὥσπερ ἐλέχθη περὶ τοῦ ὄξους· ἐὰν δ᾽ ἅμα καὶ γλισχρότης τις, μιχθῇ μᾶλλον. διότι τὸ μὲν γὰρ διαδύνει καὶ διοδοποιεῖ, τὸ δ᾽ ὥσπερ ἐπαλείφει καὶ ἐπιπωματίζει. διατί ὥσπερ σβεστικώτατον εἶναί φασιν, ἐάν τις μίξῃ τὸ ὄξος ᾠοῦ λευκῷ· τὸ μὲν γὰρ γλίσχρον, τὸ δὲ διαδυτικόν. καὶ πρὸς τὰς ἐμπρήσεις τῶν μηχανημάτων οὕτω μάλιστα βοηθεῖν. ἐὰν δ᾽ ἅμα τῇ ὑγρότητι τῇ τοιαύτῃ καὶ τὸ ψυχρὸν προσῇ φύσει, καὶ τοῦτο συνεργεῖν εἰς τὴν σβέσιν, ὥσπερ οἱ καὶ περὶ τὴν σαλαμάνδραν ἐστίν· ψυχρὸν γὰρ τῇ φύσει τὸ ζῷον· καὶ ἡ ἀπορρέουσα ὑγρότης γλίσχρα, καὶ ἅμα χυλὸν τιν᾽ ἔχουσα τὸν αὐτόν, ὥστε διικνεῖσθαι πορρωτέρω. συμβαίνει δὲ καὶ τὰ ὕδατα ὀλέθρια γίνεσθαι τοὺς καρπούς, ἐὰν καταμιχθῇ, καὶ μᾶλλον τεθνεώσης. ἔτι δὲ καὶ τὸ νωθὲς τῆς πορείας συνεργεῖ. πλείω γὰρ χρόνον ἐπιμένον, μᾶλλον σβεννύουσιν. ἡ δὲ σβέσις οὐκ ἐᾷ, ὁποσονοῦν ᾖ πῦρ, ἀλλ᾽ ἐὰν σύμμετρον πρὸς τὴν φύσιν καὶ τὴν δύναμιν. καὶ ὡς ὃ ἐὰν μὴ ἐπιχρονίσῃ, πάλιν ἀναζωπυρεῖται. σύμφωνον δὲ τούτῳ καὶ τὸ τὰ ἐξεσμένα μὴ καίεσθαι· διὸ καὶ ἔνιοι πρὸς τὸ μὴ πάσχειν ἀλείφουσι. ψυχρὸν γὰρ δὴ καὶ γλίσχρον ὁ ἰξός, ὥστε μὴ διὰ τὴν πυκνότητα δέχεσθαι, καὶ διὰ τὸ ψυχρὸν σβεννύει. τούτων μὲν οὖν αὗται αἱ αἰτίαι. τοῦ δὲ μὴ ἐπαίρεσθαι τὰ κατακαύματα, καὶ εἴ τι τοιοῦτον ἕτερον, ἡ πλείων θερμότης κρατοῦσα τῆς ἐλάττονος, καὶ ἀναξηραίνουσα τὴν γινομένην σύντηξιν, ἀφ᾽ ἧς αἱ φλυκταῖναι, ὥσπερ ἐλέχθη, καὶ καταμαραίνουσα καὶ συμφεύγουσα τὴν ἀρχήν, καὶ τὰς μὲν καθ᾽ ἕκαστα σβέσεις, ἐκ τούτων θεωρητέον. διατί δ᾽ ἐκ μὲν ξύλων γίγνεται πυρεῖα, καὶ πῦρ οὐκ ἐκ παντὸς ἧττον γένεται. ὥσπερ δὲ οὐκ ἔστιν ἀληθές, ἐκ πολλῶν γίνεται μᾶλλον καὶ θᾶττον. οὐ μὴν ἀλλ᾽ εἴπερ ἐκείνην ὑποληπτέον τὴν αἰτίαν, ὅτι τὸ μὲν ξύλον εὐθὺς ὑπέκκαυμα ἔχει συγγενῶν γνώριμον τῷ πυρί. κἂν μὴ γὰρ πρὸς οὐθὲν θᾶττον πυροῦται διὰ ἀσθένειαν. ὁ δὲ λίθος ἔχει κατάξηρος ὤν· διὸ καὶ τὸ ἐκπηδᾶν δεῖ τοῦ πεπυρωμένου προσάγειν. ἅπτεται βέλτιον δ᾽ ἐν βορείοις ἢ νοτίοις τὰ πυρεῖα· διὰ ξηρότερα ὄντα θᾶττον, καὶ δι᾽ ἐλάττονος τρίψεως ἐκθερμαίνεται. διὰ τοῦ γὰρ οὐδὲ τοῦ τυχόντος, ἀλλ᾽ ἐξωρισμένων τινῶν γίνεται. δεῖ γὰρ ἔχειν τινὰ συμμετρίαν. ἄριστα δ᾽ οἱ μὲν ἐκ κιττοῦ φασιν, οἱ δὲ ἐκ τῆς καλουμένης ἀνδράχνης τὴν ἐσχάραν. τὸ δὲ τρύπανον δάφνης. οὐ γὰρ ἐκ τοῦ αὐτοῦ ποιεῖν καὶ πάσχειν, ἀλλ᾽ ἕτερον δεῖ τὴν φύσιν. ἀγαθὰ δὲ καὶ ἐκ ῥάμνου, καὶ μᾶλλον εἰς τὴν ἐσχάραν. πρὸς δὲ τῷ ξηρῷ καὶ χυμὸν εἶναι καὶ μανότητά τιν᾽ ἔχειν, δεῖται τὸ δ᾽ ὑπάρχειν ἵν᾽ ἡ τρίψις ἰσχύῃ· τὸ δὲ τρύπανον ἀπαθέστερον εἶναι, διὸ τὸ δάφνης ἄριστον. ἅμα γὰρ ἀπαθὲς ὄν, ἐργάζεται τῇ δριμύτητι. ἐπεὶ δὲ ἄνευ ὑγρότητος ἢ ἀναθυμιάσεως τινὸς οὐκ ἔστι θερμότης, διὰ τοῦθ᾽ ἡ κονία, καὶ ἡ μᾶλλον ἢ καὶ ἁπλῶς ὕδατί πως ἐπικεχυμένη, ἔστι γὰρ ὕλη τὸ ἐγκα-

u ταλελημμένο

τ' ἄλλων καὶ ἐν ἄλλοις μιγνυμένην. ἐκ ταύτης δὲ ἴσως τῆς αἰτίας καὶ ἐκεῖνο λύεται τὸ ἀπόρημα, διὰ τί ποτε ἡ μὲν κοιλία τήκει τὰ νομίσματα, τὸ δὲ ὕδωρ ζέον, θερμότερον ὂν, οὐ τήκει· καὶ γὰρ ὅλως τὸ ὑγρὸν, ὥσπερ ἐλέχθη, κωλυτικὸν τήξεως, καὶ ἅμα διὰ τὴν μαλακότητα καὶ μιγλομίξαν οὐ δύναται τέμνειν, οὐδὲ διαιρεῖν τοὺς πόρους. ἡ δ' ἐν τῇ κοιλίᾳ θερμότης ξηροτέρα καὶ γεωδεστέρα, διακρινομένου καὶ ὑπονοστοῦντος ἀεὶ τοῦ ὑγροῦ πρὸς τὴν κύστιν. καὶ πάλιν, διὰ τί τὸ μὲν ἐν πυρὶ κατακαιόμενον νεκρὸν γίνεται καὶ λείψανον, ὁ δὲ κύκλος λίθος ἐξ οὗ τὰς σοροὺς ποιοῦσι, καὶ ὅπου ἄλλοθι ταύτης ἀφανίζει πάντα, καὶ ἐν ἑαυτῷ τέφραν ποιεῖ. διαφέρει γὰρ καὶ ἐν τούτῳ ἡ θερμότης. ὅτι μὲν γὰρ ὁ λίθος ἐργάζεται τῇ θερμότητι καὶ τῇ φύσει θερμὸς ὢν, σημεῖον τὸ γίνεσθαι κονίαν ἐξ αὐτοῦ. ἔστι δὲ θερμότερον, τὸ διαιρεῖν ταχύτερον καὶ εἰς λεπτά. ταχὺ μὲν γὰρ τὸ θερμότερον καὶ κινητικώτερον, οἷον ἡ φλόξ. εἰς δὲ μικρὰ τὸ λεπτομερέστερον, διὰ τὸ πάντῃ παραδύεσθαι. τοιοῦτον δὲ τὸ ἐν τῷ λίθῳ θερμόν. ἐπεὶ ποιεῖ γε τοῦτο καὶ ὁ ἀὴρ ὁ ἐναποκλειόμενος ἐν ταῖς θήκαις, καὶ διαλύει πάντα εἰς τέφραν, ἀλλὰ χρονιώτερος θερμανθείς. ἡ δ' ἐν τῷ λίθῳ θερμότης τῆς μὲν τοῦ πυρὸς ἀσθενεστέρα, λεπτοτέρα δὲ, τῆς τοῦ ἀέρος τοῦ συγκλειομένου θερμοτέρα, λεπτὴ δ' ἧττον. ὥστε τῆς μὲν θᾶττον, τῆς δὲ λεπτοτέρα διαιρεῖν χρονιώτερον. ἐπεὶ δὲ τὸ σωματωδέστερον καὶ πυκνότερον πυρωθὲν θερμότερον διὰ τὸν τόπον, παχὺς καὶ θολερώτερος ὁ πνῖγος καὶ καύματα μᾶλλον· ὥστε ἔνιοι ψυχρότεροι καὶ καυματωδέστεροι. πυρωθεὶς γὰρ ὁ ἀὴρ, κατέχων ἐν ἑαυτῷ διὰ τὴν παχύτητα τὸ θερμὸν, ἐκπυροῖ τὸν τόπον, ὡς ἐπὶ τὸ πολὺ δ' οἱ τοιοῦτοι καπνοί. ἐὰν δὲ καὶ ἐπιπίπτῃ πνεῦμα θερμὸν ὄντα τὸν ἀέρα προσφέρον, καίεται. διὰ τὴν αὐτὴν δ' αἰτίαν, καὶ τῶν ἑψομένων τὰ παχύτερα θερμότερα, καθάπερ τὸ γάλα, καὶ ὅλως τὰ ῥοφήματα τῶν ὑδάτων. καὶ ἐὰν ἐπιβάλλῃ τις ἐπὶ τὸ ὕδωρ, θερμαίνεται θᾶττον ἢ ψιλόν. οἷον γὰρ ἀντιφράττει καὶ κωλύει διατμίζειν ἔξω τὸ θερμὸν, ὥσπερ τὰ ἐπιπωματιζόμενα, καὶ ἅμα διὰ θερμανθὲν θερμαίνει. πᾶν γὰρ ἔχον πυκνότητα, δύναται ποιεῖν τοῦτο διὰ τὸ κατέχειν. ὅλως γὰρ, ὃ πολλάκις λέγεται, τὸ μὲν ἐν λεπτῷ καὶ ῥέον αὐτὸ καὶ μὴ μένον, ἔτι δὲ μικρομερὲς ὂν οὐχ ὁμοίως καίεται. τὸ δ' ἐναντίως ἔχον τούτῳ, διὰ τὸν ἀθροισμὸν καίει μᾶλλον, καὶ ἰσχυρότερον γίνεται καὶ χρονιώτερον. τῆς δὲ φλογὸς λευκότατον ἀεὶ καὶ καθαρώτατον τὸ μέσον. τὸ δὲ κάτω καὶ τὸ ἔσχατον, ἐρυθρὰ καὶ μελαίνεται μᾶλλον. ἐμφαίνεται δὲ τοῦτο μάλιστα ἐπὶ τῶν λύχνων, ὅτι ἀμιγέστατον τοῦτο τῇ ἀναθυμιάσει. τὸ μὲν γὰρ πρὸς αὐτῇ μίξις καὶ τοῖς λύχνοις, ἅτε ἐπὶ τοῦτο φερομένης τῆς ἀναθυμιάσεως, εὐλόγως μελαίνει μᾶλλον. εἰς δὲ τὸ ἄκρον, οἷον συῤῥοῦν γίνεται, καταλήγοντος ἤδη καὶ ἅμα προσεπιλαμβάνοντος τοῦ μέρους. ἄνω γὰρ ἡ ἰσχὺς πᾶσα καὶ ἡ φορὰ τῆς φλογός. διὸ καὶ ὁ καπνὸς ταύτῃ μάλιστα φέρεται. τάχα δὲ κἀκεῖνο οὐ κακῶς, εἰ μὴ ἄρα καὶ ἀληθέστερον, ὡς οὔτε μὴ γίνεται ὅπου ὀξύ, οὔτε ἡ φθείρεται ὁμοίως. ἔστι δὲ κάτωθεν μὲν γίνεται, ἄνωθεν δὲ φθείρεται ὑπὸ τοῦ ἀέρος. τὸ δὲ μέσον, οἷον καθαρὸν καὶ εἰλικρινές. διὸ καὶ ταύτῃ μὲν οὐ διορᾶται. τὰ δ' ἄνω κωλύει, διὸ καὶ τὸ εἰς ὀξὺ συνῆκεν, ἢ διὰ τὴν κίνησιν. ἀπορεῖται δὲ τοῦτο, διὰ τί ποτε τῆς φλογὸς τὸ σχῆμα πυραμοειδές ἐστι. καί φησι Δημόκριτος μὲν, περιψυχομένων αὐτῶν τῶν ἄλλων, εἰς μικρὸν συνάγεσθαι, καὶ τέλος ἀποξύνεσθαι. ἕτεροι δ' ἔνιοι τῶν παλαιῶν, ὑπὸ τοῦ τῶν προσπίπτοντος μέρος πνεύματος κινήσεως περισχίζεσθαι. τότε γὰρ ἐπ' ἐκείνου τῆς φλογὸς ἀσθενέστερον εἶναι, ἢ ἐν πλάσει κινήσει, ἀλλ' οὐ περιψύχει· καὶ διὰ τὴν τῶν προσπιπτόντων πνευμάτων κίνησιν. εἰ γὰρ τὸ περιψύχειν ἱκανὸν δεῖ ὡς αὐτοὺς γίνεσθαι, οὐδ' οὐδ' ἕτερον τῶν δύο, καὶ μᾶλλον ὑπὸ τῆς κινήσεως ἢ περιψύξεως ἀποξύνεσθαι. γελοῖα δὲ ὅλως καὶ τό γε εἰς τοῦ προσπίπτοντος ἀέρος κίνησις· ὑφ' αὐτοῦ γὰρ κινεῖται τὸ πῦρ, καὶ μᾶλλον κινεῖ τὸν ἀέρα ἢ ὑπ' ἐκείνου κινεῖται τῷ διωθεῖν, ἐπεὶ καὶ δυσμαῖς ὥσπερ οὐδὲν ἧττον ἡ ὀξύτης τῆς φλογός. ἔτι δ' ἄτοπος ὁ περισυρμὸς, ὥσπερ κύφων ἐνόντων καὶ ὑπολαίων ὄντων, χρὴ τὰ τούτων πανταχόθεν ὁμοίως συμβαίνειν, καὶ πνεύματος ὄντος μείζονος μᾶλλον. νῦν δ' ἐν ταῖς ἀπνοίαις ἀποκορυφοῦται μάλιστα ἡ φλόξ, ἅτε καὶ οὐ κωλυομένη τῷ πνεύματι ἀποδιακωλύει τὴν εἰς ὀρθὸν φορὰν, ἀλλὰ περικλᾶν καὶ μεταῤῥίπτειν. τοῦτο μὲν οὖν πρὸς τὸ μὴ ἀληθὲς, ἐδ' ἄγαν συνετόν, εἰ δ' ἐν φορᾷ τινι καὶ ῥύσει τὸ πῦρ. ἀεὶ δὲ τῶν ῥεόντων εἰς ἔλαττον ἡ ἀποπλάτυνσις, μὴ γινομένης ἄλλοθεν ἐπιῤῥοῆς, ἀναγκαῖον εἰς τὸν πλείω τόπον διατεινόμενον, καὶ τὸ συνεχὲς διατηρεῖν ἀποξύνεσθαι μᾶλλον. ὥστε τοῦτ' ἂν εἴη καὶ τῆς φλογὸς αἴτιον, εἰς τὸν σχηματισμόν. ἡ γὰρ ἀρχὴ κάτωθεν ἰσχυροτάτη καὶ πλείστη. μετὰ δὲ ταῦτα ἐλάττων ἀεὶ, καὶ ἀπολήγει ἀσθενεστέρα· διασώζει δὲ τὸ συνεχές, ὅθεν

θερμότητας χρῶνται. ὁμοίως δὲ καὶ αἱ ἄλλαι τέχναι κατὰ λόγον, αἷς μὲν ὥσπερ βιαιοτέρα τις χρῆσις, ὥσπερ τῇ χαλκευτικῇ τὴν σφοδροτάτην. διὸ καὶ τοὺς ἄνθρακας τοὺς γεωδεστάτους καὶ πυκνοτάτους λαμβάνουσι, καὶ ἔνιοί γε πάττουσι » ποιοῦσιν ἕνεκα τῆς ἰσχύος. καὶ ἐν ταῖς φύσεσι χρῶνται. σφοδροτέρα γὰρ οὕτως ἡ θερμότης, καὶ ἀθροωτέρα, συνεκκαίοντος τοῦ πνεύματος. ἐν τούτῳ δ' ἄν τις καὶ ἐκεῖνο τὸ ἀπορούμενον, ὅτι ὁ μὲν ἥλιος μελαίνει τὴν σάρκα, τὸ δὲ πῦρ οὔ. συμβαίνει γὰρ, τῆς μὲν τοῦ ἡλίου θερμότητος λεπτῆς οὔσης, καὶ μαλακῆς, εἰσδύεσθαι κατὰ μικρὸν εἰς τοὺς πόρους. καὶ ὥσπερ ἀναθυμιᾶν καὶ ὑπεκκαίειν τὰ ἐπιπολῆς, διὸ καὶ ἄλυπος, ὥστε ὑπομένειν. τῆς δὲ τοῦ πυρὸς παχυτέρας καὶ σφοδροτέρας οὔσης, διαθερμαινούσης μᾶλλον, παραχρῆμα μὲν ἀνιέντος τοῦ αἵματος ποιεῖν εὔχροιαν, ὕστερον δ' οὐ διαμένειν. οὐ μὴν ἀλλ' ἐάν γε τούτου σφοδροτέρου χρῶνται καὶ κατακαύσει, μελαίνει. μέλανα γὰρ τὰ πυρίκαυστα, καὶ ὅλως τὰ κατακαιόμενα. διὸ καὶ αἱ φοινικίδες ἔχουσιν ἐν ἀρχῇ βιαίαν τινὰ χρόαν, ὥσπερ ἀποσβεννυμένου τοῦ πυρός, καθάπερ ἐν τοῖς ἄνθραξιν· οὐδὲν γὰρ μέλαν ἄνευ ὑγρότητος. ἀλλ' ὅτι ἐκκαυθέντα πάντα λευκά, καὶ τεφρώδη, καθάπερ καὶ τὰ ὀστᾶ. τὸ δ' ὑπὸ τῶν κεραμέων λεγόμενον, ὅτι μελαίνει τὸ πῦρ τὴν σάρκα μὴ μελαῖνον, ἢ οὐκ ἀληθές, ἢ οὐχ ὅμοιον. μίξει γάρ ἐστι μελαίνει τὴν ἄσβολον καὶ τὸν καπνὸν ἀναφέρον, ὥσπερ καὶ τὰ ξύλα καὶ τὸν κέραμον καὶ τοὺς τοίχους· ἐπεὶ καὶ τοὺς ἄνθρακας τρόπον τινὰ παραπλησίως. ἐγκαταδύεται γὰρ ὁ καπνὸς, ἀναφέρων πολὺ γεῶδες. ἅμα δὲ καὶ ἡ ὑγρότης οὐ πᾶσα ἐκκαίεται, διὰ τὸ μὴ ἰσάζειν· καὶ διὰ τοῦτο βαρύτεροι τῶν ἄλλων εἰσίν. ἀναφερομένης γὰρ τῆς τοιαύτης ἀναθυμιάσεως, ἕλκεται τῇ πνοῇ, καὶ εἰσδύεται πόρρω. διὸ καὶ βαρύνει τὰς κεφαλὰς, καὶ ὅλα τὰ σώματα. τούτων μὲν οὖν ταύτας τὰς αἰτίας ὑποληπτέον. ἐὰν δὲ ὅλως ἐν ἑτέροις γένεσι τεθῇ τὸ θερμὸν, οἷον ὑγρῷ καὶ ξηρῷ, πλείων ἔτι γίνεται διαφορά. πολλὰ γὰρ οὐ δύναται ποιεῖν ἑκάτερον, ὧν θάτερον οὐκ ἀσθενέστερον ἔχειν δοκεῖ τὸ θερμόν· οἷον τὸ ὕδωρ ζέον θερμότερον ὂν κατὰ τὴν ἁφὴν, οὐχ ἧττον τῆς φλογὸς, οὐ τήκει ταχύ. καὶ πάλιν τὸ πῦρ οὐ δύναται κατὰ μικρὸν ἐξάγειν τὸ ὑγρὸν, οὐδὲ συνιζάνειν καὶ παχύνειν, ἀλλὰ διὰ τὴν ξηρότητα πυκνοῦν τοὺς ἔξω πόρους διάκαυσιν, ὥσπερ τὰ ᾠά. τὸν αὐτὸν δὲ τρόπον, καὶ ἐάν τι ἄλλο δεῖ μαλακῇ θερμότητι πέττειν ἢ παχύνειν, ἡ δὲ ὑγρότης ὥσπερ μαλάττει πηγνυμένη. διὰ τοῦτο καὶ ὅταν περίξηρος ὁ ἀὴρ ᾖ, κατακαίει τὰ ὀπωρισμένα. καὶ ὅπου φύσει τοιοῦτος, ἀεὶ τοῦτο συμβαίνει πλεῖον, ἐὰν μὴ τὸ ἔδαφος βοηθῇ διάβροχον, καὶ τὴν ἰκμάδα παρέχον, ἢ δρόσοι πίπτωσιν οὕτως ἅμα τροφήν τε λαμβάνειν καὶ πέττειν. εἰς μὲν οὖν τὰ τοιαῦτα χρήσιμον, πλὴν ἐν ὑγρότητι καὶ μεθ' ὑγρότητος τὸ θερμόν· εἰς δὲ τὰς τήξεις τὸ ὑγρὸν ἀχρεῖον. αἴτιον δ' ὅτι τὰ τηκτὰ ὕδατος ὄντα φύσει ξηρᾶς δεῖται θερμότητος εἰς τὴν διάχυσιν· τὸ γὰρ ὅμοιον ὑπὸ τοῦ ὁμοίου ἀπαθές. ἅμα δὲ καὶ ἡ ἀσυμμετρία τῶν πόρων ἐμποδίζεται, πρὸς τὸ μὴ δέξασθαι· μεγαλομερὲς γάρ. οὐχ οἷόν τε δὲ ἄνευ τοῦ ὑγροῦ χωρισθὲν εἰσιέναι τὸ θερμὸν, ἔτι δὲ ἀσθενέστερον, ὥστε διοῖξαι τοὺς πόρους πυκνοὺς καὶ συνεχεῖς ὄντας τῶν ἔξωθεν. διὰ δὴ τοῦθ' ἡ ξηρὰ θερμότης ἁρμόττει πρὸς τὰς τήξεις, καὶ αὐτὴ λαμβάνουσα τὴν ἀσυμμετρίαν. εἰ γὰρ πλεῖον ἐκκαίει, τὰ δὲ καὶ ὅλως κατακαίει πρὶν εἰς διάλυσιν ἀγαγεῖν. ἵνα δὲ τοσαύτης δεῖται θερμότητος, ἡ ἐν λεπτοτέρῳ γίνεται τοῦ ὕδατος, ὥσπερ τὰ λίνα, καὶ οἱ σήσαμοι οἱ ἑψημένοι. τῷ γὰρ ἀτμῷ ταῦτα διαθερμαινόμενα, λαμβάνει τὴν ἕψησιν, ἐγκαταμιγνυμένης ἅμα τῆς ἰκμάδος· ὃ καὶ χρήσιμον πρὸς ἰσχύν. ἔνια δὲ τῶν βρωτῶν οὕτως ἕψεται διαφυλάττειν βουλομένων τὸ ὑγρόν· ὅθεν οὐ καλῶς κεῖται τοὔνομα τὸ πνίγειν. ἐγκατακλείουσι γὰρ, περιπωμάζοντες καὶ πλαττόντες τὸν ἀτμόν, ὥστε γίνεται τις ἀπόστασις ἀπὸ τοῦ πρώτου αὐτοῦ καὶ γένεσις. τὸ μὲν γὰρ ὑγρὸν ἀπὸ τοῦ ξηροῦ γίνεται θερμόν, τοῦτο δὲ ἀπὸ τοῦ ὑγροῦ· πλὴν ἐκεῖνο μὲν μιγνυμένου πως τοῦ πυρός, τοῦτο δ' ἴδιον ἐκκεινουμένου καὶ ἀπιόντος. ἡ δὲ τοῖς ἐμψύχοις σώμασιν ἐνυπάρχουσα θερμότης, πλείοσι μιγνυμένη, καὶ τρόπον ἰδιαίτερον· οἷον ἡ ζῶσα καὶ γόνιμος ὅλη γίνεται τῶν ὁμοίων. ἔτι δὲ περιττοτέρα ταύτης ἡ ἀπὸ τοῦ ἡλίου. καὶ γὰρ αὕτη γόνιμος καὶ ζῴων καὶ φυτῶν, οὐκ ἄμικτος μὲν οὖσα τῷ ἀέρι, μᾶλλον δ' ἐν αὐτῷ τούτῳ γινομένη, συμμετρίαν δὲ ἣν ἔχουσα τῇ μαλακότητι καὶ λεπτότητι πρὸς τὸ γεννᾶν, οὐχ ὥσπερ ἡ τοῦ πυρὸς σκληρὰ καὶ περικαής. διὸ καὶ σπέρματα πυρωθέντα μὲν ἀβλαστεῖ, θερμαινόμενα δ' ὑπὸ τοῦ ἡλίου καθ' ὑπερβολήν. ἔνιοι γάρ φασι περὶ Βαβυλῶνα, καὶ εἰς τοὺς θερμοτέρους τόπους καὶ πολλῶν ὑπὸ τῶν ἄλλων, καθάπερ τὰ φρυγόμενα, γεννᾷ καὶ βλαστάνει. τὸ μὲν οὖν πῦρ τῷ θερμῷ τηλικαύτας ἢ τοιαύτας ἔχει διαφοράς, καὶ ὅτι καθ' αὑτὰ καὶ με-

τ' ἄλλων

τεῖ μέχρι γε τούτου καὶ συνακμάζει, λαμβάνοντος συμμετρίαν. οἷον τὸ μὲν ὑγρὸν αὐτὸ καιόμενον, τὸ δὲ ψυχρὸν συνθλῖβον ἰσχυρότερον ποιεῖ. τὸ δὲ πνεῦμα τῇ κινήσει συνεκκαίει καὶ ζωπυρεῖ. διὸ καὶ οἱ λύχνοι πλεῖον ἔλαιον ἀναλίσκουσιν ἐν τοῖς πνεύμασι, καὶ τὰ ξύλα θᾶττον κατακαίεται σφοδροτέρας καὶ πλείονος τῆς κινήσεως γινομένης, ἡ δὲ μείζων καὶ ἀσύμμετρος ἀπέσβεσεν. καὶ διὰ τοῦτο μὲν λύχνος ἀποσβέννυται φυσώμενος, τὰ δὲ ξύλα καὶ οἱ ἄνθρακες ἐκκαίονται. τὸ μὲν γὰρ οὐκ ἔχει σύμμετρον πνεῦμα λαβεῖν· ἅμα τε καὶ οὐ καυστόν, ἔχον τὸ πῦρ οὐ μόνον, οὐ δεῖται τῆς ἔξωθεν πνοῆς. ποτὲ γὰρ ἐλλύχνιον, ἅτε μανὸν καὶ ξηρόν, ἐφέλκεται τὴν ὑγρότητα, καὶ τὸ ἔλαιον αὐτὸ καιόμενον. ὁ δ᾽ ἄνθραξ, καὶ τὸ ξύλον, οὐ δύναται καίεσθαι μὴ φυσώμενα, διὰ τὸ γεῶδες καὶ στερεόν. οἱ γὰρ πόροι πυκνοὶ τῶν τοιούτων πάντων, οὓς διοίγει καὶ ποιεῖ ὑπὲρ πνεῖ τὸ πνεῦμα. καὶ ὅσῳ ἂν πλείω καὶ ἐλάττω μεμερισμένα προσπίπτῃ μᾶλλον. διὰ τοῦτο καταμιγνύντες τοὺς ἄνθρακας, ἐνίοτε καὶ προσάγοντες ἀλλήλοις φυσῶσιν. ἐκ μικρῶν γὰρ συνιόντων, ὥσπερ ναματίων, καὶ ἡ φλὸξ γίνεται, καὶ τὰ πυρεῖα τῇ ῥίψει τὸ αὐτὸ τοῦτο ποιεῖ. καὶ τοῖς ξύλοις ὑπεκκαύματα λεπτὰ λαμβάνοντες, φυσῶσι τοὺς ἄνθρακας. καὶ αὐτὸς δὲ ὁ ἄνθραξ φυσώμενος, μᾶλλον καὶ θᾶττον ἐκκαίεται, καθάπερ ἐν τοῖς χαλκείοις. τοῦτο μὲν οὖν οὐκ ἂν ἀλόγως δόξειε † συνεργεῖ πνεύματι. καὶ γὰρ τὸ πῦρ, οἷον πνεύματός τις φύσις. ἐπεὶ δὲ πλείω καὶ ἀεὶ διαφέροντα τὰ καυστὰ καὶ πυρωτά, διὰ τοῦτο καὶ αἱ δυνάμεις αὐτῶν θάτεραι. καὶ οὐχ ἅπαν θάτερον δύναται καὶ θάτερον ποιεῖν· οἷον ὁ ἄνθραξ οὐ φωτίζει ὥσπερ ἡ φλόξ, οὐδ᾽ αὕτη καὶ ὁ λύχνος ὁμοίως, οὐδ᾽ αὖ οὗτος τ᾽ ἐκκαίων καὶ αὔων· ἀλλ᾽ ὅσῳ δὴ καθαρωτέρα, τοσούτῳ μᾶλλον οὐκ ἔχουσα γεῶδες, οὐδὲ ὑδατῶδες, οὐδὲ ἐν αὐτῇ τὸ ἀντιφραττον, ἐξ ὧν ὁ καπνὸς καὶ ἡ ἀναθυμίασις. διὰ τοῦτο γὰρ καὶ ἡ τῶν χλωρῶν ἐρυθροτέρα φλόξ, ἢ τῶν ξηρῶν, ὅτι πλεῖον ἔχει τὸ τοιοῦτον. δι᾽ οὗ διαφαινομένη λαμβάνει τὴν χροιάν, ὥσπερ καὶ ὁ ἥλιος, ὅταν ᾖ παχὺς ὁ ἀήρ. ὁ δ᾽ ἄνθραξ οὐδὲ ποιεῖ φλόγα, πλὴν ὀλίγην, διὰ τὸ μὴ ἔχειν τὴν ἐξατμιζομένην πολλὴν ὑγρότητα, πυρουμένη αὕτη ἡ φλόξ. οὔσης δὲ τῆς εἰρημένης ἀνωμαλίας, εὔλογον ἤδη καὶ τὸ θερμαίνειν ἔνια μᾶλλον καὶ θᾶττον ὄντα θερμά, καθάπερ ἡ τοῦ καλάμου φλόξ, καὶ τὸ ὕδωρ καὶ τοὺς ἀνθρώπους τῆς ἀπὸ τῶν ξύλων. καίτοι θερμότατόν γε πῦρ ὅλως τὸ ἀπὸ τῶν στερεωτάτων. ὁ δ᾽ ἄνθραξ ἥκιστα θερμαίνει, στερεώτατος ὤν. καὶ τὴν μὲν τοῦ ἡλίου θερμότητα μελαίνειν τὰ σώματα, τὴν δὲ τοῦ πυρὸς μή. πάντων δὲ τούτων καὶ τῶν τοιούτων αἰτιάσαιτ᾽ ἄν τις τὴν λεπτότητα καὶ τὴν παχύτητα. θερμαίνει τε γὰρ τὴν σάρκα καὶ τὸ ὕδωρ ἡ τῶν καλάμων τάχιστα, διὰ τὴν λεπτότητα καὶ πυκνότητα. λεπτὴν μὲν γάρ, ὅτι κοῦφος· συνεχῆ δέ, ὅτι πυκνή. τὸ δὲ λεπτὸν διαδυτικόν, καὶ τὸ θερμαίνεσθαι διὰ τὴν συναφὴν καὶ κατάμιξιν. ἔτι φλὸξ ὅλον τῶν ἀνθρακῶν μᾶλλον διὰ τοῦτο, καὶ ἅμα πλείων ἡ ἀπορροή, ἀθροωτέρα. τὸ δ᾽ ὅλον, οὐ διὰ τῶν αὐτῶν ἴσον ἑκάτερον θερμαντικόν. εἰ δὲ μή, ὡς οὐχ αὐτοὺς γ᾽ ἔχων, οὐδὲ ὁμοίως ἑκάτερον, ἀλλ᾽ ἄνθραξ μὲν ὁ στερεώτατος, φλὸξ δ᾽ ἡ λεπτοτάτη καὶ πυκνοτάτη. θερμαίνει μὲν γὰρ ἡ φλόξ, διὰ ταῦτα μᾶλλον ἔνια. κατακαίει δὲ πάλιν οὐχ ὁμοίως, ὅτι λεπτοτέρα, καὶ ἀσθενεστέρα. τὸ γὰρ ἐν τῷ γεώδει ἐστὶ στερεὸν πῦρ, θερμότατον. ὅτι ὀρθὸν ὁμοίως, ἀλλ᾽ ἀπερειγόμενον ὑπὸ τῆς θερμότητος, ἔχον τι τὸ καυστὸν σῶμα. τὸ δὲ στερεόν, διὰ τὴν πυκνότητα καὶ σκληρότητα τὰ πυρωθέντα· καθάπερ σίδηρος, χαλκός, λίθος, ὄστρεα κενά, τῇ φύσει σχεδὸν ψυχρότατα. στέγει γὰρ ἐν αὐτοῖς μάλιστα καὶ τηρεῖ καὶ τὸ θερμόν, ὥστ᾽ εὐλόγως καυστικώτατα τῆς σαρκός. ἅμα δὲ καὶ ἡ τῆς φλογὸς φορὰ ποιεῖ τινὰ παραλλαγήν. διὸ καὶ οἱ κινοῦντες ἐν τῇ φλογὶ τὰς χεῖρας ὀξέως, οὐ κατακαίονται. θᾶττον γὰρ ἡ κίνησις τῆς χειρὸς οὖσα, καὶ ἅμα μεταλλάττουσα τὰ μέρη, κωλύει τὴν κατάκαυσιν. οὐ γὰρ καίει, μὴ ὑπομένοντος τὸν αὐτὸν χρόνον. διὰ τοῦτο καὶ οἱ ἐν τῷ ἡλίῳ βαδίζοντες, ἧττον καίονται τῶν καθημένων, καὶ οἱ τρέχοντες ἔτι τούτων, ἅμα δ᾽ ἴσως τούτοις ἐστὶ καὶ ἡ ἀπὸ τῆς κινήσεως τοῦ ἀέρος γινομένη, ποιεῖ τινὰ κατάψυξιν. ἔχει δὲ καὶ πρὸς τὰς τήξεις, καὶ πρὸς τὰς ἑψήσεις, καὶ τὰ ἄλλα τὰ τοιαῦτα, μεγάλας ἕκαστα πρὸς τὰ ὑποκείμενα διαφοράς· οἷον ὅπως μαλακοῦ ἢ θερμοτάτου ἢ μὴ σκληρᾶς, ἢ πάλιν ὀξείας καὶ σφοδροτέρας καὶ ἀθροωτέρας. ἀπὸ μὲν μαλακῶν καὶ μανῶν μαλακώτερον τὸ θερμόν, ἀπὸ δὲ τῶν σκληρῶν καὶ πυκνῶν σφοδρότερον. διὸ καὶ οἱ ἰατροὶ τοὺς ἥλους καίουσι τῷ * τσοῦ· μαλακωτάτη γὰρ ἡ ἀπὸ τούτου θερμότης. ὁμοίως δὲ καὶ ἐν ταῖς πυριάσεσι, καὶ τοῖς ἀλείμμασιν. ἀπὸ τοιούτων γὰρ ζητοῦσι τὰς θερμότητας

συνεργεῖν

καὶ θᾶττον ἢ μόλιβδον ἤδη τακῆναι ἐν τῷ πόντῳ, πάγου καὶ χειμῶνος ὄντος νεανικοῦ· χαλκὸν δὲ ῥαγῆναι. τοῦτο δὲ δῆλον, ὡς διὰ τὸ ἐμπνευματωθῆναι τὴν θερμότητα, συστελλομένης καὶ συνιόντος τοῦ θερμοῦ. τὸ γὰρ πνεῦμα διεκπῖπτον ποιεῖ τὴν ῥῆξιν. καὶ ὑπὸ χιόνος δὲ τῆς γῆς ἀναζύμωσις, καὶ γένεσις ἐν αὐτῇ τῇ χιόνι ζώων ἐνίων, ἁπλῶς δὲ καὶ ἡ μεταβολὴ τῶν ἐν τῇ γῇ πάντων ἀπ' αὐτῶν ἀρξαμένοις τῶν ὑδάτων. ἐπεὶ καὶ ἡ ἀναθυμίασις, καὶ ὁ ἀτμὸς πλείων, οὐ μόνον διὰ τὸν ἀθροισμὸν τοῦ θερμοῦ, † καὶ διὰ τὴν ἀντιπερίστασιν ἅμα καθυγραινομένης. ἀλλὰ καὶ τοῦτο μὲν οὖν φανερὸν ἐκ πολλῶν, ὅτι καὶ ἰσχύει μᾶλλον ἀθροισθέν, καὶ ἀσθενέστερον γίνεται διακεχυμένον. ἓν δέ τι τῶν ὑπὸ τοῦτο καὶ τὸ διαμένειν τὸ πῦρ ἐγκρυφθέν. πυκνοῖ γε γὰρ ἡ τέφρα, καὶ κωλύει τὸν ἀέρα τὸν ἔξωθεν προσπίπτοντα σβέννυσθαι. σβεννύει γὰρ τὸ ψυχρόν, καὶ τὴν ἀθρόαν μὴ γίγνεσθαι τὴν τοῦ πυρός. καὶ γὰρ οὕτως ἐκμαραίνεται καταναλισκομένου τοῦ ὑγροῦ, μὴ δ' αὐγὴν ἔτι περ ἀεὶ συναθροίζεσθαι, καθάπερ πρὸς τοὺς πνιγεῖς, ἀλλ' ἔχειν δίοδον ἱκανήν. τὸ δὲ δοκοῦν ὑπεναντίον εἶναι τούτῳ, διότι μὴ ἐγκρυφθὲν θᾶττον φθείρεται, μὴ ἀφαιρούντων τὴν τέφραν, ἢ ὑφαιρούντων, οὐκ ἔστιν ὑπεναντίον. δεῖ γὰρ τὴν ὀλιγότητα τὴν αὐτοῦ, ὅτι κωλύειν δύναται τὸν ἀέρα προσπίπτειν, ὅτι πάλιν εἰς τὴν ἀθρόαν εἶναι τοσαύτην, ὥστε μίγνυσθαι καὶ κρατεῖν τοῦ προσπίπτοντος. ὅπερ εἰ γυμνὸν ἦν, ἐποίει ἂν μᾶλλον· ὥστ' εὐλόγως καταναλίσκεται θᾶττον. φθοραὶ γὰρ πυρὸς πλείους, ἡ μὲν ὥσπερ φυσική, ὡς ἐξαναλισκομένου τοῦ ὑγροῦ, καὶ ἁπλῶς τοῦ καυστοῦ. τότε γὰρ ὥσπερ φθίνει καὶ μαραίνεται. αἱ δ' ἐκ τῶν ἔξωθεν, ὧν ἓν μέν τι γένος, αἱ ὑπὸ τῶν ὁμογενῶν, ἃς ὀλίγον πρότερον εἴπομεν· ἄλλαι δὲ ὑπὸ ψυχροῦ, οἰκεῖαι μᾶλλον, δόξασαι τὸ ὑπὸ τοῦ ὁμογενοῦς. τὰ γὰρ ἐναντία φθαρτικὰ φύσει τῶν ἐναντίων. διὸ δὴ καὶ ἡ προσπίπτουσα ψυχρότης εἰς τὸ τεταφρωμένον πῦρ σβέννυσιν, ἠλιπνώ τις καὶ θερμὴ καὶ ψυχρὰ οὖσα διαλυτική, καὶ καταφθείρει τὴν ἀρχήν, ἐπεὶ καὶ ἡ φύσις καυστή, καθάπερ ἤδη πλεονάκις προείρηται τῆς ἱκανῆς ἔτι, τοῦτε φλογώδους καὶ ὑπὸ πνεύματος μεγέθους. καὶ γὰρ οὕτως σβέννυται φθειρομένης, καὶ οὐχ ὥσπερ καταχυομένης τῇ μείζονι κινήσει, ἀλλὰ τρόπον τινὰ † καταφθειρομένης, καὶ ἐνταῦθα τῆς ἀρχῆς. καταφθειρομένης διὸ καὶ ὅταν ἐπιτεθῇ τοῖς λύχνοις, ἧττον σβέννυνται· καὶ ὅσοι γε νῦν ποιοῦσι τοὺς χαλκοῦς, οἷς αὐτὸ τῶν λαμπτήρων τὸ ὅλον, οὐδὲ σβέννυνται πλὴν ἐὰν ἔκτοπόν τι γένηται πνεῦμα, ὑγρὰν ἔχοντες οὐδαμῇ πρόσδυσιν, οὐχ ἅπτονται τῆς ἀρχῆς. ὡς δ' ἂν αὐτὰ μέν, καθάπερ ὕδατος ἐπὶ τὰ μέρη, καὶ ἐὰν μηδεμίαν ἀναπνοὴν διδῷ. διὸ καὶ ἐν τῇ τέφρᾳ ἐγκρύπτουσι, τοῦτο θέλοντες. κωλυόμενον γὰρ ἀθροίζειν αὐτὸ ἑαυτῷ θλίβεται. καὶ ἐάν τις καταθλίβῃ τὰς δᾷδας, ἢ τοὺς ἄνθρακας, ὥσπερ καὶ τοὺς λύχνους ἀποσβεννύουσιν. ἐπεὶ καὶ ὁ ἐν τοῖς μεγάλοις λύχνοις διὰ τοιαύτην αἰτίαν σβέννυται· παχὺς γὰρ ὢν ὁ ἀήρ, καὶ ἀκίνητος, οἷον καταπιέζει καὶ θλίβει· καθάπερ εἴ τι στερεὸν οὐ δύναται διαβιάσασθαι τὸ πῦρ, κενὸν δὲ ζητεῖ, πρὸς ὃ καὶ ἐν ᾧ ἡ φορά. διὰ τοῦτο δὲ καὶ τὸν πνιγμὸν ποιεῖ τοῖς ἐργαζομένοις ὁ ἀήρ, ὅτι παχύς τε καὶ ἠρεμῶν· οὐ γὰρ διαδίδωσι τῇ ἐκπνοῇ. διὸ καὶ τὰ ψυχαγωγεῖα ποιοῦσιν, ὅπως λεπτύνηται τῇ κινήσει, καὶ ἅμα μεταβάλλων διαδιδῷ χώραν. ὅτι δὲ ὁ παχὺς δύσπνους, φανερὸν μὲν καὶ ἁπλῶς λεχθέν. οὐ μὴν ἀλλὰ καὶ ὁμιχλώδη καὶ θολερώδη διαμαρτυροῦσι. καὶ τούτων μὲν ταύτας ἄν τις ὑπολάβοι τὰς αἰτίας. ὅτι δ' ἡ ἀρχὴ φθειρομένη κυριωτάτη πρὸς τὴν σβέσιν, κἀκεῖθεν φανερόν. τὴν γὰρ πίτταν καιομένην, τὸ μὲν ὕδωρ οὐ σβέννυσι, τὸ δὲ ἔλαιον σβέννυσιν, ὅτι διαλύεται λεπτότερον ὂν πρὸς τὴν ἀρχήν, καί τοι μάλιστα ἄκαυστον. ἀλλ' ὅτι ἂν ἀθρόως λάβῃ καὶ θλίψῃ ταύτην ἔσβεσεν, ὥσπερ καὶ τοὺς λύχνους ἐπέχυσεν. πάλιν δὲ τὸ ὄξος σβεστικώτερον τοῦ ὕδατος, διὰ τὴν αὐτὴν αἰτίαν, θερμότατον ὂν τῶν λοιπῶν. εἰσδύνεται γὰρ μάλιστα, καὶ πλεῖστον ὥστε θιγγάνειν τῆς ἀρχῆς. οὐ γὰρ ᾗ ψυχρόν, σβέννυσι πάντως τὸ ψυχρόν. τοῦτο δὲ δῆλον, ὅτι καὶ τὸ ζεστὸν ὕδωρ· ἀλλ' ᾗ τὴν ἀρχὴν ἐπιλαμβάνει καὶ καταλαμβάνει. συντεθέντα μὲν οὖν ἄμφω, τό θ' ὑγρὸν καὶ τὸ ψυχρόν, μᾶλλον φθείρει. γίγνεται γὰρ τοῖς ἐναντίοις ὑπὸ τῶν ἐναντίων ἡ φθορά· τὸ γὰρ πῦρ θερμὸν καὶ ξηρόν. οὐ μὴν ἀλλὰ καὶ χωριζόμενον ἑκάτερον φθαρτικόν· ὁ μὲν γὰρ ἀὴρ ᾗ ψυχρὸς σβέννυσι, τὸ δ' ὕδωρ ᾗ ὑγρόν. καὶ αὗται μὲν ἐοίκασιν ὥσπερ φυσικαῖς τισι ταῖς ἐναντίαις ὑπὸ τῶν ἐναντίων γινόμεναι. ἡ δ' ἐφ' ἑαυτοῦ, καθάπερ ἡ παρὰ φύσιν. οὐκ ἔστι δὲ παρὰ φύσιν, τὸ τὴν ἐλάττω κρατεῖσθαι δύναμιν ὑπὸ τῆς μείζονος. φθείρει δὲ καὶ τὰ οἰκεῖα φθαρτικὰ ταῖς ὑπερβολαῖς. ἐ-

πεὶ

λης ἐστὶ διακτικόν, ὥσπερ οὐδὲ τὸ ὑγρὸν ἄνευ πυρός, οὐδὲ τὴν γῆν ἄνευ ὑγροῦ. σημεῖον δὲ τὸ μὲν γὰρ πήγνυσθαι διὰ τὴν ἔκθλιψιν, ἀλλ' οὐκ ἂν συμμένειν ἀπολείποντος πάντη καὶ πάντως τοῦ ὑγροῦ. διὸ ταῦτα φαίνεται κοινά, τὰ δὲ δεόμενα διορισμοῦ, πῶς ποτε χρὴ τὰ ἁπλᾶ λέγειν. τὰ δὲ τούτων πρότερα μιχθέντα μείζους ἔχει ζητήσεις, ὥσπερ εἴπομεν. ἐκεῖνο δ' ἐξ ἁπάντων φανερόν, ὡς ἡ τοῦ πυρὸς φύσις ἰδιαιτάτας ἔχει καὶ πλείστας δυνάμεις, καθάπερ ἐν ἀρχῇ τοῦ λόγου ἐλέχθη. καὶ γὰρ αὐτὸ τὸ πολυειδὲς αὐτοῦ, καὶ διειλημμένον ἐν ἅπασι τοῖς τόποις ἰδιότητα μηνύει φύσεως. οὐδὲν γὰρ δὴ τῶν ἄλλων οὐθ' οὕτω πολυειδές, οὔτ' ἀνώμαλον ταῖς δυνάμεσιν, οὐδ' αὐτῇ τῇ φύσει διάφορον, ὅτι δίιον εἰς πάντας καὶ † καταμεμερισμένον τοὺς τόπους.

καταμεμιγμένως

ἀφέντας γὰρ τὴν μείζω καὶ πρότερον, πειρατέον ὑπὲρ τῶν ἐλαττόνων λέγειν, ἀρξαμένους ἀπὸ τῆς γενέσεως αὐτοῦ καὶ φθορᾶς, ἣν ὑφ' αὑτοῦ ποιεῖται. λεκτέον δὲ εἰς ταῦτα τὸ μικρὸν πρότερον εἰρημένον, ὃ καὶ τῇ αἰσθήσει φανερόν, ὡς ἐν ὑποκειμένῳ πως ἡ φύσις αὐτοῦ καὶ τὸ ὅλον ἀλλοιουμένῳ καὶ πάσχοντι. τούτου γὰρ τεθέντος, εὔλογος ἤδη καὶ ἡ γένεσις καὶ ἡ φθορά. γεννᾷ μὲν γὰρ τῷ ἐπὶ πλεῖον ἀεὶ προϊέναι καῖον καὶ ἐξομοιούμενον. συμβαίνει δὲ καὶ ἀπόληψιν αὐτοῦ γίνεσθαι τινά, καταναλισκομένης αὐτοῦ τῆς ὑγρότητος τῶν προτέρων πυρουμένων. φθείρει δ' ὅταν πλησίον τεθῇ τῷ πλείονι τὸ ἔλαττον, εἴτε τὴν τροφὴν ἀφαιρούμενον, εἴτ' ἐξαιροῦν τὴν ἀρχήν, καὶ καταμαραῖνον τῷ ὑπερχύειν. οὔτε γὰρ ἄνευ ὑγρότητος οὐδὲν καυστόν, οὔτε ταύτης ἐνυπαρχούσης, ἐὰν μὴ ἔχῃ δύναμιν τὴν ἐργαζομένην. ὁμοίως δὲ καὶ ὑπὸ τοῦ πνίγεσθαι σβέσις. καὶ γὰρ ἐνταῦθα συναθροισθὲν τὸ τῶν ἀκρέων θερμόν, ἐκμαραίνει καὶ ξηραίνει τὴν ἀρχήν, ὥσπερ ἂν θλῖψίν τινα ποιοῦσα καὶ ἀποπίεσιν. διὸ καὶ οὐκ ἀπιθάνως τοὔνομα τοῦ καταπνίγεσθαι τὸ πῦρ· καὶ γὰρ ὅλως ὁ ἀὴρ πυκνωθεὶς δύναιτ' ἂν τοῦτο δρᾶν, καὶ πυρωθεὶς ἔτι μᾶλλον καὶ θᾶττον· διὰ τὰς αὐτὰς δὲ καὶ παραπλησίους αἰτίας, καὶ ἐν τῷ ἡλίῳ τὸ πῦρ ἧττον καίεται, ἢ ἐν τῇ σκιᾷ. καὶ οἱ λύχνοι φαίνονται ἧττον καιομένου πυρός. καὶ ἀποσβέννυται ὅλως, ἐὰν ὑπὲρ τῆς φλογὸς τεθῇ. καὶ γὰρ ἐνταῦθα καταμαραίνεται, καὶ κωλύει τὴν ἀρχὴν τὸ πλέον. ἀντικειμένως δὲ τούτοις διὰ τὴν αὐτὴν αἰτίαν, καὶ παρόμοιον τὰ καιόμενα θᾶττον κατακαίεται χειμῶνος ἢ θέρους. ἀθρωιστέρον γὰρ ποιεῖ τὸ πῦρ τὸ θέρος, ὥσπερ καὶ ὁ ἥλιος καὶ αὐτὸ τὸ πῦρ τὸ φῶς. ὁ δὲ χειμὼν καὶ τὸ πέριξ καὶ τὸ τοῦ ἀέρος ψυχρὸν ἀθροίζει, συναθροισμένον δὲ πᾶν ἰσχυρόν. διὸ καὶ ἐν τοῖς λαμπτῆρσι φῶς ἐστι πλεῖον φαίνεται. ὅλως δὲ συνεστηκυῖα καὶ ἀθρόως ἡ δύναμις ἰσχυροτέρα, καθάπερ τοῦ Βορέους. ὥσπερ γὰρ μεῖζον γίνεται. πολλὰ δὲ τοιαῦτα ἀπὸ τοῦ θερμοῦ λαβεῖν ἐστιν, οἷον καὶ τὰ ἀλειπτήρια, καὶ τὰ βαλανεῖα θερμότερα καὶ χειμῶνος ἢ θέρους, καὶ βορείοις ἢ νοτίοις. συνελαύνεσθαι δὲ ἐν τῷ χειμῶνι, καὶ συγκατακλείεσθαι τὸ θερμὸν ὑπὸ τοῦ πέριξ ἀέρος, καὶ τὰ σώματα πέττει τὰς τροφὰς μᾶλλον· καὶ ὅλως ἰσχυρότερα τοῖς χειμῶσιν ἐστιν, ὅτι συναθροῖσαι καὶ ἀντιπεριέστηκε τὸ θερμόν. ἐκ ταύτης δὲ τῆς αἰτίας καὶ τὸ ψυχρὸν ἐνίοτε δοκεῖ τὸ αὐτὸ ποιεῖν τῷ θερμῷ, καὶ ἁπλῶς, καὶ ταῖς ὑπερβολαῖς. πέττειν τε γάρ φασι τοὺς καρποὺς τὰ ψύχη, καὶ ἀποκαίειν καὶ τὸ καῦμα καὶ τὸ ψῦχος, οὐκ ἀληθῆ λέγοντες. ἀποκαίει γὰρ ὄντως καὶ πέττει τὸ ψῦχος, οὐ προηγουμένως, ἀλλὰ κατὰ συμβεβηκός, ὅτι συστέλλει καὶ ἐναθροίζει τὸ θερμὸν ἔστι τὸ ἐργαζόμενον ἐκεῖνο, πλεῖον δὲ ὂν καὶ ἰσχυρὸν μᾶλλον. ἡ αὐτὴ δ' αἰτία, καὶ ὅτι τοῖς λιποψυχοῦσι ψυχρὸν ὕδωρ προχέουσιν, ψυχροῦ τοῦ πάθους ὄντος. συνέχει γὰρ καὶ ἐξιέναι κωλύει τὸ θερμόν, ἐμφράττον τοὺς πόρους, καὶ καταψῦχον τὸ πέριξ. ἀθροῖσαι γὰρ τοῦτο δεῖ, καὶ ἀνακαλέσασθαι. διὸ καὶ κατέχειν τινὲς κελεύουσι τὸ πνεῦμα τοῦ ἑλκυομένου. ἅμα γὰρ διαθερμαίνεται καὶ τὸ ἐντός, καὶ ὁ ἱδρὼς ἐμπίπτων λύει τὴν λιποθυμίαν. ψύχει δὲ καὶ θερμαίνει τὸ ἐν τῇ σκιᾷ, ἢ τῷ ἡλίῳ, διὰ τὸ ψυχρότερον εἶναι τὸ περιέχον. ἐκθλίβεται γὰρ μᾶλλον τὸ θερμόν. καὶ τὰ ἐκ τῆς γῆς δὲ θερμότερα τοῦ χειμῶνος ἢ τοῦ θέρους, διὰ τὴν αὐτὴν αἰτίαν. ἔνια γὰρ καὶ ἀναζεῖ μᾶλλον. τὸ δὲ θερμαινόμενον ὕδωρ οὐχ ὁμοίως ὑπερζεῖ, καὶ τοῦ θέρους μᾶλλον θερμαινόμενον, ὡς εἰπεῖν· ὅτι τὸ ὑπερζεῖν ἐστιν ἐν ἀποβολῇ τῶν πομφολύγων. αὕτη δ' οὐχ ὁμοίως ἀθρόα δύναται, διὰ τὴν ψυχρότητα τοῦ περιέχοντος ἀέρος· θλίβει γὰρ ὄντως, καὶ ὥσπερ ἀποκόπτει. διὸ καὶ ταχὺ συμπίπτουσιν ἅμα τῷ τι πλῆθος, καὶ τοῖς ὄγκοις ἐλάττους γίνονται· τοῦ δὲ θέρους ἀνάπαλιν. ὅτι δὲ ἰσχυρὸν εἰς τὸ ἀναγαγεῖν καὶ συναθροῖσαι τὸ θερμόν, σημεῖον καὶ τὰ τηκόμενα καὶ τὰ ῥηγνύμενα τῶν ἐλατῶν καὶ χυτῶν,

καττίτερον

ΘΕΟΦΡΑΣΤΟΥ ΠΕ
ΡΙ ΠΥΡΟΣ.

Η ΤΟΥ πυρὸς φύσις ἰδιαιτάτας ἔχει δυνάμεις τῶν ἁπλῶν. ἀὴρ μὲν γὰρ, καὶ ὕδωρ, καὶ γῆ, τὰς εἰς ἄλληλα μόνον ποιοῦνται μεταβολὰς φυσικάς, αὐτὸ δὲ αὑτοῦ γεννητικὸν οὐδέν. τὸ δὲ πῦρ, γεννᾷ καὶ φθείρειν πέφυκεν αὐτό· γεννᾷ μὲν, τὸ ἔλαττον, τὸ πλέον· φθείρει δὲ, τὸ πλέον, τὸ ἔλαττον. ἔτι δὲ αἱ γενέσεις αὐτοῦ αἱ πλεῖσται, καὶ οἷον μετὰ βίας. καὶ γὰρ ἡ πληγὴ τῶν στερεῶν, ὥσπερ λίθων, καὶ θλῖψις καὶ πίεσις, καθάπερ τῶν πυρείων ὅσα ἔχει φοράς· ὥσπερ τῶν πυρουμένων, καὶ τηκομένων. ἐκ δ' αὖ τοῦ ἀέρος καὶ τοῖς νέφεσι συστροφαὶ καὶ θλίψεις. βίαιοι γὰρ δὴ αἱ φοραί, δι' ὧν δὴ οἱ πρηστῆρες καὶ κεραυνοὶ γίνονται, καὶ ὅσοις δὴ τρόποις ἄλλοις τεθεωρήκαμεν, εἴθ' ὑπὲρ γῆς γινομένων, εἴτ' ἐπὶ γῆς, εἴτ' ἐκ γῆς· αἱ γὰρ πολλαὶ δόξαιεν ἂν αὐτοῦ μετὰ βίας. εἰ δ' ἄρα μὴ τοῦτ' ἀλλ' ἐκεῖνό γε φανερόν, ὅτι πλείους ἔχει γενέσεις, ὧν οὐδὲ μία τοῖς ἄλλοις ὑπάρχει, οὐδὲ ὅλως ὁ τρόπος οἰκεῖος, ἀλλὰ πάντων, ὥσπερ ἐλέχθη, φυσική τις μεταβολὴ καὶ γένεσις. διὸ κἀκείνων μὲν οὐθὲν ἐφ' ἡμῖν ποιεῖν. οὐδὲ γὰρ ὅταν τὸ ὕδωρ ὀρύττωμεν, αὐτὸ ποιοῦμεν, ἀλλ' εἰς ἐμφάνειαν ἄγομεν, τὸ ἤδη μέρος μεμερισμένον, ἀθροίζοντες. τὸ αὐτὸ δὲ φαίνεται οὐ καθ' ἕνα τρόπον, ἀλλὰ ἤδη πλείους. μεγίστη δὲ αὕτη διαφορὰ δόξειεν ἂν εἶναι. τὰ μὲν γὰρ καθ' αὑτά, καὶ οὐ δὲ ἐν ὑποκειμένῳ, πλὴν ὅτι γε τῇ περὶ ἡμᾶς αἰσθήσει φανερόν. εἴτ' ἀριθμητικόν, εἴτε μὴ ἀριθμητόν γε τῆς φλογὸς καὶ τοῦ ἄνθρακος ὑποκειμένης. ἡ μὲν γὰρ καπνὸς καιόμενος, τὸ δὲ γεῶδες τὸ στερεόν. ὁμοίως δὲ καὶ τὰ ἐν τοῖς μεταρσίοις ἐκπυρούμενα, καὶ τὰ ἐν τῇ γῇ. πάντα γὰρ ἢ ἀέρος ποιοῦ δ', ἢ πυρός, ἢ ἀέρος ἅμα καὶ ὑγροῦ καὶ ἀέρος ἢ πάντων, ἢ τινῶν δυοῖν. ἁπλῶς δ' ἀεὶ καὶ πᾶν καιόμενόν ἐστι, καὶ ὥσπερ γένεσις καθάπερ ἡ κίνησις ἴδιον. καὶ γινόμενον φθείρεταί πως, καὶ ἅμα τῷ ὑπολιπεῖν τὸ καυστόν, καὶ αὐτὸ συναπόλλυται. τοῦτο γὰρ ἦν καὶ τὸ παρὰ τῶν παλαιῶν λεγόμενον, ὅτι τροφὴν ἀεὶ ζητεῖ τὸ πῦρ, ὡς οὐκ ἐνδεχόμενον αὐτὸ διαμένειν ἄνευ τῆς ὕλης· ὃ καὶ ἄτοπον φαίνεται πρῶτον αὐτὸ λέγειν, καὶ οἷον ἀρχὴν μὴ οἷόν τ' εἶναι χωρὶς ὕλης. ἔτι γὰρ ἁπλοῦν οὕτω γε, οὔτε πρότερον τοῦ ὑποκειμένου καὶ τῆς ὕλης, εἰ μή τις ἐν αὐτῇ τῇ πρώτῃ σφαίρᾳ τοιαύτη φύσις, ὥστε ἄμικτον εἶναι θερμότητα καὶ καθαράν. οὕτω δὲ, οὐκ ἂν ἔτι καίει. πυρὸς δ' αὕτη φύσις, πλὴν εἰ ἄρα γε πλείους καὶ διάφοροι· καὶ ἡ μὲν πρώτη καθαρὰ καὶ ἄμικτος, ἡ δὲ περὶ τὴν τῆς γῆς σφαῖραν μεμιγμένη, καὶ ἀεὶ ἤδη γένεσιν. ἡ δ' ἀρχὴ πρότερον ἀπ' ἐκείνης αὐτῷ τῆς γενέσεως, ἢ ἐκ τῶν ὑποκειμένων. ὅταν ἐν κινήσει τοιᾷδε ᾖ καὶ διαθέσει πρὸς ἄλληλα γίνονται, καθάπερ ἀρτίως ἐλέγομεν ἐπ' ἀμφοῖν. καὶ γὰρ ἡ κίνησις ἡ τοιάδε, καὶ ἀλλοίωσις εἰς τὴν τοῦ θερμοῦ πῶς ἀνάγεται φύσιν. ὁ γὰρ ἥλιος, ὁ ταῦτα πάντα δημιουργῶν· πάλιν ἡ τοῦ ἡλίου ἡ μὲν τοῦ πυρός τις ἰδία, πλείστην αὖ καὶ μεγίστην ἔχει διαφοράν, ἀρχή τις οὖσα, καὶ πρὸς αὐτὰ ἅπασα. καὶ γὰρ φῶς ἐκ τούτου καὶ ἡ γόνιμος ἐν τοῖς ζῴοις καὶ φυτοῖς θερμότης. ἔτι δὲ ἡ τοῦ γεώδους καὶ καιομένου τούτου πυρός, δυνατὰ διὰ τοῦτο γίνεσθαι. πολλοὶ γοῦν καὶ ἐξάπτοντες, ὑπολαμβάνουσιν εἶναι τὴν αὐγὴν ἀπὸ τοῦ ἡλίου. εἰ δὲ μὴ ἔστι πῦρ, μηδὲ πυρὸς φῶς, αὐτὸ μὲν τοῦτο θαυμαστὸν καὶ * εἰ δὲ μηθ' ὑπὸ * καὶ διὰ τοῦτο ἡ θερμότης. ἐκεῖνο δὲ φανερόν, ὡς ἐν ὑποκειμένῳ τινὶ καὶ τὸ πῦρ καὶ ὁ ἥλιος τὸ θερμόν. ἄτοπον δὲ καὶ τοῦτο πάλιν, εἰ ἀρχὴ καὶ τὸ πρῶτον ἐν ὑποκειμένῳ. τὸ γὰρ θερμόν, καὶ ἡ τούτου δύναμις ἀρχή. κοινότερον γὰρ τοῦτο, καὶ ἤδη πλείω δή καὶ κυριώτερον ἀλλοιώσεως καὶ φυσικῆς γενέσεως. τὸ δὲ πῦρ, ὡς εἴρηται, γεννητικὸν μὲν αὑτοῦ, φθαρτικὸν δὲ ὡς ἐπὶ πάντων ἄλλων. ὅθεν καὶ δῆλον, ὡς ἑτέρα τις ἡ φύσις πυρὸς καὶ θερμοῦ. νῦν δὲ λέγομεν, ὅταν ἐν τῷ γεώδει καὶ ἀερώδει τῆς ξηρᾶς ἀναθυμιάσεως, καυστικὴ γίνεται θερμότης, ἣν πρότερον οὐχ οἷόν τ' ἐν τοῖς ὑγροῖς ὑπάρχειν, πλὴν ὥσπερ σάρκα λέγομεν λέγειν. ἀλλὰ γὰρ ταῦτα ἔοικεν εἰς μείζω τινὰ σκέψιν ἐκφέρειν ἡμᾶς τῶν ὑποκειμένων, ἢ ζητεῖ τὰς πρώτας αἰτίας. φαίνεται γὰρ οὕτω λαμβάνουσι τὸ θερμὸν καὶ τὸ ψυχρόν, ὥσπερ πάθη τινῶν εἶναι, καὶ οὐκ ἀρχαὶ καὶ δυνάμεις. ἅμα δὲ καὶ ἡ τῶν ἁπλῶν λεγομένων φύσις μικτή τις, καὶ ὑπάρχουσιν ἀλλήλοις. ὥσπερ γὰρ οὐδὲ τὸ πῦρ ἄνευ ἀέρος, ἢ ὑγροῦ τινος καὶ γεώ-

βαίνει δ' ἀναξηραινομένων τούτων ἐγκαταλειπομένους ἤδη μικρὸν συνίλλεσθαι, καὶ διιόντας τὴν ὑγρότητα δύεσθαι ἤδη τῆς γῆς, εἶτα καταξηραινομένης διαμένειν ἐν τῇ ἰκμάδι, καθάπερ αὖ ἐν ταριχευομένους ἐν τῷ ζῆν, ἢ καὶ τοὺς ἐν ταῖς φωλείαις διαναρκῶντας. ὅταν δὲ ἀνασκάπτωνται, τότε κινεῖσθαι. παραπλήσιον δ' εἶναι τούτῳ καὶ τὸ ἐπὶ τῶν ἐκπηγνυμένων ἐν τῷ πόντῳ· ὅθεν περιλαμβάνονται τῷ κρυστάλλῳ, καὶ οὐ πρότερον αἰσθάνονται καὶ κινοῦνται, πρὶν εἰς τὰς λοπάδας ἐμβληθῆναι καὶ ἕψεσθαι. πάντων δὲ μάλιστα δοκεῖ πάσχειν τοῦτο ὁ κωβιός. ὅλως δ' οἱ ὀρυκτοὶ γίνονται ἰχθύες, διὰ τὸ ὑπερβάλλοντας τοὺς ποταμούς, ὅταν πάλιν εἰς τὸ ἀρχαῖον καθιστῶνται ῥεῖθρον, ἐγκαταλείπειν ἐν τοῖς ἀναξηραινομένοις ἔνθα μὲν ᾠά, ἔνθα δὲ τοιαύτας ἀρχάς, ἐξ ὧν ἡ γένεσις. ἔνια γὰρ οὐκ ἐκ ζῴων, ὥσπερ ἡ ἔγχελυς. δοκεῖ δ' αὕτη γίνεσθαι, καὶ ὁ καλούμενος κεστρίσκος, ὥσπερ καὶ ἐν Ἡρακλείᾳ περὶ τὸν λύκον ποταμόν. ἐγκαταλειφθέντα δὲ ἀναμορφοῦνται, καὶ διαμένει. τὴν διαμονὴν δὲ οὐκ ἄτοπον εἶναι. τροφῆς γὰρ ὀλίγης δεῖται πολλὰ τῶν τοιούτων· ὥσπερ καὶ οἱ ὄφεις, καὶ τὰ φωλεύοντα. συμβαίνει δὲ καὶ ταύτην ἱκανὴν ἔχειν ὡδὶ τὴν πρώτην, καὶ μετὰ ταῦτα τὴν ἐκ τῆς γῆς ἰκμάδα διαδεχομένην. οὐ μὴν μέγεθός γε τὰ τοιαῦτα λαμβάνειν, ὅτ' εἰκός, ὅτι φασί, διὰ τὸ μήτε χώραν ἔχειν, μήτε τροφὴν δαψιλῆ. δεῖ δὲ ἄμφω ταῦτα πρὸς τὴν αὔξησιν, τὸ δὲ ἐν τῷ ἀέρι δύνασθαι διαμένειν, τούτοις μὲν οὐ παντελῶς ὑπάρχειν, τοῖς δ' ἐξιοῦσιν ἐκ τῶν τόπων καὶ νεμομένοις. αὐτοὶ δὲ μικρᾶς εἰώθασι δεῖσθαι καταψύξεως· ὥστε σύμμετρον αὐτοῖς εἶναι τὴν ἀπὸ τοῦ ἀέρος. δηλοῖ δὲ καὶ ἡ τῶν βραγχίων στενότης, ὡς οὐ πολλῆς δεομένων· διὸ καὶ ἄγχυσις ἐν τε τῷ ἀέρι πολὺν χρόνον ζῇ, καὶ ἐν τοῖς θολεροῖς ὕδασι τάχιστα ἀποπνίγεται, καὶ ἅμα ἐν τοῖς γε ὀρυκτοῖς. καὶ ἡ ἀπὸ τῆς γῆς ἀπόψυξις, ἐκ τῆς περιοχῆς, ἱκανὴν ποιεῖ τὴν βοήθειαν. ἴδιον δὲ τὸ παρὰ ταῦτα, καὶ λόγου δεόμενον, τὸ περὶ τοὺς ἐν Παφλαγονίᾳ ὀρυκτοὺς ἰχθῦς. ὀρύττεσθαι γάρ φασιν ἐκεῖ κατὰ βάθους πλείονος ἀγαθοὺς καὶ πολλούς. τὸν δὲ τόπον οὔτ' ἐπίκλυσιν ποταμοῦ λαμβάνειν, οὔθ' ὕδατος σύστασιν. ἀφ' ὧν δὴ φαμὲν ἐγκαταλείπεσθαι τὰ ᾠά, καὶ τὰς ἀρχὰς τῆς γενέσεως. λοιπὸν γὰρ δὴ αὐτομάτους φύεσθαι, καὶ τοῦτο συνεχῶς. ἀδιάβατος γὰρ ἡ πρὸς ἀλλήλους μῖξις. εἴτε δὴ τοῦτο, θετέον ὥσπερ ἐν ὕγρῳ τινὸς τῆς χώρας οὔσης. καὶ τὸ ὅλον γονίμη τῶν τοιούτων, διὰ τὸ συμμετρίαν τινὰ ἔχειν τοῦ θερμοῦ καὶ τοῦ ὑγροῦ. συμβαίνει γὰρ δὴ γίνεσθαι καὶ ἑτέρας τινὰς αὐτομάτους ἰχθῦς, εἴτε διανοῶν ἐκ τινῶν τόπων ὑγρότητας, αἳ συνεπιφέρουσι τὰς γεννώσας ἀρχάς. ὁ δὲ τόπος εὐφυής. διὸ καὶ δέχεται, καὶ ἐκτρέφει. χρόνον γὰρ οὐκ ἂν ἔτι ποῤῥωτέρω τούτων. ἐκεῖνο δὲ ἄν τις σκέψαιτο περὶ ἀμφοτέρων τῶν γενῶν, τῶν τε ἐν τῷ ξηρῷ καὶ τῶν ὀρυκτῶν. ἆρά γε εἰς ὕδωρ ἀφιέμενον ζώη ἄν, ἢ τὴν οἰκείαν ζητοίη χώραν. καὶ τοῦτο αὐτοῖς ὥσπερ φύσεως, καθάπερ καὶ τοὺς ἐν θαλάττῃ καὶ τοῖς ποταμοῖς. οὐδὲ γὰρ ταῦτα δέχεται τὰς μεταβολάς, πλὴν ὀλίγων. ἐπεὶ ὅσα γε διὰ τὴν ἀναξηρασίαν καταλύονται, καὶ ὅσοι περιλαμβάνονται τοῖς πάγοις, φανερὸν ὡς τούτοις γε οἰκεῖον τὸ ὑγρόν. εἰκὸς δὲ μᾶλλον καὶ τοῖς ὀρυκτοῖς καὶ τοῖς ἑτέροις· τοῖς μὲν ἁπλοῖς, τοῖς δ' ὡς ἀμφιβίοις ἤδη Δημόκριτον. ὃ καὶ ἐπ' ἄλλων συμβαίνει. χρῆται γὰρ ἔνια τῷ ἀέρι, καθάπερ ἐῤῥέθη πρότερον.

ΘΕΟΦΡΑ

BIBLIOTECA NAZ. ROMA VITTORIO EMANUELE

ΘΕΟΦΡΑΣΤΟΥ ΠΕ ΡΙ ἸΧΘΎΩΝ.

ΤΗΣ τῶν ἰχθύων ἐν τῷ ξηρῷ διαμονῆς, δοκεῖ οἷον γὰρ παρὰ φύσιν τῷ ἀέρι καταψύχεσθαι, τὰ μὴ δεχόμενα τὸν ἀέρα μᾶλλον, ὅσα δέχεται τὸ ὑγρόν, καὶ διὰ τοῦτο σώζεται. θαυμασιώτατον δ' εἴπερ ἀληθὲς τὸ τοῦ ἐξωκοίτου καλουμένου. τοῦτον γάρ φασιν, ὅσας ἡμέρας ποιεῖσθαι τὴν κοίτην ἐν τῇ γῇ· διὸ καὶ τοὔνομα εἰληφέναι. φαίνεται δ' οὖν ἔνια δυνάμενα δρᾶν, ἐπαμφοτερίζειν, ἐν τῇ τροφῇ καὶ τῇ ἀναγωγῇ, καθάπερ ἡ φώκη, καὶ ὁ μῦς, καὶ ἕτερα ἄττα· καὶ τῶν ὀρνίθων δὲ πολλοί. ἀλλὰ καὶ τὸ δέχεσθαι καὶ τὸν ἀέρα καὶ τὴν θάλατταν, οὐχ οὕτως ὥσπερ ὁ δελφὶς καὶ ἕτερα ἄττα. φύσει μὲν οὖν ὄντα ἀναπνευστικά, καὶ τὴν θάλατταν δεχόμενα, καὶ ἀναφύσαντα πρὸς τὴν χρείαν· ἀλλ' ἀμφότερα πρὸς τὴν τοῦ ζῆν διαμονήν. ἄτοπον δ' αὐτοῖς ἡ φύσις καὶ ἡ δύναμις εἶναι. τὰ δ' ἐν Ἰνδοῖς ἰχθύδια, τὰ ἐκ τῶν ποταμῶν εἰς τὴν γῆν ἐξιόντα καὶ πηδῶντα, καὶ πάλιν εἰς τὸ ὕδωρ ἀπιόντα, καθάπερ οἱ βάτραχοι, θαυμαστὰ μὲν οὖν. οὐχ ὁμοίως δὲ τούτοις, ὅσον τὸ ὀλίγον χρόνον ἢ πολύν, καὶ τελευταῖον ἧττον θαυμαστόν. ἡ δ' ὄψις ὁμοία τούτων τοῖς μαζίναις καλουμένοις. εἰσὶ δὲ καὶ περὶ Βαβυλῶνα τινες, οὕς φασι διαμένειν ἐν ταῖς τρώγλαις ταῖς ἐχούσαις ὑγρότητα ξηραινομένου τοῦ ποταμοῦ. τούτους δ' ἐξιόντας νέμεσθαι, καὶ βαδίζειν ἐπὶ τῶν πτερυγίων, καὶ ἅμα κινεῖν τὴν οὐράν· καὶ ὅταν διώκωνται, φεύγειν καὶ εἰσδύντας, ἀντιπρόσωπος ἵστασθαι. πολλάκις γὰρ προσιέναι τινάς, καὶ ἐρεθίζειν. ἔχουσι δὲ τὴν μὲν κεφαλὴν ὁμοίαν βατράχῳ θαλαττίῳ, τὸ δ' ἄλλο σῶμα κωβιοῦ, βράγχια δ' ὥσπερ οἱ ἄλλοι ἰχθύες. ὅτι δὲ οὐ πόδας ἔχουσιν, ἀλλ' ἐπὶ τῶν πτερυγίων βαδίζουσιν, τεθεώρηται· ἐλάμβανον γὰρ πολλοὺς οἱ διώκοντες. τὰ δὲ πτερύγια εὐμεγέθη. τὸ δ' ἐκ τῆς γῆς τὴν τροφὴν λαμβάνειν, οὐκ ἄτοπον. ἔνιοι γὰρ καὶ ἐν τῷ ὑγρῷ ὄντες, πηλὸν ἐσθίουσι, καὶ φῦκος, καὶ τὰ τοιαῦτα. καὶ ὅλως δὲ εἴπερ ἐν τῷ ἀέρι διαγίνεται καὶ τὸ τῆς τροφῆς, οὐκ ἄλογον. ἐπεὶ καὶ ὁ πολύπους ἐξιὼν λαμβάνει, καὶ ἡ μύραινα, καὶ ἄλλοι δ' ὥς φασι. καὶ τὸ ὅλον οὐκ ἄλογον, ὥσπερ τῶν πεζῶν καὶ πτηνῶν ἔνια τοῖς ἐνύδροις χρῆται, καὶ τὰ ἔνυδρα ταῖς ἐν τῇ γῇ, καὶ τὴν φύσιν ὁμοίως αὐτὰ ἀποδιδόναι τὸ ἀνάλογον. φαίνεται δὲ καὶ ὁ ἵππος ὁ ποτάμιος τοιοῦτον. ἀλλ' ἐκεῖνο θαυμαστόν, ὥσπερ εἴπομεν, εἴ τι δύναται τοῖς αὐτοῖς μορίοις ὡς ὀργανικοῖς, ὁτὲ μὲν ἀπωθεῖσθαι τὸν ἀέρα καὶ ἕλκειν, ὁτὲ δὲ τὸ ὑγρὸν δέχεσθαι. τάχα δὲ τοῦτο μᾶλλον, ἢ ὅτι μὲν ὁ ἀὴρ σύμμαχος πρὸς τὴν κατάψυξιν, ἢ ὅτι δή ποτε οὐκ ἐκ τῆς ἀναπνοῆς γενόμενον. ὅτε δὲ τὸ ὑγρόν. οὐ γὰρ ἅμα τὸ ἄμφω. τὸ δὲ τῶν πολυπόδων, ἧττον θαυμαστόν. οὐ γὰρ δέχονται τὴν θάλατταν * καὶ οἱ κάραβοι καὶ οἱ ἀστακοὶ καὶ οἱ καρκῖνοι, καὶ τἆλλα τὰ τοιαῦτα * ὅσα μὴ μεγάλας ἄγει τῆς μεταβολῆς οὔσης, ῥᾷον ὑπομένειν· ὃ καὶ περὶ τὰς ἐγχέλυς φαίνεται συμβαίνειν. πολὺν γὰρ χρόνον δύνανται ζῆν ἔξω τοῦ ὑγροῦ, διὰ τὸ μικρὰ τὰ βράγχια ἔχειν, καὶ ὀλίγον δέχεσθαι τὸ ὑγρόν. καὶ τὴν μύραιναν, καὶ εἴ τι ἄλλο τοιοῦτον. ἢ καὶ τὸ ὅλον ὀφιῶδες, ἥκιστα ἄτοπον. εὔλογον δὲ, καὶ ἐν τῷ ὕδατι μᾶλλον μὴ δύνασθαι διαμένειν, ὅσον λεπτότερον ὂν τῆς θαλάσσης ἐγγυτέρω τοῦ ἀέρος ἐστί. καὶ τὸ φύσει γε ψυχρότερόν ἐστι· διὸ καὶ ὁ πολύπους φεύγει. καὶ διὰ τοῦτο περὶ Ἑλλήσποντον, καὶ τὸν πόντον οὐκ ἔστιν. οἱ δ' ἰχθύες τίκτουσιν, ἀναπλέοντες εἰς τοὺς ποταμοὺς καὶ τὰς λίμνας, ὅτι εὐδία μᾶλλον κυμάτων καὶ πνευμάτων, καὶ τὰ θηρία ἐλάττω, καὶ οἱ κατεσθίοντες ὅλως καὶ διαφθείροντες ἰχθῦς. ἡ δὲ τῆς θαλάττης θερμότης ἐξ ἐκείνου φανερά, τὸ μὴ διαμένειν δύνασθαι ἐν ταύτῃ τὰ ἐκ τῶν ποταμῶν, ἀλλὰ μᾶλλον τὰ ἐκ τῆς θαλάττης ἐν τοῖς ποταμοῖς, καὶ ταῖς λίμναις. ἴσως δ' αὐτὸ τοῦτο χαλεπώτερον σκεπτέον, πότερον θερμότερον ὁ ἀὴρ, ἢ τὸ ὑγρόν. εἰ γὰρ ὁ ἀὴρ, ὥσπερ ἂν δόξειεν, ἐγγυτέρω γοῦν τοῦ πυρός, ἧττον ἀεὶ θερμὰ τὰ τούτου κατεχόμενα. τοῦτο δὲ εἰ μὴ καὶ πρὸς τὰ νῦν ὑπεναντίον· ἀλλὰ πρὸς ἐκείνην τὴν δόξαν τῶν λεγομένων, ὅτι θερμότατα πάντων τὰ ἔναιμα καὶ ζωοτόκα. περὶ μὲν οὖν τούτων ἐπισκεπτέον. οἱ δ' ὀρυκτοὶ τῶν ἰχθύων, εἰσὶ γὰρ ἐνιαχοῦ καὶ τοιοῦτοι, καθάπερ τῶν περὶ Ἡράκλειαν, καὶ ἄλλοθι τῶν ἐν τῷ πόντῳ, γίνονται μὲν καὶ παρὰ τοὺς ποταμοὺς καὶ τὰ ἔνυδρα χωρία, συμ

ὕδωρ ἀλλὰ πλάσματι ἐπάνω χρῶνται, ἣν πρὸς ἣν ἀλείφοντες. γίνεται δὲ τὸ μὲν ὑφιστάμενον κάτω, κιννάβαρι· τὸ δ' ἐπάνω καὶ πλεῖον, πλύσμα. καταδεῖξαι δέ φασι καὶ εὑρεῖν τὴν ἐργασίαν, Καλλίαν τινὰ Ἀθηναῖον, ἐκ τῶν ἀργυρείων· ὃς οἰόμενος ἔχειν τὴν ἄμμον χρυσίον, διὰ τὸ λαμπυρίζειν, ἐπραγματεύετο καὶ συνέλεγεν· ἐπεὶ δὲ ᾔσθετο ὅτι οὐκ ἔχει, τὸ δὲ τῆς ἄμμου κάλλος ἐθαύμαζε διὰ τὴν χρόαν, οὕτως ἐπὶ τὴν ἐργασίαν ἦλθε ταύτην. οὐ παλαιὸν δ' ἐστὶν, ἀλλὰ περὶ ἔτη μάλιστ' ἐνενήκοντα, εἰς ἄρχοντα Πραξίβουλον Ἀθήνησι. φανερὸν δ' ἐκ τούτων, ὅτι μιμεῖται τὴν φύσιν ἡ τέχνη, τὰ δ' ἴδια ποιεῖ. καὶ τούτων τὰ μὲν χρήσεως χάριν, τὰ δὲ μόνον φαντασίας, ὥσπερ τὰς ἄλπεας. ἔνια δ' ἴσως ἀμφοῖν, ὥσπερ χυτὸν ἄργυρον. ἔστι γάρ τις χρεία καὶ τούτου. ποιεῖται δ' ὅταν τὸ * τριφθῇ μετ' ὄξους ἐν ἀγγείῳ χαλκῷ, καὶ δοίδυκι χαλκῷ. τὰ μὲν οὖν τοιαῦτα τάχ' ἄν τις λάβοι πλείω. τῶν δὲ μεταλλευτῶν τὰ ἐν τοῖς γεωφανέσιν ἔτι λοιπὰ, περὶ ὧν ἡ γένεσις, ὥσπερ ἐλέχθη κατ' ἀρχὰς, ἐκ συῤῥοῆς τινος καὶ ἐκκρίσεως γίνεται καθαρωτέρας καὶ ὁμαλωτέρας τῶν ἄλλων. χρώματα δὲ παντοῖα λαμβάνουσιν. καὶ διὰ τὴν τῶν ὑποκειμένων * διὰ τῶν * ὄντων διαφοράν, ἐξ ὧν τὰς μὲν μελαντῶντες, τὰς δὲ τήκοντες καὶ τρίβοντες, συντιθέασι τὰς λίθους τὰς ἐκ τῆς Ἀσίας ταύτας ἀγομένας. αἱ δ' αὐτοφυεῖς, καὶ ἅμα τῷ περιττῷ τὸ χρήσιμον ἔχουσαι, σχεδὸν τρεῖς εἰσιν ἢ τέτταρες· ἥ τε μηλιάς, καὶ ἡ κιμωλία, καὶ ἡ σαμία, καὶ ἡ τυμφαϊκή, καὶ τετάρτη παρὰ ταύτας ἡ γύψος. χρῶνται δ' οἱ γραφεῖς τῇ μηλίᾳ διὰ μὲν τῆς μιᾶς δ' οὐ καίπερ οὔσῃ καλῇ, διὰ τὸ λίπος ἔχειν καὶ πυκνότητα, καὶ λειότητα. τὸ γὰρ ἠρεμαῖον καὶ * δὲς καὶ ἄλαμπες, ἐπὶ τῆς γραφῆς ἁρμόττει μᾶλλον· ὅπερ ἡ μηλιὰς ἔχει τῷ ψαφαρῷ. εἰσὶ καὶ ἐν τῇ Μήλῳ καὶ ἐν τῇ Σάμῳ διαφοραὶ τῆς γῆς πλείους. ὀρύττοντα μὲν οὖν οὐκ ἔστιν ὀρθὸν στῆναι ἐν τοῖς ἐν Σάμῳ, ἀλλ' ἀναγκαῖον ἢ ὕπτιον, ἢ πλάγιον. ἡ δὲ φλὲψ, ἐπὶ πολὺ διατείνει. τὸ μὲν ὕψος ἡλίκον δίπους, τὸ δὲ βάθος πολλῷ μεῖζον. ἐφ' ἑκάτερα δ' αὐτῆς λίθοι περιέχουσιν, ἐξ ὧν ἐξαιρεῖται. διαφυὴν ἔχει διὰ μέσου καὶ ἡ διαφυὴ βελτίων ἐστὶ τῶν ἔξω, καὶ πάλιν ἑτέραν αὐτῇ καὶ ἑτέραν * ταχεντεττάρων οὖσιν ἡ ἐσχάτη, καλεῖται ἀστήρ. χρῶνται δὲ τῇ γῇ πρὸς τὰ ἱμάτια μάλιστα, ἢ μόνον. χρῶνται δὲ τῇ τυμφαϊκῇ πρὸς τὰ ἱμάτια, καὶ καλοῦσι γύψον, οἱ περὶ θεάτρων δὲ καὶ τοὺς τόπους ἐκείνους. ἡ δὲ γύψος γίνεται πλείστη μὲν ἐν Κύπρῳ, καὶ περιφανεστάτη· μικρὸν γὰρ ἀφαιροῦσι τῆς γῆς ὀρύττοντες. ἐν Φοινίκῃ δὲ, καὶ ἐν Συρίᾳ καίοντες τοὺς λίθους ποιοῦσιν· ἔπειτα δ' ἐν Θουρίοις· καὶ γὰρ ἐκεῖ γίνεται πολλή. τρίτη δ' ἡ περὶ * τυμφαία καὶ περὶ τὴν Περαιβίαν, καὶ κατ' ἄλλους τόπους. ἡ δὲ φύσις αὐτῆς ἰδία· λιθωδεστέρα γὰρ μᾶλλόν ἐστιν, ἢ γεώδης. ὁ δὲ λίθος ἐμφερὴς τῷ ἀλαβαστρίτῃ. μέγας δ' οὐ τέμνεται, ἀλλὰ χαλικώδης. ἡ δὲ γλισχρότης καὶ θερμότης, ὅταν βρεχθῇ, θαυμαστή. χρῶνται γὰρ πρός τε τὰ οἰκοδομήματα, τὸν λίθον περιχέοντες· κἄν τι ἄλλο βούλωνται τοιοῦτο κολλῆσαι. κόψαντες δὲ, καὶ ὕδωρ ἐπιχέοντες, ταράττουσι ξύλοις. τῇ χειρὶ γὰρ οὐ δύνανται διὰ τὴν θερμότητα. βρέχουσι δὲ παραχρῆμα πρὸς τὴν χρείαν, ἐὰν μικρὸν πρότερον, ταχὺ πήγνυται. καὶ οὐκ ἔστι διελεῖν. θαῦμα δὲ καὶ ἰσχύς, ὅτι οἱ λίθοι ῥήγνυνται καὶ διαφέρονται, ἡ δὲ * μος ἀνίησι. πολλάκις δὲ καὶ τὰ μὲν πέπτωκε καὶ ὑφῄρηται, τὰ δ' ἄνω κρεμάμενα καὶ συνεχόμενα τῇ κολλήσει, συνάπτεται δὲ καὶ ὑφαιρουμένη πάλιν καὶ πα * ὀπτᾶσθαι καὶ γίνεσθαι χρησίμη. περὶ μὲν οὖν Κύπρον καὶ Φοινίκην εἰς ταῦτα μάλιστα. περὶ δὲ Ἰταλίαν, καὶ εἰς τὸν οἶνον. καὶ οἱ γραφεῖς ἔνια τῶν περὶ τὴν τέχνην· ἔτι δ' οἱ κναφεῖς ἐμπάττοντες εἰς τὰ ἱμάτια. διαφέρειν δὲ δοκεῖ καὶ πρὸς τὰ ἐκμάγματα πολὺ τῶν ἄλλων. εἰς ὃ καὶ χρῶνται μᾶλλον, καὶ μάλιστα οἱ περὶ τὴν Ἑλλάδα * χρότητα καὶ λειότητα. ἡ μὲν δύναμις ἐν τούτοις καὶ τοῖς τοιούτοις. ἡ δὲ φύσις ἔοικεν ἀμφότερα πως ἔχειν, καὶ τὴν τῆς κονίας, καὶ τὴν τῆς γῆς θερμότητα καὶ γλισχρότητα· μᾶλλον δ' ἑκατέρας ὑπερεχούσας. θερμοτέρα γὰρ τῆς κονίας, γλισχροτέρα δὲ πολὺ τῆς γῆς. ὅτι δ' ἔμπυρος, κἀκεῖθεν φανερόν. ἤδη γάρ τις ναῦς ἱματηγὸς βρεχθέντων ἱματίων, ὡς ἐπυρώθησαν, συγκατεκαύθη καὶ αὐτή. καίουσι δὲ καὶ ἐν Φοινίκῃ καὶ ἐν Συρίᾳ καμινεύοντες αὐτὴν, καὶ καίοντες. καίουσι δὲ μάλιστα τοὺς μαρμάρους, καὶ ἁπλουστέρους. στερεωτάτους μὲν παραβάλλοντες * τὰ τῶν θᾶττον καίεσθαι, καὶ μᾶλλον. δοκεῖ γὰρ

θερμότατον εἶναι πυρωθὲν, καὶ πλεῖστον χρόνον διαμένειν. ὀπτήσαντες δὲ κόπτουσιν,

ὥσπερ τὴν κονίαν. ἐκ τούτου δ' αὖ δόξειεν εἶναι φανερὸν, ὅτι τὸ πυρώ-

δες τις ἡ γένεσις αὐτῆ τὸ ὅλον ἐστίν.

καὶ δυνάμεις χωρὶς ἐν τοῖς τόποις. αἱ δὲ τῆς γῆς, ἐλάττους μὲν, ἰδιώτεραι δέ. τὸ μὲν γὰρ τήκεσθαι, καὶ ἀλλοιοῦσθαι, καὶ πάλιν ἀποσκληρύνεσθαι, καὶ ταύτῃ συμβαίνει· τήκεται μὲν γὰρ τοῖς χυτοῖς καὶ ὀρυκτοῖς, ὥσπερ καὶ ὁ λίθος. μαλάττεται δὲ, λίθους τε ποιοῦσιν ὧν τάς τε ποικίλας, καὶ τὰς ἄλλας τὰς συντιθεμένας· ἁπάσας γὰρ πυροῦντες καὶ μαλάττοντες ποιοῦσιν. εἰ δὲ καὶ ὁ ὕελος ἐκ τῆς ὑελίτιδος, ὥς τινές φασι, καὶ αὕτη πυκνώσει γίνεται. ἰδιωτάτη δὲ ἡ περὶ χαλκοῦ μιγνυμένη. πρὸς γὰρ τὸ τήκεσθαι καὶ μίγνυσθαι, καὶ δύναμιν ἔχειν περιττὴν, ὥστε τῷ κάλλει τῆς χρόας ποιεῖν διαφοράν. περὶ δὲ Κιλικίαν ἐστί τις, ἣ ἕψεται γῆ, καὶ γίνεται γλίσχρα. ταύτῃ δ' ἀλείφουσι τὰς ἀμπέλους ἀντὶ ἰξοῦ, πρὸς τοὺς ἴπας. ἣν δ' ἂν λαμβάνοιμεν καὶ ταύτας τὰς διαφορὰς, ὅσαι πρὸς τὴν ἀπολίθωσιν εὐφυεῖς ἐπεί αἵ γε τοῦ τοιούτου ποιοῦσαι χυμοὺς, διαφόρους ἀλλήλων, ἣν ἔχουσαι φύσιν· ὥσπερ καὶ αἱ τῶν φυτῶν. ἀλλὰ μᾶλλον ἄν τις τὰς τοῖς χρώμασι διαριθμήσειας, οἷς περ καὶ οἱ γραφεῖς χρῶνται. καὶ γὰρ ἡ γένεσις τούτων, ὥσπερ ἐξ ἀρχῆς εἴπομεν, ἐστὶ συῤῥοῆς τινος, ἢ διηθήσεως γινομένης. ἔνια δέ γε δὴ φαίνεται πεπυρωμένα, καὶ οἷον κατακεκαυμένα, οἷον καὶ ἡ σανδαράκη, καὶ τὸ ἀῤῥενικὸν, καὶ τὰ ἄλλα τὰ τοιαῦτα· πάντα δ' ὡς ἁπλῶς εἰπεῖν, ἐκ τῆς ἀναθυμιάσεως, ταῦτα τῆς ξηρᾶς καὶ καπνώδους. εὑρίσκεται δ' ἢ πάντα ἐν τοῖς μετάλλοις, τοῖς ἀργυρείοις καὶ χρυσείοις· ἔνια δὲ καὶ ἐν τοῖς χαλκωρυχείοις, οἷον ἀῤῥενικὸν, σανδαράκη, χρυσοκόλλα, μίλτος, ὤχρα, κυανός. ἐλάχιστος δ' οὗτος, καὶ κατ' ἐλάχιστα. τῶν δ' ἄλλων τῶν μέν εἰσι ῥάβδοι· τὴν δ' ὤχραν ἀθρόαν πως φαντασίαν εἶναι. μίλτου δὲ παντοδαπήν. ὥστε εἰς τὰ ἀνδρείκελα χρῆσθαι τοὺς βαφεῖς. καὶ ὤχραν ἀντ' ἀῤῥενικοῦ, διὰ τὸ μηδὲν τῇ χρόᾳ διαφέρειν. δοκεῖν δὲ τὰ μὲν ἄλλα μίλτου τε καὶ ὤχρας ἐστὶν ἐνιαχοῦ μέταλλα· καὶ κατὰ ταῦτα, καθάπερ ἐν Καππαδοκίᾳ, ὃ ὀρύττεται πολύ. χαλεπὸν δὲ τοῖς μετάλλοις φασὶν εἶναι, τὸ πνίγεσθαι. ταχὺ γὰρ, καὶ ἐν ὀλίγῳ τοῦτο ποιεῖν. βελτίστη δὲ ποιεῖ μίλτος ἡ κεία εἶναι. γίνονται γὰρ πλείους. ἡ μὲν οὖν ἐκ τῶν μετάλλων, ἐπεὶ δὴ καὶ τὰ σιδήρεια ἔχει μίλτον. ἀλλὰ καὶ ἡ λημνία, ἣν καλοῦσιν σινωπικήν· αὕτη δ' ἐστὶν ἡ καππαδοκική· κατάγεται δ' εἰς Σινώπην· ἐν δὲ περὶ μικρῷ μεταλλεύεται καθ' αὑτήν. ἔστι δὲ αὐτῆς γένη τρία· ἡ μὲν ἐρυθρὰ σφόδρα, ἡ δ' ἔκλευκος, ἡ δὲ μέση· ταύτην αὐτάρκη καλοῦμεν, διὰ τὸ μὴ μίγνυσθαι· τὰς δ' ἑτέρας μιγνῦσι. γίνεται τ' ἐκ τῆς ὤχρας κατακαιομένης, ἀλλὰ χείρων. τὸ δ' εὕρημα Κυδίου. συνεῖδε γὰρ ἐκεῖνον, ὥς φασι, κατακαυθέντος τινὸς παντοπωλίου, τὴν ὤχραν ἰδὼν ἡμίκαυστον καὶ πεφοινιγμένην. τιθέασι δ' εἰς τὰς καμίνους χύτρας ἀγνὰς, περιπλάσαντες πηλῷ· ὀπτῶσι γὰρ διάπυροι γινόμεναι. ὅσῳ δ' ἂν μᾶλλον πυρωθῶσι, τοσούτῳ μᾶλλον μελαντέραν καὶ ἀνθρακωδεστέραν ποιοῦσι. μαρτυρεῖ δ' αὖ ἡ γένεσις αὐτό. δόξειε γὰρ τὸ ὑπὸ πυρὸς ἅπαντα ταῦτα μεταβεβλῆσθαι, εἴπερ ὁμοίαν ἢ παραπλησίαν δεῖ τὴν ἐν τούτοις τῇ φυσικῇ νομίζειν. ἔστι δ' ὥσπερ καὶ μίλτος, ἡ μὲν αὐτόματος, ἡ δὲ τεχνική. καὶ κυανὸς, ὁ μὲν αὐτοφυὴς, ὁ δὲ σκευαστὸς, ὥσπερ ἐν Αἰγύπτῳ. γένη δὲ κυανοῦ τρία· ὁ αἰγύπτιος, καὶ ὁ σκύθης, καὶ τρίτος ὁ κύπριος. βέλτιστος δ' ὁ αἰγύπτιος, εἰς τὰ ἄκρατα ἀλείμματα· ὁ δὲ σκύθης, εἰς τὰ ὑδαρέστερα. σκευαστὸς δ' ὁ αἰγύπτιος. καὶ οἱ γράφοντες τὰ περὶ τοὺς βασιλεῖς, καὶ τοῦτο γράφουσι, τίς πρῶτος βασιλεὺς ἐποίησε χυτὸν κυανὸν, μιμησάμενος τὸν αὐτοφυῆ. δῶρά τε πέμπεσθαι παρ' ἄλλων τε καὶ ἐκ Φοινίκης φόρον κυανοῦ, τοῦ μὲν ἀπύρου, τοῦ δὲ πεπυρωμένου. φασὶ δ' οἱ τὰ φάρμακα τρίβοντες, τὸν μὲν κυανὸν ἐξ ἑαυτοῦ ποιεῖν χρώματα τέτταρα· τὸ μὲν πρῶτον ἐκ τῶν λεπτοτάτων λεπτότατον, τὸ δὲ δεύτερον ἐκ παχυτάτων μελάντατον· ταῦτά τε δὴ τέχνῃ γίνεται. καὶ ἔτι τὸ ψιμύθιον. τίθεται γὰρ μόλιβδος ὑπὲρ ὄξους ἐν πίθοις, ὅταν δὲ λάβῃ πάχος ἡλίκον πλίνθος (λαμβάνει δὲ μάλιστα ἐν ἡμέραις δέκα) τότ' ἀνοίγουσιν, εἶτ' ἀποξύουσιν, ὥσπερ εὐρῶτά τινα ἀπ' αὐτοῦ· καὶ πάλιν ἕως ἂν καταναλώσωσι. τὸ δ' ἀποξυόμενον, ἐν τριπτῆρι τρίβουσι, καὶ ἠθοῦσιν ἀεί. τὸ δ' ἔσχατον ὑφιστάμενόν ἐστι τὸ ψιμύθιον. παραπλησίως δὲ καὶ ὁ ἰὸς γίνεται. χαλκὸς γὰρ ἐρυθρὸς, ὑπὲρ τρυγὸς τίθεται, καὶ ἀποξύεται τὸ ἐπιγινόμενον. ὅταν ἐπιφαίνεται τιθέμενος. γίνεται δὲ, καὶ κιννάβαρι τὸ μὲν αὐτοφυὲς, τὸ δὲ κατ' ἐργασίαν. αὐτοφυὲς μὲν, τὸ περὶ Ἰβηρίαν σκληρὸν σφόδρα, καὶ λιθῶδες, καὶ τὸ ἐν Κόλχοις· τοῦτο δέ φασιν εἶναι κρημνῶν, ὃ καταβάλλουσι τοξεύοντες. τὸ δὲ κατ' ἐργασίαν, ὑπὲρ Ἐφέσου μικρὸν, ἐξ ἑνὸς τόπου. μόνον δ' ἐστὶν ἄμμος, ἣν συλλέγουσι λαμπυρίζουσαν, καθάπερ ὁ κόκκος· ταύτην δὲ τρίψαντες ὅλως ἐν ἀγγείοις λιθίνοις λειοτάτην, πλύνουσιν ἐν χαλκοῖς μικρὸν ἐν κάδοις. τὸ δ' ὑφιστάμενον πάλιν λαβόντες, πλύνουσι καὶ τρίβουσιν, ἐν ᾧ περ ἐστὶ τὸ τῆς τέχνης. οἱ μὲν καὶ ἐκ τοῦ ἴσου πολὺ περιποιοῦσιν, οἱ δὲ ὀλίγον, ἢ

τι. ἀλλ' οἱ πολυτελεῖς σπάνιοι, καὶ ἐξ ὀλίγων τόπων· οἷον ἔκ τε Καρχηδόνος, καὶ ἐκ τῶν περὶ Μασσαλίαν, καὶ ἐξ Αἰγύπτου, καὶ τῶν Καταδούπων τόπων, καὶ Συήνης πρὸς Ἐλεφαντίνῃ πόλει, καὶ ἐκ τῆς Ψηφῶ καλουμένης χώρας. καὶ ἐν Κύπρῳ, ἥ τε σμάραγδος καὶ ἡ ἴασπις. οἷς δὲ εἰς τὰ λιθόκολλα χρῶνται, ἐκ τῆς Βακτριανῆς, εἰσὶ πρὸς τῇ ἐρήμῳ. συλλέγουσι δ' αὐτοὺς ὑπὸ τοὺς ἐτησίας, ἱππεῖς ἐξιόντες. τότε γὰρ ἐμφανεῖς γίνονται, κινουμένης τῆς ἄμμου, διὰ τὸ μέγεθος τῶν πνευμάτων. εἰσὶ δὲ μικροί, καὶ οὐ μεγάλοι. τῶν σπουδαζομένων δὲ λίθων ἐστὶ καὶ ὁ μαργαρίτης καλούμενος, διαφανὴς μὲν τῇ φύσει. ποιοῦσι δ' ἐξ αὐτοῦ τοὺς πολυτελεῖς ὅρμους. γίνεται δὲ ἐν ὀστρέῳ τινί, παραπλησίῳ ταῖς πίνναις. φέρει δ' ἥ τε Ἰνδικὴ χώρα, καὶ νῆσοί τινες τῶν ἐν τῇ Ἐρυθρᾷ. τὸ μὲν οὖν περιττόν, σχεδὸν ἐν αὐτοῖς. εἰσὶ δὲ καὶ ἄλλαι τινές, οἷον ὅ τε ἐλέφας ὁ ὀρυκτός, ποικίλος μέλανι, καὶ ἣν καλοῦσι σάπφειρον. αὕτη γὰρ μέλαινα, οὐκ ἄγαν πόρρω τοῦ κυανοῦ τοῦ ἄρρενος. καὶ πρασῖτις. αὕτη δὲ ἰώδης τῇ χρόᾳ. πυκνὴ δὲ καὶ αἱματῖτις. αὕτη δ' αὐχμώδης, ἡ κατὰ τοὔνομα, ὡς αἵματος ξηροῦ πεπηγότος. ἄλλη δ' ἡ καλουμένη, οὐ ξανθὴ μὲν τὴν χρόαν, ἔκλευκος δὲ μᾶλλον, καλοῦσι χρῶμα οἱ Δωριεῖς ξανθόν. τὸ γὰρ κουράλιον (καὶ γὰρ τοῦθ' ὥσπερ λίθος) τῇ χρόᾳ μὲν ἐρυθρόν, περιφερὲς δ' ὡς ἂν ῥίζα. φύεται δ' ἐν τῇ θαλάττῃ. τρόπον δέ τινα οὐ πόρρω τούτου τῇ φύσει, καὶ ὁ Ἰνδικὸς κάλαμος ἀπολελιθωμένος. ταῦτα μὲν οὖν ἄλλης σκέψεως. τῶν δὲ λίθων πολλαί τινες αἱ φύσεις, καὶ τῶν μεταλλευομένων. ἔνια γὰρ ἅμα χρυσὸν ἔχουσι, καὶ ἄργυρον. περιφανῆ δὲ μόνον ἄργυρον). βαρύτεραι δ' αὗται πολύ, καὶ τῇ ῥοπῇ, καὶ τῇ ὀσμῇ. καὶ κυανὸς αὐτοφυής, ἔχων ἐν ἑαυτῷ χρυσοκόλλαν. ἄλλη δὲ λίθος ὁμοία τὴν χρόαν τοῖς ἄνθραξι. βάρος δ' ἔχουσι τὸ ὅλον ἐν τοῖς μετάλλοις, πλεῖσται καὶ ἰδιώταται φύσεις εὑρίσκονται τῶν τοιούτων. ὧν τὰ μὲν εἰσὶ γῆς, καθάπερ ὤχρα καὶ μίλτος. τὸ δ' οἷον ἄμμος, καθάπερ χρυσοκόλλα καὶ κυανός· τὰ δὲ κονίας, οἷον σανδαράκη, καὶ ἀρρενικόν, καὶ ὅσα ὅμοια τούτοις. καὶ τῶν μὲν τοιούτων πλείους ἄν τις λάβοι τὰς ἰδιότητας. ἔνιαι δὲ λίθοι καὶ τὰς τοιαύτας ἔχουσι δυνάμεις, εἰς τὸ μὴ πάσχειν, ὥσπερ ἔπομεν· οἷον τὸ μὴ γλύφεσθαι σιδηρείοις, ἀλλὰ λίθοις ἑτέροις. ὅλως μὲν ἡ κατὰ τὰς ἐργασίας, καὶ τῶν μειζόνων λίθων πολλὴ διαφορά· πριστοὶ γάρ. οἱ δὲ γλυπτοί, καθάπερ ἐλέχθη, καὶ τορνευτοὶ τυγχάνουσι· καθάπερ καὶ ἡ μαγνῆτις αὕτη λίθος, ἣ καὶ ὄψιν περιττὴν ἔχουσα, καὶ ὥς γε δή τινες θαυμάζουσι, τὴν ὁμοίωσιν τοῦ ἀργύρου μηδαμῶς οὖσαν συγγενῆ. πλείους δ' εἰσὶν οἱ δεχόμενοι πάσας τὰς ἐργασίας. ἐπεὶ καὶ ἐν Σίφνῳ τοιοῦτός τίς ἐστιν ὀρυκτός, ὡς τρία στάδια ἀπὸ θαλάττης, στρογγύλος, καὶ βωλώδης. καὶ τορνεύεται καὶ γλύφεται διὰ τὸ μαλακόν, ὅταν πυρωθῇ ὑπὸ ἐλαίου, μέλας τε σφόδρα γίνεται, καὶ σκληρός. ποιοῦσι δ' ἐξ αὐτοῦ σκεύη τὰ ὑπὲρ τράπεζαν. οἱ μὲν τοιοῦτοι πάντες προσδέχονται τὴν τοῦ σιδήρου δύναμιν. ἔνιοι δὲ λίθοις ἄλλοις γλύφονται, σιδήροις δ' οὐ δύνανται, καθάπερ ἔπομεν. οἱ δὲ σιδήροις μὲν * ἢ ἐστὶν * παραπλησίως δὲ κάτω τὰ * μὴ τέμνεσθαι * σιδήρῳ, καίτοι καὶ στερεὸν ἔτι * ἰσχυρότερα τέμνει, καὶ σίδηρος λίθου σκληρότερος ὤν. ἄτοπον δὲ κἀκεῖνο φαίνεται. διότι ἡ μὲν ἀκόνη κατεσθίει τὸν σίδηρον, ὁ δὲ σίδηρος ταύτην μὲν δύναται διαιρεῖν καὶ ῥυθμίζειν. ἐξ ἧς δ' αἱ σφραγῖδες, οὔ. καὶ πάλιν ὁ λίθος, ᾧ γλύφουσι τὰς σφραγῖδας, ἐκ τούτου ἐστίν, ἐξ οὗπερ αἱ ἀκόναι, ἢ ἐξ ὁμοίου τούτῳ. ἄγεται δὲ ἡ ἐξ Ἀρμενίας. θαυμαστὴ δὲ φύσις καὶ τῆς βασανιζούσης τὸν χρυσόν. δοκεῖ γὰρ δὴ τὴν τοιαύτην ἔχειν τῷ πυρὶ δύναμιν· καὶ γὰρ ἐκεῖνο δοκιμάζει. διὸ καὶ ἀποροῦσί τινες, οὐκ ἄγαν οἰκείως ἀποροῦντες· οὐ γὰρ τὸν αὐτὸν τρόπον δοκιμάζει. ἀλλὰ τὸ μὲν πῦρ τῷ τὰ χρώματα μεταβάλλειν, καὶ ἀλλοιοῦν· ὁ δὲ λίθος, τῇ παρατρίψει. δύναται γάρ, ὡς ἔοικεν, ἐκλαμβάνειν τὴν ἑκάστου φύσιν. εὑρῆσθαι δέ φασιν νῦν ἀμείνω πολὺ τῆς πρότερον. ὥστε μὴ μόνον τὸν ἐκ τῆς καθάρσεως, ἀλλὰ καὶ τὸν χαλκὸν κατὰ χρυσὸν καὶ ἄργυρον γνωρίζειν, καὶ πόσον εἰς τὸν στατῆρα μέμικται. σημεῖα δ' ἐστὶν αὐτοῖς ἀπὸ τοῦ ἐλαχίστου. ἐλάχιστον δὲ γίνεται κριθή, εἶτα κόλλυβος, εἶτα τεταρτημόριον, ἢ ἡμιόλιον ὀβολοῦ· ἐξ ὧν γνωρίζουσι τὸ καθῆκον. εὑρίσκονται δὲ τοιαῦται πᾶσαι ἐν τῷ ποταμῷ Τμώλῳ. λεία δ' ἡ φύσις αὐτῶν, καὶ ψηφοειδής, πλατεῖα, οὐ στρογγύλη. μέγεθος δέ, ὅσον διπλασία τῆς μεγίστης ψήφου. διαφέρει δ' αὐτῆς πρὸς τὴν δοκιμασίαν τὰ ἄνω πρὸς τὸν ἥλιον, ἢ τὰ κάτω. καὶ βέλτιον δοκιμάζει τὰ ἄνω, ὥσπερ δῆλον, ὅτι ξηρότερα τὰ ἄνω. κωλύει γὰρ ἡ ὑγρότης εἰς τὸ ἐκλαμβάνειν· ἐπειδὴ καὶ ἐν τοῖς καύμασιν τὸ δοκιμάζειν χεῖρον. ἀνιᾶσι γάρ τινα νοτίδα ἐξ αὐτοῦ, δι' ἣν ἀπολισθαίνει. συμβαίνει δὲ ὥσπερ καὶ ἄλλοις τῶν λίθων, καὶ ἐξ ὧν τὰ ἀγάλματα ποιοῦσιν. ὃ καὶ σημεῖον ὑπολαμβάνει, ὡς ἴδιον τὸ τοῦ θείου. αἱ μὲν οὖν τῶν λίθων διαφοραὶ

καὶ δυνάμεις

λάδοσης αὐτῆ. καὶ περὶ μὲν τῶν κισσηρείδων ἐπὶ τοσοῦτον εἰρήσθω. περὶ δὲ τῶν πυρουμένων, καὶ τῶν ἀπυρώτων λίθων, ἀφ' ὧν καὶ εἰς τοῦτο ἐξέβημεν, ἐν ἄλλοις θεωρητέον τὰς αἰτίας. τῶν δὲ λίθων καὶ ἄλλαι * τυγχάνουσιν, ἐξ ὧν καὶ τὰ σφραγίδια γλύφουσιν· αἱ μὲν τῇ ὄψει μόνον, οἷον τὸ σάρδιον καὶ ἴασπις, καὶ ἡ σάπφειρος· αὕτη δ' ἐστὶν ὥσπερ χρυσόπαστος. ἡ δὲ σμάραγδος, καὶ δυνάμεις τινὰς ἔχει. τοῦ τε γὰρ ὕδατος, ὥσπερ εἴπομεν, ἐξομοιοῦται τὴν χρόαν ἑαυτῇ, μετρία μὲν οὖσα ἐλάττονος, ἡ δὲ μεγίστη παντός, ἡ δὲ χειρίστη τοῦ καθ' αὑτὴν μόνον· καὶ πρὸς τὰ ὄμματα ἀγαθή. διὸ καὶ τὰ σφραγίδια φοροῦσιν ἐξ αὐτῆς, ὥστε βλέπειν. ἔστι δὲ σπανία, καὶ τὸ μέγεθος οὐ μεγάλη· πλὴν εἰ πιστεύειν ταῖς ἀναγραφαῖς δεῖ ταῖς ὑπὲρ τῶν βασιλέων τῶν αἰγυπτίων * τὰς γάρ φασι κομισθῆναί ποτ' ἐν δώροις, παρὰ τοῦ βαβυλωνίου βασιλέως, μῆκος μὲν τετράπηχυν, πλάτος δὲ τρίπηχυν. ἀνακεῖσθαι δὲ καὶ ἐν τῷ τοῦ διὸς ὀβελίσκον σμαράγδου τέτταρας, μῆκος μὲν τετταράκοντα πηχῶν, εὖρος δὲ τῇ μὲν τέτταρας, τῇ δὲ δύο. ταῦτα μὲν οὖν ἐπὶ τὴν ἐκείνων γραφήν. τῶν δὲ * ἀνδρῶν κομισθέντων ὑπὸ πολλῶν, ἡ ἐν τύρῳ μεγίστη· στήλη γὰρ ἔστιν εὐμεγέθης ἐν τῷ τοῦ ἡρακλέους ἱερῷ· εἰ μὴ ἄρα ψευδὴς σμάραγδος. καὶ γὰρ τοιαύτη γίνεταί τις φύσις. γίνεται δὲ ἐν τοῖς ἐφικτοῖς καὶ γνωρίμοις τόποις, διτταχοῦ μάλιστα, περί τε κύπρον ἐν τοῖς χαλκωρυχείοις, καὶ ἐν τῇ νήσῳ τῇ † ἐπικειμένῃ καρχηδόνι. καὶ ἰδιωτέρας εὑρίσκουσιν ἐν ταύτῃ. μεταλλεύονται γάρ, ὥσπερ τ' ἄλλα, καὶ ἡ φύσις. ἐπὶ ῥάβδους ποιοῦσιν ἐν κύπρῳ αὐτὴν καθ' αὑτὴν πολλάς. εὑρίσκονται δὲ σπάνιαι, μέγεθος ἔχουσαι σφραγῖδος· ἀλλ' ἐλάττους αἱ πολλαί. διὸ καὶ πρὸς τὴν κόλλησιν αὐτῇ χρῶνται τοῦ χρυσίου. κολλᾷ γάρ, ὥσπερ ἡ χρυσόκολλα. καὶ ἔνιοί γε δὴ καὶ ὑπολαμβάνουσι τὴν αὐτὴν φύσιν εἶναι. καὶ γὰρ τὴν χρόαν παρόμοια τυγχάνουσιν· ἀλλ' ἡ μὲν χρυσόκολλα δαψιλὴς καὶ ἐν τοῖς χρυσείοις, καὶ ἔτι μᾶλλον ἐν τοῖς χαλκωρυχείοις, ὥσπερ ἐν τοῖς περὶ τοὺς τόπους. ἡ δὲ σμάραγδος σπανία, καθάπερ εἴρηται. δοκεῖ γὰρ ἐκ τῆς ἰάσπιδος γίνεσθαι. φασὶ γὰρ εὑρεθῆναί ποτε ἐν κύπρῳ λίθον, ἧς τὸ μὲν ἥμισυ σμάραγδος ἦν, τὸ ἥμισυ δὲ ἴασπις, ὡς οὔπω μεταβεβληκυίας ἐκ τοῦ ὕδατος. ἔστι δέ τις αὐτῆς ἐργασία πρὸς τὸ λαμπρόν. ἀρχὴ γὰρ οὖσα οὐ λαμπρά, αὕτη τε δὴ περιττὴ τῇ δυνάμει, καὶ τὸ λυγγούριον. καὶ γὰρ ἐκ τούτου γλύφεται τὰ σφραγίδια, καὶ ἔστι στερεωτάτη, καθάπερ λίθος. ἕλκει γάρ, ὥσπερ τὸ ἤλεκτρον. οἱ δέ φασιν οὐ μόνον κάρφη καὶ ξύλον, ἀλλὰ καὶ χαλκὸν καὶ σίδηρον, ἐὰν ᾖ λεπτός· ὥσπερ καὶ Διοκλῆς ἔλεγεν. ἔστι διαφανής τε σφόδρα, καὶ ψυχρά. βελτίων δὲ τὰ τῶν ἀγρίων, ἢ τὰ τῶν ἡμέρων· καὶ τὰ τῶν ἀρρένων, ἢ τὰ τῶν θηλειῶν· ὡς καὶ τῆς τροφῆς διαφερούσης, καὶ τοῦ πονεῖν ἢ μὴ πονεῖν. τὸ δ' ὑγρότερον. εὑρίσκουσι δ' ἀνορύττοντες οἱ ἔμπειροι. κατακρύπτεται γάρ, καὶ ἐπαμᾶται γῆν, ὅταν οὐρήσῃ. γίνεται δὲ καὶ κατεργασία τις αὐτοῦ πλείων. ἐπεὶ δὲ καὶ τὸ ἤλεκτρον λίθος. τὸ γὰρ ὀρυκτόν, ὃ περὶ λιγυστικήν. καὶ τούτῳ ἂν ἡ τοῦ ἕλκειν δύναμις ἀκολουθοίη. μάλιστα δ' ἔστι δῆλον, καὶ φανερωτάτη τὸν σίδηρον ἄγουσα. γίνεται δὲ καὶ αὕτη σπανία, καὶ ὀλιγαχοῦ. καὶ αὕτη μὲν δὴ συνηριθμήσθω τὴν δύναμιν ὁμοίαν ἔχειν. ἐξ ὧν δὲ τὰ σφραγίδια ποιεῖται, καὶ ἄλλαι πλείους εἰσίν· οἷον ἥ θ' ὑαλοειδής, ἣ καὶ ἔμφασιν ποιεῖ καὶ διάφασιν· καὶ τὸ ἀνθράκιον, καὶ ἡ ὄμφαξ. ἔτι δὲ καὶ ἡ κρύσταλλος, καὶ τὸ ἀμέθυσον· ἄμφω δὲ διαφανῆ. εὑρίσκονται δὲ καὶ αὗται, καὶ τὸ σάρδιον, διακοπτομένων τινῶν πετρῶν· καὶ ἄλλαι δ' ὡς προείρηται πρότερον, διαφορὰς ἔχουσαι, καὶ συνώνυμοι πρὸς ἀλλήλας. τοῦ γὰρ σαρδίου, τὸ μὲν διαφανές, ἐρυθρότερον δέ, καλεῖται θῆλυ· τὸ δὲ διαφανὲς μέν, μελάντερον δέ, καὶ ἄρσεν. καὶ τὰ λυγγούρια δ' ὡσαύτως· ὧν τὸ θῆλυ διαφανέστερον καὶ ξανθότερον. καλεῖται δὲ καὶ κυανὸς ὁ μὲν ἄρρην, ὁ δὲ θῆλυ. μελάντερος δέ, ὁ ἄρρην. τὸ δ' ὀνύχιον, μικτὴ λευκῷ καὶ φαιῷ παράλληλα. τὸ δ' ἀμέθυσον, οἰνωπὸν τῇ χρόᾳ. καλὸς δὲ λίθος καὶ ὁ ἀχάτης, ὁ ἀπὸ τοῦ ἀχάτου ποταμοῦ, τοῦ ἐν σικελίᾳ. καὶ πωλεῖται τίμιος. ἐν λαμψάκῳ δέ ποτ' ἐν τοῖς χρυσείοις εὑρέθη θαυμαστὴ λίθος, ἐξ ἧς ἀνενεχθείσης πρὸς τιρέαν, σφραγίδιον γλυφθὲν ἀνεπέμφθη βασιλεῖ διὰ τὸ περιττόν. καὶ αὗται μὲν ἅμα τῷ καλῷ, καὶ τὸ σπάνιον ἔχουσιν. αἱ δὲ δὴ ἐκ τῆς ἑλλάδος, εὐτελέστεραι, οἷον τὸ ἀνθράκιον, τὸ ἐξ ὀρχομενοῦ τῆς ἀρκαδίας. ἔστι δ' οὗτος μελάντερος τοῦ χίου. κάτοπτρα δὲ ἐξ αὐτοῦ ποιοῦσι· καὶ ὁ τροιζήνιος. οὗτος δὲ ποικίλος, τὰ μὲν φοινικοῖς, τὰ δὲ λευκοῖς χρώμασι. ποικίλος δὲ καὶ ὁ κορίνθιος, τοῖς αὐτοῖς χρώμασι· πλὴν τὸ * χλωρωδέστερον. τὸ δ' ὅλον πολλοὶ τυγχάνουσιν οἱ τοιοῦτοι.

† ἐπικαλυμμένῃ

δὲ καὶ ὅλως λέγουσι πάντας τήκεσθαι, πλὴν τοῦ μαρμάρου. τὴν δὲ κατακαίεσθαι, καὶ κονίαν ἐξ αὐτοῦ γίνεσθαι. δόξειε δ᾽ ἂν οὕτως ὅλως ἤδη πλεῖον εἰρῆσθαι. πολλοὶ γὰρ οἱ ῥηγνύμενοι καὶ διαπηδῶντες, ὡς οὐ μαχομένου τὴν πύρωσιν, ὥσπερ οὐδ᾽ ὁ κέραμος. ὃ καὶ κατὰ λόγον ἐστίν· οἱ τινὲς ἐξυγρασμένοι τυγχάνουσιν. τὸ γὰρ τηκτὸν, ἔνικμον εἶναι δεῖ. καὶ ὑγρότητ᾽ ἔχειν πλείω. φασὶ δὲ καὶ τῶν ἡλιουμένων, τοὺς μὲν ἀναξηραίνεσθαι τελέως, ὥστ᾽ ἀχρείους εἶναι, μὴ καταβρεχθέντας πάλιν καὶ συνικμασθέντας· τοὺς δὲ καὶ μαλακωτέρους καὶ διαθραύστους μᾶλλον. φανερὸν δ᾽ ὡς ἀμφοτέρων μὲν ἐξαιρεῖται τὴν ὑγρότητα. συμβαίνει δὲ τοὺς μὲν πυκνοὺς ἀποξηραινομένους, σκληρύνεσθαι· τοὺς δὲ μανοὺς, καὶ ὡς ἡ σύμφυσις τοιαύτη, θραυστοὺς εἶναι καὶ τηκτούς. ἔνιοι δὲ τῶν θραυστῶν ἀνθρακοῦνται τῇ θραύσει, καὶ διαμένουσι πλείω χρόνον· ὥσπερ οἱ περὶ Βίνας ἐν τοῦ μετάλλου, οὓς ὁ ποταμὸς καταφέρει. καίονται γὰρ, ὅταν ἄνθρακες ἐπιτεθῶσι, καὶ μέχρι τούτου χρείαν φυσᾷ τις. εἶτ᾽ ἀπομαραίνονται, καὶ πάλιν καίονται. διὸ καὶ πολὺν χρόνον ἡ χρῆσις. ἡ δ᾽ ὀσμὴ βαρεῖα σφόδρα, καὶ δυσχερής, ὃν καλοῦσι σπῖνον, ὃς ἦν ἐν τοῖς μετάλλοις, τοιοῦτος διακοπεὶς καὶ συντεθεὶς πρὸς ἑαυτὸν, ἐν τῷ ἡλίῳ τιθέμενος καίεται. καὶ μᾶλλον, ἐὰν ἐπιψεκάσῃ καὶ περιῤῥαίνῃ τις. ὁ δὲ λιπαραῖος ἐκφορεῖται τε τῇ καύσει, καὶ γίνεται κισηρώδης. ὥσθ᾽ ἅμα τήν τε χρόαν μεταβάλλειν, καὶ τὴν πυκνότητα. μέλας τε γὰρ καὶ λεῖός ἐστι, καὶ πυκνὸς, ἄκαυστος ὤν. γίνεται δ᾽ οὗτος ἐν τῇ κισήρει διειλημμένος ἄλλοθι καὶ ἄλλοθι, καθάπερ ἐν κυθεισμῷ. καὶ οὐ συνεχὴς, ὥσπερ καὶ ἐν Μήλῳ φασὶ τὴν κίσηριν ἐν ἄλλῳ τινὶ λίθῳ γίνεσθαι. καίει μὲν τοῦτον, ὥσπερ ἀντιπεπονθώς, πλὴν ὁ λίθος οὗτος οὐχ ὅμοιος τῷ λιπαραίῳ. ἐκφορεῖται δὲ καὶ ὁ ἐν τετράδι τῆς Σικελίας γινόμενος. ἔστι δὲ τὸ χωρίον ἐστὶ κατὰ Λιπάραν. ὁ δὲ λίθος ἐν τῇ ἄκρᾳ τῇ Ἐρινεάδι καλουμένῃ πολύς. ὁμοίως ταῖς κίναις καιόμενος, ὀσμὴν ἀφίησιν ἀσφάλτου. τὸ δ᾽ ἐκ τῆς κατακαύσεως ὅμοιον γίνεται τῇ κεκαυμένῃ. οὓς δὲ καλοῦσιν εὐθὺς ἄνθρακας τῶν θρυπτομένων διὰ τὴν χρείαν, εἰσὶ γεώδεις. ἐκκαίονται δὲ καὶ πυροῦνται, καθάπερ οἱ ἄνθρακες. εἰσὶ δὲ περί τε τὴν Λιγυστικὴν, ὅπου καὶ τὸ ἤλεκτρον, καὶ ἐν τῇ Ἠλείᾳ βαδιζόντων Ὀλυμπίαζε τὴν δι᾽ ὄρους, οἷς καὶ οἱ χαλκεῖς χρῶνται. εὑρέθη δέ ποτε * ἐγκαπῆσης ὕλης μετάλλοις, λίθος, ὃς τῇ μὲν ὄψει παρόμοιος ἦν ξύλῳ σαπρῷ. ὅτε δ᾽ ἐπιχέοι τις ἔλαιον, καίεται. καὶ ὅτ᾽ ἐκκαυθείη, τότε παύεται καὶ αὐτὸς, ὥσπερ ἀπαθὴς ὤν. τῶν μὲν οὖν καιομένων σχεδὸν αὗται διαφοραί. ἄλλο δέ τι γένος ἐστὶ λίθων, ὥσπερ ἐξ ἐναντίου πεφυκὸς ἄκαυστον, ὅλως ἄνθραξ καλούμενος, ἐξ οὗ καὶ τὰ σφραγίδια γλύφουσιν, ἐρυθρὸν μὲν τῷ χρώματι, πρὸς δὲ τὸν ἥλιον τιθέμενον ἄνθρακος καιομένου ποιεῖ χρόαν. τιμιώτατον δ᾽ ὡς εἰπεῖν. μικρὸν γὰρ σφόδρα τετταράκοντα χρυσῶν. ἄγεται δ᾽ οὗτος ἐκ Καρχηδόνος, καὶ Μασσαλίας. οὐ καίεται δὲ ὁ περὶ Μίλητον γωνιοειδὴς ὤν. ἐν ᾧ περ καὶ τὰ ἑξάγωνα. καλοῦσι δ᾽ ἄνθρακα καὶ τοῦτον, ὃ καὶ θαυμαστόν ἐστιν· ὅμοιον γὰρ τρόπον τινὰ καὶ τὸ τοῦ ἀδάμαντος. οὐ γὰρ οὐδ᾽ ὥσπερ ἡ κίσηρις καὶ τέφρα, δόξειε δ᾽ ἂν διὰ τὸ μηδὲν ἔχειν ὑγρόν· ταῦτα γὰρ ἄκαυστα καὶ ἀπύρωτα, διὰ τὸ ἐξῃρῆσθαι τὸ ὑγρόν. ἐπεὶ καὶ τὸ ὅλον ἡ κίσηρις ἐκ κατακαύσεως δοκεῖ τισι γίνεσθαι, πλὴν τῆς ἐκ τοῦ ἀφροῦ τῆς θαλάσσης συνισταμένης. λαμβάνουσι δὲ τὴν πίστιν διὰ τῆς αἰσθήσεως, ἔκ τε τῶν περὶ τοὺς κρατῆρας γινομένων, καὶ ἐκ τῆς διακαθάρου λίθου τῆς φλογουμένης ἐκκισηροῦται. μαρτυρεῖν δὲ καὶ οἱ τόποι δοκοῦσιν, ἐν οἷς ἡ γένεσις. καὶ γὰρ ἐν τοῖς μάλιστα καὶ ἡ κίσηρις. τάχα δ᾽ ἡ μὲν οὕτως, αἱ δ᾽ ἄλλως. καὶ πλείους τρόποι τῆς γενέσεως. ἡ γὰρ ἐν Νισύρῳ, καθάπερ ἐξ ἄμμου τινὸς ἔοικε συγκεῖσθαι. σημεῖον δὲ λαμβάνουσιν, ὅτι τῶν εὑρισκομένων ἔνιαι διαθρύπτονται ἐν ταῖς χερσὶν, ὥσπερ εἰς ἄμμον, διὰ τὸ μήπω συνεστάναι, μηδὲ συμπεπηγέναι. εὑρίσκουσι δ᾽ ἀθρόας κατὰ μικρὰ χειροπληθεῖς, ὅθεν πολλὰς ἢ μικρῷ μείζους, ὅταν ἀπαμείβωνται τ᾽ αὐτά. ἐλαφρὰ δὲ σφόδρα καὶ ἡ ἄμμος, ἡ δ᾽ αὖ καὶ ἐν Μήλῳ πᾶσα μέν. ἔνια δ᾽ αὖ ἐν λίθῳ τινὶ ἑτέρᾳ γίνεται, καθάπερ ἐλέχθη πρότερον. διαφορὰς δ᾽ ἔχουσι πρὸς ἀλλήλας, καὶ χρώματι καὶ πυκνότητι καὶ βάρει. χρώματι μὲν, ὅτι μέλαινα ἐκ τοῦ ῥύακος, τοῦ ἐν Σικελίᾳ, πυκνότητι τε καὶ βάρει, αὐτή τε καὶ μαλώδης. γίνεται γάρ τις καὶ τοιαύτη κίσηρις, καὶ βάρος ἔχει καὶ πυκνότητα, καὶ ἐν τῇ χρήσει πολυτιμοτέραν τῆς ἑτέρας. τμητικὴ δὲ καὶ ἡ ἐκ τοῦ ῥύακος μᾶλλον τῆς κορυφῆς καὶ λευκῆς, τμητικωτάτη δ᾽ ἡ ἐκ τῆς θαλάσσης

BIBLIOTECA NAZ. ROMA VITTORIO EMANUELE

ΘΕΟΦΡΑΣΤΟΥ ΠΕΡῚ ΛΊΘΩΝ.

ΤΩ̂Ν ἐν τῇ γῇ συνισταμένων, τὰ μὲν ἐστὶν ὕδατος, τὰ δὲ γῆς. ὕδατος μὲν, τὰ μεταλλευόμενα, καθάπερ ἄργυρος καὶ χρυσὸς, καὶ τ᾽ ἄλλα· γῆς δὲ, λίθος τε, καὶ ὅσα λίθων εἴδη περιττότερα· καὶ εἴ τινες δὲ τῆς γῆς αὐτῆς ἰδιώτεραι φύσεις εἰσὶν, ἢ χρώμασιν, ἢ λειότησιν, ἢ πυκνότησιν, ἢ καὶ ἄλλῃ τινὶ δυνάμει. περὶ μὲν οὖν τῶν μεταλλευομένων, ἐν ἄλλοις τε θεώρηται· περὶ δὲ τούτων, νῦν λέγωμεν. ἅπαντα δὴ ταῦτα χρὴ νομίζειν, ὡς ἁπλῶς εἰπεῖν, ἐκ καθαρᾶς τινος συνεστάναι καὶ ὁμαλῆς ὕλης εἴτε ῥοῆς, εἴτε διηθήσεως διά τινος γινομένης, εἴτε (ὡς ἀνωτέρω εἴρηται) ἢ κατ᾽ ἄλλον τρόπον ἐκκεκριμένης. τάχα γὰρ ἐνδέχεται τὰ μὲν οὕτως, τὰ δ᾽ ἐκείνως, τὰ δ᾽ ἄλλως· ἀφ᾽ ὧν δὴ καὶ τὸ λεῖον καὶ τὸ πυκνὸν καὶ τὸ στιλπνὸν, καὶ διαφανὲς, καὶ τ᾽ ἄλλα τὰ τοιαῦτα ἔχουσι. καὶ ὅσῳ ἂν καὶ ὁμαλέστερον καὶ καθαρώτερον ἕκαστον ᾖ, τοσούτῳ καὶ ταῦτα μᾶλλον ὑπάρχει. τὸ γὰρ ὅλον, ὡς ἂν ἀκριβείας ἔχῃ τι περὶ τὴν σύστασιν ἢ πῆξιν, οὕτως ἀκολουθεῖ καὶ τὰ ἀπ᾽ ἐκείνων. ἡ δὲ πῆξις, τοῖς μὲν ἀπὸ θερμοῦ, τοῖς δ᾽ ἀπὸ ψυχροῦ γίνεται. κωλύει γὰρ ἴσως οὐδὲν, ἔνια γένη λίθων ὑφ᾽ ἑκατέρων συνίστασθαι τούτων. ἐπεὶ τά γε τῆς γῆς ἅπαντα, δόξειεν ὑπὸ πυρός, ἐπείπερ ἂν τοῖς ἐναντίοις ἑκάστων ἡ πῆξις καὶ ἡ τῆξις. ἰδιότητες δὲ πλείους εἰσὶν ἐν τοῖς λίθοις. ἐν γὰρ τῇ γῇ χρώμασί τε καὶ γλισχρότητι, καὶ λειότητι, καὶ πυκνότητι, καὶ τοῖς τοιούτοις αἱ πολλαὶ διάφοροι· κατὰ δὲ τὰ ἄλλα σπάνιοι. τοῖς δὲ λίθοις ἄπειροι, καὶ πρὸς ταύταις ἑαυταῖς αἱ κατὰ τὰς δυνάμεις· οὔτε ποιεῖν, ἢ πάσχειν, ἢ τὸ μὴ πάσχειν. τηκτοὶ γὰρ, οἱ δ᾽ ἄτηκτοι· καὶ καυστοὶ, οἱ δ᾽ ἄκαυστοι, καὶ ἄλλα τούτοις ὅμοια. καὶ ἐν αὐτῇ τῇ καύσει καὶ πυρώσει πλείους ἔχοντες διαφοράς. ἔνιοι δὲ τοῖς χρώμασιν ἐξομοιοῦν * ται δυνάμενοι τὸ ὕδωρ, ὥσπερ ἡ σμάραγδος. οἱ δ᾽ ὅλως ἀπολιθοῦν, τὰ τιθέμενα εἰς ἑαυτούς. ἕτεροι δὲ ὁλκήν τινα ποιεῖν, οἱ δὲ βασανίζειν τὸν χρυσὸν, καὶ τὸν ἄργυρον, ὥσπερ ἥ τε καλουμένη λίθος ἡρακλεία, καὶ ἡ λυδή. θαυμασιωτάτη δὲ καὶ μεγίστη δύναμις, εἴπερ ἀληθὲς, ἡ τῶν τικτόντων. γνωριμωτέρα δὲ τῶν καὶ ἐν πλείοσι κατὰ τὰς ἐργασίας· γλυπτοὶ γὰρ ἔνιοι, καὶ τορνευτοὶ, καὶ πριστοί. τῶν δὲ οὐδὲ ὅλως ἅπτεται σιδήριον. ἐνίων δὲ κακῶς καὶ μόλις. εἰσὶ δὲ πλείους καὶ ἄλλαι κατὰ ταύτας * αἱ μὲν οὖν κατὰ τὰ χρώματα καὶ τὰς σκληρότητας, καὶ μαλακότητας καὶ λειότητας, καὶ τ᾽ ἄλλα τὰ τοιαῦτα. διὸ τὸ περιττὸν πλείοσιν ὑπάρχουσιν, καὶ ἐνίοις γε κατὰ τόπον ὅλον· ἐξ ὧν δὴ καὶ διωνομασμέναι λιθοτομίαι, παρίων τε καὶ πεντελικῶν, καὶ χίων τε καὶ θηβαϊκῶν· καὶ ὡς ὁ περὶ αἴγυπτον ἐν θήβαις ἀλαβαστρίτης. καὶ γὰρ οὗτος μέγας τέμνεται. καὶ ὁ τῷ ἐλέφαντι μόνος, ὁ χερνίτης καλούμενος· ἐν ᾧ τὸν πλωφασί καὶ δαρεῖον κεῖσθαι· καὶ ὁ πῶρος, ὅμοιος τῷ χρώματι καὶ τῇ πυκνότητι τῷ παρίῳ. τὴν δὲ κουφότητα μόνον ἔχων τοῦ πώρου, διὸ καὶ ἐν τοῖς † σπαδαζομένοις οἰκήμασιν, ὥσπερ διάζωμα τιθέασιν αὐτὸν οἱ αἰγύπτιοι * μέλας αὐτόθι διαφανὴς, ὅμοιος τῷ χίῳ. καὶ παρ᾽ ἄλλοις δὲ ἕτεροι πλεῖ * αἱ μὲν οὖν τοιαῦται διαφοραὶ, καθάπερ ἐλέχθη, κοινότεραι πλείοσιν. αἱ δὲ κατὰ τὰς δυνάμεις τὰς προειρημένας, οὐκ ἔτι τοῖς ὅλοις ὑπάρχουσιν, οὐδὲ συνεχείαις λίθων, οὐδὲ μεγέθεσιν. ἔνιοι δὲ καὶ σπάνιοι πάμπαν εἰσί, καὶ σμικροί, καθάπερ ἥ τε σμάραγδος, καὶ τὸ σάρδιον, καὶ ὁ ἄνθραξ, καὶ ἡ σάπφειρος, καὶ σχεδὸν * λόγου εἰς τὰ σφραγίδια γλυπτῶν. οἱ δὲ καὶ ἐν ἑτέροις εὑρίσκονται διακοπτομένοις. ὀλίγοι δὲ καὶ οἱ περὶ τὴν πύρωσιν καὶ καῦσιν, ὑπὲρ ὧν δὴ καὶ πρῶτον ἴσως λεκτέον, τίνας καὶ πόσας ἔχουσιν διαφοράς. κατὰ δὴ τὴν πύρωσιν οἱ μὲν τήκονται καὶ ῥέουσιν, ὥσπερ οἱ μεταλλευτοί· ῥεῖ γὰρ ἅμα τῷ ἀργύρῳ καὶ τῷ χαλκῷ καὶ σιδήρῳ, καὶ ἡ λίθος ἡ ἐκ τούτων. εἰ τοίνυν διὰ τὴν ὑγρότητα τῶν ὑπαρχόντων, εἴτε καὶ δι᾽ αὑτάς. ὡσαύτως δὲ καὶ οἱ πυρομάχοι καὶ οἱ μυλίαι ῥέουσιν, οἷς ἐπιτιθέασιν οἱ καίοντες. οἱ

σπυδαζομένοις

δὲ καὶ ὅλως

φαίνεται τὰ φύλλα, ὡς προείπομεν. τὰ δὲ τῶν δένδρων φύλλα, πίπτειν ἐστὶ διὰ τὴν διαφορὰν τῆς ὀξείας ἀρμιότητος. ὅταν γὰρ πεφθῇ ἡ ὑγρότης μετὰ τῆς ὕλης πυραμοειδῶς, καὶ μετὰ ταῦτα καταχραίνουσι, καὶ ὅταν φανῇ ἡ ὕλη τῇ πέψει πεπληρωμένη, τότε τελείως βύονται τὰ ἄκρα τῶν πόρων ἄνω. καὶ διὰ ταῦτα ἐπεὶ τὰ φύλλα οὐκ ἔχουσιν ὕλην, ξηραίνονται καὶ πίπτουσι. ἐὰν δὲ συμβῇ τὸ ἐναντίον, ὧν εἴπομεν, οὐ πίπτει τὸ φυτὸν εἰς στέρησιν τῶν ἰδίων φύλλων. ὅταν δὲ πάλιν νικήσῃ τὸ φυτὸν ψυχρότης, θερμαίνει αὐτὸ ἡ ἐγκλειομένη τούτῳ θερμότης, καὶ ἡ φανέρωσις τῆς ψυχρότητος γίνεται ἐκτὸς ἐν τοῖς ἄκροις αὐτοῦ, καὶ ἀποτελοῦνται ἐντεῦθεν φύλλα γλαυκὰ, καὶ οὐδὲ πίπτουσιν, ὡς οὐδὲ τὰ τῆς ἐλαίας καὶ τῶν μυρσινῶν καὶ τῶν λοιπῶν. ὁπόταν δὲ ἔχωσι τὰ δένδρα, καὶ τὰ φυτὰ, δύναμιν τῆς ἕλξεως σφοδρῶς, γίνεται καρποφορία ὁμοῦ, ἢ ὅτε συμβαίνει, ὅτε χρῆται ἡ φύσις πέψει ἐπὶ διαδοχὴν συχνὴν, καὶ ἐν ἑκάστῃ πέψει καρπὸν προάγει πολύν. καὶ διὰ τοῦτο ἔνια φυτὰ, καὶ πολλάκις ἐν τῷ χρόνῳ καρποφοροῦσι. τὸ δὲ φυτὸν ὅπερ ἐστὶν, ὡς ἡ φύσις τοῦ ὕδατος, μόλις καρποφορεῖ, διὰ τὴν ἐπικράτειαν τῆς ὑγρότητος, αὐτοῦ καὶ τὸν πλατυσμὸν τῶν ἰδίων πόρων, καὶ τὴν ἀῤῥωστίαν τῶν ἰδίων ῥιζῶν. ὅτε δὲ ἰσχυροποιηθῇ τὸ θερμὸν, ταχύνεται ἡ τούτου πέψις, καὶ λεπτύνεται ἡ ὑγρότης, καὶ συμπηγνῦται. οὐδ' οὕτως πάλιν γίνεσθαι συμβαίνει. καὶ τοῦτο εὑρίσκεται ἐν πάσαις ταῖς βοτάναις ταῖς λεπταῖς, ἀλλὰ δὴ καὶ ἔν τισι λαχάνοις. φαιότης δὲ γίνεται ἐν τόποις σφόδρα θερμοῖς, καὶ ἔστιν ἐν τούτοις ὀλίγος καρπὸς ἐκ τῆς ὑγρότητος. διὸ καὶ εἰσὶ στενοὶ οἱ πόροι. ὅταν γοῦν θελήσῃ ἡ φύσις πέψιν ποιῆσαι, μὴ ἔχουσαν ὑγρότητα ἀρκοῦσαν τῇ ὕλῃ, τότε γίνονται οἱ πόροι στενότεροι. ἐπαναστρέφει γοῦν ἡ πέψις, καὶ συνεχῆ ταύτην ποιεῖ ἡ θερμότης, καὶ φαίνεται τότε τὸ μέσον λευκοῦ καὶ μέλανος ἐν χρώματι. καὶ ὅτι τοῦτο τοιουτοτρόπως γίνεται, τό τε τὸ ξύλον φθάνει γίνεσθαι μέλαν, καὶ πᾶν τὸ πλησιάζον τοῦ φαιοῦ. καὶ τοῦτο ἐστὶν ἰδεῖν ἀπὸ τῆς ἐβένου, καὶ τῆς πτελέας. ὁ δὲ ἔβενος, καταδύεται ἐν τῷ ὕδατι, ὅτι τὰ μέρη αὐτοῦ εἰσὶ συμπεπηγότα, καὶ οἱ πόροι στενοὶ, καὶ ἀὴρ οὐκ εἰσέρχεται ἐν αὐτοῖς. οὐδὲ ἐκ τῶν ξύλων τῶν λευκῶν βυθίζεται, ἔστι διὰ τὴν στενότητα τῶν πόρων, καὶ τὴν παχύτητα τῆς ὑγρότητος, τοῦ βύσαι τοὺς πόρους, ὥστε μὴ ἐξέρχεσθαι ἀπ' αὐτοῦ ἀέρα. τὸ δὲ ἄνθος, ἐκ λεπτῆς ὕλης μόνον ἐστὶν, ὅταν ἄρξηται ἡ πέψις. καὶ διὰ τοῦτο προηγεῖται τοῦ φυτοῦ, ὡς ἐδείξαμεν. ἐντεῦθεν οὖν δείκνυομεν καὶ τὴν αἰτίαν, δι' ἣν τὰ φυτὰ ἐκφέρουσι φύλλα πρότερον, εἶτα καρπούς. ὃ δὲ ἐν τῷ φυτῷ τῷ ἔχοντι στενοὺς πόρους γίνεται χρῶμα, ἔσται ἐν χρώματι σαπφείρινον. καὶ διότι συμπιέζονται αὐτοῦ τὰ μέρη, εἰς λευκότητά τινα. ὅταν δὲ εἰς δυσκρασίαν φθάσῃ, ἔστι γλαυκόν. διότι δέ τινα φυτὰ ἄνθη οὐκ ἔχουσιν, ἔστιν ἡ αἰτία, ὅτι ὡς ἐπὶ τὸ πλεῖστον γίνεται τοῦτο διὰ τὴν διαφορὰν τῶν ἐν αὐτοῖς μερῶν, καὶ τὴν ἐν αὐτοῖς λεπτότητα καὶ βραχύτητα καὶ παχύτητα. οὐκ ἔχουσι δὲ ἄνθη φοίνικες συκαῖ, καὶ τὰ τούτοις ὅμοια. τὸ δὲ φυτὸν τὸ παχεῖς ἔχον φλοιοὺς, ἐκτείνεται ἐπὶ τὴν ἔκτασιν τῆς ὑγρότητος, καὶ τὴν † συνάθησιν τῆς θερμότητος. καὶ τοῦτο ἐστὶν ἐν τῇ πεύκῃ καὶ τῷ φοίνικι. τὸ δὲ φυτὸν τὸ γάλα ἐκβάλλον, ἔχει τοῦτο ἐν τῷ μέσῳ. ἔστι τε ἡ θερμότης ὑποκάτω ἰσχυροτέρα, καὶ μένει ἐκεῖ πιότης. ὁπόταν οὖν ἄρξηται ἡ θερμότης πέψιν, στρέφεται ἡ πιότης εἰς τὴν οἰκείαν ὑγρότητα, καὶ συμπηγνῦσι ταύτην σύμπηξιν βραχεῖαν. καὶ θερμαινομένου τοῦ τόπου, γίνεται ἡ ὑγρότης λιπαρὰ, ὁμοία γάλακτι. ἐγείρεται δὲ ἡ ἀναθυμίασις ἐκ τῆς ὑγρότητος, τῆς ἑλκούσης τε γάλα ἐκεῖνο εἰς τὰς ἀκρότητας, καὶ κατέχει ἡ ὑγρότης τὴν θερμότητα τὴν φαινομένην, καὶ οὕτω συμπήγνυται τὸ γάλα. φύσις γάρ ἐστι τῆς θερμότητος, τὸ συμπηγνύειν. ὁποῖον δ' ἤδη δὲ γάλα πολλῆς συμπήξεως, τό τε γίνεται, ὅταν ἐν τοῖς δένδροις ψῦχος φανῇ. συμπηγνύμενον γὰρ μετὰ ταῦτα, ἐξέρχεται τοῦ οἰκείου τόπου. καὶ ἐντεῦθεν ἐστὶ τὸ κόμμι. τὸ κόμμι δὲ τὸ θερμὸν, προέρχεται ἐν τῷ στάζεσθαι. ὁπόταν γοῦν τοῦ ἀέρος ἅψηται, συμπήγνυται καὶ καταρρεῖ ἐν τόπῳ ὑποκάτω, καὶ ἔστιν ὅμοιον ὕδατι. ἕτερον δὲ χέεται, καὶ συμπήγνυται ὅμοιον λίθοις, ἢ κογχυλίοις. ὅτι δὲ ἐπὶ στράγγα ῥεῖ, μένον ἐν τῷ οἰκείῳ εἴδει γίνεται, ὡς τὸ λεγόμενον σμηρίον. τὸ δὲ ἀλλοιούμενον, ὡς λίθος, ἔστι ἐπὶ τὸ φαινόμενον λίαν ψυχρόν. ποιεῖ δὲ τοῦτο ἡ θερμότης τοιοῦτον εἶναι. ὅταν δὲ ᾖ ψῦχος, καὶ καταρρῇ, ἀπολιθοῦται. πάλιν τῶν δένδρων τινὰ ἀλλοιοῦνται ἐν τῷ χειμῶνι. καὶ ποτὲ μὲν γίνονται χλωρὰ, ποτὲ δὲ γλαυκὰ, καὶ οὐ φθείρονται, οὔτε τὰ φύλλα αὐτῶν, οὔτε οἱ καρποί. ὅτι τὰ φυτὰ ἐν οἷς τοῦτο συμβαίνει, ἔχουσιν ἐπάνω θερμότητα παχεῖαν, καὶ ἐν ταῖς ῥίζαις ὑγρότητα λεπτήν. ὅθεν ἐν τῇ περιόδῳ τοῦ ἔτους κατέχει ἡ ὑγρότης ἐκεῖνο τὸ χρῶμα, διὰ τὴν ψυχρότητα τοῦ ἀέρος. καὶ ὅτι παραβάλλει ἡ θερμότης πρὸς τὴν ψυχρότητα, ὠθεῖ ἡ θερ-

μότης

Forte συνάθροισιν, uel συνίζησιν, uel συναίθησιν, uel συνάντησιν

τῶν καρπῶν, ἐκ τῆς σφοδρότητος τοῦ ἡλίου. οὐ τοίνυν ὁμοίως δεῖ, ἵνα τὰ φύλλα ὦσιν, ὡς οἱ καρποί. ὁ γὰρ χυμὸς, ὁ ἀναβαίνων, ἀλλοιωθεὶς, ὕστερόν ἐστι τὰ φύλλα ὡς εἴπομεν. τοιουτοτρόπως ἐστὶν ἡ κρίσις καὶ ἐν ταῖς ἐλαίαις, αἳ πολλάκις στερίσκονται τῶν ἰδίων καρπῶν. ὁπόταν γὰρ ἡ φύσις πέψιν ποιήσῃ, ἀναβαίνει πρώτως ἐκ τῆς λεπτότητος, ὅπερ οὐκ ἐπαύθη ἐκ τῆς θερμότητος. ἔστιν οὖν αὕτη ἡ ὑγρότης φύλλα. ἡ δὲ πέψις, ἐστὶν ἄνθος. ὅταν δὲ τελειωθῇ ἡ δευτέρα ἔτι ἡ πέψις, γεννῶνται καρποί, καὶ ἐκβαίνει εἰς τέλος ἡ ὕλη κατὰ τὴν τόπον, τὸν ἐν αὐταῖς. αἱ ἄκανθαι ὡσαύτως εἰσὶν ἐκ τοῦ γένους τῶν φυτῶν, οὐ μὴν τῆς αὐτῆς φύσεως. λέγω οὖν, ὅτι ἐν τῷ φυτῷ ἐστὶν ἀραιότης, καὶ ἐν τῇ ἀρχῇ τῆς φύσεως αὐτοῦ ἐστι πέψις. καὶ ἀναβαίνει ἡ ὑγρότης ψυχρὰ, καὶ μετ' αὐτῆς βραχεῖα διάκρισις, διερχομένη ἐν ἐκείνῃ τῇ ἀραιότητι. ποιεῖ γοῦν ταύτην συμπήγνυσθαι ὁ ἥλιος, κἀντεῦθεν εἰσὶν αἱ ἄκανθαι. διὰ τοῦτο καὶ τὸ εἶδος αὐτῶν ἐστι πυραμοειδές. ἔστι γὰρ ἡ βάσις αὐτῶν ἀρχομένη ἐκ παχέος, καὶ προχωροῦσα εἰς ἰσχνόν. τοῦτο δὲ γίνεται, διότι καταβραχὺ ὁ ἀὴρ ἐπικτεινόμενος τοῦ φυτοῦ, αὐξάνει τὰ μέρη αὐτοῦ, μετ' ἐπιτάσεως τῆς ὑλικῆς. τοιουτοτρόπως καὶ πᾶν δένδρον ἢ φυτὸν γίνεται, οὗ ἡ κεφαλή ἐστι πυραμοειδής. ἡ χλοάζουσα δὲ χροιὰ, ὀφείλει εἶναι πρᾶγμα κοινότατον ἐν τοῖς δένδροις. βλέπομεν γὰρ, ὅτι ὥσπερ κοινή ἐστιν ἡ λευκότης ἔνδον, οὕτως καὶ ἡ χλωρότης ἐκτός. καὶ τοῦτό ἐστιν, ὅτι ὕλῃ χρῶνται πλησιεστέρᾳ, καὶ μᾶλλον πεπτωμένῃ. δεῖ τοίνυν ἵνα ἡ χλωρότης ἐν πᾶσι τοῖς φυτοῖς, ὅτι αἱ ὕλαι ἕλκουσι καὶ ἀραιοῦσι τὸ ξύλον τοῦ δένδρου, βραχεῖαν τε ἡ θερμότης πέψιν ἐργάζεται. καὶ ἀπομένει ἐκεῖ τι ὑγρὸν, ὃ φαίνεται ἔξωθεν. καὶ τοῦτό ἐστιν ἡ χλωρότης, ἡ ἐν τοῖς φυτοῖς, ἐὰν μὴ μείζων ἡ πέψις γένηται. ὀφείλει δὲ εἶναι μέση ἐν τοῖς φύλλοις, καὶ ἐν τοῖς ξύλοις, τῇ δυνάμει. ἡ δὲ χλωρότης οὐ φθείρεται, ἐὰν ἡ ὑγρότης ἐν αὐτῇ, ἥ τις ἐστὶν ἐκ τοῦ γένους τῆς γῆς. ἐξ ἀμφοτέρων γοῦν τούτων, ἡ χροιὰ γίνεται, ἡ χλωρά. τούτου σημεῖον, ὅτι αἱ φλοιοὶ τοῦ δένδρου, ὅταν ξηραίνηται αὐτὸ, μελαίνονται. ἔντος δὲ εἰσὶ λευκοί. ἐν τοῖς δένδροις γοῦν μεταξὺ τῶν δύο χρωμάτων, χρῶμα χλωρὸν γίνεται ἐν τῇ ἐπιφανείᾳ αὐτῶν. τοῦ δὲ σχήματος τῶν φυτῶν, τρεῖς εἰσὶ τρόποι. τινὰ γὰρ ἄνω προχωροῦσι, τινὰ κάτω, τινὰ μέσον. τὰ μὲν οὖν ἄνω ἐκτεινόμενα, ἔχουσιν αἰτίαν, ὅτι ἡ φύσις αὐτῶν φαίνεται ἐν τῇ ἐντεριώνῃ, καὶ ἕλκει τὴν θερμότητα, καὶ συμπιέζει ἐν ἑαυτῇ τὸν ἀέρα τὸν ὄντα ἐν ταῖς ἀραιότησιν αὐτῆς. πυραμοειδοῦνται δὲ, ὥσπερ πυραμοειδοῦται τὸ πῦρ ἐν ταῖς ἰδίαις ὕλαις, καὶ κωνίζεται. ὅσα δὲ κάτω ἐκτείνονται, τούτων οἱ πόροι συμπήγνυνται. ὅταν γὰρ πέψις γένηται, τότε ἡ ὕλη πυκνοῦται τοῦ ὑγροῦ, ἐν ᾧ ἐστιν ἡ ἐντεριώνη. κἀντεῦθεν ἐκπορεύονται μὲν τὸ λεπτὸν ἄνω. ἐπαναστρέφει δὲ τὸ ὑγρὸν, πρὸς τὰ μέρη ἐκεῖνα κάτω. κινεῖ γὰρ ταύτην ἡ οἰκεία βαρύτης. ἃ δὲ φυτὰ μέσον τῶν δύο εἰσὶν, ἔχουσιν οὕτως. λεπτύνεται τὸ ὑγρὸν, ὅτι ἡ φύσις τῆς εὐκρασίας γειτνιάζει τῇ πέψει, εἰσί τε καὶ οἱ πόροι μέσοι, καὶ ἡ ὕλη ἐπεκτείνεται καὶ ἄνω καὶ κάτω. ἔστι δὲ ἡ μὲν πρώτη πέψις ὑπὸ τὸ φυτὸν, ἡ δὲ δευτέρα ἐν τῇ ἐντεριώνῃ, ἥ τις ἐξέρχεται μὲν ἐκ τῆς γῆς. ἔστι δὲ καὶ ἐν τῷ μέσῳ τοῦ φυτοῦ. καὶ μετὰ ταῦτα γίνεται ἡ διαίρεσις, ἥ τις συμβαίνει ἐκ τῆς δευτέρας, οὐκ ἀπὸ τῆς πρώτης πέψεως. ἡ δὲ τελευταία πέψις ἐστὶν ἐν τῷ ζώῳ. οὐ γὰρ γίνεται αὕτη ἡ πέψις, εἰ μὴ διὰ τὴν διαίρεσιν τῆς φύσεως τῶν μελῶν, καὶ τὴν διάστασιν † τῶν φυσικῶν πρὸς ἄλληλα. τὰ δὲ φυτὰ, γείτονά εἰσι πρὸς ἑαυτὰ, καὶ διὰ τοῦτο πληθύνονται ἐν πολλοῖς τόποις, ὡς ἐπὶ τὸ πλεῖστον δὲ ἡ ὕλη τῶν φυτῶν, κάτω ἐκτείνεται. τὰ σχήματα τοίνυν τῶν φυτῶν, εἰσὶν ἐν τῇ φύσει καὶ τῇ ποσότητι τῶν σπερμάτων. τὰ ἄνθη δὲ τῶν φυτῶν, καὶ οἱ καρποί εἰσιν ἐν ταῖς ὑγρότησι, καὶ ἐν ταῖς ὕλαις. κεῖται τοίνυν ἡ πρώτη κίνησις καθολικῶς, καὶ ἡ πέψις, ἐν πᾶσι τοῖς ζώοις. καὶ οὐκ ἀποχωροῦσιν ἀπ' αὐτῆς πάντα τὰ ζῷα. ἐν τοῖς φυτοῖς δέ ἐστιν ἡ πρώτη πέψις, εἶτα ἡ ἀνάπαυσις μετὰ τὴν τροφὴν αὐτῶν. ἕκαστον οὖν δένδρον ἀναβαίνει ἀεὶ, ἕως ἂν πληρωθείη. αἰτία δὲ αὕτη ἐστὶν, ὅτι ἐπὶ μὲν τῶν ζώων ἑκάστου τὸ μῆκος, πλησίον ἐστὶ τοῦ ἰδίου πλάτους. ἐν τῷ φυτῷ δὲ πόῤῥω, ὅτι ἡ ῥίζα αὐτοῦ, ἤγουν τὸ πῦρ καὶ τὸ ὕδωρ, προδιδοῦσιν εἰς ἀνάβασιν, ἵνα δημιουργηθῇ τὸ φυτόν. ἡ διαφορὰ δὲ τῶν φυτῶν, ἐν τοῖς κλάδοις ἐστὶν, ἐκ τῆς ποικίλης ἀραιότητος. ὅταν γὰρ συμπηδῶσιν οἱ χυμοὶ, θερμαίνεται ἡ φύσις, καὶ προδίδει εἰς τὴν πέψιν. κἀντεῦθεν ἐντυποῦνται οἱ κλάδοι, καὶ

φαίνεται

τῶν φύσεων

ὁμοίου. ὅταν οὖν ταῦτα πάντα συμπληρωθῶσι, γεννᾶται φυτὸν, καὶ αὐξάνει. ὅτι δὲ ταῦτα ἐκχωρήσουσι, ἀθροίσει τῇ ἐκχωρήσει καὶ τὸ φυτόν. πάλιν τὸ φυτὸν τὸ πεδίον ἐν ὄρεσιν ὑψηλοῖς, εἰ ἐστὶ ὅλον, ἔσται προχειρότερον καὶ προσφυέστερον εἰς ἰατρείαν. ὁ καρπὸς δὲ ὁ σκληρότερος εἰς πέψιν, οὐχ ὡς ἐπὶ τὸ πολὺ τρέφει. τόποι δὲ ἀπομεμακρυσμένοι τοῦ ἡλίου οὐκ εἰσὶ πολλῶν βοτανῶν γεννητικοί. ὁμοίως ἐὰν ὁ ἥλιος μακρότητα τῇ ἡμέρᾳ προσάγῃ ἐν τῇ κινήσει αὐτοῦ, καὶ καταπνιγῇ τῆς ὑγρότητος, οὐκ ἔχει τὸ φυτὸν δυνάμεις φύλλα καὶ καρποὺς προάγειν. τί δὲ καὶ περὶ τῶν φυτῶν χρὴ νοεῖν, ἃ γεννῶνται ἐν ὑδαρώδεσι τόποις; ἐν τούτοις ὅτι τὸ ὕδωρ ἠρεμεῖ, γίνεται καθαρὸν ἰλύος. καὶ οὐκ ἔστι δύναμις ἐν τῷ ἀέρι, ἵνα ἀποσείσῃ τὰ μέρη τοῦ ὕδατος. κατέχεται γὰρ αὐτὸς ὁ ἀὴρ ἐν τοῖς ἐνδοτέροις τῆς γῆς, καὶ κωλύει τὴν παχύτητα τοῦ ὕδατος ἀναβαίνειν. εἰ γοῦν πλημμυρήσει ἄνεμος ἐν ἐκείνῳ τῷ τόπῳ καὶ συνταραχθῇ ἡ γῆ, συμπιέσῃ τε ἑαυτὸν ὁ ἐμπεριειλημμένος ἀὴρ, καὶ συμπλέξῃ ὁ ἄνεμος τῇ ὑγρότητι, προελεύσονται ἐκ ταύτης τῆς ὑγρότητος φυτὰ οὐ πολὺ διαφέροντα ἀλλήλων, ἐν εἴδει καὶ σχήματι, διὰ τὴν διαμονὴν καὶ παχύτητα τοῦ ὕδατος, καὶ τὴν θερμότητα τοῦ ἡλίου ἄνωθεν. πάλιν περὶ τῶν φυτῶν, ἃ εἰσὶν ἐν τόποις ὑγροῖς, καὶ ἡ ἐπιφάνεια αὐτῶν φαίνεται ἐν τῇ ὄψει τῆς γῆς χλοάζουσα. λέγω, ὅτι ἐν ἐκείνῳ τῷ τόπῳ μικρά ἐστιν ἡ ἀραιότης. ὅταν οὖν ἐμπνεύσῃ ὁ ἥλιος, κινήσει τὴν ἐν ἐκείνῳ ὑγρότητα, καὶ θερμαίνει τὸν τόπον τῇ συμβαινούσῃ κινήσει, καὶ τῇ θερμότητι τῇ περιειλημμένῃ τοῖς ἐνδοτέροις τῆς γῆς. ὅπερ δὴ οὐ συμβαίνει ἐν οἷς οὐκ ἔχει τὸ φυτὸν ὅθεν αὐξηθῇ, καὶ ἡ ὑγρότης τῇ ἰδίᾳ ἐκτάσει διαχυθῇ, γίνεται καπνὸς ὑποφαίνων τῆς γῆς, ὡς ὕφασμα χλοάζον. κἀντεῦθεν γεννᾶται φυτὸν, μὴ ἔχον φύλλα, ὑπάρχον ἐκ τοῦ γένους τοῦ φυτοῦ, τοῦ φαινομένου εἰς τὴν ἐπιφάνειαν τοῦ ὕδατος. ἔστι δὲ μεῖζον ἐκείνου. διότι πλησίον ἐστὶ τῆς γῆς, εἰ καὶ οὐκ ἀναβαίνειν καὶ ἐπεκτείνεσθαι δύναται. πολλάκις δὲ καὶ ἐν φυτοῖς ἄλλο φυτὸν γεννᾶται, οὐ τοῦ αὐτοῦ εἴδους καὶ τῆς αὐτῆς ὁμοιώσεως, ἄνευ ῥίζης. κινεῖται δὲ ὥσπερ οὕτως, ὁπόταν φυτῶν πολλῶν ἀκανθῶν ἐν πίονι ὕδατι κινήσῃ, ἀνοίγονται τὰ μέρη αὐτοῦ, καὶ αὐχμᾶται ὁ ἥλιος τὰς ἐν αὐτῷ σήψεις, πέψιν τε ποιεῖ τούτου. καὶ τῇ ἰδίᾳ φύσει εἰς τὸν τόπον τὸν συσημμένον, βοήθειαν χορηγεῖ μετὰ θερμότητος ἐπικρατοῦς, κἀντεῦθεν αὐξάνει τὸ φυτὸν, ὡς δοκεῖν νήματα ἐκτείνεσθαι εἰς ὅλον ἑαυτό. καὶ ὥσπερ ἴδιόν ἐστι τοῖς φυτοῖς, τοῖς ἔχουσι πολλὰς ἀκάνθας. τότε γοῦν γεννᾶται ἡ λεγομένη λινόζωσις, καὶ τὰ ταύτῃ ὅμοια. πᾶσαι δὲ αἱ βοτάναι, καὶ εἴ τι αὐξάνεται ἐπάνω τῆς γῆς, καὶ ἐν τῇ γῇ, πρόφασιν ἐκ τινος τούτων τῶν τεσσάρων, ἅ εἰσι, σπέρμα, καὶ ὑγρότης δὲ ὕδατος, τόπος ἐπιτήδειος, ἀὴρ, καὶ φυτεία. καὶ ταῦτα τὰ τέσσαρα εἰσὶν, ὡς ἂν εἴποι τις, ῥίζαι φυτῶν. τελείως δὲ ἡ τῶν δένδρων διαπορεία ἀκολουθεῖ. ἢ γὰρ προάγουσι τοὺς καρποὺς πρὸ τῶν φύλλων, ἢ συνάμα τοῖς φύλλοις, ἢ μετὰ τὰ φύλλα. ἔστι τοίνυν φυτὸν, ὅπερ οὐκ ἔχει ῥίζαν, ἢ φύλλα. ἔστι καὶ ὅπερ φέρει [illegible], ἄνευ καρποῦ καὶ φύλλων, ὡς ἡ λεγομένη χρυσόκομη, ἢ χρυσῖτις. ἀλλὰ τὰ φυτὰ ἄκαρπον πρὸ τῶν φύλλων προάγουσι, πολλὴν ἔχουσι τὴν πιότητα. ὅταν γοῦν ἐκτακῇ ἡ θερμότης, ἡ οὖσα φυσικῶς ἐν τῷ φυτῷ, ταχύνεται καὶ ἡ τούτου πέψις, ῥώννυταί τε καὶ ζεῖ ἐν τοῖς κλάδοις τοῦ φυτοῦ. κωλύει τε τὸν χυμὸν, ἵνα μὴ ἀναβαίνει ἀπ' αὐτοῦ. κἀντεῦθεν προχωροῦσι καρποὶ καὶ φύλλα. ἐν δὲ τοῖς φυτοῖς, ἃ ταχύτερα τὰ φύλλα προάγουσι, τὸ ἐναντίον; αἱ διαβάσεις τῶν ὑγρῶν εἰσι πολλαί. ὅτι γοῦν ἡ θερμότης τοῦ ἡλίου ἄρχεται διασπείρειν τὰ μέρη τοῦ ὕδατος, ἄνω ἐφέλκεται ὁ ἥλιος τὰ μέρη τῆς ὑγρότητος, καὶ βραδύνει ἡ [illegible]. διότι ἡ πέψις τοῦ καρποῦ, οὐκ ἔστι εἰ μὴ ἐν συμπήξει, καὶ προηγοῦνται τὰ φύλλα τῶν καρπῶν τῇ προσαγωγῇ τῆς πολλῆς ὑγρότητος. πολλάκις δὲ συμβαίνει αὐτοῖς καὶ πιότης, ὁπόταν ἡ ὑγρότης ἐν τῷ φυτῷ πέψιν λάβῃ. καὶ ἀναβαίνει δὲ αὐτῆς ἀτμὶς πυκνὴ, καὶ ἑλκύσῃ αὐτὴν ὁ ἀὴρ μετὰ τοῦ ἡλίου. τότε γὰρ ἐξέρχεται ἐκ τῆς ὑγρότητος ἐκείνης, καὶ πιότης, καὶ καρπὸς, καὶ φύλλα, μιᾶς ἐκθέσει. οἱ παλαιοὶ δὲ σοφοὶ τὰ φύλλα πάντα καρποὺς εἶναι διεβεβαιοῦντο. ἰστέον οὖν, ὡς ὁπόταν ἡ ὑγρότης τόση ἐστὶν, ὥστε μὴ πεπαίνεσθαι, μηδὲ συμπήγνυσθαι διὰ τὴν ἐκ τοῦ ἀέρος ἐναπόψυξιν, καὶ τὴν ἄνωθεν σπουδὴν τῆς ἐφελκύσεως τοῦ ἡλίου, τότε ἡ ὑγρότης αὕτη, εἰς ἣν οὐκ ἐνεργήθη πέψις, ἀλλοιοῦται εἰς φύλλα. ἃ δὴ οὐκ ἔχουσιν ἄλλον σκοπὸν, εἰ μὴ τὴν ἐφέλκυσιν τῆς ὑγρότητος. καὶ ἵνα ὦσι καὶ περικαλύμματα

ἐν τοῖς μέρεσιν ἑδράζεται τῆς γῆς, ἔχουσα μέρη διῃρημένα. οὐκ ἔχει δὲ πάλιν οὐδὲ φύλλα, ὅτι μακράν ἐστιν ἀπὸ τῆς εὐκρασίας, καὶ οὐδὲ τὰ μέρη αὐτοῦ εἰσὶ συμπεπηγότα, διὸ δὲ τὸ φυτὸν, οἷον εἰς ὁμοιότητα φύλλων γεννᾶται, καὶ καλεῖται ἐπίπεδον. τῶν δὲ λοιπῶν φυτῶν, τῶν ἐν τῇ γῇ, ἐπεὶ τὰ τῆς γῆς μέρη εἰσὶ συμπεπηγότα, καὶ τὰ μέρη ἐξ ἀνάγκης φυτῶν εἰσὶ τοιαῦτα. τὰ γοῦν φυτὰ, τὰ ἐν τῇ γῇ συμπεπηγότα, γίνονται ἐκ σήψεων ἐν τόπῳ ὑγρῷ, καὶ καπνώδει. αἱ γὰρ σήψεις, κατέχουσιν ἀέρα. καὶ ὅταν πληθύνονται οἱ ὑετοὶ καὶ οἱ ἄνεμοι, ὁ ἥλιος φαίνεσθαι ποιεῖ αὐτάς, κατεπείγει τε ξηραίνεσθαι καὶ συμπήγνυσθαι. καὶ ἡ ξηρότης τῆς γῆς τὰς ῥίζας αὐτῶν ποιεῖ, καὶ γίνονται ἐντεῦθεν φυτὰ, καὶ μύκητες, καὶ ὕδνα, καὶ τὰ ὅμοια. πάντα δὲ ταῦτα γίνονται ἐν τόποις θερμοῖς κατὰ λόγον. διότι ἡ θερμότης περιέχει τὸ ὕδωρ ἐν τοῖς ἐνδοτέροις τῆς γῆς, κατέχει τε ταύτην ὁ ἥλιος. καὶ γίνεται ἀναθυμίασις, καὶ ἐντεῦθεν συμβαίνει ἡ ἀλλοίωσις εἰς φυτόν. ὁμοίως καὶ ἐν πᾶσι τόποις, ὡς ἐπὶ τὸ πλεῖστον θερμοῖς πληροῦται ἡ τοῦ φυτοῦ ἀπάρτισις· οἱ δὲ τόποι οἱ ψυχροί, εἰ καὶ οὕτω τὸ ὅμοιον ποιοῦσι ποτὲ, πλὴν ἐκ τοῦ ἐναντίου. ὁ γὰρ ψυχρὸς ἀὴρ, τὸ θερμὸν συμπιέζει καθ᾽ αὑτό. συμπήγνυσί τε τὰ μέρη αὐτοῦ, καὶ ὁ τόπος ἔψυξιν παρέχει μετὰ τῆς παρούσης ὑγρότητος αὐτοῦ. τοῦ γοῦν περιττοῦ ὑγροῦ ξηρανθέντος, σχίζεται ὁ τόπος, καὶ ἐξέρχονται ἐξ αὐτοῦ φυτά. ἐν τόποις δὲ γλυκεροῖς, ἐν οἷς τὸ ὕδωρ μὴ ἐπὶ πολὺ συμβαίνει χωρίζεσθαι, ὁπόταν ὁ ἀὴρ τῇ γῇ ἐγκλειόμενος ξηρανθῇ, ἡ ὑγρότης τε τοῦ ὕδατος συμπαγῇ, καὶ ὁ αὐτὸς ἀὴρ μένει ἐν τοῖς ἐνδοτέροις τοῦ ὕδατος, ἐξέρχονται φυτὰ, ὡς τὸ νοῦφαρ τὸ ἰατρικὸν, καὶ εἴδη βοτανῶν ἄλλα πολλῶν καὶ σμικρῶν, ἃ διὰ τοῦτον τὸν τρόπον γεννῶνται, πλὴν οὐκ εἰσὶν ἐκτεταμένα. διότι αἱ ῥίζαι αὐτῶν εἰσὶν ἐπιπολαίως ἐν τῇ γῇ, ἐν τόποις ὡσαύτως ἐν οἷς ὕδωρ θερμὸν τρέχει, πολλάκις φυτὰ γεννῶνται. διότι ἡ θερμότης τοῦ ὕδατος, ἐφέλκεται ἀναθυμιάσεις προσφάτους ἐπὶ τῆς γῆς. ἡ δὲ ψυχρὰ φύσις τῆς ὑγρότητος τοῦ ὕδατος, ὑποκάτω ἐκμένει, καὶ συμπήγνυται ὁ ἀὴρ ἐν τούτῳ τῷ ὑγρῷ. καὶ ὅταν πεμφθῇ ἡ θερμότης τοῦ ἀέρος, πάλιν ἐν τούτῳ γεννᾶται τὸ φυτὸν, οὐκ ἄλλως εἰ μὴ ἐν καιρῷ πολλῷ. αἱ βοτάναι δὲ αἱ μικραὶ, αἱ φαινόμεναι ἐν τόποις θειαφώδεσι, γίνονται ὅταν ἄνεμοι ὀξέως πνέωσι, ἀντιπνεουσί τε ποιῶσι, καὶ ἀντιπλήττωσιν ἀλλήλους, καὶ ἐξεγερθῇ ἀὴρ ὁ ἐν αὐτοῖς, καὶ θερμανθῇ ὁ τόπος. καὶ γίνεται ἐντεῦθεν πῦρ, καὶ μετὰ ταῦτα γεννηθῇ ὅπερ ἐστὶν ἐν τῷ βάθει ἀρσενίκιον, ὃ καταβαίνει ἐκ τῆς ἰλύος τοῦ ἀέρος, καὶ ἐφέλκεται πῦρ μετὰ σήψεως. διὰ γὰρ τὸ ἀρσενίκιον. τότε γὰρ γίνεται ἐκ τούτου φυτά. οὐ πολλὰ δὲ ταῦτα προβάλλεται φύλλα, καθὼς προαπεδείξαμεν, ὅτι ἡ εὐκρασία ἐκ τούτων, πόῤῥω ἐστίν. ὅπερ δὲ φέρει, τρόφιμόν ἐστι φυτὸν, ἐκεῖνο φύεται ἐν τόποις θερμοῖς, κούφοις καὶ ὑψηλοῖς, καὶ μᾶλλον ἐν τῷ κλίματι τῷ τρίτῳ καὶ τῷ τετάρτῳ. καὶ πάλιν ὃ δένδρον ποιεῖ τι ἐγγὺς τροφίμου, ἐκεῖνο γεννᾶται ἐν τόποις ὑψηλοῖς καὶ ψυχροῖς. καὶ διὰ τοῦτο πληθύνονται τὰ εἴδη ἐν τόποις τοιούτοις, διὰ τὴν ἐφέλκυσιν τοῦ ὑγροῦ, καὶ τὴν εὐκρασίαν, τὴν ἐκ τῆς θερμότητος τοῦ ἡλίου, ἐν ἡμέραις χειμεριναῖς. ὁμοίως καὶ ὁ πηλὸς ἔμφυτος, ὀξέως προάγει φυτὰ πίονα. ἡ συμπίλησις γὰρ τῆς ὑγρότητος τούτου, ἐν τόποις γλυκεροῖς γίνεται, ὡς προειρήκαμεν. πάλιν τὸ φυτὸν τὸ ἐν τοῖς λίθοις τοῖς στεῤῥοῖς γενόμενον, μακρῷ χρόνῳ συμβαίνει. ὁ γὰρ ἀὴρ ὁ ἐμπεριειλημμένος τούτοις, βιάζεται ἀναβῆναι. ἔξοδον δὲ μὴ εὑρίσκων, διὰ τὴν ἰσχυρότητα τῶν λίθων, ἐπαναστρέφει καὶ θερμαίνει ἑαυτὸν, ἐφέλκεταί τε τὸ ὑγρὸν τὸ ἐναπολειφθὲν τοῖς λίθοις ἄνω. ἐξέρχεταί τε ἀναθυμίασις σὺν ὑγρότητι, μετὰ ἀναλύσεως σμικροτάτων μερῶν, τῶν ἐν τοῖς λίθοις. καὶ γὰρ πολλάκις ἔθος ἐστὶ τοῖς λίθοις, ἵνα βοηθῇ αὐτοῖς ὁ ἥλιος διὰ τῆς ἰδίας πέψεως. καὶ οὕτω γεννᾶται ἐξ αὐτῶν φυτὸν, ὃ δὴ οὐκ ἀναβαίνει, ἐὰν μὴ πλησίον ᾖ γῆς, ἢ ὑγροῦ. ἡ γὰρ ὑπόστασις τοῦ φυτοῦ, δεῖται γῆς, ὕδατος, καὶ ἀέρος. κατανοείσθω τοιγαροῦν τὸ φυτόν. καὶ εἰ ἔστι πλησίον τοῦ ἡλίου, ταχέως γεννᾶται. εἰ δὲ ἐστὶν ὁ ἥλιος πρὸς δυσμὰς, βραδύνει πάλιν τὸ φυτὸν, ἐν ᾧ κινεῖται τὸ ὕδωρ, οὐ παραχωρεῖ τῷ ἀέρι ἀναβαίνειν· καὶ διὰ τοῦτο οὐ τρέφεται. ὁμοίως καὶ ἡ ξηρότης, ὅταν κατακρατήσῃ, ἀναστρέφει ἡ φυσικὴ θερμότης εἰς τὰ ἄκρα, καὶ βύει τοῦ φυτοῦ τὰς ὁδοὺς, δι᾽ ὧν οἱ πόροι. καὶ διὰ τοῦτο οὐ τρέφεται τὸ φυτόν. καθολικῷ δὲ λόγῳ, πᾶν φυτὸν τεσσάρων τινῶν δεῖται· σπέρματος ὡρισμένου, τόπου ἡρμοσμένου, ὕδατος συμμέτρου, καὶ ἀέρος ὁμοίου.

κεῖ. τὸ δὲ ὑπερβαῖνον, ὅπερ ἐστὶ λεπτότερόν ἐστι τοῦ ὕδατος, ὃ διὰ τὸ ἐφελκυσθῆναι ὑπὸ τοῦ ἀέρος, λεπτύνεται, καὶ ἐπὶ πλεῖον ἀναβαίνει, κἀντεῦθεν γίνονται πηγαὶ καὶ ποταμοὶ ἐν τοῖς ὄρεσι. καὶ εἰς πολὺ διατρέχουσι, καὶ σημεῖον τούτου ἐστὶ φλέγμα καὶ αἷμα τὸ ἀνερχόμενον εἰς τὸν ἐγκέφαλον. ὥσπερ γάρ τι ἐκ τῶν τροφῶν μετὰ τῆς ἀναθυμιάσεως ἀνέρχεται, οὕτω καὶ εἰς πάντα τὰ ὕδατα. καὶ γὰρ καί τι τοῦ ὕδατος τοῦ ἁλυκοῦ ἂν εἴσι μετ᾽ ἐκείνου· οὐ δὴ ξηρανεῖ ἡ θερμότης, εἰς τὸ εἶδος τοῦ ἀέρος, ὅς ἐστιν ἀκριβῶς ὑπερβαίνει παντὸς γλυκέος ὕδατος καὶ ἁλμυροῦ. παράδειγμα δὲ τοῦ λόγου τούτου, εὑρήκαμεν πολλάκις ἐν τοῖς βαλανείοις, ὅταν γὰρ τὸ ὕδωρ τὸ ἁλμυρὸν καταλάβῃ θερμότης, λεπτύνει τὰ μέρη αὐτοῦ. ἀναβαίνει τε ἡ ἀναθυμίασις, ἥτις ἐστὶν ἐν τῷ ἐδάφει τοῦ βαλανείου, καὶ ἀναχωροῦσι τὰ πυκνὰ μέρη τῆς ἁλυκότητος, μετὰ τοῦ ὑγροῦ τοῦ φυσικοῦ, οὐδὲ γάρ εἰσιν ἐκ τοῦ γένους τοῦ ἀέρος, ἵνα ἀκολουθήσωσι τῇ ἀναθυμιάσει, ἥτις μία μετὰ τὴν ἄλλην προχωρεῖ ἄνω. ὅταν γοῦν προχωρήσωσι πολλαί, καταπιέζεται ὁ ὄροφος. κἀντεῦθεν συνάγεται, καὶ συμπήγνυνται, καὶ ἀποστρέφει, καὶ κάτω στάζει τὸ ὕδωρ τὸ γλυκύ. καὶ οὕτως ἐν πᾶσι τοῖς βαλανείοις τοῖς ἁλμυροῖς ἐστιν ὕδωρ γλυκύ. αἱ τοίνυν βοτάναι, αἱ φυόμεναι ἐν τοῖς ὕδασι τοῖς ἁλυκοῖς, οὐκ ὀφείλουσιν ἔχειν πληθυσμόν, διὰ τὴν ξηρότητα. καὶ γὰρ τὸ φυτὸν δύναται, ὕλης λέγω, καὶ τόπου, τῇ ἰδίᾳ φύσει ἁρμοζόντων. ὅταν γοῦν τὰ τοιαῦτα δύο παρῶσιν ὁμοῦ, προκόπτει τὸ φυτόν. ὅταν δὲ εὕρωμεν ὕλην πορρωτάτω τῆς εὐκρασίας, ἐπικρατὴς ἐστιν. ἐμποδὼν γάρ ἐστι τῷ εἶναι, τὸ ἐν τόπῳ εἶναι μὴ εὔκρατον. ἔτι κοινῶς οὐχ εὑρίσκομεν φυτὸν ἐν χιόνι. πλὴν βλέπομεν φυτόν ποτε φαινόμενον ἐν αὐτῇ, καὶ τινὰ ζῶα, ἐξαιρέτως ἕλμινθας. οὗτοι γὰρ γεννῶνται ἐν τῇ χιόνι, καὶ φλόμος, καὶ πᾶσαι βοτάναι πικραί. ἀλλ᾽ ἡ χιών, οὐ ζητεῖ τὸ προχωρεῖν ὑπὲρ τοῦτο, ἂν μὴ καὶ συζευχθείη τις αἰτία ἐν αὐτῇ. καὶ αὕτη ἐστίν, ὅτι ἡ χιὼν κατέρχεταί ποτε ὁμοία καπνῷ, συμπήγνυσί τε ταύτην ἄνεμος, καὶ συσφίγγει ἀήρ. πλὴν γίνεται καὶ ἀραιότης τις ἐν τοῖς μέρεσιν αὐτοῖς, κατέχεται γὰρ ἐν τούτοις θερμόν τι μέρος ἀέρος, μένει δὲ αὐτοῦ καὶ ὕδωρ σεσημμένον. ὅταν γοῦν ὁ ἀὴρ ὁ ἐγκεκλεισμένος πλείονος γίνεται πλατυώσεως, καὶ ὁ ἥλιος παρουσιάσηται, ἀπορρήγνυται ὁ ἀὴρ ὁ συμπολυθεὶς ἐν τῇ χιόνι, καὶ φαίνεται ἡ ὑγρότης ἡ σεσημμένη, ἥτις καὶ συμπήγνυται μετὰ τῆς θερμότητος τοῦ ἡλίου. καὶ οὕτω φύονταί τινες βοτάναι. ἐὰν δὲ ᾖ ὁ τόπος περικεκαλυμμένος, οὐ γίνονται ἐν αὐτῷ βοτάναι, ἢ ἀλλ᾽ ἄνθη φύλλων. ἀπεχώρησε γὰρ ἀπ᾽ αὐτοῦ ἡ εὐκρασία τῆς γῆς, ἡ ὁμογενὴς αὐτῇ. ὅθεν ἄνθη καὶ φύλλα ἐν βοτάναις σμικραῖς μεμιγμένα εὑρίσκονται ἐν τόποις κεκραμένοις καθαρῶς, διὰ ἀέρος καὶ ὕδατος. ἐν ἑτέροις δὲ μὴ τοιούτοις, σπάνια εἰσὶ τὰ ἄνθη, καὶ τὰ φύλλα τῶν φυτῶν τῶν συμβαινόντων ἐν τῇ χιόνι. ὁμοίως καὶ ἐν τόποις πολλοῖς ἁλμυροῖς καὶ ξηροῖς, ὡς ἐπὶ τὸ πλεῖστον, οὐ φαίνεται φυτόν. οὗτοι γὰρ οἱ τόποι, πόῤῥω εἰσὶν εὐκρασίας. ἐλαττονεῖται γὰρ ἡ γῆ, διὸ ἧς μακράν εἰσιν ὑγρότης καὶ θερμότης, ἅπερ εἰσὶν διὰ γλυκέος ὕδατος, γίνεται δέ ποτε ἡ γλυκερὰ γῆ, νεκρά. καὶ τότε οὐ γεννῶνται ἐν αὐτῇ ὀξέως βοτάναι. ἐν τόποις δὲ θερμοῖς, ὅπου ἐστὶν ὕδωρ γλυκύ, καὶ θερμότης πολλή, προφθάνει πέψις ἐκ τῶν δύο μερῶν, ἐκ τῆς διαθέσεως τοῦ τόπου, μετὰ καὶ τοῦ ἀέρος τοῦ ἐν αὐτῷ ὑπάρχοντος. ἡ δὲ πέψις τοῦ ἀέρος, ἐκ τῆς θερμότητος ἐστὶ τοῦ ἡλίου, τῆς ἐν ἐκείνῳ τῷ τόπῳ. ἐντεῦθεν καὶ τὰ ὄρη ἐφέλκονται ὑγρότητα, βοηθεῖ τε αὐτοῖς ἐστὶν ἡ θερμότης τοῦ ἀέρος. ἐπιδίδει δὲ καὶ ἡ πέψις. καὶ διὰ τοῦτο φυτὰ ὡς ἐπὶ τὸ πολὺ ἐν τοῖς ὄρεσι φύονται. ἐν δὲ ταῖς ψάμμοις νικᾷ, ὡς προέφημεν, ἡ ἁλμυρότης. καὶ ἀπομένουσιν ἐν τοῖς μέρεσι τῆς ψάμμου, ἀραιότητες ὅμοιαι πρὸς ἀλλήλας. ὁ τοίνυν ἥλιος οὐκ ἔχει δύναμιν, ἵνα ἐν αὐταῖς ἀπαρτίσῃ, καὶ βεβαιώσῃ συνέχειαν οὐσίας. τούτου τοι καὶ φυτὰ ἐν αὐταῖς, ὡς τὰ πολλά, οὐ γίνονται. εἰ δὲ καὶ γίνονται, οὐ κατὰ εἴδη ἴδια καὶ διάφορα, ἀλλὰ κατὰ εἴδη ὅμοια πρὸς ἄλληλα. τὰ δὲ φυτά, ἃ ἐν τῇ ἐπιφανείᾳ τοῦ ὕδατος γεννῶνται, οὐκ ἄλλως γεννῶνται, εἰ μὴ διὰ τὸ πάχος τοῦ ὕδατος. ὅταν γὰρ θερμότης ἅψηται τοῦ ὕδατος, ἥτις ἄνω που οὐκ ἔχει, πῶς ἂν κινηθείη; τότε προέρχεται ἐπ᾽ αὐτῇ παρόμοιόν τι νεφέλῃ, ὀλίγον τε τοῦ ἀέρος κατέχει, καὶ σήπεται τὸ τοιοῦτον ὑγρόν, ἐφέλκεταί τε αὐτὸ ἡ θερμότης, ἥτις ἐκτείνεται εἰς τὴν ὄψιν τοῦ ὕδατος, καὶ γίνεται εἰς τὴν ὄψιν τοῦ ὕδατος, καὶ γίνεται ἐντεῦθεν φυτόν. οὐκ ἔχει δὲ ῥίζαν, ὅτι ἡ ῥίζα

ξομειῶσαι ἐν αὐτῷ ὁ ἀήρ. κινδυνεύουσι γὰρ ἐν αὐτῷ τῷ ὕδατι τὰ μέρη τὰ γεώδη, ἃ εἰσὶν ἁλυκά. ἀνάγκη οὖν πλεῖον θερμανθέντα καταβραχῦ, καὶ ἄμφω ποιῆσαι πηλὸν ἔμφυτον. τοῦτο δὲ οὐ δύναται γενέσθαι ἐν ὕδασι γλυκεροῖς, ὅτι κινδυνεύει ἐν τούτοις ἡ ξηρότης τῆς γῆς, καὶ ἢ μεταβάλλει τὸ ὕδωρ εἰς τὸ εἶδος αὐτῆς, ἢ πλησίον αὐτῆς τοῦτο ποιεῖ, καὶ ἑκάτερον ἀλλοιοῦται. σκληρύνουσα δὲ ἡ σκληρότης τῆς γῆς κατὰ τὴν δύναμιν τῆς συμπήξεως αὐτῆς, τὴν ὑπόστασιν τοῦ ὕδατος διαιρεῖ, τὸν πηλὸν εἰς ἴδια μέρη σμικρά. καὶ διὰ τοῦτο γίνεται ἡ γῆ ἡ τῇ θαλάσσῃ πλησιάζουσα ψαμμώδης. οὕτως καὶ αἱ πεδιάδες, αἳ τινὲς οὐκ ἔχουσιν ὅπερ ἂν περικαλύψῃ αὐτὰ ἀπὸ τοῦ ἡλίου, εἰσί τι καὶ μεμακαρισμέναι ἀπὸ ὕδατος γλυκεροῦ. ξηραίνει γὰρ ὁ ἥλιος τὰ μέρη τῆς ὑγρότητος τῆς γλυκείας. ἀπομένει δέ, ὃ ἐστὶν ἐκ τοῦ γένους τῆς γῆς. καὶ διότι ἐνδιατρίβει ὁ ἥλιος ἐν τούτῳ τῷ τόπῳ τῷ ἀποκεκαλυμμένῳ, διαχωρίζονται τὰ μέρη τοῦ πηλοῦ, καὶ γίνεται ἐντεῦθεν ψάμμος. τούτου δὲ σημεῖον ἐστίν, ὅτι ἐν τοιούτῳ τόπῳ βαθὺ κοιλαινόμενον, καὶ εὑρίσκομεν πηλὸν ἔμφυτον. καὶ ἔστιν οὗτος ῥίζα ψάμμου. καὶ οὐ γίνεται ψάμμος, εἰ μὴ κατὰ συμβεβηκός. συμβαίνει δὲ τοῦτο, ὅτι ἔστι διατριβὴ τῆς κινήσεως τοῦ ἡλίου, ὡς ἔφημεν, καὶ μακαρισμὸς ὑπὸ ὕδατος γλυκεροῦ. τοιουτοτρόπως νοητέον καὶ περὶ τῆς ἁλμυρότητος τῶν ὑδάτων τῆς θαλάσσης. ἡ ῥίζα μὲν γὰρ πάντων τῶν ὑδάτων, ἐστὶ γλυκερά. καὶ οὐκ ἄλλως συμβαίνει αὐτῇ ἁλμυρότης, εἰ μὴ κατὰ τὸν τρόπον τὸν λεχθέντα. καὶ τοῦτο σημεῖον ἐστὶν αἰσθητόν, ὅτι ἡ γῆ μὲν ἐστὶν ὑποκάτω τοῦ ὕδατος, τὸ δὲ ὕδωρ ὑπερβαίνει ἐξ ἀνάγκης καὶ φυσικῶς. κἀντεῦθεν καὶ κυριώτερον συμβέβηκε τῷ ὕδατι τὸ εἶναι στοιχεῖον, παρὰ τῇ γῇ. ἐφρόνησαν δέ τινες στοιχεῖον εἶναι τὸ πάντων τῶν ὑδάτων πλεῖστον. πλεῖστον δὲ ἐστὶ τὸ ὕδωρ τῆς θαλάσσης, καὶ διὰ τοῦτο καὶ στοιχεῖον πάντων ἐκεῖνο τῶν ὑδάτων. ἔστι δὲ τὸ ὕδωρ φυσικῶς ὑπερέχον τῆς γῆς, καὶ λεπτότερον αὐτῆς. καὶ διὰ τοῦτο ἀπεδείξαμεν, ὅτι καὶ τὸ ὕδωρ πάντως κουφότερόν ἐστι τὸ γλυκὺ τοῦ ἁλμυροῦ. πλὴν λάβωμεν, καὶ ὡς ἐν παραδείγματι δύο σκεύη ἴσα, καὶ θῶμεν ἐν αὐτοῖς ὕδωρ γλυκύ, καὶ ὕδωρ ἁλμυρόν. μετὰ ταῦτα προσλάβωμεν ᾠόν. θῶμεν δὲ τοῦτο ἐν τῷ ὕδατι τῷ γλυκεῖ, καὶ αὐτίκα καταδύσεται. μετὰ ταῦτα θῶμεν αὐτό, καὶ ἐν τῷ ὕδατι τῷ ἁλμυρῷ, καὶ ὑπερνήξεται, καὶ ἀναβήσεται ἐπάνω τῶν μερῶν τοῦ τοιούτου ὕδατος. διότι τὰ μέρη τούτου, οὐ διαζεύγνυνται, ὡς τὰ μέρη τοῦ ὕδατος τοῦ γλυκεροῦ. ἐκείνου μὲν γὰρ τὰ μέρη οὐ δύνανται ὑπομένειν διὰ τὴν λεπτότητα, βάρος. τούτου δὲ διὰ τὴν παχύτητα δύνανται. καὶ διὰ τοῦτο οὐ καταδύνεται τὸ ἐντεῦθεν αὐτῷ, οὕτω φυσικῶς ἐν τῇ νεκρᾷ θαλάσσῃ, οὔτε καταδύνεται ζῷον, οὔτε γεννᾶται. κινδυνεύει γὰρ ἡ ξηρότης ἐν αὐτῇ, καὶ ἐν παντὶ ὅπερ ἐστὶ πλησίον τοῦ σχήματος τῆς γῆς. φαίνεται τοίνυν ἐντεῦθεν, ὅτι τὸ ὕδωρ τὸ παχὺ ἐστὶν ὑποκάτω τοῦ μὴ παχέος. τὸ γὰρ παχύ, ἔστιν ἐκ τοῦ γένους τῆς γῆς. τὸ δὲ λεπτὸν καὶ ἀραιόν, ἐκ τοῦ γένους τοῦ ἀέρος. καὶ διὰ τοῦτο ὑπερέχει τὸ ὕδωρ τὸ γλυκύ, πάντων τῶν ὑδάτων. ἐκεῖνο γὰρ ἐστὶν ὑπάρχον τῆς γῆς πορρώτερον. ἤδη πεγαροῦ ἔγνωμεν, ὅτι τὸ ὕδωρ τὸ πορρωτάτω τῆς γῆς, φυσικόν ἐστι. καὶ τὸ γλυκύ, τοῦ θαλαττίου ὑπερκεῖσθαι ἀπεδείξαμεν. καὶ φυσικὸν τοῦτο εἶναι τῷ ῥηθέντι σημείῳ φανερόν, καὶ ἀναγκαῖον ἐγγίγνεται. γεννᾶται δὲ τὸ ἅλας ἐν ἱσταμένοις ὕδασιν, οἷς τὸ γλυκὺ γίνεται ἁλμυρόν. ὑπερβαίνει δὲ ἡ ἁλμυρότης τῆς γῆς, ἐκείνην τὴν ἁλμυρότητα. ἀπομένει γὰρ ἐκεῖ νῦν μὲν ἀὴρ ἐγκεκλεισμένος, ταύτῃ δ' οὔ. καὶ διὰ τοῦτο οὐκ ἔστιν ἐκεῖνο τῆς γῆς τὸ σῶμα, γλυκύτητος ὂν κατὰ πάντα τρόπον μετέχον. εἰ καὶ τὸ γένος τοῦτο ἐξ ὕδατος ἐστίν, ὃ ἐξέρχεται ἐξ αὐτῆς τῆς γῆς, ὡς ἱδρώς. πρὸς τούτοις ὀφείλομεν εἰδέναι, ὅτι καὶ αἱ βοτάναι, καὶ τὰ εἴδη, οὐκ εἰσὶν εἰ μὴ ἐκ συνθέσεως, καὶ οὐκ ἐξ ὕλης ἁπλῆς. ἀλλ' ὥσπερ ἐστὶν ἡ ἁλυκότης ἀπὸ τοῦ ὕδατος τῆς θαλάσσης, καὶ τῆς οὐσίας τῶν ψάμμων. αἱ ἀναθυμιάσεις γὰρ ἀναβαίνουσαι, ὅταν συμπαγῶσι, δύνανται συμπεριλαβεῖν τὴν αἰτίαν τῆς τῶν βοτανῶν ὑπάρξεως. καταπίπτει γὰρ ἀὴρ ἐντεῦθεν, καὶ δροσίζει τὸν τόπον, καὶ περιέχονται ἐξ αὐτοῦ διὰ τῆς δυνάμεως τῶν ἀστέρων, τὰ εἴδη τῶν σπερμάτων. ὕλη δὲ ἀναγκαία ἐστὶ τὸ ὕδωρ, εἰ καὶ διαφορά ἐστιν ἐν τῷ γένει τοῦ ὕδατος. τὸ γὰρ ἀνερχόμενον οὐκ ἔστιν, εἰ μὴ ὕδωρ γλυκύ, τὸ δὲ ἁλμυρὸν βαρύ ἐστι, καὶ οὐ συναναβαίνει τῷ γλυ-

κεῖ. τὸ δ'

ὑγροί. καὶ ὅταν πληθυνθῶσι τὰ ὕδατα, καὶ στενοχωρῶνται φύτος, γίνεται ἐκ τούτων ἀτμὶς περιττή, ἥτις διὰ τὸν φύτος συμπιεσμὸν σχίζει τὴν γῆν. καὶ οὕτω φαίνονται πηγαὶ καὶ ποταμοί, οἱ πρότερον μὴ φαινόμενοι, ἀλλ' ἐγκεκρυμμένοι τυγχάνοντες. ἐκτεθείκαμεν δὲ αἰτίας περὶ τῆς γενέσεως τῶν πηγῶν καὶ τῶν ποταμῶν, ἐν τῷ ἡμετέρῳ βιβλίῳ τῷ περὶ μετεώρων, ἐν ᾧ εἴπομεν καὶ περὶ σεισμῶν, ὅτι πολλάκις δεικνύουσιν ὅτι πηγὰς καὶ ποταμούς, οἳ πρότερον οὐκ ἐφαίνοντο· οἷον, ὅτε σχίζεται ἡ γῆ ἐκ τῆς ἀναθυμιάσεως. πολλάκις δὲ εὑρίσκομεν, ὅτι καὶ πηγαὶ καὶ ποταμοὶ συζεύγνυνται, ὅτε γίνεται σεισμός. τοῦτο δὲ περὶ φυτῶν οὐ συμβαίνει, ὅτε ἀὴρ ἐν τῇ ἀραιότητι τῶν μερῶν αὐτοῦ ἐστι. καὶ τοῦτο δὲ πάλιν σημεῖον, ὅτι σεισμὸς οὐδὲ ἐν τοῖς τόποις τοῖς ψαμμώδεσι πέφυκε γίνεσθαι, ἀλλ' ἐν τόποις πυκνοῖς καὶ σκληροῖς, ὁποῖοι εἰσὶν οἱ τῶν ὑδάτων καὶ τῶν ὀρέων. καὶ γὰρ συμβαίνει σεισμὸς ἐν τοῖς τόποις τούτοις, ὅτι τὸ ὕδωρ ἐστὶ στερρόν, καὶ οἱ λίθοι στερροί. τῇ φύσει δὲ τοῦ ἀέρος τοῦ θερμοῦ καὶ ξηροῦ, ἐνεστι τὸ ἀναβαίνειν ἐκ τῆς κουφότητος. ὅτε γοῦν συνέλθωσι τὰ μέρη αὐτοῦ, καὶ κατακυριεύωσι, συνωθοῦσι τὸν τόπον, καὶ ἐντεῦθεν διέρχεται ἀπ' αὐτοῦ βιαία ἀναθυμίασις. ἐὰν δὲ ὁ τόπος ᾖ ἀραιός, οὐκ ἂν διέρχοιτο οὕτως, ἀλλ' ὡς ἐπὶ τῆς ψάμμου συμβαίνει. διέρχεται γὰρ καὶ ἐντεῦθεν ἀναθυμίασις, ἀλλὰ κατὰ βραχύ. καὶ διὰ τοῦτο οὐ γίνεται σεισμός. ἁπλῶς οὖν καὶ ἐν τοῖς στερεοῖς πᾶσι τοῦτο οὐ συμβαίνει. λέγω, τὸ κατὰ βραχὺ τὸν ἀέρα διέρχεσθαι. συνηγμένα γὰρ τὰ μέρη τούτων, δύναται τὴν γῆν σχίζειν. καὶ τοῦτο ἐστὶν αἰτία τοῦ σεισμοῦ, ἐν σώμασι στερεοῖς. ἐν τοῖς μέρεσι δὲ τῶν φυτῶν καὶ τῶν ζώων, σεισμὸς οὐ γίνεται, ἀλλ' ἐν ἄλλοις πᾶσι καὶ πλειστάκις, ἔν τε τοῖς ὀστρακώδεσι, καὶ ἐν ὑέλῳ, καὶ λοιποῖς μετάλλοις. ἐν ᾧ γὰρ σώματι ἐστὶ πολλὴ ἀραιότης, ἔνθα καὶ τὴν ἀναθυμίασιν ἀναβαίνειν. ὑποκουφίζει γὰρ αὐτὸ ὁ ἀήρ. καὶ συχνάκις τοῦτο βλέπομεν, ὅταν βάλλωμεν χρυσὸν εἰς τὸ ὕδωρ, ἢ ἄλλο τι βαρύ, καὶ παραυτίκα βυθίζεται. καὶ πάλιν, ὅταν βάλλωμεν ξύλον ἀραιόν, ἢ βραχύ, καὶ ἐπιπλέει, καὶ οὐ βυθίζεται. ὅθεν οὐ διὰ τὰ φύλλα, οὐ καταδύνεται τὸ καταδυόμενον πολλάκις ξύλον, οὐδὲ διὰ τὸ ὑποκείμενον τὸ βαρύ, ἀλλ' ὅτι τὸ μέν ἐστι στερρὸν καὶ πυκνόν, τὸ δὲ ἀραιόν. τὸ δὲ ἀραιόν, παντάπασιν οὐ βυθίζεται. ἔβενος δέ, καὶ τὰ αὐτῷ παραπλήσια βυθίζεται, ὅτι μικρά ἐστιν ἐν τούτοις ἡ ἀραιότης. καὶ οὐδὲ ἔστιν ἐν αὐτοῖς ἀὴρ ὁ δυνάμενος ταῦτα κουφίσαι. καταδύονται δέ, ὅτι τὰ μέρη αὐτῶν λίαν εἰσὶ πυκνά, καὶ στερρά. πᾶν δὲ ἔλαιον, καὶ πάντα τὰ φύλλα, τοῦ ὕδατος ὑπερνήχονται. καὶ τοῦτο ἤδη ἀποδεικνύομεν. ἔγνωμεν γάρ, ὅτι ἐν τούτοις ἐστὶν ὑγρότης καὶ θερμότης. καὶ ἔθος τοῦ ὑγροῦ ἐστι τοῖς τοῦ ὕδατος μέρεσι συναφθῆναι. ἡ δὲ θερμότης ποιεῖ, ἀνάγεσθαι τὸ ὑγρόν, καθὼς περιίπταται ἐν τῷ καιρῷ τοῦ ἀέρος. ἔθος δὲ καὶ τοῦ ὕδατος, τὸ κουφίζειν πάντα πρὸς τὴν ἰδίαν ἐπιφάνειαν. ἔθος τῆς τοῦ ἀέρος ἐπιφανείας, ὥστε ποιεῖν αὐτὸν ἀνέρχεσθαι. τὴν δὲ ἐπιφάνειαν αὐτοῦ, οὐχ ὑπερβαίνει τὸ ὕδωρ. ἡ γὰρ ὅλη ἐπιφάνεια αὐτοῦ μία ἐστὶ μετὰ τῆς τοῦ ἀέρος. καὶ διὰ τοῦτο ἄνεισι καὶ τὸ ἔλαιον, ὑπεράνω τοῦ ὕδατος. εἰσὶ δὲ καί τινες λίθοι, οἱ τοῦ ὕδατος ὑπερνήχονται, διὰ τὸ κενὸν μόνον τὸ ἐν τούτοις μεῖζον ὂν τῶν ἐν αὐτοῖς μερῶν, καὶ διὰ τὸ τὸν τόπον τοῦ ἀέρος μεῖζον εἶναι τοῦ τόπου τοῦ σώματος τῆς γῆς. φύσις γάρ ἐστι τοῦ ὕδατος, ὑπεράνω βαίνειν τῆς γῆς. τοῦ δὲ ἀέρος, τὸ ὑπεράνω βαίνειν τοῦ ὕδατος. ἡ τοῦ ἀέρος τοίνυν φύσις, τοῦ ἐγκλειομένου τῷ λίθῳ, ἀναβαίνει ἐπάνω τοῦ ὕδατος, καὶ τῷ ὅλῳ ἀέρι συνάπτεται. καὶ γὰρ ἕκαστον, τὸ οἰκεῖον ὅμοιον ἐφέλκεται, καὶ συνακολουθεῖ ἡ φύσις τοῦ μέρους τῷ ὅλῳ, ᾧ συζεύγνυται. εἰ τοίνυν ἔσται τις ῥαχία κούφη, τὸ μὲν ἥμισυ αὐτῆς καταδύσεται ἐν ὕδασι. τὸ δὲ λοιπὸν ὑπερνήξεται, ὅτι μεῖζον ἐν αὐτῷ ὁ ἀὴρ τοῦ λοιποῦ σώματος τοῦ λίθου. διὰ τοῦτο πάντα τὰ δένδρα βαρύτερά εἰσι τῶν τοιούτων λίθων. οἱ ἐν τοῖς ὕδασι δὲ λίθοι, γίνονται ἐκ τῆς συγκρούσεως τῶν ὑδάτων, τῆς ἰσχυρᾶς. γίνεται γὰρ πρῶτον ἀφρός, εἶτα συμπήγνυται οὗτος, οἷα γάλακτι λιπαρόν. καὶ ὅτε τὸ ὕδωρ τῇ ψάμμῳ περιστρέφεται, συναθροίζει ἡ ψάμμος τὴν λιπότητά πως τοῦ ἀφροῦ, ξηραίνει τε αὐτὴν ἡ ξηρότης τῆς θαλάσσης μετὰ περιττῆς τῆς ἁλυκότητος. καὶ οὕτω συνάγονται τὰ μέρη τῆς ψάμμου, καὶ τῷ ἐπιμήκει τοῦ χρόνου γίνονται λίθοι. ἡ δήλωσις δέ, ὅτι ἡ θάλασσα ποιεῖ καθ' ἑαυτὴν ψάμμον. οὕτως ἐστίν, ἅπασα γῆ, οὐκ ἔστι γλυκεῖα. ὅτι γοῦν ἐστὶν ἐν αὐτῇ τὸ ὕδωρ, κωλύεται ὁ ἀὴρ ἀλλοιῶσαι αὐτό, εἰ δὲ χρονίζοντος τῷ τόπῳ τοῦ ἐμπεριειλημμένου ὕδατος, ἐπεὶ οὐ δύναται τοῦτο πε

ποιός. ὡσαύτως καὶ τὰ δένδρα μετὰ τῶν βοτανῶν. πρὸς δὲ τὸ μαθεῖν, καὶ τὰς αἰτίας αὐτῶν, ὀφείλομεν ζητῆσαι τὴν γένεσιν τούτων, πῶς τινὰ μὲν γεννῶνται ἐν τισὶ τόποις, ἐν ἄλλοις δ' οὔ. ἔτι δὲ καὶ τὰς φυτείας αὐτῶν, καὶ τὰς ῥίζας, καὶ τὰς διαφορὰς τῶν χυλῶν, καὶ τῶν ὀσμῶν, καὶ τοῦ γάλακτος, καὶ τοῦ κόμμεως, καὶ τὴν χρηστότητα, καὶ τὴν κακίαν ἑκάστου, καὶ τὰς διαμονάς· πῶς τινῶν μὲν διαμένουσιν οἱ καρποί, τινῶν δ' οὔ. καὶ δὴ τὴν αἰτίαν τινῶν μὲν σήποντα συντόμως, τινῶν δὲ βραδέως, ἑρμηνεῦσαί τε καὶ τὰς ἰδιότητας τῶν φυτῶν, καὶ μᾶλλον τῶν ῥιζῶν. καὶ πῶς τινῶν μὲν καρποὶ μαλθάσσονται, τινῶν δ' οὔ. καὶ πῶς τινὲς ἀφροδίτην προκαλοῦνται, τινὲς δὲ ὕπνον, τινὲς δὲ καὶ διαφθείρουσι· καὶ πολλὰς ἄλλας διαφοράς. καὶ πῶς τινῶν μὲν οἱ καρποὶ ποιοῦσι γάλα, τινῶν δ' οὔ.

ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΠΕΡΙ ΦΥΤΩ͂Ν ΒΙΒΛΊΟΝ Β'.

ΤΌ ΔΈΝΔΡΟΝ τρεῖς ἔχει δυνάμεις, πρώτην ἐκ τοῦ γένους τῆς γῆς, δευτέραν ἐκ τοῦ γένους τοῦ ὕδατος, τρίτην ἐκ τοῦ γένους τοῦ πυρός. ἀπὸ τῆς γῆς γάρ ἐστιν ἡ ἔκφυσις τῆς βοτάνης, ἀπὸ τοῦ ὕδατος ἡ σύμπηξις, ἀπὸ τοῦ πυρὸς ἡ ἕνωσις τῆς συμπήξεως τοῦ φυτοῦ. βλέπομεν δὲ πολλὰ τούτων, καὶ ἐν τοῖς ὀστρακώδεσιν. εἰσὶ γὰρ ἐν τούτοις τρία· πηλός, ἐξ οὗ γίνεται πλίνθος ὀστρακώδης· δεύτερον ὕδωρ, ὅπερ ἐστὶ τὸ στερροῦν τὰ ὀστρακώδη· τρίτον, τὸ πῦρ, τὸ συνάγον τὰ μέρη αὐτοῦ, ἕως ἂν πληρωθείη δι' αὐτοῦ ἡ τούτου γένεσις. ἡ φανέρωσις γοῦν ὅλης τῆς ἑνώσεως τούτων, ἀπὸ τοῦ πυρός ἐστιν, ὅτι ἀραιότης ἔνεστι τοῖς ὀστρακώδεσι, κατὰ τὰ ἴδια μέρη. καὶ ὁπόταν μίξῃ ταῦτα τὸ πῦρ, τελειοῦται ἡ ὕλη τοῦ ὑγροῦ, καὶ συγκολλῶνται τὰ μέρη τοῦ πηλοῦ, περιέρχεταί τε ξηρότης ἐν τῷ τόπῳ τοῦ ὑγροῦ. καὶ διὰ τὴν ὑπερφάτασιν ἐπιτελεῖται πέψις ἐν παντὶ ζώῳ, καὶ φυτῷ, καὶ μετάλλοις. πέψις γάρ ἐστιν, ὅπου ὑγρότης καὶ θερμότης ἰδίως πέρατι ἀκολουθεῖ. ἔστι δὲ τοῦτο, ἐν τῇ πέψει τοῦ λίθου καὶ τῶν μετάλλων ἐμφανές. ἐν δὲ τῷ ζώῳ δὲ καὶ τῷ φυτῷ, οὐχ οὕτως. ὅτι τούτων τὰ μέρη, οὐκ εἰσὶ συμπεπηγότα εἰς ἕν, ὡς τοῖς λίθοις, καὶ ὅτι ἐκ τούτων καταρροή τις προβαίνει. ἐκ δὲ τῶν λίθων καὶ τῶν μετάλλων, οὐκ ἔξεισι καταρροή, ἤ τις ἱδρώς. τὰ γὰρ μέρη αὐτῶν, οὐκ εἰσὶν ἀραιά, κἀντεῦθεν οὐδέ τινα ἀπ' αὐτῶν ἐξέρχονται, ὡς ἀπὸ τοῦ ζώου καὶ τοῦ φυτοῦ περιττώματα. οὐδὲ γίνεται ἔξοδός τις ἄλλη ἀπὸ τῆς ἀραιότητος. ἐν ᾧ γὰρ ἀραιότης οὐκ ἔστιν, ἀπ' αὐτοῦ παντελῶς οὐδὲν ἐξέρχεται. διὰ τοῦτο στερεόν ἐστιν, εἰς ὃ αὐξάνεσθαί τι οὐ πέφυκε. καὶ γὰρ τὸ αὐξάνεσθαι πεφυκός, δεῖ τι τόπου, ἐν ᾧ ἂν πλατυνθείη, καὶ παραταθείη. λίθοι δέ, καὶ ὄστρακα, καὶ τὰ τοιαῦτα ἀεί εἰσιν ἐν τούτῳ, οὔτε αὐξάνουσιν, οὔτε ἐκτείνονται. πάλιν τοῖς φυτοῖς δευτέρῳ τρόπῳ ἔνεστι κίνησις, ἔνεστι καὶ ἐφέλκυσις, ἥ τις ἐστὶ δύναμις ἐκ τῆς γῆς, ἐφελκομένη τὸ ὑγρόν. ἔστι τε τῇ ἐφελκύσει κίνησις, ἥ τις ἔρχεται εἰς τόπον, καὶ τελειοῦταί πως ἡ πέψις. καὶ διὰ τοῦτο, ὡς ἐπὶ τὸ πλεῖστον αἱ μικραὶ βοτάναι μιᾷ ὥρᾳ μιᾶς ἡμέρας γεννῶνται. οὐκ ἔστι δὲ τοῦτο καὶ ἐν τοῖς ζώοις. ἡ γὰρ ὕλη ἐν τοῖς ζώοις ἐστί, καθ' ἑαυτήν, καὶ διῃρημένη. οὐκ ἔστι δὲ οὐδὲ ἡ πέψις, εἰ μὴ ἐν χρόνῳ μάλιστα καὶ αὕτη. ἡ ὕλη δὲ τοῦ φυτοῦ, τούτῳ ἐστὶ πλησίον. καὶ διὰ τοῦτο ὀξυτέρα ἐστὶν ἡ τούτου γένεσις. γεννᾶται δὲ καὶ αὐξάνει, καὶ ὅπερ μᾶλλον ἐστὶ τὸ λεπτὸν ἐν αὐτῷ, παρὰ τὸ πυκνόν. τὸ γὰρ πυκνόν, πολυτρόπων δεῖται δυνάμεων, διά τε τὴν διαφορὰν τῆς ἰδίας χύματος, καὶ διὰ τὸ μῆκος τῶν μερῶν αὐτοῦ πρὸς ἄλληλα. κἀντεῦθεν ὀξυτέρα καὶ φυτοῦ γένεσις, διὰ τὴν λεπτότητα ἑτέρου πρὸς ἕτερον, καὶ ταχυτέρα ἡ τελείωσις. τὰ μέρη τοῦ φυτοῦ, ὡς ἐπὶ τὸ πλεῖστον εἰσὶν ἀραιά, ὅτι ἡ θερμότης αὐτοῦ τὴν ὑγρότητα πρὸς τὰ ἄκρα τοῦ φυτοῦ ἐφέλκεται, διασπείρεταί τε ἡ ὕλη ἡ θρεπτικὴ εἰς ὅλα τὰ μέρη αὐτοῦ. ὃ δὲ περιττεύει, ἐκχεῖται. ὥσπερ δὲ ἐν τοῖς βαλανείοις ἡ θερμότης τὴν ὑγρότητα ἐφέλκεται, καὶ ταύτην εἰς ἀτμίδα μεταστρέφει, αὕτη δὲ κουφιζομένη ὁπόταν περιττεύσῃ, μεταβάλλεται εἰς σταγόνας, οὕτως καὶ ἐν τοῖς ζώοις, καὶ ἐν τοῖς φυτοῖς, τὰ περιττώματα ἀναβαίνουσιν ἀπὸ τῶν κατωτέρων ἐπὶ τὰ ἀνώτερα, καὶ καταβαίνουσιν ἀπὸ τῶν ἀνωτέρων ἐπὶ τὰ κατώτερα. ὁμοτρόπως δὲ καὶ οἱ ποταμοί, οἱ ὑπὸ τῆς γῆς, γεννῶνται ἀπὸ τῶν ὀρέων. ὕλη γὰρ αὐτῶν εἰσὶν οἱ ὑετοί.

εἰς ἀγρίαν ἀρτεμισίαν, καὶ καλλιέλαιος εἰς ἀγριέλαιον, καὶ ἡ μορέα, ἐν πολλὰ δένδρα. τῶν δένδρων πάλιν τὰ ἄγρια, καὶ κηπαῖα, καὶ πᾶν φυτὸν, οὐ προάγει σπέρμασιν ὅμοιον τῷ σπέρματι, ἐξ οὗ ἀνεφύη ἕκαστον. τινὰ γὰρ κρεῖττον σπέρμα ποιοῦσι, τινὰ χεῖρον. καὶ ἐκ ἐνίων κακῶν σπερμάτων καλὰ δένδρα προβαίνουσιν, ὡς τὰ ἐξ ἀμυγδαλῆς πικρᾶς, καὶ ῥοιᾶς ὀξώδους. τινῶν δένδρων πάλιν σπέρμα, ἂν ἀσθενὲς γίνηται, ἐκλείπει τὸ γενέσθαι καλὰ αὐτὰ, ὡς αἱ πεῦκαι, καὶ οἱ φοίνικες. οὐ προέρχονται δὲ ῥᾳδίως ἐκ σπέρματος κακοῦ καλὰ δένδρα, οὐδὲ ἐκ σπέρματος ἀγαθοῦ κακὰ δένδρα. τὸ δὲ ἐκ πονηροῦ γενέσθαι ἀγαθὸν, καὶ τὸ ἐναντίον, ἐν τοῖς ζώοις πολλάκις εὑρίσκεται. πάλιν δένδρον τὸ ἔχον σκληρὸν λίαν τὸ φλοιὸν, στεῖρον ἀποκαθίσταται. ἐὰν δὲ σχισθῇ ἡ ῥίζα αὐτοῦ, καὶ τῷ σχισμῷ λίθος ἐμβληθῇ, εὔφορον γίνεται. ἐν δὲ τοῖς φοίνιξιν ἂν φύλλα, ἢ ψιῶσιν, ἢ φλοιὸς τοῦ ἄρρενος φοίνικος, τοῖς φύλλοις τοῦ θήλεος συντεθέν, ἵνα πως συναφθῶσι, ταχέως πεπαίνονται οἱ καρποί. κωλύεται δὲ καὶ ἡ πτῶσις αὐτῶν. διακρίνεται δὲ ὁ ἄρρην ἀπὸ τοῦ θήλεος, ὅτι πρώτως βλαστάνουσι τὰ τούτου φύλλα, ἃ εἰσὶ παρὰ τὰ τοῦ θήλεος σμικρότερα, ἀλλὰ καὶ διὰ τῆς εὐωδίας. ἀλλαχοῦ δὲ ἐκ τινὸς τούτων, ἢ ἐκ πάντων συμβαίνει. τυχὸν δὲ καὶ εἰ ἐκ τῆς εὐωδίας τοῦ ἄρρενος ἐπαγάγῃ ὁ ἄνεμος πρὸς τὴν θήλειαν, πεπαίνονται καὶ οὕτως οἱ καρποί, ὥσπερ ὁπόταν τὰ φύλλα τοῦ ἄρρενος τῷ θήλει ἀπαιωρῶνται. συκαῖ ὡσαύτως ἄγριαι εἰς τὴν γῆν διαπλωθεῖσαι, συμβάλλονται τὰ πολλὰ ταῖς κηπαίαις συκαῖς. τὰ βαλαύστια ταῖς ἐλαίαις συμβάλλουσιν, ὅταν ὁμοῦ φυτεύονται. πάλιν τῶν φυτῶν τινὰ μεταλλάττονται εἰς ἄλλο εἶδος, ὡς ἡ καρύα, ὅταν γηράσῃ. λέγουσι πάλιν, ὡς ἡ καλαμίνθη μεταβάλλεται εἰς ἡδύοσμον. καὶ τὸ πράγιον δὲ τμηθὲν, καὶ φυτευθὲν παρὰ τὴν θάλασσαν τυχὸν, ἔσται σισύμβριον. φασὶ πάλιν, ὡς ὁ σῖτος καὶ τὸ λίνον μεταβάλλονται εἰς ἕτερον εἶδος. βελένιον δὲ τὸ δηλητηριῶδες, τὸ † γενόμενον ἐν τῇ περσίδι, μεταφυτευόμενον ἐν αἰγύπτῳ, ἢ ἐν παλαιστίνῃ, γίνεται βρώσιμος. ὡσαύτως ἀμυγδαλαὶ, καὶ ῥοιαὶ, μεταβάλλονται ἀπὸ τῆς ἰδίας κακίας, διὰ γεωπονίαν εἰς τὸ χρηστότερον. ἀλλ' αἱ ῥοιαὶ μὲν, χοιρείου κόπρου ἐμβεβλημένης ταῖς ῥίζαις, καὶ δὲ ὕδατος ψυχροῦ καὶ γλυκέος ποτιζόμεναι, βελτιοῦνται. ἀμυγδαλαὶ δὲ ἥλων ἐμπηγνυμένων αὐταῖς, καὶ κόμμεως διὰ πολλοῦ καιροῦ ἐντεῦθεν ἐκβαλλομένου βελτιοῦνται. πολλὰ δὲ φυτὰ ἄγρια διὰ ταύτης τῆς ἐντεχνήσεως γίνονται κηπαῖα. τόπος δὲ καὶ γεωπονία, σφόδρα τούτοις συμβάλλονται, καὶ μᾶλλον ὁ τοῦ ἔτους καιρὸς, οὗ χρῄζουσι μᾶλλον οἱ φυτευταί. πάλιν τῶν φυτῶν τὰ πλείονα φυτεύονται ἐν ἔαρι, ὀλίγα ἐν χειμῶνι καὶ φθινοπώρῳ. καὶ ὀλίγιστα ἐν θέρει, μετὰ τὴν ἀνατολὴν τοῦ κυνάστρου. ἐν ὀλίγοις δὲ τόποις γίνεται ἡ τοιαύτη φυτεία. καὶ οὐδέ ποτε γίνεται, εἰ μὴ ἀραιῶς ἐν τῇ ῥώμῃ κατὰ τήνδε τὴν ὥραν. ἐν αἰγύπτῳ δὲ οὐ γίνεται ἡ φυτεία, εἰ μὴ ἅπαξ τοῦ ἐνιαυτοῦ. πάλιν τινὰ τῶν φυτῶν ἐκ τῶν οἰκείων ῥιζῶν φύλλα προβάλλονται, τινὰ ἐκ τῶν οἰκείων κόμμεων, ἢ ἐκ τῶν οἰκείων ξύλων. καὶ τινὰ μὲν πλησίον τῆς γῆς, τινὰ δὲ πόρρω, τινὰ ἐν μέσῳ. καὶ τινὰ μὲν ἅπαξ τοῦ ἐνιαυτοῦ καρποφοροῦσι, τινὰ δὲ πλεισάκις. ἀλλ' οὐ πεπαίνονται οἱ καρποὶ, ἀπομένουσι δὲ ὠμοί. καὶ τινὰ δένδρα εἰσὶν εὔφορα διὰ πολλῶν χρόνων, ὡς αἱ συκαῖ, τινὰ ἐν ἑνὶ καρποφοροῦσιν ἔτει, ἐν δὲ τῷ ἑτέρῳ ἀνακτεύονται ἑαυτὰ, ὡς αἱ ἐλαῖαι πολλοὺς κλάδους προβαλλόμεναι, οἷς καὶ περικαλύπτονται. καὶ τινὰ μὲν τῶν φυτῶν εὐφορώτερα εἰσὶν ἐν γήρᾳ· τινὰ δὲ ἐκ τοῦ ἐναντίου, μᾶλλον καρποφοροῦσιν ἐν νεότητι, ὡς ἀμυγδαλαὶ, καὶ ὄχναι, καὶ αἴγειροι. ἡ διαφορὰ δὲ τῶν φυτῶν τῶν ἀγρίων, καὶ τῶν κηπαίων, διακρίνεται δι' ἀρρενικῶν καὶ θηλέων, ὁπόταν ἕκαστον αὐτῶν γνωρισθείη διὰ τῶν ἰδιωμάτων τῶν εὑρισκομένων ἐν αὐτοῖς. ὅτι τὸ μὲν ἄρρεν ἐστὶ πυκνότερον, σκληρότερον, καὶ πολυκλωνώτερον, ἧττον ὑγρὸν, καὶ ταχύτερον εἰς πέπανσιν, καὶ φύλλα ἔχον διάφορα, καὶ παραφυάδας. τὸ δὲ θῆλυ, ἐπέλαττον ἔχει ταῦτα. δεῖ τοίνυν ὅταν κατανοήσωμεν ταῦτα, πάλιν στοχάσασθαι, πῶς ἂν γνοίημεν τὰ δένδρα καθ' αὑτὰ, καὶ τὰ γένη καθ' αὑτά. καὶ περὶ τῶν βοτανῶν ὡσαύτως, πῶς ἂν κατανοήσωμεν, ἃ εἶπον οἱ παλαιοί. πῶς, ἐὰν ἐπιμελῶς σκοπήσωμεν τὰς βίβλους αὐτῶν, ἃς ἔγραψαν, καὶ δυνηθείημεν διορθῶσαι ἴσως τὴν μυλλὸν ἐρβίνην συνοπτικῶς, καὶ γνωρίσαι βοτάνας τὰς ἐλαιώδεις, καὶ βοτάνας τὰς σπέρμα μόνον ἐχούσας, καὶ τὰς βοήθειαν χορηγούσας, καὶ τὰς ἰατρικὰς, καὶ τὰς φθορο-

γινόμενον

νων ἐν τόποις ξηροῖς, ἔνια μὲν γεννῶνται ἐν ὄρεσι, τινὰ δὲ ἐν πεδιάσι. καὶ ἔνια ζῶσιν ἐν τόποις ξηροτάτοις, ὡς τὰ ἐν τῇ γῇ τῶν αἰθιόπων, καὶ ἐκεῖσε κρείττονως αὐξάνουσι, ἤπερ ἀλλαχοῦ. καὶ τινὰ μὲν ζῶσιν ἐν τόποις ὑψηλοῖς, ἔνια δὲ ἐν χθαμαλοῖς. καὶ ἔνια μὲν ζῶσιν ἐν τόποις ὑγροῖς, τινὰ δὲ ξηροῖς. ἔνια ἐν ἑκατέροις, ὡς ἡ ἰτέα. τὰ γοῦν φυτὰ κατὰ πολὺ ἐναλλάττονται τῇ διαφορᾷ τῶν τόπων, καὶ ἐντεῦθεν χρὴ κατανοεῖν τὰς διαφορὰς αὐτῶν. πάλιν τῶν φυτῶν τινὰ μὲν τῇ γῇ πεπήγασι, καὶ οὐ φιλοῦσι χωρίζεσθαι ἀπ' αὐτῆς· τινὰ δὲ ἐν τόποις κρείττοσι μετατίθενται. ὁμοίως τινὲς τῶν καρπῶν, κρείττονές εἰσιν ἐν τῷδε τῷ τόπῳ, παρὰ ἐν ἑτέρῳ. καὶ τινῶν μὲν τῶν τὰ φύλλα σκληρά εἰσι, τινῶν λεῖα. καὶ τινῶν μὲν ἐσχισμένα, ὡς τὰ τῶν ἀμπέλων, καὶ τῶν συκῶν. τινῶν δ' οὔ. ἑτέρων δὲ κατὰ πολὺ ἐσχισμένα, ὡς τὰ τῆς πεύκης. τινὰ δὲ φυτά εἰσιν ὅλος φλοιός, μεμιγμένων. καὶ ἔνια ἔχουσι δεσμούς, ὡς οἱ κάλαμοι, ἔνια δ' οὔ. καὶ τινὰ ἔχουσιν ἀκάνθας, ὡς αἱ ῥάμνοι. ἔνια δὲ ἐστέρηνται ἀκανθῶν. καὶ ἔνια ἔχουσι πολλοὺς κλάδους, ὡς ἡ ἀγρία μορέα, καὶ ἔνια δ' οὔ. καὶ τινὰ μὲν ἔχουσι διαφορὰς ἄλλας, ἐξ ὧν προβαίνουσι παραφυάδες, καὶ ἐξ ὧν οὐχί. τοῦτο δὲ οὐκ ἄλλοθέν ἐστιν, εἰ μὴ ἐκ τῆς διαφορᾶς τῶν ῥιζῶν. τινὰ δὲ ἔχουσι μίαν ῥίζαν, ὡς ἡ σκίλλα. αὕτη δὲ γεννᾶται ἐκ τοῦ ἐδάφους, καὶ ἀραιῶς πρόεισιν, ὅτι ὑποκάτω πλατύνεται, καὶ ἀκολουθοῦσα μᾶλλον διακρίνεται τοῦ ἡλίου. ὅταν γὰρ προσβάλλει αὐτῇ, αὐξάνει. οὕτως δὲ καὶ τὰς παραφυάδας ταύτης, κἀντεῦθεν ἐκμυζᾷ. πάλιν τῶν χυλῶν τῶν ἐν τοῖς καρποῖς, οἱ μέν εἰσι ποτοί, οἱ δὲ οὐ ποτοί. καὶ ποτοὶ μέν, οἱ τῶν σταφυλῶν, καὶ τῶν ῥοιῶν, καὶ λοιπῶν ἄλλων πολλῶν. ἄποτοι δέ, ἄλλων φυτῶν. καὶ τινῶν μέν εἰσι λιπαροί, ὡς οἱ τῆς ἐλαίας, τῆς πεύκης, καὶ τῆς καρύας. ἐνίων δ' οὔ. καὶ ἐνίων μὲν γλυκεῖς καὶ μελιώδεις, ὡς τῶν φοινίκων, καὶ τῶν συκῶν. καὶ ἐνίων μὲν θερμοὶ καὶ δριμεῖς, ὡς τοῦ ὀριγάνου, καὶ τοῦ σινήπεως. καὶ ἐνίων δὲ πικροί, ὡς τοῦ ἀψινθίου, καὶ τῆς κενταυρείας. πάλιν τῶν καρπῶν οἱ μέν εἰσι σύνθετοι, ἐκ σαρκῶν καὶ κόκκων καὶ λεμμάτων, ὡς οἱ σικυοί. ἔνιοι δὲ ἐκ χυμοῦ καὶ κόκκων, ὡς αἱ ῥοιαί. καὶ τινὰ μὲν τοὺς φλοιοὺς ἔχουσιν ἐκτός, τὴν δὲ σάρκα ἐντός. ἔνια δὲ τὸ σπέρμα ἐντός, καὶ τὴν σάρκα ἐκτός. τινὰ δέ εἰσι, ὡς παραυτίκα γίνεται τὸ σπέρμα, καὶ τὸ περικάλυμμα οὐ περικαλύπτεται, ὡς οἱ καρποὶ τῶν φοινίκων, καὶ τῶν ἀμυγδάλων· ἐνίων δ' οὐχί. καὶ ἔνιοι καρποί εἰσι βρώσιμοι, καὶ κατὰ συμβεβηκὸς ἄβρωτοι. καὶ ἔνιοι καρποὶ ἡμῖν μὲν ἄβρωτοι, ἄλλοις δὲ βρώσιμοι, ὡς ὁ ὑοσκύαμος, καὶ ὁ ἐλλέβορος· ἀνθρώποις μὲν δηλητήριον, τροφὴ δὲ τοῖς ὄρτυξι. πάλιν τινὲς τῶν καρπῶν εἰσὶν ἐν θήκαις, ὡς οἱ κόκκοι τοῦ κυάμου· τινὲς ἐν περικαλύμματι, καὶ ἐν λέμματι, οἷον ὑφάσματι τινί, ὡς ἐν σίτῳ εὑρίσκεται, καὶ τοῖς λοιποῖς. καὶ τινὲς μὲν ἐν σαρκί εἰσι, ὡς οἱ τῶν φοινίκων καρποί· τινὲς δέ, οἷον ἐν οἰκίσκοις πολλοῖς, καὶ ἐν λέμμασι, καὶ ἐν ὀστράκοις, ὡς τὰ κάρυα. καὶ τινὲς μὲν ὀξέως πεπαίνονται, ὡς οἱ καρποὶ τῆς μορέας, καὶ τῆς κεράσου· τινὲς δὲ βραδέως, ὡς πάντων οἱ καρποί, οἱ ἄγριοι, ἢ οἱ πλείονες αὐτῶν. καὶ τινὰ μὲν τῶν φυτῶν ὀξέως προάγουσι φύλλα καὶ καρπούς, τινὰ δὲ βραδέως. καὶ τούτων τινὰ τῷ χειμῶνι ἀκολουθοῦσι, πρὶν αὖ πεπανθῶσι. καὶ πάλιν τὰ χρώματα τῶν φύλλων, καὶ τῶν καρπῶν, καὶ τῶν οἷον ἐπ' αὐτοῖς ὑφασμάτων, λίαν εἰσὶ διάφορα. τινὰ γὰρ τῶν φυτῶν ἐν τῇ οἰκείᾳ ὁλότητι εἰσὶ χλοάζοντα. καὶ τινὰ μὲν ἐκκλίνουσιν εἰς μελανίαν, τινὰ δὲ εἰς λευκότητα. καὶ τινὰ εἰς ἐρυθρότητα διὰ τὴν θερμότητα, τὴν ἐκκαίουσαν τὸν ἀέρα τὸν κεκραμένον κατὰ τοῦ προσγείου. πάλιν τὰ σχήματα τῶν καρπῶν, εἰ εἰσὶν ἄγρια, καὶ διαφόρων εἰσὶ θέσεων. οὐ γὰρ πάντων οἱ καρποὶ γωνιώδεις, οὐδὲ πάντων διὰ γραμμῆς εὐθείας. πάλιν τῶν ἀρωματοφόρων δένδρων, τινῶν μὲν ἡ ῥίζα ἀρωματική ἐστι, τινῶν ὁ φλοιός, ἐνίων τὸ ξύλον. ἄλλων τὰ μέρη ὅλα εἰσὶν ἀρωματικά, ὡς τὸ βάλσαμον. πάλιν τῶν δένδρων τὰ μὲν γεννῶνται ἐκ σπερμάτων, τὰ δὲ δι' ἑαυτῶν. καὶ πάλιν τὰ μὲν ἐκ ῥιζῶν ἐκσπῶνται, καὶ μεταφυτεύονται· τὰ δὲ ἐκ τοῦ στελέχους. τὰ δὲ ἐκ τῶν κλάδων, ἢ διὰ τοῦ σπέρματος. καὶ τινὰ μὲν δι' ἑαυτῶν κατὰ μικρὸν ἐκτείνονται, τινὰ δὲ ἐν τῇ γῇ. καὶ τινὰ μὲν ἐν τοῖς δένδροις φυτεύονται, ὡς τὰ ἐγκεντριζόμενα. ἔστι δὲ βελτίων ὁ ἐγκεντρισμός, ὁμοίων εἰς ὅμοια. ἔστι δὲ καὶ ἀναλογία ἄλλη τις, δι' ἧς ἀρίστως συμβαίνουσι τὰ ἀνόμοια. ὡς αἱ μηλέαι μετὰ τῶν ὄχνων. ἐν δὲ τοῖς ὁμοίοις, ὡς συκῆ ἐν συκῇ, καὶ ἄμπελος ἐν ἀμπέλῳ, καὶ ἀμυγδαλῆ ἐν ἀμυγδαλῇ. ἔστι δὲ καὶ ἄλλος ἐμφυλλισμὸς ἐν ἄλλοις διαφόροις γένεσιν, ὡς ἀρτεμισία

εἰς ἀγρίαν

καρποὶ ἐν μέσῳ αὐτῶν. καὶ ἐνίων οἱ καρποί, καὶ τὰ φύλλα, καὶ οἱ ὄζοι μὲν, ἀδιάκριτοί εἰσι. καὶ ἐνίων τὰ φύλλα πρὸς ἄλληλα ὅμοια, ἄλλων δ᾽ οὔ. καί τινα μὲν ἔχουσι κλάδους ἴσους, τινὰ δὲ οὐ τοιούτους. εἰσὶ δὲ καὶ μέρη, ἅπερ ὀνομάζομεν ἐν πᾶσι τοῖς δένδροις, αὔξησιν παρέχοντα καὶ πρόοδον, ὡς ἡ ῥίζα, οἱ λόγοι, οἱ στελεχοί, καὶ οἱ κλάδοι. καὶ ταῦτα παρομοιοῦνται μέλεσιν ἀνθρώπων, τοῖς περιέχουσι πάντα τὰ ἄλλα μέρη. καὶ ἡ μὲν ῥίζα, μεσίτευσία ἐστὶ τοῦ φυτοῦ, καὶ τῇ τροφῇ. καὶ καλοῦμεν αὐτὴν οὐ μόνον ῥίζαν, ἀλλὰ καὶ αἰτίαν ζωῆς, αὕτη ζωὴν τοῖς φυτοῖς προσφέρει. καὶ στελεχὸς μέν ἐστιν, ὅμοιος γενόμενος ἀπὸ τῆς γῆς, καί ἐστιν ὅμοιος ἡλικίᾳ ἀνθρώπου. παραφυάδες δέ εἰσι, τὰ ἀπὸ τῆς ῥίζης τοῦ δένδρου βλαστάνοντα. κλάδοι δέ, οἵ τινες αὐξαίνουσιν ἐπάνω τῶν παραφυάδων. οὐχ εὑρίσκονται δὲ ταῦτα ἐν πᾶσι τοῖς φυτοῖς. καὶ πάλιν τῶν κλάδους ἐχόντων, τινὰ μέν εἰσι διαιωνικά, τινὰ δὲ οὐχί, μᾶλλον δὲ ἀπὸ ἔτους κατὰ ἔτος. καὶ πάλιν εἰσὶ φυτὰ μὴ ἔχοντα κλάδους, μὴ δὲ φύλλα, ὡς οἱ μύκητες, καὶ τὰ ὅμοια. οἱ κλάδοι δὲ οἱ γενόμενοι ἐν τοῖς δένδροις, καὶ οἱ φλοιοί, καὶ οἱ στελεχοί, καὶ οἱ μυελοί, οὐ γεννῶνται εἰ μὴ ἀπ᾽ αὐτοῦ τοῦ χυμοῦ τῶν δένδρων. καί τινες καλοῦσιν αὐτὸν τὸν μυελὸν τὸν ἐν τοῖς δένδροις, μήτραν, ἄλλοι σπλάγχνα, ἕτεροι δὲ καρδίαν. ταῦτα δὲ καὶ αἱ φλέβες, καὶ ἡ σὰρξ ὅλου τοῦ δένδρου, ἐκ τῶν τεσσάρων στοιχείων πεφύκασι. καὶ πολλάκις εὑρίσκονται μέρη τινὰ ἐπιτήδεια εἰς τὸ γεννᾶν φύλλα, καὶ ἄνθη. καὶ λόγοι δέ τινες βραχεῖς εἰσιν, εἰς τὸ γεννᾶν ἐπιτήδειοι ἄνθη, ὡς ἐπὶ τῶν ἰτεῶν. τινὲς δὲ καὶ ἄνθη καὶ καρποὺς ἐν τοῖς δένδροις, καὶ τ᾽ ἄλλ᾽ ὁπόσα γεννῶνται ἐκ σπέρματος, καὶ ὅσα περιεκαλύπτουσιν αὐτά. καὶ πάλιν τῶν φυτῶν εἰσι τινὰ δένδρα, τινὰ δὲ μέσον δένδρων καὶ βοτανῶν. καὶ ταῦτα ὀνομάζονται θάμνοι. καὶ τινὰ μέν εἰσι βοτάναι, ἔνια δὲ λάχανα. σχεδὸν οὖν πάντα τὰ φυτά, τοῖς τοιούτοις ὑποπίπτουσιν ὀνόμασι. πάλιν εἰσὶ δένδρα, ἅπερ ἔχουσιν ἐκ τῆς οἰκείας ῥίζης στελεχόν, καὶ γεννῶνται ἐν αὐτοῖς κλάδοι πολλοί, ὡς συκαῖ, καὶ ἐλαῖαι. τινὰ δ᾽ οὔ. πάλιν εἰσὶν ἄλλα φυτὰ μέσον, ὡς ἅπερ μὲν, δένδρων καὶ βοτανῶν σμικρῶν, τὰ λεγόμενα θάμνοι, ἔχοντα ἐν ταῖς ῥίζαις αὐτῶν πολλοὺς κλάδους, ὡς τὰ καλούμενα ἄγνοι καὶ βάτοι. λάχανα δέ εἰσι, τὰ ἔχοντα πολλοὺς στελεχοὺς ἐκ μιᾶς ῥίζης, καὶ πολλοὺς κλάδους ὡς τὸ πήγανον, αἱ κράμβαι, καὶ τὰ τοιαῦτα. εἰσὶ δὲ καὶ βοτάναι, αἵ τινες οὐκ ἔχουσι στελεχὸν ἐκ τῆς οἰκείας ῥίζης, ἀλλὰ παραυτίκα φέρουσι φύλλα. καί τινα μὲν κατὰ πᾶν ἔτος γεννῶνται καὶ ξηραίνονται, ὡς σῖτος, καὶ τὰ παραπλήσια, τινὰ δ᾽ οὔ. οὐ δυνάμεθα δὲ ταῦτα ἐπίστασθαι, εἰ μὴ διὰ συλλογισμῶν, καὶ παραδειγμάτων, καὶ ὑπογραφῶν. πάλιν εἰσὶ βοτάναι εἰς δύο ἄκρα κλίνουσαι, ὡς τὸ λεγόμενον λάχανον βασιλικόν. εἰσὶ δὲ ἄλλαι, αἱ λεγόμεναι ἐν τοῖς τοῦ βοτάναι καὶ λάχανα. καί τινες ἄλλαι, αἱ ἐν τῷ γεννᾶσθαι μὲν πρώτως, φαίνονται ἐν σχήματι στάχυος. μετὰ ταῦτα γίνονται δένδρα, ὡς οἱ ἀρραβικοὶ βότελοι, καὶ τὸ φυτὸν τὸ λεγόμενον ἁλιοσκόπιον. μυρσίνη δέ, καὶ μηλέα, καὶ ὄχνη, καὶ τὰ λοιπὰ ὅμοια δένδρα, εἰς ὅσον τὸ γένος περιέχονται. ὧν πολλοὶ καὶ μάταιοί εἰσι κλάδοι, ἐκ τῶν ῥιζῶν αὐτῶν φυόμενοι. καὶ διὰ τοῦτο πρέπον περιορίζειν ταῦτα, ἵνα ὦσιν παράδειγμα καὶ συλλογισμόν· οὐ γὰρ ὀφείλομεν διορισμοὺς ἐν πᾶ- 26
σι. πάλιν τῶν φυτῶν, τὰ μέν εἰσι κατοικίδια, τὰ δὲ κηπεῖα, καὶ ἕτερα ἄγρια. τοιοτρόπως δὲ λέγομεν, ὄχνας καὶ ἄλλα φυτῶν εἴδη τοιαῦτα ἄγρια, ὅτι οὐκ εἰσὶν ἐξ ἐπιμελείας γεωργικῆς. πάλιν τῶν φυτῶν τινὰ μὲν ποιοῦσι καρπόν, τινὰ δ᾽ οὔ, ὡς ἰτέαι, καὶ τινὰ εἴδη δρυῶν. καὶ τινὰ μὲν ποιοῦσιν ἔλαιον, τινὰ δ᾽ οὐχί. καὶ τινὰ μὲν ποιοῦσι φύλλα, τινὰ δ᾽ οὔ. καὶ τινῶν πίπτουσι τὰ φύλλα, τινῶν δ᾽ οὔ. καὶ ἐνίοις μὲν γίνονται κλάδοι, τισὶ δ᾽ οὔ. περὶ διαφορᾶς γοῦν τῶν φυτῶν ἐν μεγέθει καὶ σμικρότητι, ἐν ὡραιότητι καὶ ἀμορφίᾳ, ἐν χρηστότητι καρπῶν καὶ κακίᾳ, πολλά ἐστιν εἰπεῖν. πάλιν τὰ ἄγρια δένδρα, μᾶλλον καρποφοροῦσι παρὰ τὰ κηπεῖα. καὶ οἱ καρποὶ τῶν κηπαίων, κρείττονές εἰσι τῶν ἀγρίων. καὶ τινὰ μὲν τῶν φυτῶν, γεννῶνται ἐν τόποις ξηροῖς, τινὰ δὲ ἐν θαλάσσῃ καὶ τινὰ μὲν ἐν ποταμοῖς, ἄλλα δὲ ἐν τῇ ἐρυθρᾷ θαλάσσῃ. καὶ τινὰ ἐν τόποις μὲν ἄλλοις μεγάλα, ἐν ἑτέροις δὲ μικρά. καὶ ἔνια μὲν γεννῶνται ἐν ὄχθαις ποταμῶν, ἔνια δὲ ἐν λίμναις. καὶ τῶν γεννωμένων ἐν

νων ἐν

ὁμοίως καὶ αἱ τῶν φυτῶν ῥίζαι. πλὴν οὐ διαφέρεται καὶ ἡ χεὶρ εἰς ἄλλην χεῖρα, οὐδὲ ἡ ῥίζα εἰς ἄλλην ῥίζαν, οὐδὲ τὰ φύλλα εἰς ἄλλα φύλλα. ἐν ταύταις γοῦν ταῖς ῥίζαις, καὶ ἐν αὐτοῖς τοῖς φύλλοις, ἐστὶν ἡ σύνθεσις. πάλιν τινὲς μὲν τῶν καρπῶν, εἰσὶν ἐκ μερῶν ὀλίγων συγκείμενοι· τινὲς δὲ ἐκ μερῶν πολλῶν, ὡς ἐπὶ τῶν ἐλαιῶν. αὗται γὰρ ἔχουσι φλοιόν, σάρκα, καὶ τὸ ὀστρακῶδες, καὶ σπέρμα, καὶ καρπόν. τινά τε ἔχουσι καὶ περικαλύμματα. πάντα δὲ τὰ σπέρματά εἰσιν ἐκ δύο φλοιῶν. καὶ μέρη μὲν τῶν φυτῶν εἰσιν, ἅπερ εἴπομεν. ἡ δ' ἀκρότης τοῦ παρόντος λόγου ἐστὶ, διαιρεῖσθαι ταῦτα τὰ μέρη τῶν φυτῶν. τὰ περικαλύμματα αὐτῶν, καὶ τὰς αὐτῶν διαφοράς, ὅπερ ἐστὶ πάνυ δυσχερές. καὶ ἐξαιρέτως, τὸ διαιρεῖσθαι τὴν οὐσίαν αὐτῶν, καὶ τὸ χρῶμα, καὶ τὸν καιρὸν τῆς διαμονῆς αὐτῶν, καὶ τὰς συνοχὰς τὰς περιπιπτούσας αὐτοῖς. καὶ ὅτι οὐκ ἔχουσι τὰ φυτὰ ἄνευ ψυχῆς, οὐδὲ διάθεσιν ἴσην διαθέσει ψυχῆς. ἐὰν γοῦν κατὰ ἀναλογίαν θῶμεν τὰ μέρη τῆς ψυχῆς μετὰ τῶν μερῶν τοῦ φυτοῦ, μηκυνθήσεται ὁ λόγος, καὶ τυχὸν οὐδὲ δυνηθείημεν διεξελθεῖν αὖ ταῦτα, μεγάλαις διαφοραῖς ἀπαριθμουμένων τὰ μέρη τῶν φυτῶν. καὶ γὰρ μέρος ἑκάστου πράγματος, ἐκ τοῦ ἰδίου γένους ἐστὶ, καὶ ἐκ τῆς ἰδίας οὐσίας. καὶ ὅταν γεννηθῇ τι ἄλλος φυτοῦ, μένει ἐν τῇ οἰκείᾳ διαθέσει, ἂν μή τινι χρονικῇ ἀσθενείᾳ καὶ βαρείᾳ τῆς οἰκείας ἐκπέσῃ τοιαύτης διαθέσεως.

Τῶν ἀνθέων τοίνυν, καὶ τῶν καρπῶν, καὶ τῶν φύλλων τῶν ἐν φυτοῖς, τινὰ μὲν ἐν παντὶ ἔτει εἰσί, τινὰ δὲ οὐχ οὕτως ἔχει, οὐδὲ διαμένουσι, ὡς ὁ φλοιός. καί τι σῶμα πίπτον ἀπὸ πράγματος, τοῦ ἀποῤῥίπτοντος ὑπὸ διά τινα αἰτίαν. οὐ μένουσι δὲ ταῦτα ἐν τῷ φυτῷ, ὅτι πολλάκις πίπτουσιν ἐξ αὐτοῦ μέρη τινὰ μὴ διωρισμένα, ὡς τρίχες ἐξ ἀνθρώπων, καὶ ὄνυχες. πλὴν γεννῶνται τρίχες, ἢ ἐν αὐτοῖς τοῖς μέρεσιν, ὅθεν ἐξέπεσον, ἢ ἐκτὸς ἐν ἄλλοις. καὶ ἤδη φανερὸν γέγονεν, ὅτι τὰ μέρη τοῦ φυτοῦ οὐκ εἰσὶ διωρισμένα, εἴτε καὶ μή, ἀλλὰ μόνον ἀόριστα. ἡμῖν δὲ αἰσχρόν ἐστι λέγειν πράγματά τινα, μεθ' ὧν αὐξάνεται τὸ ζῶον, καὶ συμπληροῦται μετ' αὐτῶν, μὴ εἶναι μέρη αὐτοῦ. ἀλλ' εἶναι κατὰ τὰ φύλλα, καὶ πάντα τὰ τοιαῦτα τὰ ἐν τῷ φυτῷ, κἂν καὶ οὐκ ὦσι διωρισμένα τὰ τοιαῦτα μέρη τοῦ ζώου, κἂν καὶ κατὰ μικρὸν ἐκπίπτουσιν, ὡς τὰ κέρατα τῆς ἐλάφου, καὶ κόμαι τινῶν ζώων, καὶ τρίχες ἄλλων, ἃ δὲ κρύπτουσιν ἑαυτὰ κατὰ τὸν χειμερινὸν καιρὸν ἐν ὀπαῖς, καὶ ὑπὸ τὴν γῆν πίπτουσι, κἂν καὶ τὸ τοιοῦτον πάθος παρόμοιον ἔχωσι τῇ πτώσει τῶν φυτῶν. ὀφείλομεν οὖν εἰπεῖν περὶ τῶν πραγμάτων, ὧν πρότερον ἱστορήσαμεν, καὶ ἄρξασθαι ἀπαριθμεῖν τὰ ἴδια μέρη τῶν φυτῶν, καὶ τὰ κοινά, καὶ τὰς τούτων διαφοράς.

Λέγομεν τοίνυν, ὡς ἐπὶ τοῖς μέρεσι τῶν φυτῶν ἐστὶ μεγάλη διαφορά, ἐν τῷ πλήθει καὶ τῇ ὀλιγότητι, ἐν τῷ μεγέθει καὶ ἐν τῇ σμικρότητι, ἐν τῇ δυνάμει καὶ ἐν τῇ ἀσθενείᾳ. ὑπὲρ δέ ἐστιν, ὅτι ὁ χυμὸς ὁ ἐν τοῖς μεγάλοις δένδροις, ἐν τισὶ μὲν ἐστιν ὡς γάλα, οἷον ἐπὶ τῆς συκῆς· ἐν τισὶν ὅμοιος ὑγρᾷ πίσσῃ, ὡς ὁ χυμὸς ὁ στάζων ἐκ τῆς ἀμπέλου· ἐν τισὶ δὲ ἀρχίγονος, ὡς ἐν τῷ ὀριγάνῳ, καὶ ἐν φυτῷ τῷ λεγομένῳ ὁ πηγαὶς, καὶ ἐν ἄλλοις. πάλιν ἐστὶ φυτὸν τὸ ἔχον μέρη ξηρά, ἕτερον ὑγρά, καὶ τὰ τοιαῦτα. καὶ ἐστὶ τὸ ἔχον μέρη καὶ διακεκριμένα, οὔτε ὅμοια, οὔτε ἴσα. καὶ τινὰ μὲν ἔχει ὅμοια μέρη, οὐκ ἴσα δέ· τινὰ ἴσα μέν, οὐχ ὅμοια δέ. καὶ ὅτι οὐδέ ἐστι τόπος ἐν τούτοις ὡρισμένος. αἱ διαφοραὶ δὲ τῶν φυτῶν, ἐν τοῖς εἰκαίοις μέρεσι γινώσκονται καλῶς· ὁμοίως δὲ καὶ τὰ σχήματα αὐτῶν, ἐκ τοῦ χρώματος, ἐκ τῆς ἀραιότητος, ἐκ τῆς πυκνότητος, ἐκ τῆς τραχύτητος, καὶ ἐκ πάντων ἄλλων τῶν συμβεβηκότων αὐτοῖς, ἐν ἰσότητι, ἐν αὐξήσει φυσικῇ, ἐν διαιρέσει, ἐν μεγέθει, ἐν σμικρότητι. καὶ εἰσὶ μὲν τὰ αὐτὰ τοιούτου τρόπου, ἔχουσι δὲ καὶ διαφορὰς πολλάς, καθὼς προείπομεν.

Καὶ πάλιν τῶν φυτῶν τινὰ προάγουσι καρπὸν ἐπάνω τῶν ἰδίων φύλλων, τινὰ δὲ ὑποκάτω τῶν φύλλων. καὶ τινῶν μὲν ὁ καρπὸς ἀπηώρηται τοῦ ἰδίου στελεχοῦ, τινῶν δὲ ἀπὸ τῆς ῥίζης, ὡς τὰ ἐν αἰγύπτῳ φυτά, τὰ λεγόμενα μαργαρῖται. τινῶν δὲ οἱ

καρποὶ

θῆλυ ἐκτίθεσι τὴν γονὴν ἐν μιᾷ ὥρᾳ, οὕτω καὶ τὸ σπέρμα τοῦ φυτοῦ. εἶπε πάλιν Ἐμπεδοκλῆς, ὅτι τὰ φυτὰ εἰ καὶ νόσους οὐ γεννῶσι. διότι τὸ γεννώμενον οὐ γεννᾶται, εἰ μὴ ἐκ τῆς φύσεως τοῦ σπέρματος. καὶ ὅπερ μὲν εἰ δὴ αὐτοῦ ἐν τῇ ἀρχῇ τροφὴ γίνεται τῆς ῥίζης, καὶ τὸ γεννώμενον κινεῖ αὐτὸ ἑαυτὸ παραυτίκα, ὅμως οὕτως ὀφείλομεν ὑπολαμβάνειν καὶ ἐν τῇ μίξει τῶν ἀῤῥένων, καὶ τῶν θηλείων φυτῶν, ὡς ἐπὶ τῶν ζώων, ὅτι καὶ ἡ μίξις τῶν φυτῶν ἐστιν ἐν διοικήσει τινί. ἀλλ' ἐν τοῖς ζώοις ὅτε μίγνυνται, τὰ γένη μίγνυνται, καὶ αἱ δυνάμεις τῶν γενῶν, αἳ ἦσαν πρότερον κεχωρισμέναι. καὶ περιῆλθεν ἐκ τούτων ἀμφοτέρων, πρᾶγμά τι ἕν, ὃ δὲ οὐκ ἔστιν ἐν τοῖς φυτοῖς. οὐ γὰρ ὅτε μίγνυνται τὰ γένη, καὶ αἱ δυνάμεις αὐτῶν, μετὰ ταῦτα γίνονται κεχωρισμένα. ἡ γοῦν ἡ φύσις ἔμιξε τὸ ἄῤῥεν μετὰ τοῦ θήλεος, καλῶς πεποίηκεν, ὅτι οὐχ εὑρίσκομεν ἐνέργειαν τινὰ ἐν τοῖς φυτοῖς παρὰ τὴν γένεσιν τῶν καρπῶν. οὐδὲ γὰρ ἐστὶ ζῷον κεχωρισμένον τοῦ θήλεος, εἰ μὴ ἐν ὥραις αἷς οὐ συνάπτεται. ἔστιν δὲ ἐστὶ διά τε πολλὰς ἐνεργείας αὐτοῦ, καὶ διὰ τὰς πολλὰς αὐτοῦ ἐπιστήμας. εἰσὶ δὲ οἵτινες τὰ φυτὰ πεπληρωμένα ὑπολαμβάνουσι, καὶ τὴν χαρὰν τῆς ζωῆς αὐτῶν εἶναι, διὰ τὰς δύο δυνάμεις, ἃς ἔχει. ἤγουν διὰ τὴν τροφὴν τὴν ἐπιτηδείαν, εἰς τὸ τρέφειν αὐτά, καὶ διὰ τὴν μακρότητα τῆς οἰκείας ἐπάρξεως, καὶ τοῦ καιροῦ ὁπόταν βλαστάνει, καὶ καρποφορεῖ ἡ ζωὴ αὐτῶν, καὶ στρέφεται πρὸς αὐτὰ ἡ νεότης αὐτῶν, καὶ οὐ γίνεται ἐν αὐτοῖς τι περιττόν. οὐ δεῖται τὸ φυτὸν ὕπνου διὰ πολλὰς αἰτίας, ὅτι κεῖται τὸ φυτὸν ἐν τῇ γῇ, καὶ δέδεμέναι ὑπ' αὐτῆς, καὶ οὐκ ἔχει κίνησιν ἐν ἑαυτῷ, οὐδὲ ὅρον διωρισμένον ἐν τοῖς οἰκείοις μέρεσιν, οὔτε αἴσθησιν ἔχει, οὔτε κίνησιν αὐτοπροαίρετον, οὔτε ψυχὴν τελείαν. ἔστιν δὲ ἔχει μᾶλλον μέρος μέρους ψυχῆς. καὶ τὸ φυτόν, οὐκ ἐδημιουργήθη διὰ τὸ φυτόν. καὶ πάλιν ἐὰν εἴπῃ τις, ὅτι τὸ φυτὸν δεῖται μὲν τροφῆς εὐτελοῦς καὶ μοχθηρᾶς. εἰ καὶ δεῖται δὲ τοιαύτης, ὅμως κατὰ πολὺ σαθρᾶς καὶ συνεχοῦς, καὶ μὴ ῥᾳδίως διαφθειρομένης, καίτοι δέον συνίστασθαι, ἵνα τὸ φυτὸν ἔχῃ τι κρεῖττον παρὰ τὸ ζῷον. καὶ διὰ τοῦτο ἀνάγκη, καὶ πράγματα ἄψυχα εἶναι εὐγενέστερα τῶν ἐμψύχων, ἀλλὰ ἔργον τοῦ ζῴου ἐστὶ κρεῖττον, παρὰ τοῦ ἔργον τοῦ φυτοῦ. ἄλλως τε εὑρίσκομεν καὶ ἐν τῷ ζώῳ πάσας τὰς δυνάμεις, τὰς ἐν τῷ φυτῷ, καὶ ἄλλας πολλάς, οὐ μὴν καὶ ἔμπαλιν. εἶπε πάλιν ὁ Ἐμπεδοκλῆς, ὅτι τὰ φυτὰ ἔχουσι γένεσιν, ἐν κόσμῳ ἐλαττουμένῳ, καὶ οὐ τελείῳ κατὰ τὴν συμπλήρωσιν αὐτοῦ. ταύτης δὲ συμπληρουμένης, οὐ γεννᾶται ζῷον. ἀλλ' οὗτος ὁ λόγος ἀνάρμοστός ἐστι. διότι ὁ κόσμος ὁλοτελής ἐστι, καὶ διηνεκής, καὶ οὐκ ἔπαυσε πώποτε γεννᾷν ζῷα, καὶ φυτά, καὶ πάντα ἀλλοῖα εἴδη. ἐν ἑκάστῳ δὲ εἴδει τῶν φυτῶν, ἔστι θερμότης καὶ ὑγρότης φυσική. ἥ τις ὁπόταν ἀναλωθείη, ἀσθενοῦσι τὰ φυτά, καὶ γηράσκουσι, καὶ φθίνουσι, καὶ ξηραίνονται. καὶ τινὲς μὲν λέγουσι τοῦτο φθοράν, ἄλλοι δ' οὐχί.

Τινὰ τῶν φυτῶν ἔχουσι τι ὑγρόν, ὡς ῥητίνην, ὡς κόμμι, ὡς σμύρναν, ὡς θυμίαμα, καὶ ὡς κόμμι ἀῤῥαβικόν. πάλιν τινὰ δένδρα ἔχουσι δεσμούς, καὶ φλέβας, καὶ κοιλίαν, καὶ ξύλον, καὶ φλοιόν, καὶ μυελὸν ἐντός. καὶ τινὰ ὡς ἐπὶ τὸ πλεῖστον εἰσὶ φλοιός. καὶ τινῶν μὲν ὁ καρπὸς ὑπὸ τὸν φλοιόν, ἤγουν ἐντὸς τοῦ φλοιοῦ καὶ τοῦ ξύλου. καὶ τινὰ μὲν μέρη τοῦ δένδρου εἰσὶν ἁπλᾶ, ὡς ὁ χυμὸς ὁ εὑρισκόμενος ἐν αὐτοῖς, καὶ οἱ δεσμοί, καὶ αἱ φλέβες. τινὰ δὲ εἰσὶ συνθετὰ ἐκ τούτων, ὡς κλάδοι, καὶ λύγοι, καὶ φύλλα. ταῦτα δὲ πάντα οὐχ εὑρίσκομεν ἐν πᾶσι τοῖς φυτοῖς. τινὰ γὰρ τῶν φυτῶν ἔχουσι καὶ ταῦτα, καὶ ἄλλα μέρη, λύγους καὶ φύλλα, κλάδους, ἄνθη, καὶ βλαστούς, καὶ φλοιὸν τὸν περικυκλοῦντα τὸν καρπόν. καὶ καθὼς εἰσὶ καὶ ἐν τοῖς ζώοις μέρη ὁμοιομερῆ, οὕτω καὶ ἐν τοῖς φυτοῖς. καὶ ἕκαστα τῶν μερῶν τοῦ φυτοῦ, συνθετά εἰσιν ὅμοια μέλεσι ζώου. ὁ δὲ φλοιὸς τοῦ φυτοῦ, ὅμοιός ἐστι φυσικῶς † σώματι ζώου. οἱ δὲ δεσμοὶ πάλιν, ὅμοιοι νεύροις ζώου. ὁμοίως καὶ τὰ λοιπὰ τὰ ἐν αὐτῷ. καὶ τινὰ μὲν τῶν μερῶν διαιροῦνταί πως, διὰ μερῶν ἀνομοίων· τινὰ δὲ ὁμοίων, εἶον ὡς ἐπὶ τοῦ ξύλου. καὶ γὰρ ὅτε ἑνὶ τρόπῳ διαιρεῖται διὰ τῆς γῆς μόνον, καὶ ἀλλοτρόπως διὰ τῶν στοιχείων. ὡσαύτως καὶ ὁ πνεύμων, καὶ ἡ σάρξ, διαιροῦνται μὲν πρώτως, καὶ εἰσὶ μέρη τούτων σὰρξ καὶ πνεύμων. ἄλλως δὲ διαιροῦνται καὶ διὰ τῶν στοιχείων.

† δέρματι. Sic enim in lib. 2. de Anima ipſemet Ariſtoteles cōparas plantę corticē ad cutē animalis

ὁμοίως

ἔχει δὲ ψυχήν, οὐ λέγομεν ὅτι καὶ τινὰ ἄλλο ἔχει αἴσθησιν. πρᾶγμα γὰρ τὸ τρεφόμενον, οὐκ ἔστιν ἄνευ ψυχῆς. πᾶν δὲ ζῶον ἔχει ψυχήν. τὸ δὲ φυτόν, ἔστιν ἀτελὲς πρᾶγμα, πάλιν τὸ ζῶον, ἔχει μέλη διωρισμένα. τὸ φυτόν, ἀδιόριστα. ἔχει δὲ ὕλην, οἰκείαν κινήσεως, ἣν ἔχει ἐν ἑαυτῷ, πάλιν δυνάμεθα λέγειν, τὰ φυτὰ ψυχὴν ἔχειν, ὅτι ψυχή ἐστιν ἡ ποιοῦσα ἐν αὐτοῖς γεννᾶσθαι τὰς κινήσεις. ἐπιθυμία δὲ καὶ κίνησις, ἡ ἐν τόποις, οὐκ ἔστιν εἰ μὴ μετὰ αἰσθήσεως. πάλιν τὸ ἕλκειν τροφήν, ἔστιν ἐξ ἀρχῆς φυσικῆς. καὶ τοῦτ' αὐτό ἐστι τὸ κοινὸν ζῶον καὶ φυτοῦ. οὐκ ἔσται δὲ φροντὶς περὶ τῇ ἑλκύσει τῆς τροφῆς, αἰσθήσεως τὸ παράπαν. ὅτι πᾶν τὸ τρεφόμενον, χρήζει ἐν τῇ οἰκείᾳ τροφῇ, δύο ποιοτήτων τινῶν, θερμότητός φημι, καὶ ψυχρότητος. καὶ διὰ τοῦτο δεῖται τροφῆς ὑγρᾶς, ὁμοίως καὶ ξηρᾶς. ἡ δὲ θερμότης καὶ ἡ ψυχρότης, εὑρίσκεται ἐν βρώμασι ξηροῖς καὶ ὑγροῖς. οὐδεμία δὲ τῶν τοιούτων φύσεων, χωρίζεται τῆς συμμετόχου αὐτῆς. διὰ τοῦτο γὰρ καὶ πρώτως ἐγίνετο ἡ τροφὴ τῷ τρέφοντι συνεχής, ἕως καὶ εἰς αὐτὴν τὴν ὥραν τῆς φθορᾶς. καὶ ὀφείλουσι χρῆσθαι ταύτῃ τὸ ζῶον καὶ τὸ φυτόν, τοιαύτῃ, ὁποῖον ἐστὶν ἑκάτερον αὐτῶν. διερμηνεύσωμεν οὖν καὶ τοῦτο, ὃ προηγάσατο ἐν τῷ ἡμετέρῳ λόγῳ, περὶ ἐπιθυμίας φυτοῦ, καὶ κινήσεως αὐτοῦ, καὶ ψυχῆς ἰδίας, καὶ εἰ ἡ ἀναλύεται ἀπ' αὐτοῦ τοῦ φυτοῦ, ὅσον εἰς πνοήν. Ἀναξαγόρας γὰρ εἶπε, ταῦτα ἔχειν καὶ πνοήν. καὶ πῶς ἄρα εὑρίσκομεν πολλὰ ζῶα μὴ ἔχοντα πνοήν. καὶ πάλιν εὑρίσκομεν ἀκριβῶς, ὅτι τὰ φυτά, οὔτε ὑπνώττουσιν, οὔτε γρηγοροῦσι. τὸ γὰρ γρηγορεῖν οὐδέν ἐστιν, εἰ μὴ ἀπὸ διαθέσεως τῆς αἰσθήσεως. τὸ δὲ ὑπνώττειν οὐδέν, εἰ μὴ ἀσθένεια αὐτῆς, καὶ οὐχ εὑρίσκονταί τι τούτων ἐν πράγματι. τρεφομένων μὲν πάσαις ὥραις κατὰ διοίκησιν μίαν, ἐν τῇ οἰκείᾳ δὲ φύσει μὴ αἰσθανομένων. τὸ γὰρ ζῶον ὅτε τρέφεται, τί συμβαίνει τὸ ἀναβαίνειν ἀναθυμίασιν ἀπὸ τῆς τροφῆς πρὸς τὴν κεφαλὴν αὐτοῦ, καὶ ὑπνώττειν ἐντεῦθεν πάντως, καὶ ὅταν καταναλωθῇ ἡ ἀναθυμίασις, ἡ ἀναβαίνουσα πρὸς τὴν κεφαλήν, τότε γρηγορεῖ. ἐν τισὶ δὲ τῶν ζώων ἐστὶν αὕτη ἡ ἀναθυμίασις πολλή, καὶ τέως ὀλίγον ὑπνώττουσιν. ὁ δὲ νυσταγμός ἐστι, συνοχὴ τῆς κινήσεως. ἡ δὲ συνοχὴ πάλιν, ἠρεμία πράγματος κινουμένου. ὃ δὲ μάλιστα καὶ κυρίως ἐστὶ ζητητέον ἐν ταύτῃ τῇ ἐπιστήμῃ, τοῦτό ἐστιν ὅπερ εἶπεν ὁ Ἐμπεδοκλῆς, ἤγουν εἰ εὑρίσκεται ἐν τοῖς φυτοῖς γένος θῆλυ καὶ γένος ἄρρεν, καὶ εἰ ἔστιν εἶδος κεκραμένον ἐκ τούτων τῶν δύο γενῶν. λέγομεν τοίνυν, ὅτι τὸ ἄρρεν ὅτε γεννᾷ, εἰς ἄλλο γεννᾷ. καὶ εἰσὶν ἄμφω κεχωρισμένα ἀπ' ἀλλήλων, ἐπεὶ γοῦν εὑρίσκεται ἐν τοῖς φυτοῖς, ὅτι ἔχει τὰ φυτὰ γένος ἄρρεν καὶ θῆλυ. καὶ πάντως τὸ μὲν ἄρρεν ἐστὶ τραχύτερον, καὶ σκληρότερον, καὶ μᾶλλον φρίσσον. τὸ δὲ θῆλυ, ἀσθενέστερον, καὶ καρποφόρον πλέον. πάλιν ὀφείλομεν ζητεῖν, πότερον εὑρίσκονται ταῦτα τὰ δύο γένη κεκραμένα ἅμα ἐν τοῖς φυτοῖς, ὡς εἶπεν Ἐμπεδοκλῆς. ἀλλ' ἐγὼ οὐχ ὑπολαμβάνω τοῦτο τὸ πρᾶγμα οὕτως ἔχειν. τὰ γὰρ κεκραμένα, ὀφείλουσιν εἶναι πρότερον ἁπλᾶ ἐν ἑαυτοῖς. καὶ εἶναι καθ' αὑτὸ μὲν τὸ ἄρρεν, καθ' αὑτὸ δὲ τὸ θῆλυ, κἀντεῦθεν κεραννᾶσθαι. ἡ δὲ κρᾶσις οὐκ ἔσται, εἰ μὴ διὰ τὴν οἰκείαν γένεσιν. εὑρέθη γοῦν ἐν τοῖς φυτοῖς πρὸ τῆς κράσεως κρᾶσις, ἣ καὶ ὀφείλει εἶναι αἰτία ποιητικὴ καὶ παθητικὴ ἐν μιᾷ ὥρᾳ. ἀλλ' οὐχ εὑρίσκεται ἀρρενότης καὶ θηλύτης ἡνωμέναι ἔν τινι τῶν φυτῶν, εἰ δὲ τοῦτο οὕτως ἦν, τάχα ἂν τὸ φυτὸν ἦν τελειότερον τοῦ ζώου. καὶ πῶς, ἐπεὶ τὸ ζῶον οὐ δεῖται ἐν τῇ οἰκείᾳ γενέσει πράγματός τινος ἐξωτερικοῦ. τὸ δὲ φυτὸν τοῦτο, δεῖται ἐν τοῖς καιροῖς τοῦ ἔτους. δεῖται γὰρ ἡλίου, καὶ εὐκρασίας, καὶ τοῦ ἔαρος πλέον, καὶ τούτων δεῖται μᾶλλον ἐν τῇ ὥρᾳ τῆς ἐκφύσεως αὐτοῦ. ἔστι δὲ καί τις ἀρχὴ τῆς μὲν τροφῆς τῶν φυτῶν ἀπὸ τῆς γῆς, καὶ πάλιν ἀρχὴ ἑτέρα ἀπὸ τῆς γενέσεως τοῦ ἡλίου. εἶπε δὲ καὶ Ἀναξαγόρας, ὅτι ἡ ὑγρότης τούτων, ἐστὶν ἀπὸ τῆς γῆς. καὶ διὰ τοῦτο ἔφη πρὸς Λεχίνεον, ὅτι ἡ γῆ μήτηρ μέν ἐστι τῶν φυτῶν, ὁ δὲ ἥλιος πατήρ. ἀλλὰ τὴν κρᾶσιν τοῦ ἄρρενος τῶν φυτῶν καὶ τοῦ θήλεος, ὀφείλομεν διατυπῶσαι, οὐχ οὕτως, ἀλλ' ἄλλῳ τινὶ τρόπῳ. οἷον ὅτι τὸ σπέρμα τοῦ φυτοῦ ὅμοιόν ἐστιν ἐγκυμονούσῃ ζώου, ἥ τις ἐστὶ μίξις ἄρρενός τε καὶ θήλεος. καὶ ὥσπερ ἐστὶν ἐν τοῖς ᾠοῖς ὅτε γίνεται νεοσσός, ἔστιν ἐντεῦθεν καὶ ἡ τροφὴ αὐτοῦ μέχρι καὶ αὐτῆς τῆς ὥρας τῆς συμπληρώσεως, καὶ τῆς οἰκείας ἐξόδου, καὶ τότε τὸ

τῶν φυτῶν ἔχει κοινά. διότι δὲ ἔχουσι ταῦτα τὰ φυτά, καὶ τὸ ἐπιθυμίαν ὡσαύτως κατέχεσθαι ἐπίσδιον, ἀλλὰ πρῶτον τοῖς φανεροῖς, εἶτα καὶ τοῖς κεκρυμμένοις ἀκολουθήσωμεν. λέγομεν τοίνυν, ὡς ἐὰν ἔτι τρέφηται, ἤδη καὶ ἐπιθυμεῖ. καὶ ἀδ' αἴονται μὲν τοῦ κόρου, λυποῦνται δὲ ὅτε πεινῶσι. καὶ οὐκ ἐμπίπτουσιν αὗται αἱ διαθέσεις, εἰ μὴ μετὰ αἰσθήσεως. τούτου ἄρα θαυμάσιος μέν, οὐ μὴν φαῦλος πλανᾶται σκοπός, ὅς καὶ τὰ φυτὰ αἰσθάνεσθαι καὶ ἐπιθυμεῖν ἐδόξασεν. ὁ δὲ Ἀναξαγόρας, καὶ ὁ Δημόκριτος, καὶ ὁ Ἐμπεδοκλῆς, καὶ νοῦν καὶ γνῶσιν ἔχειν εἶπον τὰ φυτά. ἡμεῖς δὲ τὰ τοιαῦτα ὡς φαῦλα ἀποτρεπόμενοι, τοῦ ὑγιοῦς ἐχώμεθα λόγου. λέγομεν οὖν, ὅτι τὰ φυτά, οὔτε ἐπιθυμίαν, οὔτε αἴσθησιν ἔχουσιν. ἡ γὰρ ἐπιθυμία, οὐκ ἔστιν εἰ μὴ ἐξ αἰσθήσεως. καὶ τὸ τοῦ ἡμετέρου δὲ θελήματος τέλος, πρὸς τὴν αἴσθησιν ἀποστρέφεται. οὐχ εὑρίσκομεν γοῦν ἐν τοῖς τοιούτοις αἴσθησιν, οὔτε μέλος αἰσθανόμενον, οὔτε ὁμοιότητα αὐτοῦ, οὔτε εἶδος διωρισμένον, οὔτε τι ἀκόλουθον τούτῳ, οὔτε προφανῆ κίνησιν, οὔτε ὁδὸν πρός τι αἰσθητόν, οὔτε σημεῖόν τι, δι' οὗ ἂν κρίναιμεν ταῦτα αἴσθησιν ἔχειν, καθὼς καὶ σημεῖα, δι' ὧν ἐπιστάμεθα ταῦτα καὶ τρέφεσθαι καὶ αὐξάνεσθαι εὑρίσκομεν. οὐδὲ συνίσταται παρ' ἡμῶν τοῦτο, εἰ μὴ διότι τὸ θρεπτικὸν καὶ αὐξητικὸν νοοῦμεν μέρη εἶναι τῆς ψυχῆς. ὁπόταν γοῦν τὸ τοιοῦτο φυτὸν εὑρίσκωμεν τὸ μέρος ψυχῆς τοιαύτης ἐν ἑαυτῷ ἔχειν, ἐξ ἀνάγκης νοοῦμεν καὶ ψυχὴν ἔχειν αὐτό· ὅτι δὲ στερεῖται αἰσθήσεως, τό, τι αἰσθητικὸν αὐτὸ μὴ εἶναι, μὴ ἐγχωρεῖν οὐ δεῖ. ἡ γὰρ αἴσθησις αἰτία ἐστὶν ἐλλάμψεως ζωῆς. τὸ δὲ θρεπτικόν, αἰτία ἐστὶν αὐξήσεως πράγματός τινος ζῶντος. αὗται δὲ αἱ διαφοραὶ προβαίνουσιν ἐν τῷ τόπῳ τούτῳ, ὅτι δυσνόητον ἐν τῷ μεταξὺ ζωῆς καὶ τῆς στερήσεως αὐτῆς, μέσον τι καταλαβεῖν. εἴποι δέ τις ἄν, ὡς ἐπεὶ τὸ φυτὸν ζῶόν ἐστιν, ἤδη τοῦτο καὶ ζῶον, εἴπομεν ἂν οὐδαμῶς. καὶ γὰρ δυσχερές ἐστι τὴν διοίκησιν τοῦ φυτοῦ ἀποδιδόναι, τῇ διοικήσει τῆς ψυχῆς τοῦ ζώου. τὸ γὰρ τὰ φυτὰ τοῦ ζῆν ἀποφάσκειν οὕτως, τοῦτο ἐστὶν ὅτι οὐκ αἰσθάνονται. καὶ γάρ εἰσι καί τινα ζῶα γνώσεως ἐστερημένα. ἐπεὶ δὲ ἡ φύσις τὴν τοῦ ζώου ζωὴν ἐν τῷ θανάτῳ φθείρουσα πάλιν ἐν τῷ ἰδίῳ γένει, ταύτην διὰ γενέσεως συντηρεῖ, πάντῃ ἀσύμφωνόν ἐστιν, ἵνα μέσον ἐμψύχου τε καὶ ἀψύχου, ἄλλο τι μέσον τιθῶμεν. ἐπιστάμεθα ὅτι καὶ τὰ κογχύλια εἰσὶ ζῶα, γνώσεως ἐστερημένα. διότι εἰσὶ φυτὰ ἐν τούτῳ καὶ ζῶα. μόνη ἄρα ἡ αἴσθησις ἐστὶν αἰτία, δι' ἣν ταῦτα λέγονται ζῶα. τὰ γὰρ γένη διδόασι τοῖς οἰκείοις εἴδεσιν, ὀνόματα καὶ ὁρισμούς. τὰ δὲ εἴδη τοῖς οἰκείοις ἀτόμοις ὀνόματα, δεῖ τε τὸ γένος ἐκ μιᾶς καὶ κοινῆς αἰτίας εἶναι ἐν τοῖς πολλοῖς, καὶ οὐκ ἐκ πολλῶν. ὁ λόγος δὲ τῆς αἰτίας, δι' ἣν βεβαιοῦται τὸ γένος, οὐ τῷ τυχόντι ἐστὶ γνώριμος. πάλιν εἰσὶ ζῶα, ἅπερ στεροῦνται γένους θήλεος, ἕτερα ἅπερ οὐ γεννῶσιν, ἕτερα ἅπερ κίνησιν οὐκ ἔχουσι. καὶ εἰσὶν ἄλλα διαφόρων χρωμάτων, καὶ εἰσί τινα ἃ ποιοῦσι τόκον ἑαυτοῖς ἀνόμοιον. εἰσί τε ἄλλα, ἃ αὐξάνουσιν ἐκ τῆς γῆς, ἢ ἐκ δένδρων. τίς οὖν ἐστὶν ἡ ἀρχή, ἡ ἐν τῇ ψυχῇ τοῦ ζώου; τί ἄλλο, εἰ μὴ τὸ εὐγενὲς ζῶον, ὃ τὸν οὐρανὸν περιοδεύει, τὸν ἥλιον, τὰ ἄστρα, καὶ τοὺς πλανήτας. τὰ ἐκ τῆς γινομένης ἐξωτερικὰ ἀμφιβολίας, ἃ δὴ καὶ ἀπαθῆ εἰσιν. ἡ γὰρ αἴσθησις, τῶν αἰσθανομένων πάθος. ἴστον δέ, καὶ ὅτι οὐκ ἔχουσι τὰ φυτὰ κίνησιν ἐξ ἑαυτῶν. τῇ γὰρ γῇ εἰσὶ πεπηγότα. ἡ δὲ γῆ, ἀκίνητός ἐστι. συλλογισώμεθα τοίνυν, πόθεν ἂν ταύτῃ ζωήν, ἵνα ποιήσωμεν καὶ αὐτὰ αἰσθητικά. οὐ γὰρ περιέχει ταῦτα, ἓν πρᾶγμα κοινόν. λέγομεν δέ, ὅτι τῆς ζωῆς τῶν ζώων κοινή ἐστιν αἰτία, ἡ αἴσθησις. αὕτη δὲ ποιεῖ διάκρισιν, μέσον ζωῆς καὶ θανάτου. ὁ οὐρανὸς δέ, ἐπεὶ ἔχει διοίκησιν ἐγρηγορεστέραν καὶ ἀξιολογωτέραν τῆς ἡμετέρας διοικήσεως, ἀπεμακρύνθη τούτων. δεῖ τοίνυν, ἵνα τὸ ζῶον τὸ τέλειον, καὶ τὸ ἠλαττωμένον, ἔχῃ τι κοινόν, καὶ τοῦτο ἐστὶν ὁ σκοπὸς τῆς ζωῆς, τῇ ταύτης γοῦν στερήσει δεῖ, ἵνα πρό τις ἀποχωρῇ τῶν τοιούτων ὀνομάτων, ὅτι οὐκ ἔστι μέσον. ἡ δὲ ζωή, ἔστι μέσον. τὸ γὰρ ἄψυχον οὐκ ἔχει ψυχήν, οὐδέ τι τῶν μερῶν αὐτῆς. τὸ δὲ φυτόν, οὐκ ἔστιν ἐκ τῶν στερουμένων ψυχῆς, ὅτι ἐν αὐτῷ ἐστί τι μέρος ψυχῆς. ἀλλ' οὐκ ἔστι ζῶον, ὅτι οὐδὲ αἴσθησις ἐν αὐτῷ. ἐξέρχεται δὲ ἐκ ζωῆς εἰς μὴ ζωὴν κατὰ βραχύ, ὡς καὶ τὰ καθ' ἕκαστον. δυνάμεθα δὲ καὶ ἄλλως λέγειν, ὅτι ἔμψυχον τὸ φυτόν, καὶ οὐ λέγομεν ὅτι ἄψυχον. εἰ

νυζα, καὶ εἰς κοινὴν προὔθεμεν τὴν βίβλον τοῖς αἱρουμένοις ἀπόλαυσιν, πολλὴν εὑρὼν τὴν δυσχέρειαν, καὶ τὴν τῶν νοημάτων σύγχυσιν, διὰ τὰς συχνὰς τῶν μεθερμηνεύσεων μεταβολάς, ἐκ τῆς ἡμετέρας εἰς τὴν τῶν ἰταλῶν, εἰς τοὺς ἄῤῥαβας ἐκεῖθεν, καὶ πάλιν ἐξ ἀῤῥάβων εἰς ἰταλούς, καὶ εἰς ἡμᾶς ἐκ τούτων ἐπανιέναι. οὐ γὰρ διπρόσωπος, ὅσον ἐπὶ ταύτῃ τῇ βίβλῳ, ὁ Σταγειρίτης ὤφθη, κατὰ τὸν θρυλλούμενον ἰανὸν ἐκεῖνον, ὃν καὶ εἰς χρόνον ἄγει λόγος ἰχνός, ἀλλὰ πολύμορφος, κατὰ τὸν πρωτέα τὸν φάριον. ἐπεὶ δὲ πᾶσα διάλεκτος ἐκ μιᾶς πρὸς ἑτέραν μεταφερομένη διάλεκτον, ἢ κατὰ λέξιν ἢ κατ᾽ ἔννοιαν προχωρεῖ, καὶ ἡ μὲν ὑγιᾶ τὸ σαφὲς ἔχουσα, τοῦ ἀκριβοῦς ἀπολείπεται, ἡ δ᾽ ἑτέρα καὶ προτέρα, προσόντος τοῦ ἀκριβοῦς, εἰς ἀσάφειαν καταστρέφεται, ἡμεῖς ὡς ἀσφαλεστέρῳ τούτῳ τῷ μέρει καὶ ἀδιαβλήτῳ στοιχοῦντες, καθὼς καὶ ἐν ἑτέροις πεποιήκαμεν δι᾽ ἄλλοις, τῆς ἀκριβείας ἐχόμεθα. ἵνα δὲ μὴ φαινοίμεθα καὶ χώραν τῇ ἀσαφείᾳ διδόντες, τὴν κακίαν παντελῶς τοῖς λόγοις ἐγνώκαμεν, ἐπανερμηνεύσαντες ποι καὶ σχολικαῖς παρασημειώσεσιν, εἴ τί που ἐκ τῆς ἀσαφείας ἄχαρι καὶ ἀτερπές, ἐψυχαγωγήσαμεν. κἀκ τῆς σκληρᾶς καὶ τραχείας ὁδοῦ λογικοὺς ὁδίτας, εἰς τὴν λείαν τε καὶ πλατεῖαν ἐχειραγωγήσαμεν. καὶ τὴν εὐχαριστίαν τῷ ὑπὲρ ἡμᾶς, καὶ τὴν ὡς εἰκὸς ἀνθομολόγησιν ἀπονείμαμεν. τοῦτο γὰρ ἀφ᾽ ἡμῶν ἀπαιτεῖ τῶν ὑπὸ χεῖρα ὁ μόνος σοφὸς καὶ δυνατὸς θεός, κατὰ τὸν θεῖον Ἀπόστολον. τίνος γὰρ ἄλλου δεῖται παρ᾽ ἡμῶν, ὃς διὰ ἑνὸς τῶν προφητῶν περὶ ἑαυτοῦ λέγει, τὸν οὐρανὸν πληρῶ, καὶ τὴν γῆν, καὶ οὗ ἡ οἰκουμένη, καὶ τὸ πλήρωμα αὐτῆς, κατὰ τὸν Δαβίδ, καὶ μεθ᾽ οὗ πᾶς ἀγρὸς παντοίοις ὡραϊσμένοις φυτοῖς.

BIBLIOTECA NAZ. ... ROMA

ΤΟ ΠΕΡΙ ΦΥ-
ΤΩΝ ΤΟΥ ΑΡΙΣΤΟΤΕΛΟΥΣ

Βιβλίον πρῶτον.

Η ΖΩΗ ΕΝ τοῖς ζώοις καὶ ἐν τοῖς φυτοῖς εὑρέθη. ἀλλ᾽ ἐν μὲν τοῖς ζώοις φανερὰ καὶ πρόδηλος· ἐν τοῖς φυτοῖς δὲ, κεκρυμμένη, καὶ οὐκ ἐμφανής. εἰς τὴν ταύτης γοῦν βεβαίωσιν πολλὴν ἀνάγκη δεῖ, ζήτησιν προσαγάγεσθαι. συνίσταται γάρ, πότερον ἔχουσιν ἢ οὐχὶ τὰ φυτὰ ψυχήν, καὶ δύναμιν ἐπιθυμίας, ὀδύνης τε καὶ ἡδονῆς καὶ διακρίσεως. Ἀναξαγόρας μὲν οὖν καὶ Ἐμπεδοκλῆς, ἐπιθυμίᾳ ταῦτα κινεῖσθαι λέγουσιν, αἰσθάνεσθαί τε καὶ λυπεῖσθαι, καὶ ἥδεσθαι διαβεβαιοῦνται. ὧν ὁ μὲν Ἀναξαγόρας καὶ ζῶα εἶναι, καὶ ἥδεσθαι, καὶ λυπεῖσθαι εἶπε, τῇ τε ἀποῤῥοῇ τῶν φύλλων, καὶ τῇ αὐξήσει τοῦτο ἐκλαμβάνων. ὁ δὲ Ἐμπεδοκλῆς, γένος ἐν τούτοις κεκραμένον εἶναι ἐδόξασεν. ὡσαύτως καὶ ὁ Πλάτων ἐπιθυμεῖν μόνον αὐτά, διὰ τὴν σφοδρὰν τῆς θρεπτικῆς δυνάμεως ἀνάγκην, ἔφησεν. ὃ ἐὰν συσταίη, ἥδεσθαι ὄντως αὐτὰ καὶ λυπεῖσθαι, αἰσθάνεσθαί τε σύμφωνον ἔσται. ἂν δὲ συσταίη τοῦτο, τὸ ἐπιθυμεῖν, εἰ καὶ ἀεὶ τοῦ ὕπνου ἀνακτῶνται, καὶ ἐγείρονται ταῖς ἐγρηγόρσεσι σύμφωνον ἔσται. ὡσαύτως καὶ ἐὰν ζητήσωμεν, εἰ πνοὴν καὶ γένος ἐκ συγκράσεως ἔχουσιν, ἢ τὸ ἐναντίον, πολλὴν ἂν τὴν περὶ τούτου ἀμφιβολίαν, καὶ μακρὰν ποιήσωμεν τὴν ζήτησιν. τὸ δὲ τὰ τοιαῦτα παραλιμπάνειν, καὶ μὴ διαναλύτως περὶ τὰ καθ᾽ ἕκαστον ἐρευνᾶν ἐνδιατρίβειν, πρέπον ἐστί. τινὲς δὲ ἔχειν ψυχὰς τὰ φυτὰ εἶπον, ὅτι γεννᾶσθαι, τρέφεσθαι, καὶ αὐξάνεσθαι, νεάζειν καὶ χλοάζειν, γήρᾳ τε διαλύεσθαι τεθεωρήκασιν. ἐπεὶ ὅπερ οὐδὲν ἄψυχον ταῦτα μετὰ

τῶν φυτῶν

ΑΝΩΝΥΜΟΥ ΤΙΝΟΣ ΕΙΣ ΤᾺ ἈΡΙΣΤΟΤΈΛΟΥΣ ΠΕΡῚ φυτῶν προοίμιον.

Τῷ τῆς ἀριστοτελικῆς ἁπαλῷ φιλοσοφίας λειμῶνι, πολλοὶ μὲν καὶ ἄλλαι δένδρων κατὰ τὰ εὐγενῆ παραπεφύκασι τῶν φυτῶν, παμφόρους μὲν οἷς θεωροῦμεν, πολύχοας δὲ καὶ οἷς διαπραττόμεθα, πεποιημένας τοὺς καρπούς. ἓν δὲ πρὸς ταῖς ἄλλαις, καὶ ἡ περὶ τὴν ὅσα καὶ φυτῶν, εὐφυὲς βραχὺ μὲν, ἀλλὰ συχνοῖς τὰ λοιπὰ χαρίεσι βρύον, καλλίστοις ἐκφορίοις τοὺς τῶν λόγων ἐραστὰς δεξιούμενον, οὐ μόνον λέγω τοὺς ἡμετέρους τοὺς πάνυ τοὺς περιφανεῖς, τὰ τῶν λόγους καὶ τὴν σοφίαν ἀπαραμίλλους, καὶ τὴν σύνεσιν αὔσονας, ἀλλὰ καὶ τοὺς ἐκ μοίρας ἰταλιωτικῆς. καὶ οὐ τούτους μόνον, ἀλλὰ καὶ ὅσους τοιούτους εἶδε τῶν εὐδαιμόνων ἀρράβων τρόφον, καὶ τὴν ἰνδῶν. συχνὸν γὰρ ἐνέβαλεν ἵμερον τῶν ἑαυτοῦ συγγραμμάτων τοῖς ὁπουδήποτε φιλοσόφοις, ὁ ἐκ Σταγείρων ΑΡΙΣΤΟΤΕΛΗΣ φιλόσοφος. ἀλλὰ τοιοῦτον φυτὸν οὐκ οἶδ᾽ ὅπως οὐ μόνον ἔν τινι πέπονθε παρ᾽ ἡμῖν ἀλλοίωσιν ἴσως, τάχα περὶ τὸ χεῖρον (οἷα φιλεῖ ὁ χρόνος ποιεῖν) ἀλλὰ καὶ περιειλυμένον ἐκκοπῇ. * τὸ μὲν ὡς ἀποστροφὴν, ὡς οὐδ᾽ ἂν ποτε φυτευσόμενον οἶδεν, οὐδ᾽ ἡμῖν περιστάλθεν τῶν φῶς. ὑπέστη τε ἴσα καὶ ἰταλὸς μακρῶν χρόνων σὺν ἡμῖν χηρεύων τοῦ χρήματος. τοῖς ἄραψιν ἐγνωρίζετο μόνοις, οἵτινες τὸν τούτου καρπὸν ἀφθόνως ἀπήλαυον. ἀλλά τις κελτὸς μὲν τὸ γένος, τῶν τοσούτων δὲ περὶ τῶν ἰταλῶν σοφίας ἐλάσας, ὡς τῶν πρωτείων παραχωρεῖν μηδενί, εἶτα βραχὺ πρὸς καίπερ ὤν, μὴ τοσοῦτον καθ᾽ ἑαυτὸν οἰκεῖος, ἂν μὴ καὶ τὴν τῶν ἀρράβων μετὰ τῶν λατίνων μεταλάβῃ γνῶσιν, καὶ τὴν καλλίστην ἕξιν ἀσκήσειεν, ὅλος γίνεται καὶ τοῦ ἔργου. καὶ εἰς πεῖρας τὴν γνώμην ἀγαγὼν θέλει, καὶ τυχεῖν παντοίως τοῦ ἐφετοῦ. εἵλετο λοιπὸν τὴν ἀλλοδαπὴν, χρῆται τοῖς ἄραψι παιδευταῖς, καὶ τῇ εὐφυΐᾳ συμμετρήσας σπουδὴν, τοσοῦτον εὐμοιρῆσαι παιδείας φασὶν, ὡς δυνᾶσθαι τὰ τῶν ἀρράβων εἰς ἰταλοὺς, καὶ τὰ τῶν ἰταλῶν μεταπορθμεύειν εἰς ἄρραβας. οὗτος οὖν πρός τισιν ἄλλαις, καὶ τὴν περὶ φυτῶν τήνδε βίβλον μεθερμήνευσε. ἐκ τῶν λογικῶν ἀρραβικῶν λειμώνων, ὅσα καὶ φυτὸν εὐγενὲς, εἰς τὰς ἰταλικὰς μετακομίσει φυταλιάς. ἔχαιρε γοῦν ἰταλὸς ἐπὶ τούτῳ, καὶ τὰ μεγάλα ἐκόμπαζε. ταῖς ἀριστοτελικαῖς γὰρ φιλοτιμεῖσθαι βίβλοις ὑπὲρ πάντας βρενθύεται. καὶ τοσοῦτον ἐνεκαυχᾶτο τῷ χρήματι, ξέρξης οὐχ ἧττον ἐκεῖνος, εἰς ὃν ἀπεσκιάσθη, καὶ τὴν χρυσίαν ἐδέξατο πλάτανον. ἦλθεν εἰς ἐπιθυμίαν μακρὸς ἐξ ὅτου χρόνος κἀγὼ τοῦ φυτοῦ. λόγοι γάρ μοι τὸν τοῦ κόσμου πάντων χρῆμα τὸ τιμιώτατον, ἐπόθουν ἐμφορηθῆναι τὸν τούτου καρπῶν, τῶν νοημάτων εἰς ἕξιν ἐλθεῖν. ἐψυχαγώγει μοι τὴν ἐπιθυμίαν ἐλπὶς, καὶ τὴν ἐλπίδα πάλιν εὐχὴ διεδέχετο. ἀλλὰ μέχρι πολλοῦ τὰ περὶ ἐπιθυμίας ἀτέλεστα, ἡ ἐλπὶς, καὶ μόνον ἐλπὶς, τὰ δὲ περὶ εὐχῆς ἐπιτέταται. τί δ᾽ ἡ τῶν ἀγαθῶν ἁπάντων παντελὴς αἰτία καὶ ὑπερτελὴς καὶ προτέλειος ἀρχὴ μίαν τῇ ἐπιθυμίᾳ χορηγεῖ, τῇ ἐλπίδι πέρας, καὶ τὰ περὶ αἰτήσεως τῇ εὐχῇ. ἰταλὸς γάρ τις ἐκ ποθεν ἡμῖν αἰφνιδίως ἀναφανεὶς, ἱκανῶς ἔχων λογικῆς παιδείας καὶ γνώσεως, πρόσεισι τῶν ἡμᾶς. ἀσπάζεται χαρίεντος, τὰ φιλικὰ προσλαλεῖ. εἶτα τὴν ποθουμένην βίβλον ἡμῖν ἐγχειρίζεται, ἀνεφάνθην αὐτὸς, ὡς ἐφ᾽ ἑρμαίῳ τῷ χρήματι. ἐδεξάμην τὴν βίβλον ἐκθύμως, ὅλως αὐτῆς ἐγγενόμενος, τὸν ἐγκείμενον νοῦν ἀνελεξάμην ἐπιμελῶς. καὶ οἷον ὡς ἐν ἐσόπτρῳ τῷδε, πρώτης αὐτῆς βαλβῖδος, τὸν ἀριστοτέλους ἔγνων, καὶ τοὺς ἀριστοτελικοὺς κατὰ τῶν πάλαι φιλοσόφων ἀντιλογικοὺς ἐτασμούς. ἀδικεῖν δ᾽ ᾠήθην μὰ τοὺς λόγους, τοὺς λόγους αὐτοὺς καὶ τοὺς αὐτῶν ἐραστὰς, καὶ γραφῆναι βασκάνου ψυχῆς εὐλαβήθην, εἰ μὴ ταύτην ἱκανῶς ἔχων ἀπὸ τῆς ἄνωθεν χάριτος πρὸς τὴν ἑλλάδα μεθερμηνεύσαιμι γλῶτταν, καὶ ταῖς λοιπαῖς ἀριστοτελικαῖς δέλτοις δείξαιμι συνηρμοσμένην. τῷ τοι καὶ σὺν θεῷ τὸ ἔργον διή-

αὐτῇ τῇ κοινωνίᾳ. ἐμμένει γὰρ μᾶλλον διὰ τὸ σφοδρῶς ἀποβάλλεσθαι καὶ εἰς βάθος, καὶ οὐχ ὥσπερ ξηρᾶς οὔσης ἐπιπολῆς, οὐδ᾽ αὖ πηλώδους, ὥσπερ ἐφ᾽ ὕδασι καὶ νότοις. ἐναντία γὰρ καὶ τὰ πνεύματα καὶ τὰ ὕδατα, καὶ ἀπόλλυσιν ἄμφω τὰς ὀσμάς. ἀλλὰ δεῖ καθάπερ ἀρμάγματα τῶν δακτυλίων μέσην τινὰ ἔχειν κρᾶσιν. καὶ περὶ μὲν τούτων ἅλις. ἐπεὶ δὲ τὰ μὲν ἥμερα, τὰ δ᾽ ἄγρια τῶν εὐόσμων, οὐκ ἀπολείπει πρὸς τὸ γένος ὅλως τὸ εὐοσμότερον, καθάπερ τὸ ῥόδον· ἔνια δὲ τὸ ἄγριον, ὥσπερ τὸ ἴον τὸ μέλαν, καὶ ὁ κρόκος. ὁ δ᾽ ἕρπυλλος, καὶ τὸ ἑλένιον, δριμύτερα· καθάπερ καὶ τῶν λαχανωδῶν, τὸ πήγανον. αἴτιον δὲ, ὡς μὲν ἁπλῶς καθόλου, τὸ καὶ πρότερον λεχθὲν, ὅτι τὴν συμμετρίαν ἑκάτερα λαμβάνει δι᾽ ἑκατέρων τῆς ὑγρότητος καὶ ξηρότητος, ἐξ ὧν αἱ ὀσμαί. ὡς δὲ καθ᾽ ἕκαστα, φανερὸν ἐπισκοποῦσι. τὸ μὲν γὰρ ἴον τὸ μέλαν, καὶ ὁ κρόκος, ὅτι πολλῆς δεῖται τροφῆς, ἐξ αὐτοῦ δ᾽ ἱκανήν· κεφαλόρριζα γάρ. ὥστ᾽ ἐν τοῖς ἡμέροις ἡ πλείων ἀπεπτοτέρα. διὰ τοῦτο γὰρ καὶ τῶν μὲν τέφραν περιβάλλουσι, τὰ δὲ πατοῦσι. τὸ δὲ ῥόδον καὶ ὁ ἕρπυλλος, καὶ ὅσα ὅμοια τούτοις, ἄγρια μὲν ὄντα ξηρότερα τοῦ συμμέτρου γίνεται. διὸ τὸ μὲν ῥόδον ἀωδὲς, οἷον τὸ ἄοδμον ἄνικμον ὄν. οὐδὲ γὰρ τὸ ἴον τὸ λευκὸν ἐν ταῖς ἄγαν ξηραῖς καὶ λεπταῖς εὔοσμον, οὐδ᾽ ὅπου θερμὸς σφόδρα καὶ ἔμπυρος ὁ ἀήρ· ἀναξηραίνει γάρ. ὁ δ᾽ ἕρπυλλος καὶ τὸ ἑλένιον, καὶ τἆλλα τὰ τοιαῦτα, διὰ τὴν ξηρότητα δριμείας γ᾽ ἂν ἴσχει καὶ σκληρὰς τὰς ὀδμάς· ἡμερούμενα δὲ, μαλακωτέρας. ἡ δὲ συμμετρία, διότι καὶ πέψιν ποιεῖ καὶ εὐοσμίαν, φανερόν. ἐπεὶ καὶ τῶν εὐωδῶν ὀσμαὶ, πρὸς τὴν κατὰ φύσιν καὶ τῇ τοῦ ἀέρος εὐκρασίαν ἀπαιτοῦσιν, ὥστ᾽ ἀναμίγνυσθαι μήτε κωλύεσθαι μηδ᾽ ὑφ᾽ ἑνός. ἔοικε γὰρ τοιοῦτόν τι συμβαίνειν καὶ περὶ τὰ ἴχνη τῶν λαγωῶν, ὡς ἀρτίως ἐμνήσθημεν. οὔτε γὰρ θέρους εὔοσμα, οὔτε χειμῶνος, οὔτε ἦρος, ἀλλὰ μάλιστα τοῦ φθινοπώρου. χειμῶνος μὲν γὰρ ὑγρά, θέρους δ᾽ οὖν ξηρανθέντα· διὸ καὶ μεσημβρίας χείριστα. τοῦ δ᾽ ἦρος αἱ τῶν ἀνθῶν ὀσμαὶ παρενοχλοῦσι. τὸ δὲ μετόπωρον σύμμετρον ἔχει πρὸς ἅπαντα τὴν ὅρασιν. περὶ μὲν οὖν ὀσμῶν καὶ χυλῶν τῶν ἐν τοῖς φυτοῖς καὶ καρποῖς, ἐκ τούτων θεωρητέον. ὅσα δ᾽ ἴδια κατὰ τὰς μίξεις καὶ τὰ πάθη πρὸς ἄλληλα, καὶ τὰς δυνάμεις, ταῦτα καθ᾽ αὐτὰ λεκτέον.

ΤΕΛΟΣ.

πάντα γὰρ ταῦτα ξηρότητος. τὸ δὲ ξηρὸν, ὀλίγον ὑγρὸν ἔχει. τὸ δ' ὀλίγον εὐπεπτότερον, ἡ δ' εὐωδία ἐν πέψει τῇ πρὸς ὄσφρησιν· αὕτη δὲ ἀγλυκὴς, καὶ οὐκ εὔχυλος. ἐπὶ μὲν οὖν τῶν φυτῶν ταῦτα προϋπάρχοντα. ἐπὶ δὲ τῆς ἐλάφου καὶ τῆς αἰγὸς, ὅτι τὸ μὲν ξηρὸν, ὁ δ' ἀὴρ μαλακός, ἄμφω δὲ ταῦτα εἰς πέψιν, ὁ μὲν τῷ συμπέττειν, ὁ δὲ τῷ καθυγραίνειν. ἐπεὶ καὶ ἐντοῦθα αἱ ἄγριαί τε τῶν ἡμέρων εὐοσμότεραι, καὶ αἱ ἐν προσείλοις τῶν ἐν παλισκίοις, καὶ μάλισθ' αἱ πρὸς μεσημβρίαν· ἅπασαι δ' αὗται τροφὴν ἐλάττω καὶ τὸ πέττειν πλεῖον ἔχουσιν. διὸ καὶ οὐδ' αὐξοῦσιν εἰς μῆκος, ἀλλὰ θαμνωδέστεραι. καὶ γὰρ πάχος λαμβάνουσι, καὶ σχίζονται μᾶλλον, διὰ τὸ πολλὰς λαμβάνειν ἀρχὰς πέττοντος τοῦ θερμοῦ, καὶ μείζονται πανταχῇ. † τὸ δ' ἐν τοῖς παλισκίοις εἰς ἓν μόνον ἡ ὁρμή. διὸ καὶ μάκη μὲν αἱ ῥάβδοι μᾶλλον λαμβάνουσι, πάχη δ' οὔ. καὶ ἐκ τούτων αἱ βακτηρίαι, καθάπερ ἄλλοθί τε καὶ ἐν Κισσῷ. κοινὸν δὲ τοῦτο ἴσως ἐστὶ πάντων τῶν δένδρων ἐστί. λοιπὸν δ' οὖν εἰπεῖν, διὰ τί ταῦτα οὐκ εὐώδη. τούτου δ' αἰτιατέον δρόσον τὴν πρόσειλον. αὕτη δὲ πολλὴ πίπτουσα, καθυγραίνεται τὰ μὲν ἄνθη καὶ ὑγρότερα τὴν φύσιν ὄντα, μᾶλλον· τὰ δὲ ἄμικτα καὶ ξηρὰ, ἐλάττω, καὶ ἀσθενέστερα· διὸ καὶ κρατεῖ τι μᾶλλον ἐπὶ τοῦ αὐτοῦ ὑγρότητος. ὁ δὲ μύρρινος· συμβαῖον δὲ καὶ τὸ εἰρημένον ὑπὲρ αὐτοῦ· μικρόκαρπος γὰρ εἶναι δοκεῖ, διὰ τὸ μὴ λαμβάνειν τὸ περὶ κεφαλῆς ὕδωρ ἱκανόν. ὥστε τῆς μυρρίνης, διὰ τούτου πειρατέον ἀναζητεῖν τὰς αἰτίας.

Τῶν δ' ἐν τοῖς ψυχροῖς εὐόσμων, τὴν θερμότητα τὴν ἐν τῇ γῇ νομιστέον εἶναι. πανταχοῦ γὰρ θερμὸν τὸ πέττον, ἄλλο τε μὲν εὐθὺς προσαπέπτον, ὅτε δὲ κατακλειόμενον· ὥσπερ καὶ ἐν τῇ τῆς ὀπώρας συμπαύσει. παραπλήσιον γὰρ τὸ συμβαῖνον. ἀντιπεριϊσταμένη γὰρ ἡ θερμότης εἰς τὴν γῆν, καὶ συναλειφομένη, πέττει. δεῖ δὲ καὶ τὴν γῆν μήτε παλαιὰν, μήτε πίειραν εἶναι, μήτε γλίσχραν. καὶ διὰ τὴν ὑγρότητα οὐχ ὁμοίως ἐργάζεται τὸ θερμόν· ἀλλὰ μὴ τοιαύτην, ὥστε μήτε τὸ ἐκ τοῦ ἀέρος δέχεσθαι ψυχρόν, τό, τε ἐν αὐτῇ θερμὸν ἀποστέγειν καὶ τηρεῖν. διὰ τοῦτο γὰρ καὶ ἐν τῇ Ἰλλυρίδι βελτίων ἡ ἶρις, ἢ ἐν Μακεδονίᾳ· ἐν δὲ τῇ Θρᾴκῃ, καὶ ταῖς ἔτι ψυχροτέραις ἅμα καὶ ἀπεπτοτέραις † ἄλλως ἄοσμος. καὶ γὰρ ἡ γῆ πίειρα, καὶ ἡ ὑγρότης πολλὴ, καὶ ὁ χειμὼν ἔκτοπος. ἐν δὲ ταῖς ἀλεειναῖς λεπταῖς, διὰ τὴν μαλακότητα τοῦ ἀέρος ἄοσμος. οὐκ ἴση γὰρ ἡ ἀντιπερίστασις. ἐξ ἀμφοῖν δὲ ζητητέον, ὥσπερ καὶ ἐν τοῖς ὑπὲρ γῆς εὐόσμοις, καὶ ἐκ τοῦ ἐδάφους καὶ ἐκ τοῦ ἀέρος, τὰς δυνάμεις τὰς εἰς τὴν πέψιν συνεργούσας. ὑπὲρ μὲν οὖν τούτων ἱκανῶς εἰρήσθω. τὰς δ' ὀσμὰς ἤδη δὲ τὰς ἀπ' ἀλλήλων οἱ καρποὶ μὲν οὐχ ἕλκουσιν, οὐδ' ὅλως οὐδὲν τῶν ἐν τοῖς φυτοῖς μορίων, ὥστε γε καὶ ποιεῖν τι δῆλον. ὥστε καὶ παραφυτεύομεν γ' ἔνια τῶν δριμέων, οἷον κρόμμυα καὶ σκόροδα, τοῖς στεφανώμασι. φασὶ γὰρ ὠφελεῖν εἰς εὐωδίαν. τοῦτο δ' εἴπερ ἀληθές, δυοῖν θάτερον αἰτιάσαιτ' ἄν τις. ἢ ὡς τὸ κακῶδες ἀφαιρουμένων· ἕκαστον γὰρ δεῖ τρέφεσθαι τῷ οἰκείῳ, καὶ ἕλκειν τὸ συγγενές· ἀφαιρεθέντος δὲ τοῦ ἀλλοτρίου, καθαρώτερον καὶ εὐωδέστερον τὸ λοιπόν. ἢ ὡς καταξηραινόντων τὸν τόπον, διὰ τὴν θερμότητα καὶ πολυτροφίαν· ἐν δὲ τοῖς ξηροῖς, ἅπαντα εὐοδμότερα. τοῦτο μὲν οὖν ὡς ἂν καθ' ὑπόθεσιν εἰρήσθω. οἱ δὲ χυλοὶ χωρισθέντες ἕλκουσι, καὶ μάλιστα τό, τ' ἔλαιον καὶ οἶνος· ὃ δὴ καὶ ἄλογον φαίνεται, τί δή ποτε τὸ μὲν ὕδωρ, καὶ λεπτομερὲς ὂν τοῦτο, καὶ ἄοδμον, καὶ ἄχυλον, καὶ ὅλως οὖν διεκδέχεσθαι, οὐ δέχεται· ταῦτα δὲ, καὶ ἔγχυλα καὶ ὀδμώδη καὶ παχύτερα. δέχεται δὲ ὁ οἶνος καὶ μὴ ἐμβαλλομένων, ἀλλὰ πλησίον ὄντων· ἕλκει γὰρ διὰ τὸ ἔχειν τινὰ θερμότητα ἐν ἑαυτῷ· τοῦτο γὰρ ἕλκον. τὸ δ' ὕδωρ ἥκιστα ἔχει, φύσει γὰρ ψυχρόν. τὸ δὲ δεῖ δεξάμενόν τι ἅμα καὶ διατηρεῖν, μὴ οὕτω στεγνὸν ὡς λεπτόν τι καὶ φυλακτικὸν εἶναι. τὸ μὲν γὰρ δίεισιν, ὥσπερ ἠθμὸς οὐκ ἔχον ᾧ στέγει· τὸ δὲ σωματωδέστερον καὶ πυκνότερον ἐστι τὸ δέξασθαι, καὶ τηρεῖν εὐφυές, πρὸς ἄμφω συμμετρίαν ἔχει· ὅπερ ἀμφότερα τῷ οἴνῳ καὶ τῷ ἐλαίῳ συμβέβηκε. καὶ οἱ μυρεψοὶ δὲ τὰς ὀσμὰς εἰς τὸ ἔλαιον τίθενται· καὶ γὰρ ἄλλως ἁρμόττον πρὸς τὴν χρείαν, καὶ ἅμα δύναται μάλιστα θησαυρίζειν διὰ τὴν ἀμεταβλησίαν. τὸ δ' ὕδωρ εὐθὺς διαπνεῖ, καὶ ὥσπερ ἐκπλύνει καὶ δίεισιν. ἡ δὲ λεπτότης, ὥσπερ εἴπομεν, ἀχρήσιμος. ἐπεὶ οὐδ' ὁ ἀὴρ δύναται κατέχειν, ἀλλὰ διαπέμψαι μόνον.

Τῶν δὲ ξηρῶν, μάλιστα μὲν ὅσα μανὰ καὶ ἄοσμα καὶ ἄχυλα· καθάπερ ἔρια, καὶ τὰ ἱμάτια, καὶ εἴ τι ἄλλο τοιοῦτον. οὐ μὴν ἀλλὰ καὶ ὅσα χυλοὺς ἔχει, καὶ ὀσμὰς, ὥσπερ καὶ τὸ μῆλον· καὶ γὰρ τοῦτο δέχεται καὶ ἕλκει τὰς ἐκ τῶν χυλῶν ὀσμάς· ἔγχυλα γὰρ αὐτὰ μάλιστα. δεῖ γὰρ, ὡς ἁπλῶς εἰπεῖν, μήτε κατάξηρον εἶναι τὸ δεξάμενον, ὥσπερ τέφραν ἢ ἄμμον, μήτε κάθυγρον. τὸ μὲν γὰρ δίεισιν οὐχ ἅπτεται, ἐν δὲ τῷ διαχεῖται καὶ ἐκκλύζεται. διὰ τοῦτο γὰρ καὶ τὰ ἴχνη τῶν λαγῶν εὐοσμότερα ψακασθέντα μαλακῶς ὑπ'

τεταγμένας ἔχοντα τὰς μορφάς, τεταγμένα καὶ τὰ πάθη· καί τοι γε οὐκ ἐχρῆν ποιεῖν. ἀλλὰ ταῦτα μὲν οὕτω λεκτέον. ὃ δὲ καὶ μικρὸν πρότερον ἐλέχθη, καὶ νῦν πάλιν ἀποφαίνομεν ὅτι καὶ ἡ εὐοσμία καὶ ἡ εὐχυλία ζητεῖ τινα καὶ χώρας καὶ ἀέρος ποιότητα, καὶ τροφῆς. δεῖ γὰρ μήτε ὑπερβάλλειν μήτ' ἐλλείπειν, μήτε ἀλλοτρίαν εἶναι τοῖς ὑποκειμένοις τὴν τροφήν. ὡς τὸ μὲν πλῆθος κωλύει τὴν πέψιν. τὸ δ' ἐνδεὲς οἷον ὕλην οὐκ ἔχει· τὸ δὲ μὴ οἰκεῖον, οὐ ποιεῖ τὸ τῆς φύσεως. ὥσπερ δὲ μάλιστα ἐν τῷ ποιόν τι ποιεῖν τὸ ἔδαφος ἐστὶ, καὶ τὸν ἀέρα, καὶ τὴν θερμότητα τοῦ ἡλίου· ταῦτα γάρ ἐστι τὰ τὰς τροφὰς καὶ τὰς πέψεις οἵας δεῖ ποιοῦντα· πρὸς ἑτέρους δὲ καρποὺς καὶ χυλοὺς ἑτέρα καὶ διάφορος. ὅτι δὲ ἀληθὲς τὸ λεγόμενον, ἐκ πολλῶν φανερόν. ἄλλα γὰρ ἐν ἄλλῃ χώρᾳ καὶ εὔοσμα, καὶ εὔχυλα, καὶ κάρπιμα καὶ ἄκαρπα, καὶ βλαστικὰ καὶ ἀβλαστῆ· καὶ γὰρ ἐνταῦθ' ὑπὸ τὴν αἰτίαν αὐτὴν περιπίπτει, περὶ ὧν οὐδὲν ἕτερον ἤ τις αἰτιάσαιτο παρὰ τὴν ἐκ τοῦ ἀέρος κρᾶσιν, καὶ τὴν ἐκ τοῦ ἐδάφους τροφήν. καὶ γὰρ τὰ κωλύοντα καὶ αὔξοντα, ταῦτα καὶ τὰ τὴν πέψιν ποιοῦντα, καὶ εὐχυλίαν. ἐπεὶ δὲ καὶ αἱ ὀσμαὶ καὶ οἱ χυλοὶ πολυειδεῖς, διὰ τοῦτο οὐ μία κρᾶσις, οὐδὲ μία τροφὴ πᾶσι

27 πρόσφορος, ἀλλ' ἑκάστοις ἡ πρὸς τὴν ἰδίαν φύσιν. Ὅθεν καὶ ταύτης τῆς ἀπορίας λύσις, διὰ τί ποτε μᾶλλον ὄντων εὐόσμων τῶν θερμῶν τόπων, οὐχ ἅπαντα ἐν ἅπασι τοῖς θερμοῖς τὰ εὔοσμα. ἔτι μᾶλλον, διὰ τί ποτε τὰ μὲν παρὰ τοῖς ἄλλοις ἄοσμα, παρὰ τούτοις εὔοσμα, καθάπερ κάλαμος, καὶ σχοῖνος ἐν Συρίᾳ. τὰ δὲ παρὰ τοῖς ἄλλοις εὔοσμα, παρ' ἐκείνοις οὐδὲν μᾶλλον, ὡς δέ τινές φασι καὶ ἧττον. καί τι παρὰ λόγον καὶ τοῦτο μᾶλλον· ὑπὸ γὰρ τὴν λεχθεῖσαν αἰτίαν ἅπαντα ταῦτ' ἐστίν. ἡ γὰρ ἀνωμαλία τοῦ ἀέρος καὶ τῆς τροφῆς, ἑτέρων ὄντων καὶ τῶν εἰδῶν, ἄλλα πρὸς ἄλλους ἁρμόττει. διὰ τοῦτο γὰρ καὶ αὐτῆς τῆς Συρίας βραχύς τις τόπος ἐστὶ τοῦ καλάμου καὶ τοῦ σχοίνου· καὶ πάλιν τὸ ἀρβάλσαμον, καὶ τῶν ἄλλων τὰς εὐοσμίας ποιούντων, πρὸς μὲν τὴν οἰκείαν. πρὸς δὲ τὰ παρὰ τοῖς ἄλλοις εὐώδη, παραπλησίαν ἢ χείρω κρᾶσιν ἔχει· καθάπερ συμβαίνει καὶ ἐπὶ τῶν καρπῶν. οὐ γὰρ ἴσως πάντα δεῖται θερμότητος οὐδεμίας, ἀλλὰ τὰ μὲν πλείονος, τὰ δὲ ἐλάττονος καὶ μαλακωτέρας· ὥσπερ καὶ ἐπὶ τῶν ἑψομένων, καὶ ὅλως τῶν κατὰ τὰς τέχνας γινομένων. ἐνιαχοῦ δὲ καὶ τοῖς καθ' ἕκαστα εὔδηλον. ἐν Αἰγύπτῳ γὰρ χείριστα τὰ ἄνθη καὶ τὰ στεφανώματα ὡς εἰπεῖν, ὅτι ὁ ἀὴρ ὀμιχλώδης καὶ δροσοβόλος. ἐν δὲ ταῖς τοιαύταις χώραις οὐ γίνεται τὸ ὅλον εὐωδία, διὰ τὸ μὴ γίνεσθαι πέψιν· ἀλλὰ μᾶλλον ἐν ταῖς καταξήροις. ἐν ταύταις γὰρ ἐκπέττουσιν. ἐπεὶ τὰ περὶ Κυρήνην, διὰ τοῦτο εὔοσμα, τὰ δ' ἄλλα καὶ μάλιστα τὸ ῥόδον καὶ ὁ κρόκος. ἡ γὰρ χώρα λεπτὴ καὶ ξηρὰ, καὶ οὐκ ἄγαν θερμή· καθαρῷ τε γὰρ τῷ ἀέρι, καὶ εὐδίῳ. πρὸς εὐωδίαν δὲ αἱ τοιαῦται τροφαὶ συμμετρότεραι. τὸ δὲ ῥόδον, καὶ ὁ κρόκος, ὀλιγότροφα· διὸ καὶ τῶν ἄλλων εὐοσμότερα. θαυμασιώτερον δ' ἐν Αἰγύπτῳ τὸ περὶ τὰς μυρρίνας, ὅτι τῶν ἄλλων ὄντων ἀόσμων, ὑπερβάλλουσιν αὗται τῇ εὐοσμίᾳ. καὶ γὰρ ἡ ξηρότης καὶ ἡ θερμότης οὐχ ἧττον, ἀλλὰ μᾶλλον ἐν τισὶν ὑπάρχει τῶν λοιπῶν· καὶ τὰ ἄλλα δὲ σχεδὸν τὰ κατὰ τὴν αἴσθησιν. ἔστι μὲν δὴ καὶ τί γένος ἴσως, ὃ μεταφυτευόμενον εἰς ἑτέρας χώρας, οἷον κύπρον, ῥόδον, κνίδον, ἐμφαίνει τι τῆς διαθέσεως· οὐθὲν μέν τοι τῶν αὐτῶν, ἀλλὰ καὶ πλατυφυλλότερα γίνεται. λεπτὴ γὰρ ἐκείνη, καὶ τὴν εὐωδίαν οὐκ ἐγγὺς πρὸς ἐκείνην. οὐ μὴν ἀλλὰ τό γε πλεῖστον τῇ χώρᾳ τὸ αἴτιον, καὶ τὴν ἰδιότητα ποιεῖν πρὸς τὰ ἄλλα τῶν θαυμαζομένων. τὸ γὰρ αὖ πάλιν μήτε καρπὸν εἶναι μήτε λευκὴν, ἀλλὰ μέλαιναν, οὐχ ὑπεναντίον πρὸς τὴν εὐωδίαν. ἄμφω γὰρ ξηρότης. αἰτιῶνται δὲ ὡς μικρόμυρτον, διὰ τὸ μὴ γίνεσθαι τὸ οὐράνιον ὕδωρ, ὡς ἐπιζητοῦντα τὸν καρπόν. τὰς δὲ δρόσους οὐ βοηθεῖν. τοῦτο μὲν οὖν, καὶ εἴ τι τοιοῦτον ἕτερον, ὃ συμβαίνει δυνάμεις ἰδίας ἔχειν παρὰ τὰ ἄλλα κατὰ τόπους ἐνίους, ἰδιωτέρου δεῖται λόγου. ὁ γὰρ κοινὸς, ὅτι πολλὰς ἀνωμαλίας αἱ χῶραι φέρουσιν, ἀληθὴς μέν· προσεπιζητεῖ δὲ καὶ τὰς οἰκείας δυνάμεις, καὶ διαφοράς. ἔοικεν οὖν ὁμοίως καὶ τὸ ἐν Λυκίᾳ περὶ τὰς ῥόας συμβαῖνον. ὡς γὰρ ἐκεῖ περὶ τὸν χυλὸν, ἐνταῦθα περὶ τὴν ὀσμὴν ἡ δύναμις καὶ ἡ ἰδιότης. ἐκεῖ μὲν οὖν αἰτιάσαιτ' ἄν τις τὴν τοῦ ποταμοῦ γειτνίασίν τε καὶ φύσιν. ἡ γὰρ ῥόα, φίλυδρον. καὶ μεταβάλλει φασὶν ἐξ ὀξείας εἰς γλυκὺ, ἐὰν ἔχῃ πολυϋδρίαν. ὥστ' εἰ διαρρέων ὁ ποταμὸς ἅμα τῷ πλήθει καὶ τῇ ποιότητι ποιεῖ τοιαύτην μεταβολὴν, οὐδὲν ἄτοπον. ἐνταῦθα δὲ παραλαβεῖν γέ τινα δεῖ ζητεῖν ἰδίαν ‸ ἥ τις οἰκεία πρὸς τὴν εὐοσμίαν. ἔοικε δὲ μάλιστα τοιαύτη τις εἶναι, συντιθεμένων εἰς ταῦτα πάντων οἷον τοῦ τε κοινοῦ καὶ τοῦ ἰδίου γένους τῆς μυρρίνης καὶ τοῦ ἐδάφους καὶ τοῦ ἀέρος. αὐτὸ δὲ τὸ φυτὸν ὅλως ξηρὸν, καὶ τὸ γένος τοῦτο μᾶλλον τῶν ἄλλων· δῆλον δὲ ἡ στενοφυλλία, καὶ ἡ μικροκαρπία, καὶ ἡ χρόα τοῦ καρποῦ·

ἀτίαν

πάντα

εὐοσμότερα· καθάπερ καὶ τὰ ἴα δοκεῖ. τὸ δ' αἴτιον, ὅτι πρὸς μὲν τὰ πόρρω, καθαρὰ φέρεται καὶ ἀμιγὴς ἡ ὀσμή. πλησίον δ' ὄντων, ὅτι συναποφέρεταί τι καὶ ἀπὸ τῶν ἄλλων μορίων, ἅπερ οὐ διικνεῖται πρὸς τὰ πόρρω, διὰ τὸ γεωδέστερα καὶ παχύτερα εἶναι. καθόλου γάρ, ταῖς μὲν ἀσθενέσι τῶν ὀσμῶν ἡ ἀμιξία, τῶν δ' ἰσχυροτέρων ἐνίαις αἱ μίξεις αἱ οἰκεῖαι χρησιμώτεραι, καθάπερ τοῖς χυλοῖς· οἷον καὶ τῇ μυρρίνῃ δοκεῖ τῷ ἀμίκτῳ θυμιᾶσθαι, καταβραχεῖσα μελικράτῳ ἢ γλυκεῖ. μαλακωτέρα γὰρ ὀσμὴ κεραννυμένη, καὶ γλυκυτέρα γίνεται. ταὐτὸ δὲ τοῦτο συμβαίνει καὶ ἐπὶ τῶν χυλῶν. ἔνιοι γὰρ δέονται μίξεως πρὸς εὐοσμίαν. ὡς δ' ἁπλῶς εἰπεῖν, ἕως ἂν ὦσιν ὀσμαὶ πλεῖσται καὶ ἀκρατέσταται· πρὸ ἐξόδου δὲ τῆς μεσημβρίας, ἧττον· παρελθούσης δὲ τῆς μεσημβρίας, ἥκιστα, διὰ τὸ ἀναξηραίνειν τὸν ἥλιον. ὡς δ' ἐν ταῖς τῆς ἡμέρας ὥραις, ὁμοίως καὶ ἐν ταῖς τοῦ ἐνιαυτοῦ κατὰ λόγον· πλὴν εἴ τινων ὀσμαὶ καὶ περιπάνσεις τοῦ ἀέρος σύμμετροι πρὸς τὰς ὀσμάς, ὥσπερ ἐστὶ καθ' ἡμέραν ὄζειν ἐπὶ τῆς ἑσπερίδος καλουμένης. αὕτη γὰρ τῆς νυκτὸς ὄζει μᾶλλον. κατὰ δὲ τὰς ἡλικίας, οὐκ ἐν ταῖς ἄκραις, ἀλλ' ἐν ταῖς ἀκμαῖς εὐοσμότατα, μικρόν γε παρακλίνοντα τὴν ἀκμήν. οὐ γὰρ ἴσως ἡ αὐτὴ χυλοῦ καὶ ὀσμῆς πέψις. τὸ μὲν γὰρ νέον, ἅτε πλείω τροφὴν ὑπολαμβάνον, οὐ πέττει. τὸ δὲ γεγηρακός, ἐξατμίζει δι' ἔνδειαν θερμότητος. οὐ μὴν ἀλλὰ ταῦτά γε εὐοσμότερα τῶν νέων· ἐλάττων γὰρ ὑγρότης. ὡς ἐπικρατεῖ μᾶλλον, ὥσπερ καὶ τὰ ἐν ταῖς χώραις ταῖς λεπτογείοις. ὡς δὲ ἁπλῶς εἰπεῖν, τὰ ἐν ἀκμῇ, καὶ πρὸς εὐχυλίαν ἄριστα, καὶ πρὸς εὐοσμίαν, ὡς ἑκατέροις ἐνταῦθα τὸ τέλος. ἐν δὲ τοῖς ψύχεσι καὶ πάγοις, ἀμβλύτεροι εἰσὶν οἱ χυλοί, καὶ αἱ ὀσμαί, διὰ τὴν πῆξιν· πεπηγότα γὰρ οὐ διαδίδωσιν. ἅμα δὲ ἐστὶν ἀφανίζεταί πως ὑπὸ τοῦ ψύχους κρατουμένης μᾶλλον κἀκεῖνα ἐστὶν ἡ αἴσθησις. ἀμφότερα γὰρ ἐξίστησιν· ἐκεῖνα δὲ μᾶλλον. ἐπεὶ καὶ τῶν καρπῶν ἐξαιρεῖται τὴν γλυκύτητα, διατμίζον τῇ πήξει, ἐστὶν ἐξαῖρον. ὡσαύτως δὲ καὶ ἡ τῶν καυμάτων ὑπερβολὴ τοὺς χυλοὺς λυμαίνεται· τὰ μὲν γὰρ κατακάει, τὰ δὲ οὐ πέττει, τὰ δ' ὥσπερ σήπει καὶ διυγραίνει· καθάπερ καὶ ἐπὶ τῶν συκῶν ἐλέχθη. τὰς δ' ὀσμὰς ἴσως ἐνίων μᾶλλον διατηρεῖ. τάχα δὲ καὶ ποιεῖ τάς γε ἐν τοῖς ξηροῖς γινομένας· ἄκρατοι γὰρ αὗται. πολλὰς δὲ καὶ φθείρει· τὰς δ' ἐν τοῖς καρποῖς ἐγχυλοτέρας ἐστὶ μεμιγμένας τινὰς εἶναι. μὴ πεπαινομένων δὲ καλῶς, οὐ γίνεται. τὸ δ' ὅλον, ἐν συμμετρίᾳ τινὶ τὴν μῖξιν ὑποδέχειν, καὶ ἐμφαίνεσθαί πως τὴν τοῦ ξηροῦ φύσιν ἐν ταῖς ὀσμαῖς· τοῦτο γὰρ τὸ τὰς ὀσμὰς ποιοῦν, ἢ πάντων, ἢ τινῶν. ὅπερ φανερὸν εὐθὺς καὶ ἐπὶ τῆς γῆς ὄζειν, ἐν τοῖς [illegible] ὑετοῖς. διακεκαυμένης γὰρ ἐν τῷ θέρει, τὸ θερμόν πως τὸ ὕδωρ ποιεῖ τὴν εὐωδίαν. τοῦτο δὲ ποιεῖ καὶ ἐν ἄλλοις. καὶ γὰρ τὸ περὶ τὴν ἶριν λεγόμενον, ὡς ὅπου ἂν κατάσχῃ, ποιεῖ τὰ δένδρα καὶ τὸν τόπον εὐώδη, τοιοῦτόν ἐστι. ποιεῖ γὰρ οὐ πάντως, ἀλλ' ἐὰν ὕλη τις ᾖ νεόκαυστος. οὐ δ' ἴσως καθ' αὑτήν, ἀλλὰ τρόπον τινὰ κατὰ συμβεβηκός. ἐφύη γάρ, ὅπου ἂν ἐφισῇ. πεπυρωμένης γὰρ τῆς ὕλης, ἡ κατάμιξις ποιεῖ τινὰ ἀτμίδα καὶ εὐωδίαν. οὐδὲ γὰρ οὐδὲ γίνεται πλῆθος ὕδατος, ἀλλ' ὡς ἐπὶ τὸ πολὺ ψακάς, ὥστε συμμετρίαν εἶναι πρὸς τὴν θερμότητα καὶ ξηρότητα. δεῖ δὲ καὶ αὐτὴν τὴν ὕλην ποιάν τινα προϋπάρχειν. οὐ γὰρ ἐν πᾶσι, καὶ πάντως. ὅλως δὲ καὶ ἐν ἄλλοις ἥ τε πύρωσις, καὶ ἡ κατάμιξις τοῦ πεπυρωμένου ποιεῖ τινὰς εὐωδίας, καὶ τὸ ὅλον ὀσμάς, ἐὰν ἔχῃ τὸ σύμμετρον. ἐπεὶ καὶ τὰ θυμιάματα ταῦτα, πυρωθέντα ταύτας εὐωδίας. μαλακῇ δέ, καὶ οὐ κατακαιόμενα. τὸ γὰρ σύμμετρον οὕτω πρὸς ὀσμήν, ἐκείνως δὲ φθοράν.

Πάρεγγυς δὲ καὶ τὸ ταὐτό πως τούτῳ, καὶ ἐπὶ μὲν τῶν δένδρων, ἐστὶ ὅλως τῶν ὑλημάτων, εὔοσ- 26
μα πολλά· ζῷον δ' οὐδέν, εἰ μὴ τὴν πάρδαλιν φασί, καθάπερ ἐλέχθη, τοῖς θηρίοις. τὰ μὲν γὰρ θερμὰ καὶ ξηρὰ τὴν φύσιν, ὡς γ' ὑπόπτερα, καὶ καθαρωτέρα τις ἡ αὐτῶν ἀναπνοή. τὰ δ' ἐν ὑγρότητι πλείων, καὶ μυλωδέστερα· διὸ καὶ ἡ ἀναπνοὴ τοιαύτη. καὶ ὅλως ἡ τροφὴ τῶν μὲν ἁπλῆ ἐστὶ καὶ ἀπερίττωτος, τῶν δὲ ποικίλη καὶ περιττωματική. συμβάλλεται δέ τι καὶ τοῦτο πρὸς εὐοσμίαν, ὅταν ἡ φύσις ἅμα προϋπάρχῃ ποιά τις. ἀρχὴ γὰρ αὕτη καὶ πρῶτον. ἐπεὶ οὐδὲ τὰ δένδρα πάντα εὐώδη, διὰ τὸ μὴ τὰς ὁμοίας ἔχειν κράσεις. τάχα δὲ καὶ ἡμῖν οὐκ ἔνδηλον ἐκ τῶν ζῴων τὸ εὔοσμον, διὰ τὸ χείρω εἶναι τὴν ὄσφρησιν. ἐπεὶ τά γ' ἄλλα καὶ πόρρωθεν αἰσθάνεται, καὶ τὰ σύνεγγυς ἀκριβέστερον. ἢ καὶ τὰ μὲν ἴσως αὐτοῖς εὐώδη, τὰ δὲ καὶ ἀηδῆ πάντα φαίνεται· καθάπερ καὶ ἡμῖν ἕτερον ἑτέρα μᾶλλον. ἔνια δὲ καὶ ὅλως φεύγομεν. ἀλλ' ἐκεῖνο ἄτοπον, ὃ καὶ πρότερον εἴπομεν, εἰ τὸ ἡμῖν κακῶδές ἐστιν ἄοσμον, ἐκείνοις εὔοσμον γίνεται. τάχα δ' οὐκ ἄτοπον. ὁρῶμεν δ' ὂν τοῦτο καὶ ἐφ' ἑτέροις συμβαῖνον, ἐν ἑαυταῖς εὐθὺς ταῖς τροφαῖς· τῷ μάλιστ' ἄν τις ἀπεικάσαι τὰς κράσεις ἀνωμάλους γε οὔσας. ἐπεὶ τά γε σχήματα Δημοκρίτου, καθάπερ ἐλέχθη,

νομένης τῆς ὀσμῆς, πρὸς ἅπερ εὔοσμον τὰ μάλιστα πεπεμμένα. περὶ δὲ τούτων, ἔστι μὲν ἁπλῶς εἰπεῖν, ὅτι τὰ ἄγρια ὡς σκληρότερα, καθάπερ ἐν τοῖς ἄλλοις. ἔτι δὲ καὶ οἰκειοτέρως, εἰ δύναιτο διελθεῖν τὰς πέψεις, τήν τε χυλοῦ καὶ τὴν τῆς ὀσμῆς, ἐν τίνι ἑκατέρα γίνεται. φαίνεται γὰρ τινὰ ἔχειν διαφοράν, εὐθὺς ἑτέρων ὄντων, ἅτε τοῦ αὐτοῦ μεταβάλλοντος. τοῦτο μὲν οὖν καθόλου διαίρεσιν ἔχει. πρὸς δὲ τὸ νῦν, ἱκανὸν τοσοῦτον, ὅπερ καὶ φανερόν· ὅτι ἡ μὲν γλυκύτης, καὶ ὅλως ἡ εὐοσμία, ταχὺ γίνεται τῶν χυλῶν. διὸ καὶ γηράσκοντες οἱ καρποί, καὶ ἀλεώμενοι, πάντες γλυκύτεροι. παχύνονται γὰρ, ἀφαιρουμένου τοῦ ὑδατώδους. ἡ δὲ τῆς ὀσμῆς, ἐν προτέρᾳ τινὶ καὶ ἀτελεστέρᾳ πέψει, σημεῖον δὲ, καὶ ὅτι αὐτὰ τὰ εὐώδη, καθάπερ ἄπιοι καὶ μηλέαι καὶ τὰ ἄλλα, μᾶλλον εὔοσμα γίνεται, μὴ τελείως ἐκπεπανθέντα. καίτοι τότε τοῦ χυλοῦ μάλιστα ἡ πέψις, καὶ ἔοικεν ἐν ταῖς προτέραις μεταβολαῖς τῶν χυλῶν. πλείους γὰρ εὐοσμίαι γίνονται, καθάπερ ἅμα ἀνωμαλικὰς ὕλας, καὶ † ὅπως τοῦ χυλοῦ τὴν οἰκείαν ἔχοντος φύσιν, ὅταν εἰς ταύτην ἐπέλθῃ, παχυνθεὶς καὶ πεφθεὶς, τὰ μὲν τῆς τροφῆς ἐλάττω, τὴν δὲ γλυκύτητα τὴν οἰκείαν καὶ ὅλως τὴν τῇ αἰσθήσει πρόσφορον λαμβάνει. τὰ μὲν οὖν ἄγρια, μέχρι τῶν προτέρας περὶ ὄντα, καὶ τὴν εὐωδίαν ἔχει κατὰ λόγον. τὰ δὲ ἥμερα, τελειούμενα τῇ πέψει καὶ ἀτροφοῦντα, διὰ τὴν κατεργασίαν μεταβάλλει τοὺς χυλοὺς εἰς γλυκύτητα καὶ εὐοσμίαν. ἅμα δὲ καὶ τὴν ὑγρότητα καὶ τὴν ξηρότητα, καὶ τὴν πολυτροφίαν καὶ ὀλιγοτροφίαν, καὶ τὴν εὔπνοιαν, εἰκός τι συμβάλλεσθαι πρὸς τὰς ὀσμάς. εἴπερ ὅλως καὶ τὰ ξηρὰ, καὶ ἐν ξηροῖς καὶ ὀλιγοτροφίᾳ καὶ ἐν εὔπνοις εὐοσμότερα. μιγνυμένη γὰρ ἡ πλείων ὑγρότης, ἀμβλύνει τὴν ὀσμήν. διὸ καὶ ἐν τοῖς παλισκίοις καὶ ἐφύδροις, οὐκ εὔοσμα. καὶ μάλιστα δὲ τῇ παχύνσει, καθάπερ εἴρηται, λαμβάνει τὴν μεταβολήν. ὡς δ' ἁπλῶς εἰπεῖν, καὶ ξηρότερα καὶ ἄγρια καὶ ὀλιγοτροφώτερα καὶ εὔπνοα μᾶλλον καὶ ἐν ἀλεώσει, καὶ ἔτι λεπτοχυλότερα, καὶ οὐχ ὁμοίως τὸν χυλὸν ἔχοντα ἀναμεμιγμένον τῇ σαρκὶ τοῖς ἡμέροις. ἅπαντα δὴ ταῦτα συμβάλλεται πρὸς εὐοσμίαν. ἰδεῖν δὲ τοῦτ' ἔστι καὶ ἐπὶ τῶν οἴνων, οἱ μὲν γὰρ γλυκεῖς, ὅλως εὔοσμοι, καὶ οἱ μαλακοί. τῶν δὲ ἄλλων οἱ λεπτοὶ μᾶλλον εὐώδεις, καὶ θᾶττον τῶν πιόνων ἐξιστάμενοι, καὶ παχέων. ἔτι δὲ ἅμα τῇ εὐοσμίᾳ συμβαίνει, καθάπερ χωρισμόν τινα γίνεσθαι τοῦ ὑγροῦ καὶ τοῦ γεώδους, ὑφισταμένης τῆς τρυγός, καὶ πρὸς τούτοις ἀναπνοὴν τοῦ ὑδατώδους· ὥστε διὰ πάντων εἶναι τὴν εὐωδίαν, λεπτότητός τε καὶ χωρισμοῦ καὶ διαπνοῆς. ἐπεὶ καὶ αὐτὸ τοῦ κεραμίου τὸ πρὸς τῇ τρυγὶ, ἧττον εὔοσμον. ἡ αὐτὴ δ' αἰτία, καὶ τοῦ θᾶττον ἐξίστασθαι τοὺς λευκοὺς τῶν οἴνων. λεπτότεροι γὰρ, καὶ ὥσπερ εὐθὺς ἄμικτοι, συνεπιμαρτυρεῖ δὲ, καὶ ἐκ τῶν λεπτοτέρων καὶ εὐχύλων καὶ εὐπνόων εὐωδεστέρους γίνεσθαι, καὶ ἐκ τῶν πρεσβυτέρων ἢ νεωτέρων. ἔτι δ' ὡς πολύοσμοι καὶ ἰσχυροὶ ταῖς ὀσμαῖς, οὐκ ἔχουσι δὲ τῇ γεύσει τὸ μαλακὸν, ὡς οὐκ ὄντος ἅμα τῶν περὶ τὸν χυλὸν εὐοσμίας καὶ πολυοσμίας καὶ ἰσχύος. ὅπερ ἐπὶ τῶν μύρων, καὶ ἐπὶ τῶν θυμιαμάτων, καὶ ἐπὶ τῶν στεφανωμάτων, καὶ ἐπὶ τῶν ἄλλων τῶν εὐοσμωδῶν συμβαίνει. πάντα γὰρ πικρὰ, καὶ δύσχυλα τὰ τοιαῦτα, καθάπερ αἱ ἀμυγδαλαῖ. καὶ οἱ ὀρεινοὶ δὲ τῶν οἴνων, ὀσμὴν μὲν ἔχουσιν ἔνιοι, σκληροὶ δὲ καὶ οὐκ εὔχυλοι. δεῖ ἀπάντων οὖν δῆλον, ὡς ἕτερον τὸ τὴν εὐοσμίαν ποιοῦν, ἢ συμμετρίαν τινὰ λαβεῖν τῆς κράσεως. ἥδιστον δὲ τὸ ἐξ ἀμφοῖν. ἄλλως τε καὶ ὅσον ἐν αὐταῖς ἀγρίων ἔνδον ἔφαμεν λυπεῖν τὸ δριμὺ καὶ ἄκρατον, ὥσπερ ἑρπύλλου καὶ ἀβροτόνου καὶ πηγάνου. μιχθείσης δὲ ὑγρότητος συμφύτου, μᾶλλον εὔκρατος γίνεσθαι καὶ ἡδίους· μίγνυται γὰρ καὶ εὐχυλοτέρων γινομένων. ἐὰν δὲ ὑπεραίρῃ θάτερον, ὑπερέχει μὲν τὸ ἔλλαττον. ἅμα γάρ πως ἡ ἀπόλαυσις ἐν τοῖς τοιούτοις τῶν γευστῶν ὀσμῶν καὶ χυλῶν. χρὴ δὲ πειρᾶσθαι καθόλου διαιρεῖν, ὥσπερ εἴπομεν ἐν τῷ χυλῷ μετὰ ἡ εὐχυμία καὶ ἡ γλυκύτης, ἀπὸ τοῦ χυλοῦ δὲ ἡ ὀσμὴ, ποῖος ἑκάτερος καὶ πῶς ἔχων. ἐκεῖνο δ' οὖν φανερὸν ἐκ τῶν εἰρημένων, ὅπερ ἐξ ἀρχῆς ἠπορήθη, διὰ τί οἱ ἄγριοι τῶν καρπῶν εὐοσμότεροι. φαίνεται δὲ κἀκεῖνο συμβαίνειν, ὥσπερ ἐν τοῖς ἀτελέσι καὶ τοῖς στυπτικοῖς χυλοῖς μᾶλλον εἶναι τὴν εὐοσμίαν, εἴ γε τὰ μὲν πικρὰ, τὰ δὲ δριμέα, τὰ δ' αὐστηρὰ, τὰ δὲ στρυφνὰ, τὰ δ' ἄλλα ἔχοντα δυσχέρειαν. οὐκ ἀλόγως δ' ἴσως. ἡ πνοὴ γάρ τις μᾶλλον ἀπὸ τούτων. ὥστ' ἐὰν μὲν εὔκρατα λάβῃ, σύμμετρον εἶναι πρὸς τὴν ὄσφρησιν· ἐὰν δὲ ὑπερβάλλοντα, δυσχερῆ καὶ βαρεῖαν ἤδη. καὶ οὐκ ἂν δόξειεν ἐν στερήσει τοιοῦτον εἶναι γένος· ἀλλ' ἑτέραν τινὰ φύσιν ἔχει, εἴ γε ἔνια ποιητικὰ τῶν ἄκρων. ἡ μὲν οὖν ἀοσμία, διὰ τοῦτο ἐν τοῖς γλυκέσι καὶ δυσχύλοις μᾶλλον. ὡς δ' εἰπεῖν, τῶν ὀσμῶν ἡ μὲν ἰσχὺς ἑκάστων, δῆλον ὅτι κατὰ τὴν ὑποκειμένην φύσιν.

25 Οὐ μὴν ἀλλ' ἔνιά γε τῶν αὐθίων ἐξ ὑποστάσεως, ἢ πλησίον ἐλθοῦσιν, εὐοσμότερα·

πεπεμμένα μᾶλλον. ὡς γὰρ ἁπλῶς εἰπεῖν, ἡ ξηρότης οἰκειοτέρα ταῖς ὀσμαῖς, καὶ μᾶλλον ἐν τούτῳ ἀκκλίνει πάντα. σημεῖον δὲ, καὶ τὸ ἐν ταῖς θερμοτέραις χώραις πλείω γίνεσθαι, καὶ μᾶλλον τὰ εὔοσμα. πεπεμμένα γὰρ, δῆλον ὅτι μᾶλλον καὶ ἔνια ξηραινόμενα ὄζει. χλωρὰ δ' οὐκ ὄζει, καθάπερ ὁ κάλαμος, καὶ ὁ σχοῖνος· τὰ δὲ, καὶ μᾶλλον ὄζει ξηρανθέντα, καθάπερ ἶρις, καὶ ὁ μελίλωτος. ἔτι δὲ καὶ οἰνοφαύθης εὐοσμότερος. οὐ μὴν πάντα οὕτως, ἀλλ' ἔνια καὶ ἀνάπαλιν· ἃ δεῖ διαιρεῖν. ἁπλῆ δέ τις ἡ διαίρεσις. τῶν μὲν γὰρ ἀσθενεῖς αἱ ὀσμαί· τοιαῦται δὲ ὡς ἐπίπαν τὰ ἄνθη μάλιστα, τὰ μὲν εὐοσμότερα χλωρὰ καὶ πρόσφατα, χρονιζόμενα δὲ ἀμβλύνεται διὰ τὴν ἀποπνοήν. τῶν δ' ἰσχυρότεραι· τοιαῦται δ' ὅσα γεωδέστερα, καὶ ἐν γεωδεστέροις, καὶ οὐ μεμίκταί τις ὑδατώδης δύναμις, ταῦτα δὲ ξηραινόμενα καὶ παλαιούμενα μέχρι τινός· ὧν καὶ τὰ μῆλα τὰ κυδώνια, καὶ ὅσα τῶν στεφανωματικῶν δριμείας ἔχει τὰς ὀσμάς· οἷον τὸ ἀβρότονον μάλιστα, καὶ τὸ ἀμάρακον, καὶ ὁ κρόκος. ἅμα γὰρ ἀποπνεῖ ταῦτα τὸ ὑδατῶδες, καὶ ἡ τῆς †τροφῆς ἐπιρροὴ παύεται, καὶ ὥσπερ πέψιν ἐν ἑαυτοῖς ἔνιά γε λαμβάνει. διὸ καὶ ἀφαιρεθέντα ἀπὸ τοῦ φυτοῦ, εὐωδέστερα· καθάπερ τὰ μῆλα, καὶ ἄλλ' ἄττα. συμβαίνει δὲ καὶ τῶν ὀπωρῶν ἔνια, χλωρὰ μὲν ὄντα μὴ ὄζειν, διὰ τὴν ὑγρότητα ξηρανθέντα δὲ, καθάπερ ἄλλα τε καὶ τὸ βάκχαρις. ἐπεὶ καὶ ὁ οἶνος τότε μάλιστα ἀφίσταται, καὶ ὀσμὴν λαμβάνει, ὅταν ἀποκριθῇ τὸ ὑδατῶδες αὐτοῦ. τὰ μὲν οὖν τοιαῦτα πάντα, παλαιούμενα εὐοσμότερα.

23 Τὰ δ' ἀσθενῆ, ταχὺ διαπνεῖται, καθάπερ τὰ ἴα, καὶ τά γε λευκά, πικρὰ καὶ κακώδη παλαιούμενα· καὶ οὐχ ὥσπερ τὰ ῥόδα, ἃ κατηρεῖ τὴν εὐοσμίαν ἀποξηραινόμενα, μέχρις οὗ ἂν ἐκλείπῃ· πλὴν τὰ μὲν χλωρὰ καὶ πόρρωθεν ὄζει.† τοῦτο δ' ἐστὶ τὸ αἴτιον, ὅτι καὶ κατέσκληκέ πως, ἐκλελοιπότος τοῦ οἰκείου θερμοῦ, καὶ οὐ δίδωσιν ἀποπνοήν. ἐπεὶ πρός γε τὰς χρείας οἱ μυρεψοὶ καὶ ταῦτα ἀποξηραίνουσι μέχρι τινὸς, ὅπως ἄκρατον καταλίπωσι τὴν ὀσμήν. ὁ δὲ μελίλωτος καὶ εἰς πλείω χρόνον εὔοσμος διαμένει. οὐ μὴν ἀλλ' ἔνιά γε τῶν εὐωδῶν ἄγαν καταξηραινόμενα, χείρους ἔχει τὰς ὀσμὰς, τῷ δριμυτέρας εἶναι καὶ σκληροτέρας. ἔστι γάρ τις ὥσπερ καὶ οἴνου, καὶ ἁπλῶς χυλοῦ σκληρότης καὶ ἰσχὺς, οὕτω καὶ ὀσμῆς, ὃ καὶ τῶν ἀγρίων ἔνια ὅμοια δοκεῖ πρὸς τὰ ἥμερα πεπονθέναι, καθάπερ ἕρπυλλος, καὶ τὸ σισύμβριον, καὶ τῶν λαχανωδῶν μάλιστα τὸ πήγανον. σκληραὶ γὰρ αἱ ὀσμαὶ, καὶ ἀγλυκεῖς. αἱ δὲ τῶν ἡμέρων, ἔχουσί τινα ἅμα τὴν ὑφειμένην γλυκύτητα καὶ εὐμένειαν. ἔστι γὰρ ὥσπερ ἐν χυλοῖς καὶ ὀσμαῖς γλυκύτης. σχεδὸν δὲ καὶ ἄλλαι προσηγορίαι τῶν εἰδῶν, ὡς οὐ πόρρω τῆς φύσεως ἑκατέρας οὔσης. ἀλλὰ γὰρ ποῖαι μέν τινες ὀσμαὶ χρόνιαι, καὶ ποῖαι ξηραινομένων εὐοσμότεραι, καὶ τἆλλα τὰ τούτοις ὅμοια, διὰ τῶν εἰρημένων θεωρείσθω· καὶ ὅσα μὴ εἴρηται, ῥᾴδιον ἐκ τούτων συνιδεῖν. ὅσα δὲ μὴ κατὰ μέρος εὔοσμα, ἀλλ' ὅλα τυγχάνει, περὶ τούτων ἀπορήσειεν ἄν τις, ὃ καὶ πρότερον ἐλέχθη, διὰ τί τὸ ἄνθος οὐκ εὔοσμον αὐτῶν, ἢ οὐ κατὰ λόγον. ἐνδεῖ γὰρ καὶ τοῖς ἄλλοις μὴ οὖσιν εὐόσμοις, τούτοις μάλιστα διὰ τὸ προϋπάρχειν τῇ φύσει. αἴτιον δὲ φαίνεται, διότι πέψις τις ἡ ἄνθησις· τὸ δὲ πεπτόμενον, ἐν μεταβολῇ τῶν ὑπαρχόντων· ὅσα μὲν οὖν αὐτὰ μὴ ὀσμώδη, τούτων πεττομένων τῶν χυλῶν. ὅσα δὲ εὔοσμα τούτων διὰ τὴν μεταβολὴν, λαμβάνει τινὰ τὸ ἄνθος δυσοσμίαν. ἐπείπερ ἡ πέψις ἐν μεταβολῇ, ἀναγκαῖον ἐξαλλάττειν τὴν ὀσμήν. ὀσμῶν δὲ ὄντων, ἧττον εὔοσμον ἔσται τὸ ἄνθος. αὕτη γὰρ ἐξαλλαγὴ ἔοικεν ὥσπερ ἐξάνθησις εἶναι τῆς προϋπαρχούσης ὀσμῆς καὶ δυνάμεως. διὸ καὶ αὐτά φασιν ὄζειν τότε. τοῦτο μὲν οὖν εἰ γίνεται, σκεπτέον. φέρει γάρ τινα πίστιν. φαίνεται δὲ παρόμοιον συμβαίνειν, ὥσπερ ἐπὶ τῶν χυλῶν τῶν πρώτων, καὶ τῶν ἐν τέλει, καὶ πεπεμμένων πρὸς τοὺς ἀπέπτους, ὅταν πυρωθῇ καὶ ἁλιωθῇ. μεταβολῆς γὰρ γινομένης, οἱ μὲν εἰς τὸ βέλτιον, οἱ δὲ εἰς τὸ χεῖρον μεταβάλλουσι. τοῦτο μὲν γὰρ πέψει, τὸ δ' οἷον ἐξίστησι τὸ θερμόν. ἀνάγκη γὰρ ὅταν ἐν τῷ τέλει γίνηται, τὴν μεταβολὴν εἶναι πρὸς τὸ χεῖρον. ὃ δὴ καὶ ἐνταῦθα φαίνεται συμβαῖνον, μαλακωτέρας τῆς ὀσμῆς γινομένης. οἷον γὰρ ἄνεσίς τις γίνεται τοῦ ἀκράτου· ἅμα δὲ καὶ διυγραίνεσθαι συμβαίνει, ξηρὸν ὂν φύσει κατὰ τὴν ἄνθησιν. ὧν γένεσις οὐκ ἄνευ τούτου, καὶ ταύτῃ γένοιτό τις ἄνεσις. εἰ δὲ μὴ ὑγρότης, ἀλλ' οἷον γλυκύτης ἐγχεῖται πρὸς τὴν τοῦ καρποῦ γένεσιν (ἅπαντα γὰρ ἐκ γλυκέος γεννᾶται· διὸ καὶ τὰ πολλὰ τῶν ἀνθῶν ἐστι γλυκέα) καὶ τοῦτο κατὰ λόγον, ἐκλελυμένην τε καὶ θηλυτέραν εἶναι τὴν ὀσμὴν, οἷον ὑπογλυκαινούσης, ἀφῃρημένης τῆς ἀκράτου δριμύτητος. τούτων μὲν οὖν τοιαύτην τινὰ αἰτίαν ὑποληπτέον.

24 Διὰ τί δ' οἱ ἄγριοι καρποὶ τῶν ἡμέρων εὐοσμότεροι τῶν ὁμογενῶν, οἷον μηλέαι τε, καὶ ἀχράδες, καὶ οὖα, καὶ μέσπιλα, καὶ τἆλλα. καὶ αὐτῶν δὲ τῶν μήλων, ἐπεί τε τοῖς ἀγρίοις τὰ στρυφνώματα, καὶ τοῖς ἡμέροις εὐοσμότατα. καίτοι διαπέπτου πε-

πεμμένης

ἡμέρων ὄρθαμνον, ὧν αἱ ῥίζαι πικραὶ καὶ ὀπώδεις, τούτων δὲ καρποὺς γλυκεῖς, ὡς ἂν ἐξ ἀπέπτου
τινὸς πεττομένους ὄντας. ταὐτὸ δὲ καὶ ἐν ταῖς τῶν φαρμακωδῶν δυνάμεσιν ὑπολαπτέον συμβαίνειν.
ὥστ' οὐκ ἄλογον, εἰς ἔνια μὲν τὰς ῥίζας ἰσχύειν μᾶλλον, εἰς ἔνια δὲ τῶν λοιπῶν τι μερῶν. ἐπεὶ καὶ
ῥίζαι ῥιζῶν ἐν τοῖς ὁμογενέσι, καὶ σπέρματα σπερμάτων, καὶ τἆλλα μέρη πολὺ διαφέρουσιν ἰσχύϊ,
διὰ τὸν ἀέρα ἑκάστης χώρας· ὥσπερ καὶ ὁ σῖτος, καὶ οἱ ἄλλοι καρποί, τῇ βαρύτητι καὶ κουφότητι. διὰ
τοῦτο φάρμακα φαρμάκων ἀμείνω, περὶ δὲ τόπους οὐ μακρὰν ἀπέχοντας· οἷον ὁ ἐκ τῆς Οἴτης ἑλ-
λέβορος τοῦ ἐν τῷ Παρνασσῷ. δοκεῖ γὰρ ἰσχυρότερος εἶναι οὗτος, καὶ οὐχ ἁρμόττειν εἰς τὴν χρείαν. ἡ δὲ ἰσχὺς
ἐκ παραπλησίας τινὸς αἰτίας γίνεται, καὶ ἐπὶ τῶν καρπῶν. καὶ γὰρ ἐνταῦθα σκληρότητί τε τοῦ ἀέρος
καὶ πλήθει τῆς τροφῆς βαρεῖς γίνονται, διὰ τὸ πολὺ τὸ γεῶδες ἔχειν, ὥσπερ οἱ ἐν τῇ Βοιωτίᾳ· κα-
κεῖ διὰ τὰς ὁμοίας αἰτίας. ἄλλη δὲ πρὸς ἄλλην δύναμιν οἰκεία χώρα, καθάπερ ἐπὶ τῶν καρπῶν.
ἔνια γὰρ οὐδ' ἐκπέττουσιν ὅλως τὰς φαρμακώδεις. ἐπεὶ πολλαχοῦ καὶ μέλας ἐλλέβορός ἐστι, καὶ
†ἀδυνατεῖ ἄλλαι τῶν ῥιζῶν, ἀλλὰ μελεῖαι καὶ †δυναβίλεις. ἢ καὶ δόξειεν ἂν ψυχροῦ τινος ἀέρος ἅμα καὶ εὔπνου
δεῖσθαι, καὶ ἐπιτροφῆς συμμέτρου. φαίνεται δ' οὖν, ἐν τοῖς ὄρεσι πλεῖστα φάρμακα γίνεσθαι, καὶ ἐν
21 τοῖς ὑψηλοτέροις καὶ μεγίστοις μάλιστα. καὶ περὶ μὲν τούτων, ἱκανῶς εἰρήσθω. Περὶ δὲ τῶν ὀσμῶν,
ἐπειδὴ καὶ αὗται κατὰ μέρη γίνονται, τὰς αὐτὰς καὶ παραπλησίας αἰτίας ὑπολαπτέον. ἡ γὰρ πέ-
ψις τοῖς μὲν ἐν τῷ ἄνθει μᾶλλον, τοῖς δὲ καὶ ἐν τῷ καρπῷ, τοῖς δὲ καὶ ἐν τοῖς φύλλοις καὶ ἐν
τοῖς κλωσὶ γίνεται, τοῖς μὲν ἐν τοῖς ὑδαρέσι, καὶ ὥσπερ ἐν τοῖς ἀχύλοις ἢ δριμέσιν. ἐν τοῖς
ἄνθεσιν, οἷον ῥόδῳ, κρόκῳ, καὶ τοῖς τοιούτοις. ὅσα δὲ αὐτῶν μὴ εὔχυλα, καὶ ἐν ταῖς ὀσμαῖς ἐμφαί-
νει γέ τινα βαρύτητα, καθάπερ τὸ κρίνον, καὶ τὸ λείριον, καὶ τὰ παραπλήσια τούτοις. ἔνια δ' ὅ-
ἔχον λως οὐδ' εὐοσμίαν, ἀλλὰ βαρύτητα ἔχει κατὰ τὴν ὄσφρησιν· καὶ φανερόν, ὡς ἐκ τῶν χυλῶν πως
γίνεται, καὶ οὐκ ἔστιν ἀπηρτημένον τὸ τῆς ὀσμῆς. ὅσα γὰρ ὑδαρῆ, ἄχυλα καὶ ἄοσμα ὡς ἐπίπαν. ἐν
δυσὶ γὰρ τούτοις, ὡς εἰπεῖν, ἡ ἀοσμία, τῷ τε τὸν χυλὸν ὑδαρῆ τὴν ἔχειν φύσιν, καὶ τῷ πολὺ τὸ
ὑδατῶδες. τὸ μὲν γὰρ ὥσπερ ἄμικτον, τὸ δ' ὑπὸ τοῦ πλήθους ἀφανίζεται· διὸ τρόπον τινὰ καὶ
τοῦθ' ὥσπερ ἄμικτον. ἐν μίξει δέ τινι, καὶ τὸ τῆς ὀσμῆς. ὅσα δὲ ἐν τροφῇ πλείονι βλοσυρωτέρᾳ, κα-
θάπερ τὰ λιμναῖα, ταῦτα καὶ τὰς ὀσμὰς ἔχει παραπλησίας, βαρείας τινὰς καὶ θολερώδεις. ἐπεὶ
οὖν τῶν μὲν ἐν ταῖς ῥίζαις ἡ τοιαύτη μίξις καὶ συμμετρία, τῶν δ' ἐν τοῖς κλωσὶ καὶ τοῖς φύλλοις, τῶν
δ' ἐν τοῖς καρποῖς, πλεῖστον δ' ἐν τοῖς ἄνθεσιν, εὐλόγως εὔοσμα ταῦθ' ἑκάστων. καὶ διὰ τοῦτ' ἐν
τοῖς δένδροις τὰ ἐλάττω τῶν ἀνθῶν εὔοσμα, καὶ ἧττον ἐν τοῖς ἄλλοις, ὅτι γεώδη πλείω καὶ ἡ ὑγρότης.
εἰ δὲ μή, ζητητέον αἰτίαν. ἴσως μὲν οὖν καθόλου καὶ ἁπλῶς ἀρκεῖ. ὡς δὲ καθ' ἕκαστον δεῖ σκοπεῖν τὰς
εἰρημένας συμμετρίας, οὐκ ἂν δόξαιεν ἀλόγως ἐν τῷ ἄνθει τοῖς πλείστοις. ἐνταῦθα γὰρ οἷον πρώ-
τη καὶ ἐλαφροτάτη πέψις, ἀποξηραινομένου θ' ἅμα καὶ μεταβάλλοντος. ὅταν δ' εἰς τοῦτο τῶν καρπῶν
ἔλθῃ τελειότερος τῆς ὑγρότητος οὔσης, οὐκέτι διαμένει τὸ τῆς ὀσμῆς, ἐφ' ὧν μὴ φύσει τοιοῦτος ὁ χυλός.
ὡς δ' ἐπὶ τὸ πᾶν ἐστι τῶν ἀδένδρων τοῖς καρποῖς ἡ εὐοσμία· τοιοῦτο γὰρ καὶ τὸ μῆλον, καὶ τὸ ἄπιον,
καὶ τὸ μέσπιλον. καὶ τῶν εὐόσμων διὰ δριμύτητα τινά, οἷον κεδρίδες τε καὶ τερμίνθου, καὶ τῶν τοιού-
22 των καὶ τῶν λιπαρῶν, ὥσπερ ὅ, τε τῆς ἐλάτης, καὶ τῆς πεύκης, καὶ τῆς πίτυος, καὶ τῆς δάφνης. Τῶν
δὲ γλυκέων οὐδεὶς, ὡς εἰπεῖν, ἢ ἐπὶ μικρόν. ἐπεὶ καὶ τὰ μῆλα τὰ γλυκέα πάντων ἥκιστα εὔο- οὐδεὶς ἢ ἐπὶ
σμα, καὶ ὅσῳ ἂν γλυκύτερα, ἧττον. ἅμα δὲ καὶ τοῦτ' ἔχει πως οἰνώδη τὸν χυλόν. αἴτιον δ' ὅτι
παχύτερος καὶ γεωδέστερος ὁ γλυκὺς χυλός, ἄλλως τε καὶ ἐν τῷ περικαρπίῳ μεμιγμένος·
ἡ δὲ ὀσμὴ λεπτοτέρου καὶ ξηροτέρου καὶ διαπνεομένου μᾶλλόν ἐστιν, ὑπὲρ ὧν καὶ ὕστερον διασα-
†κλώνων φητέον. ἀλλ' ὡς ἐπὶ κεφαλαίων, ἐν τούτοις τοῖς γένεσιν ἡ εὐοσμία τῶν δὲ φύλλων καὶ †κλά-
†ὥσπερ νων, καὶ ὅλως τῶν δένδρων καὶ ὑλημάτων, ἐν οἷς καὶ δριμύτης τις ὑπάρχει, καὶ λιπαρότης, †τῶν ἀ-
περ ἀμέλει οἱ προειρημένοι καρποί, καὶ ἐπὶ τῶν οἰνωδῶν καὶ ἐνίων. ὁ γὰρ τῆς μυρρίνης καρπὸς εὐώ-
δης. εὔοσμος δὲ καὶ αὐτή, καὶ εἴ τις ἄλλη τοιαύτην ἔχει δριμύτητα, εἴτε λιπαρότητος, εἴτ' οἰνώ-
δης, εἴτε καὶ ἄλλου χυλοῦ κατὰ τοὺς καρπούς. ὁμοίως δὲ καὶ ἐπὶ τῶν στεφανωματικῶν, οἷον ἑρπύλλου,
†λαχάνων σισυμβρίου, καὶ ἐπὶ τῶν †ἄλλων· οἷον πηγάνου, σελίνου, μίνθης. τό, τε ξηρὸν καὶ δριμύ, καὶ συνε-
κόν πως ἔνδηλον· οὐκ ἐπὶ τοῖς καρποῖς, οὐδ' ἐν τοῖς ἄλλοις ἐχόντων τὴν ὑγρότητα τοιαύτην.
ἐν ἅπασι δ' ἐνυπάρχει καὶ τούτοις καὶ τοῖς ἄλλοις, τὸ κατὰ τὸν διορισμὸν τοῖς εὐώδεσιν, ὥστε τὸ
ἔγχυλον ξηρῷ ἀπομιγνύμενον ἐμφαίνειν τινὰ δύναμιν. εὐοσμότερα δὲ καὶ ἥδιω καὶ ὅλα
κατὰ μέρος ἐν τοῖς εὐπνόοις καὶ ξηροῖς τόποις, ἀφῃρημένου τοῦ ὑδατώδους καὶ τοῦ καταλοίπου

πεπεμμένου

τος, καὶ ὁ ὅλος ὄγκος, ὥστ' ἀνομοίων ὄντων, ἀνόμοιον καὶ τὸ τέλος ἑκάστου πρὸς τὴν ἰδίαν φύσιν, ὥσπερ ἐν τοῖς ζώοις· ἴσως δ' ἀνάπαλιν. ἐπεὶ καὶ τὸ τέλος ἑκάστου ἴδιον, καὶ ἡ ὕλη διάφορος. ὡς δ' ἁπλῶς εἰπεῖν, πάντων πρὸς τὴν ἀποκεκριμένην φύσιν. ἐπεὶ δ' αὗται διάφοροι καὶ περὶ χυλοὺς καὶ ὀσμὰς καὶ ἀοσμίας, ἡ δ' ἀναφορὰ πρὸς τὴν ἡμετέραν αἴσθησιν, ἐν ταύτῃ παραλλαγὴ γίνεται τῶν μερῶν. οὐδὲν γὰρ κωλύει, τὴν μὲν ἐν τοῖς φύλλοις κρᾶσιν γίνεσθαι σύμμετρον εἶναι τῇ γεύσει, τὴν δ' ἐν τοῖς καρποῖς ἀσύμμετρον, καὶ σφοδροτέραν ἢ περὶ στρυφνότητα καὶ αὐστηρίαν, ἢ περὶ πικρότητα καὶ ἄλλην τινὰ διάθεσιν. ὅπερ φανερὸν καὶ ἐπὶ τῶν λαχάνων ἐστί. τὰ μὲν γὰρ σύμμετρα καὶ προσφιλῆ, τὰ δὲ σπέρματα δριμέα καὶ πικρότερα, καὶ τὸ ὅλον ἰσχυρότερα πρὸς τὴν αἴσθησιν, ὥστε σχεδὸν ἀνάπαλιν ἔχειν καὶ ἐπὶ τῶν δένδρων καὶ ἐπὶ τοῦ σίτου. τῶν μὲν γὰρ οἱ καρποὶ χρήσιμοι, τὰ δὲ φύλλα ἀχρεῖα· τῶν δὲ ταῦτα μόνον χρήσιμα, τὰ δὲ ἄλλως ἂν ἐπὶ φαρμακείας λόγον. ὅπερ ἂν ἐπὶ τούτων, οὐδὲν κωλύει καὶ ἐπὶ τῆς φιλύρας, καὶ ἐπ' ἄλλων δένδρων τινῶν, ὁ μὲν καρπὸς ἄβρωτος, τὸ δὲ φύλλον γλυκὺ καὶ βρωτόν. ἐκεῖνο μὲν γὰρ ἄκρατον ἔχει καὶ καθαρὸν τῆς φύσεως. ἔστι γὰρ ξηρὸς ἄγαν καὶ ξυλώδης, ἔτι αὐστηρὸς καὶ πικρός, ἢ κακώδης, καὶ ἄλλην τινὰ ἔχων δυσχέρειαν, ἄβρωτος γίνεται. τὸ δὲ φύλλον ὑγρότερον ὄν, καὶ ἅμα κεραννύμενον, ἔχει τινὰ συμμετρίαν· ὃ καὶ ἐπὶ τοῦ σιλφίου, καὶ ἄλλων δριμέων ἐστίν. ἡδὺ γὰρ τὸ φύλλον αὐτοῦ, καὶ ὁ καρπὸς ἁπαλὸς ὢν διὰ τὴν ὑγρότητα τὴν ὑποδεχομένην. σύμμετρος γὰρ ἡ δριμύτης γίνεται, κραθεῖσα τῷ ὑδατώδει, καὶ ποιεῖ τινα χυλόν. ἐκξηραινομένου δέ, σφοδρότερον καὶ ἡ τοῦ σπέρματος δίεισι μᾶλλον. 19

ὅλως δ' ἐν πολλοῖς τοῦτ' ἐστίν, ὥστε χλωρὰ μὲν ὄντα βρωτὰ γίνεσθαι, καὶ ἔχειν τινὰ χυλὸν διὰ τὸ ἀναμεμίχθαι τῷ ὑδατώδει· καταξηραινόμενα δέ, καὶ λυομένης τῆς βρώσεως, ἄβρωτα. καὶ γὰρ οἱ τῶν ἀμπέλων βλαστοί, καὶ οἱ τῶν ἀκρεμόνων, ἔτι δὲ ἄλλων τινῶν ἀκανθωδῶν, καὶ τῶν χεδροπῶν δ' ἐνίων, οἷον ὀρόβων, κυάμων, καὶ ἁπλῶς ὅσα γλυκύτητά τινα ἔχει. σχεδὸν δ' ἐστὶ κοινὸν τοῦτο ἐπὶ πάντων, ὧν στρυφνότεροι καὶ πικρότεροι καθ' αὑτοὺς οἱ χυλοί. κεραννύμενοι γὰρ ὑπὸ τῆς φύσεως τῷ ὑδατώδει, βελτίους καὶ γλυκυτέρους ποιοῦσι τοὺς χυλούς· ὅπερ καὶ ἐπὶ τῆς μύρτου γίνεται, καὶ τὸν ῥοῦν. εἰ δέ τι τῶν δένδρων καὶ ὅλως τῶν ὑλημάτων τοιαύτη φύσις ἐστίν, ὥστε τοὺς μὲν καρποὺς ἀμίκτους ποιεῖν, ἔχοντας τὴν οἰκείαν δύναμιν καθαράν, τὰ δὲ φύλλα καὶ ἄλλο τι τῶν μορίων μικρά, τούτων οὐδὲν κωλύει, καθάπερ εἴρηται, τὰ μὲν φύλλα βρωτά, τὸν δὲ καρπὸν ἄβρωτον εἶναι. παραπλήσιον δέ τι τούτοις καὶ ἐπὶ τῶν ῥιζῶν τῶν ἐδωδίμων ἐστίν, ὧν τὰ μὲν φύλλα σχεδὸν ἄβρωτα, διὰ τὸ ξηρὰ εἶναι ἢ ἀκανθώδη· οἱ δὲ καυλοὶ ἐδώδιμοι, αὐταὶ δὲ αἱ ῥίζαι καὶ ἰδιαίτατα ἀνάπαλιν. τὰ μὲν ἄλλα βρώματά τι ἔχοντα καὶ τὴν ἡδονήν, αἱ ῥίζαι δὲ ἄβρωτοι διὰ τὸ ξυλώδεις καὶ πικρόν, ἢ ὅλως δύσχυλον ἢ ἄχυλον. διαφορὰ δὲ οὐ μικρὰ καὶ διὰ τὰς φύσεις τῶν ζώων. τὰ μὲν γὰρ ἡμῖν ἄχυλα τοῖς ἄλλοις ἔγχυλα φαίνεται, διὰ τὴν ἰσχὺν καὶ τὴν κατεργασίαν. ἄλλοις κἀκεῖνα προσφιλῆ, καὶ κατὰ τοὺς χυλοὺς καὶ κατὰ τὰς διαθέσεις. χαίρει γὰρ τὰ μὲν τοῖς ἁπαλοῖς, τὰ δὲ τοῖς ξηροῖς μᾶλλον. ἔνια δὲ καὶ ἀνάπαλιν, ἁπαλὰ μὲν ὄντα, καὶ ἄβρωτα· ξηραινόμενα δέ, ἐδώδιμα, διὰ τὸ συνεκπίπτειν καὶ ἐκκρίνεσθαι τὸ πικρὸν ὑπὸ τοῦ ἡλίου· καθάπερ τὸ σήσαμον, καὶ τὸ ἐρύσιμον. τούτων γὰρ χλωρῶν ὄντων οὐδὲν ἅπτεσθαι δοκεῖ ζῷον, διὰ τὴν πικρότητα καὶ δυσχυλίαν· ξηρανθέντων δὲ μᾶλλον, οἱ δὲ καρποὶ καὶ ἡδεῖς. ἀλλὰ δὴ τούτων μέν, τοιαῦταί τινες αἰτίαι. περὶ δὲ τῶν καρπῶν τῶν τροφίμων δυνατόν, ῥᾴων ὁ λόγος. εἰσὶ γὰρ καθαροὶ καὶ εἰλικρινεῖς, οἷον ἐξηνθημένοι πως ὑπὸ τῆς φύσεως, ὥστε πλείοσι καὶ μᾶλλον ἁρμόττειν. 20

Ἀλλ' ἐπὶ τῶν φαρμακωδῶν, καὶ ὅλως περὶ τὰς δυνάμεις θεωρητέον. καὶ γὰρ ἐν τούτοις οὐθ' αἱ αὐταὶ δυνάμεις, οὔτ' ἴσαι πάντων εὐθὺς ἀπὸ τῶν ῥιζῶν ἀρχομένοις. οὐδὲ δὴ τοῖς ἄνω πᾶσιν, οἷον φύλλοις καὶ κλωσὶ καὶ καρποῖς, καὶ τὸ μὲν τῷ μᾶλλον καὶ ἧττον διάφορον, ἔχει τινὰ εὐλογίαν· τὸ δ' ὅλως ἔνια μὴ δύνασθαι ποιεῖν, ὥσπερ τὰ τῶν ῥιζῶν σπέρματα καὶ τοὺς καυλούς, ἢ πάλιν τὰ τῶν φύλλων τοὺς καρποὺς καὶ τὰς ῥίζας, μᾶλλον ἄν τις θαυμάσειε. τὰς δ' αἰτίας καὶ ἐν τοῖς εἰρημένοις ἀνασκεπτέον. ἑκάστου γὰρ ἰδία κρᾶσις οὖσα καὶ φύσις, διαφόρους ποιεῖ καὶ τὰς δυνάμεις, ὥστε τὰ μὲν συντήκειν καὶ διακρίνειν, τὰ δὲ μή· καὶ τὰ μὲν μᾶλλον, τὰ δ' ἧττον, καὶ θερμαίνειν τι καὶ πέττειν, καὶ ψύχειν καὶ ξηραίνειν, καὶ τἆλλα ὡσαύτως. τὸ δὲ δὴ μάλιστα τοὺς καρποὺς εἶναι τοιούτους, οὐκ ἄλογον· ἐπείπερ μία δ' ἡ ὅλη φύσις ὁμοία ῥίζης τε καὶ καρποῦ, καὶ τῶν ἄλλων μορίων· ἀλλὰ τὰ μὲν ὅλως ἄπεπτα, τὰ δὲ πεπεμμένα, καὶ ὅλως ἐκ πλειόνων σύνθετα· διὸ καὶ τοῖς χυλοῖς καὶ ταῖς δυνάμεσιν ἕτερα. ὥσπερ γὰρ ἐπὶ τῶν ἀγρίων καὶ τῶν

ἡμέρων

17 τὸ γὰρ ξηρὸν, ὅτ᾽ εὐώδιμον, ὅτ᾽ ἔγχυλον. διὸ καὶ τῶν καυλῶν ἀκμάζει. Ἡ δ᾽ ὀσμὴ χωρὶς δ᾽ ἀνάπαλιν ἐπί γε τούτων· χλωραὶ μὲν γὰρ ἢ οὐχ ὁμοίως. ἀποξηρανθεῖσαι δ᾽ ὄζουσιν, ὥσπερ ἡ τῆς ἴριδος, καὶ ἡ τοῦ καλάμου δὲ καὶ σχοίνου, καὶ ἁπλῶς τῶν φύσεων. ἐπεὶ καὶ τὸ κύπερον, καὶ τῶν ὀσμωδῶν ὂν καὶ ξηρόν, ἧττον ὄζει πρόσφατον. ἀκμάζει δὲ καὶ τούτων ὡς ἀπομαραινόμενα μᾶλλον, ἀοσμότερα γίνεται. ἀλλὰ ταῦτα μὲν, ὥσπερ σύμφωνα. οἱ δὲ χυλοὶ καὶ ἐν τοῖς ἄλλοις ὁμοίως ἔχουσι τὰς δυνάμεις. ἐνίων γὰρ ἐν ταῖς ῥίζαις μάλιστά εἰσι, καθάπερ τῶν δριμέων· οἷον σκορόδου, κρομμύου, ῥαφανίδων· ὡσαύτως δὲ καὶ τῶν φαρμακωδῶν, ἅπασαι δὲ καὶ αὗται σαρκώδεις. οὐ μὴν ἀλλὰ διαμένουσιν αἱ δυνάμεις τῶν φαρμακωδῶν ἀποξηραινομένων μέχρι τινός, εἶτ᾽ ἀκμάζουσιν, ἔπειθ᾽ ὅλως ἰσχυρότεραι ξηρανθεῖσαι, διὰ τὸ ἀφῃρῆσθαι τὸ ὑδατῶδες. οὕτω γὰρ καὶ οἱ τόποι πάντες χρήσιμοι, καὶ σωματωθέντες· ἡ δὲ σωμάτωσις, ἐκκρινομένου τοῦ ὑδατώδους. διὸ καὶ παρασκευάζουσιν αὐτοί, τὰ μὲν ἐγχυλίζοντες καὶ ξηραίνοντες, τὰ δ᾽ ἐντέμνοντες, ὅπως ὁ ἥλιος καὶ ὁ ἀὴρ πέψῃ, καθάπερ τὰς ῥητίνας, καὶ ὅσα ἄλλα τοιαῦτα· καὶ τὸν λιβανωτὸν, καὶ τὴν σμύρναν, καὶ τὸν ὀπὸν τοῦ σιλφίου. ἔστι δὲ καὶ τῶν μὲν ἄνω καὶ ἐν ταῖς ῥίζαις ἡ ἐντομή, καθάπερ φαρμακωδῶν τινων, καὶ τοῦ σιλφίου. καὶ γὰρ ἡ ῥίζα καὶ ὁ καυλὸς ἐντέμνεται, καὶ ἑκατέρωθεν ὁ ὀπός. τῶν δὲ μεμερισμένων, τῶν μὲν ἐν ταῖς ῥίζαις, τῶν δὲ ἐν τοῖς καυλοῖς, ὡς ἂν ἔχωσιν ἑκατέρας φύσεως. ἐὰν μὲν τὰς ῥίζας εὐχυλοτέρας, ταύτας· ἐὰν δὲ τὰ ἄνω, τοὺς καυλούς. ἐπεὶ ὅσα γε ξηραὶ καὶ ξυλώδεις, οὐκ ὀπίζουσιν. ὁμοίως δὲ τῶν αὐτομάτως ἀποπηγνυμένων δακρύων· οἷον ἐπί τε τῆς πίτυος, καὶ ἀκάνθαις τισί, καὶ ἐπὶ τῶν δένδρων διαδίδωσιν ὥσπερ ἀμυγδαλῆ. καὶ ὁ ἄρρίων, ἐλάτη, καὶ τέρμινθος. τούτων δὲ τὰ μὲν καὶ εὔοσμα, καὶ εὐώδη, τὰ δ᾽ ἄχυλα καὶ ἄοσμα· καθάπερ τὸ κόμμι τὸ τῆς ἀκάνθης τῆς ἐν Αἰγύπτῳ. καλοῦσι δὲ τὰ μὲν ὀπούς, τὰ δὲ δάκρυα. κοινότερον δὲ ὁ ὀπός. διαφέρει δὲ ἴσως οὐδὲν· ἐπεί τό γε κοινότατον, ὁμωνύμως λεγόμενον, ἡ ὑγρότητος οἰκεία, καθ᾽ ἕκαστον πέψιν ἔχουσα. διὰ δὲ τὸ σωματωδεστέρας εἶναι καὶ γλίσχρας, τὰς δ᾽ ὑδατώδεις ἀγλίσχρους,

18 τῶν μὲν γίνεται πῆξις, τῶν δ᾽ οὔ. πρὸς ἐνίας δὲ καὶ προσεμβάλλουσί τι, πρὸς τὸ πῆξαι καὶ συλλέγειν. Ὅτι δὲ τὰ μὲν ἐν ταῖς ῥίζαις, τὰ δ᾽ ἐν τοῖς καυλοῖς τὰς δυνάμεις ἔχει ταύτας, ἐκείνην χρὴ τὴν αἰτίαν ὑπολαβεῖν, τὴν μικρῷ πρότερον λεχθεῖσαν. ὧν ἡ φύσις ἑκατέρων σύμμετρος εἰς τὴν δύναμιν, ἔνθα μὲν ὑγρὸν ἱκανόν, ἔνθα δὲ ἔλαττον ἔχουσα, καὶ ξηρὸν ὡσαύτως, ἔτι δ᾽ ὧν ἡ οὐσία μᾶλλον ἐφ᾽ ἑκάτερα ῥέπει (καὶ γὰρ ἐπὶ τῆς αὐξήσεως καὶ τοῦ μεγέθους τοῦτό ἐστι) τὰ μὲν ἐν τοῖς ἄνω, τὰ δὲ ἐν ταῖς ῥίζαις ἔχει μᾶλλον. οἱ μὲν γὰρ σίκυοι, καὶ κολοκύνται, καὶ ἄλλ᾽ ἄττα πλείω, τὰ ἄνω μείζω, ῥίζαν δὲ μικρὰν ἔχουσι. σκίλλα δὲ, καὶ βολβὸς, καὶ ἁπλῶς τὰ κεφαλόρριζα, τὰ μὲν ἄνω λεπτὰ καὶ ἀσθενῆ, τὰς δὲ ῥίζας μεγάλας καὶ σαρκώδεις. ὅπου γὰρ ἐνυπάρχει δριμύτης, ἢ καὶ ἄλλη τις τοιαύτη δύναμις, ἐν ταῖς ῥίζαις γίνεται μᾶλλον· ὥσπερ τοῖς κρομμύοις, καὶ τοῖς σκορόδοις, καὶ ταῖς σκίλλαις. τοῦτο δ᾽ εὐλόγως, ἐνταῦθα τῆς φύσεως ὡρμηκυίας μᾶλλον. ἀκολουθοῦσι γὰρ ταύτῃ καὶ αἱ δυνάμεις, ὃ καὶ ἐπὶ τῶν φαρμακωδῶν ἐστι δῆλον τῶν πλείστων. αἱ γὰρ ῥίζαι φαρμακωδέστεραι, καὶ μᾶλλον ἔχουσι τὴν δύναμιν. ἡ δ᾽ αἰτία δυοῖν ἐκείνοιν νῦν τηρεῖται, τοῦ τε μὴ καθυγρα, καὶ τοῦ μὴ κατάξηρα γίνεσθαι. τὰ μὲν γὰρ οὐκ ἔχει πέψιν διὰ τὸ πλῆθος, τὰ δ᾽ οἷον ὕλην εἰς τὴν πέψιν διὰ ξηρότητα. πέψις δὲ ἑκάστου οὖσιν, ὥσπερ εἴρηται, πρὸς τὴν οἰκείαν φύσιν καὶ δύναμιν. ὅτι μὲν οὖν ὥσπερ ἐναντίως, τῶν μὲν ἄνω, τῶν δὲ κάτω συμβαίνει τοὺς χυλοὺς καὶ τὰς ὀσμὰς καὶ ἁπλῶς τὰς τοιαύτας δυνάμεις, ἐκ τῶν εἰρημένων δεῖ θεωρεῖν. ὅτι δ᾽ οὐκ ἐν μὲν τοῖς ἄνω πᾶσιν, οὐδ᾽ οἱ χυλοὶ τυγχάνουσιν, οὐδ᾽ αἱ ὀσμαί, δῆλον οὐ πόρρω τῶν εἰρημένων, εἰ τινῶν εἰσιν. ὡς μὲν γὰρ ἁπλῶς εἰπεῖν, ἔχει τὴν ὁμοιότητα καὶ κατὰ τοὺς χυλούς, καὶ κατὰ τὰς ὀσμὰς ἕκαστον τῶν μερῶν. διαφέρει δὲ τὸ μᾶλλον καὶ ἧττον. ἐμφανὲς δὲ τοῦτο μάλιστα ἐπὶ τῶν ἀκρατεστέρων ταῖς ὀσμαῖς καὶ τοῖς χυλοῖς, οἷον ἐλάτης, πεύκης, κυπαρίττου, πίτυος· ἔτι δὲ τῶν εἰρημένων, συκῆς. ἐν τοῖς ὑδαρεστέροις δὲ οὐχ ὁμοίως. ἀλλ᾽ ἐν τούτοις καὶ διαφέρουσιν, ὥστε τὰ μὲν ἔγχυλα, τὰ δὲ ἄχυλα, καὶ δύσχυλα, καὶ εὔοσμα, τὰ δὲ ἄοσμα γίνονται. καὶ διαφέροντα δὲ ταῖς ὀσμαῖς καὶ τοῖς χυλοῖς, ὥσπερ τῆς ἀμπέλου τό, τε οἴναρον καὶ ὁ βότρυς. καὶ ἁπλῶς δὲ πάντων καὶ τῶν φύλλων καὶ τῶν καρπῶν. αἴτιον δ᾽ ὅτι τὸ μὲν ἄπεπτον, τὸ δὲ πεπεμμένον· τάχα δὲ μᾶλλον, ὅτι οὐδὲ ἐκ τῆς αὐτῆς ὕλης ἑκάτερον, ἀλλὰ τὸ μὲν ὥσπερ ἐκ καθαρᾶς τινος καὶ εἰλικρινοῦς, τὰ δ᾽ ἐκ περιττωματικῆς. εἰσὶ δ᾽ ἐκ βλοσυρωτέρας καὶ σωματωδεστέρας οἱ βλαστοὶ καὶ ἀκρέμονες, καὶ

σμία τυγχάνει. ἄμφω μὲν γὰρ ταῦτα πέψει γίνεται. τὸ δὲ πλεῖστον ἔχον καὶ ἀεὶ κινοῦν τὴν τροφὴν, ἀφ᾽ ἧς τοῖς ἄλλοις ἡ διάδοσις, οὐκ εὔλογον εἰς πέψιν ἥκειν ἢ εὐχυλίαν ἢ εὐοσμίαν· ὡς οὐδὲ τῶν ζώων αἱ κοιλίαι. περὶ δὲ τούτων καὶ τῶν τοιούτων ἀρχῇ χρωμένους τῇ πολλάκις εἰρημένῃ, διότι πέψει τινὶ ταῦτα γίνεται, τὸ κατὰ μέρος δεῖ λαβεῖν, ἐπὶ τοῦ τευτλίου λεχθέντος πρότερον, ὅτι αἱ ῥίζαι κοιλίαι τοῖς φυτοῖς εἰσι πάντως· εἴ τι καὶ τοῦτό τις θείη, διὰ τὴν τροφὴν ἀλλοιοῦσθαι πρῶτον ἐν αὐταῖς. ἀλλ᾽ ἐκεῖνό γε φανερὸν, οὐκ ἔχουσιν εἰς τὴν πέψιν. τοιαύτας δ᾽ οὔσας οὐδὲν κωλύει εὐχυλίαν καὶ εὐοσμίαν ἔχειν, ὅσαι κρᾶσιν εἰλήφασι τοιαύτην. ἐπεὶ καὶ ἐν ταῖς τῶν ζώων κοιλίαις περιττώματα ἐχούσαις, ὅμως ἔνεστιν ὑγρότης, εὐχυλία τις οὖσα καὶ πέψις, ὡς μάλιστα τῆς τοιαύτης ἀλλοιώσεως ἐνταῦθα γινομένης. καὶ ἐπὶ τῶν δένδρων ἐστὶν, ἃ ἂν τυγχάνῃ, καθάπερ πεύκη. πᾶσα γὰρ ἔνδαδος ταῖς ῥίζαις, ὥσπερ ἐλέχθη πρότερον. αἴτιον δ᾽ ὅπερ ἐπὶ τῶν ζώων. ἔτι τὸ διαθερμαινόμενον ἀεὶ πεττόμενον, καθαρώτατον ὂν, πεσίζει, καὶ ἀθροιζόμενον καὶ πυκνούμενον ἐποίησέ τινα ποιότητα. τὸ δ᾽ ἴδιον εἰς τὰ ἄνω μέρη τροφὴ γίνεται τοῖς ὑπὲρ γῆς· οὐ διὰ τὴν ποιότητα ταύτης, ἀλλ᾽ ἔχον τινὰς ἑτέρους τρόπους. ἐπεὶ πάντων γε διαδαδωθέντων, ἀπόλλυται τὰ δένδρα, καθάπερ ἐλέχθη, συμπνιγόμενα, καὶ οὐδεμίαν ἔχοντα δίοδον τῷ πνεύματι. ὅπερ δὲ συμβαίνει καὶ ἐπὶ τῶν ζώων, ὅσα διαπιαίνεται. συμφράττονται γὰρ οἱ πόροι, διὰ τὴν πυκνότητα τῆς πιμελῆς, ὥστε μὴ διϊέναι εἰς τέλος τὴν πνοήν. οἷς μὲν οὖν μὴ φύσει ὅλως λιπαρότης, καὶ πιότης, ἢ αὐτὴ μὴ πολλὴ, μὴ δὲ σωματώδης, τούτοις οὐ γίνεται τοιαύτη πάχυνσις· οἷς δ᾽ ἔνεστι, γίνεται κατισχυούσης τῆς θερμότητος.

16 Παρόμοιον δὲ τούτῳ καὶ τὸ παρὰ τὴν οὐλότητα τῶν ξύλων ὄζων. οὐλότερα γὰρ ἀεὶ τὰ μὲν ἐν τοῖς στελέχεσι, τοῖς ἄνω. τούτων δὲ αὐτῶν τῶν ἄνω, καθάπερ καὶ παχύτατα καὶ πυκνότατα. συμβαίνει δὲ τοῦτο, διὰ τὸ μᾶλλον ἀπολύειν καὶ ξυνίστασθαι τὴν τροφήν. ὅπερ ὅλως καὶ ἡ εἰς βάθος αὔξησις, εἰς τὸ ἄνω διϊοῦσα, πρὸς τὴν βλάστησιν καὶ τὸ μῆκος ὄζων. ἐφισταμένης οὖν καὶ ὥσπερ εἰλουμένης, ἐνταῦθα καὶ ἡ πυκνότης καὶ ἡ οὐλότης γίνεται τῶν ξύλων. ἐκείνη δὲ ἀεὶ δίεται πρὸς τὸ πόρρω· διὸ καὶ οὐκ ἔστιν ἐν τοῖς νέοις οὐλότης, ἅτε καὶ ἐπ᾽ αὔξησιν ὁρμώντων. ἀλλ᾽ ὅταν στῇ τι τοῦ μήκους, ὥσπερ ἐπὶ τῶν ζώων. ἡ αὐτὴ δὲ καὶ σύνεγγυς αἰτία, καὶ διὰ τί δᾷδα καὶ πίονα καὶ ῥητίνην ὅλως οὐκ ἔχει τὰ νέα· καταναλίσκεται γὰρ ἡ τροφὴ πᾶσα πρὸς τὴν αὔξησιν καὶ καρπογονίαν. ὕστερον γὰρ ἐκδαδοῦται, καὶ ὅλως τὴν τοιαύτην ὑγρότητα τῆς καρπογονίας λαμβάνουσιν, ὥστε γε καὶ πλῆθος εἰπεῖν. τό, τε γὰρ οἷον περίττωμα γίνεται τοῦτο φυσικὸν, ἀφῃρημένης μὲν τῆς εἰς τὸ μῆκος ὁρμῆς, ἰσχυόντων δὲ μᾶλλον τῶν ῥιζῶν καὶ τοῦ ὅλου δένδρου. ταῦτα μὲν οὖν διὰ τὸ συγγενὲς τῆς αἰτίας, ἔλαβε τὴν χώραν ταύτην. ἡ δ᾽ εὐχυμία καὶ ἡ γλυκύτης καὶ ἡ εὐοσμία ἐνίων ῥιζῶν, ἄνευ τῶν ἄλλων μερῶν, διὰ τὴν εἰρημένην αἰτίαν γίνεται. φανερὸν δὲ καὶ ἐπὶ τῶν ἐλαττόνων ἔτι, οἷον ποωδῶν καὶ λαχανωδῶν, καὶ ἐνίων ὑληματικῶν, ὧν αἱ μὲν ῥίζαι γλυκεῖαι, τὰ δὲ ὑπὲρ γῆς οὐχ ὅμοια· λέγω δ᾽ οἷον ἀγρώστιδος, κυπείρου, τευτλίου, σελίνου, ἱπποσελίνου, τῶν ἐν ταῖς λίμναις καὶ τῶν ἐν τοῖς ποταμοῖς τόπων φυομένων ἐδωδίμων. αἱ μὲν γὰρ ῥίζαι γλυκεῖαι πολλῶν, καὶ ἐδώδιμοι, καὶ οἱ καυλοί· τὰ φύλλα δ᾽ οὔ. τὸ δ᾽ αἴτιον ἐπὶ πάντων τῶν τοιούτων, * ἔνδοσιν. † ἡ γὰρ ὑγροτέρα καὶ ὑδατωδεστέρα, καθάπερ ἐπὶ τοῦ τευτλίου καὶ τῶν λιμναίων· ἅμα γὰρ ὑδατώδη καὶ λεπτὰ, καὶ οὐχὶ πέψιν μὴ ἔχοντα, οὐδὲ χυλὸν ἔνδηλον εἰς ἡδονήν· ἡ δὲ ῥίζα καὶ ὁ καυλὸς ἔχουσιν. ἢ πάλιν διὰ ξηρότητα τῶν ἄνω, καθάπερ ἡ ἄγρωστις, καὶ ἁπλῶς πάντα τὰ καλαμώδη. ξηρὰ γὰρ τὰ ἐπάνω, τὰ κάτω δ᾽ ἔνυγρα. χυλὸς δὲ οὔτε ἐν ξηρότητι γίνεται, οὔτε ἐν ὑγρότητος πλήθει. διὸ καὶ τῆς ἀγρώστιδος καὶ τοῦ σισυριγχίου καὶ τῶν ἄλλων τῶν τοιούτων, αἱ μὲν ῥίζαι γλυκεῖαι· τὰ δ᾽ ἄνω, ξηρὰ, καὶ οὐχ ἡδέα, καθάπερ ἄχυλα. ταὐτὸ δὲ καὶ ἐπὶ τοῦ σελίνου καὶ ἱπποσελίνου· αἱ μὲν γὰρ ῥίζαι σαρκώδεις καὶ εὔοσμοι, τὰ δὲ φύλλα ξηρότερα, καὶ ὥσπερ δριμύτερα. καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως. ἅπαντα δ᾽ ὡς εἰπεῖν ἐν ταύταις ταῖς αἰτίαις ἐστί. διὸ καὶ ὅπου πλείων εὐτροφία, καὶ τὰ ἄνω τῆς φύσεως ξηρῶν ἐδώδιμα, καθάπερ ἐν Αἰγύπτῳ τῆς καλάμης τῆς ἐν τοῖς ἕλεσιν. ἔχει μὲν γάρ τινα γλυκύτητα καὶ ἄλλως ἐπὶ τῶν ἄκρων, ἀλλ᾽ ἐπὶ βραχὺ πάντων· ἐκείνη δὲ διὰ τὴν εὐτροφίαν ἁπαλός γ᾽ ἐπὶ πλεῖον ὄζων, καὶ γλυκύς. ἔχουσι δὲ καὶ αἱ ῥίζαι τὴν γλυκύτητα, μέχρις οὗ ἂν ξηρανθῶσιν· ἀναξηρανθεῖσαι δὲ οὐκέτι.

περὶ τούτων ἕτερος λόγος. τὸ δ' ἐριβίνθου καὶ οἰκεῖον φαίνεται, καὶ χρήσιμον. ἀφαιρεθέντων γὰρ ὅταν ἀνθῶσιν, ἐκφῦσι καὶ ἄρτι συνισταμένους, ἀπόλλυνται καὶ διαφθείρονται σφακελίσαντες. ὥστε πρὸς σωτηρίαν ἡ φύσις ἐπάγοιτ' ἂν τὰ τοιαῦτα συγγενῆ. φαίνονται δὲ καὶ ὅλως τινὰ ἔχειν τοῦτον χυλὸν ἐν τοῖς φύλλοις καὶ κλωσίν, ὃς καὶ ἀποπλυθέντων ὅλως, ἔνδηλός ἐστι περὶ τὴν γεῦσιν, οὐ μόνον ἐν τούτοις, ἀλλὰ καὶ ἐν αὐτῷ τῷ καρπῷ. δῆλον δὲ ὥσπερ ἐν τῇ γεύσει γίνεται, κἄν τις ἐπὶ τὴν γλῶτταν ἐπιθῇ, διαμασησάμενος ὅλως. ἐν τῷ κελύφει γὰρ ἡ ἁλμυρίς, οὐκ ἐν τῷ ἐντός, ἣ καὶ συνδιατηρεῖ πρὸς τὸ ἄκοπον εἶναι. καὶ φαίνεται τὴν αὐτὴν ἔχειν τάξιν, ἅπερ καὶ πεφυκότες, καὶ γὰρ ἐν ἀμφοῖν ἔξω καὶ ὥσπερ φυλακῆς χάριν. χλωρῶν μὲν οὖν ὄντων, ἐν τῷ καυλῷ καὶ λοβῷ, καθάπερ εἴρηται. ξηραινομένου δέ, καὶ τὸ κέλυφος λαμβάνει τοιοῦτον χυλόν, ὥσπερ ἐκκρινόμενον ἀπὸ τῶν ἐντός. ἔξω γὰρ ἀφίστασθαι τὰ τοιαῦτα εὔλογον, ὡς ἂν ἀλλότρια· καθάπερ καὶ ἐν τοῖς συκίοις ἡ ἐν τῷ χνοῒ πικρότης. καὶ ὡς ἐν Καρίᾳ φασὶν ἄπιόν τιν' ἔχειν χνοῦν ἀνώδυνον θαυμαστῶς, ὥστε ἂν μὴ ἀποπλύνῃ τις, μὴ δύνασθαι ἐσθίειν. οὐδὲν γὰρ ἄτοπον, οὐδ' εἰ πλείω τοιαῦτ' ἐστίν, ἐπεὶ οὐδὲ ὥσπερ πόρρω τῶν εἰρημένων, οἷον τὸ ταῖς βαλάνοις ἐπὶ τῷ ἄκρῳ τὴν πικρίαν εἶναι, † τοῖς βολβοῖς ἐν τῇ καλουμένῃ κορυφῇ, καὶ τοῖς σκορόδοις τὴν δριμύτητα ἐν τῷ διάκονι τῆς γελγίδος. πλὴν ταῦτα μὲν ὡς καθ' ὁμοιότητά τινα εἰρήσθω. ὅτι δὲ φαίνεται φυσικόν τι καὶ συγγενές, ἐκεῖθεν δῆλον. ὅπου γὰρ ἂν σπαρῇ καὶ φυῇ, πανταχοῦ λαμβάνει τὴν ἁλμυρίδα, κἂν μὴ τὸ ἔδαφος ᾖ τοιοῦτον. ἐπεὶ καὶ τά γ' ἐν τοῖς ἁλμώδεσι φυόμενα, διὸ ἔχειν ἁλμυρίδα τινά, οὐκ ἄλογον, ὥσπερ ἄλλα τε καὶ τὸ ἅλιμον. ἔνια καὶ εὐχυλότερα καὶ βελτίω γίνεται, καθάπερ τὴν ῥάφανον· ἐξαιρεῖ γὰρ αὕτη τὴν δριμύτητα καὶ τὴν πικρότητα τὴν ὑπάρχουσαν. ἅμα δὲ καὶ ἀμυρεστέραν τινὰ ποιεῖ, παραιρουμένη τὴν ὑγρότητα τὴν πλείω. δεινοὶ γὰρ οἱ ἅλες ἀφελεῖν, ἐμφανὲς δὲ ὥσπερ ὠμῆς οὔσης. πίπτουσα γὰρ ἐπὶ τὴν γῆν ἔνια θραύεσθαί φασιν. ὅταν οὖν τοιαύτη καὶ οὕτως ἔχουσα παραδοθῇ τῷ πυρί, πρὸς λόγον ἤδη τὸν χυλόν, ἢ καὶ γλυκεῖαν καὶ ἁπαλήν. ἐπεὶ καὶ οἱ τὸ λίτρον ἐμβάλλοντες, τοῦτο βούλονται ποιεῖν· ἀλλ' ἐξ ὀλίγου ποιοῦσιν. ἡ δὲ φύσις ἐκ πολλοῦ καὶ πρὸς μικρὸν ποιήσασα, τοιαύτην ἐπιδίδωκεν. ὅθεν οὐδὲ ὥσπερ ἄλογον, τὸ περὶ τροπὰς καὶ περὶ ἄστρον, ἐνιαχοῦ καὶ ὅλως τοῦ θέρους βελτίω, καθάπερ ἐν ἐριβίᾳ. τότε γὰρ μᾶλλον ἡ ἁλμυρὶς ἐργάζεται, καὶ κρατεῖ, αὐτῶν μὲν ὅσα πλείων, τῆς δ' ὑγρότητος ἐλάττονος γινομένης ἐν ἐκείνῃ. κατ' ὀλίγον δὲ καὶ τὸ ἐν Αἰγύπτῳ, καὶ τὸ ἐν ἅπασι τοῖς τοιούτοις τόποις εἶναι χρηστήν. ἀλλὰ γὰρ ταῦτα μὲν ἴσως ἐπὶ πλεῖον εἴρηται. ἡ δ' ἁλμυρὶς εἴθ' ὑπὸ τῶν ῥιζῶν ἕλκεται, εἴθ' ὑπὸ τῆς τοῦ ἡλίου θερμότητος ἀναφέρεται, κατ' ἀμφοτέρους τόπους οὐκ ἂν ἀκίνητος ἀπὸ τῆς γῆς εἴη, περὶ οὗ ἦν ὁ ἐξ ἀρχῆς λόγος. ἀλλὰ περὶ μὲν τούτων, ἅλις.

Ἐκεῖνο δ' ὡς οἰκεῖον τῶν χυλῶν, πειρᾶσθαι δεῖ διαιρεῖν· οἷον ποῖον μᾶλλον καθ' ἕκαστον γένος, ἢ τὸ ξηρόν, ἢ τὸ ὑγρόν. ὥσπερ ὁ ὀξὺς ὑγροῦ δοκεῖ μᾶλλον, καὶ ὁ αὐστηρός· ὁ δὲ δριμὺς ξηροῦ, καὶ ὁ γλυκύς. παχυνόμενα δ' οὖν τὰ ὑγρά, γλυκύτερα. ὁ δὲ πικρὸς τάχα οὐθὲν ἂν τούτων διαφέροι. γινομένων δὲ πάντων ἐξ ἀμφοῖν, εἰ μὴ αὐτῶν τούτων θάτερον μᾶλλον ὑλικόν, οὕτω δὲ πάντες ἀπὸ τοῦ αὐτοῦ, καὶ εἰσὶν (ὥσπερ ἐλέχθη) πάντες ἐν ξηροῖς. ἀλλὰ τοὺς μὲν ἀποχωρίζομεν αὐτῶν. καθάπερ καὶ τοὺς βότρυας καὶ τὰς ἐλαίας· ὥσπερ δὲ οὐ πρὸς τὴν χρείαν ὁρῶντες. ἐνίοις δὲ καὶ ὕδωρ ἐπιχέαντες λαμβάνουσιν, ὥσπερ τοὺς ἐπὶ τῶν ἀκροδρύων καὶ συκῶν. τοὺς δὲ καὶ ἐξιστάντες τῆς φύσεως, καὶ ὑποσήποντες, εἰς χυλοὺς ἄγουσι ποτίμους· οἷον, ὡς οἱ τοὺς οἴνους ποιοῦντες ἐκ τῶν κριθῶν καὶ τῶν πυρῶν, καὶ τὸ ἐν Αἰγύπτῳ καλούμενον ζῦθος. ἁπάντων δὲ τούτων αἱ μὲν ἀρχαὶ καὶ δυνάμεις, φυσικαί· τὰ δὲ γινόμενα, τέχνης μᾶλλον καὶ συνθέσεως. ἀλλὰ περὶ μὲν τῶν ἀπὸ διανοίας καὶ τέχνης γινομένων, αὐτὰ καθ' αὑτὰ δεῖ θεωρεῖν. τῶν δὲ φυσικῶν χυλῶν τὰ πάθη καὶ τὰς γενέσεις, ἐκ τῶν εἰρημένων θεωρητέον. ὑποκειμένων δ' οὖν καὶ διωρισμένων τούτων, ἀπορήσειεν ἄν τις, διὰ τί ποτ' οὐκ ἐν τοῖς αὐτοῖς μέρεσιν ἡ εὐχυλία καὶ ἡ εὐοσμία γίνεται πᾶσιν· ἀλλὰ τοῖς μὲν ἐν τοῖς ἄνω, τοῖς δὲ ἐν τοῖς κάτω καὶ περὶ τὰς ῥίζας. καὶ οὐδὲ τῶν ἄνω πάντων ἐν τοῖς αὐτοῖς, ἀλλὰ τοῖς μὲν ἐν τοῖς περικαρπίοις, τῶν δὲ ἐν τοῖς φύλλοις, τῶν δὲ ἐν τοῖς ἄνθεσι καὶ τοῖς κλωσί, καὶ μᾶλλον αἱ ὀσμαὶ τῶν χυλῶν. ἐπεὶ καὶ ἐν τοῖς φλοιοῖς ἐνίων. ἔτι δὲ τῶν εὐόσμων ὅλως, ἥκισθ' ὡς εἰπεῖν εὔοσμα τὰ ἄνθη, καθάπερ ἑρπύλλου, σισυμβρίου, ἐλενίου. καίτοι κατὰ λόγον ἦν, ὃ καὶ τοῖς ἄλλοις εὐοσμότατον ἀόσμοις οὖσι, ὥσπερ καὶ ἐν τοῖς εὐόσμοις εὐωδέστατον εἶναι. θαυμαστὸν δὲ καὶ τό, ἐνίων τὸ μὲν ἄνθος ἥδιστον ὄζειν, τῶν δ' ἄλλων μορίων ὅλως μηδέν, ὥσπερ ἐπὶ τῶν ἴων καὶ τῶν ῥόδων. ἔχει δὲ καὶ τὸ περὶ τῶν λεχθὲν ἀπορίαν, ὅσων ἐν ταῖς ῥίζαις ἡ εὐχυλία καὶ ἡ εὐο-

σμία

χρονιζόμενα, καθάπερ τὰ κρυώδη. ταῦτα γὰρ δύναμιν μὲν ἔχει, καθάπερ ἐλέχθη. τῇ δ᾽ ἐν ὀργάνῳ ὁ χρόνος ἀποδίδωσι, τῆς μὲν ὑδατώδους ἀπογινομένης, τῆς λιπώδους δὲ ξυνισταμένης καὶ πεττομένης. τῶν δὲ καὶ κομιδῇ ξηρῶν τις ἡ λιπότης, εἰ μὴ ἄρα καὶ αὐτὴ προσδιεσώσατο τὸ θερμὸν ἐν ἴσῳ ἐνδέχεται ταὐτὸ τοῦτο ποιεῖν. ἁπάντων δ᾽ ὅσα χυλὸν ἔχει, τὰ μὲν εὐθὺς καὶ ὀσμώδη τυγχάνει, τὰ δὲ πολλὰ συνεμφαίνει τινὰ γευομένοις ὀσμήν. ἔνια δὲ καὶ θλιβόμενα μόνον, καὶ κινούμενα. καὶ πάλιν τὰ ὀσμώδη διαμασωμένοις καὶ γευομένοις χυλὸν ποιεῖ, σύνεγγυς τῶν αἰσθήσεων κειμένων. ἀλλὰ τρόπον τινὰ ἐστὶ τῶν αἰσθητῶν, ἢ καὶ οὐ κακῶς ἂν δόξειεν λέγεσθαι τὸ περὶ τοὺς χυλοὺς τελεῖν τὰς ὀσμάς. αὐτὴ γὰρ ὡς ἐκείνην φέρει τὴν δόξαν, ὡς ἐχόντων τινὰ συγγένειαν καὶ ἀπὸ ταὐτοῦ πως γενομένων. ἃ δὴ καὶ δεῖ διελεῖν, εἴ τι ἑκατέρου, ἢ πρὸς ἑαυτὸ διαφέρειν. 13 Οὐ μὴν ἴσως κατά γε τὰς προσηγορίας ἀκολουθοῦσι πᾶσαι. πικρὰν γὰρ ὀσμὴν ἐστὶν ἁλμυρὰν καὶ λιπαρὰν καὶ στρυφνὴν, οὐκ ἐθέλει λέγειν. οὐδὲ γὰρ οἱ χυλοὶ πάντες περὶ τὰς ὀσμάς. ὡς οὐδὲν ἧττον ὑπεστί πως κατάλληλα, καὶ συνακολουθεῖ καὶ θατέρῳ θάτερον. ἑκάστου δὲ τῶν χυλῶν ἰδέαι πλείους, οἷον γλυκέος, πικροῦ, τῶν ἄλλων. καὶ γὰρ μελιτώδεις, καὶ οἰνώδεις, καὶ γαλακτώδεις, καὶ ὑδατώδεις † εἰσί. τάχα δὲ καὶ τῷ μᾶλλον καὶ ἧττον διαφέρουσι. κυριωτάτως δὲ τῇ καταμίξει τῶν ὑποκειμένων. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. ταῦτα μὲν οὖν σχεδὸν συμφωνοῦσι πάντες. ἡ δὲ τῇ γεύσει τῶν ὀσμῶν αἴσθησις, οὐκ ἄλογος· ἥπερ μάλιστα ἔνδηλος, ἐπὶ τῶν εὐόσμων λεγομένων, τῶν τε λαχανηρῶν, ὥσπερ ἀνήθου, μαράθου, μυρίδος. ἐνίων δ᾽ οὐκ ἐχόντων ὅλως ὀσμὴν, καὶ ἔτι μᾶλλον ἐπὶ τῶν ξηρῶν. ἀόσμων δὲ τελείως οἷον φακοῦ, κνίκου, τοῦ πιστοῦ. διαθραυόμενα γὰρ ἅμα τῇ μασήσει, καὶ διαθερμαινόμενα, ποιεῖ τινὰ ἀτμὸν, ὃς ἀναπέμπεται λεπτὸς ὢν διὰ τῶν πόρων εἰς τὴν ὄσφρησιν. ἐμφαίνεται δὲ ἐστὶν ἐκ διαμασωμένου χυλός· ὡς ἐπίπαν δὲ τά γ᾽ εὔοσμα πάντα πικρά. τούτου μὲν οὖν τὴν αἰτίαν, ὕστερον λεκτέον. ἔοικε δὲ δυοῖν ὄντοιν ἐναντίοιν, οἷον τοῦ τε γλυκέος καὶ πικροῦ, τὸ μὲν οἷον εὐχυλίας ἀρχὴν, τὸ δ᾽ εὐοσμίας εἶναι, καὶ τρόπον τινὰ μᾶλλον τὸ πικρὸν τῆς εὐοσμίας. εὔοσμον μὲν γὰρ ἔργον λαβεῖν, μὴ πικρόν. εὔχυλα δὲ, πολλὰ καὶ μὴ γλυκέα. σχεδὸν δὲ ταῦτα καὶ ὀσμώδη περὶ τὴν γεῦσιν καὶ τὴν προσφοράν. ἡ δὲ γλυκύτης σπανίως, καὶ ἥκιστα εὔοσμος· καίτοι ἀμφοῖν γε διὰ πέψεως. ἀλλὰ περὶ μὲν τούτων, ὕστερον. 14 Ἐπεὶ δ᾽ οἱ χυλοὶ πλείους, ἀπορήσειεν ἄν τις, διὰ τί ποθ᾽ οἱ μὲν ἄλλοι πάντες ἐν τοῖς φυτοῖς καὶ καρποῖς γίνονται, καὶ γὰρ πικρὸς καὶ ὀξὺς καὶ δριμύς, ὁ δὲ ἁλμυρὸς οὐκέτι. οὐδὲν γὰρ τῶν φυομένων ἁλυκὸν, ὥστε ἐστὶν ἐν ἑαυτῷ τοιοῦτον ἔχειν τὸν χυλὸν, ἀλλ᾽ ἐν τοῖς περὶ τὰ ἔξω γίνεταί τις ἁλμυρὸς, οἷον καὶ τοῖς ἐρεβίνθοις, αὐτοὶ δὲ γλυκεῖς. αἴτιον δ᾽ ὅτι ἄτροφον, καὶ ὥσπερ ἀγέννητον τὸ ἁλμυρόν. σημεῖον δ᾽ ὅτι οὐδὲ φύεται οὐδὲν, ὡς εἰπεῖν, ἐν ταῖς τοιαύταις χώραις. διαθεῖ γὰρ ἐστὶν ἐξαιρεῖται τὰς δυνάμεις, ὥστε κωλύειν τὴν σύστασιν. ὃ δὲ καὶ τοῖς ἄλλοις τούτου αἴτιον, εὔλογον μὴ δὲ καθ᾽ αὑτὸ γεννᾶν. ἐπεὶ καὶ τὰ ἐν τῇ θαλάττῃ φυόμενα, γλυκυτέροις τισὶν ἐστὶν ἑτέροις χυλοῖς φύεται καὶ συνίσταται, καθάπερ ἰχθύς, καὶ τἆλλα ζῷα τὰ ἐν αὐτῇ. καθόλου μὲν οὖν τοιαύτη τις ἡ αἰτία. δεῖ γὰρ ἐξ οὗ τι μέλλει γίνεσθαι, μεταβλητικὸν εἶναι· τὸ δ᾽ ἁλμυρὸν ἀπαθὲς καὶ ἀμετάβλητον· διόπερ οὔτε φύεται οὐδὲν ἐξ αὐτοῦ, οὔτε αὐτοτελὲς οὐδέν. ὅλως δὲ ἐν τοῖς καθ᾽ ἕκαστα καὶ ἐν τοῖς παρακολουθοῦσι, καὶ τὰ τοιαῦτα δόξειεν ἂν συμφωνεῖν, οἷον ὅτι ὁ ἥλιος ἐστὶ τὸ ἐν ἑκάστῳ θερμὸν ἕλκει τὸ κουφότατον καὶ τὸ τροφιμώτατον· τὸ δ᾽ ἁλμυρὸν, βαρὺ φύσει καὶ ἄτροφον, ἔπειτα ἄσηπτον καὶ ἀναλλοίωτον. καταλειπόμενον οὖν, καὶ οὐ συνελκόμενον ὑπὸ τῶν ῥιζῶν, οὐκ ἀναμίγνυται τοῖς φυτοῖς. ἔτι δ᾽ εἴπερ ἀπηρτίσατο τὸ φυτὸν, οὐδὲν ἐπισπᾶσθαι καὶ ἕλκειν εἰκὸς τὸ ἄτροφον. δεῖ γὰρ καὶ εὐχρησίαν τινὰ γίνεσθαι, καὶ διὰ τοῦτο ἥκιστα ὑπὸ τοῦ ἡλίου ἀνάγεσθαι καὶ ἐπιπολάζειν. πανταχοῦ γὰρ πλατέα καὶ μεγάλα τοῖς ὑγροῖς ἐπιφέρεσθαι, ἀσύμπλεκτα δὲ καὶ ἄκολλα· διὰ τὸ μηδὲν ἔχειν σκαληνὲς, ἀλλὰ γωνιοειδῆ τε εἶναι καὶ πολυκαμπῆ. ταῦτα μὲν εἰ κωλύει πρὸς τὴν τῶν φυτῶν κατάμιξιν, ἔξεστι σκοπεῖν. πρὸς δὲ τὰ πρότερον εἰρημένα, ζητήσειεν ἄν τις περὶ τὰ καθόλου λεχθέντα, διὰ τί ποτε ἐνίοις ἐγγίνεται ἢ ἐπιγίνεταί γε. καὶ πόθεν ἡ ἁλμυρίς. εἰ μὲν γὰρ ἐν αὐτοῖς ὑπάρχει, δῆλον ὡς οἰκεῖον ἄν τι τῆς τροφῆς εἴη καὶ τῆς φύσεως. εἰ δ᾽ ἔξωθεν ἐπιγίνεται, καὶ τοῦτο μὲν ἧττον, ἐκεῖνο δ᾽ ἄν τις ὁμοίως ἀπορήσειε, πόθεν καὶ ὑπὸ τίνος. ἀνάγκη γὰρ ἐκ τοῦ ἀέρος, ἢ ἐκ τῆς ἀτμίδος ἄνω φερομένης, ἢ περὶ τὰς ῥίζας ἑλκυσθεῖν, ἐξανθεῖν οἷον περίττωμά τι. φαίνεται δ᾽ ἡ ἅλμη καὶ ὅλως ἐπιπολάζειν. εἰ μὲν οὖν οὕτω, φανερὸν ὅτι ἕλκοιεν αὖ. εἰ δ᾽ ἐκείνως, ἄτοπον, διὰ τί μόνοις ἐπικαθίζει τούτοις οἷον περὶ ἐρεβίνθων καταλαμβάνει καὶ τοῖς τοιούτοις. ὅτι γὰρ † ἅλμαι νοσηματικὴ, ὥσπερ ἡ ῥοδωνιά, καὶ ἄλλ᾽ ἅττα,

Margin notes: ἀνέμων — τοῦ γλυκέος εἴδη — τοῦ — ἅλμαις νοσηματικά

ὅταν ἡ θαλαττώδης, ἢ ἐπὶ τοῦ ἄστρου ὑπερβαλλῶς διακινήσῃ. καὶ γὰρ τότε παραπλήσιον τὸ πάθος ὂν, οὐ γίνεται σφοδρόν. ἀλλ' ὥσπερ δὴ τῶν ζῴων, ἐν τοῖς ἑπομένοις οἰκειότερον ἐπελθεῖν. ἡ δὲ φθορὰ καὶ ἡ ἀλλοίωσις ἐν τοῖς πεπηγμένοις πάθεσιν. ἐπεὶ καὶ τὸ μὲν διαφθειρόμενον ἐξυγραίνεται, πολλάκις δὲ ἐξοξύνεται. γηράσκον δὲ καὶ χρονιζόμενον, ἐκξηραίνεται, καταλειπομένου καὶ ἐνταῦθα τοῦ γεώδους. ὅλως δ' αἱ φθοραὶ πάντων, ἢ καταμίξει τοῦ ἀλλοτρίου, ἢ ἐκλείψει τοῦ οἰκείου διὰ χρόνον. αἱ δὲ καταμίξεις, ὁτὲ μὲν τῶν ἔξω τινῶν μιχθέντων, ὁτὲ δὲ τῶν αὐτῶν νοσάσαντός τινος καὶ πλεονάσαντος· τάχα δ' ἀληθέστερον εἰπεῖν, ὅτι κινηθέντος τινὸς καὶ διαφθαρέντος. οὕτω γὰρ ἡ τῶν περικαρπίων φθορὰ, καὶ αὐτῶν τῶν ὑγρῶν, οἷον οἴνου, γάλακτος. οὐδὲν δ' ἧττον πεπηγμένων καὶ ὑπὸ τούτων ἡ μετάβασις. ἐναντία γὰρ πᾶσι τούτων. αἱ δὲ ἐναντιότητες, πλείους· ὥστε τοῦτο μὲν φανερόν. ἡ δὲ πέψις πάντων τῶν καρπῶν, γίνεται μὲν ὑπὸ τοῦ θερμοῦ, καθάπερ εἴρηται. δοκεῖ δὲ τῶν ὀψικάρπων ὑπὸ τοῦ ψύχους, διὰ τὴν ὥραν. πέττει γὰρ, ὥσπερ ἀεὶ λέγομεν, τὸ θερμὸν ἀντιπεριϊστάμενον.

11 Ἴδιον δ' ἐπὶ τῆς ἐλαίας τὸ συμβαῖνον, εἴπερ ἀληθές· λέγουσι γὰρ, ὡς οὐδὲν πλέον ἴσχει τοῦ ἐλαίου μετ' ἀρκτοῦρον, ἢ ὅσον λαμβάνει τοῦ θέρους. ἅμα δὲ καὶ ὁ πυρὴν τότε γίνεται σκληρός, μεθ' ὃν οὐκέτι δύναται τὸ ὑγρὸν ἐξελαιοῦν. ὥστ' εἰ δὴ τῶν φυσικῶν πάθει δεῖ καὶ τῷ συμπτώματι τὸν ὅρον λαμβάνειν, τῷ πυρὶ ληπτέον. εἰ δὲ τῇ ὥρᾳ, τῇ τοῦ ἄστρου δύσει. τάχα δ' ἄμφω συμβαίνει διὰ τὴν αὐτὴν αἰτίαν, τῶν μὲν οἷον πεττομένων. διαμφισβητοῦσι δέ πως τινὲς, τὸ εἰκότι προσάγοντες. ὡς ἄτοπον, τὸ μηδὲν πληθύνεσθαι, τῶν ῥοφῶν καὶ ὑδάτων ἐπιγινομένων, καὶ τῇ αἰσθήσει φανερὸν γὰρ εἶναι καὶ τῇ πείρᾳ. λευκὰς γὰρ τριβομένας, ἔλαττον ἀφιέναι· πασῶν δὲ ἄριστα ῥεῖν, τὰς ἐσχάτας συλλεγομένας. διὰ μὲν γὰρ τὴν πλείωσιν, διὰ τὸ κεχωρίσθαι τὸ ὑδατῶδες ἀφῃρημένον, τὸ λοιπὸν ἐκπιέζεσθαι μᾶλλον. ὁ μὲν οὖν λόγος ἀντιλεγόμενος, οὗτος. ἐνδέχεσθαι δὲ δοκεῖ καὶ φαίνεσθαι πλεῖον, διὰ τὸ ὑδατῶδες καὶ τὴν ἀμόργην. ἐπεὶ ὅτι γ' ἔχουσι τὸ ἔλαιον πρὸ τοῦ μελανθῆναι, φανερόν· καὶ ὅτι καθαρώτερον καὶ λευκότερον. ἐκ γὰρ τῶν φαυλίων, ὠμὸν τὸ λευκόν. τὸ δ' ἐμφαίνειν τινὰ πικρότητα τῶν λευκῶν θλιβομένων, οὐδὲν ἄτοπον, ἢ εἰ ὕστερον ἐκπιέζουσι παύεται. τοῦτο γοῦν οὐκ ὀλιγότητος καὶ πλήθους σημεῖον, ἀλλ' ὅτι συναπόλλυταί τε καὶ περιέξ ὁ χυλός, ὥσπερ καὶ τῶν ἀγγείων. ὅτι δὲ οὐκ ἀναμένει τὴν τοῦ περικαρπίου πέψιν, φανερόν· ῥεῖ γὰρ ἐκ τῶν λευκῶν. ὥστε οὐδὲ δύναμει καὶ ἐνεργείᾳ διαιρεῖν δεῖν· ὅτι τὴν ὕλην, ἐξ ἧς μέλλει, πρότερον ἔχει. τίς οὖν ἡ αἰτία, καὶ τίς ὁ τρόπος, εἴπερ ἀληθὲς ἢ ἁπλῶς, ἢ ὡς βραχύ τινι πλέον. ἀμφότερα γὰρ ἄλογα, μεῖζον δὲ θάτερον. ἢ πρῶτον μὲν οὐχ ἡ αὐτὴ πέψις τοῦ τε χυλοῦ καὶ τοῦ περικαρπίου πρὸς ἐδωδήν. τοῦτο γὰρ δεῖ προσφιλὲς εἶναι τῇ γεύσει· τοῦτο δ' ἐν ἀλλοιώσει τοῦ γεώδους, ὥς δ' ἔνιοί φασι, σήψει. καὶ γὰρ †ὑδροπεπείας† ἐν σήψει. τὸ δ' ἔλαιον αὐτῇ τῇ τοῦ χυλοῦ μεταβολῇ. τοῦτο δ' ὅσῳ χαλεπώτερον, οὐκ ἄλογον ὑπὸ τοῦ πλείονος θερμοῦ δημιουργεῖσθαι, καὶ εὐθὺς ἀναπομίκτῳ χυλῷ τῷ γεώδει καὶ ὑδατώδει. πρὸς ἀρκτοῦρον δὴ οὖν ἄμφω ταῦτ' ἐστί· καὶ γὰρ ἡ ὥρα θερμοτέρα, καὶ ὁ χυλὸς ἀμιγέστερος. μετ' ἀρκτοῦρον δ' ἐναντίως· αὔξεται γὰρ ἡ σὰρξ τότε, καὶ τελειοῦται. διὸ δ' οὐκ ἐν πλήθει ῥοφῶν, οὐδ' εὐσαρκίᾳ τῶν ἐλαιῶν τὸ τοῦ ἐλαίου πλῆθος, ἐκ πολλῶν φανερόν. αἵ τε γὰρ ἐπομβρίαι ποιοῦσιν ἔλαττον, αἵ τ' ἀρδόμεναι χεῖρον ῥέουσιν. ὧν δὲ ἡ σὰρξ πολλὴ, ὁ δὲ πυρὴν μικρός, ὀλιγέλαιοι καθάπερ αἱ φαυλίαι, ὡς ἐνταῦθα τῆς φύσεως κεκμηκυίας. οὐδὲ δὴ ἐν τοῖς ψυχροῖς ἰσχύουσιν, ἀλλὰ σάρκα πολλὴν· ὃ καὶ ἀχρεῖον.

τοῦ

12 Διατί ἡ μὲν ἄμπελος ἐν τοῖς χειμεριωτάτοις †χυλόν†, ἡ ἐλαία δ' οὔ. αἴτιον δὲ τό, τε νῦν εἰρημένον, ὅτι εἰς τὴν σάρκα ἡ δύναμις. τοῦ βότρυος δ' ὁ χυλὸς, ἐν αὐτῇ τῇ σαρκί. καὶ ἔτι πρότερον ἴσως, καὶ κυριώτερον, διὰ ἡ θερμότης ἡ ποιοῦσα τὸ ἔλαιον, ἀσθενής. ἦρι δὴ γὰρ οὐ γίνεται, τὸ δὲ θέρος οὐ καλόν, ἀλλὰ τὸ μετόπωρον. †οὐκέτι† δύναται ἐν τούτῳ κατακρατεῖν ὁ ἥλιος. ὃ καὶ σημεῖον ἄν τις λάβοι, διά τι τοῦ θέρους γίνεται. τὸν μὲν γὰρ οἰνώδη καὶ ὑδατώδη χυλὸν δύναται τὸ ψῦχος ἐκπέττειν, τὸν ἐλαιώδη δ' ἀδύνατον. τὰ ὑδατώδη δὲ τὰ ἐκ Διὸς γινόμενα, καὶ τὰ ἐκ τῶν ὀχετῶν ἄρδοντα, τὴν σάρκα πληθύνει, καθάπερ εἴρηται, τὸ δ' ἔλαιον ἄμικτον· ὥσπερ καὶ ὅταν τοῦ περικαρπίου χωρισθῇ. ἐν Αἰγύπτῳ δὲ τὸ μὲν τῶν αἰγυπτίων καλουμένων ἐλαιῶν γένος, τὸ πολυσάρκον τε καὶ μεγάλων, ἔλαιον οὐκ ἔστι· θάτερον δ' ἐλαιῶδες. πολλὰ γάρ εἰσιν, ὥσπερ ἐν ταῖς ἱστορίαις εἴρηται. περὶ μὲν οὖν τῆς τοῦ ἐλαίου γενέσεως, τοιαύτην τιν' ὑποληπτέον τὴν αἰτίαν. ὑπὲρ δὲ τῶν ἄλλων τῶν λίπος ἐχόντων, ὥσπερ αὐτοί, συμφωνοῖτ' ἂν ἐκ πάντων. εἰ δ' ἔνια κατ' ἄλλην ὥραν, διαιρετέον ἢ τὰς φύσεις ἑκάστων, ἢ ποῖόν τι τὸ λιπαρόν, ἢ τὸν τρόπον τῆς γενέσεως. πλὴν χρονιζόμενα,

Marginal notes: ἄχυλον (beside "χυλόν", §12); οὐκέτι γὰρ (beside "οὐκέτι"); -κάρπου (beside "πολυσάρκον")

ἢ λαμβάνοντα πλείους μεταβολάς. οὐ γὰρ οὐδ' ἡ γλυκύτης πόῤῥω ταύτης, ὥστε μὴ δεῖσθαι πλειόνων. διὸ καὶ φαίνεται διττή τις ἡ γένεσις εἶναι τῶν χυλῶν, ἑκατέρα κατὰ τὰς συγκειμένας φύσεις. ἡ μὲν ἐξ ἀπέπτων καὶ πλειόνων μεταβάλλοντα πρὸς τὴν τελείωσιν· ἡ δέ, ὥσπερ ἄχυλος, καὶ ἁπλοῦς ἐν ἁπλῇ τινι γενέσει καὶ ἀλλοιώσει, διὰ τὴν ὑποκειμένην φύσιν. ὧν ἑκάτερον, ὡς ἁπλῶς εἰπεῖν, τὸ μὲν ἐν τοῖς ἐπετείοις μᾶλλον, τὸ δ' ἐν τοῖς δένδροις ἐστίν, ὡς πλείονος δεομένων πέψεως. τάχα δ' ἀληθέστερον ἐκείνως ἀποδοῦναι, καὶ μὴ ἐπετείοις καὶ δένδροις, ἀλλ' ὅλως τῇ κράσει διορίζοντας. ὁποία γὰρ ἄν τις αὐτῶν τυγχάνῃ, αἱ μὲν μεταβολαὶ συνακολουθήσουσι κατὰ λόγον. ἐπεὶ καὶ ἡ ἀμυγδάλη τὸ πρῶτον ὑδατώδης, ἕως ἂν ᾖ χλωρά. ξηραινομένη δέ, λίπος λαμβάνει. καὶ ἄλλα δέ τινα τῶν καρυωδῶν, ὧν καὶ τὰ καλύφη στρυφνά· τῶν δὲ καὶ ὀξέα, καθάπερ τῶν ἀμυγδάλων, ὡς ἐνταῦθα παντὸς ἐκκρινομένου τοῦ περιττωματικοῦ καὶ γεώδους. ἡ δ' οὖν φύσις ἔοικεν, ὥσπερ ἐκ μεμιγμένων τινῶν χυλῶν ἐκκρίνειν τῇ πέψει τὸ ἁπλοῦν, ἢ καὶ δόξειεν ἂν ἐναντίως καὶ ἐπὶ τῶν ἄλλων. ἐν μὲν γὰρ τοῖς ἄλλοις ἐκ μίξεως ἡ γένεσις· ἐνταῦθα δ' ὥσπερ ἐξ ἀφαιρέσεως καὶ χωρισμοῦ. καὶ ἔνθα μὲν ἐκ τῶν ἀρχῶν, ἔνθα δ' αὐτῆς τῆς ἀρχῆς. ἀρχὴ γὰρ τὸ γλυκύ· τοῦτο δ' ἡ πέψις, ὡς ἁπλῶς εἰπεῖν. ἀλλὰ ταῦτα μὲν ὡς ἄλλην τινὰ ἔχει θεωρίαν. ἐπεὶ κἀκεῖνο ἄτοπον, εἰ οἱ χυλοὶ πάντες ἐκ τοῦ πικροῦ καὶ γλυκέος μιγνυμένων, ὥσπερ ἐκ τῶν στοιχείων τὰ σώματα. πάλιν δ' αὖθ' ἕτερον, εἰ ἐκ μὲν τούτων μηδέν, ταῦτα δὲ ἐκ τῶν ἄλλων. οὐ γὰρ ἀρχῶν ἡ τοιαύτη φύσις· εἰ μὴ ἄρα πλεοναχῶς αἱ ἀρχαί, καὶ κατὰ πλείους τρόπους, ὥσπερ ἔοικεν, ὥσπερ κατὰ συστοιχίαν ἐνίων λεγομένων. ἀλλ' οὖν διὰ τούτων μὲν πέρι, λόγος ἕτερος.

9 Αἱ δὲ γενέσεις τῶν χυλῶν, ἐν τοῖς εἰρημένοις τρόποις, ἢ ἐκ τοῦ εἴδους εἰς εἶδος, ἢ ἐκ τῶν ἐναντίων εἰς τὰ ἐναντία ἀλλοιουμένων. κοινὴ δ' ἡ ὕλη πάντων, τὸ ὑγρόν. ἀλλοιοῖ δὲ καὶ ποιεῖ τὸ θερμὸν τὸ ἐν αὐτῷ, καὶ τὸ τοῦ ἡλίου. τοῦτο γάρ, ὥσπερ εἴρηται, μάλιστα τῶν φυτῶν οἰκεῖον, οὐχ ὥσπερ τὸ ζῷον τὸ ἐν αὐτοῖς. ἐπεὶ μεταβολαί γε καὶ ἀλλοιώσεις καὶ ἐν ἐκείνοις εἰσὶ τῶν χυλῶν. Δημοκρίτῳ μέν γε πῶς ποτε ἐξ ἀλλήλων ἡ γένεσις, ἀπορήσειεν ἄν τις. ἀνάγκη γὰρ ἢ τὰ σχήματα μεταῤῥυθμίζεσθαι, καὶ ἐκ σκαληνῶν καὶ ὀξυγωνίων περιφερῆ γίνεσθαι, πάντων ἐνυπαρχόντων, οἷον τῶν τε τοῦ στρυφνοῦ καὶ ὀξέος καὶ γλυκέος· ἢ ἐκκρίνεσθαι τὰ τῶν πρότερον ἀεί, θάτερα δ' ὑπομένειν. ἢ τρίτον, τὰ μὲν ἐξιέναι, τὰ δ' ἐπεισιέναι. ἐπεὶ δ' ἀδύνατον μετασχηματίζεσθαι (τὸ γὰρ ἄτομον ἀπαθές) λοιπὸν τὰ μὲν εἰσιέναι, τὰ δ' ἐξιέναι. ἄμφω δὲ καὶ ταῦτα ἄλογα. προσαποδοῦναι γὰρ δεῖ, καὶ τί τὸ ἐργαζόμενον ταῦτα καὶ ποιοῦν. ἀλλὰ γὰρ τοῦτο μὲν ὑπὲρ πλειόνων ἴσως ὁ λόγος. ἁπάντων γὰρ οὕτως ποιεῖ τὰς γενέσεις, οἷον οὐσίας, πάθους, ποιότητος. τῶν δ' ἄλλων ὑπὸ τοῦ θερμοῦ πέψεις γινομένης, τὰ μὲν ἐκκρίνει καὶ διατμίζει, τὰ δὲ παχύνει καὶ συνίστησι, τὰ δὲ λεπτύνει, τὰ δ' ὡς ἁπλῶς εἰπεῖν ἀλλοιοῖ· καθάπερ καὶ ἐν τοῖς πυρουμένοις. ὅλως δὲ τοῦτο ληπτέον, ὅτι πάντες ἐνυπάρχουσιν οἱ χυμοὶ δυνάμει πρὸς οὓς ἡ μεταβολή. τὸ δὲ γίνεσθαι καὶ εἶναι, κατ' ἐνέργειαν. πεφθέντων δ' οἱ μὲν εὐθὺς φανεροὶ τῇ αἰσθήσει, καθάπερ ὁ γλυκὺς καὶ ὁ λιπαρός· καὶ γὰρ ἀποπιεζόμενος οὗτός γε ἐξ ἐνίων ῥεῖ, καὶ χωρισμὸς ἔστι τῶν πλάσεων οὕτως αὐτοῦ. οἱ δ' οὐχ ὁμοίως ἔνδηλοι, καθάπερ ὁ οἰνώδης ἐν τῷ μύρτῳ· ἔτι δ' ἧττον ὁ λιπαρός. ἔχει γὰρ καὶ τοῦτον, ὃς ἐφίσταται τῷ οἴνῳ σακκιζομένῳ, καὶ ἀφαιροῦσιν αὐτόν, καὶ κάουσιν ἐπὶ τῶν λύχνων. ἀκρατέστεροι δὲ πάντες γίνονται, χωρισθέντες τῶν περικαρπίων· καὶ ὅσοι δὲ χρονίζονται, μᾶλλον. τότε γὰρ ἥ τε τοῦ ὑδατώδους ἀποπνοή, καὶ ἡ τοῦ γεώδους ὑπόστασις, καὶ τὸ ὅλον ἡ τοῦ θερμοῦ τοῦ ἐν αὐτῷ δύναμις. ἐπεὶ καὶ ἀφαιρεθέντων τῶν καρπῶν, ἐν αὐτοῖς τούτοις ἀλλοιοῦνται, καὶ τά γε κάρυα, καὶ ὅσα γε τὸν αὐτὸν τρόπον ἐλαιώδη, χρονιζόμενα μᾶλλον ἐξελαιοῦται, διὰ τὰς εἰρημένας αἰτίας. ἡ καὶ φανερόν, ὥσπερ ἐλέχθη, διότι δυνάμει πάντες ἐνυπάρχουσι. τὰς δ' ἐνεργείας, αἱ ἀλλοιώσεις ποιοῦσιν. εἰσὶ δ' ὥσπερ ἐν αὐτοῖς τοῖς περικαρπίοις ὡρισμέναι μεταβολαί, χωρισθέντων ὁμοίως εἴς τε τὰς πέψεις, καὶ εἰς τὰς φθοράς.

10 Μάλιστα δὲ τοῦτ' ἔνδηλον ἐπὶ τοῦ οἴνου. καὶ γὰρ περιστάμενος καὶ ἐξιστάμενος, καὶ οἷον γηράσκων, ἐν ὡρισμένοις τισὶ μεταβάλλει χυλοῖς. ἀλλοιωθεὶς γάρ, εἰ μὲν ὥσπερ κατὰ φύσιν, ὅταν παλαιούμενος ἐκπεπίκρωται, τοῦτό γε συμβαίνει, διότι τὸ πολέμιον ὁ ἀὴρ ἐξάγει, καὶ τὸ περιέχον). ἀπιόντος γὰρ τότε, καταλείπεται τὸ γεῶδες καὶ πικρόν. ὃ δ' ὥσπερ βίᾳ καὶ παρὰ φύσιν, εἰς τὸ ὀξύ. τοῦτο γὰρ ἐναντίον. ἔχει δὲ καὶ ἐπὶ τῶν ἄλλων παραπλησίως συμβαίνει· τῷ οἴνῳ τὴν ἔκστασιν ταύτην ποιεῖσθαι φθοράν, ἐξ ὅπερ καὶ ἡ φυσικὴ γένεσις. ἐκ γὰρ τοῦ ὀξέος καὶ εἰς τὸ ὀξύ, καθάπερ εἰς τὴν ὕλην ἀναλλοιούμενον. μεταβάλλειν δὲ καὶ ἀποκαθίστασθαι πάλιν συμβαίνει μὲν ὡσαύτως, σπανίως· καὶ μάλιστ'

[Handwritten marginal note:] ἢ πάντ' ἐνυπάρχοντ, οἷον τούτων στρυφνοῦ, ἢ ὀξέος ἢ γλυκέος. τὰ μὲν ἐκκρίνεσθαι τὰ τοῦ πρότερον ἀεί· τὰ δ' ἑκάστου καθ' ἕκαστον θάτερα διαμένειν ἢ τρίτον. τὰ μὲν ἐξιέναι, τὰ δ' εἰσιέναι.

διὸ καὶ διαιροῦσι τοῖς μεγέθεσι, τὰ μὲν μικρὰ φάσκοντες τῷ ἰδεῖν δὲ αἰσθάνεσθαι, τὰ δὲ μείζω τῷ
ἰδεῖν δὲ μᾶλλον, οὐχ ἱκανὴν δ᾽ οὐδ᾽ οἰκείαν ἴσως διαίρεσιν διαιροῦντες. οὐ γὰρ ἐν τοῖς πόροις ἡ
αἴσθησις ἀλλὰ μᾶλλον πρὸς τὴν διάθεσιν αὐτῆς καὶ τὴν κρᾶσιν, τό, τε πάθος ἀποδοῖεν ἢ τὴν
ἀπάθειαν, ἐν οἷς τὸ ἡδὺ καὶ τὸ λυπηρόν· ὅπερ συμβαίνει καὶ ἐπὶ τῶν ἀνθρώπων. οὐ γὰρ πᾶσιν αἱ
αὐταὶ προσφιλεῖς, ἀλλὰ μᾶλλον ἐν ταῖς κακώδεσι καὶ βαρείαις, ὧν ἔνιαί γε κοιναὶ πᾶσιν· οἷον
αἱ ἐκ τινῶν ἐκπνέουσαι χασμάτων καὶ ἄντρων, θανατηφόροι τοῖς προσπελάζουσιν. εἰ δ᾽ ἄρα καὶ
αὐταὶ τοῖς ἀναπνευστικοῖς μόνοις. ἀλλὰ τοῦτό γε φανερόν, ὥσπερ ἐπὶ τῶν χυλῶν, ὅτι καὶ ὀσμαὶ
τινὲς ἑκάστοις εἰσὶν οἰκεῖαι· καὶ ὅτι τὸ εὐῶδες τὸ μὴ κατὰ τὴν τροφήν, ὀλίγοις ἢ οὐδέσι προσφιλές·
εἰ δ᾽ ἡδὺ τινὶ καὶ συμφέρον, ἀδηλότερόν ἐστιν. ἀλλὰ γὰρ ταῦτα μὲν ἴσως ἐπὶ πλεῖον εἴρηται τοῦ ὑπο-
6 κειμένου. ὅθεν δ᾽ ὁ λόγος, ἐκεῖσε ἐπανιτέον. Ἑκάστου τῶν χυλῶν καὶ τῶν ὀσμῶν ἐστί τις φύσις, ὥ-
σπερ καὶ τῶν ζώων, ἡ πρὸς ἑκάστην διάθεσιν ἁρμόττει καὶ κρᾶσιν. οὐ μὴν ἀλλ᾽ ὥς γε καθόλου καὶ κοι-
νῶς εἰπεῖν, οἱ γλυκεῖς καὶ οἱ κατ᾽ αὐτὴν ταύτην συστοιχίαν τροφιμώτεροι, καὶ μᾶλλόν εἰσι κατὰ φύσιν.
ἐναντίωμα δέ τι τάχα δ᾽ οὐκ ἀκόλουθον ἔσται τὸ ἀνάλογον, εἰ ὁ χυλὸς μὲν ἅπασι προσφιλὴς ὁ γλυ-
κύς, ὀσμὴν δ᾽ οὐκ ἔστιν οὕτω λαβεῖν οὕτω τῷ γένει λανθάνοντας, εἰ μή τις ἄρα λανθάνει διὰ τὴν
ἡμετέραν ἀσθένειαν τῆς αἰσθήσεως. ἴσως δ᾽ οὐδὲ τὸ περὶ γλυκέος εἰρημένον ἁπλῶς ἀληθές. ὑπὲρ
μὲν οὖν τούτων ἀρκείτω τὰ εἰρημένα. Τῆς δὲ φυτῶν, μᾶλλον δὲ πάντων ἐν οἷς οἱ χυλοί, διὰ τί μὲν ἕ-
καστα τούτους ἔχει, λέγω δ᾽ οἷον πικροὺς ἢ γλυκεῖς ἢ λιπαρούς, τὴν πρώτην αἰτίαν σύστασιν,
ὑπὲρ ἧς οἱ μὲν τοῖς σχήμασι διορίζοντες, ὥσπερ Δημόκριτος, οἴονται λέγειν τινὰς αἰτίας· ὁμοίως δέ,
καὶ εἴ τις κατ᾽ αὐτὴν ἔχει τὴν ἰδίαν ἀποδοῦναι περὶ ἑκάστου λόγον. οἱ δὲ κατὰ πέψιν καὶ ἀπεψίαν διαι-
ροῦντες τὰ γλυκέα καὶ τὰ πικρὰ καὶ τὰ ἄλλα, τάχ᾽ ἂν δόξειαν κωλύειν τὰ μικρῷ πρότερον ἡμῖν
εἰρημένα. πέψει γὰρ ὥσπερ τινὶ φαίνεται πάντ᾽ ἐξομοιοῦσθαι καὶ τοῖς φυτοῖς καὶ τοῖς ζώοις. ἀλ-
λὰ τούτοις ὁμοίως λεκτέον, ὅτι καὶ οἱ γλυκεῖς καὶ οἱ ἁπλῶς τρόφιμοι χυλοὶ καὶ ὀσμαὶ αἱ εὐώδεις,
πέψει τινὶ γίνονται καὶ κατεργασίᾳ, καὶ ὅτι μᾶλλον ὡς τῷ γένει λαβεῖν πεπεμμένα τῶν ἑτέρων.
δηλοῖ δὲ καὶ ἐπ᾽ αὐτῶν τῶν ὁμογενῶν. καὶ εὐχυλότερα καὶ εὐοσμότερα τὰ πεπεμμένα τῶν ἀπέπτων,
ἑκατέρων πεττομένων κατὰ τὴν οἰκείαν πέψιν. ὑπὲρ μὲν οὖν τούτων, ἐν τοῖς ἑπομένοις ἔσται φα-
7 νερώτερον. Τῶν δ᾽ ἄλλων ἐκεῖνο δεῖ λαβεῖν πρῶτον, ὃ κοινόν ἐστι τῆς τῶν φυτῶν οὐσίας. πάντα
γὰρ ἐν τῇ γενέσει τῶν χυλῶν μεταβάλλει μετὰ τὴν πέψιν ἐξ ἄλλων εἰς ἄλλους χυμούς, ὡς μὲν — λῶν
ἁπλῶς εἰπεῖν, ἐκ τῶν στερητικῶν εἰς τοὺς κατ᾽ εἶδος· οἷον ἐκ πικρῶν καὶ στρυφνῶν, εἰς γλυκεῖς καὶ λι-
παρούς, καὶ εἴ τις ἄλλος ὁμόστοιχος. ὡς δὲ καθ᾽ ἕκαστον ὡς ἂν ἡ διάκρισις ἔχῃ τῆς φύσεως, καὶ τὰ μὲν εἰς
πλείους, τὰ δ᾽ εἰς ἐλάττους. τὰ μὲν γὰρ ἐκ τοῦ πικροῦ, καθάπερ ἐλαία συνεμφαίνουσα πρὸς τὸ στρυ-
φνόν· τὰ δ᾽ ἐκ τοῦ στρυφνοῦ, καθάπερ ἄπιοι καὶ τἄλλα· καὶ γὰρ τὰ ὀξέα, πρότερον στρυφνά. τὰ
δ᾽ ἐκ τοῦ στρυφνοῦ, πρῶτον εἰς τὸ ὀξύ, εἶτ᾽ ἐκ τοῦ ὀξέος εἰς τὸ γλυκύ, ὥσπερ βότρυς. ὡς γὰρ ὅλως
εἰπεῖν, πλείστας ἀλλοιώσεις οὗτος λαμβάνει, καὶ ὅλως οἰνώδεις οἱ χυλοί. τὸ μὲν γὰρ πρῶτον ὥσ-
περ ὑδατώδης γίνεται, μετὰ δὲ ταῦτα στρυφνός, εἶτ᾽ ὀξύς, εἶτ᾽ ἔσχατον γλυκύς. ὡσαύτως
δὲ καὶ τὸ συκάμινον· ἐκ στρυφνοῦ γὰρ ὀξύ, καὶ ἐξ ὀξέος γλυκύ. καὶ ἐπ᾽ ἄλλων δὲ τοῦτο συμβαίνει. τοῦ γὰρ
οἰνώδους γλυκύτητος, ἐγγυτάτω κεῖται τὸ ὀξύ. διὸ καὶ οἱ ἀποροῦντες, ὅτι τὸ συκάμινον ἐρυθρὸν
ὄν, ὀξύτερόν ἐστιν ἢ λευκόν, ἐγγυτέρω τοῦ πέψεως ὄν, οὐκ ὀρθῶς ἀποροῦσι. τότε γὰρ οἷον γένεσις
αὐτῷ τοῦ οἰκείου χυμοῦ. λευκοῦ δ᾽ ὄντος, ἡ στρυφνότης πλεῖον ἀπηρτημένη καὶ κοινοτέρα. διὰ τοῦτο
γὰρ καὶ ἐνταῦθα ὅταν ᾖ, ξηρότερόν ἐστιν. ἐρυθραινόμενον δὲ ἐξυγραίνεται, καθάπερ ἔγχυλον γι-
νόμενον. ὅλως γὰρ πᾶν τὸ περικάρπιον, ξηρὸν τὸ πρῶτον ἀνυγραίνεται. καὶ ἔστι γένεσις αὕτη τῶν
χυλῶν, ὑπέρριον πως καὶ ὥσπερ διηθουμένου πλείονος ἀεὶ τοῦ ὑγροῦ, καὶ ἀεὶ συναύξοντος. ἣ καὶ στρυ-
φνὰ τὰ πολλὰ κατ᾽ ἀρχάς, οὐκ ἀλόγως· ἅτε καὶ ξηρὰ ὄντα. ξηρότατά τε δοκεῖ τῶν ὑγρῶν, ὧν
ὀπώδης ἡ ὑγρότης· ὥσπερ τοῦ συκῆς, κατὰ τὸ πάχος. τούτοις μὲν οὖν ὥσπερ ὑλικοί τινές εἰσι κατὰ
τὰς στερήσεις, ἐξ ὧν ἡ μετάβασις εἰς τὴν πέψιν. τοῖς δ᾽ οἷον οὐσία ταῦτα, καὶ τέλη. πολλοὶ γὰρ
8 καὶ ψυχροὶ καὶ στρυφνοὶ κατὰ φύσιν, καὶ ὀξεῖς· ὧν ἐξ ἀρχῆς ἧττον ἔγχυλος ἡ ὑγρότης. Ἅπαντα
δέ πως ἐμφαίνουσιν οἱ καρποὶ καὶ τὸν τοῦ φυτοῦ χυλόν, ὅπερ ἴσως ἀναγκαῖον ἐξ ἐκείνου γινόν-
τας. ὠμοὶ μὲν ὄντες μᾶλλον, πεπαινόμενοι δ᾽ ἧττον, ἅτε καὶ τῆς ἐκκρίσεως ἀεὶ καθαρωτέρας
γινομένης. καὶ τῶν μὲν τοιαύτη τις σύστασις. ἐνίων δὲ ὥσπερ ἄχυλος ἡ πρώτη, καὶ ὑδατώδης,
οἷον τῶν σιτωδῶν· ὥσπερ πυροῦ καὶ κριθῆς καὶ τῶν ὁμοίων. ὧν δὲ καὶ τελείωσις εὐθὺς ἐκ ταύτης.

οὐ λαμ-

μὲν εἰς τὸ ἄριστον δεῖ τιθέναι τὴν φύσιν, ἐν τούτοις ἐστὶ μόνοις. ἅμα δὲ καὶ τὸ τῆς τροφῆς γνήσιον ἀληθινόν. οὐδὲν γὰρ, ὡς εἰπεῖν, ὅτε τρέφεται δοκεῖ διὰ τὸ ἕτερον, ὅτε γίνεται. οὐδ᾽ εἰς τὸ πλέονα ἰδεῖν αὐτὸ ἐκεῖνό γε μᾶλλον ἢ οὐχ ἧττον κατὰ φύσιν. ὀλίγοι γὰρ ἐν τούτῳ τῷ μέρει. χαλεπὸν δὲ καὶ τὸ ὅμοιον ἐστὶ τὸ ζητούμενον, καὶ ἐπὶ τῶν ἄλλων ζώων πρὸς τὸν ἄνθρωπον, πότερον κατὰ φύσιν ἢ κατὰ στέρησιν τἄλλα. καθάπερ γὰρ καὶ τούτων ἴδιαί τινες αἱ οὐσίαι, καὶ τῶν φυτῶν ὁμοίως. εἰ οὖν ἡ μὲν στέρησις ἐν ἀτελείᾳ τινὶ καὶ ἐνδείᾳ, ταῦτα δὲ γεννᾷ καὶ ἐκτρέφει τὰ ὅμοια καὶ ἰσχυρότερα πολὺ τῶν ἑτέρων, οὐκ ἂν εἴη κατὰ στέρησιν. ἔτι ἔν γε τοῖς φυτοῖς ἅμα συμβαίνει μὴ πολυκαρπεῖν καὶ ἧττον εἶναι πικρὰ τὰ ἐν τούτῳ τῷ γένει· καθάπερ ἐπὶ τῆς κενταυρίας, καὶ ἀψινθίου, καὶ τῶν τοιούτων. ὡς ἐκεῖσε τῆς φύσεως φερομένης, καὶ τὴν γλυκύτητα καθάπερ ἀπεψίαν τινὰ οὖσαν ἢ ἔλλειψιν πέψεως. ἀεὶ γὰρ ἡ φύσις ἐξομοιοῦν θέλει τῷ ὑποκειμένῳ, καὶ ἐν τοῖς ζώοις καὶ ἐν τοῖς φυτοῖς. ποιεῖται γὰρ καὶ τροφὴ γίνεται πᾶσιν, ὅταν κρατηθῇ τὸ λαμβανόμενον. εἰ δὲ δὴ καὶ ἔνια τρέφεται διαθερμαινομένοις ποσίν, ὥσπερ καὶ τῶν ζώων, ὧν καὶ ἡ γένεσις ἐκ τούτων, οὐδ᾽ αὖ ἡ τῆς τροφῆς ἱκανὴ πίστις εἴη πρὸς τὸ κατὰ φύσιν, οὐδ᾽ αὖ πρώτη σύστασις, ἀλλ᾽ ἑκάστοις μεμερισμένη κατὰ τὰς μίξεις. ἐπεὶ οὐδ᾽ οἱ γλυκεῖς χυμοὶ τρόφιμοι πάντες ἡμῖν, ἀλλ᾽ οἱ μὲν ἐκστατικοί, καθάπερ ἡ ὁμοία τῷ σκολύμῳ ῥίζα, καὶ ἄλλαι τινές· οἱ δ᾽ ὑπνωτικοί, πλείους δὲ δηλητήριοι, καὶ θανατηφόροι, καθάπερ ὁ μανδραγόρας. ἔνιοι δὲ ὁμολογουμένως θανάσιμοι. πολλοὶ γὰρ ἤδη καὶ πολλάκις ῥίζας φαγόντες, ἃς ἠγνόουν, γλυκείας τε τῇ γεύσει καὶ ἡδείας, ἀπέθανον, καὶ ἄλλα τοιαῦτα πλείω τυγχάνει, τὰ μὲν βλάπτοντα, τὰ δὲ καὶ ὅλως ἀναιροῦντα, τῶν κατὰ τὴν προσφορὰν ἡδέων ἢ ἀλύπων. ἔνια δὲ πάλιν ὠφελοῦντα καίτοι ὄντα καὶ πικρά, οἷον καὶ τὰ ἄρτι λεχθέντα, κενταύριον καὶ ἀψίνθιον, καὶ ὅσα δὴ φαρμακωδέστερος ἔτι ὁ χυμὸς ἔχει· πολλὰ γὰρ καὶ τούτων ὀνίνησι. τὸ δὲ καὶ ὅλως ὁ χυλὸς ἄτροφος ὤν, ὥσπερεὶ ἥδυσμα τῆς τροφῆς ἐστιν· οἷον, ἁλμυρὸς καὶ ὀξύς. οὐδὲ γὰρ δυνάμεθα κρατεῖν ἄκρατα, καθάπερ οὐδὲ τῶν ἄλλων ἔνια ζώων· τους διὸ καὶ τούτοις παρέχομεν σὺν ἄλλοις. ἔνια δὲ καὶ αὐτὰ ἑαυτοῖς εὑρίσκει τὰ πρόσφορα πρὸς τὴν τοιαύτην ὑπερκορίαν, ὥσπερ καὶ οἱ ὄρνιθες ἤδη. καὶ φανερὸν αὖ δόξειεν, ὡς οὐκ ἔστιν ἁπλῶς μεμερισμένα. τὸ μὲν ὥσπερ φυσικόν, τὸ δ᾽ ὡς ἐν στερήσει καὶ παρὰ φύσιν, ἀλλὰ καὶ τὸ ἡμῖν ἄτροφον ἄλλοις τρόφιμον· τὸ δ᾽ ἑτέροις τρόφιμον, ἄλλοις ἄτροφον. ὡς γὰρ αἱ φύσεις ἔχουσι κατὰ τὰς κράσεις, οὕτω καὶ αἱ τροφαὶ καθ᾽ ἕκαστον ἁρμόττουσιν. ὁμοίως δὲ καὶ αἱ ἡδοναὶ καὶ αἱ λῦπαι καὶ αἱ βοήθειαι πρὸς τὰ πάθη καὶ τὰς διαθέσεις, ὃ καὶ φανερὰ ποιοῦντα πολλὰ τῶν ζώων ἐστίν· οὐ πρὸς τὰ συμβαίνοντα πάθη μόνον αὐτομάτως, ἀλλὰ καὶ κατ᾽ αὐτὰς τὰς ἐνδείας, ὅταν ἄλλο φάγωσιν ἕτερον ἐπεσθίοντα· καθάπερ οἱ ὄφεις τὸ πήγανον, ὅταν τὸ σκόροδον. ἔχει δὲ καὶ κατὰ ταύτας ὁμοίως. ἄλλαι γὰρ ἄλλοις ἐναντίαι, καὶ οὐ πρόσφοροι. καὶ οὐ μόνον εἰς τὸ μὴ δέχεσθαι, μηδὲ ζητεῖν, ἀλλ᾽ ὑπὸ τῶν ἡδίστων ἡμῖν ἀναιρεῖσθαι, καθάπερ οἱ γῦπες ὑπὸ τῶν μύρων, καὶ οἱ κάνθαροι ὑπὸ τῶν ῥόδων. πολεμοῦσι δὲ δὴ σφόδρα καὶ αἱ μέλιτται, τοῖς μεμυρισμένοις.

5 Ὅλως μὲν γὰρ ἢ οὐδὲν ἢ βραχύ τι πάμπαν ἐστὶν ἐν τοῖς ἄλλοις ζώοις, τὸ τὴν εὐωδίαν δι᾽ αὐτὴν χαίρειν, ἀλλ᾽ εἴπερ κατὰ συμβεβηκός, ὧν ἡ τροφὴ τοιαύτη. πρὸς ταύτην γὰρ ἡ ἐπιθυμία, καὶ ταύτης. εἰ δ᾽ ἄρα καὶ τοιοῦτόν ἐστιν, ἡμῖν γε οὐ σαφές. ἐπεὶ καὶ τὴν πάρδαλιν τοῖς μὲν ἄλλοις, ἡδὺ φασὶ δοκεῖν αὐτήν. διὸ καὶ θηρεύειν αὐτήν, ὅταν κατακρυφθῇ ἡ ταύτην προσαγομένη. ἡμῖν δ᾽ οὐδεμίαν εὐωδίαν ἐμφαίνει. εἰ μὴ κἀκεῖνο ἀληθές, ὥσπερ ἐστὶν ἀληθές, ὅτι χείριστον ἔχομεν πάντων τὴν ὄσφρησιν. καὶ διὰ τοῦτο, ὡς εἰπεῖν, πολλαὶ λανθάνοιεν ἂν ἡμᾶς ὀσμαί, καὶ τὰ ἡδέα καὶ τὰ λυπηρὰ τὰ κατὰ ταύτας. ὃ δ᾽ ἄν τις δόξειεν αὖ ἄτοπον εἶναι, τὸ τἄλλα ζῷα σαφέστερον ἔχοντα μὴ δ᾽ αἰσθάνεσθαι, μηδ᾽ ἐκκρίνειν τὰς εὐωδίας, οὐκ ἔστιν ἄτοπον. τάχα μὲν γὰρ καὶ αἰσθάνονται, πρὸς δὲ τὴν φύσιν αὐτῶν οὐχ ἁρμόττουσιν, ἀλλὰ καὶ ἐναντίαι· καθάπερ ἐπὶ τῶν γυπῶν ἐλέχθη, καὶ ὡς τὰ ἔντομα πάντα ὑπὸ τοῦ ἐλαίου βαρύνεται. φθείρει γὰρ αὐτὰ τῇ ὀσμῇ. ἕτερα δ᾽ ὑφ᾽ ἑτέρας τινὸς ἴσως. ἄλογον δ᾽ ἐνταῦθα δόξειεν αὖ συμβαίνειν πρὸς ἐκείνην τὴν ὑπόθεσιν ὁ λεχθεὶς τοῦ γλυκέος χυλός. ἔνια δὲ προσφιλέστατα τῷ γλυκεῖ, καθάπερ οἱ κνῖπες. οὐδὲν γὰρ τῶν οἰκείων φθαρτικόν, εἰ μὴ ταῖς ὑπερβολαῖς. ἀλλὰ τούτου μὲν τὴν αἰτίαν, ἐν τῇ δριμύτητι ληπτέον, ὥσπερ καὶ τοῦ ὀριγάνου, καὶ τοῦ τοιούτου· ἅπαντα γὰρ φθείρει. τὸ δὲ μὴ αἰσθάνεσθαι, καθάπερ λέγουσιν, οὐ σαφὲς ἡμῖν· εἰ μὴ ἄρα καὶ τοὺς πόρους ἐνταῦθα ἄν τις αἰτιάσαιτο, καθάπερ ἔνιοι τῶν φυσικῶν, τῷ μὴ ἁρμόττειν ἢ μή-

ὡς δὲ τὸ μὴ αὐτῶν διαιρεῖσθαι, μὴ δὲ ποιεῖν, οὐκ εὔλογον· ἐπεὶ ἐν τοῖς σχήμασιν αἱ δυνάμεις. οὐ
γὰρ ὁμοιοσχήμονα, ταὐτὸ ἂν ἔχει τὸ ὑπάρχον· ὥσπερ καὶ ἐν τοῖς ἄλλοις. τὸ γὰρ τρίγωνον, τὸ
ποδιαῖον, καὶ τὸ μυριόπουν, ὁμοίως δυσὶν ὀρθαῖς, καὶ τὸ μυριάγωνον τέτταρσιν ὀρθαῖς· καὶ
τὸ τετράγωνον τέτρασι. καὶ ταῦτα μὲν καὶ κατὰ τὸ ποσὸν διαφορά· τὰ δὲ λόγῳ μὲν ὄντα
τὰ αὐτά, οἷον ἡ ἀσυμμετρία τῆς διαμέτρου. τὸ δὲ ποσὸν διάφορον. ὥστ' ἐπεὶ ἐκ τούτων ἢ ἐκ
τούτων γίνεται, τὸ μὲν ποσὸν διάφορον ἂν εἴη, τῷ δ' εἴδει ἀδιάφορον. ἀλλὰ γὰρ αἱ μὲν κατὰ σχή-
3 ματα καὶ τὰς μορφὰς δυνάμεις πλείω, καὶ περὶ πλειόνων ἔχουσιν ἀπορίαν. Ὅτι δ' ἐν ἀρ-
μίξει πως ὁ χυλὸς καὶ ἡ ὀσμή, καὶ ἐκ τῶνδε φανερόν. οὐδὲν γὰρ φαίνεται ἁπλοῦν ἔχειν χυλόν, οὐδ'
ὀσμήν, ἐὰν μὴ λάβῃ μίξιν· οἷον, ὁ ἀήρ, ἢ πῦρ, ἢ ὕδωρ. ἄχυλον γὰρ καὶ τὸ ὕδωρ καθ' αὑτό.
διὸ καὶ οἱ παλαιοί φασι, δι' οἵας ἂν γῆς ῥέῃ, τοιοῦτο καὶ εἶναι. καὶ ἡ θάλαττα δέ, καὶ τὰ νιτρώ-
δη καὶ σαπρὰ καὶ ὀξέα τῶν ὑδάτων, ἔχει τινὰ μίξιν· ἐν ἐνίοις καὶ ἡ ὀσμὴ μάλιστα τῇ θαλάτ-
τῃ συνακολουθεῖ. γῆ δέ, καὶ λίθος, ἄχυλα· πλὴν ἐάν τινα τοιαύτην λάβῃ μίξιν. καί τοι φαί-
νεταί γε ταῦτα μᾶλλον ἔχειν· οἷον ὅσαι θαλαμώδεις, καὶ ὅσαι καὶ ὡς τέφρα, πικραί· καὶ ἐνίαις
δοκοῦσιν εἶναι καθάπερ καὶ ἡ ἄργιλος. ἅμα δὲ καὶ οὐκ ἄλογον, εἴπερ τῇ τῆς γνώσεως ἐν ἀναμίξει
γίνεται χυλός. τὰ δὲ δὴ μεταλλευόμενα, καὶ λίθων ἔνια γένη, καὶ ὀσμὰς ἔχει πρὸς τοῖς χυ-
λοῖς. ἅπαντα δ' οὖν ταῦτα μίξει τινὶ καὶ ἀλλοιώσει καὶ ἔγχυλα φαίνεται, καὶ ὀσμώδη. καὶ γὰρ
ἡ τέφρα διὰ τὴν κατάκαυσιν ἠλλοιωμένη, καὶ ὅσα πυροῦται, λαμβάνει τινὰ χυλόν, τὰ μὲν
ἁπλᾶ, τὰ δὲ καὶ μιγνύμενα τοῖς ὑγροῖς. ἡ μὲν οὖν φύσις, ὅτι τοιαύτη, καὶ πρότερον εἴρηται καὶ
νῦν. ἐπεὶ δ' ἐν τρισὶν οἱ χυμοί, φυτοῖς τε γὰρ καὶ ζώοις εἰσί τινες καὶ ὀσμαὶ καὶ χυμοὶ κατὰ
τὰς κράσεις, ἔτι δ' ἐν τοῖς κατὰ τέχνας παρασκευήν τινα μιγνυμένοις, ἢ καὶ αὐτομάτως ἀλ-
λοιουμένοις, ὁτὲ μὲν ἐπὶ τὸ βέλτιον, ὁτὲ δ' ἐπὶ τὸ χεῖρον, ὥσπερ τῶν σηπομένων· τὸ μὲν ὑπὲρ
ἁπάντων τούτων εἰπεῖν, κοινότερόν τι καὶ καθόλου μᾶλλόν ἐστιν. ὑπὲρ δὲ τῶν φυσικῶν
πρῶτον λεκτέον. ἀρχὴ γὰρ ἅπασιν ἡ φύσις. καὶ τούτων ὅσοι κατά τι τὰ ἁπλᾶ φαίνονται,
καὶ ὅλως τὰ ἄψυχα, καὶ ὅσοι κατὰ τὰ φυτὰ καὶ τοὺς καρπούς. καὶ γὰρ ταῦτα πρότερον ἄν τις
τιθείη τῶν ζώων. ἅμα δὲ καὶ ἡμῖν ἡ σκέψις ὑπὲρ τούτων, οἷον συνεχὴς οὖσα τοῖς πρότερον. οἱ
μὲν οὖν ἐν τῇ γῇ ξυνιστάμενοι χυμοὶ τῶν ὑγρῶν (οὗτοι γὰρ ἐμφανέστατοι) λέγω δ' οἷον ὀξεῖς, καὶ
δῆλον ὅτι γινόμενοι † δῆλοι ὅτι τὰς αὐτάς πως ἢ παραπλησίας ἀνάγκας, δι' ἃς καὶ ἐν τοῖς φυτοῖς. οὐ μὴν
οὔτε ἴσοι τὸ πλῆθος, οὐδ' ὅμοιοι τούτοις, ἀλλὰ θολερώτεροι· διὰ τὸ μὴ τὴν αὐτὴν πέψιν, μηδ'
ὁμοίως ἔχειν. τὸ δὲ πλῆθος οὐ συμβλητοί. πολλοὶ γὰρ οἱ τῶν καρπῶν καὶ ἀνόμοιοι χυμοί, καὶ οὐ-
δαμοῦ ἐνιοί γε ἐμφαινόμενοι τοῖς ἐκ τῆς γῆς· οἷον, ὁ αὐστηρός, καὶ δριμύς, καὶ ἄλλοι δὲ πλείους.
εἰ μή τις λέγοι τῇ μίξει καὶ τῇ κράσει τῶν ἄλλων γίνεσθαι τούτους, τοῖς δὲ γένεσιν εἶναι τοὺς αὐτούς.
οὕτω δ' ἂν εἴησαν ἄπειροι. ἄπειροι γὰρ οἱ λόγοι τῶν μίξεων. καὶ ἔτι δὲ κατὰ μᾶλλον καὶ ἧττον αἱ
διαφοραί. διὸ καὶ οἱ ὁμογενεῖς πλείους, οἷον αὐστηροί, λιπαροί, πικροί, γλυκεῖς. ὅθεν καὶ οἱ παλαι-
οὶ τῶν φυσιολόγων, ἀπείρους ἐτίθεντο τοὺς χυλούς, ὥσπερ καὶ μικτήν, ὁποία γὰρ ἄν τις ἡ μίξις λευσῶν
καὶ ἡ σῆψις γίνηται τοῦ ὑγροῦ φυτοῦ, τοιοῦτον εἶναι καὶ τὸν χυλόν. οὐ μὴν ἀλλὰ βέλτιόν γε οἱ ὁ-
ρισμένους λέγοντες, ἐκ τούτων δ' ἤδη κατὰ τὰς μίξεις ποιοῦνται τὰς διαφοράς. ἴδιος γοῦν τῶν
ἐκ τῆς γῆς ὁ ἁλμυρός· οὐδενὸς γὰρ καρποῦ καὶ κελύφους. ἀλλὰ περὶ μὲν τούτου, τὴν αἰτίαν ὕστερον
4 λεκτέον. Αἱ δὲ ἰδέαι τῶν χυλῶν, ἑπτὰ δοκοῦσιν εἶναι, καθάπερ καὶ ὀσμῶν καὶ τῶν χρωμάτων.
ὀκτὼ δ' ἐάν τις τὸν ἁλμυρὸν οὐχ ἕτερον τιθῇ τοῦ πικροῦ, καθάπερ καὶ τὸ φαιὸν τοῦ μέλανος. ἐὰν δὲ
χωρίζῃ, συμβαίνει τοῦτον ὄγδοον εἶναι. γλυκὺς γάρ, καὶ λιπαρός, καὶ πικρός, καὶ αὐστηρός, καὶ δρι-
μύς, καὶ ὀξύς, καὶ στρυφνὸς ἀριθμοῦνται· προστίθεται δὲ καὶ ὁ ἁλμυρός, ὄγδοος. οἴονται δέ τινες
καὶ τὸν οἰνώδη δεῖν· ἔν τε γὰρ τοῖς καρποῖς ὑπάρχει πλείοσι, καὶ ἐκ τῆς γῆς ἀναπιδύει τις
ἐνιαχοῦ τοιοῦτος χυμός. εἰ δ' οὐδ' ὡς ὁ γαλακτώδης εἰς τὸν γλυκὺν ἂν τεθείη· καὶ γὰρ ἂν οὗ-
τος ἐν ἐνίοις ὡς εἶδος ἂν τεθείη τοῦ γλυκέος, οὕτω τὸν οἰνώδη τῶν ἄλλων τινὶ προσνέμειν ῥᾴ-
διον. ἀλλ' ἰδία τις ἡ φύσις, καθ' αὑτὴν ὑποδεχομένη καὶ τὸ γλυκὺ καὶ τὸ στρυφνὸν καὶ αὐ-
στηρόν. ἀλλὰ γὰρ τοῦτο μὲν οὐδὲν ἴσως διαφέρει πρὸς τὴν τῶν ἄλλων θεωρίαν. ὁ δὲ ἀριθμὸς
ὁ τῶν ἑπτά, καιριώτατος καὶ φυσικώτατος. πότερον δὲ τοὺς μὲν ὥσπερ ἀρχάς, τοὺς δὲ ὡς στε-
ρήσεις δεῖ λέγειν, οἷον τὸν μὲν γλυκὺν καὶ λιπαρόν, καὶ ὅσοι σύστοιχοι τούτοις, ἀρχάς· ἐκ τού-
των γὰρ αἱ γενέσεις καὶ αἱ τροφαί· τοὺς δ' ἄλλους στερήσεις ἢ πέψεις φυσικάς. ἔοικε γὰρ ὁ
μὲν εἰς τὸ

τῶν χυλῶν, ὅσοι μὲν ἰσάριθμοι ἀποδοῦναι ῥᾴδιον· οἷον, γλυκύς, λιπαρός, αὐστηρός, στρυφνός, δριμύς, ἁλμυρός, πικρός, ὀξύς. ὡς δὲ περὶ τὴν οὐσίαν ἑκάστου, χαλεπώτερον. αὐτὸ γὰρ τὸ πρῶτον ἔχει τινὰ σκέψιν. πρότερον γὰρ τοῖς πάθεσι τοῖς περὶ τὰς αἰσθήσεις ἀποδοτέον, ἢ (ὥσπερ Δημόκριτος) τοῖς σχήμασιν, ἐξ ὧν ἕκαστος· εἰ μὴ ἄρα καὶ ταῦτα συνάπτει πως εἰς τὰς δυνάμεις, ἢ κἀκείνων λέγεται χάριν, εἰ καί τις ἄλλος τρόπος ἐστὶ παρὰ τούτους. λέγω δὲ, τοῖς πάθεσι τοῖς περὶ τὰς αἰσθήσεις. οἷον εἴ τις ἀποδοίη, γλυκὺ μὲν, τὸ διαχυτικὸν τῆς ἐν γλώττῃ συμφύτου ὑγρότητος· ἢ χυμὸν λειαντικὸν, ἢ λιπαρὸν, ἢ λεῖον. στρυφνὸν δὲ, τὸ ξηραντικὸν, ἢ πηκτικὸν ἠρέμα ταύτης. δριμὺ δὲ, τὸ τμητικὸν, ἢ τηκτικὸν, ἢ ἐκκριτικὸν τῆς ἐν τῇ συμφύτῳ ὑγρότητι θερμότητος εἰς τὸν ἄνω τόπον· ἢ ἁπλῶς χυμὸν καυστικὸν, ἢ θερμαντικόν. ἁλμυρὸν δὲ, τὸ δηκτικὸν, καὶ ξηραντικόν. πικρὸν δὲ, τὸ φθαρτικὸν τῆς ὑγρότητος, ἢ πηκτικὸν ἢ δηκτικὸν, ἢ ἁπλῶς τραχὺ, ἢ μάλιστα τραχύνον. αὐστηρὸν, τὸ ῥυπτικὸν τῆς αἰσθήσεως ἢ τῆς ὑγρότητος τῆς ἐν αὐτῇ. ἢ τὸ ὑπὸ πολλῆς ὑγρότητος δηκτικὸν, ἢ πηκτικὸν, ἢ ξηραντικόν. ἢ ἁπλῶς στρυφνότητά τινα ἠρεμαίαν καὶ μαλακήν. ἢ πάλιν (ὡς Πλάτων) καθόλου τὰς διαφορὰς τῶν δυνάμεων ἀποδίδωσι, τῷ συγκρίνειν καὶ διακρίνειν, κεχρημένας τραχύτητι καὶ λειότητι· καθ' ἑκάστας δὲ διαιρεῖ τοῖς εἴδεσιν. ὅσα μὲν οὖν κάει τὰ φλέβια καὶ ἀποξηραίνει τραχύνοντα, στρυφνά. καὶ αὐστηρὰ δὲ, τὰ τούτων ῥυπτικώτερα, καὶ πᾶν τὸ περὶ τὴν γλῶτταν ἀποπλύνοντα. ὅσα δὲ ῥύπτει, † περα μὲν τοῦ μετρίου, ὥστε καὶ ἀποτήκειν αὐτῆς τῆς φύσεως, οἷον ἡ τοῦ νίτρου δύναμις, πικρά. τὰ δὲ ὑποδεέστερα τούτου, καὶ ἐπὶ τὸ μέτριον τῇ ῥύψει χρώμενα, ἁλυκὰ, ἄνευ πικρότητος τραχείας, καὶ φίλα μᾶλλον ἡμῖν. τὰ δὲ τῇ τοῦ στόματος θερμότητι κοινωνήσαντα, καὶ λεαινόμενα καὶ συνεκπυρούμενα, καὶ πάλιν αὐτὰ καίοντα, φερόμενα δ' ὑπὸ κουφότητος ἄνω πρὸς τὰς τῆς κεφαλῆς αἰσθήσεις καὶ τέμνοντα, δριμέα. τὰ δὲ προλελεπτυσμένα ὑπὸ σηπεδόνος, εἰς δὲ τὰς στενὰς φλέβας εἰσδυόμενα καὶ ἀνακυκῶντα καὶ ἀναζυμοῦντα, καὶ ἀφεψεῖν ποιοῦντα καὶ ἕλκειν, ὀξέα. τὸ δὲ σύμπασι τοῖς περὶ ταῦτα πάθος ἐναντίον, οἰκεῖον ὂν τῆς γλυκύτητος, ὅταν λεαίνῃ ἐπαλείφοντα τὰ τραχυνθέντα. καθιστᾶσι δὲ καὶ συνάγει τὰ παρὰ φύσιν κεχυμένα, τὰ δ' αὖ συνεστῶτα διαχαλᾷ. καὶ ἁπλῶς ὅ,τι μάλιστα δριμὺ ὂν περὶ φύσιν γλυκύ. οὗτος μὲν οὖν ὁ τρόπος ταῖς δυνάμεσιν ἀφορίζει. Δημόκριτος δὲ σχῆμα περιτιθεὶς ἑκάστῳ, γλυκὺν μὲν, τὸ στρογγύλον καὶ εὐμέγεθες ποιεῖ· στρυφνὸν δὲ, τὸ μεγαλόσχημον, τραχὺν δὲ, τὸ πολυγώνιον καὶ ἀπεριφερές. ὀξὺν δὲ κατὰ τοὔνομα, τὸ ὀξὺ τῷ ὄγκῳ καὶ γωνοειδὲς καὶ καμπύλον καὶ λεπτὸν καὶ ἀπεριφερές· δριμὺν δὲ, τὸ περιφερὲς καὶ λεπτὸν καὶ γωνοειδὲς καὶ καμπύλον· ἁλμυρὸν δὲ, τὸ γωνοειδὲς καὶ σκολιὸν καὶ ἰσοσκελές· πικρὸν δὲ, τὸ περιφερὲς, καὶ λεῖον ἔχοντα σκολιότητα, μέγεθος δὲ μικρόν· λιπαρὸν δὲ, τὸ λεπτὸν καὶ στρογγύλον καὶ μικρόν. οἱ μὲν οὖν τρόποι, τοσοῦτον διαφέρουσι. τάχα δ' ἂν δόξειεν, ὥσπερ ἐλέχθη, καὶ οὕτως ἐκείνων εἶναι χάριν. αὐτῶν γὰρ τῶν δυνάμεων οὕτως ἀποδιδοὺς, οἴεται τὰς αἰτίας ἀποδιδόναι, δι' ἃς ὁ μὲν στύφει καὶ ξηραίνει καὶ πήγνυσιν, ὁ δὲ λεαίνει, καὶ ὁμαλύνει καὶ καθίστησιν, ὁ δὲ ἐκκρίνει καὶ διαχεῖ, καὶ ἄλλο τι τοιοῦτον. πλὴν ἴσως ἐκεῖνα ἄν τις ἐπιζητήσειε παρὰ τούτων, ὥστε καὶ ὑποκείμενον ἀποδιδόναι ποιόν τι. δεῖ γὰρ † εἶναι μὴ μόνον τὸ ποιεῖν, ἀλλὰ καὶ τὸ πάσχειν· ἄλλως τ' εἰ καὶ μὴ πᾶσιν ὁ αὐτὸς ὁμοίως φέρεται, καθάπερ φησίν. οὐθὲν γὰρ κωλύει, τὸ ἡμῖν γλυκὺ, ἑτέροις τισὶ τῶν ζώων εἶναι πικρόν. καὶ ἐπὶ τῶν ἄλλων δὲ ὁμοίως. δῆλον γὰρ, ὡς ἐν τῷ αἰσθητηρίῳ τις ὑπάρχει ἑτέρα διάθεσις· ἐπεὶ τό, γε τοῦ χυμοῦ σχῆμα ταὐτὸ, καὶ ἐν ἄλλῳ ἑκάστῳ, ταὐτὸ δύναται πανταχοῦ ποιεῖν. εἰ δὲ τοῦτο ἀληθὲς, αἰτίαν ὁμοιότητος εἶναι τῶν ὑποκειμένων. διὸ δεῖ καὶ λεκτέον ὑπὲρ αὐτῶν. ἅμα δὲ κἀκεῖνο φανερόν, ὡς οὐ μία τις δύναμις τοῦ αὐτοῦ σχήματος· εἰς δὲ τἀναντία πέφυκε ποιεῖν ἐν ἄλλῳ καὶ ἄλλῳ. τὸ μὲν γὰρ μὴ πάντων πρὸς τὴν αὐτὴν δύναμιν ἄγειν, οὐχ ὁμοίως ἄτοπον· ὥσπερ οὐδὲ τὸ πῦρ καίειν. εἰ δὲ καὶ ἐναντίως ἔνια διατιθέναι, τοῦτο πλείονος λόγου δεῖται· καί τι κἀκείνου δεῖ τινα λέγειν αἰτίαν. ἐπεὶ γοῦν τοῦ πυρὸς ὅταν μὴ δύναται καίειν, ἢ τὸ ὕδωρ ὑγραίνειν, ἔστι τις αἰτία καὶ λόγος. εἰ δὲ καὶ τοὐναντίον ἐπείγει, μᾶλλον αὖ ἐνδεῖ καὶ πλειόνων. τούτοις μὲν οὖν ὑπὲρ ἁπάντων τούτων λεκτέον. τοῖς δὲ περὶ τὰς δυνάμεις, ἐκεῖνο μόνον ἀναγκαῖον, ποιόν τι τῶν αἰσθητηρίων ἕκαστον· ἀεὶ γὰρ εἰδέναι καὶ τὴν τούτων φύσιν καὶ διάθεσιν. ἐπεὶ πᾶν οὐχ ὅλον μόριον αἰσθητικόν. ἴσως δὲ καὶ ὅταν ἐκ πλειόνων ἕν τι γίνηται, τὴν ἑκατέρου δύναμιν καὶ οὐσίαν οὐ δεῖ λανθάνειν. ἄτοπον δὲ κἀκεῖνο τοῖς τὰ σχήματα λέγουσιν, ἡ τῶν ὁμοίων διαφορὰ περὶ μικρότητα καὶ μέγεθος, εἰς τὸ μὴ τὴν αὐτὴν ἔχειν δύναμιν. οὐ γὰρ ἐπὶ τῆς μορφῆς, ἀλλὰ τῶν ὄγκων δυνάμεις, ὥς ἴσμεν τὸ διαβιάζεσθαι, καὶ ἁπλῶς τὸ μᾶλλον καὶ τὸ ἧττον τάχ' ἄν τις ἀποδιδοίη·

νον γὰρ μάλιστα τὸ τῆς ἀμπέλου φυτὸν ἀπόλλυται, καὶ ἔστιν ἑτέρων ἁπαλὸν καὶ ἀσθενὲς καὶ εὔπορον. ταῦτα γὰρ αἴτια τοῖς φυτοῖς τῆς φθορᾶς. χείρω δὲ ποιοῦσι πλείω. καὶ γὰρ ἡ ἀμυγδαλῆ πικρὰ γίνεται, καὶ ἡ ῥόα σκληροτέρα, καὶ ἕτερ' ἄττα μεταβάλλει. τὸ δ' αἴτιον εἴρηται πρότερον· ὅτι τῆς ἀρχῆς ἀλλοιουμένης, συναλλοιοῦται καὶ τὸ τέλος. Χαλεπαὶ δὲ καὶ αἱ περιβοσκήσεις, ὅτι συνεπικαίουσιν ἅμα τῇ τομῇ καὶ ἀφαιροῦσι. διὸ καὶ ὁ πόνος πλείων. ἰδία δὲ τὰ περὶ τὸν φοίνικα, καὶ τὴν πίτυν. ὅταν γὰρ ἐκκολουσθῶσι, τοῦτ' οὐκ ἀπόλλυνται μὲν, ἄκαρπα δὲ γίνεται. τὴν δ' αἰτίαν παραπλησίαν ὑποληπτέον ἢν τὸ πρότερον· ὅτι τῆς ἀρχῆς ἀλλοιουμένης καὶ ἀσθενεστέρας γινομένης, ἀφαιρεῖται τῆς δυνάμεως, καὶ μάλιστα τὸ ἔσχατον ὁ καρπός. ἅμα δὲ καὶ ἡ μὲν βλάστησις ὑποδέχεται, καὶ ὥσπερ ἤδη γέγονεν· ἐκεῖνο δὲ δεῖ γίνεσθαι. τὸ δὲ γενέσθαι καὶ μέλλειν, τοῦ ὄντος ἀσθενέστερον. οὐδὲ τούτων δὲ μάλιστα μόνον, ὅτι ὀλιγόκαρπα καὶ βραδύκαρπα κατά γε τὴν παρ' ἡμῖν φυτείαν. ἐν δὲ ταῖς οἰκείαις χώραις, ἴσως οὐκ ἀκαρπίας. οὐδὲ θαυμαστὸν, εἰ μὴ ἀκαρπεῖ ταῦτα, ἐκεῖνο κολουόμενα. τὰ δὲ τῆς ἀρχῆς ὅτι μεγάλα, πολλαχόθεν μὲν φανερόν. εἰ δὲ μὴ, καὶ ἐκ τῶν βλαστῶν, ὅταν κατακαυθῶσιν, ἐν ἄλλοις τε καὶ οὐχ ἥκιστα ἐν τῇ ἀμπέλῳ· κατακαίεσθαι γὰρ ὑπὸ τῶν δεινῶν. καὶ οὐκ ἔτι δύναται βλαστάνειν, ἀλλ' αὐτὴ ἡ τῆς βλαστήσεως ἀπορροὴ παύεται καὶ ἀποσβέννυται, καὶ φαίνεται ὥσπερ τυφλουμένη καὶ πηρουμένη πως. ἰσχυρὸν δὲ καὶ ἅπασιν ἡ ἀρχὴ, καὶ ἀσθενὲς οὐ τὸν αὐτὸν δὲ τρόπον. ἐπεὶ ὅτι βλαστητικὸν ἡ ἄμπελος, καὶ αἱ εἰς τὸν ὕστερον χρόνον ἐπιβλαστήσεις μηνύουσι. φθοραὶ δὲ καὶ τῶν σπερμάτων εἰσί τινες, τῶν μὲν κατὰ φύσιν συμφερομένων, ὁμοίως τῶν τε δενδρικῶν καὶ τῶν σιτηρῶν καὶ τῶν ἄλλων, ὧν καὶ χρόνοι τινὲς εἰσὶν ὡρισμένοι. πάντα γὰρ ζῇ μέχρι τινὸς, εἶτ' ἀπόλλυται. ζῆν δὲ λέγω δύνασθαι. φθείρεται δὲ φυσικῶς, ἀποξηραινόμενα, καὶ ὥσπερ διαπνεύσαντος ἅμα τοῦ θερμότητος καὶ ὑγρότητος. αἱ δὲ ἄλλαι πᾶσαι παρὰ φύσιν· οἷον ὅσα θηριοῦται καὶ ἀνυγραίνεται, καὶ ἄλλως πως ἐξίσταται. διὸ καὶ τὰ μὲν πολύλοπα, καὶ πολυχίτωνα, καὶ λιπαρὰ καὶ δριμέα, καὶ πικρὰ καὶ ὀσώδη, καὶ ξηρὰ, πάντα πολυχρόνια. ταχὺ γὰρ ἐξίσταται. τὰ μὲν γὰρ ὑπ' ἀλλήλων θερμαινόμενα, καθάπερ ὁ σῖτος, καὶ τὰ χεδροπά· τὰ δ' ὑπὸ τοῦ ἀέρος καὶ τοῦ ἔξωθεν ὑγραινόμενα, καθάπερ τὰ τῶν λαχάνων καὶ τῶν στεφανωμάτων. οἷον γὰρ μαδᾷ, καὶ εἰς διαβλάστησιν οὐ μαδᾷ. ζωοῦται δὲ θᾶττον, καὶ φθείρεται. τῶν δὲ χεδροπῶν τὰ τερηδόμενα· γλυκύτερα γάρ. ἐν τούτοις δὲ ἡ ζωοποιία. καὶ ἅμα θᾶττον ἐξίσταται, δι' ἀσθένειάν τε καὶ διὰ τὸ ὥσπερ ἐν πέρατι εἶναι. καὶ τοῦ σίτου δ' ὡσαύτως ὁ γλυκύτερος. μέγα δ' οἱ τόποι διαφέρουσιν εἰς φυλακὴν, ἐὰν ὦσι ξηροὶ καὶ ψυχροί. διαμένουσι γὰρ πλείω χρόνον· ὥσπερ ἐν τε Μηδίᾳ, καὶ Παφλαγονίᾳ. καὶ τούτων, ἐν τοῖς ὑψηλοτέροις χωρίοις. ὡσαύτως δὲ εἴ πῃ ἄλλοθι τοιοῦτον· ἀμφότερα γὰρ ἐξείργονται τὰ φθείροντα, τό, τε θερμὸν καὶ ὑγρόν. ἐπεὶ καὶ ἡ διαπνεομένη γῆ, τοῦτο ποιεῖ· ξηραίνει τε γὰρ καὶ ψύχει. τῶν δὲ δενδρικῶν ὅσα μὲν μαλακὰ καὶ σαρκώδη, καθάπερ ἡ ἀμυγδαλῆ, καὶ τὸ κάρυον, καὶ ἡ βάλανος, τοῖς περιέχουσι σώζεται. τὰ δὲ ξηρὰ καὶ ξυλώδη, καθάπερ τὸ γίγαρτον, καὶ τὰ τοιαῦτα, καὶ ἑαυτοῖς. ὡς δ' ἁπλῶς εἰπεῖν, πάντα πολυχρονιώτερα διὰ τὸ περιέχον. ἐπεὶ καὶ τὸ γίγαρτον, καὶ ἡ κεγχραμὶς, καὶ τ' ἄλλα τὰ τοιαῦτα, πολλῷ μᾶλλον ἀποξηραίνεται γυμνούμενα. μάλιστα δὲ διαμένει τῶν τοιούτων, ὅσα πυρῆσι περιέχεται, καθάπερ τὸ τῆς ἐλαίας· καὶ ἔτι ὑλώδη, ἢ ὀστώδη τυγχάνει, καθάπερ τὸ τοῦ φοίνικος, καὶ ὁ κνῆκος, καὶ τ' ἄλλα τὰ κνηκώδη. πυκνὰ γὰρ πάντα, καὶ περιβολὴν ἔχοντα. τὸ δὲ σπέρμα τὸ ἐν τούτοις, ὅτι μὲν κεχωρισμένον ἐστὶ καὶ φανερὸν, ὅτι δὲ ἀχώριστον καὶ ἀφανὲς, ὥσπερ τὸ τοῦ φοίνικος.

ἴδιον δὲ ἢ

ΘΕΟΦΡΑΣΤΟΥ ΠΕΡΙ ΦΥΤΩΝ ΑΙΤΙΩΝ ΤΟ Ζ.

ΠΕΡΙ δὲ χυλῶν καὶ ὀσμῶν, ἐπειδὴ καὶ ταῦτα τῶν φυτῶν οἰκεῖα, πειρατέον ὁμοίως ἀποδοῦναι τοῖς πρότερον, τά τε συμβαίνοντα περὶ ἕκαστον εἴδη, καὶ διὰ τίνας αἰτίας. ἡ μὲν οὖν φύσις ποία τις ἑκατέρου τοῦ γένους, ἐν ἄλλοις ἀφώρισται· καὶ ὅτι μικτά πως ἄμφω κατὰ τὸν λόγον ἐστί. χυλὸς μὲν, ἡ τοῦ ξηροῦ καὶ γεώδους τῷ ὑγρῷ ἐναπόμορξις· ἢ ἡ τοῦ ξηροῦ διὰ τοῦ ὑγροῦ διήθησις, ὑπὸ θερμοῦ· διαφέρει δ' ἴσως οὐδέν. ὀσμὴ δὲ, ἡ ἐν χυλῷ ξηροῦ τῷ διαφανεῖ. τοῦτο γὰρ κοινὸν ἀέρος καὶ ὕδατος. καὶ σχεδὸν τὸ αὐτὸ πάθος ἐστὶ χυλοῦ τε καὶ ὀσμῆς, οὐκ ἐν τοῖς αὐτοῖς δὲ ἑκάτερον. ταῦτα μὲν οὖν οὕτω κείσθω κατὰ τὸν εἰρημένον ἀφορισμόν. τὰ δ' εἴδη τῶν χυλῶν,

φανεραί τινες αἱ αἰτίαι. ἡ δ' ὑπὸ τῆς † ἁλίας καὶ τῆς πίτυος καὶ τῆς σίκυος· καὶ γὰρ καὶ ταῦτα φθείρει, καὶ μάλιστα τὰ φυτὰ τὰ νέα καὶ οὐκ ἐῶσιν ἅπτεσθαι καὶ περιπλέκεσθαι, ἐν ἐκείναις οὔσαις ταῖς αἰτίαις· ὅτι θερμὰ καὶ λεπτὰ τῇ φύσει ὄντα, διαδύεταί τι πόῤῥω, καὶ πικροὶ καὶ ὑπὸ καιρὸν τὸν φλοιόν. σημεῖον δ' ὅτι καὶ σκληρύνεται, καὶ ἀφίσταται. πονήσαντος δὲ καὶ ἀποσκληρωθέντος, οὐ δύναται διιέναι ἡ τροφή. τὸ δ' ὑπὸ κάτω διαδύεσθαι, πόῤῥω, κἀκεῖνο σημεῖον. αἱ γὰρ ἀμέργοντες τὸν θέρος, ἔστι τὰ ὑπολείμματα τῶν ῥιζῶν ἔλαιον, ἡ πίτταν ὑπεχέουσιν, ἢ τῷ στέατι ἀλείφουσιν, ἅπερ ὅλως ξηραίνουσι. καὶ μάλιστα ἡ πίττα, διὰ τὸ ἰσχυρότατα εἶναι. Λοιπαὶ δὲ τῶν φθορῶν ὥσπερ βίαιοι λεγόμεναι. αὗται δὲ γίνονται πληγῇ, ἢ περιαιρέσει τινῶν, ἢ κολούσει, ἢ τοῦ ὅλου ἀφαιρέσει. ἔνια 23 [τὸ ὅλον]

μὲν γὰρ ἑλκόμενα βαθύτερον, ἀπόλλυται διὰ τὴν ξηρότητα καὶ ἀσθένειαν. ὁ δὲ φοῖνιξ, περικοπτόμενος εἰς τὸν ἐγκέφαλον· ἐν τούτῳ γὰρ ἡ ζωὴ, καὶ ἡ βλάστησις. ὅταν οὖν ἀναξηρανθῇ, ἢ τὸ ὅλον ἀλλοιωθῇ, παρεισπεσόντος ἀέρος τι καὶ ἀλλοτρίου θερμοῦ, διαφθείρεται· καὶ διαφθειρόμενος, δίεισιν εἰς τὰ κάτω. τοῦτο μὲν οὖν, καὶ ἰδία τις ἡ φύσις, ὥστε καὶ ἐμφανὲς εἶναι τὸ κύριον τοῦ ζῆν. ἔνια δ' οὐ πρὸς πληγὴν ἀπαθῆ μόνον, ἀλλὰ καὶ ξύλον ἐξαιρουμένου, ἐκ τοῦ στελέχους· οἷον ὅσα φύσει καὶ δύβλαστῆ, καὶ ὑγρὰ καθάπερ πτελέα, πλάτανος, τὰ πολλὰ τῶν παρυδρίων. ἡ δὲ πεύκη, καὶ δαδοκοπουμένη σώζεται. μέγα δὲ ταύτῃ καὶ ἡ λιπαρότης. ἅπαντα δὲ ταῦτα, καὶ τἆλλα μέγεθος ἔχοντα ὑπομένει. διὸ καὶ τὰ ἐκσηπόμενα σώζεται, καὶ ζῇ. ἐπεὶ καὶ τὴν πεύκην † γῆν, ἐὰν δαδουργῶσιν, [† οὐκ αἰεὶ]

ἀλλ' ὅταν ἐν ἀκμῇ καὶ πορρωτέρω γίνεται. νέα γὰρ οὐκ ἰσχύει. διὰ δὲ τὸ μὴ πίπτειν, μηδὲ συναθροίζειν τὸ ὑγρὸν, ἀλλ' εἰς τὴν βλάστησιν καὶ τὸ μῆκος καταναλίσκειν. ἅμα γάρ τι εἰς βάθος αὔξει, καὶ ἡ τοιαύτη διάθεσις καὶ δύναμις ἔοικεν ἀπολαύειν. ὅσα δὲ καὶ τεμνόμενα καὶ κολαζόμενα βελτίω γίνεται, καὶ καρπιμώτερα, δῆλον καὶ ταῦθ' ὑπομένει. πληγὴν μὲν οὖν καὶ διαίρεσιν, καὶ τὰ τοιαῦτα δέχεται, σχίσιν δὲ τῶν στελέχους πρὸς τοῖς, ἄμπελος καὶ συκῆ, καὶ ῥόα καὶ μηλέα· τὰ δ' ἄλλα ἀπόλλυται. ὅσα γὰρ αὖ πλησθέντα καὶ σχισθέντα συμμύει πάλιν καὶ συμφύεται, ταῦθ' ὥσπερ ὑγιασθέντα ζῇ, καὶ οὐχ ὥσπερ ἐκεῖνα διεχισμένα. τὸ δ' ὑπομένειν, αἴτιον ἡ ὑγρότης, καὶ ἡ φύσει μανότης. τροφὴν γὰρ ἱκανὴν λαμβάνουσι, καὶ οὐκ ἀναξηραίνεται· διὰ τὴν σχίσιν δ' ὑπὸ τοῦ ψύχους οὐδὲν πάσχουσιν. αἴτιον δὲ τούτου, δεῖ λαβεῖν τὴν σχίσιν, ὥστε συνέχεσθαι μὲν, ἃ μόνα δοκεῖ τῶν ἡμέρων τοῦτο δύνασθαι· συκῆ, ἄμπελος, ἐλαία, ἀμυγδαλῆ· διὰ τὸ συμμύειν τάχιστα. διὸ καὶ δύχιστα, τῷ κολλᾶσθαι τὴν ὑπόστασιν ἔχειν. καὶ γὰρ ὁ ὀπὸς καὶ τὸ τῆς ἐλαίας τοιοῦτον, καὶ πᾶν τὸ λιπαρόν, τὸ δὲ τῆς ἀμπέλου ξύλον αὐτὸ τοιοῦτον· σημεῖον δὲ, ὅτι καὶ σχιζόμενα τὰ κλήματα, καὶ τὸ ἐν τεριώνης ἐξαιρουμένης, ταχὺ συμφύεται· ἢ τοῦτό γε μᾶλλον ὁ κάλαμος· καὶ γὰρ συνέρχεται αὐτόματος. φασὶ δὲ καὶ τὴν ἄπιον σχίζεσθαι. περὶ μὲν οὖν τούτων, σκεπτέον. Ἡ δὲ τοῦ φλοιοῦ περιαίρεσις, κοινὴ πάντων, ἢ τῶν πλείστων ἐστὶ φθορά· 24

περὶ ἧς εἴρηται πρότερον. ἔτι γὰρ ἐν τοῖς κυρίοις ἐστὶ τὸ ζῆν, εὐλόγως ἂν γίνοιτο, καθάπερ τινές φασιν· ἔτι καὶ ἐκ τούτων πυκνουμένων δίικνεῖται πρὸς τὸ ὅλον, εὔλογον οὕτω. ἡ δὲ μήτρα μέχρι μέν τινος ἐξαιρουμένη, οὐ φθείρει. διόλου δὲ, φθείρει· καθάπερ αἱ περὶ Ἀρκαδίαν φασί, καὶ πεύκην καὶ ἐλάτην, καὶ ἄλλ' ὅ, τι ἄν. οὐκ ἄλογον δ' οὐδὲ ταύτης ἡ αἰτία, καὶ τοῦτ' ἂν τῶν εἰρημένων· ὑγρότατον γὰρ δοκεῖ, καὶ ὥσπερ μάλιστα εἶναι ζωτικόν. σημεῖον δ' ὅτι καὶ τὰ ξύλα καὶ τὰ ἐμμητρα δυστρόφιτου κατεργασμένα ἤδη, μέχρις οὐ ἂν τελέως ἀναξηρανθῇ. διὸ καὶ ἥκιστα καὶ οὐκ ἔμμητρα ποιοῦσι τὰ τῆς ἐλάτης καὶ πεύκης. ταύτης δὲ μέχρι μέν τινος ἐξαιρουμένης, οὐκ ἄτοπον διαμένειν τὸ δένδρον, ὥσπερ καὶ τοῦ φλοιοῦ μέχρι τινὸς ἀφαιρουμένου· τελέως δ' ἐξαιρεθείσης, αὐαίνεσθαι, καθάπερ ἀρχῆς τινος ἢ καὶ οἰκείας ὑγρότητος συμφύτου στερουμένης. περὶ δὲ τῆς ἀποκοπῆς, καὶ τῆς κολούσεως, ἐν ὀλίγοις ἡ σκέψις. ὀλίγα γὰρ τὰ φθειρόμενα. ἔστι μὲν τῶν ἀποκοπῶν, ἐλάτη, πεύκη, πίτυς, φοῖνιξ· ἔνιοι δὲ καὶ κέδρον, καὶ κυπάριττον φασι. καλοῦσι δ' ἀποκοπὴν, ὅταν ἀφαιρεθείσης τῆς κόμης, ἀποκόψῃ τις τὸ ἄκρον. οὐκ ἀλόγως δ' αὖ δόξειε φθείρεσθαι, ξηρὰ τῇ φύσει, καὶ εὐθυπορώτατα μὲν, μονόῤῥιζα δ' ὄντα. καὶ γὰρ αἱ ἑλκώσεις πόνον παρέχουσι, καὶ εὐπαθέστερα ποιοῦσιν εἰς τὸ δίικνεῖσθαι καὶ τὸ καῦμα καὶ τὸ ψῦχος· ἄλλως τε καὶ πανταχόθεν οὔσαι, καὶ διὰ τὴν ὀρθότητα καὶ διὰ τὴν εὐθυπορίαν, ταχὺ δίικνεῖται καὶ πρὸς τὰς ῥίζας· ὥστε πολλαχόθεν ἡ φθορά· φύσει δὲ ἀπαρθέλασα πάντα, καὶ διὰ τὴν ξηρότητα τῶν ῥιζῶν, καὶ διὰ τὴν εἰς τὸ ἄνω φοράν, καὶ ἔτι τὸ μονόῤῥιζα καὶ ἔτι τὸ βάθος ἔνια ἔχειν. οὐδαμοῦ γὰρ οὐδὲν περιττόν, οὐδὲ παραχεόμενον ἐκ πίπτει τῆς τροφῆς, ὥστε μὴ εἶναι βλαστήσεως ἀρχήν. ὅταν οὖν πάντα ταῦθ' ὑπάρχωσι, χαλεπὸν ἀναγκαίαν τὴν φθορὰν εἶναι τελείαν. αἱ δὲ κολούσεις φθείρουσιν ὅλως ὀλίγα. μόνον γὰρ

φυ· καὶ διὰ τὸ μὴ κατεργάζεσθαι τὴν χώραν (ἡ γὰρ ἀργὸς, ψυχροτέρα) καὶ παχύτερον ἔχει τὸν ἀέρα, διὰ τὸ ὕλης εἶναι, καὶ μήτε τὸν ἥλιον ὁμοίως διικνεῖσθαι, μήτε τὰ πνεύματα διαπνεῖν. ἅμα δὲ καὶ αὐτὴν ἔχειν ὑδάτων συῤῥοὰς καὶ συστάσεις πλείους· ὃ καὶ περὶ τὰς Κρηνίδας † ἦν τῶν Θρακῶν κατοικούντων. ἅπαν γὰρ τὸ πεδίον δένδρων πλῆρες ἦν, καὶ ὑδάτων. ὁπότε νῦν μᾶλλον † πρότερον ἐκπήγνυσιν ἐξηραμμένων τῶν ὑδάτων, ἡ τῇ λεπτότητι τοῦ ἀέρος αἰτιατέον, ὥς τινές φασιν. αἱ μὲν οὖν αἰτίαι ὑπὲρ ἑκατέρων τοιαῦταί τινες· ἴσως δ' ἀμφοτέρων γινομένων ἐκ πάθους. ὥσπερ γὰρ φανερὸν ἐκ τῶν εἰρημένων. διαφέρει καὶ τόπος τόπου, καὶ τῷ μᾶλλον παχύνεσθαι καὶ λεπτύνεσθαι. ὁ γὰρ ὑδατώδης καὶ θολερὸς, οὐχ ὁμοίως ἐργαστικός. οὐδ' αὖ πάλιν ὁ λεπτός· καὶ γὰρ δυσκίνητος, καὶ οὐ κεκραμένος. αἱ πήξεις δὲ εἰς χρόνους. εἰ δὲ καὶ τὰ ἐπιγινόμενα δεῖ ποιεῖν ἅπτεσθαι, καὶ τὴν ὅλην κατάστασιν, καὶ εἴ τι ἄλλο τῶν ἔξωθεν. εἰ γὰρ μεταβολαὶ παχεῖαι πρὸς τὰς αὐγὰς, κωλύοιντ' ἂν αἱ πήξεις. ὡς δ' ἁπλῶς εἰπεῖν, δυσπαθέστερος μὲν εἰς τὸ πάχος ὁ λεπτός. ὅταν μέντοι καταψυχθῇ ὁ παχύτερος, ψυχρότερος, ὥσπερ καὶ θερμότερος. ἐμμονος γὰρ μᾶλλον ἡ θερμότης καὶ ἡ ψυχρότης, ὥσπερ καὶ ἐν τοῖς ἄλλοις τοῖς σωματωδεστέροις. διὸ καὶ εἴ που μὴ ὑδατώδης, ἀλλ' ἅμα τῷ πάχει ξηρὸς, οὐκ ἄλογον εἰ μᾶλλον ἐκπηκτικός. ἀλλὰ γὰρ περὶ μὲν τούτων, ἱκανῶς εἰρήσθω.

21 Ἡ δὲ τοῦ καύματος ὑπερβολὴ, τὰ μὲν φυτὰ καὶ παντελῶς νέα φθείρει, διὰ τὴν ἀσθένειαν· ὥσπερ καὶ τὰ ἐπίπεδα. τὰ δ' ἐῤῥιζωμένα, καὶ ἔχοντα μέγεθος, οὐ φθείρει, διὰ τὸ μὴ δύνασθαι διαφύεσθαι, μηδὲ ὁμοίως θιγγάνειν τῆς ἀρχῆς. ἀλλ' εἴπερ τοὺς βλαστοὺς καὶ τοὺς καρποὺς ἀπολλύειν. καὶ τὸ ὅλον ἴσως ἀλλοτριώτερον τῇ φύσει τῶν ψυχρῶν. ἐπεὶ ὥς γ' ἁπλῶς εἰπεῖν, ἐπὶ πάντων γίνεται ἡ φθορὰ ταῖς ὑπερβολαῖς, ὅσα συνεργεῖ πρὸς τὸ ζῆν. καὶ γὰρ χώρα τις ἄφορος, ἡ μὲν διὰ λεπτότητα, ἡ δὲ διὰ λεπτότητα. καὶ ἀὴρ κωλύει, περισκελὴς ὢν ἐφ' ἑκάτερα. καὶ ὕδατος ἔνδεια καὶ πλῆθος. φθείρει γὰρ καὶ τὸ στάσιμον, ἐὰν ὑπερβαίνῃ τὸ μέγεθος τοῦ δένδρου, καθάπερ ἐν ταῖς ἐπομβρίαις καὶ τοῖς λιμνώδεσι τόποις· ὃ καὶ περὶ Φενεὸν συνέβαινεν. ὅπου δὲ ἐπίῤῥοια γίνεται, κἂν ἔχῃ βάθος, διαφέρουσι μᾶλλον). βοηθεῖ γὰρ ἡ κίνησις, καὶ τὸ ἱκανὸν ἀεὶ πρὸς τὸ πίνειν εἶναι. τούτων μὲν οὖν ταύτας ὑποληπτέον τὰς αἰτίας. λοιπὸν δὲ δεῖ εἰπεῖν, περί τε τῶν βιαίων παθῶν, καὶ εἴ τις ἄλλη μὴ ὑπὸ τοῦ ἀέρος καὶ τῆς φύσεως, ἀλλ' ὑφ' ἡμῶν γίνεται· καθάπερ ἥ τε διὰ τὸν περιφλοισμὸν, καὶ διὰ τὴν ἕλκωσιν τοῦ φυτοῦ. καὶ ὅσα παραβαλλόμενα παρὰ τὰς ῥίζας αὐαίνει, καθάπερ τὰ τῶν κυάμων κελύφη, καὶ εἴ τι ἄλλο τοιοῦτον ἕτερον. καὶ πρότερον ὑπὲρ τῶν κυάμων λέγομεν. φθείρει γὰρ τὰ τῶν κυάμων κελύφη, περιβαλλόμενα ταῖς ῥίζαις καὶ τοῖς βλαστοῖς, οὐ πάντα, ἀλλὰ τὰ ἄρτι ἀναφυόμενα· ταῦτα γὰρ ἀσθενέστερα. φθείρει δ' ἴσως τῇ σκληρότητι ἀποφράττει τὴν τροφὴν, τὰ μὲν ἕλκοντα αὐτὴν, τὰ δ' ἀπείργοντα· μὴ τρεφόμενα γὰρ, φθείρεται. καὶ ταῦτα μὲν, καὶ εἴ τι τοιοῦτον ἕτερον, ὥσπερ ἐναντία πρὸς τὴν βλάστησιν ὄντα, φθείρει. ἔνια δὲ καὶ τῶν οἰκείων καὶ συνεργούντων, ἐὰν πλείω συνεργηθῇ τῶν συμμέτρων, ἢ ἰσχυρότερα ἢ μὴ κατὰ καιρόν· οἷον ἡ κόπρος, ἢ συνεχῶς ἢ ἰσχυροτέρα παραβαλλομένη· καθάπερ ἡ σκυβαλική. πάντα γὰρ, ὡς εἰπεῖν, αὕτη δοκεῖ φθείρειν, ἄκρατος οὖσα, καὶ μὴ καλῶς κερασθεῖσα. καὶ ὅσαι δὲ θερμαὶ καὶ ξηραὶ καὶ ἰσχυραὶ τὸ ὅλον, καὶ μὴ οἰκεῖαι πρὸς ἕκαστον. εἰσὶ γὰρ, ὥσπερ εἴπομεν, αἱ πρὸς τὰς φυτείας ἁρμόττουσαι. καὶ οὐχ ὥσπερ τὸ ὕδωρ, πᾶσι κοινόν· ἀλλὰ τοῦτο ἐνίοτε τῷ πλήθει διαφθείρει, σῆπον τὰς ῥίζας, καὶ λίαν ἐκμεθύσκον. ἐὰν δὲ δένδρα τύχῃ καὶ μὴ ἄγαν ὄντα φίλυδρα, καθάπερ ἡ περίκαπτος, καὶ τἄλλα τὰ ξηρά· καὶ μᾶλλον, ἐὰν δή τις μὴ κατὰ καιρὸν ἢ τόπους, ἢ τῇ διακαθάρσει ἢ τῇ σκαπάνῃ χρήσηται. πάντα γὰρ συναίτια γίνεται φθορᾶς. ὁ δὲ καιρὸς καὶ πρὸς αὐτὰ, καὶ πρὸς τὰ ἐπιγινόμενα παρὰ τοῦ θεοῦ, κατὰ τὰς ὥρας. αὗται μὲν ἐν τοῖς οἰκείοις αἱ φθοραὶ, δι' ὑπερβολὴν ἢ δι' ἔλλειψιν τροφῆς, ἢ ἀκαιρίας † ἔργον. Αἱ δ' ἀπὸ τῶν φυτευομένων, ἢ παραβλαστανόντων αὐξομένων, τῷ ἀφαιρεῖσθαι τὰς τροφὰς, θᾶττον δ' ἐὰν ἰσχυρότερα καὶ πλείω, καθάπερ τὰ ἄγρια·

22 καὶ ὅσα διὰ πολύῤῥιζα καὶ πολύτροφα καὶ ἐπιῤῥιζοῦντα, καὶ περιπλεκόμενα, καὶ καταπνίγοντα καὶ ἐμφυόμενα, καθάπερ ὁ κιττός. ἐπεὶ καὶ † ἡ ἰξία δοκεῖ καὶ ὅλως τὰ ἐμβλαστάνοντα φθείρειν. ὁ δὲ κιττὸς, καὶ τὸ ἅλιμον, τῇ τε πολυτροφίᾳ καὶ τῇ ἁλμυρίδι τῇ περὶ αὐτά. ἰσχυρότερον δέ τι τὸ ἅλιμον, διὰ τὸ πλείω ἔχειν. φθοραὶ δὲ καὶ ἄλλοις, ὑπ' ἄλλων εἰσὶν ἴδιαι, καθάπερ ἐν τοῖς ἐλάττοσι. καὶ γὰρ ἡ ὀροβάγχη καλουμένη, τὸν ὄροβον τῷ περιπλέκεσθαι καὶ καταλαμβάνειν· καὶ τὸ λιμόδωρον τὸ βούκερας δύνει τῇ ῥίζῃ παραφυόμενον, καὶ ἄλλα δ' ἄλλα, καὶ ὅσα δὴ συγγεννᾶται καθ' ἕκαστον σπέρμα. οἷον αἶρα καὶ αἰγίλωψ καὶ πυροῖς καὶ κριθαῖς· καὶ ἡ ἀπαρίνη φακοῖς· καὶ ἕτερα δ' ἑτέροις. ἅπαντα δὲ τὰς τροφὰς ἀφαιρεῖσθαι, τάς τε ἐκ τῆς γῆς, καὶ τὰς ἀπὸ τοῦ ἡλίου καὶ τοῦ ἀέρος, καὶ τούτων μὲν σχεδὸν

φανεραὶ

τὸ ψῦχος τὴν γῆν, εἰς ἣν καὶ συνελαύνεται τὸ θερμόν. ἐνίοτε δ' οὐκ ἀπόλλυται οὐδὲ τὰ ἄνθη, ἀλλὰ μᾶλλον ἐπιλανθάνεται· καὶ ἔτι οὐκ εὐθὺς ἀφαιρεῖν δεῖ. πολλάκις γὰρ ἅμα τῇ ὥρᾳ διεβλάστησε. καὶ αὐτὰ τὰ φύλλα δοκοῦντα αὖα εἶναι, πάλιν ὑγραίνεται, καὶ γίνεται χλωρά. διὸ καὶ οὐκ ἄτοπον, εἴ τι συνέβη τοιοῦτον, ὥστε ἐλαίας αὐανθείσης καὶ αὐτῆς καὶ τῶν φύλλων, πάλιν ἀναβλαστῆσαι. οὐ γὰρ ἦν αὔανσις, ἀλλὰ φαινομένη τις ξηρότης καὶ τῇ ἄλλῃ χρόᾳ, πρὸς δὲ τὴν ἀρχὴν ὅτι τὴν τῶν φύλλων διακοπήν· ἔτι δὲ ἧττον τῶν βλαστῶν, καὶ τῶν ἀκρεμόνων. ὁμοίως δὲ καὶ ἐπ' ἄλλων τινῶν τοῦτο συμβαίνει· μάλιστα δ' εἰκὸς, ὧν τὸ φύλλον σαρκῶδες, καὶ αὐτὰ τῇ φύσει θερμά. τὰ γὰρ ἀσθενῆ καὶ λεπτὰ, τοῦτο πάσχει, καθάπερ τὰ τῶν †μορίων. ἀλλὰ καὶ τάχιστα ἀπολείπεται· λεπτὰ γὰρ καὶ αὐτὰ τὰ κλωνία, καὶ ἁπαλὰ τῇ φύσει, καὶ ὅλον τὸ δένδρον οὐ θερμόν· διὸ καὶ πήγνυσθαι τάχιστα. ἡ γὰρ αὖ δάφνη, καίπερ οὖσα μανὴ, καὶ διαμένει διὰ τὸ θερμόν. ἡ δὲ ῥόα καὶ ἡ συκῆ, μαναί τε καὶ ὑγραὶ, καὶ οὐχ ὁμοίως θερμαί. Ταχεῖα δὲ ἡ ἐκ τῶν ἐκπηγνυμένων βλάστησις, ὅτι συμβαίνει τὴν ῥίζαν ἰσχυρὰν γίνεσθαι καὶ πλήρη, συναθροισμένης τῆς ἐντὸς τροφῆς, ἣν οὐ διεδίδου. ἔτι δὲ τῆς πρότερον οὐ πολλὴν καὶ ἰσχυρὰν διανεμομένην, τότ' εἰς ὀλίγον ἀλίσκεσθαι. ὥστ' εὐλόγως καὶ ἡ αὔξησις ταχεῖα, καὶ ἡ καρποτοκία. τοῦτο μὲν οὖν ὁμολογουμένως γίνεται παρὰ πᾶσιν. ὃ δέ τινες θαυμάζουσιν, ὅτι ἡ μὲν χιὼν οὐκ ἐκπήγνυσιν, ἡ δὲ πάχνη, μείζω οὖσα τῆς χιόνος οὔσης, οὐδὲν ἄτοπον. πρῶτον μὲν, ὅτι ἡ μὲν οὐκ ἐπιμένει, ἀλλ' ἀποτήκεται ἀπὸ τῶν κλημάτων καὶ τῶν βλαστῶν. ἡ δὲ πάχνη, ταῦτ' ἐκκαλεῖ. ἔπειτα καὶ ἡ διάθεσις αὐτὴ τοῦ κλήματος. ἡ μὲν γὰρ ἀβλαστοῦς, ἡ δὲ ἐκβλαστηκότος ἄρτι πίπτει, ὅτε ἀσθενέστατον. ἐνίοτε δὲ αὐτοὶ δεῦντες πρὸς τὴν βλάστησιν, ὅτι οὐχ ὑπὸ τῶν ὡς ἐπὶ πᾶν ἐπίκηρον. ἔτι πᾶσι γὰρ διυγραινόμενα ἤδη καὶ μανούμενα ἔτι καὶ λεπτοτέρα τῆς χιόνος, ὥστε δι' ἄμφω σφοδροτέραν τὴν πῆξιν εἶναι. ἡ δὲ χιὼν ὅλως οὐδ' αὖ ἐπιμένειν ἐπὶ τοῖς κλήμασι, μὴ κατακρυπτομένης ὅλως. ὅταν δὲ τοῦτο πάθῃ, σκεπάζει τῷ ἐπιμένειν ἐγκατακλείουσα τὴν θερμότητα, καὶ ἀπεργάζουσα τὴν ἔξω καθάπερ καὶ τὴν γῆν. τὸ δ' ὅλον, καὶ τμητικωτέρα δοκεῖ ἡ πάχνη τῆς χιόνος εἶναι. διὸ καὶ τοὺς νέους οἴονταί τινες βελτίους ταύτην ποιεῖν. διαχεῖν γὰρ τὰς βώλους διαλυομένην, καὶ διαδύνουσαν τῷ συνεστάναι μᾶλλον. λεπτοτέρα δ' οὖσα τῆς χιόνος, ὅτι ὁ μὲν ἐκ νέφους, καὶ οἷον ἀφρός τις, ἐμπεριειληφυῖα πνεῦμα. ἡ δ' αὐτὴ καθ' αὑτὴν συνεστηκυῖα, καὶ ἐκ λεπτοτέρου τινὸς ἀέρος καὶ ὑγροῦ. τούτων μὲν οὖν ταύτας ὑποληπτέον τὰς αἰτίας. Αἱ δ' 20 ἐκπήξεις ὅλως, πότερον διὰ τὴν παχύτητα τοῦ ἀέρος, ἢ διὰ τὴν λεπτότητα γίνονται, καὶ εἰ δι' ἄμφω, διὰ πότερον μᾶλλον, ἀπορήσειεν ἄν τις. εἰ μὲν γὰρ οὐδὲ τοῦ ἀέρος γίνεται πῆξις, ὅταν μὴ αἴθριος ὁ ἀὴρ, μὴ δ' αὖ τοῦ ἀέρος δόξειεν. ὁ γὰρ αἴθριος λεπτότερος, ἅμα δὲ καὶ διαλυτικώτερος μᾶλλον ὁ λεπτός. ἡ δ' ἔκπηξις, εἰσδυομένου τοῦ τέμνοντος. ἔτι δ' εὐψυχότερος καὶ ἀπαθέστερος ὅλως ὁ λεπτός. διὰ τοῦτο γὰρ καὶ ὕδατα προθερμανθέντα ψύχεται, καὶ πήγνυται θᾶττον, ὅτι λεπτύνεται τῇ θερμότητι. συνεπιμαρτυρεῖν δὲ καὶ οἱ τόποι δοκοῦσιν, οἱ ἐναίθριοι λεγόμενοι· πλέον γὰρ ἐκπήγνυται, καὶ πολλάκις ἐν τούτοις. ἐνιαχοῦ μὲν, καὶ μικρὰ δὲ πάνυ διεχόντων, ὥσπερ ἐν Κορίνθῳ τὸ Κρανίον, καὶ τὸ Ὀλύμπιον. σκληραὶ γὰρ αἱ αἴθριαι σφόδρα περὶ τὸ Κρανίον, ὥστε καὶ τοῖς φυτοῖς καὶ τῇ αἰσθήσει δῆλον εἶναι. ἐνιαχοῦ δὲ καὶ ἐπὶ πλείονι διαστήματι. καὶ ὅλως οἱ πρότερον οὐκ ἐκπηγνύντες τόποι, παχέος ὄντος τοῦ ἀέρος, νῦν ἐκπηγνύουσι· καθάπερ οἱ περὶ Λάρισσαν ἐν Θετταλίᾳ. τότε μὲν γὰρ ἐνεστηκότος ὕδατος πολλοῦ καὶ λελιμνωμένου τοῦ πεδίου, παχὺς ὁ ἀὴρ ἦν, καὶ ἡ χώρα θερμοτέρα. τούτου δ' ἐξαυχμισθέντος, καὶ ἐνίστασθαι κωλυθέντος, ἥ τε χώρα ψυχροτέρα γέγονε, καὶ †ἐκπλήξεις πλείους. σημεῖον δὲ λέγουσι, ὅτι τότε μὲν ἦσαν ἐλαῖαι καὶ ἄλλοθι καὶ ἐν αὐτῇ τῇ πόλει μεγάλαι καὶ καλαί, νῦν δ' οὐδαμοῦ. καὶ αἱ ἄμπελοι, τότε μὲν οὐκ ἐξεπήγνυντο, νῦν δὲ πολλάκις. ὅτι δὲ τὸ ὕδωρ οὐκ ἀεὶ ψυχροτέρας ποιεῖ, ἀλλ' ἅπερ καὶ πρότερον ἐλέχθη, σημεῖον τὸ περὶ Αἶνον γινόμενον. αὕτη γὰρ ἐλεεινοτέρα δοκεῖ, νῦν δὲ γέγονε πλησιαίτερον ὄντος τοῦ Ἕβρου. ταύτῃ μὲν οὖν δόξειεν ἂν ὁ λεπτὸς ἀὴρ πηκτικώτερος εἶναι. τῇ δὲ, πάλιν ὁ παχύτερος· ἀκινητότερος γάρ. ὁ δ' ἀκίνητος, εὐπηκτότερος. ὅτι δὲ καὶ αἱ πάχναι ἐν τοῖς τοιούτοις γίνονται τόποις, αἵπερ μάλιστα εἰσδύονται εἰς τὰ σώματα· φυλάξασθαι γὰρ οὐκ ἔστιν οὐδ' ἐν τοῖς στρώμασι κατακειμένον. ἐπιβεβαιοῖ δὲ καὶ τὸ, ἐν τοῖς ὄρεσιν ἧττον, ἢ ἐν τοῖς πεδίοις ἔκπληξιν γίνεσθαι. λεπτότερος γὰρ ὁ ἀὴρ, καὶ εὐκινητότερος. οἱ δὲ καθ' ἕκαστα τόποι καὶ ἐπὶ τούτων πίστιν ἔχουσι. τῆς τε γὰρ Θετταλίας περὶ Κίθρον μάλισθ' ὡς εἰπεῖν, ἐκπλήξεις εἰσίν. ὁ δὲ τόπος κοῖλος καὶ ἔφυδρος. ἔν τε Φιλίπποις πρότερον μὲν μᾶλλον ἐξεπήγνυντο, νῦν δ' ἐπεὶ καταποθεῖς ἐξήρανται τὸ πλεῖστον, ἥ τε χώρα πᾶσα κάτεργος γέγονεν, ἧττον πολύ. καίτοι λεπτότερος ὁ ἀὴρ διὰ μ

μυῤῥίνων μορίων

19 ἅμα

ἐπιμένει ἐπὶ δ'αὐτ

+ ἐκπλήξεις

μάτων καὶ τὰς καρδίας αὐτάς, καθάπερ ἔν τε τῷ πόντῳ καὶ περὶ Μάλεαν, οἷον ἐμφράττον-
τες τὰς ἀρχάς. ἐὰν γὰρ ταῦτα συγκλεισθῇ, καθάπερ ἄλλα τὰ γυμνά, οὐδὲν πάσχουσι, διὰ τὸ
μὴ ἔχειν εἴσοδον. διικνεῖται γὰρ ἀπὸ τῶν ἄνω πρὸς τὰ κάτω καὶ τὰς ῥίζας. ἡ δ' ἰδιότης ἰσχυρά,
καθάπερ ὑφ' ἡλίου καὶ χρόνου πολλοῦ, διὰ τὴν σφοδρότητα καὶ τὴν ἰσχὺν τοῦ ψύχους. ἐξάγει γὰρ
μᾶλλον καὶ ἀθροώτερον τὸ ὑγρὸν ἅμα τῷ θερμῷ. τὸ δὲ πονεῖν μάλιστα τῶν τόπων, ὅσοι κοῖλοι
καὶ αὐλῶνές εἰσι, καὶ ὅσοι περὶ τοὺς ποταμούς, καὶ ὅλως τοὺς ἀπνευστοτάτους, οὐκ ἄλογον. ἵσταται γὰρ
μάλιστα ἐνταῦθα φερόμενον τὸ πνεῦμα, καὶ πλεῖστον διαμένει χρόνον, ὥστε καὶ μάλιστ' ἀπεργάζε-
ται. καὶ γὰρ ὅπου μὴ διὰ πνεύματα τὸ πάθος, ἀλλὰ διὰ περίστασιν καὶ στάσιν τινὰ τοῦ ἀέρος γίνεται,
καθάπερ ἐν Μακεδονίᾳ τε καὶ Θετταλίᾳ, ἐνιαχοῦ καὶ περὶ Φιλίππους. ἐνταῦθ' οἱ κοῖλοι τόποι
μάλιστα πονοῦσιν. ἐφιστάμενος γὰρ ὁ ἀὴρ πήγνυται, καὶ πήγνυσι τὸ ὅλον πλείω χρόνον καὶ ἐργά-
ζεται. κατὰ τοὺς ὑψηλοὺς δὲ οὐδὲ γίνεται πῆξις ὅλως, ὥσπερ ἡ τοῦ ὕδατος ἡ πνεύματος· κωλύει γὰρ ἡ
17 κίνησις. Ἀλλ' ἐκεῖνο θαυμαστόν, καὶ λόγου δεόμενον, ὅτι οὐ τὰ ἀσθενέστατα πονεῖν εἴωθεν, ἀλλ' ἐνίο-
τε τὰ ἰσχυρὰ μᾶλλον. ἐλαίαν γὰρ καὶ συκῆν, οὐδὲν ἄλογον ἀποκαυθῆναι. τῶν μὲν γὰρ μετέωροι, τῶν
δὲ καὶ μαναὶ αἱ ῥίζαι, ὥστε καὶ ἄνωθεν τὸ ψύχος διικνεῖσθαι. ἔτι ἡ ἄμπελος δὲ ἔχει τινὰ αἰτίαν ἐκ
τῆς φύσεως, καὶ ἐκ τῆς ἑλκώσεως τῆς περὶ τὴν τομήν. ἀλλὰ τὸ τὸν κότινον μᾶλλον πονῆσαι τῆς ἐλαίας,
ἄτοπον· ἔτι τὸ τὴν ῥόαν μηδὲν παθεῖν, ἀσθενῆ πρὸς τοὺς χειμῶνας οὖσαν. ἐμπήγνυσθαι γὰρ τάχι-
στα δοκεῖ. καὶ γὰρ εἰ διαφέρουσιν αἱ ἐκπήξεις αἱ ὑπὸ τῶν πάγων ἐπὶ τῶν πνευμάτων, ὅλως οὐκ
ἄλογον, ἀμφοτέρων τὰ ἀσθενέστατα μάλιστα ὑπακούειν· εἰ μὴ ἄρα τὸ αὐτὸ γίνεται καὶ ἐνταῦθα τῷ
πρότερον εἰρημένῳ. μᾶλλον γὰρ καὶ ἐφίσταται καὶ ἐμμένει τοῖς πυκνοῖς, ἢ τοῖς μανοῖς. τὰ δὲ μα-
νά, δίεισιν. ὃ καὶ τοῦ μὴ ἐκπήγνυσθαι τὰς μηλέας, αἴτιον ἦν, ἧττον δ' ἑτέρων ἀσθενεῖς οὔσας, ὥ-
σπερ καὶ περὶ Θετταλίαν. τῇ γὰρ μανότητι δίεισι, καὶ οὐκ ἐναποστέγει. τὸ δὲ μὴ χρονιζόμενον, μηδὲ ἀθρόον,
οὐδ' ἐργαστικόν· ὥσπερ οὐδ' ἐν τοῖς κεραυνοῖς. δεῖ δὲ δύνειν θᾶττον ἢ μὴ δέχεσθαι, καθάπερ τὰ
πυκνὰ καὶ ἰσχυρά (τοιοῦτον γὰρ ἡ ἄπιος, καὶ τὰ ἄγρια δέ, καὶ τὰ ἄκαρπα ἔτι μᾶλλον· οἷον πτε-
λέα, ὀξύα) ἢ δεξάμενα διῶσαι, καὶ μὴ κατέχειν. ὑπὲρ μὲν οὖν τούτων ἐνταῦθά πῃ τὸ αἴτιον. ἡ
δὲ τῶν πνευμάτων φθορά, καθ' ὃν ἂν γίνηται τόπον ἐπέκλυσεν, οἷον ποταμὸς εἰς ῥυείς, ὥσπερ ἐν
τοῖς λοιμοῖς. διὸ καὶ τὰ σύνεγγυς ἀπαθῆ πολλάκις. ἐνίοτε δὲ οὕτως εἰς ἀκριβὲς διῆλθεν, ὥσπερ
ἐπὶ τῶν αὐτοῦ κλήματος ὀφθαλμῶν, οἱ μὲν ὑγιεῖς, οἱ δὲ πεπηγότες εἰσί. πολλάκις δὲ κεκρυμμέ-
νης ὑπὸ χιόνος ὅλης τῆς ἀμπέλου (γίνεται γὰρ τοῦτο ἐν τοῖς ψυχροῖς τόποις) ἐὰν λάβῃ γυμνὰ τὰ ἄ-
κρα κλήματα, ταῦτα ἀπέκαυσε, καὶ ἀπὸ τούτων διαδίδωσι πρὸς τὰς ῥίζας. ὥστ' ἐνίοτε ζῆν.
κατὰ δὲ τὸν πόντον, ὑπὸ τῶν πνευμάτων ἔκπηξις γίνεται, ὅταν αἰθρίας οὔσης καταφέρηται. ταῦ-
τα δὲ οὐδὲ πλατέα, ἀλλὰ φερόμενα φανερά, πεσόντα δ' οὐδὲν διαμένει. δῆλον δὲ εἰς πῆξις εἰς
τὴν ὑγρότητα ἐν τῷ ἀέρι, καθάπερ τῆς πάχνης. ὅταν οὖν τοιοῦτος ὁ ἀὴρ προσπίπτων ὑπὸ τοῦ
πνεύματος ᾖ, καὶ ταῦτα συγκαταφέρηται, κατὰ λόγον ἡ ἔκπηξις γίνεται. τὰ δὲ πνεύματα τοῖς
μὲν ψυχροῖς φύσει τῶν τόπων, ὅπως ἐγχώρει ἀπ' αὐτῶν· καθάπερ ἐν τῷ πόντῳ, καὶ τῇ Θρᾴκῃ.
τοῖς δ' ἀλεεινοτέροις ἐκ τῶν ἔξωθεν ἡ ἐπιφορά, καθάπερ ἐν Εὐβοίᾳ. δηλοῖ δὲ καὶ ἡ φύσις, ὡς
αὐτόθεν οὐκ ἐκ στασίμου τινὸς καὶ ὅλου πνεύματος, ἀλλ' ᾗ ἂν ἐπὶ τύχῃ ῥύην. οὐδὲ γὰρ ἂν ἦν ἀπέ-
18 ραια τὰ πλησίον. τῶν μὲν οὖν πνευμάτων καὶ αὐτὰ εἰς ἰδιότης. Ὁ δὲ τῆς γῆς πάγος χαλεπώ-
τατος, ὅταν περιβεβοθρωμένα καὶ γυμνὰ λάβῃ τὰ δένδρα· μάλιστα δέ, ἐὰν καὶ ὕδωρ ἐνῇ προσόν.
ἐὰν γὰρ διαμένον πλείω χρόνον ἐμπέσῃ, ὡς ἀσθενοῦς τε ἐπὶ γυμνὰς τὰς ῥίζας εἰσδυόμενος.
ἐπεὶ καὶ ὅλως, ἂν διειργασμένην λάβῃ τὴν γῆν, χαλεπώτερος. μανῆς γὰρ οὔσης ἐνικνεῖται μᾶλ-
λον· ἀπαθέστερα δέ, ἐὰν κεκονιορτωμένη τύχῃ. θερμὴ γὰρ ἡ κόνις οὖσα βοηθεῖ. εὐλόγως δὲ καὶ
χιόνος πεσούσης, καὶ ἐὰν ἀναζυμουμένης τῆς γῆς ἐπιγίνηται (ψύχει γὰρ καὶ πάχνη καὶ πάγος
ἐκπηγνύουσιν) διαλύεται διὰ τὴν μανότητα, καὶ αὐτὴν τὴν πήγνυσιν. ὁ δὲ τῆς γῆς πάγος ὀλε-
θριώτερος τοῖς δένδροις. ἅπτεται γὰρ μᾶλλον τῶν ῥιζῶν. ὁ δὲ τοῦ ὕδατος καὶ ἧττον. χαλεπώτε-
ρος δὲ καὶ οὗτος κἀκεῖνος, ὅταν αὖθις καὶ πάλιν ἐπιπηγνύηται, καὶ τοῦτο ποιῇ πολλάκις· ἐξαιρεῖται
γὰρ τὴν δύναμιν. ὁ δὲ συνεχὴς ἐγκατακλείσας τὸ θερμόν, οὐχ ὁμοίως, πλὴν ἐὰν ὑπερβάλλῃ
τῷ χρόνῳ. καὶ χαλεπώτερος δ' ὅλως ὁ κάτωθεν πάγος τοῖς μὲν νέοις, μηδὲ πυκνοῖς, μη-
δ' ἐνίκμοις. οὐδὲ γὰρ ὁμοίως θερμαίνει, καὶ διαλύεται δὲ πορρώτερον, καὶ ἅπτεται τῆς ῥίζης. συμ-
βαίνει δὲ τὰς μὲν τῶν βλαστῶν ἐκπήξεις καὶ ἁπλῶς τῶν ἄνω πολλάκις γίνεσθαι· τὰς δὲ τῶν ῥιζῶν καὶ
ὅλως τῶν δένδρων, ὀλιγάκις καὶ δι' ὀλίγοις, αἴτιον δέ, τὸ ἔχειν προβολήν, καὶ οἷον ἀκρεῖς κομ-

τὸ ψύχος

† ἀπλάμενα καὶ τὰ

χος

τη, διὰ χειμῶνας ἢ πνεύματα· πασῶν δὲ ἥκιστα, διὰ νόσον, ὥσπερ ἐπὶ τῶν ζώων. ἐγχρονίζουσι γὰρ αὐτοὶ μάλιστα· διὸ καὶ οὐδὲ φαίνονται παρὰ φύσιν, ὁμοίως ἐν τε ζώοις καὶ φυτοῖς. ἀπὸ δὲ ἐκεῖνο τῆς φύσεως, ἡ ἔκλειψις. ἔστι δέ τις καὶ ἑτέρα παρὰ ταύτας, ἡ διὰ τὴν ἀκαρπίαν καὶ πολυκαρπίαν. τοῦτο μὲν οὖν, ὥσπερ ἐλέχθη, φύσει βραχύβιον, ἐξαναλισκομένης ἐν τούτῳ τῆς οὐσίας, ὅσα πολυκαρπήσαντα ἀφαυαίνεται, καθάπερ ἐλέχθη. συμβαίνει γὰρ τοῦτο πλείοσιν. ἐπεὶ καὶ ἐλαῖαι αἱ νέαι δοκοῦσι φθείρεσθαι διὰ πολυκαρπίας· ὅτι οὔπω τετελειωμέναι, τὴν τῆς αὐξήσεως τροφὴν ἐξαναλίσκουσιν, εἰς τοὺς καρπούς. ταύτην δ' οὐ τὴν κατὰ φύσιν ἄν τις θείη τὴν φθοράν, οὐδ' ὡς ἀπὸ τῶν ἔξωθεν καὶ βιαίως, ἀλλ' ὡς ἀπ' αὐτῶν, διὰ τὴν ὑπὲρ τὸ πλέον ὁρμὴν τοῦ συμμέτρου πρὸς τὸν καρπόν, ἢ συναίτιός πως καὶ ὁ ἀὴρ καὶ ἡ τοῦ ὅλου κατάστασις. πολυκαρπία γὰρ γίνεται διὰ ταύτην, διὰ τὴν τοῦ ἀέρος εὐκρασίαν. ταύτην μὲν οὖν εἴτε κατὰ φύσιν, εἴτε καὶ μέσην τινὰ χρὴ λέγειν, οὐδὲν διαφέρει. τάχα δὲ καὶ γίνεταί τινι δένδρων ἔνια κατὰ φύσιν, αὐτομάτως τε γινόμενα, καὶ οὐ κακούμενα ἀλλ' εὐθηνοῦντα· οἷον τῆς πεύκης, ὅταν αἱ ῥίζαι διαλυθῶσι· πάσχει μὲν γὰρ τοῦτο διὰ εὐτροφίαν, καὶ διὰ ὑπερβολήν. ἅμα δὲ τῇ διαλύσει τὴν τροφὴν οὐ δύνανται, φθείρονται. καὶ ἔοικε παραπλήσιον τὸ συμβαῖνον εἶναι καὶ ἐπὶ τῶν ζώων, ὅταν ὑπερπαχυνθῶσιν. οὐ δυνάμενα γὰρ ἕλκειν τῇ πνοῇ, οὐδ' ὅλως τῷ πνεύματι χρῆσθαι, διὰ τὴν σύμφραξιν καὶ τὴν πύκνωσιν, ἐκεῖνά τε ἀποπνίγονται, καὶ αἱ πεῦκαι. διὸ καὶ οὐ κακῶς οἱ ὀρθότυποι τοὔνομα τίθενται. φασὶ γὰρ, ἀποπνίγεσθαι τὴν πεύκην διὰ τὴν † ποιότητα. πάντα γὰρ, ὡς ἔοικε, δεῖται πνεύματός τινος, ἢ μανώσεως, ἢ πόρων. τὰς μὲν οὖν τοιαύτας μᾶλλον ἄν τις θείη φυσικάς. ἑκατέρας δὲ ὁποτέρως δεῖ προσαγορεύειν, μηδὲν διαφερέτω, καθάπερ ἐλέχθη.

γρ

πιέζεται

Περὶ δὲ τῶν κατὰ φύσιν λεκτέον· ἐπεὶ καὶ αἱ κατὰ φύσιν ἁπλαῖ τινές εἰσι, καὶ φανεραί. 16

τούτων δὲ σχεδὸν ἐν δυοῖν αἰτίαιν τῶν κατὰ τὸν ἀέρα γινομένων ὑπερβολῇ· ψύχους τε καὶ καύματος. αἱ γὰρ διὰ ἔνδειαν τροφῆς, οἷον ἢ λειψυδρίαν, ἢ χώρας κακίαν, ἕτερον εἶδος ἔχουσι, καὶ φανεραὶ τῶν εἰρημένων. αἱ μὲν ὑπὸ καύματος, ἐλάττους· ἂν μή τις αὐχμὸς ὑπερβάλλων γένηται. καὶ οὕτως δὲ μᾶλλον τ' ἄλλ' ἀπόλλυσιν, ἢ τὰ δένδρα. ταῦτα δ' αὖ συνεχὲς γένηται, καὶ πλείω χρόνον. ὁλοία δὲ τὰ ἐπίτηδα καύματα γίνεται καὶ κατὰ τὸν εἰκαῖον καιρὸν, οἷον ὑπὸ κύνα. μόνα γὰρ ἀπόλλυται τὰ φυτὰ ἀρτιβεβλημένα, καὶ ἐὰν ἄρα τι τύχῃ πεπηρωμένον ἢ ἀσθενές. οὐδὲ γὰρ ταῦθ' ὑπομένει. ὑπὸ δὲ τοῦ χειμῶνος πλείω, καὶ κατὰ πλείους τρόπους. ὅτε μὲν γὰρ αἱ ὥραι καὶ πάγον σφοδρότητα ἐμπηγνύουσιν, ὅτε δ' ἄνεμοι ψυχροὶ πνεύματος ἐπέκαυσαν. γίνεται δὲ καὶ ἀπνοίας οὔσης, ἢ μετρίας πνοῆς, οὐ καθαροῦ δὲ τοῦ ἀέρος, ἀλλὰ θολεροῦ καὶ ἀχλυφανοῦς. καὶ σχεδὸν οὕτως ἥ γε τῶν δένδρων γίνεται πῆξις, ἐάν τε αἴθριος ἐάν τε μὴ αἴθριος οὐρανός. γίνεται δὲ περὶ μὲν Ἀρκαδίαν καὶ Εὔβοιαν, αἰθρίας καὶ πνεύματος μᾶλλον· περὶ δὲ Θετταλίαν, καὶ τούτους τοὺς τόπους, ἀπνοίας καὶ ἀχλυφοῦς. οὐ μὴν ἀλλὰ πνευμάτων ὄντων συμβαίνει τὸ πάθος. ὅταν γὰρ τὰ ὄρη λάβῃ χιόνα τὰ περικείμενα, καθ' ἑκάστους τόπους. ἀφ' ἑκάστου γὰρ αἱ ἀποπνοιαί, καὶ τὸ ψύχος τὸ ἀπ' ἐκείνων. ὅτε δὲ καὶ νηνεμίας οὔσης εἰσδυόμενος ὁ ἀήρ. ὃ δὲ λέγουσιν, ὡς ἧττον γίνεται περὶ Εὔβοιαν καὶ τὴν Βοιωτίαν, ὅταν ἡ Ὀρχομενία λίμνη πληρωθῇ, τάχ' ἄν τις ἀμφοτέρως λάβοι. καὶ ὡς κατὰ συμβεβηκός, ὅτι ἔπομβρα συμβαίνει, τότε μᾶλλον εἶναι τὰ ἔτη, καὶ χιόνα μὴ πίπτειν· καὶ ὡς ὑδαρεστέραν τὴν ἀναθυμίασιν γινομένην, διὰ τὸ ἀπὸ πλείονος. ἡ τοιαύτη δ' ἧττον ψυχρὰ καὶ κακοποιός, φανερὸν καὶ ἔν τισι τόποις γέγονεν· ἀλεεινότεροι γὰρ γεγόνασι, λιμνωθέντων τῶν πλησίον. πνεῖ δὲ τὰ πνεύματα, ἀποκαίοντα περί τε τοὺς κατὰ τὴν Ἑλλάδα τόπους ἀπὸ δυσμῶν, ὥσπερ ὁ ὀλυμπίας ὁ ποιῶν ἄλλοθί τε, καὶ ἐν Χαλκίδι τὸν καλούμενον κλαυθμόν. ἐν Θετταλίᾳ γὰρ ἀμφοτέρωθεν πνέοντες ἐμπηγνύουσιν. ἡ δ' ὥρα τῆς πνοῆς μάλιστά πως περὶ τροπὰς ὑπὸ τὰς τεσσαράκοντα. τότε γὰρ καὶ ὁ ἀὴρ ὅλως ψυχρότατος. τὰ μὲν οὖν γινόμενα, ταῦτ' ἐστίν. ἡ δ' αἰτία σχεδόν, ὡς καθόλου τε εἰπεῖν, φανερά. τὸ γὰρ θερμὸν ἐξελαυνόμενον ὑπὸ τοῦ ψύχους, συνεξάγει καὶ τὸ ὑγρόν, ὥστε διαπνεῖσθαι. συμβαίνει δὲ τοῦθ' ὡς ἐπὶ τὸ πλεῖον ἐν τοῖς ὑπὲρ γῆν· τὰ δὲ κατώτατα περὶ τὰς ῥίζας ἀπαθῆ. πολλάκις δὲ καὶ αὐτῶν τῶν στελεχῶν. οὐ μὴν ἀλλ' ἐνίοτε διικνεῖσθαι καὶ πρὸς τὰς ῥίζας, ὥσθ' ὅλον ἐξαυαίνειν τὸ δένδρον. ἁπλῶς γὰρ ἄνωθεν ἡ ἀρχὴ καὶ ἡ πρόσδυσις τοῦ ψύχους, εἶτ' ἀπὸ τούτων ὥσπερ ὀχετῶν τινῶν καταβαίνει πρὸς τὰ κάτω. διὸ καὶ περὶ οὓς συμβαίνει τὸ πάθος, κατακρύπτουσι τὰς ἀμπέλους, καὶ τὰς συκᾶς θαμνώδεις ποιοῦσιν. οὐδὲν δὲ δεῖ πολλῆς γῆς, ἀλλὰ μικρά τις ὥστε δύναται διατηρεῖν. ἔνιοι δὲ μόνον περὶ ἄκρα τῶν κλη-

σπόνιος

εἰς τὰ φυτὰ, καὶ παύει. συμβαίνει δὲ καὶ τὰ ἐρινὰ καὶ τοὺς ὀλύνθους ἀπορρεῖν· δεικνύει γὰρ εἰς τοῦτο ἡ ὑγρότης. (τότε) τὰς μὲν οὖν ψώρας, ταῦτ' αἴτια τῇ συκῇ λέγουσι. τῇ δὲ ἀμπέλῳ τὸ ῥυγᾶν, ὅταν ἢ ὑπὸ πνευμάτων βλαστοκοπηθῇ, ἢ ὅταν τῇ ἐργασίᾳ συντμηθῇ, ἢ τρίτον ὅταν ὕπτια τμηθῇ. συμβαίνει γὰρ πλείω τὸν ἀθροισμὸν γινόμενον, μᾶλλον εἰς τὴν βλάστησιν σφοδροτέρως ὁρμᾶν, ὥστε μὴ δύνασθαι καρπογονεῖν. τὸ δὲ ῥοιάδα ἐπιγίνεσθαι, δύο αἰτίαι· ἢ ὅταν ἐπινίφῃ κατὰ τὴν ἀπάνθησιν, ἢ ὅταν κρατηθῇ. ὥσπερ δ' εἰ ἀληθὲς, ἔοικε κατὰ τὴν ἀπάνθησιν ὑγρότερος ὢν ὁ ἀὴρ, ὥσπερ ἀποβρυσιβοῦν. ἡ δὲ κράτησις, οἷον ἀντισπᾶν καὶ μεθιστάναι τὴν τροφήν. ὥστε ἐξ ἀμφοτέρων εὔλογον ἀπορρεῖν τὰς ῥάγας, καὶ τὰς ἐπιμενούσας ὡς μικρὰς εἶναι. ἀλλ' ἄμβλωσις τῶν ὀφθαλμῶν, ὅταν ῥιγῶσι. τοῦτο καὶ παραπλήσιον δοκεῖ, ὅπερ ἐπὶ τῶν ἀγρίων τῶν βλαστανόντων ἀρχομένων, ἐὰν ἐπιγένηται χειμών. πάσχει δὲ τοῦτο καὶ ἡ πρὸ ὥρας ἄνθησις· ἐπ' ἀσθενείᾳ γὰρ τυχούσας ἄνεμος ψυχρὸς ἀπέκλυσε. ταῦτα μὲν οὖν τῶν δένδρων αὐτῶν δοκεῖ νοσήματα καὶ πάθη. τὰ δὲ τῶν καρπῶν, οἷον τῶν μὲν βοτρύων ὁ καλούμενος κράμβος, ὥσπερ δ' ὅμοιον τῇ ἐρυσίβῃ· γίνεται γὰρ, ὅταν ὑπούσης ὑγρότητος μετὰ τὰς ψακάδας, ἐπικαύσῃ σφοδρότερον ὁ ἥλιος· ὅπερ συμβαίνει καὶ ἐπὶ τῶν οἰνάρων. μηλέας δὲ καὶ ἐλαίας καὶ συκῆς καὶ σκωληκοῦνται οἱ καρποί· καὶ τὰς μὲν μηλέας καὶ συκᾶς ἀεὶ διαφθείρουσιν οἱ σκώληκες. τὰς δὲ ἐλαίας, ἐὰν μὲν ὑπὸ τὸ δέρμα γένωνται, διαφθείρουσιν· ἐξεσθίουσι γάρ. ἐὰν δὲ τὸν ὑπὸ τὸν πυρῆνα διαφάγωσιν, ὠφελοῦσιν· ἐντὸς γὰρ ὄντες, οὐχ ἅπτονται τοῦ καρποῦ. κωλύονται δ' ὑπὸ τῶν πνευμάτων † ἐὰν ὕδατος ἐπ' ἀρκτούρῳ γενομένου (καὶ ὑδάτων). καταψυχόμενοι γὰρ φθίνουσι. νοσεῖ δὲ πολλάκις καὶ τὰ σῦκα, καὶ οἱ ἄλλοι καρποί. τὸ δ' αἴτιον, ὡς ἁπλῶς εἰπεῖν, ἐν δυοῖν. ἢ γὰρ ἀπ' αὐτοῦ τοῦ δένδρου, καὶ τῆς τούτου διαθέσεως, ὥσπερ ὅταν ἐν ταῖς ἀμυγδαλαῖς ἡ ὑγρότης κομμιώδης ὑπογένηται· ἢ ἀπὸ τῶν κατὰ τὸν ἀέρα ξυμβαινόντων. τῇ δ' οὖν ἐλαίᾳ καὶ τὸ ἀράχνιον ἐμφύεται, διὰ ὑγρασίαν τινὰ τοῦ ἀέρος τοῦ περὶ αὐτάς, ὃ καὶ διαφθείρει τὸν καρπόν. ἡ δὲ ἐκ τῆς ῥίζης βλάστησις, ὑδάτων ἐπιγινομένων γίνεται. δι' ἣν ἀποβάλλει τὸν καρπόν, ἐνταῦθα τῆς τροφῆς ῥεούσης, ἅτε καὶ ἰσχύοντος τοῦ καρποῦ. διὰ δ' ὑγρότητος ἀθροισμένης τῆς βλαστήσεως.

14 Χείριστον δὲ, ἂν ἀνθούσαις ἐμφύσῃ καὶ ἐλαίαις καὶ ἀμπέλοις καὶ τοῖς ἄλλοις. † ἀπορρεῖν τὰ ἄνθη καὶ οἱ καρποὶ διὰ ἀσθένειαν. (ἀπορρεῖ γάρ) ἐνιαχοῦ δὲ ἴδια πάθη συμβαίνει, καθάπερ ἐν Μιλήτῳ καὶ Τάραντι περὶ τὰς ἐλαίας. ἐν Μιλήτῳ μὲν γὰρ, ὅταν περὶ τὸ ἀνθεῖν ὦσι, νοτίου ἀέρος ὄντος καὶ ἐνδιεινοῦ, κάμπαι γινόμεναι κατεσθίουσιν αἱ μὲν τὰ φύλλα, αἱ δὲ τὰ ἄνθη, ἕτεραι πρὸς τῷ γίνεσθαι. βοηθεῖ δὲ πρὸς ταῦτα, ἐὰν ἐπιγένηται καῦμα· διαρρήγνυνται γάρ. ἐν Τάραντι δὲ περὶ τὴν ἄνθησιν, ὅτε μὲν ἀποβρυσιοῦνται διὰ τὴν ἄπνοιαν, ὅτε δὲ πνεῦμα λαμπρὸν ἐκ τῆς θαλάττης ἐμπλῆσαν καὶ παχὺ προσίζον ἐν τοῖς ἄνθεσιν, ἀπόλλυσι τὰ ἄνθη τῇ ὀσμῇ. διὰ ὥσπερ καλλίστων ὄντων καὶ μεγίστων τῶν δένδρων, ἐλάχιστος παρ' αὐτοῖς ὁ καρπός. ὅλως δὲ ἕκαστοι τῶν τόπων ἰδίας ἔχουσι κῆρας, οἱ μὲν ἐκ τοῦ ἐδάφους, οἱ δ' ἐκ τοῦ ἀέρος, οἱ δ' ἐξ ἀμφοῖν. ἐκείνη δὲ αἰτία κοινὴ πᾶσιν, ἡ ἀπὸ τῶν πνευμάτων κατὰ χώρας ἑκάστας, ὅσα θερμὰ τοῦ θέρους πνεῖ καὶ τοῦ ἦρος ψυχρὰ σφόδρα, τῶν δένδρων ἄρτι βλαστανόντων καὶ ὑπὸ τὴν ἄνθησιν. τὸ γὰρ ὅλον ἀληθὲς καὶ ἐπὶ τούτων, ὅτι δι' ὑπερβολὴν καὶ ἔνδειαν τροφῆς καὶ καύματος καὶ ψύχους νοσοῦσιν. (τὰ) ἔτι δ' αὖ μὴ κατὰ καιρὸν τὰ πνεύματα καὶ τὰ ὕδατα ἐπιχώρια γίνεται. συμβαίνει γὰρ, ὅτε μὲν ἀποβάλλειν λεγομένων, μὴ γινομένων ὑδάτων, ὥσπερ τὰς συκᾶς· ὅτε δὲ χείρους γίνεσθαι σηπομένους, καὶ καταπνιγομένους, ἢ πάλιν ἀποξηραινομένους παρὰ τὸ δέον. ἐκπαίει καὶ καύματα ἔνια καὶ βότρυς καὶ ἐλαίαν, ἀτεχνῶς καὶ ἄλλους καρπούς. τῶν δὲ σκωλήκων πολλοὶ διαφέρουσι μὲν καὶ μορφαῖς· οὐ μὴν ἀλλ' ἐκείνη μείζων ἡ διαφορά, τὸ μὴ δύνασθαι τὰ ἐξ ἑτέρου δένδρου καὶ καρποῦ μετατεθέντα, ἐν ἑτέρῳ ὑγιᾶ σώζεσθαι. ὥσπερ δ' εὔλογον. ἑκάστῳ γὰρ ἐκ τῆς οἰκείας ὕλης ἡ τροφή. πλὴν ἴδιον τὸ περὶ τὸν κεράστην καλούμενον ξυμβαῖνον· τοῦτον γάρ φασι καὶ ἐν τῇ ἐλαίᾳ γίνεσθαι, καὶ εἰς τὴν συκῆν ἐντίκτειν. ἔχει δὲ ἡ συκῆ καὶ ἐξ ἑαυτῆς σκώληκας, καὶ τοὺς ἐντεκνωμένους τρέφει. πάντες δ' εἰς κεράστην ἀποκαθίστανται, καὶ φθέγγονται οἷον τριγμόν. περὶ μὲν οὖν νοσημάτων, ἱκανῶς εἰρήσθω.

15 Περὶ δὲ φθορᾶς ἁπλῶς τῶν δένδρων, ἐκεῖνο πρῶτον δεῖ διελεῖν, ὅτι εἰσὶν αἱ μὲν κατὰ φύσιν, αἱ γηραιαὶ καὶ δι' ἀσθένειαν αὐάνσεις, ὥσπερ ἐκπνεόντων καὶ ἐκμαραινομένων τῶν σωμάτων· παρὰ φύσιν δὲ, αἱ ἀπὸ τῶν ἔξωθεν, τούτων δὲ αἱ μὲν βιαιότεραι φαίνονται, καθάπερ ἐὰν κοπῇ ἢ πληγῇ· αἱ δ' ἄτ-

τον,

δὲ τῇ ἐκστάσει, μεταβολὴ καὶ ἀλλοίωσις. ἐν δὲ τῇ μεταβολῇ, διὰ τὴν σῆψιν ἡ ζῳογονία. συμ-
βαίνει δὲ καὶ ὥσπερ καὶ ἐν ταῖς ἀφαυαινομέναις. ἐνισχύει γὰρ ποτὲ τὸ θερμόν. σκωληκοῦνται δὲ μά-
λιστα αἱ μηλέαι· διὸ καὶ τοῖς ἐμπύροις φαῦλαι. ταχὺ γὰρ αἱ ῥίζαι ξηραίνονται. Κοινότα- 11
τα δὲ φαίνεται τῶν νοσημάτων εἶναι, τό τε καὶ ἡ ἀστροβολησία. πάντα γάρ, ὡς εἰπεῖν, σκώλη-
κας ἴσχει. πλὴν τὰ μὲν πλείους, καὶ θᾶττον ἀπόλλυται· καθάπερ μηλέα, συκῆ, ἄπιος· τὰ δ' ἐ-
λάττους, καὶ βραδύτερον. ἥκιστα δὲ σκωληκοῦται τὰ δριμέα, οὐχ ὅτι ἄσηπτα μόνον, ἀλλ' ὅτι καὶ
ἡ δριμύτης κωλύει ζῳογονεῖν. σημεῖον δὲ τὸ τῆς δάφνης. αὕτη μὲν γὰρ σήπεται ταχέως, σκω-
ληκοῦται δ' οὐχ ὁμοίως. ἐπεὶ διὰ τοῦτο οὐκ ἐρινεὸς ὁμοίως τῇ συκῇ· δριμύτερος γὰρ ὁ ὀπός. ὅπως
γὰρ τὰ γλυκέα σήπεται θᾶττον· εὐμετάβλητος γὰρ ὁ χυμός, ἀσθενέστερος ὤν. διὸ καὶ αἱ μηλέαι,
καὶ αἱ ῥοαί, μᾶλλον αἱ γλυκεῖαι τῶν ὀξειῶν· πάντων δὲ αἱ ἠριναὶ μᾶλλον, διὰ τὴν ἀσθένειαν, τῶν
τε χυλῶν καὶ τῆς ὅλης φύσεως. ἐν χίνῳ δὲ φυτευόμενα, πάνθ' ἧττον σκωληκόβρωτα, διά τε
τὴν θερμότητα καὶ τὴν ὀσμήν. ταῦτα μὲν οὖν τὰ νοσήματα συμβαίνει διὰ τὰς ῥηθείσας αἰτίας.
οἴονται δέ τινες καὶ τὸν σφακελισμὸν ἀπὸ τῶν πληγῶν καὶ τῶν ἔξωθεν γίνεσθαι τραυμάτων, καθά-
περ καὶ ἐπὶ τῶν ζῴων. μετενηνέχθαι γὰρ τοὔνομα καὶ τὴν ὁμοιότητα τοῦ πάθους. ὃ μὲν ἔοικεν ἀ-
ληθές, οὐ δὲ τοῦτ' ἐπὶ πάντων, εἴπερ ὁ τερέβινθος ἀπόλλυται σφακελίας, ὅταν αὐθῶσιν ὕδωρ ἐ-
πιγινόμενον ἐπικλύσῃ τὴν ἅλμην. τὸ γὰρ ἔφαλμα οἷον σφακελίζειν δεῖ. φαίνεται δὲ καὶ ἄλ-
λα καὶ χωρὶς πληγῆς πάσχειν τοῦτο τὸ πάθος. ἔνιοι δὲ καὶ τὸ ἀστροβολεῖσθαι, σφακελίζειν καλοῦ-
σι. τοῦτο μὲν οὖν τάχα ὀνόματος ἂν εἴη διαφορά. δι' ὑπερβολὴν γὰρ καὶ ἔνδειαν τροφῆς, ὥστε
ἀπόλλυται τὰ δένδρα· τάχα δὲ μᾶλλον δι' ἀπεψίαν, καὶ διὰ τὴν τοῦ ἔξωθεν δύναμιν, οἷον ὅ-
ταν μετὰ τὴν καρποτοκίαν λεπτῆς οὔσης ἔτι τῆς ὑγρότητος διὰ τὴν ἀσθένειαν ἐπιγίνηται πάγος
ἰσχυρός. ἀποθνήσκει γὰρ καταψυχόμενα. τὸ γὰρ ὀρρῶδες λεπτὸν ψυχρόν, τὸ δὲ παχὺ καὶ ἀ-
φρῶδες θερμόν. αὕτη μὲν οὖν εἴτε διὰ πλῆθος, εἴτε δι' ἀπεψίαν, εἴτε δι' ἄμφω, καὶ ἔτι ἀ-
σθένειαν ἡ φθορά. Δι' ἔνδειαν δὲ κατ' ἄλλον τρόπον, καὶ ὅταν αἱ ῥίζαι μετέωροι γίνωνται, 12
καὶ ἐπιφανεῖς. οὐ γὰρ δύνανται ἀντέχειν ἰκμάδα διὰ τὸν ἥλιον· ὥστε συγκάεται καὶ παχύνε-
ται μᾶλλον τοῦ δέοντος ὁ ὀπός, ἐκ τούτου δὲ νόσος καὶ φθορά. παραπλήσιον δὲ τὸ συμβαῖνον. καὶ
ὅταν ἐξαυχμώσῃ δι' ἀνυδρίαν. οὐδὲ γὰρ τότε διαδιδόασι. Βοήθεια δὲ καὶ φυλακὴ πρὸς τὰς
ἐνδείας, τὸ κινεῖν ἀεὶ καὶ ὁμαλίζειν τὴν γῆν· οὕτω γὰρ τοῦ θέρους ἕλξει τινὰ ἰκμάδα, καὶ τοῦ χειμῶ-
νος ἐναπέχει μᾶλλον τὸ θερμόν, ὃ διαδίδωσι τὴν τροφὴν ἐξ ὑπερβολῆς διὰ τὴν ἐπομβρίαν.
τότε γὰρ διὰ τὴν ἀτροφίαν (ἀτροφεῖ γὰρ τὸ μὴ κρατοῦν, μὴ δὲ πέττον) ἐκλευκαίνεται γοῦν
καὶ ἀπόλλυται τὰ δένδρα· καθάπερ καὶ ὁ σῖτος. ἐνίοτε δὲ οὐκ ἀπόλλυται μέν, εἰς δὲ τὴν καρπο-
γονίαν νοσοῦσιν. ἀκαρπεῖ γοῦν τὸ μὴ πέττον, μὴ δὲ κρατοῦν. τῇ δὲ συκῇ καὶ νόσημά τι συμβαίνει
περὶ τὰς ῥίζας, ὃ καλοῦσι λοπάν. ὥσπερ δ' οἷον μαδήσεις τις ἐπὶ τῶν ῥιζῶν· καὶ μικρὸν ἐπάνω διὰ
τὴν πολυϋδρίαν. ἐξ ὑπερβολῆς δὲ καὶ τὸ τραγᾶν τῆς ἀμπέλου· καὶ ὅλοις ἄλλοις ἀκαρπεῖν συμ-
βαίνει, διὰ τὴν εὐβλαστίαν. οὐ δύνανται γὰρ οὐδὲ ταῦτα ἐκπέττειν, ἀλλ' εἰς τὴν βλάστησιν ἡ ὁρ-
μὴ τρέπεται, καθάπερ ὑπαλλασσομένη διὰ τὸ πλῆθος. ὡς ἐπὶ πολὺ δ' ἐκ τῶν τοιούτων συμβαίνει,
συκῇ μὲν ψωριᾶν, ἐλαίᾳ δὲ λειχηνιᾶν, ἀμπέλῳ δὲ ῥεῖν, ὥσπερ καὶ Κλείδημός φησι. λεπτὸς
γὰρ ὁ καρπός, ἄπεπτος ὤν, καὶ ῥοώδης. ἡ βοήθεια δ' ἐν δυοῖν, ἔν τε τῷ παραιρεῖσθαι τῆς εὐτρο-
φίας, ὥσπερ καὶ τὰς ἀμυγδαλᾶς καὶ τὰς ῥόας τινὲς κολάζουσι, καὶ ἐν τῷ τὴν δύναμίν τινα
προσθεῖναι τῷ δένδρῳ καὶ ἰσχύν. ὥσπερ γὰρ αἵ τε διακόψεις ποιοῦσι τῆς συκῆς, ὅταν ἄρχηται
βλαστάνειν, ὅπως μὴ παλίσκιος οὖσα παχύνῃ τὸν ὀπόν· καὶ αἱ ἀποψιλώσεις τῶν ἀμπέλων, καὶ
ἀποκνίσεις τῶν οἰνάρων τὸν μέγιστον παρ' ὅλον τὸ θέρος, ὥς τινες κελεύουσι. καὶ αἱ περικαθάρσεις
δὲ τῶν ἀνωτάτω ῥιζῶν, καὶ τὰ κλήματα ἐπιβαλλόμενα, καὶ ὑποκατώρυχα κείμενα, καὶ ἡ σκα-
πάνη βοήθεια γινομένη, καὶ γυμνοῦσα τὰς ῥίζας, ὅπως ἐνδιδῶσι πνεύματι καὶ ψύχει, καθάπερ
ἔνιοι κελεύουσι, πάγετον εὐλαβουμένους· καὶ μετὰ ταῦτα δὲ τὴν κατεργασίαν ἀποδιδόναι·
πάντα γὰρ ταῦτα τῆς τροφῆς ἀφαιρεῖ καὶ συναύξει τὴν δύναμιν· ἐναντίως δὲ τοῖς ἐξησθενη-
κόσι διὰ τὴν ἔνδειαν, ἡ κατεργασία καὶ ἡ ἄλλη θεραπεία, τήν τε δύναμιν ἅμα καὶ τὴν εὐ-
τροφίαν ἀναποδίδωσι. Τὴν ψώραν οἴονταί τινες γίνεσθαι καὶ ἄλλως, οἷον, ὅταν ὕδωρ ἐπὶ 13
πλειάδι γίνηται μὴ πολύ. τότε γὰρ ἀναζυμοῦται, καὶ ἀναθερμαινόμενα δίεισιν ἔξω· καθά-
περ τὰ ἐξανθήματα. ἐὰν δὲ πολὺ γίνηται, ἀποκλύζεται τὰ αἴτια, τάχα δὲ καὶ διαδίδωσιν

ἐν ἄλλοις νῃ. καὶ τὴν μὲν σισυμβρίου, τοιαύτην τῆς αἰτίας ὑποληπτέον. τὸ δ' ὤκιμον τὸ † ἐν τῷ ἡλίῳ πο-
λλάκις κείμενον, ἀφερπυλλοῦται διὰ τὸ καταξηραίνεσθαι μᾶλλον. καὶ γὰρ τὸ φύλλον ἔλαττον γί-
νεται, καὶ ἡ ὀσμὴ δριμυτέρα τῷ ξηρῷ. ἐλάττων γὰρ καὶ ἡ τροφή. δεῖ δὲ τὰς μεταβολὰς τοιαύ-
τας ὑπολαμβάνειν, ὡς ἂν ὁμοιότητά τινα ἐχούσας, οὐχ ὡς τελείας. ἡ δὲ λεύκη, πλατυφυλλό-
τερά τε τῆς αἰγείρου, καὶ λειοφλοιοτέρα, καὶ τὸ ὅλον εὐτροφωτέρα. ἐγγηράσκουσα δὲ καὶ ἐλάτ-
τονι τροφῇ χρωμένη, οὐκ ἄλογον καὶ τὸ φύλλον στενότερον καὶ τὸν φλοιὸν τραχύτερον ἔχειν, καὶ ἔτι
ἄλλο συνακολουθεῖ τοῖς μὴ ὁμοίως εὐτρόφοις. τὸ δ' ὅλον οὐκ ἄγαν ἴσως τὸ συμβαῖνον θαυμασόν
τό, τε εἰς τὸ σύνεγγυς καὶ εἰς τὸ ὅμοιόν πως μεταβάλλειν καὶ περὶ τὸ ἑρμαῦ, καὶ ἐπί γε τῶν ζώων γι- ὁρᾶν
νομένας τοιαύτας τινὰς μεταβολάς, τὰς μὲν κατὰ τὴν γέννησιν· οἷον ἐπ' ἄλλων, καὶ περὶ τῶν κα-
λουμένων ψυχῶν. ἐκ κάμπης γὰρ χρυσαλλίς, εἶτα ἐκ ταύτης ἡ ψυχή. τὸ γὰρ περὶ τῶν ψυχῶν
ὁ λόγος συμβαίνει. τῶν δέ, καὶ τελειουμένων ἤδη καὶ τὰ πάθη καὶ τὰς διαθέσεις τοῦ σώματος, αἳ
γίνονται διὰ τὰς ἐπετείους ὥρας, ὥσπερ ταῖς ὄρνισιν. περὶ τούτων γὰρ μάλιστα καὶ λέγεται, καὶ ἔν-
δηλος τῶν χρωμάτων μεταβολή, καὶ τῶν ὅλων σωμάτων, ὥστε δοκεῖν ἑτέρους εἶναι. ταῦτα μὲν
9 οὖν, ὥσπερ εἴρηται, φυσικῶς ὑποληπτέον. τὰ δ' ἐξ ἀρχῆς λεγόμενα, μᾶλλον παρὰ φύσιν. ἀκό-
λουθα δ' ἐστί πως τοῖς εἰρημένοις, καὶ ὥσπερ ἐσχάτης θεωρίας, περὶ νοσημάτων καὶ φθορᾶς εἰπεῖν.
ἀμφοτέρων δὲ μετέχουσι καὶ τῆς κατὰ φύσιν, καὶ τῆς παρὰ φύσιν. φθοραὶ μὲν γὰρ εὐθὺς αἱ μὲν
οὕτως, αἱ δ' ἐκείνως λέγονται. νόσοι δέ, τῇ μὲν ὅλως δόξαιεν ἂν εἶναι παρὰ φύσιν· ἔκβασις γάρ τις
ἀεὶ καὶ σύγχυσις τῆς κατὰ φύσιν ἡ νόσος. τῷ δ' εἰωθέναι καὶ πολλάκις συμβαίνειν, κατὰ φύσιν λέ-
γομεν, ὁμοίως ἔν τε ζῴοις καὶ φυτοῖς αὐτὰ ταῦτα διαιροῦντες τὰ βίαια πάθη, καὶ φανερῶς ἀπὸ
τῶν ἔξωθεν αἰτιῶν, οἷον τραυμάτων καὶ πληγῶν. τὰ γὰρ ὑπὸ ψύχους, ἢ καύματος, ἢ τινος ἑτέρου
συμβαίνοντα τῶν ἐν τῷ ἀέρι παθημάτων, οὐ λέγομεν παρὰ φύσιν, καίτοι βίᾳ γέ πως καὶ ταῦ-
τα καὶ ἀπὸ τῶν ἔξωθέν ἐστιν. ἀλλὰ γὰρ ταῦτα μέν, οὐκ ἴδιόν ἐστιν περὶ τῶν φυτῶν, ἀλλὰ περὶ τῶν ζώων, οὐδὲ
διάφορον πρὸς ὃ νῦν ζητοῦμεν. τῶν δὲ νόσων ἀρχαί, καθάπερ τοῖς ζῴοις, ἢ ἀπ' αὐτῶν, ἢ ἀπὸ τῶν
ἔξωθεν. καὶ ἡ φθορά, ἢ ὅλως, ἢ εἰς καρποτοκίαν. ἀπ' αὐτῶν μέν, ὅταν ἢ πλῆθος, ἢ ἔνδεια τῆς τροφῆς, ἢ
ποιότητος. ἀπὸ δὲ τῶν ἔξωθεν, ὅταν ἢ χειμῶνες ὑπερβάλλοντες, ἢ καύματα, ἢ ἐπομβρίαι, ἢ αὐ-
χμοί, ἢ ἄλλη τις δυσκρασία τοῦ ἀέρος. ἔτι δὲ ὅσα πληγήν, ἢ ἕλκωσιν, ἢ σκαπάνην, ἢ ὡς ἡ τομή,
ἢ διὰ καθάρσεως ἢ ἐξαλλαγῆς, ἢ τοιαύτης αἰτίας· ὥσγ' ἔνια καὶ ἀπὸ τοῦ δαίμονος συμβαίνου-
σι, καθάπερ ἡ χαλαζοκοπία. εἰ δὲ καὶ ἡ ἔνδεια καὶ ὑπερβολὴ τῆς τροφῆς τῶν ἔξωθεν, ὥς τινές φα-
σιν, οὐδὲν διαφέρει. πάντα δὲ ἰσχύει μᾶλλον τὰ ἀπὸ τοῦ ἀέρος ἐν τοῖς ἀσθενῶς διακειμένοις. τὰς γὰρ
ὑπερβολὰς ἧττον δύνανται φέρειν. ἀσθενεστάτη δὲ διάθεσις μελλόντων τε καὶ ἀρχομένων βλα-
ὅπερ στάνειν, καὶ πάλιν μετὰ τὴν καρποτοκίαν ἐξηρασμένων. τότε γὰρ ἡ μεγίστη μεταβολή. διὸ καὶ
τὰ ἄγρια μάλιστα πονεῖ πρὸς τὴν βλάστησιν, ἢ ὑπ' αὐτὴν τὴν βλάστησιν, ὅταν χαλαζοκοπηθῇ,
ἢ συνδύματ' ἐπιγένηται ψυχρὰ σφόδρα ἢ θερμά. κρατεῖται γὰρ ταῖς ὑπερβολαῖς. οἱ δ' ὡ-
ραῖοι χειμῶνες, ὠφελοῦσι καὶ τὰ ἄγρια καὶ τὰ ἥμερα. καὶ γὰρ ἰσχὺν ἐμποιοῦσι, καὶ τῇ πιλώσει,
10 καὶ πυκνώσει, καὶ εὐβλαστίαν. ταῦτα μὲν οὖν ἀμφοῖν κοινά. Νοσήματα δὲ τῶν ἀγρίων οὐ λέ-
γεται· τῶν δ' ἡμέρων λέγεται πλείω. τάχα δὲ καὶ ἔστι διὰ τὴν ἀσθένειαν. ὧν τὰ μὲν ἀνώνυμα, τὰ
δ' ὠνομασμένα· καθάπερ ἡ ψώρα, καὶ ὁ σφακελισμός, καὶ ἀστρόβλητα, καὶ σκωληκόβρωτα
γίνεσθαι. ἀστρόβλητα μὲν οὖν μάλιστα γίνεται τὰ φυτά, καὶ οἱ μόσχοι, διὰ τὴν ἀσθένειαν. συμ-
βαίνει δὲ τὸ πάθος, ὅταν ἡ γῆ ξηρανθῇ, καὶ μὴ ἔχωσιν ἱκανὴν ὑγρότητα. διὸ καὶ ὑπὸ ἄστρον πλεῖ-
στα. τὰ δὲ πρεσβύτερα διὰ τὴν ἰσχὺν ἀντέχει τε μᾶλλον, καὶ ἕλκει πόρρωθεν. ἔτι δ' ὑγρότης
ἡ οἰκεία πιοτέρα τε καὶ λιπαρωτέρα, καὶ πρωϊκαρποτέρα τῶν νέων· καὶ ὅσα ἂν προδείξωσι,
πάντ' ἐκφέρουσιν. ὅλως δὲ πᾶσαν μεταβολὴν ἧττον δύνανται τὰ ἀσθενέστερα φέρειν. ὑπὸ
δὲ τὸ ἄστρον καὶ δυσχεραίνεταί πως μᾶλλον τὰ δένδρα, καθάπερ πρότερον ἐλέχθη. διὸ καὶ ἡ
παραβλάστησις. ἡ μὲν οὖν ἀστροβολία διὰ ταῦτα συμβαίνει, καὶ ἔτι διὰ τὰς πληγὰς τὰς ἔξωθεν,
καὶ τὰς ἑλκώσεις. ἀσθενέστερα γὰρ καὶ ταῦτα γίνεται, καὶ περὶ πλεῖον αὐτῶν αἱ δυνάμεις δια-
κινοῦνται. σκωληκοῦται δὲ μᾶλλον τὰ πρεσβύτερα. συμβαίνειν δὲ δοκεῖ καὶ τοῦτο τὸ πάθος,
ἢ διὰ τὰς ἑλκώσεις τῶν περισκαπτομένων, ἢ ὅταν ἐκδιψήσῃ διὰ τοὺς αὐχμούς. ἐκ μὲν γὰρ τῶν
πληγῶν σήπεται, διελκόμενα δὲ τῇ σήψει ζωογονεῖ, καθάπερ καὶ τὰ ἄλλα. ἐκ δὲ τῶν διψῆ-
σαι, διὰ τὸ ἔλαττον ἔχειν τοῦ συμμέτρου τὸ ὑγρόν· οἷον γὰρ ἔκστασις γίνεται τι ἐκ φύσεως. ἐν
δὲ τῇ

ἔμβιοι δὲ γίνονται καὶ θεραπευόμεναι πλείω χρόνον. διὸ καὶ ἄν τις περιτεμὼν τὴν βλάστησιν, ὅταν καρποτοκήσωσι, περισπάξῃ τὰς ῥίζας εὖ μάλα τῇ γῇ, καὶ καταπατήσῃ, γίνονται πάλιν ἐκ τῶν ῥιζῶν σίκυοι, καὶ πρωϊαίτεροι πολὺ τῶν σπειρομένων, ὅτι προϋπάρχει τὸ τῶν ῥιζῶν. ὅτι δ' ἡ συνέαξις ἀλέαν περιέχουσα, θᾶττον ἀνιέναι ποιεῖ βλαστόν. μέγα γὰρ καὶ ἡ ἀλέα πρὸς τὸ πρωϊβλαστεῖν. σημεῖον δὲ καὶ τοῦτο φανερόν. ἐὰν γάρ τις χειμῶνος ἐν ταλάροις φυτεύσῃ σικύου σπέρματα, καὶ ἄρδῃ τε θερμῷ, καὶ πρὸς τὸν ἥλιον ἐκφέρῃ, καὶ πρὸς τὸ πῦρ τιθῇ, καὶ ὅταν ἡ ὥρα τοῦ σπείρειν καθήκῃ σὺν αὐτοῖς τοῖς ταλάροις φυτεύῃ, πρώϊοι σφόδρα γίνονται. ταῦτα μὲν οὖν διὰ τὰς εἰρημένας αἰτίας συμβαίνει. τῷ δὲ σχήματι καὶ τῇ μορφῇ μεταβάλλει τὸ σέλινον, ἐὰν σπαρὲν καταπατηθῇ καὶ περικυλινδρωθῇ. γίνεται γὰρ οὖλον, διὰ τὸ μὴ διϊέναι τὴν βλάστησιν, ἀλλὰ διεξομοιοῦσθαι· ἐξομοιοῦται γὰρ ἐν ᾧ ἂν τεθῇ ἀγγείῳ. τοῦτο δ' ὅτι ἡ τροφὴ κωλυομένη καὶ ἐκστεγομένη τῷ πιέζει, φέρεται πρὸς τὸ ἐφελκόμενον καὶ δυνατόν. οἷον γὰρ ὀχετεία τις οὖσα, ὥστε λαμβάνει τὴν ὁμοιότητα τοῦ περιέχοντος. συμβαίνει δὲ τρόπον τινὰ καὶ ἐπὶ τῶν ζώων τοῦτο, κατὰ μικρότητα καὶ μέγεθος, βραχύτητα καὶ μῆκος. μεμορφωμένα γὰρ εὐθὺς ἐκεῖνα· ταῦτα δ' ἅμα τῇ γενέσει μορφοῦται. διὸ καὶ τὸ σέλινον ὅταν μεταφυτεύηται, καλλύνουσιν ὁποῖον ἄν τις βούληται ποιῆσαι, τηλικοῦτον πέταλον κατορύττοντες· ὥστε καὶ πληροῦν πάντα τὸν τόπον τὴν ῥίζαν.

7 Ὅμοιον δὲ τρόπον τινὰ τούτῳ καὶ ἡ τῶν ῥιζῶν αὔξησις ἐν τοῖς ἡμερώμασιν. δυνάμεναι γὰρ, καὶ ἔχουσαι τροφὴν, αὔξονται μᾶλλον καὶ εἰς μῆκος καὶ εἰς πάχος. ποιεῖ δὲ μεγάλας καὶ τὰς ῥίζας καὶ τὰς βλάστας, καὶ ἐὰν πλείω τις εἰς ταὐτὸ σπέρματα ξυνδήσας εἰς ὀθόνιον φυτεύσῃ. διὸ καὶ ἐπί τινων τοῦτο ποιοῦσι, καθάπερ ἐπὶ τοῦ πράσου, σελίνου, καὶ ἑτέρων. ἰσχύει γὰρ τὰ πλείω δυνα[illegible] μᾶλλον, καὶ ἐξ ἁπάντων γίνεται μία τις φύσις. ἔνια δὲ καὶ παρὰ τὴν τῆς σπορᾶς ὥραν λαμβάνουσι μορφὴν ἀλλοίαν· οἷον ἡ γογγυλὶς, ἂν εὐθύς τις ἅμα τοῖς ἄλλοις φυτεύσῃ, πλατεῖα γίνεται. τοῦτο δὲ, ὅτι ῥιζοῦται καὶ διευρύνεται μᾶλλον. ὅσα δὲ ἐν χοίνῳ φυτεύουσιν, ἢ σκίλλῃ, πάντα τῆς εὐβλαστίας ἕνεκα καὶ εὐτροφίας φυτεύουσιν· ἔχει γάρ τινα ἄμφω θερμότητα καὶ ὑγρότητα, καὶ γίνεται καθάπερ ἐμφυτεία τις. ὁμοίως δὲ καὶ εἴ τι ἕτερον ἑτέρῳ, καθάπερ τὸ πήγανον ἐν συκῇ· δοκεῖ γὰρ δὴ κάλλιστον γίνεσθαι. φυτεύεται δὲ, παρὰ τὸν φλοιὸν παραπηγνύμενον, καὶ τῇ γῇ κατακρύπτεται. καὶ ξυμβαίνει δὲ, τὸν ὀπὸν ἅμα τῇ τροφῇ διὰ θερμότητα καὶ βοήθειάν τινα ἔχειν εὔκαιρον· ὥσπερ καὶ τὴν τέφραν περιπλαττομένην. εἴτ' οὖν πρὸς τὸ μὴ σκωληκοῦσθαι τὰς ῥίζας, εἴτε καὶ πρὸς τὸ τρέφεσθαι ἄλμῃ. ἔχει γάρ τιν' ὁμοίαν θερμότητα. μέγεθος γὰρ γίνεται φακοῦ καὶ ἐρεβίνθου. τῶν μὲν, ἂν ἐμβολικῷ φυτεύηται, εἰς σπέρμα· συντρέχει γὰρ τῇ θερμότητι καὶ ξηρότητι. τῶν ἐρεβίνθων δὲ, ἐὰν μετὰ τῶν κελύφων βραχέντων· ἔλαττον γὰρ τὸ ἐκρεπόμενον, καὶ ἡ τροφὴ πλείων ἡ πρώτη. πρώϊοι δὲ ἂν ἅμα τοῖς ἄλλοις σπαρῶσι, καὶ ταῦτα μὲν διὸ τὸ θαυμαστὸν ἔχει· καὶ ἔνια δοκεῖ γε παρὰ φύσιν. αἱ δὲ τοιαῦται μεταβολαὶ καὶ αὐτόματοι γίνονται, καὶ τέχνῃ παρὰ τὴν φύσιν· οἷον ἐπὶ τίφης καὶ ζειᾶς περιπλαττομένοις πυροῖς. ὥσπερ ὅσα καὶ τῶν σπερμάτων ἢ ἐν λίτρῳ προβρεχόμενα τεραμονέστερα, ἢ ἐν μέλιτι καὶ γάλακτι γλυκύτερα γίνεται. πέφυκε γὰρ οἷον ἂν σπαρῇ, τοιοῦτον καὶ γεννᾶν. σπείρεται δὲ διαλλοιούμενον, καὶ μεταβεβηκός. ἐν ἀμφοῖν δέ πως, ἢ ἐν ἅπασι συμβαίνει μετακινεῖσθαι τὴν ἀρχὴν, ἔνθα μὲν παρὰ τὸ ποιόν, ἔνθα δὲ καθάπερ ταῖς τίφαις καὶ ζειαῖς, καὶ τοῦ μορίου τι μὴ ἔχειν· ὅπερ ἐξ ἀρχῆς μὲν περιαιρεθὲν, οὐκ ἀδυνατεῖ γεννᾶν. πλεονάκις δὲ τοῦτο παθοῦσα, καὶ ὥσπερ τελέως γυμνωθεῖσα, καὶ παθητικωτέρα γινομένη, τῷ τε ποιῷ μεταβάλλει, καὶ τὸ πλῆθος οὐκ ἔχει τοῦ ἀχύρου. συμβαίνει δὲ καὶ ἐν ἄλλοις, μορίων τινῶν ἀφαιρουμένων ποιεῖν τινα διαφοράν· ὥσπερ τὰς ἀμπέλους, ὅταν ἡ μήτρα τοῦ κλήματος ξυσθῇ, τοὺς βότρυς ἀγιγάρτους εἶναι. καὶ πίστιν ταῦτα παράσχοιτ' ἂν ἴσως, τοῖς ἀφ' ἑκάστου τῶν μερῶν λέγουσιν ἀπιέναι σπέρμα. λύσις δ' ὥσπερ εἴρηται καὶ ἐπὶ τῶν ζώων. αἱ μὲν οὖν τούτων μεταβολαὶ, διὰ τὰς εἰρημένας αἰτίας.

8 Ἡ δὲ τοῦ σισυμβρίου εἰς μίνθαν, ὥσπερ ἐναντία, δι' ἀργίαν γινομένη. συμβαίνει γὰρ, ὅταν μηδεὶς ἐξεργάζηται, μὴ δ' ἀποδιδῷ τὴν οἰκείαν θεραπείαν, ῥιζοῦσθαι μᾶλλον εἰς τὸ κάτω. ῥιζούμενον δὲ, καὶ τὴν δύναμιν ἐκεῖσε τρέπον πᾶσαν, ἀσθενέστερον ἄνωθε γίνεσθαι, καὶ τὴν δριμύτητα ἐκβάλλειν τῆς ὀσμῆς, ὥσπερ ἐξ ἀμφοτέρων ἡ ὁμοιότης τῆς τε βλάστης καὶ τῆς ὀσμῆς. τῆς γὰρ δριμύτητος ἀφαιρουμένης, ἡ κατάλοιπος ὀσμὴ μαλακή τις οὖσα καὶ ἀνειμένη, προσεμφερὴς τῇ μίνθῃ γίνεται. διὸ καὶ μεταφυτεύειν κελεύουσι πολλάκις, ὅπως τοῦτο μὴ συμβαί-

κοινῇ καὶ γίνεται μία τις φύσις· ἑκάτερος δὲ καθ' αὑτὸν καὶ τὴν τροφὴν δίδωσιν· ὥστε μὴ συμμιγνυμένους, ἀποδιδόναι τὸν οἰκεῖον καρπόν. ὅπερ καὶ οἱ ποταμοὶ ποιοῦσιν, οἱ συμβάλλοντες ἀλλήλοις, ὥσπερ ὅ, τε κηφισὸς ἐν τῇ Βοιωτίᾳ, καὶ ὁ μέλας. ἑκάτερος γὰρ εἰς τὸν αὐτὸν πόρον, ἐνταῦθα δ' οὐδὲν συμβάλλουσιν, ἀλλὰ παρ' ἀλλήλας ὀχετεύονται καὶ ῥέουσιν αἱ τροφαί. ταὐτὸ δὲ καὶ παραπλήσιον τούτῳ, καὶ ὅταν τὸ αὐτὸ δένδρον παντοδαπὰς φέρῃ ῥοάς, ἢ μῆλα. τῇ σφύρᾳ γὰρ οἷον μαλάξαντες τὰς ῥάβδους ἵνα συμφυῶσιν, ἢ διὰ τὴν ἀφίλκωσιν συνδήσαντες, ἐφύτευσαν· εἶτα γίνεται τὸ μὲν δένδρον ἐν τῇ συμφύσει· διατηρεῖ δ' ἕκαστον τὸ γένος ὅλον κατ' αὐτό, καὶ πέττει τὴν τροφήν, οὐδὲν δὲ ἄλλο ἢ τῆς συμφύσεως κοινωθείσης. σχεδὸν δὲ καὶ παρόμοιον τούτῳ καὶ ἐπὶ τῶν μειζόνων γίνεται, καὶ μάλιστα ἐπὶ τῶν ἀγρίων τῇ φύσει. περιπλεκόμενα γὰρ συκῆ, καὶ εἴ τι ἄλλο τοιοῦτόν ἐστι, συμφύεταί τε, καὶ ἓν ποιεῖ τὸ στέλεχος. καὶ τούτων τὰ μὲν ἐξεπίτηδες ποιοῦσιν· ἔνια δὲ καὶ αὐτομάτως λαμβάνει τοιαύτην σύμφυσιν, ὅσα προσφιλῆ τε καὶ μὴ ἐναντία ἀλλήλοις. ὅταν γὰρ ἅπαξ συμπλακῇ, καὶ δέξηται, καθάπερ φύσις τις αὕτη μία γίνεται· διὸ κἂν ἀφαιρῇ κἂν λύῃ τις, αὐαίνονται, καθάπερ καὶ τῶν μὴ ὁμογενῶν τὰ ὁμοβλαστῆ καὶ σύντροφα γενόμενα ἀλλήλοις, ὥσπερ ἐπὶ τῶν ἀναδενδράδων ἐλέχθη καὶ τῆς συκῆς. ἐπεὶ ὅσα γε βλαστεῖ, περιφυόμενα καὶ ἐμφυόμενα, καθάπερ ὁ κιττός, ἐκ τούτων γὰρ οὐ γίνεται μία φύσις· αὐαίνεται γὰρ θάτερον. πολυφορεῖν μὲν οὖν τοῦτο, διὰ ταύτας ὑποληπτέον τὰς αἰτίας. ὅμοια γὰρ τρόπον τινά, καὶ ὥσπερ εἴ τις ἐνοφθαλμίσειε δένδρον ἓν ἐκ πλειόνων καὶ διαφόρων. ἀρχὰς γὰρ πεποίηκε, καὶ φύσεις πλείους ἐκ μιᾶς οὐσίας· ἐκεῖνο δὲ ἐξ ἀρχῶν πλειόνων μίαν οὐσίαν τῇ φύσει. τὰ δὲ τῶν καρπῶν μεγέθη τῶν καθειργνυμένων ἐν ταῖς χύτραις, ὅταν κατακλασθῶσιν οἱ ἀκρέμονες, οἷον ῥοῶν καὶ μήλων, εὐλόγως γίνεται. τότε γὰρ ὑπὸ τοῦ ἡλίου καὶ τοῦ ἀέρος ἀφαιρούμενον, ἡ χύτρα κωλύει ἀποστέγουσα, καὶ ἅμα τὴν ἐκ τῆς γῆς ἕλκει νοτίδα, δι' ἧς τρέφεται. τὴν γὰρ ἀπὸ τοῦ δένδρου ὑπερβολήν, οὐκ εὔλογον γίνεσθαι, πάρεργον οὖσαν, ἢ βραχεῖαν τινὰ πάμπαν. διὸ καὶ ὁ μὲν πόκκος οὐδὲν μείζων τοῦ ῥοᾶς γίνεται. τὸ δὲ σίδιον παχύτερον, ὡς οὐ διῃρημένης εἰς ἐκεῖνον τῆς τροφῆς. ἔοικε γὰρ ὁ οἰκεῖος χυλὸς τῇ φυσικῇ δυνάμει πέττων γίνεσθαι καὶ πεπαίνεσθαι. διὸ καὶ τὰ μῆλα χείρω καὶ ἀχυλότερα γίνεται· τὸ δὲ σίδιον καὶ ἐκ τοῦ ἔξωθεν λαμβάνει αὔξησιν, ὡς ἀλλοτριώτερον τῆς φύσεως. ἡ δ' ἕλκει τὴν νοτίδα, ἐξ ἧς ἡ τροφὴ καὶ ἐπίδοσις, οὐκ ἄλογος, ὥσπερ τοῦ ἀέρος καὶ ἑτέρων, ὥσπερ καὶ πρότερον εἴπομεν. ὁμοίως δὲ τοῦτο συμβαίνει καὶ ἐν τοῖς λαχάνοις, ἐφ' ὧν παχύνουσι τὰς ῥίζας, τῶν μὲν ἀφαιροῦντες τὰ φύλλα· καθάπερ τῆς ῥαφανίδος, ὅταν μάλιστα ἐκμάζωσι τοῦ χειμῶνος· καὶ κατασάττοντες τὴν γῆν, ὥστε καὶ τὸ ὕδωρ ἀποστέγειν. ἐν γὰρ τῷ θέρει γίνονται θαυμασταὶ τὸ πάχος. τῶν δὲ σελίνων περιορύξαντες κάτω μέχρι τῶν ῥιζῶν, † καὶ χύλιον περιλαμβάνοντες, καὶ ἄνωθεν τὴν γῆν, αἴτιον δέ, ὅτι τὴν τροφὴν ἅπασιν αὐτοὶ λαμβάνουσι, καὶ οὐ διδόασιν εἰς τοὺς βλαστούς. μειζομένης δέ, πλείων ἡ αὔξησις. ὅσα μὲν οὖν παραβλαστητικά, οἷον κρόμμυα, ῥίζας ἑτέρας ἀφίησι· καὶ ἄλλα δὲ τῶν ἀγρίων. ἡ δὲ ῥαφανὶς μὴ οὖσα παραβλαστητική, τροφὴν δὲ λαμβάνουσα, καὶ οὐ διαπέμπουσα εἰς τὸ ἄνω, παχύνεται καὶ μείζων γίνεται. τοῦ δὲ μὴ συμβαίνειν φθορὰν καὶ σῆψιν, ἡ ἐπίταξις αἰτία τῆς γῆς, ἀποστέγουσα τὸ ὕδωρ, καὶ ὅλως πᾶν τὸ ἀλλότριον. τοῖς δὲ σελίνοις τὸ καχρύλιον θερμὸν καὶ πυκνὸν ὄν, συνανέλκει μὲν τῇ πυκνότητι τὴν τροφήν. κατέχει δέ, καὶ οὐ διαδίδωσιν εἰς τὸ ἄνω· καὶ ἅμα τῇ θερμότητι πέττει. πολλῆς οὖν τροφῆς γινομένης καὶ πεττομένης, πολλὴ καὶ αὔξησις. παραπλήσια δὲ τούτοις καὶ τὰ περὶ τοὺς σικύους ἐστὶ καὶ τὰς κολοκύντας γινόμενα, κατά τε τὴν ἁπαλότητα, καὶ τὴν αὔξησιν· οἷον ἐάν τις μικρὰς οὔσας κρύψῃ, καὶ μικρούς· οὐδὲν γὰρ ἀφαιρεῖται τῆς τροφῆς, † ἐδ' ἥλιος καὶ τὰ πνεύματα ἀναξηραίνει, καὶ τοὺς ὄγκους ἐλάττους ποιεῖ. ὥσπερ καὶ τῶν δένδρων τῶν ἐν τοῖς προσηνέμοις καὶ εὐήλοις. ὡσαύτως δὲ καὶ οἱ ἐν τοῖς αἰ * οις κείμενοι, καθάπερ ἐν νάρθηκι καὶ καπήρεσιν. ἡ μὲν γὰρ τροφὴ πλείων, διὰ τὸ μήτ' ἀποπνεῖσθαι μήτ' ἀποξηραίνεσθαι μηδέν. ἡ δ' αὔξησις εἰς μῆκος, καὶ διὰ τὸ εὑρεῖν τὴν τροφὴν εὐθυποροῦσαν, καὶ διὰ τὸ μηδὲν ἀντισπᾶν, μηδ' ἀντιπίπτειν. ὁμοία δ' αἰτία καὶ τοῦ διαμένειν χλωρούς, κἄν τις φυτεύσας περὶ φρέαρ, ὅταν ὦσιν ὡραῖοι, καθεὶς ἀποστέγοι. ἡ μὲν γὰρ ἀπὸ τοῦ ἡλίου καὶ τοῦ πνεύματος οὐ γίνεται ξηρότης. ἅμα δὲ καὶ ἡ ἀπὸ τοῦ ὕδατος ἀτμίς, οἷον θάλπει τά τε ψύχη, καὶ κωλύει ξηραίνεσθαι. τροφὴν δὲ λαμβάνοντα διαμένουσι σωζομένων τῶν ῥιζῶν.

ἔμβιοι δὲ

διὰ γὰρ τὸ πλῆθος οὐδὲ φαίνεται τὰ φύλλα, καὶ ἄλλα μικρὰ καὶ ἀσθενῆ γίνεται, τῆς φύσεως ἐνταῦθα ὁρμησάσης. ὥσπερ καὶ ἐν τῷ ἄνθει ἡ ἄμπελος, ὅταν ὀψίσῃ, καὶ διατηρῇ τὸν καρπὸν μέχρι τῶν οἰναρίων· ὥσπερ καὶ ἡ συκῆ τῶν θερινῶν. ἰσχυρότεροι γάρ, ὅταν ἀπαρτίζωνται τὰ φύλλα, οἱ μὲν διὰ τὸν σμικρὸν καὶ τὴν προσάρτησιν, οἱ δὲ διὰ τὸ πλῆθος τοῦ ψύχει· τῶν μὲν γὰρ φύλλων ἐξαιρεῖται τὴν ὑγρότητα, καὶ τὸν ὀπόν· τῶν δὲ καρπῶν, διὰ τὸ πλῆθος καὶ τὸ μᾶλλον ἐν θερμότητα, τοῦτο μὲν οὐ δύναται συμπυκνῶσαι καὶ πλῆσαι. παραπλήσιον δὲ τούτῳ, καὶ ὅ ποτέ τις ἐλαία, τὰ μὲν φύλλα ἀπέβαλε, τὸν δὲ καρπὸν ἐξήνεγκεν. ἀσθενέστερον γὰρ ὄν, μᾶλλον ὑπάκουσε τοῦ ψύχους, ἢ ἔτι πάθος ἂν ἕτερον. περιανθὴς μὲν γὰρ ὁ καρπός, αὐτόματος ἀπέρρει· τοῦ δὲ τοῦ περιανθῆσαι, μᾶλλον ἰσχύει καὶ προσήρτηται· διὸ καὶ ῥαβδίζουσι τὰς ἐλαίας. ταῦτα μὲν οὖν, καὶ ὅσα ἄλλα τοιαῦτα, φυσικάς τινας ἀρχὰς τὰ μὲν ἐξ αὑτῶν, τὰ δ' ἐκ τοῦ περιέχοντος ἔχει. ἐπεὶ καὶ τὰ αὐτόματα διαβλαστάνοντα ξύλα, καθάπερ τὰ ἐλάϊνα, καὶ εἴ τι ἄλλο τοιοῦτον, ἅπερ εἰς τέρατα καὶ σημεῖα ἀνάγουσιν, οὐκ ἔστιν ἄλογον. φύσει τε γὰρ ἔνικμα, καὶ βλαστικὰ

γί διὰ πυκνότητα καὶ τὸ ἔγχυμον. καὶ ὅταν ἔξωθεν ἰκμάδα τινὰ λάβῃ, ταχὺ δίδωσιν· ὡς δὲ ἐπὶ τὸ πολὺ κατεργαζόμενα, καὶ ἐν ὑγρῷ τόπῳ βλαστάνει, πλὴν εἴ τι κοπὲν ὕστερον μικρὸν διεβλάστησεν, ἔχον ἐν ἑαυτῷ συνηθροισμένην τὴν γόνιμον ὑγρότητα, ἅμα δὲ καὶ τῆς ὥρας ὑπογείου τοῦ βλαστητικοῦ οὔσης. τούτῳ δὲ ὁμοιότροπόν τι καὶ ἐπὶ τῆς σκίλλης, καὶ ἐπὶ τῶν ἄλλων τῶν ἐκβλαστανόντων. ὡσαύτως δὲ καὶ τὰ ἐκ τῶν ξύλων ἐκφυόμενα, καὶ μάλιστα ἐκ τῶν ἐλατίνων, ἃ καλοῦσιν οἱ μάντεις εἰλυθυίας. αὐχμηροῦ γὰρ ὄντος καὶ μαλακοῦ τοῦ ἀέρος, ἐκφύεται μάλιστα, ὁπότε ἡ ἐνυπάρχουσα ὑγρότης συρρυεῖσα, καὶ ἡ ἔξωθεν προσπίπτουσα συνεπάγη, καὶ ἐποίησεν οἷον σφαιροειδές. ὁμοίως δὲ καὶ ὅσα διὰ τῶν ξύλων· καὶ γὰρ ταῦτα νοτίου καὶ ὑγροῦ τοῦ ἀέρος ὄντος, τοῦτο πάσχει, καὶ οὐ πάντα, ἀλλ' ἐν οἷς ἐστι λεπτή· οἷον κέδρου, κυπαρίττου, ἐλαίας, ἃ δὴ καὶ σημεῖα καὶ τέρατα νομίζουσιν. ὅσα δ' ἄλλα συμβαίνει, καὶ περιφέρεται τοιούτων, οἷον ὥς ποτέ φασιν ἐν πλατάνῳ φῦσαι δάφνην, ἢ ἁπλῶς περὶ τὰς ἐμβλαστήσεις τὰς ἐν ἀλλήλοις, ἐκλανθανούσης ἀρχῆς ὑποληπτέον γίνεσθαι σῆψιν ἢ ἀλλοίωσιν, ἄλλως τε καὶ πολὺ διεστώσης, οὐκ εὔλογον. οἱ δὲ τρόποι τοιοῦτοι. λέγω δὲ λανθανούσης, εἰ ἐμπέσοι σπέρμα, καὶ ἔμβρυον γένοιτο σῆψιν ἔχοντος γενέσθαι τινὰ τοῦ δένδρου. βλαστοίη γὰρ ἂν οὕτως ἕτερον ἐν ἑτέρῳ. ἀλλ' ἡ τοιαύτη βλάστησις ὁμοία τῇ τῶν ἰξύων, ἢ ὡς διὰ πλείονος ἐπὶ τῇ πλατάνῳ ἐκ τοῦ χαλκοῦ τρίποδος, μᾶλλον δ' ἀμφοτέραις τῇ ἐκ τῆς γῆς. οὐ γὰρ οἷόν τε φῦσαι, μὴ γενέσθαι τινὸς ἐνυπαρχόντος. ὥσπερ οὐκ ἐκ τῶν τοίχων τῶν λιθίνων, ἐὰν μὴ τοιαύτη τις σύρροια γένηται καὶ σῆψις, ἐξ ἧς πέφυκε βλαστάνειν· ἔτι δ' ὕστερον ἐπιρροήν τινα λαμβάνει τῆς τροφῆς. οὕτω γὰρ αὐτῶν ἡ αὔξησις. ἀλλὰ τὰ μὲν τοιαῦτα καὶ αὐτομάτως ἢ πάντα, ἢ ἔνια γίνεται. τάχα δὲ καὶ σπερμάτων τινῶν καταρρυέντων ἅμα τῇ σήψει, καὶ συνελθόντα. διάφορα δὲ, καὶ ἔτι τοιοῦτον ἕτερον, ἐπὶ τῶν καρπῶν. εἰ δ' ἄρα καὶ τοῦτο ἐκ σήψεώς ἐστιν, οὐδὲν διαφέρει πρὸς τὴν αἰτίαν. εἰ δέ ποτε δένδρον ἐκπεσὸν ὑπὸ χειμῶνος, ἤδη πάλιν αὐτόματον, ὥσπερ ἐν Φιλίπποις † δὲ ἐπιδένδρων πλάτανος, καὶ τὰ μὲν οὐκ ἐναφῃρέθη, πλὴν ὅσοι τῶν ἀκρεμόνων κατεκλάσθησαν ἐν τῇ πτώσει· τῆς πλατάνου δὲ ἀφῃρέθη, καί τι περιεπελεκήθη. τὴν δ' αἰτίαν ὑπολαμβάνουσιν, ὅτι πεσοῦσα ἐπὶ θάτερον μέρος, ἀνέσπασε πολλὴν γῆν. ἐπιγενομένου δ' εἰς νύκτα τότε πνεύματος ἐναντίου καὶ μεγάλου κινήσαντος αὐτό, διὰ τὸ ἐμπίπτειν τοῖς ἀκρέμοσι, ῥᾷον ἐποίησεν ἐγκάμπτειν τὸ μέρος, καὶ κατασπάσαν ὤρθωσεν. οὕτω γὰρ συνέβη τὸ ἐν Φιλίπποις. τὸ δ' ἕτερον ἐκινήθη μὲν ὁμοίως, καὶ τὴν ἀνάσπασιν ἔσχε τῆς γῆς. διὰ δὲ τὴν περικοπήν, αὐτίκα ῥᾷον. ἀλλὰ γὰρ ταῦτα μὲν ἴσως ἔξω φυσικῆς αἰτίας ἐστίν. ὑπὲρ δὲ τῶν ἐν αὐτοῖς τοῖς φυτοῖς, ἐκ τῶν εἰρημένων πειρατέον μετιέναι καὶ θεωρεῖν.

ἑπόμενα δέ πως ἐστὶ τούτοις εἰπεῖν, ὅσα διὰ τέχνης καὶ παρασκευῆς γίνεται τῶν περιττῶν· ὑπὲρ ὧν φανερωτέρας ἄν τις ὑπολάβοι τὰς αἰτίας εἶναι, καθάπερ καὶ εἰσίν. ἀγιγάρτους μὲν γὰρ ποιοῦσι τοὺς βότρυς, ἐξαιροῦντες τὴν μήτραν, ἀφ' ἧς γίνεται τὸ γίγαρτον. ἐκ τοῦ αὐτοῦ δὲ κλήματος φέρειν λευκὸν καὶ μέλανα βότρυν, ἢ ἐν αὐτῷ τῷ βότρυϊ τὰς τοιαύτας, τὰς δὲ τοιαύτας, ὅταν συνέχοντες συνθλάσωσιν ἑκατέρου τὸ ἥμισυ, πλὴν τὴν τοῦ κάτω μέρους, καὶ συνδήσαντες καταπήξωσι. σύμφυτοι γὰρ ἀλλήλοις. σύμφυτον μὲν γὰρ ἅπαν τὸ ζῶν τῷ ζῶντι, καὶ μάλιστα τὸ ὁμογενές, ὅταν ἀφελ-

καθ

† ἢ συνδεῖ

† μὲν ἰδίᾳ, ἐν αὐταῖς δὲ

ῥων

πλεονάζομενον ἀνθεῖ. τὴν δὲ τῆς τροφῆς ἀπόρροιαν, ἕκαστον εἰς τὴν αὐτοῦ φύσιν καταμερίζεται, καὶ δύναμιν· καὶ τούτου ὁμοίως μὲν εἰς τὴν βλάστησιν φέρεται τῆς τροφῆς. εἰ δ' εἰς τὸ ἰσχυρὸν ἤδη καρπογονεῖν, ἐκεῖνο δὲ ἔτι διαλύεται διὰ τὴν ὑγρότητα καὶ τὴν ἀτέλειαν. καὶ περὶ μὲν τούτων, ἀρκείτω τὰ εἰρημένα. Τὰς δὲ μεταβολὰς τῶν καρπῶν, ἐάν τινες ἐκ λευκῶν μέλανες, ἢ ἐκ γλυκέων ὀξεῖς, ἢ ἀνάπαλιν, καθάπερ φασὶν ἐπί τε συκῆς καὶ ἀμπέλου καὶ ῥόας τοῦτο συμβαίνειν, ἐνιαχοῦ μὲν οὐδὲν θαυμαστόν, οὐδ' ὅλως ἄτοπον φαίνεται, διὰ τὴν φύσιν ὅτε μὲν οὕτως, ὅτε δὲ ἐκείνως, καὶ τοῖς μέρεσιν ἀνομοίως φέρειν, οἷον τὴν καπνίαν ἄμπελον καλουμένην. αὕτη γὰρ δοκεῖ ποτὲ μὲν λευκοὺς φύειν, ποτὲ δὲ μέλανας, καὶ ὅτε μὲν πάντας τοιούτους, ὅτε δὲ τοιούτους φέρειν. διὸ καὶ οὐδ' οἱ μάντεις εἰώθασι ταύτην κρίνειν ὡς τέρας. τὸ γὰρ εἰωθός, οὐ τέρας. αἴτιον δὲ τῆς παραλλαγῆς, ὅτι τὸ χρῶμα τούτων τῶν βοτρύων οὔτε μέλαν οὔτε λευκὸν ἔχει, ἀλλὰ καπνῶδες, ὅθεν καὶ τὴν προσηγορίαν ἔχει. ἐὰν οὖν μικρόν τις παραλλαγὴ γένηται, δοκεῖ μεταβεβληκέναι τὴν χρόαν, οὐδ' ἕτερον δ' εἰλικρινὲς οὔτε τὸ μέλαν οὔτε τὸ λευκὸν ἔχει. διὸ καὶ φύουσι τῶν βοτρύων ἑτερόχροοί τινες, οἱ μὲν εἰς τὸ λευκόν, οἱ δ' εἰς τὸ μέλαν μᾶλλον ἀποκλίνοντες. αἰτία δ' ἡ τροφὴ καὶ ἡ διάθεσις αὐτῆς τῆς ἀμπέλου. τοῦτο μὲν οὖν, ὥσπερ ἐλέχθη, συγχωρεῖται τῷ μὴ θαυμαστῷ. τὸ δ' ἐπὶ τῆς ῥοιᾶς, εἰ μὲν ὅλον τὸ δένδρον γίνεται μεταβολαί, παρόμοιον ἂν εἴη τὸ συμβαῖνον ἐν τοῖς περὶ Κιλικίαν καὶ Αἴγυπτον, ὥσπερ αὐτόματος ἡ μεταβολή. τῆς γὰρ χώρας, τὸ πάθος καὶ ἡ δύναμις. εἰ δὲ μὴ ὅλον, ἀλλά ποτε ταῦτα συνέβη τῇ τροφῇ καὶ τῇ διαθέσει, τὴν αἰτίαν ἀπολογητέον, ὡς ἐκ τοιαύτης γινομένης καὶ κρατηθείσης ἐπὶ αὐτοῦ ἰδίως. εἰ δ' ἀνωμάλως ἔτυχε, ταῖς ῥίζαις ἡ αἰτία. καὶ εἰ ἐν μέρος ἄλλο κύριον, τῷ τὰ μὲν τοιαύτην, τὰ δὲ τοιαύτην λαβεῖν, ἢ καὶ ἀναδοῦναι τὴν τροφήν. ἅμα δὲ καὶ τὸν ἀέρα συνεργεῖν τι. καὶ γὰρ ὑπὸ τούτων γίνονται διαφοραί. δόξειε δ' ἂν ἀτοπώτατον ἐνταῦθα εἶναι, τὸ μερίζεσθαι τὰς ῥίζας. φύουσι γὰρ ἐκ θατέρου μέρους οὐκ ἔχει τὸ δένδρον, ἢ ἐλάττους. ὁ δὲ καρπὸς ὁμοίως ἀναμιγνυμένης δηλονότι πανταχοῦ τῆς τροφῆς. οὐ μὴν ἀλλ' ἴσως ἐὰν μὲν ἐκλείπωσί τινες ἐπὶ τοῦ δένδρου, ἡ τροφὴ πᾶσιν· ἐὰν δὲ πανταχόθεν ἔχῃ, τὸ καθ' αὑτὴν ἕκαστον, οὐ κατὰ λόγον (ὡς ἄν τις † φθάσειεν) διευπορούντων πως τῶν πόρων. ἔνια γὰρ συμβαίνει καὶ ζῇ τῶν φυτῶν ἐκ θατέρου μέρους. αὐξανόμενα γὰρ συναναπληροῦσι πως τὸ ὅλον, τὰ μὲν ἐκπεριλαμβάνοντα, τῶν δὲ καὶ ἀποπιπτόντων διὰ τὸ αὖον. εἰ δέ τις καὶ αὐτὰ πίστις δοκεῖν ἐκ τῶν συντεθειμένων κλημάτων μὴ ὁμογενῶν, ὅτι μία μὲν ἡ ἄμπελος, φέρει δ' ἑκατέρων τῶν μερῶν τὸν οἰκεῖον καρπόν, ὡς οὐ μιγνυμένης, ἀλλ' διευπορούσης τῆς τροφῆς, εἴη δ' ἂν καὶ ταύτῃ χρῆσθαι· τοῦτο μὲν ἥκιστα γινόμενον, καὶ ἥκιστα πίστιν ἔχον δοκεῖ. αἱ δ' ἄλλαι μεταβολαί, μάλιστα τὰς εἰρημένας ἂν ἔχοιεν αἰτίας, ὁμοίως ἐπὶ πάντων, εἴτε χρώμασιν, εἴτε χυλοῖς, εἴτε ἄλλῳ τινὶ μεταβάλλουσιν. αἱ γὰρ τροφαί, διαθέσεις ἀλλοιοῦσι καὶ μεθιᾶσιν. ὅτε μὲν κρατούμεναι, ὅτε δὲ κρατοῦσαι· καθάπερ καὶ ἐν τοῖς ἀπὸ τῶν σπερμάτων φυομένοις. πλὴν ἐνταῦθα ἡ ἔκστασις ἀεὶ πρὸς τὸ χεῖρον. ἀλλ' ἐπὶ τῶν ἐξειργασμένων καὶ ἠμελημένων ἔχει τὴν ὁμοίωσιν. ἁπλῶς δ' ὥσπερ ἐλέχθη, μικράν τινα χρὴ νομίζειν ἐν τούτοις εἶναι τὴν μεταβολήν, ὅπου μὴ ἡ χώρα μεταβάλλει. τὰ δὲ τοιαῦτα χρόνῳ γίνεται, καὶ οὐκ ἐπίτασις. καθάπερ οὐδὲ τὰ ἡμερούμενα καὶ ἀγριούμενα. μέγα δ' οὖν πρὸς πίστιν τῆς μεταβολῆς, τὰ περὶ τὰς χώρας, καὶ ὅτι θεραπεῖαι τινὲς τῶν ῥιζῶν καὶ τῆς τροφῆς ποιοῦσι μεταβολάς. ἀλλὰ τὰ οὕτως ἐν βραχεῖ χρόνῳ καὶ ταχέως, ἄπιστον· εἰ μή τις ἄμφω ταῦτα συνθήσει, καὶ τὸν χρόνον λανθάνειν, καὶ τὴν μεταβολὴν εἶναι βραχεῖαν. ἐπεὶ ἔν γε τοῖς ἐπετείοις, οὐκ ἄλογον. οὐδ' ὁμοίως ἐφ' ὧν συμβαίνει θαυμαστόν, ὥσπερ ἄρα συμβαίνει· καθάπερ ὅταν ἐκ πυρῶν αἶρα γίνηται, διά τε τὸ πολλάκις γίνεσθαι, καὶ διὰ τὸ τὴν αἰτίαν εἰκότα πως. αὗται ὑπερομβρίαι ποιοῦσιν. εἰ δὲ καὶ ἐκ τῶν αἰρῶν εἰς πυροὺς πάλιν ἀποκαθίσταται, τοῦτο θαυμασιώτερον. εἴη δ' ἂν ὥσπερ ἀσθένειά τις ἡ νόσος γιγνομένη τοῦ σπέρματος, ἤ τις ἀπολύεται μεθισταμένων ἄρα τῶν περὶ τὸν ἀέρα καὶ τὴν τροφήν. ἀλλὰ γὰρ ταῦτα μὲν ἐπὶ πλέον εἴρηται, συμπαραλαμβάνοντα πρὸς τὴν τῆς αἰτίας πίστιν τὰ ὁμολογούμενα.

4 Τὸ δ' ἐνεγκεῖν ἄμπελόν ποτε ἄνευ φύλλων, ὡς μὲν ὅλως εἰπεῖν, οὐ πιθανόν. ὡς δὲ μικρᾶς τινος γινομένης βλαστήσεως, καὶ ταύτης διὰ τὴν ἀσθένειαν ἀπορυείσης, μᾶλλον πιθανόν, ὡς ἐνταῦθα πλείονος καὶ σφοδροτέρας τῆς ὁρμῆς γινομένης. ὅπερ ἐπί τινων δένδρων καὶ συμβαίνει χρεῖον, ὅταν εὐκαρπήσωσιν, ὥσπερ ἐπὶ τῆς ἀμυγδαλῆς.

διὰ

πνόμασι, καὶ

† φάσειν

ζων

ἔους. πάλιν δὲ τῶν προδρόμους αἱ μὲν φέρουσιν, οἷον ἡ λακωνικὴ, καὶ λευκομφάλιος· καὶ ἕτεραι πλείους· αἱ δ᾽ οὐ φέρουσι. τῶν δὲ φερουσῶν οὐ συνεχὲς, ἀλλὰ παραλλάττουσα ἡ διαφορὰ κατὰ τὴν διάθεσιν. ὅτε μὲν γὰρ ἤνεγκαν, ὅτε δ᾽ οὐκ ἤνεγκαν. ἐὰν δὲ κακῶς, οὐκ ἤνεγκαν. φέρουσι δὲ οὐ παρ᾽ αὐτὸ τὸ θέριον μόνον, ἀλλὰ καὶ κατωτέρω πολύ· καὶ ἔνιαί γε ἐκ τοῦ παχέος σφόδρα. συμβαίνει δ᾽ ἐνίους καὶ ἐκπίπτειν πάσας τὸ ὕστερον, οὐ γὰρ ἅμα πάντας, ἀλλὰ τοὺς μὲν πρότερον φέρουσι, τοὺς δὲ μικρὸν πρὸ τῶν ἐρινῶν. ἐγγύτεροι δὲ ὄντες τοῦ βλαστοῦ καὶ τῶν συκῶν ἀποπίπτουσι δ᾽ ἐκεῖνοι πρότερον, καὶ ἧττον ἐκπίπτονται. τὰ μὲν οὖν συμβαίνοντα, ταῦτ᾽ ἐστίν. οὐκ ἀλόγως δ᾽ ἂν δόξειεν οὐδέν. τὸ γὰρ μὴ πάσας φέρειν, ἀλλ᾽ ὅσαι ὑγρότεραι, καὶ ἰσχὺν ἔχουσαι εἰς τὴν ἐπίστασιν, εὔλογον. ἐκ γὰρ τῆς ὑπολοίπου τροφῆς ἐβλάστησεν ἡ σύστασις. ἐφελκυσαμένη ἢ πλεῖον, οὐκ ἄλογον τὸ μὴ πάσας καταπέψαι τότε, τὸ μὴ φέρειν συνεχὲς αὐτῶν τούτων, διὰ τὸ μὴ ὁμοίας εἶναι τὰς διαθέσεις. ἀσθενεῖς γὰρ ἔχουσαι, καὶ χεῖρον θεραπευθεῖσαι, δι᾽ ἔλαττον λήψονται τὴν ὑγρότητα. μὴ λαβοῦσαι δὲ πλῆθος, οὐδ᾽ ὑπόλειμμα ποιήσει. ἐπεὶ γεωργηθεῖσαι ὁμοίως, καὶ τοῦ ἐκ τοῦ ἀέρος συνεργήσαντος, ἀποδώσει καὶ τὸ ὕστερον. ἐνίοτε δὲ κακῶς συμβαίνει, μὴ τυχούσης θεραπείας, ὥστε τοὺς μὲν προδρόμους ἐνεγκεῖν, τὸν δὲ καρπὸν μὴ δύνασθαι. ἴσως δ᾽ ὅτι τὸ μὲν ὑπάρχει προκατειργασμένον. θάτερον δ᾽ ὥσπερ ἐκ καινῆς ἔδει ποιεῖν. ἀλλὰ μὴν οὐδὲ τὸ ἐκπίπτειν τοὺς ἐκ τοῦ παχέος, ἀλλὰ τοὺς ἄνω μᾶλλον. ἡ τροφὴ γὰρ ἅμα καὶ ἡ θερμότης ἄνω φέρονται, καὶ ὅλως ἡ τοῦ δένδρου ὁρμὴ πρὸς τὴν βλάστησιν. οὐδ᾽ ἅμα συναναφερομένης καὶ τῆς θερμῆς δὲ ἀμφοτέρων ἡ ὑπόλειψις. διὸ καὶ αἱ κατὰ μέρος ἀνθήσεις, καὶ αἱ καρποτοκίαι τῶν ἀνθῶν, ὕστερον. ἀλλὰ περὶ μὲν τούτων ἱκανῶς εἰρήσθω.

2 Παραπλήσιον δὲ καὶ τὸ συμβαῖνον, καὶ ἐπὶ τῶν ἀμπέλων ἐστί. καὶ γὰρ αὕτη προβλαστάνουσιν ἐνίοτε, συναθροισμένης τῆς γονίμου καὶ βλαστικῆς ἀρχῆς. ὁ δὲ τόπος ὡρισμένος αὐταῖς. ἐκ τῶν ὀφθαλμῶν γὰρ ἡ βλάστησις. ὁποῖα δ᾽ ἂν καὶ τὰ τοῦ ἀέρος ἐπιγίνηται, καὶ ἐπὶ πόσον χρόνον, οὕτω καὶ τὰ τῆς αὐξήσεως ἀκολουθεῖ. σχεδὸν δὲ καὶ ὅσα πρωϊβλαστεῖ καὶ πρωϊανθεῖ φύσει, ταυτὸ τοῦτο πάσχει. ἐνίοτε κινούμενα γὰρ ἐν ὥρᾳ προκαλουμένων τῶν εὐδιῶν, πολλάκις ἀποπίπτει πρὸ τῶν καιρῶν, καὶ πρὸ ἄλλα, μέχρις οὗ ἂν ὁ ἀὴρ ὁμαλίζῃ. τὰς μὲν οὖν παρ᾽ ὥρας βλαστήσεις ἐν ταύταις ὑποληπτέον ταῖς αἰτίαις εἶναι. τὰς δὲ μὴ ἐκ τῶν οἰκείων μερῶν, ἀλλ᾽ οἷον ἀκρεμόνων καὶ στελέχους, οὐ πόρρω ταύτης, ὅταν ἀθροισμὸς εἰς ταῦτα γίνηται τῆς γονίμου δυνάμεως. ἀρχῆς γὰρ ἐπιστάσης, ἡ ἐπιρροὴ τῆς τροφῆς ἐξομοιοῦται τῷ ὑποκειμένῳ καθάπερ ἐν τοῖς ἄλλοις. ἡ δὲ σύστασις οὐκ ἀνάλογος, εἰ τοιαύτην τινὰ κατὰ μέρος ἔλαβε κρᾶσιν. ἀλλ᾽ εὐλογωτέρα πολλῷ τῶν ἐν ζώοις γινομένης, οἷον εἰ κέρας ἐκ τοῦ στήθους, ἤ τι τοιοῦτον ἕτερον. αὕτη γὰρ μείζων ἡ παραλλαγὴ τῶν ἐν τοῖς φυτοῖς, ὅσῳ μᾶλλον ὁμοιομερῆ τὰ φυτὰ τῶν ζώων. ἐὰν δὲ δὴ καὶ προβλάστημά τι γίνηται ὑπὸ βλαστῶν, ἔλαττον ἔτι τὸ ἄτοπον. ἐνίοτε γὰρ καὶ φύεται κλῆμα ἐκ τοῦ στελέχους. ἰσχύσαντα δὲ καρπογονῆσαι ταῦτ᾽, οὐκ ἄλογον. ἀλλ᾽ ὅταν αὐτὸς ὁ καρπὸς ἐκ τοῦ ἀκρέμονος ἢ τοῦ στελέχους, ἀμφότερον· ὥσπερ ἐπὶ τῶν ῥοῶν. αἰτίαν δὲ τὴν εἰρημένην ὑποληπτέον. αἱ δὲ τοιαῦται παραλλαγαὶ τῶν τόπων ἐλάττους εἰσίν, οἷον ἄν ποτε συκῆ τις ἐνέγκῃ ἐκ τοῦ ὄπισθεν τοῦ θρίου τὸν καρπόν. μικρὰ γὰρ ἡ μεταβολή, καὶ ὁ τόπος ὅλως οὐκ ἀλλότριος τοῦ συμβαίνοντος. αἴτιον δὲ, ὅτι τὴν μὲν ἐπιβλάστησιν, ἀσθενῆ· τὴν δ᾽ ἐνταῦθα συρροὴν, ἰσχυροτέραν ἔχειν. ὥστ᾽ ὀψιαιτέρας γινομένης τῶν προδρόμων, ἐπιγίνεσθαί τι καὶ ἐξέπεμψε. φαίνεται δὲ καὶ τόδε ἧττον ἄτοπον, ὅτι γένος τί φασιν εἶναι τοιοῦτον δὴ ὃ καλοῦσιν ὀπισθοκάρπιον. εἰ γὰρ ὅλως τι πέφυκεν οὕτω καρποτοκεῖν τῶν ὁμογενῶν, οὐκ ἄτοπον συμβῆναί ποτε καὶ τοῖς μὴ πεφυκόσι, τῆς ὁμοίας διαθέσεως γενομένης. ἐπεὶ καὶ ἐκ τῶν ἀκρεμόνων ἐνεγκεῖν, τινὰ ὁμοιότητα ἔχει τῇ ἐν Αἰγύπτῳ συκαμίνῳ. φέρει γὰρ δὴ κἀκείνη τὸν καρπὸν τοῦ στελέχους, οὐκ ἐκ τῶν ἀκρεμόνων, εὐβλαστής τις οὖσα καὶ εὔτονος ὡς ἔοικε πρὸς καρποτοκίαν. σημαίνει δὲ, τὸ πλεονάκις ἐπὶ τῶν αὐτῶν φέρειν ἀφαιρουμένων. οὐ πεπαίνεται γὰρ καλῶς, μὴ ἐπικνισθέντων καὶ προαιρεθέντων ἐλαίων, καθάπερ ἐλέχθη, διὰ τὴν εὐτροφίαν καὶ τὸ πλῆθος τῆς ἐπιρροῆς. ἀφαίρεσις τι γὰρ γίνεται τῇ ἐπικνίσει. καὶ τὸ ἔλαιον ἅμα διαθερμαῖνον, καὶ ὁ ἥλιος ἀνεῳγμένων ταχεῖαν ποιεῖ τὴν πέψιν. ἔοικε δὲ παραπλησίως τρόπον τινὰ τὸ συμβαῖνον, κατὰ μέρος ἀνθήσει, ἐπὶ τῶν κάτωθεν ἀρχομένοις. ἱκανόν τε γὰρ τὰ μὲν ἰσχύοντα, καὶ οἷον τελειούμενα, καὶ ἀνθεῖ καὶ καρπογονεῖ. τὰ δὲ ἀσθενέστερα, καὶ ἐπάνω προαύξεται καὶ βλαστάνει. καὶ ἀεὶ τὸ πλεούμενον

ΘΕΟΦΡΑΣΤΟΥ ΠΕΡΙ ΦΥΤΩΝ ΑἸΤΙΩ͂Ν ΤῸ Ε΄.

ΤΩ͂Ν ἐν τοῖς δένδροις καὶ φυτοῖς τὰ μὲν αὐτόματα γίνεται, τὰ δ᾽ ἐκ παρασκευῆς καὶ θεραπείας. ἑκάτερα δ᾽ αὖ τῶν ἔχει διαίρεσιν. τῶν γὰρ αὐτομάτων, τὰ μὲν διὰ φύσιν, τὰ δὲ παρὰ φύσιν. καὶ γὰρ ἐν τοῖς φυτοῖς ὑπάρχει τι τοιοῦτον, ὥσπερ καὶ ἐν τοῖς ζώοις· οἷον ἐάν τι μὴ τὸν οἰκεῖον ἐνέγκῃ βλαστόν, ἢ καρπόν, ἢ μὴ κατὰ τὴν τεταγμένην ὥραν, ἢ μὴ ἐκ τῶν εἰωθότων μερῶν, ἤ τι τοιοῦτον ἕτερον. ἅπαντα γὰρ ταῦτα παρὰ φύσιν. τῶν δ᾽ ἐκ τέχνης καὶ θεραπείας, τὸ μὲν διὰ συνεργοῦν τῇ φύσει πρὸς εὐκαρπίαν καὶ πλῆθος, τὸ δὲ εἰς ἰδιότητα καὶ τὸ περιττὸν τῶν καρπῶν· οἷον, τὸ ποιῆσαι βότρυν ἀγίγαρτον, ἢ ἐκ τοῦ αὐτοῦ κλήματος μέλανα καὶ λευκὸν φέρειν, καὶ ἐν αὐτῷ τῷ βότρυϊ, καὶ ὅσα διὰ τοιαῦθ᾽ ἕτερα ποιοῦσι· πλείω γάρ ἐστι. περὶ μὲν οὖν τῶν κατὰ φύσιν, καὶ τῶν συνεργούντων τῇ φύσει, πρότερον εἴρηται· περὶ δὲ τῶν παρὰ φύσιν, καὶ ὅσα πρὸς τὸ περιττὸν ἥκει, νῦν λεκτέον. καὶ πρῶτον ὑπὲρ τῶν παρὰ φύσιν ἢ ὄντων, ἢ δοκούντων. καὶ γὰρ τούτων ἐστί τις αἰτία, καθάπερ ἐν τοῖς πρώτοις· οἷον ὅσαι πάρωροι καρποτοκίαι, καὶ μὴ ἐκ τῶν αὐτῶν γίνονται. λέγω δ᾽ οἷον, εἴ ποτε κατὰ χειμῶνα τοῦ ἦρος ὑποφαίνοντος ἤνεγκε καρπόν, καὶ ῥόα καὶ ἄμπελος ἐκ τῶν ἀκρεμόνων καὶ ἐκ τοῦ στελέχους, καὶ εἰ δή τι παραπλήσιον τουτοισί. πρὸς δὲ ταῦτα λαβεῖν, πρῶτον μὲν ὅτι συμβαίνει τὰ τοιαῦτα τοῖς πολυκάρποις καὶ ὑγροῖς, οἷον ἀμέλει καὶ τοῖς εἰρημένοις. ἅπαντα γὰρ τὰ ὑγρὰ ταῦτα, καὶ πολύκαρπα· ξηρῷ δ᾽ οὐδενί, καὶ ὀλιγοκάρπῳ. δεύτερον δέ, πρός τε τὰς βλαστήσεις καὶ καρποτοκίας τὰς παρώρους, ὅτι πάντων ἔχουσι τινὰς ἀρχὰς ἐν αὐτοῖς βλαστητικάς, ἢ κλῶνες, ἢ πτόρθοι, ἢ ἀκρέμονες, ἢ ὅτι χρὴ καλεῖν τὰ ἐσχατεύοντα τῶν δένδρων. οὐδὲν γὰρ ἐπὶ πᾶσι κοινόν, ἀλλ᾽ ἔνια προσηγορίας τινὰς ἔχει, καθάπερ θαλλία, κραδή, κλῆμα. καλοῦσι δέ τινες καὶ κλῶνας. ὅτι δὲ ἔχουσιν ἀρχάς τινας τοῦ βλαστάνειν, φανερὸν ἐκ τῶν καταπηγνυμένων, ἃ πολλάκις ἀρριζώτων ὄντων τῶν κάτω, μεθίησι βλαστόν· οἷον, κλήματα καὶ κλάδους καὶ ἐλαίας, χάρακας· ἐνίοτε δὲ καὶ μὴ καταπαγέντα, ἀλλ᾽ ἀφῃρημένα καθάπερ τά τε κλήματα, καὶ τὰ τῆς ἐλαίας ξύλα. τρίτον δέ τι συμβαίνει, τὴν πάρωρον βλάστησιν γίνεσθαι, χειμώνων μαλακῶν ἢ νοτίων γενομένων. ἐκ τούτων γὰρ οὐκ ἂν δόξειεν ἄλογον εἶναι τὸ συμβαῖνον ἠθροισμένης τῆς γονίμου δυνάμεως καὶ ὑγρότητος, ὁτὲ μὲν καθ᾽ αὑτήν, ὁτὲ δὲ λειπομένης τῆς ἔμπροσθεν ἀφ᾽ ἧς ὁ καρπὸς ἦλθεν. ὥσπερ συμβαίνει καὶ ἐπὶ τῆς συκῆς. ὑπολειπομένης γὰρ πλείονος τῆς τοιαύτης ὑγρότητος, ὅταν ἀὴρ ἐπιγένηται μαλακός, καὶ ὑγρός, καὶ θερμός, ἐξεκαλέσατο τὴν βλάστησιν. ὅτι δὲ τοῦτο συμβαίνει, φανερὸν ὅτι ἐκ τούτου τοῦ μέρους ὁ καρπὸς ἀνίεται, ὅθεν καὶ οἱ πρόδρομοι. τάχα δὲ καὶ οἱ πρόδρομοι διὰ τὴν μαλακότητα τοῦ ἀέρος, οὐ προτεροῦσί τε καὶ πέττονται μᾶλλον. εἰ δ᾽ ἄρα μὴ τοῦτο, ἀλλὰ τά γ᾽ ἄλλα γε πάντα διὰ τὰς αὐτὰς καὶ παραπλησίας αἰτίας ἐστίν, ἤτοι γινομένων τινῶν ὑπολειμμάτων, ἢ καὶ ταῦτα συμπεπτωμένων ἀμφοῖν. οὐκ ἄλογον δ᾽ οὐδ᾽ ἑτέρως· παρέχει γὰρ ἡ τῶν δένδρων πρὸς ἄμφω φύσις, ὑγρά τις οὖσα καὶ εὐμετάβολος. ὥστ᾽ ἂν εὐδίαι πλείω χρόνον ἐπιγίνωνται, καὶ τῷ χρώματι ποιεῖν τὴν μεταβολήν. ἐπεὶ τόν γε χυλὸν οὐ δύναται πέττειν οὐδαμῶς, ἀλλ᾽ ἡ φαντασία χιδὸν γίνεται κατὰ τὴν χρόαν. οἱ δ᾽ ὄλυνθοι, συνεργούσης ἤδη τῆς χώρας, ἐκπέττονται μέχρι τινός· ἔτι δ᾽ οὗτοί γε κατὰ φύσιν πῶς εἰσιν, ἀεὶ γὰρ γίνονται τῇ αὐτῇ καὶ τεταγμένῃ ὥρᾳ, ὥσπερ καὶ ὁ τῶν διαφόρων συκῶν λεγόμενος καρπός. ἀλλ᾽ ἐπὶ τούτων τὸ ὅμοιον ληπτέον, ὅτι παραπλησία τις ἡ αἰτία πάντων, ἐκ τοῦ συνίστασθαι τὴν τοιαύτην ὑγρότητα καὶ δύναμιν. διὸ καὶ ὄπισθεν τῶν φύλλων πάντα ταῦτα γίνεται, καὶ οὐχ ὥσπερ τὸ σῦκον ἔμπροσθεν. ἀλλ᾽ αἱ μὲν φύουσαι τοὺς προδρόμους, ἀσθενέστεραι τυγχάνουσιν, ὥστε οὐδ᾽ ἐπιμένειν δύνανται τῆς βλαστήσεως γινομένης ἑκάστοτε. ὅλως δὲ πολυειδές τι τὸ τῶν συκῶν ἐστιν. αἱ μὲν γὰρ ὀλυνθοφόροι μόνον, σῦκα δ᾽ οὐ φέρουσιν, οἷον αἱ τοὺς λευκοὺς ὀλύνθους φέρουσαι τοὺς ἐδωδίμους. ἕτεραι δὲ φέρουσι καὶ σῦκα καὶ ὀλύνθους μέλανας, ἀβρώτους· ἢ καὶ ἐδωδίμους· φέρουσαι δὲ τὸν ὄλυνθον ὄπισθεν τῆς θρίας. γίνονται δ᾽ ἐν αὐταῖς καὶ ψῆνες, αἳ ὅλως οὐ φέρουσιν ὀλύνθους, πάλιν

τροφῆς καὶ τῆς δυνάμεως, χρονιώτερον ἔχειν ἐστίν. τὸ γὰρ σήσαμον ἐπεὶ μονόρριζον καὶ βαθύρριζον, ἄνω πᾶσαν ἀφίησι τὴν δύναμιν· ἀλλ' αὐτίκα τῇ λείτῳ τὸ λιπαρόν τε γῆς αὖ γλίσχρα, πλείονος πέψεως δεῖται. ταῦτα δ' ὥσπερ εἴρηται, πάντα πολύκαρπα. περὶ μὲν οὖν τούτων σκεπτέον. ἐπεὶ δ' ὅλως εἰπεῖν, τὰ μικρόκαρπα, πολυκαρπότερα, καθάπερ τά τε νῦν εἰρημένα, καὶ οἱ φακοὶ δὲ, καὶ ὅσα τοιαῦτα, καὶ ἔτι πᾶσι τὰ πολυχούστατα λεγόμενα, κύμινόν τε καὶ μήκων, καὶ ὅλως δὲ τὰ λαχανώδη πάντα, καὶ τὰ ἐναγγειόσπερμα πολύχοα, τίς ἂν οὖν αἰτία τούτων εἴη; πότερον ὅτι τὰ μικρὰ ῥᾷον ποιῆσαι; καὶ γὰρ ζῷα φαμὲν ἔνια τοιαῦτα· καὶ μάλιστα δὲ τὰ ὠοτόκα, καὶ σκωληκοτόκα. ἡ αὐτὴ μὲν ἔξωθεν, ἄλλῃ δέ τινα οἰκειοτέραν ζητητέον. ἐπεὶ καὶ τῇδε διαφέρει τῶν περὶ τὰ ζῷα· τὰ μὲν γὰρ ἐκτρέφει τὰ ᾠὰ καὶ πλῆθει, καὶ ὅλως ζωογονεῖ τὸ περιέχον, ὥσπερ καὶ ἐν τοῖς πρότερον εἴρηται. τῶν δὲ καρπῶν ἐν αὐτοῖς τοῖς φυτοῖς ἡ ἐκτροφὴ καὶ τελείωσις, ὥστε πλείονος ἀεὶ δυνάμεως. πρὸς δὲ θησαυρισμὸν ἄριστα μὲν, κέγχρος, καὶ ἔλυμος, καὶ σήσαμον, καὶ θέρμος, καὶ ἐρέβινθος. τὰ μὲν, διὰ πολυχίτωνα καὶ ξηρά· τὰ δὲ διὰ λιπαρά. ὁ δὲ θέρμος καὶ ὁ ἐρέβινθος, πικρότητά τινα ἔχουσι καὶ δριμύτητα· καὶ διατηροῦσι δ' αὐτοῖς τὸ ἀπαθές, ὥσπερ εἴρηται. ἐπί ὅθεν καὶ διαφθειρόμενα τῶν σιτωδῶν οὐ ζωοῦται, καθάπερ οὐδὲ τὰ τῶν λαχάνων· καὶ γὰρ ταῦτα ἄζωα. ἢ ὅσα διὰ τῇ ξηρότητι ἢ τῇ δριμύτητι. συμβαίνει γὰρ ὥσπερ ἀνάμιξιν τινα γίνεσθαι τοῦ ἔξωθεν. σηπόμενον δὲ ἕκαστον, ἰδίαν τινὰ ποιεῖται τροφὴν ἐκ τῆς οἰκείας ὑγρότητος· οἷον οἱ μὲν πυροὶ καὶ αἱ κριθαὶ, τοὺς κίας· ὁ δὲ κύαμος, τὴν ὑπό τινων καλουμένην μίδαν· ὡσαύτως δὲ καὶ οἱ φακοί, καὶ αἱ ἀφάκαι, καὶ πισοί, καὶ ἄλλα. τὸ δὲ αἴτιον, κοινὸν πλειόνων. οὐ γὰρ μόνον ἐν τοῖς καρποῖς, ἀλλὰ καὶ ἐν τοῖς δένδροις, καὶ μετὰ ταῦτα τοῖς ξύλοις, καὶ ὅλως ὅσα τῶν ἀψύχων ζωογονεῖται, διαφόρους ποιεῖ πάσας τὰς μορφάς, ὡς ἂν ἐξ ἑτέρας ὕλης.

17 ὁ δὲ κονιορτώδης σῖτος, ἧττον σήπεται. καὶ ὁ ἐν τοῖς κονιατοῖς ἢ κονιάτοις οἰκήμασι· διὰ τὸ πλείω θερμότητα ἔχειν. ὁ γὰρ κονιορτὸς θερμός, ἅτε ξηρὸς ὤν· καὶ τὸ κονίαμα, ὅταν ἀναδέξηται, τηρεῖ τὴν θερμότητα. ἔτι δὲ καὶ ἀθρόος, καὶ κατὰ βάθος ὤν· πλείων ἐν ἡ θερμότης. ἐπεὶ ἧττον δὲ πολὺ κόπτεται κριθὴ πυροῦ, διὰ τὸ μανότερον εἶναι, καὶ γυμνότερον. τάχιστα δ' ὁ κύαμος· θεριζόμενος γὰρ εὐθύς, καὶ συντεθεὶς ἐνιαχοῦ, καθάπερ ἐν Θετταλίᾳ. φαίνεται δὲ καὶ κατὰ τοὺς τόπους. ἔνιοι γὰρ ἀσηπτότατοι, ὥσπερ ἐν ταῖς ἱστορίαις εἴρηται, περὶ Ἀπολλωνίαν, τὴν εἰς τάραντα. καὶ ἀναπληροῦσθαι δέ φασι κοπέντα. τοῦτο μὲν οὖν σκεπτέον. ἀκόπως δὲ ἔχει τάδε· θέρμος, κέγχρος, αἰγίλωψ, αἶρα, σήσαμον, ἐρέβινθος, καὶ ὅλως τὰ δριμέα. ὁ μὲν οὖν αἰγίλωψ, πολυχίτων. ἡ δ' αἶρα, γυμνή· διὸ καὶ ἄλλῃ τινὶ δυνάμει. τὸ δ' ὅλον, ἄκοπα, τὰ μὲν ξηρότητι, διὸ καὶ ἡ κέγχρος χρονιώτερον· τὰ δὲ ἀμιξίᾳ καὶ καθαρότητι, καθάπερ ὁ χόνδρος· τὰ μὲν χυμῶν φύσει καὶ δυνάμει φυσικῇ, καθάπερ ἐρέβινθος, θέρμος, σήσαμον· τὰ δὲ, τῷ πολὺ τὸ ἄχυρον ἔχειν, ὥσπερ ὁ ὦχρος. ἅμα δὲ τὸ ὅ γε καὶ ξηρόν, καὶ θερμόν. τῷ †ἀσίτῳ κοπέντι βοηθοῦσι τάχιστα, + σῖτον τὸ εἰς τὴν ἅλω φέροντας ἀπικμάσαι. καὶ τούτων μὲν σχεδὸν ἐνταῦθά που τὸ αἴτιον. ὃ δὲ περί τινων ζητεῖται, διὰ τί ποτε ὁ κεκομμένος σῖτος καὶ παλαιός, ὕδατος μὲν ἐπιχεομένου θερμοῦ διαβλαστάνει (ταύτην γὰρ δὴ διάπειραν λαμβάνουσιν, εἰ φύσιμος, ὅταν ἐμβάλλοντες εἰς σκαφίον ἐπιχέωσι) σηπόμενος δὲ οὐ διαβλαστάνει· καίτοι καὶ ἡ σῆψις ὑπὸ θερμοῦ. καὶ ἀνυγραίνεται· κομιδῇ δόξειεν ἂν παρομοίαν εἶναι. διαφέρει γάρ, ἥ τε φθαρτικὴ καὶ ἡ γόνιμος θερμότης· καὶ ἡ ὑγρότης ὡσαύτως. ἔστι δ' ἡ μὲν σήπουσα, ἀλλοτρία, καὶ φθαρτική. ἡ δὲ τοῦ ὕδατος τοῦ θερμοῦ, συμμετρίαν τινὰ ἔχουσα. δεῖται γὰρ τοιαύτης πρὸς τὴν βλάστησιν. ἐπεὶ τρόπον τινὰ παρόμοιον, καὶ εἴ τις ἀγνοεῖ, διὰ τί ἡ θερμότης καὶ ἡ ὑγρότης καὶ ὑγείαν ἐν τοῖς σώμασι ποιοῦσα, καὶ νόσον. δῆλον οὐχ ὡς αἱ αὐταὶ, ἀλλ' ὡς ἕτεραι καὶ ἐναντίαι. θερμὸν δ' ἐπιχέουσι, διὰ τὴν ἀσθένειαν τῶν σπερμάτων, ὅπως μὴ καθάπερ ἐκπαγῇ, διὰ τὸ θᾶττον ἀπολελῦσθαι. ἐπεὶ οὐ γε μὴ παντελῶς διεφθαρμένα, καὶ ψυχρῷ διαβλαστάνουσι. συμβαίνει δὲ, καὶ κόπτεσθαι καὶ σήπεσθαι, διὰ ἀλλοτρίας θερμότητος.

νεαθῇ συλλέγειν· ξηρανθέντα γὰρ καταῤῥεῖν. τὸν δὲ θέρμον ἤδη λήγοντος τοῦ ἀέρος αὐχμαινομένου, ἐπὶ τὸ ἑωθινόν· ἂν γὰρ πρότερον θίγῃ τις, ἐκπίπτει, καὶ οὐκ ἔστι λαβεῖν. καὶ ταῦτα μὲν ὡς γεωργικά. τὰ δὲ τῆς φύσεως, οἷον τὸ ἀδρύνειν τὰ πνεύματα, καὶ τὸ βόρειον μᾶλλον, καὶ ὅλως οἷς ἕκαστα ψυχρά· καὶ τἀναντία δὲ φθείρειν· καὶ ὅσα διὰ τοῖς ὕδασιν ἢ τοῖς πνεύμασιν ἀπόλλυται τοῖς ἀχύροις, ὥσπερ ἐλέχθη περὶ ἐρεβίνθων τῶν ἀνθούντων. ὁ δὲ κύαμος, ἐὰν πνεῦμα ἐπιγένηται λαμπρόν, καὶ ὁ πυρὸς καὶ ἡ κριθή, καὶ ἀπηνθηκότα ὑγρὰ δὲ ἵνα ληφθῇ. διαπνεῖται γάρ, καὶ κοπτόμενα πρὸς ἄλληλα κενοῦται. κατομβρουμένων δέ, ἐπιγινομένων ὑδάτων ἐναντίως, τὴν μὲν κριθὴν βλάπτει, τὸν δὲ πυρὸν ὠφελεῖ † μᾶλλον, καὶ γυμνοῖ. (†μᾶλλον γὰρ γυμνός, καὶ) καὶ τὸ ὅλον ἀσθενής· ὁ δὲ καὶ ἐν χιτῶσι, καὶ πυκνότερον καὶ ἰσχυρότερον. ὥστε τῇ μὲν ὀλίγης δεῖσθαι τροφῆς, καὶ σχεδὸν ἀέρος μόνον· τὸν δὲ πλείονος. ὅτι δὲ ἰσχυρότερος ὤν, καὶ κατακρατεῖ καὶ συμπέττει μᾶλλον. καὶ τὸ ὅλον οὐδὲ πολλὴν δέχεται, διὰ τὴν πυκνότητα καὶ τοὺς χιτῶνας. ἡ δὲ πλείω τε ἕλκει, μανὴ τὴν φύσιν οὖσα, καὶ ταύτην οὐ καταπέττει διὰ ἀσθένειαν, καὶ ὑγρᾶς γινομένης, ὁ ἥλιος ἅμα τῇ ἐπιγινομένῃ συνεξάγει, τῇ οἰκείᾳ ὑγρότητι συνεφελκομένην. καὶ τὰ πνεύματα δὲ κόπτοντα φθείρει μᾶλλον, διὰ τὴν ἀσθένειαν.

15 Ἀπορεῖται δέ, διὰ τί ἀδροῦ ὄντος τοῦ σίτου, καὶ χλόου ὥσπερ ξηροῦ, ἡ ἔκφυσις οὐχ ὅτι βελτίων, ἀλλὰ καὶ χείρων γίνεται· ἐὰν δὲ θερισθεὶς εἰς θησαυροὺς συντεθῇ, ἀδρότερος καὶ βελτίων. φύει δὲ καὶ ξαίνουσιν. αἴτιον δ' ὅτι τὸ μὲν αὐαίνεται, καὶ ὁ ἥλιος ὅταν ἀναλάμψῃ, συνεξάγει τὴν οἰκείαν ὑγρότητα, καὶ ἰσχναίνει. ὅταν δὲ εἰς θησαυροὺς συντεθῇ, συγκαμάζεταί τε, καὶ ἡ ἀναγομένη ἀτμὶς λεπτὴ καὶ πνευματώδης οὖσα προσδύεται, καὶ ἀδρύνει τοὺς ὄγκους. ταὐτὸ δὲ τοῦτο συμβαίνει, καὶ ὅταν εἰς τὰ οἰκεῖα τεθῇ χύδην. διὸ καὶ τὸ ἐπίμετρον ποιεῖ· τὴν γὰρ ἀτμὸν τὴν ἀνιόντα λεπτὸν ὄντα δέχεται, καὶ διὰ τοῦτο εἰς βάθος καταβάλλουσιν, ὅπως πλείων ἂν εἴη. πάντα δὲ ταῦτα διασημαίνει. καὶ ἔτι πρὸς τούτοις ἡ ἐμβαλλομένη γῆ, καὶ ἄκοπον περιέχουσα, καὶ ἀναλίσκουσα· καὶ ὅτι δύναταί τινα δι' αὑτῶν ἕλκειν τροφήν, ἄνευ τῶν ῥιζῶν· ὅθεν καὶ ὑπὸ τῶν πνευμάτων, καὶ τοῦ ἀέρος, οὐκ ἄλογος. τὰ δὲ τῆς ἐρυσίβης, κοινὸν οὐχ ἧττον, ἀλλὰ μᾶλλον ἅπτεται τῶν σιτωδῶν· κριθῆς δὲ μᾶλλον, καὶ πυροῦ. διά τε τὸ γυμνότερα εἶναι, τὰ δὲ χιτῶσι πλείοσι, καὶ διὰ τὸ ἐγγυτέρω τοῦ στάχυος ἔχειν τὸ φύλλον, ὅθεν ἡ ἀπόχυσις, ἐν ᾧ μένει καὶ ἡ ὑγρότης· ὥστε ταπεινὰ μᾶλλον ἅπτεται. καὶ ἄτοπον, στάχυν ὀρθὸν εἶναι καὶ πυκνότερον· ἀποῤῥεῖ γὰρ ἧττον. διὸ καὶ ἐπικύπτειν συμφέρει, καὶ ἀπολύει τὸ συνεχὲς θᾶττον. (†κριθῆ) ἐν δὲ τῷ ἄνω πρὸς τοῖς ἄλλοις καὶ διαπίπτει ἡ ὑγρότης. ἡ αὐτὴ δ' αἰτία καὶ τῇ † λευκῇ πρὸς τὰς ἄλλας. ἅπαντα γὰρ μάλιστα ἔχει τῶν ἄλλων. τῶν δ' ὀσπρίων μάλιστα ἐρυσιβᾶται κύαμος, καὶ διὰ τὸ πολύφυλλος εἶναι πολλαχόθεν, καὶ διὰ τὸ πυκνοσπορεῖσθαι, καὶ διὰ τὸ τὴν ὑγρότητα μάλιστ' ἕλκειν εἰς ἑαυτὸν διὰ τὴν μάνωσιν, καὶ ἔτι διὰ τὸ πρὸς τῇ γῇ μάλιστα τὸν καρπὸν ἔχειν. σήπεται γὰρ μάλιστα τὰ κάτω, διὰ τὴν ἄπνοιαν. καὶ ὅλως δὲ τῶν χεδροπῶν τὰ τοιαῦτα. ἐρυσίβη δέ, σῆψίς τίς ἐστι τοῦ ἐφισταμένου ὑγροῦ. διὸ πολὺ μὲν ὕσαντος, οὐ γίνεται· καταπλύνεται γάρ. ἐὰν δὲ ψεκάδες ὦσι καὶ δρόσοι πλείους γίνωνται, καὶ ὁ ἥλιος ἐπιλάβῃ, καὶ ἄπνοια, τότε σήπεται. διὸ καὶ ἐν τοῖς εὐπνόοις καὶ μετεώροις ἧττον. ἐν δὲ τοῖς κοίλοις καὶ δροσοβόλοις μᾶλλον, καὶ πανσελήνοις δὲ μᾶλλον. ὅτι συνεργεῖ καὶ ἡ τῆς σελήνης θερμότης, καὶ ὅλως ὁ ἀὴρ ὑγρότερος. πάντων δ' ἀπληκτότατον ὁ πισὸς πρὸς μὲν τὰς ἐρυσίβας, ὅτι πολύφυλλον καὶ χαμαιζηλὲς καὶ δίαξες. συμπληροῖ γὰρ τὸν τόπον, κἂν ἀραιὸς ᾖ. πρὸς δὲ τὰ ψύχη καὶ τοὺς πάγους, ὅτι ἀσθενόῤῥιζον. (τάνους) σκωληκοῦται δὲ μάλιστα μόνα, πυρὸς καὶ ἐρέβινθος· οὐκ ἐν τοῖς αὐτοῖς δὲ ἑκάτερος, ἀλλ' ὁ μὲν ἐν τῷ καρπῷ, ὁ δὲ ἐν ταῖς ῥίζαις. ἄμφω δὲ διὰ γλυκύτητα, ὁ μὲν ἐρέβινθος ἐστ' ἂν ἡ ἅλμη περιαιρεθῇ, καθάπερ εἴρηται. ὁ δὲ πυρός, ὅταν ἡ ῥίζα ὑγρανθῇ. ζωοποιεῖ δὲ πυρὸς ἐπιμένων τὰ γλυκέα· γλυκύτερον γὰρ ὁ πυρὸς κριθῆς. (†ἀλίου) διὸ καὶ τὸ ἄχυρον † ἥδιον. ὁ δὲ σκώληξ γινόμενος, ὅταν ἐξαναλώσῃ τὴν ἐν τῷ καλάμῳ τροφὴν ἢ αὐτὸς ᾖ, ὥστε ὅλον ἐξαπολλύναι τὸν στάχυν, ἢ ἐπὶ θάτερον μέρος. ταῦτα μὲν οὖν καὶ τὰ τοιαῦτα, καθάπερ νοσήματα ἔχει χώραν, ὑπὲρ ὧν οὐ χαλεπὸν τὰς αἰτίας ἰδεῖν.

16 Περὶ δὲ τῶν θερινῶν σπερμάτων, οἷον σησάμου, ἐρυσίμου, κέγχρου, ἐλύμου, ὑπὲρ τούτων μὲν εἰπεῖν, ὅτι παντὶ πρόχειρον, ὅτι δι' ἀσθένειαν ταύτην τὴν ὥραν σπείρεται, καὶ τὰ ταχὺ τελειοῦν. ἡ δὲ φύσις αὐτῶν ποία τις ἂν εἴη, σκεπτέον. οὐδὲ γὰρ γνώριμος, ὥσπερ τῶν ὀσπρίων, οὔτε ταύτῃ κοῦφα. τὸ γὰρ σήσαμον λιπαρόν, καὶ δεόμενον πίονος. καὶ τοῦτο μὲν μονόῤῥιζον. ὁ δὲ κέγχρος καὶ πολύῤῥιζος, καὶ βαθύῤῥιζος, καὶ πολυκάλαμος· ὡς εἰς ἀμφότερα μεριζομένης τῆς

τροφῆς καὶ

ὅσιν, οὐ μεταβάλλουσιν, ἀλλ' ἀτεράμονα. ὅτε μὲν γὰρ ὑπὸ τῶν ἀχύρων, ὅτε δ' ὑπὸ τῆς πρὸς ἀλλήλους συναφῆς σκεπάζονται, καὶ ἅμα τῇ τῆς γῆς θερμότητι. ὅταν δὲ μετέωροι λειφθῶσι, τό, τε πνεῦμα μᾶλλον ἰσχύει, καὶ οὐδαμόθεν ἐχόντων σκέπην εἰσδύεται καὶ πήγνυσιν. ἅμα δὲ καὶ ἀσθενέστεροι τότε γίνονται, γυμνούμενοι πρῶτον τῶν ἀχύρων, καὶ τῆς θερμότητος τῆς περιεχούσης, αἱ δὲ μεγάλαι μεταβολαὶ μάλιστα κινοῦσιν. ἐπιγινομένου δὲ χρόνου, καὶ ὥσπερ ἤδη συνεστηκότων, ἐὰν δ' ἰκμάνῃ πάλιν, μηδὲν πάσχειν ὑπὸ τοῦ πνεύματος· ἰσχυρότερόν τε γὰρ ἤδη καὶ τὸ κέλυφος τὸ περιέχον. τὸ δὲ πλείω χρόνον ἐὰν ἐλλιπομένους ὑπαιθρίους, ποιεῖν ἀτεράμονα, ὥσπερ τινές φασιν, οὐκ ἄλογον· ἀποψύχονται γὰρ δηλονότι μᾶλλον τοῦ συμμέτρου, καὶ ἅμα † κατασκληρυμένοντος. ἀκόλουθον δέ πως τούτῳ, καὶ ὅτι τὸ μετὰ τὴν σπορὰν εὐθὺς ἐπιγινόμενον ὕδωρ, ἀτεράμονας ποιεῖ. ἀσθενῆ γὰρ αὐτὰ λαβὸν ἐν τῷ διαβλαστάνειν ὄντα, κατέψυξεν, ὃ πρὸς μὲν τὴν φύσιν οὐκ ἔβλαψε, πρὸς δὲ τὴν ἕψησιν. ἐν ἑτέροις δὲ καὶ δι' ἄλλα τῆς δυνάμεως οὔσης, οὐκ ἄλογον τὸ μὲν ὑπάρχειν, τὸ δὲ μή. τό, τε γὰρ ἀβλαστὲς καὶ ἄγονον, ἢ καὶ δυσαυξές, ὅταν καυθῇ πρὸς τὴν γέννησιν, οὐκ ἄλογον, οὐδ' ἐξ ἀτεραμόνων ἀτεράμονα γίνεσθαι σπαρέντα πάλιν. ὑπὸ γὰρ τῆς αὐτῆς ἐναντίως διακειμένων, ὥσπερ εἴπομεν, οὐκ ἄλογος ἡ τεραμότης. ὥστ' εἰ ὁ ἀὴρ καὶ τὰ ὕδατα καὶ τὰ ἐδάφη τοιαῦτα, τί κωλύει καὶ τὰ σπέρματα μεταβάλλειν. εἰ δὲ συμβαίνει, τὰ μὲν τεράμονα μᾶλλον ἐνδεδωκέναι, τὰ δὲ ἀτεράμονα περιτετάσθαι τῷ κελύφει, καθάπερ τινές φασι, καὶ κατακεχασμωμένων τὰ μὲν μεταβάλλει τὴν χρόαν, τὰ δὲ μή, καὶ τὰ ἐκλυτώτερα θεριζόμενα τεραμονέστερα γίνεσθαι (καὶ γὰρ τοῦτο λέγουσιν) οὐθὲν ἄτοπον. ἥ τε γὰρ περίστασις, σκληρότητος καὶ πήξεως καὶ ἀθροίσεως. ὅθεν δὲ τούτων ἀλλότριον τοῖς ἀτεράμοσι. τό, τε μὴ ἀλλοιοῦσθαι καταπινόμενα, σημαίνει σκληρότητά τινα καὶ ἀπάθειαν. θάτερον δὲ τοὐναντίον. καὶ τὸ μὴ ἔκλυτα θερίζεσθαι, σκληρότητα πλείω καὶ πῆξιν. τὸ δὲ ἄγαν σκληρόν, οὐκ εὐδιάχυτον. ὃ καὶ ἐπὶ τῶν ἄλλων φασί τινες αὖ συμβαίνειν, γίνεσθαι τεράμονα, οὐκ ἄγαν δὲ τό γε λέγοντες πιθανόν. ἡ γὰρ ἀπὸ τοῦ ἡλίου ξηρότης, ἀχυλότερα μὲν ποιεῖ, καὶ ἧττον ἡδέα, δυσεψητότερα δὲ οὐδὲν ἧττον, ἀλλὰ μᾶλλον. τὰ γοῦν ἐρεὶγματα διικμασθέντα, θᾶττον διαχεῖσθαι. εἰ δ' ἄρα καὶ τοῦτ' ἀληθές, οὐκ ἐναντιοῦται τοῖς πρότερον. οὐδ' εἰ παλαιούμενα γίνεται, μᾶλλον ἀτεράμονα. καὶ οὕτω ξηρότερα συμβαίνει γίνεσθαι, διά τε τοῦ περιέχοντος, καὶ ὑπὸ τῆς διαπνοῆς τοῦ θερμοῦ. ὃ ξυνεξάγει καὶ τὸ ὑγρόν. εὔλογον δέ, καὶ θᾶττον καὶ μᾶλλον ποιεῖσθαι τὰ τεράμονα· καὶ γὰρ γλυκύτερα ταῦτα † μᾶλλον ζωοποιεῖ, καὶ πεπεμμένα· ἡ μεταβολὴ δὲ καὶ τούτων θάττων. καὶ ταῦτα μὲν ἂν ἔχοι τὰς εἰρημένας αἰτίας. τὸ δὲ μόνα τῶν ὀσπρίων, ἢ καὶ τοῦ παντὸς σίτου, κύαμον καὶ φακὸν ἀτεράμονα γίνεσθαι, ψεῦδος ὑποληπτέον· ἀλλὰ μάλιστα διαπειρώμενοι τούτων διὰ τὴν χρείαν, ταῦτα μόνα φαμέν, ὅτι τοῖς μὲν ἀλήθοντες χρώμεθα, τοῖς δ' ὅλοις. αὕτη δ' οὐ σμικρὰ διαφορά. καὶ γὰρ ἐπ' ἐκείνων αἱ λεπτύνοντες οὐκ ἂν ὁμοίως εὔδηλον ἦν. ἐκφαίνεται γοῦν καὶ ἐπὶ τῶν ἐρεβίνθων, καὶ ἐπὶ τῶν ἄλλων ἑψομένων ὅλως τὸ ἀτεράμον. εἰ δ' ἀτεράμον ἐν τούτοις, οὐδὲ τοῦτο ἄλογον. ἀσθενέστερα γάρ, ὡς εἰπεῖν. τὸ δ' ἀσθενές, παθητικώτερον. ὃ δὲ λέγουσιν οἱ πολλοί, διατί τὸ κερασβόλον ἀτεράμον γίνεται, μή ποτ' ἄγαν εὔηθες ᾖ. σκληρότερος γὰρ ὁ λίθος, πρὸς ὃν πολλάκις προσπίπτει τὰ σπέρματα, κἂν μὴ προσκόψῃ, μὴ δὲ βουσὶν ἀροτριᾷ τις, οὐδὲν ἧττον ἀτεράμον γίνεται. περὶ μὲν οὖν τούτων ἱκανῶς εἰρήσθω.

Ὅσα δὲ τῶν ὁμογενῶν μὴ ἅμα διαβλαστάνει τοῖς ἄλλοις, ἀλλ' ὕστερον πολλῷ, καθάπερ ἐλέχθη περὶ τοῦ σευτλίου, παραπλησία τις ἡ αἰτία ταύτῃ καθάπερ εἴπομεν οὖσιν. ὥσπερ γὰρ πρὸς ἕψησιν καὶ ὅλως πύρωσιν ἀτεράμονα, καὶ πρὸς ἔκφυσιν, οὕτω καὶ πρὸς βλάστησιν. ἡ γὰρ τοιαύτη ἀτέλεια τις τῶν σπερμάτων. ὁμοίως δ' ἐπὶ πάντων ἂν τοῦτο συμβαίνει. περὶ μὲν οὖν τούτων ἐπισκεπτέον. περὶ δὲ τοῦ ἰσχυρότερα καὶ εὐχυλότερα γίνεσθαι, καὶ νοσιμώτερα ἢ ἀνοσώτερα, καὶ πρὸς τὴν σίτησιν βελτίω ἢ χείρω, τὰ μὲν τοῖς τόποις διαφέρει, καθάπερ εἴρηται, τῷ ξηρότερα ποιεῖν καὶ πυκνότερα καὶ συνεκτικώτερα μᾶλλον, οἷον τὰ ὀρεινὰ τῶν πεδινῶν, καὶ ἔτι μᾶλλον τῶν ἐπόμβρων· εὐπνούστερά τε γάρ, καὶ ἐν τροφῇ συμμετρότερα. νοσιμώτερα δ' ἐκ τῆς αὐτῆς παρὰ τὴν τοῦ ἀέρος κρᾶσιν. οὐ γὰρ πάντως ὅταν πλεῖστος καὶ ἁδρότατος γίνηται, καὶ νοσιμώτατος· ἀλλ' ἑτέραν δεῖ διάθεσιν ἔχειν. δοκεῖ δὲ μεγάλα συμβάλλεσθαι καὶ ἡ σκάλσις πρὸς τὸ νοσιμώτερον ποιεῖν, καὶ τὸ ἐγγύτερα θερίζειν. ἐξαναλωθέντος γὰρ παντὸς τοῦ ὑγροῦ, καὶ χείρω πρὸς τὴν σίτησιν, καὶ ἐλάττω. τὰ δ' ὄσπρια θερίζουσιν ἐγχυλότερα, καὶ πρὸς τὸ δύ-

† κατασκληρύνονται

† καὶ μᾶλλον

δὲ πολυχίτωνα· τὰ δ' ἄλλας τοιαύτας ἔχοντα φυλακάς. καὶ ταῦτα μὲν δὴ κοινά πως τῆς
13 φύσεως. Ὑπὲρ δὲ τῶν σπερμάτων, πῶς ποτε τὰ τεράμονα καὶ ἀτεράμονα γίνεται, πό-
τερα διὰ τὴν χώραν, ἢ διὰ τὸν ἀέρα, ἢ τὰς × ἢ δι' ἄλλο τι πάθος, ἢ πάντα, ἢ ἔνια. δοκεῖ γὰρ καὶ
δὴ καὶ μάλιστα περὶ τῶν κυάμων καὶ φακῶν. συμβαίνει δὲ πολλάκις καὶ τὸ χωρίον, ὅτε μὲν τε-
ράμονα φέρειν, ὅτε δὲ ἀτεράμονα, διὰ αὐτῆς ἐργασίας τυγχάνειν. καὶ τῆς συνεχοῦς αὔλακος
μόνον διεργγύσης, τὸ μὲν ἀτεράμονα, τὸ δὲ τεράμονα. καὶ τῶν σπερμάτων ὅτε μὲν ἐκ τῶν ἀ-
τεραμόνων τεράμονα γίνεσθαι, ὅτε δ' ἐκ τεραμόνων ἀτεράμονα. περὶ δὲ τὴν ἔκφυσιν καὶ
βλάστησιν καὶ τὴν ἁδρότητα καὶ εὐκαρπίαν, οὐδὲν διαφέρει τὸ ἀτεράμονος ἄν τι νοσερός.
ὑπὲρ δὴ τούτων, καὶ εἴ τι ἄλλο συνάπτει πρὸς τὴν ἀκρίβειαν ταύτην, πρῶτον ἐκεῖνο λεκτέον,
ὅτι τὸ τεράμον καὶ ἀτεράμον, πρὸς τὴν πύρωσιν λέγεται καὶ διάχυσιν· καὶ ὡς ἁπλῶς εἰπεῖν,
πρὸς τὴν τροφὴν τὴν ἡμετέραν. τὸ μὲν γὰρ εὐδιάχυτον, καὶ τῇ ἑψήσει ταχὺ ἀλλοιούμενον, τερά-
μον. τὸ δ' ἀδιάχυτον, ἢ ἀναλλοίωτον ἢ βραδέως ἀλλοιούμενον, ἀτέραμον. τοῦτο δὲ ἑκάτε-
ρον, εἰ τὸ μὲν μανὸν εἴη καὶ μαλακόν, τὸ δὲ πυκνὸν καὶ σκληρόν. οὕτως ἂν τὸ μὲν δέχοιτο τῇ
μανότητι καὶ ὑγρότητι, δι' ὧν ἡ διάχυσις· τὸ δ' οὐ δέχοιτο, ἀλλ' ἀποστέγοι τῇ πυκνότητι καὶ
σκληρότητι. διωρισμένου δ' οὕτω τοῦ τεράμονος καὶ ἀτεράμονος, σκεπτέον παρὰ τίνας καὶ ποί-
ας τινὰς αἰτίας ταῦτα συμβαίνει. τὸ μὲν οὖν ἁπλοῦν ἐκεῖνο καὶ ἀληθὲς ὄν, καὶ περὶ τοῦ πρότερον εἰ-
ρηται, διότι παρὰ τὴν τροφὴν τὰ τοιαῦτα γίνεται πάντα, τῷ ποιάν τε καὶ πόσην εἶναι. μάλιστα δὲ
γὰρ αὕτη συμβαίνουσα, τὰ μὲν ἐν τοῖς ἀλιφνοῖς καὶ διακόπτοις καὶ λεπτογείοις καὶ ἡλιοβόλοις,
κούφην τε τὴν τροφὴν καὶ εὐκατέργαστον ἔχει, ὥστε καὶ τὰ ἐξανιστάμενα μανὰ καὶ μαλακὰ γί-
νεσθαι. διὰ τοῦτο γὰρ τὰ λήμνια τεράμονα, διότι τοιαῦτα τὰ ἐδάφη. τὸ γὰρ ὅλον τὴν γῆν τε-
ράμονα ἔνιοι καλοῦσι τὴν τοιαύτην· ἐν δὲ τῇ τεράμονι φασὶ γίνεσθαι. τεράμονα δὲ καὶ τὰ
ἐν αἰγύπτῳ, διά τε τὸ ἔδαφος, καὶ διὰ τὸν ἀέρα. τὸ γὰρ θερμόν, οἰκεῖον τῇ τεραμότητι, καὶ ὅλως
τῇ πέψει. διὸ καὶ τὰ κοπριζόμενα πρότερον φασὶ τῶν ἀκοπρίστων, σχεδὸν εἴκοσιν ἡμέραις.
τὰ μὲν οὖν ἐν ἀλεεινοῖς καὶ κοῦφα, διὰ τὰς αὐτὰς αἰτίας τεράμονα. τὰ δ' ἐν ψυχροῖς, καὶ πικρά,
καὶ γλίσχρα, καὶ ὥσπερ κεράμια, καὶ ἔτι δὴ τῇ λειμωνείᾳ καὶ ἐφύδρῳ καὶ ἐλώδει, πάντα τε-
ράμονα, διά τε τὸ πλῆθος καὶ τὴν ἰσχὺν τῆς τροφῆς πυκνά τε καὶ σκληρά, τῆς γεώδους τε πολλοῦ
καὶ τοῦ ψυχροῦ καταμεμιγμένου. ἡ γὰρ δὴ πῆξις καὶ ἡ πύκνωσις ἐκ τούτων, ἐξ ὧν περ καὶ ἡ
σκληρότης. ἐν δὲ τοῖς ἐλώδεσι καὶ ἐφύδροις ἀχρεῖα τὸ ὅλον· οὐ γὰρ ἐνδίδωσι βρεχόμενα. διὸ καὶ
καταχέουσι πρὸς τὰς ὗς. αἱ μὲν οὖν ἐκ τῶν ἐδαφῶν αἰτίαι, σχεδὸν αὗται. ἐπεὶ δὲ καὶ τὰ ὕδατα τὰ
οὐράνια καὶ ὁ ἀὴρ συνεργεῖ ταῖς τροφαῖς, διὰ τοῦτο ταῖς γε ἐπομβρίαις ἀτεράμονα μᾶλλον γί-
νεται, πλείονος οὔσης καὶ ἀπεπτοτέρας τῆς τροφῆς. σχεδὸν γὰρ τοῦτο συμβαίνει, καὶ εἰ ἐκ τῆς τοι-
αύτης γῆς, καὶ εἰ τοιαύτη τοῦ ἀέρος ἡ ψυχρότης, ὥστε ἔνυδρός πως εἶναι, καὶ μὴ πνευματική. πῆ-
ξιν γὰρ οὕτω ποιεῖσθαι, καὶ πύκνωσιν. διῃρημένων δὲ εἰς ταῦτα τῶν αἰτιῶν, οὐδὲν κωλύει καὶ τὸ
αὐτὸ χωρίον ὅτε μὲν τεράμονα φέρειν, ὅτε δὲ ἀτεράμονα, μὴ ὁμοίων, ἀλλ' ἐναντίων γινομέ-
νων τῶν ἐκ διός. καὶ τῶν διειργασμένων αὔλακι, τὰ μὲν τεράμονα, τὰ δὲ ἀτεράμονα γίνεσθαι,
ἄνπερ τῆς μὲν τοιόνδε, τῆς δὲ τοιόνδε τὸ ἔδαφος. ὥσπερ γὰρ ἐν τοῖς μετάλλοις ῥάβδους, οὕτω κἂν καὶ
τις ἐργασίμοις ὑπολαβεῖν χρὴ διατετάσθαι, τὴν μὲν τοιάνδε, τὴν δὲ τοιάνδε παραλλήλας.
ὥστε τῶν αὐτῶν ἐκ τῶν ἀέρος γινομένων, ταῖς ἰδίαις δυνάμεσι ποιεῖν τὰς διαφοράς. ὅτι δὲ καὶ
τὸ αὐτοῦ χωρίου μικρόν τι μέρος εἶναι τοιοῦτον. ὡσαύτως δὲ καὶ εἴ τις ἀέρος ἢ πνεύματος προσπί-
σει τοιαύτη ψυχρότης, ὥστε ποιῆσαι πῆξιν ἢ καθ' ὅλον ἢ περὶ τὸ μόριον. ὃ καὶ περὶ τὴν φθορὰν
συμβαίνει, τῷ τὰ μὲν παραλλάττειν, τὰ δ' ὑπερβαίνειν· καὶ εἴ τις ἐν αὐτοῖς τοῖς σπέρμασιν ἀνο-
μοία διάθεσις ὑπάρχει. τὰ γὰρ ἀσθενέστερα δῆλον εὐπαθέστερα. τὸ δ' ἀσθενὲς, φύσει γίνοιτο,
14 ὑπὸ λαμβάνειν τινὰ μεταβολὴν ἐν ἑαυτῷ. Διὸ καὶ τῶν ἐπὶ τοῦ αὐτοῦ καυλοῦ κυάμων, οὐδὲν
κωλύει, τῶν μὲν ἀτεράμονα τὸν λοβὸν εἶναι, καὶ ἐν τῷ αὐτῷ λοβῷ, καθάπερ τινές φασιν, εἴ-
περ λέγουσιν ἀληθῆ. τὸν μὲν γὰρ ἀσθενέστερον εἶναι, τὸν δὲ ἰσχυρότερον ἐνδέχεται. περὶ δ' ἀσθε-
νείας τοῦ κυάμου, κἀκεῖνο σημεῖον ἄν τις λάβοι· μόνος γὰρ δοκεῖ μεταβάλλειν τὴν χρόαν ἐκ
λευκοῦ μέλας. ὅτι δὲ πῆξίς τις καὶ πύκνωσίς ἐστιν ὑπὸ τοῦ ψυχροῦ, δι' ἣν ἀτεράμονα γίνεται,
μαρτυρεῖ καὶ τὸ περὶ Φιλίππους συμβαῖνον περὶ τοὺς κυάμους. ἐστὶ γὰρ σφόδρα ψυχρόν, καὶ
ἀτεράμονες πάντες γίνονται. ἐὰν δ' ἐν τοῖς ἀχύροις ἐπιβαλλομένοις ἐν τῇ ἅλῳ καὶ καθαροῖς
ὦσιν,

ὄσπρια σπαρέντα χειμῶνος, οὐκ ἂν ὑπομένει διὰ τὴν ἀσθένειαν, πλὴν εἴ τινων ὀλίγων. ὄροβον γὰρ σπείρουσι καὶ πρώϊον, ὥστε μὴ ὥρα καταλείπεται, ἡ κριθὴ δὲ καὶ ὁ πυρός, ἀμφοτέρως· καὶ ὅσα μικρὰν ἢ πλείω ἐλάττους καὶ ἀσθενεστέρους φέρει τοὺς στάχυς. τοῦτο μὲν οὖν ὡς καθόλου τῶν γενῶν πρὸς τὸ γένος. τὸ δὲ μὴ ἰσοχρονίους εἶναι, κοινὸν καὶ ἐπὶ τῶν δένδρων. ἔστι γὰρ ἐν ἑκάστοις τὰ μὲν πρώϊα, τὰ δ' ὄψια· καθάπερ ἄμπελος, συκῆ, καὶ μηλέα, καὶ ἄπιος. αἴτιον δ' ἐν ἀμφοῖν, ὅτι τῆς ἰδίας φύσεως ἡ διαφορά· τὸ δ' ὄνομα κοινόν, ὥσπερ καὶ ἐν τοῖς ζῴοις ἐπὶ τῶν †κοινῶν· οὐ δὲ γὰρ ἐκεῖνο τὸ γένος. ἐν ἢ δ' αἰτία παραπλησία, καὶ διά τι τὰ μὲν πρώϊα, τὰ δ' ὄψια. εἴτε γὰρ θερμότης, εἴτε ψυχρότης, εἴθ' ὅ, τι ποτέ, καὶ ἐνταῦθ' ὁμοίως τὸ αἴτιον. καὶ καθόλου μὲν οὕτω. †κυνῶν κενῶν

τοῖς δὲ σπέρμασι καὶ ἐμφανέστερον ἐκ τῶν συμβαινόντων τὸ αἴτιον. ὁ μὲν γὰρ χειμεροσπορούμενος πυρὸς πολύῤῥιζος ὤν, καὶ ἐνταῦθα πρόσθεν ἀθρόαν τὴν δύναμιν, ἀποδίδωσι πλῆθος καλάμης· καὶ γὰρ πολυκάλαμος. ὁ δὲ τρίμηνος, ὀλιγόῤῥιζος καὶ πολυκάλαμος. διό, ὥστε ἀναφορὰν εὐθὺς ἄνω ποιεῖται, καὶ τὴν τελείωσιν βραχεῖαν· ῥᾷον γάρ, τὸ ἔλαττον ἐκτελειοῦσθαι. διὸ καὶ ὁ μὲν πολύχους, ὁ δ' ὀλιγόχους καὶ κοῦφος. ὁ δὲ βαρύς, ὥσπερ ἐλέχθη, πλείω τὴν τροφὴν ἕλκων καὶ θολωτέραν. ἡ δ' ἐκδρομὴ βραχεῖα κατὰ λόγον, ἅτε καὶ μὴ χρονίζοντος ἐν ταῖς ῥίζαις, διὰ ὀλιγότητα. μέγα δὲ καὶ ἡ ὥρα συνεργεῖ. καὶ γὰρ πολύῤῥιζος σπαρεὶς ἐν ταύτῃ, θᾶττον ἀναβλαστάνει, καὶ ὀλιγοκαλαμώτερος, καὶ ὁ στάχυς μικρὸς καὶ ὀλιγόπυρος. ὁ δὲ τρίμηνος πρωϊσπορηθείς, οὐκ ἂν ὑπομένει διὰ τὴν ἀσθένειαν. ἄτοπον δὲ καὶ ὑπεναντίον τὸ συμβαῖνον, εἰ βαρεῖς ^ ὀλιγοχρόνιοι· καθάπερ οἱ περὶ Αἶνόν φασι, καὶ ἰσομερεῖς. οἱ
λοιπὸν γὰρ αἰτιᾶσθαι τὴν ἰδίαν φύσιν, ἣν ὁρῶμεν ἐν πλείοσι μεγάλας ἔχουσαν διαφοράς, καὶ κατὰ τὴν ἔμφυσιν καὶ τελείωσιν, καὶ κατὰ τὰς ἰδίας μορφάς, οἷον μεγέθους καὶ μικρότητος καὶ χρώματος· καὶ τὸ πολυάχυρον εἶναι, ^ μὴ κατὰ πλῆ διὰ ταῦτα πρὸς ἡμᾶς, καὶ κατὰ τροφὴν καὶ σίτησιν. καὶ
τάχα δὲ καὶ τὰ γένη ποιοῦσιν αἱ χῶραι, ἤτοι πάντα ἢ ἔνια. συνεξομοιοῦσι γὰρ πως ἑαυταῖς, ἢ διάφορα γένη ποιοῦσαι, ἢ καὶ πρὸς τὸ ἀχρήσιμον· ὥσπερ τὸν θράκιον πυρὸν τὸ πολύλοπον εἶναι, καὶ ὀψιβλαστεῖν· διὰ γὰρ τοὺς χειμῶνας ἄμφω συμβαίνει, ἢ διὰ ταῦτα καὶ ἐν ταῖς ἄλλαις, πρωϊσπορούμενος ὁ θράκιος, ὀψὲ δὲ διαβλαστάνει· καὶ πάλιν ὁ παρὰ τῶν ἄλλων βιαζοσπορούμενος, ὀψὲ βλαστάνει. γίγνεται γὰρ οἷον φύσις τὸ ἔθος. ἐπεὶ
αὖ ^ καὶ ἐν ταῖς †περισυναγκαις καλουμέναις τῆς ἀσίας οἱ διαῤῥηγνύμαι λεγόμενοι, καὶ οἱ τὰ μεγέθει τοῖς πυροῖσιν ἴσοι, χώρας ἰδιότητι καὶ φύσει τὰς δυνάμεις ἔχουσι ταύτας, καὶ οὐ κατὰ γένος μετενεχθέντες. †αἰπυσυν- ἀγκω

ὃ γὰρ ἐπὶ τῶν ἀμπέλων λέγουσιν, ὡς ὅσα χώρας εἴδη, τοσαῦτα καὶ ἀμπέλων, τοῦτ' ἀληθὲς καθόλου. καὶ οὐχ ἧττον ἐφ' ἑτέρων, ἐὰν ἅμα τῇ χώρᾳ καὶ τὸν ἀέρα τις προσθῇ. διὰ τοῦτο γὰρ αἵ τε ἀνωμαλίαι τῶν καρπῶν, ἐκ τῶν αὐτῶν φυτευομένων· αἵ θ' ὅλως ἀκαρπίαι, μὴ φερούσης τῆς χώρας. ἐκ δυοῖν γὰρ ἢ καὶ πλειόνων ὅταν γίγνηταί τι δύναμιν ἐχόντων, ἀνάγκη κατὰ τὰς τούτων διαφορὰς καὶ τὸ ὅλον διαφέρειν· ὃ καὶ ἐπὶ τῶν ζῴων συμβαίνει. καὶ γὰρ καὶ τῷ ἄῤῥενι καὶ τῷ θήλει καὶ τῇ χώρᾳ καὶ τῷ ἀέρι καὶ ἁπλῶς ταῖς τροφαῖς λαμβάνουσι διαφοράς, ὅθεν καὶ γενῶν ἰδιότητες γίγνονται, καὶ πολλάκις τὸ παρὰ φύσιν ἐγένετο κατὰ φύσιν, ὅταν χρονισθῇ καὶ λάβῃ πλῆθος. ἀλλὰ γὰρ ταῦτα μὲν καθόλου καὶ κοινόν. αἱ δὲ τῶν σπερμάτων διαφοραί, γίγνονται διὰ τὰς εἰρημένας αἰτίας. ἐπεὶ καὶ τὸ θᾶττον τελειοῦσθαι παράλλαξιν, ὥσπερ ἐν αἰγύπτῳ φασί, μηνὶ πρότερον ἢ ἐν τῇ ἑλλάδι, τὸν ἀέρα τις ἂν αἰτιάσαιτο, μαλακὸν ὄντα καὶ εὔτραφῆ. τὸ δ' ὅλον, ἐν δυοῖν θετέον τὰς αἰτίας, ὥσπερ εἴρηται, ἀέρι καὶ ἐδάφει. τὸ γὰρ αὖ περὶ μᾶλλον συμβαῖνον ἐπὶ τελειώσεως, ὥστε τὸν ὕστερον σπείροντα θερίζειν ἅμα τοῖς πρώτοις, ἐπὶ τῆς χώρας ἀναιτέον ὡς εὐτρόφου· ὁ γὰρ ἀὴρ παραπλήσιος. τὸ γὰρ μὴ ἰσοχρονεῖν τὰ σπέρματα, καθάπερ καὶ τὰ ζῷα παρὰ πᾶσιν ὁμοίως οὔσης τῆς χώρας, οὐδὲν ἄτοπον, ἐκεῖνα μὲν γὰρ ἐν ἑαυτοῖς ἔχει τὰς ἀρχὰς κινητικάς. τὸ δὲ σπέρμα καὶ ὅλως ἐν τῷ ἀέρι μᾶλλον· εἰ δὲ μή, τάς γε πρὸς βλάστησιν, καὶ ὅλως γένεσιν καὶ διαφοράν. διόπερ οἷον αὖ ἦ τὸ ἔτος, ἀκολουθεῖ καὶ τὰ τῶν καρπῶν, ἔν τε τοῖς ἄλλοις, καὶ ἐν τῇ πρωϊότητι καὶ ὀψιότητι. σύμφωνον δὲ τρόπον τινά, καὶ οὐ πόῤῥω τούτων, καὶ τὸ μὴ κινεῖσθαι πρότερον, μήτε σπέρμα μηδέν, μήτε φυτόν, ἀλλὰ κατὰ τὴν οἰκείαν χώραν. ὃ καὶ θαυμάζεται περὶ τῶν σπερμάτων, ὅτι διαμένει πρὸς τὸ θέρος ἔνια, καὶ οὐ διαφθείρεται, πολλῶν ὑδάτων καὶ εὐδιῶν γινομένων. ἐπεί τοί γε μὴ διαβλαστάνειν, ἧττον ἄλογον, μὴ ἔχοντα τὴν οἰκείαν κρᾶσιν. αἴτιον δὲ τοῦ τό πως ὑποληπτέον, εἰς ἀσφαλὲς τῆς φύσεως πρὸς ἄμφω τιθεμένης, ἐν τῷ τῶν περιεχόντων ἰσχύϊ. φαίνεται γὰρ τὰ μὲν ξυλώδη, καθάπερ τὰ ἀνθικά· τὰ

σίκ ταύτας, καθόλου μὲν καὶ κοινὴν τινὰ δεῖ λαβεῖν χρὴ τὴν ἀρχήν. ὡς οὐ πᾶσι ταῦτα πρόσ-
φορα ὄντα τὰς τροφάς, ἀλλ' ἑκάστοις κατὰ τὰς ἰδίας φύσεις· ὅπερ ἐν πολλοῖς μὲν φανερόν. ἐκ
πλείστης δ' ἀκριβείας, ὡς εἰπεῖν, τῶν γε γνωρίμων τὰ περὶ τὰς ἐλάφους, αἳ τοὺς ἔχεις ἐσθίου-
σιν, ὑφ' ὧν τὰ ἄλλα θνήσκουσι, πολὺ μείζω καὶ ἰσχυρότερα τὴν φύσιν ὄντα. καὶ ἐπ' ἄλ-
λων δὲ τόγε τοιοῦτόν ἐστιν, ὥστ' ἀναιρεῖσθαι ταῖς πληγαῖς, ὑφ' ὧν οὐδὲν ἄνθρωποι πάσχουσι·
καθάπερ οἱ ὄφεις ὑπὸ τοῦ σκορπίου. ὑποκειμένης δ' οὖν τούτου καὶ τῶν ἄλλων γνωριμωτέρας τρο-
δ' ἄλλ. φῆς χρωμένων, οὐκ ἄλογον, ἐκείνην μᾶλλον αὐτοῖς ἁρμόττειν, τὴν † ἀλλοτριωτέραν εἶναι καὶ
ἀπρόσφορον· καὶ διὰ τὴν γλυκύτητα καὶ τὴν ἡδονήν, πλείω προσφερομένων ῥήγνυσθαι.
τοῦτο μὲν οὖν καθόλου καὶ κοινόν. ἴδιον δ' ὅτι καὶ συμβαίνει τὰς κοιλίας ἐκπνευματοῦσθαι, οὐ
δὲ μᾶλλον πᾶσιν, ἢ τοῖς ἔχουσιν ἐχῖνον. φυσώδης γάρ, καὶ οὐκ εὐκατέργαστον ὁ πυρὸς ὠμὸς ἄν· ἔτι † δ'
ἄπεπτον τὸ ἄχυρον. μέγα δὲ καὶ τὸ ἀσυνήθεις εἶναι. τὰ γὰρ ξένα, κἂν ᾖ κρείττω, διαταράττει πλῆ-
θος λαμβανόμενα. διὰ δὲ ταύτας τὰς αἰτίας, ὡς ἁπλῶς εἰπεῖν, οὐκ ἀλόγως μὲν ἔχει, δοκεῖ δὲ
τῇ παραλλαγῇ. ὡς δὲ ἁπλῶς εἰπεῖν τύπῳ, πρὸς βαρύτητα καὶ κουφότητα τροφῆς, καὶ ἐν μὲν
καὶ τοῖς ἄλλοις, τοῖς καὶ φύσεως ἑκάστης οἰκείοις, αἱ χῶραι καὶ ὁ ἀὴρ ποιεῖ τὰς διαφοράς. τὰ
μὲν γὰρ ἐκ τῶν εὐηλίων καὶ εὐπνόων καὶ λεπτογείων, κουφότερα· τὰ δ' ἐκ τῶν ψυχρῶν καὶ ἐπόμ-
βρων, βαρύτερα, διὰ τὸ πλείω τροφὴν καὶ ἰσχυροτέραν ἔχειν. καὶ διὰ τοῦτο τῶν μὲν ἄλλων πυρῶν
τα δοκεῖ τῶν Ἀθήναζε καταπλεόντων, ὁ σικελικὸς ἰσχυρότατος εἶν. τούτου δ' ἔτι βαρύτερος μᾶλλον ὁ
Βοιώτιος, ὥσπερ ἐν ταῖς ἱστορίαις εἴρηται. καὶ γὰρ ἡ χώρα πίειρα, καὶ ὁ ἀὴρ ψυχρός. καὶ τὰ ἄλ-
λα δὲ τὰ τῶν καρπῶν παραπλησίως ἔχει τῇ βαρύτητι. ἐν δὲ τοῖς ποσάγγαις ὁ διαφέρων,
ὃν εἴπομεν, ὑπερβάλλων δηλονότι τῇ βαρύτητι. ὁ δὲ ποντικὸς κουφότατος, καὶ σκληρότα-
τος, καίπερ ψυχροῦ τοῦ ἀέρος ὄντος, ὅτι καὶ τὰ σπέρματα καὶ τὰ ἐδάφη κουφότερα, καὶ ἡ χώρα
συνεκπίπτει μᾶλλον. ὅτι δὲ καὶ τὰ σπέρματα ῥοπὴν οὐ μικρὰν ἔχει, φανερὸν ἐκ τῶν ξενικῶν,
καὶ ἔνιοι ἐν ἐλάττονι χρόνῳ τελειοῦνται τούτου. οὐ πολὺ γὰρ τοῦ γνώδους ἕλκοντες, ἀλλὰ κουφοτέ-
καὶ ρᾳ τροφῇ χρώμενοι, κουφοτέραν ποιοῦσι καὶ τὴν προσφοράν. ἔοικε δὲ καὶ ἡ ὥρα συμβάλλεσθαι
πρὸς τὸ μὴ χρονίζειν· οἷον γὰρ εἰς ὀργῶσαν πίπτει τὴν γῆν. καὶ παραπλήσιον τὸ συμβαῖνον, ὥ-
σπερ τὰ ἐπὶ τὸ ζέον ἐμβαλλόμενα τῶν ἑψομένων. οὐδεμίαν γὰρ οὐδ' ἐκεῖνα λαμβάνει μέλλη-
† περὶ λιμνὸν σιν. εἰ δέ τινες τῶν ὀλιγοχρονίων τούτων βαρεῖς, ὥσπερ φασὶ τοὺς † περὶ λιμίον, ἐνταῦθα τοῦ
11 σπέρματος τὴν φύσιν αὐτοῦ κατὰ λόγον αἰτιᾶσθαι. καὶ περὶ μὲν τούτων, ἀρκεῖ τὰ εἰρημένα. Τὴν
δὲ ἄνθησιν, πολυχρονιωτέραν ποιοῦσι τὰ χεδροπὰ τοῦ σιτώδους. ὅτι τῶν μέν, οἱ στάχυς τὸ ἄν-
θος. εἴρηται δ', ὅτι τὰ ἀθρούστερα πανταχοῦ, θᾶττον τελειοῦται. διὸ καὶ βρέχεσθαι τὰ μὲν οὐ δύναται,
τὰ δὲ καὶ ζητεῖ καὶ ὀνίναται. τάχα δὲ τοῦτό τι κατὰ συμβεβηκός, ὅτι τὸ ὅλον φυτὸν εὐτραφὲς βρε-
† καρπὸς χόμενον· ὁ δὲ † καιρὸς δεῖται βοηθείας πρὸς τὴν τελείωσιν· μάλιστα δ' ὁ κύαμος, ὅτι μανότα-
τον καὶ πολυανθέστατον καὶ πολυκαρπότατον. ὁ δὲ ἐρέβινθος, ἀπόλλυται, διὰ τὴν εἰρημένην
αἰτίαν. ἀλλὰ περὶ μὲν τοῦ σίτου τῆς διαφορᾶς, λεκτέον. αἰτιάσαιτο δ' ἄν τις μάλιστα τὴν ἀσθέ-
νειαν· οὐχ ὑποφέρει γάρ. ἀλλὰ φθείρεται καὶ ἀποπίπτει, καθάπερ καὶ τῶν δένδρων ἐνίων, οἷς μὲν
οἷον ἐρυσιβώμενα, οἷς δ' ἐξυγραινόμενα λίαν. εὐλόγως δὲ καὶ ἡ ἄνθησις οὐχ ἅμα πᾶσι τοῖς
μέρεσι· κεχώρισται γὰρ ἐκτὸς τοῦ λοβοῦ, καὶ διὰ τὴν εὐτροφίαν. τὰ μὲν γὰρ ἤδη κύει καὶ ἀνθεῖ,
τὰ δ' ἄνω προσαύξεται. διὸ καὶ τὰ μὲν αὖα καὶ τέλεια, καίπερ ἐγγυτέρω τῆς τροφῆς ὄντα·
τὰ δ' ἐπὶ τῶν ἄκρων χλωρά. τοῦτο δ' οὐκ ἴδιον, ἀλλὰ καὶ ἑτέρων ἐστὶ πλειόνων κοινόν. πολλὰ
γὰρ ἀνθεῖ καὶ πονεῖ κατὰ μέρος, καὶ ἅμα τὴν βλάστην ἀφίησιν εἰς τὸ ἄνω. διὸ καὶ τὰ μὲν τέ-
λεια, τὰ δ' ἀτελῆ, τὰ δὲ μέλλοντα. καὶ οὐκ ἐμποδίζεται, τὰ κάτω διὰ τὴν ὑπερβολὴν καὶ τὴν ἀ-
ναφορὰν τὴν εἰς τὸ ἄνω. καθάπερ γὰρ ὑποκείμενόν τι πᾶσιν ὁ καυλός, δι' οὗ τὴν τροφὴν ἔ-
χουσιν, ὥσπερ ὀχετόν τινος. ἡ μὲν οὖν ἄνθησις εὐλόγως, χρόνιός τε καὶ ἀβλαβὴς αὐτοῖς ὑπὸ τῶν
ὑδάτων. ἐν δὲ τοῖς ἄλλοις, ὅταν ἀπανθήσῃ, σχεδὸν ὑποσπείρει τοῦ σίτου διὰ τὴν ἀθρίζειν.
καὶ μάλιστα ὁ κύαμος· ἀθρούστερον γάρ. καὶ περὶ μὲν τῶν πρὸς ἄλληλα διαφορῶν, τοσαῦτα
12 εἰρήσθω. Περὶ δὲ τῶν ὁμογενῶν, τάχα ἄν τις ἀπορήσειε, τί ποτ' οὐκ ἐν ἴσοις χρόνοις ἅπαντα τε-
λειοῦται· ἀλλ' οἱ μὲν τρίμηνοι τῶν πυρῶν, οἱ δὲ δίμηνοι· καὶ τῶν κριθῶν ὡσαύτως. εἰ δὲ καὶ ἐν
ἐλάττονι τούτων χρόνῳ, πλείων ἡ διαφορὰ πρὸς τοὺς χειμοσπόρους. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων.
μάλιστα δ' ἐπὶ τῶν εἰρημένων, τάχα δὲ καὶ μόνων αἱ διαφοραί. καὶ ποτ' εὐλόγως· τὰ μὲν γὰρ

ἐαρινὰ

τῷ λοβῷ. τὸ δ' εἶναι τοιαῦτα, τῆς οὐσίας. ὥστε τούτων μὲν εἰκότως ἡ φύσις εἰς ταὐτὸ τὰς ἀρχὰς ἔθηκε. τῶν δὲ σιτωδῶν καθ' αὑτά τε πεφυκότων καὶ περιεχομένων, ἔτι δ' ὥσπερ διδύμων πως ὄντων τὴν μορφήν, ἐχώρισε τὴν ἔκφυσιν, ἐκ μιᾶς μὲν ἀρχῆς ἀμφοτέρας ποιήσασα, συνεχοῦς δέ τινος ἴσως καὶ διηκούσης ἐφ' ἑκάτερον τῶν ἄκρων· ὥσπερ καὶ κατὰ τὴν βλαστητικὴν φανερά, διατάνυσα καὶ ἐπὶ τὴν ἐντομήν. τὸ μὲν οὖν μὴ ὁμοίως ἔχειν, ταύτην ὑποληπτέον τὴν αἰτίαν. ἐκεῖνο δ' ὁμοίως ἐν ἀμφοῖν ἐστιν, ὥστε τὴν τῆς ῥίζης φύσιν ἐκ τοῦ αὐτοῦ, καὶ τὴν ἐν τοῖς στάχυσι καὶ τοῖς λοβοῖς γίνεσθαι πρόσφυσιν, ἀφ' ὧν ἀμφοτέρων αἱ τροφαί. τῶν μὲν † βαλσάμῳ, καὶ τῆς πρώτης βλάστης ἡ ῥίζα. τῶν καρπῶν ἡ πρόσφυσις, ἥ τε πρὸς τὸν λοβὸν καὶ πρὸς τὸν στάχυν. ποιητέον δὲ τῶν καρυωδῶν καὶ βαλανωδῶν. καὶ τὰ μὲν περὶ τὴν ἔκφυσιν, οὕτως ἄν τις διέλοι.

† καλάμῳ

9 Τὴν δὲ ταχυβλαστίαν, τοῖς χεδροποῖς ἀποδοίη τις διὰ τὴν ὥραν, ὅτι μαλακωτέρα καὶ γονιμωτέρα τῆς χειμερινῆς. ἀλλ' ἀμφοῖν τούτοιν αἰτιᾶσθαι τὴν ἀσθένειαν, δι' ἣν καὶ σπείρονται πρὸς τὸ ἔαρ, καὶ διαβλαστάνουσι θᾶττον. τὸ γὰρ ἀσθενέστερον, ὥσπερ πολλάκις ἐλέγομεν, εὐπαθέστερον. τάχα δὲ καὶ τῆς πολυκαρπίας· πολυχούστερα γὰρ δὴ τὰ χεδροπὰ τῇ αὐτῇ, ἢ παραπλησίαν. καὶ τοῦ θᾶττον δὲ ἐκτελοῦν, καὶ μὴ καρπίζεσθαι τὴν γῆν, ἀλλὰ νειὸν ποιεῖν. ἅπαντα γὰρ ταῦτα, ἢ τὰ τοιαῦτα, συμβαίνει σχεδὸν (ὡς ἁπλῶς εἰπεῖν) διὰ τὴν ἀσθένειαν. καὶ γὰρ ἐκθρέψαι καὶ τελειῶσαι ῥᾷδιον τὸ ἀσθενέστερον, ὡς ἅμα καὶ πλεῖον καὶ τὴν γῆν ἧττον καρπίζεσθαι, καὶ τὴν ἔκφυσιν δὲ τὴν πρώτην ῥᾴω καὶ θᾶττον ποιεῖσθαι· πλὴν εἴ τι κωλύεται διὰ τὴν ἰσχὺν τοῦ περιέχοντος, ὥσπερ ὁ κύαμος. αἰτία γὰρ τούτου τῆς δυσφυΐας, ἡ τοῦ κελύφους παχύτης. ἐὰν δὲ καὶ ἐκφύσωσι, σπαρέντι δυσφυέστερον ἔτι, καθάπερ ἐλαφριζομένης τῆς γῆς. ἐν δὲ τοῖς σιτηροῖς καὶ τοῦθ' ὁμολογούμενα, πρός τε χρονιότητα τῆς πέψεως, καὶ πρὸς τὸν καρπισμὸν τῆς γῆς, οἷον ἥ τε πολυρριζία, καὶ ἡ γλισχρότης τῶν καρπῶν. βραδέως γὰρ τὰ γλίσχρα καὶ καθαρά, καὶ ἐν τοῖς δένδροις πεπαίνεται. διὸ καὶ πυροὶ κριθῶν ὀψιέστεροι, καὶ ὀλιγοχούστεροι. καὶ αἱ ῥίζαι δὲ τῶν σιτηρῶν πολλαὶ κατὰ βάθους οὖσαι, καρπίζονται μᾶλλον, οὐχ ὥσπερ τῶν χεδροπῶν ὅ, τε καρπὸς γεωδέστερος, καὶ ἡ ῥίζα μία, καὶ ἡ ἀπόλυσις ἡ σπορὰ μανή. πάντων γὰρ ταῦτα συνεργεῖ καὶ πρὸς πλῆθος καρποῦ, καὶ πρὸς κουφότητα τῆς γῆς, καὶ τὸ ὁμοίως καρπίζεσθαι πρὸς ταχύτητα πέψεως. ἅπασα γὰρ ἡ δύναμις ἄνω φερομένη, καὶ οὐκ ἀντισπώσης τῆς ῥίζης, πλῆθος ἀποδίδωσι. καὶ συνεργοῦντος τοῦ ἀέρος, ἐκπέττει ῥᾳδίως. ἐπεὶ ὧν γε πλείων ἡ ῥίζα καὶ κατὰ βάθους, καὶ οἱ καρποὶ ξυλώδεις· ταχὺ δὲ ἐκκαρπίζεται τὰ ἐλαφρά, καθάπερ ὁ ἐρέβινθος. διὸ καὶ μόνον οὐ ποιεῖ νειόν, οὐδ' ἔστι τῆς τυχούσης ὥρας, ἀλλ' ἀγαθῆς. ἄλογον δὲ ἴδιον τούτου φαίνεται, τὸ ταχὺ τελειοῦσθαι· εἴπερ ἐν τετταράκοντα ἡμέραις, ἢ μικρῷ πλείοσι, τέλειος. αἰτίαν δὲ ἄν τις ὑπολάβοι τὴν ἰσχύν, δι' ἣν δύναται τῶν τε ἄλλων κρατεῖν, καὶ πρὸς τούτων διαρκεῖν. εἴπερ καὶ ὕδατος ἐλαχίστου δεῖται, πρὸς τὸ διαβλαστεῖν μόνον. ἅτε αὐτὸς αὑτὸν ἐκτρέφει· εἰ μὴ ἄρα τι καὶ ἡ ἅλμη πρὸς τὴν τελείωσιν συμβάλλεται, καταξηραίνουσα τὴν ὑγρότητα τὴν πλείω τῆς συμμέτρου. φαίνεται δὲ συνεργεῖν πως τῇ γενέσει, καὶ οἰκεῖον εἶναι. σημεῖον δ' ὅτι καὶ οἱ πρὸς τῇ θαλάττῃ βελτίους γίνονται, καὶ ὅτι καταπλυθείσης τῆς ἅλμης ἀπόλλυνται καὶ ἐκζωοῦνται. δι' ἣν δὲ αἰτίαν μόνον, τοῦτο σκεπτέον· εἰ μὴ ἄρα τῆς οὐσίας. ἀλλὰ διὰ τοῦτον περὶ, τοιαῦταί τινες αἰτίαι. μόνα δ' ἐκ τῶν ῥιζῶν ἀναφύεται τῶν ὕστερον ἔτι, πυρὸς καὶ κριθή. καὶ αὐτῶν τούτων δὲ καὶ ἐκ τῶν εἰς κρᾶσιν σπαρέντων, ἑτέρου καλάμου παραβλαστάνοντος. αἴτιον δ' ὅτι μόνοις ὑπάρχει πλῆθος ῥιζῶν, καὶ δύναμις. τὰ χεδροπὰ δὲ μονόρριζα, καὶ ξυλώδη, καὶ ἀπόλυσις· ὡσαύτως δὲ καὶ τὰ ἄλλα τῶν καταπατουμένων ὑπὸ τῶν στρατοπέδων, ὥστε μηδὲν εἶναι δῆλον *. ἐξ ἁπάντων δὲ οἱ στάχυες μικροί, καὶ ἀτελεῖς, ἅτε παλιμβλαστεῖς ὄντες.

10 Περὶ δὲ τοῦ εἶναι βραδύτερα τὰ χεδροπὰ πρὸς τὰς τροφὰς ἢ τὸν σῖτον ἡμῖν, καίπερ ἐλάττω χρόνον ἐν τῇ γῇ γινόμενα *. δοκεῖ δὲ καὶ πρὸς κουφότητα διαφέρειν τούτων. διὸ καὶ τῶν πυρῶν οἱ τρίμηνοι κουφότατοι, καὶ τῶν κριθῶν ὁμοίως· ὡς ἐλάττονος ὑποδεχομένου τοῦ γεώδους, διὰ τὴν † βραδυτῆτα τοῦ χρόνου. τοῖς δὲ ἄλλοις ζώοις, καὶ προσφιλῆ καὶ ἄλυπα ταῦτ' ἐκείνοις, καὶ χαλεπώτατα μᾶλλον. καὶ πάλιν ἃ ἡμῖν δυνατώτατα, ταῦτ' ἐκείνοις χαλεπώτατα, καίπερ ἰσχυροτέροις οὖσι. πολλὰ γοῦν ἀπόλλυται, χορτασθέντα πυρῶν. καίτοι τὸ γεῶδες ἐλάχιστον ἔχουσι. πρὸς δὲ ταύτας τὰς ἀπορίας, καὶ εἴ τις ἄλλη παραπλη-

† βραχύτητα

πλεοναζομένη ἡ θερμότης ἐκπέψῃ τὴν τροφὴν ἢ ὑπεραντλῆται, καὶ διὰ τὸ τῶν ἐν ὕδασι ἀεὶ καὶ ταῦτα περιφυκότων ἐν τόπῳ πληθῦσθαι, καὶ ἅμα λαμβανόντων τροφὴν οὐχ ὁμοίαν, ἀλλὰ πεπονημένην ὑπὸ τοῦ καυλοῦ καὶ τῶν ῥιζῶν. ἔτι δὲ τῶν μὲν ὥρα μία καὶ ἡ πέψις καὶ τελείωσις ἁπάντων, τῶν δ' ὑπὸ τῶν ἔξω. συμβαίνει γὰρ ὥσπερ τὸ μὲν κατὰ φύσιν, τὸ δὲ παρὰ φύσιν· καὶ τοῦτ' ἰσχύοντος ἔτι τοῦ φυτοῦ, καὶ οὐ περιλαμβανομένου τῇ ὥρᾳ πρὸς τὴν πέψιν· πλὴν εἴ τις λέγοι, ὅτι προεκπηδᾷ τὰ σπέρματα πρὶν τελειωθῆναι, διὰ τὸ τὴν φύσιν ἔχειν ἀσθενῆ. συμβαίνει μὲν δὴ τοῦτο, καὶ πολὺ πλεῖον ἐπὶ τῶν κριθῶν, ὥστε κενὸν εἶναι τὸν κάλαμον. τὸ τό τε ξὺν εἰς τὴν οὐσίαν ἀνακτέον. καὶ τὸ συντετρῖφθαι δὲ καὶ πληθῦσθαι τοῖς περιέχουσιν, οὐκ ἄλογον. ἐπεὶ τό γε διαμένειν ἀπαθὲς, ἄλλως τε καὶ ἐν χιτῶσι τοσούτοις, ἧττον θαυμαστόν. πολλαχοῦ γοῦν φαίνεται, καθάπερ ἐλέχθη, καὶ τῶν ἄλλων· μᾶλλον δὲ πάντα διατηρούμενα πρὸς τὴν οἰκείαν ὥραν. ἐκεῖνο γὰρ ἔτι θαυμασιώτερον, ὅπερ εἴρηται περὶ τῶν τευτλίων, ὅτι οὐ μόνον ἐν μησὶ καὶ δυοῖν καὶ τρισὶν ὕστερον, ἀλλ' ἐνιαυτῷ διαβλαστάνει τινά, καὶ ταῦτα βρεχομένου καὶ κατακλυζομένου τοῦ τόπου. ἐστὶ ἴδιον δὲ καὶ τὸ τοῦ λωτοῦ σπέρμα τοιοῦτον, ἥ γε περιέχον τὸν καρπὸν, διὰ τὸ μὴ εὐχωρέστερον εἶναι, μὴ δ' ὁμοίως ἀποξηραίνεσθαι. τὸ δὲ τοῦ βολβοῦ, καὶ περὶ μεγέθους διάφορον, σκεπτέον δ' ὑπὲρ αὐτοῦ. εἰ δ' οὖν οὕτως ἐνίας δυσφυῆ δὲ σπερμάτων τε, ὥστε πολλοῖς ὕστερον χρόνοις ἀνατέλλειν, δῆλον ὅτι ταῦτα πέττεται καὶ τελειοῦται πρὸς τὴν βλάστησιν ἐν τῇ γῇ. διὸ καὶ αὐτά ἴσως οὐκ ἔτι συνεργοῦσα πίστις. ἀντιβαίνει δ' αὐτῷ τὸ καὶ πρότερον λεχθὲν, ὅτι καὶ τελειοῦταί τινα κατὰ τὴν πρόσφυσιν, ἃ καὶ ἀναιρούμενα διαβλαστάνει παραχρῆμα. † τῶν μεῖζον δ' ἔτι καὶ † τὸ παρὰ τὰ σπέρματα καὶ τοὺς καρποὺς ἀπορημάτων, οὐχ ὑπολείποντα δὲ ὑπὸ τὴν αἰτίαν ταύτην, τὸ περὶ τὸν λωτὸν συμβαῖνον. τοῦτο δὲ δὴ δένδρον, παρόμοιον ἔχον τὸν καρπὸν τῷ λωτῷ. καὶ τὸ περὶ τὸν τιθύμαλλον, καὶ τὸ περὶ τὴν μυρσίνην καλουμένην. τοῦτο δ' οὐ δένδρον, ἀλλὰ θάμνος ὑπογειόκαυλος. ἀμφότερα γὰρ ταῦτά φασι παρὰ μέρος φέρειν δι' ἑκατέρων τῶν βλαστῶν. ὥστ' ἀνάγκη τὸν μερισμὸν τῶν δυνάμεων

8 ἐν ταῖς ῥίζαις ποιεῖν. ἀλλὰ περὶ μὲν τούτων, ἐπισκεπτέον. Τῶν δὲ σιτηρῶν σπερμάτων, αἳ τυγχάνουσι διαφοραὶ κατὰ τὴν ἔκφυσιν ἢ τοὺς καρποὺς ἢ τὴν ἄλλην οὐσίαν, δεῖ πειρᾶσθαι λέγειν. οἷον ὅτι πυρὸς μὲν καὶ κριθὴ καὶ τὰ ὅμοια πολύρριζα· τὰ δὲ χεδροπὰ, πρὸς τὸ ἔαρ, πλὴν κυάμου καὶ θέρμου. τοῦτο γὰρ ποιοῦσιν, ὅτι τὰ μὲν σιτώδη ῥιζοῦσθαι δεῖ, πρὸς τὸ μονόκαυλα γίνεσθαι, τῆς ἀναφορᾶς εὐθὺς ἄνω γινομένης. ῥιζοῦται δὲ κατεχόμενα καὶ πιλούμενα τοῖς χειμῶσιν, ὥστε πολλὰς ἀρχὰς λαμβάνειν τῆς βλαστήσεως. τὰ δὲ χεδροπὰ μονόρριζά τε καὶ ἰσχυρόρριζα, καὶ εὐθὺς τὴν ὁρμὴν ἄνω ποιούμενα, προσφόρως ἔχει τῇ ὥρᾳ· τὸ γὰρ πολὺ τῆς φύσεως ἐν τῷ ἀέρι. τὸν δὲ κύαμον πρωϊσπεροῦσιν, ὥσπερ εἴρηται, διὰ τὴν ἀσθένειαν, ὅπως ῥιζωθεὶς ἐν ταῖς εὐδίαις ἀντέχῃ τοῖς χειμῶσι. τὸν δ' αὖ θέρμον εὐθὺς ἀπὸ τῆς ἅλω· διότι μὴ καταβληθεὶς θερμῆς ἔτι οὔσης τῆς γῆς, κακοβλαστὴς γίνεται. τούτου δ' αἴτιον, ὅτι ἀτεράμον φύσει, καὶ ὥσπερ ἄπεπτον· δηλοῖ δ' ἡ πικρότης. διότι πολλῆς δεῖται θερμότητος. ἐὰν μὲν οὖν προσλάβῃ τὴν ἐκ τῆς χώρας, δύναται κατεργασθῆναι καὶ εὐβλαστεῖν. εἰ δὲ μὴ, κακοβλαστεῖ. καὶ παρόμοιον τὸ ξυμβαῖνον, ὥσπερ εἴ τις ὀλίγον πνεῖ τὸ ἰσχυρότατον ἐκεῖνο ὁ πλεῖον ὑποχειροίη. διὰ τοῦτο δ' ἔοικεν οὐδὲ τὴν ἀγαθὴν χώραν φιλεῖν, ἀλλὰ τὴν ὕφαμμον· εὐθερμαντοτέρα γὰρ αὕτη, καὶ οἷον εὐκατεργαστοτέρα. καὶ κρύπτεσθαι οὐκ ἐθέλει κατὰ βάθους, ἀλλ' ἐπιπολῆς, ὅπως μᾶλλον ἀπολαύῃ τῆς θερμότητος, καὶ ποιμάστερος καὶ μετριώτερος ἂν ἐκβλαστάνῃ καὶ καθίσῃ τὴν ῥίζαν. καὶ τὰ μὲν τοιαῦτα σχεδὸν ὥσπερ γεωργικά. τὰ δὲ αὖ τῆς φύσεως· οἷον ὅτι τῶν μὲν χεδροπῶν ἐκ τοῦ αὐτοῦ μέρους ἥ τε ῥίζα καὶ ὁ καρπὸς ἐκβλαστάνει. καὶ τὸ μὲν εὐθὺς ἄνω, τὸ δὲ κάτω νεύει καὶ ὁρμᾷ. πυροῦ δὲ καὶ κριθῆς, καὶ ὅλως τῶν σιτωδῶν, ἐξ ἑκατέρων τῶν ἄκρων. ἀπὸ μὲν τοῦ παχέος καὶ πρὸς τῷ στάχυι προσπέφυκεν ἡ ῥίζα· ἀπὸ δὲ τοῦ λεπτοῦ, ὅθεν ὁ ἀὴρ, ὁ καυλός· ὡς ἂν ἑκάτερον ἀνάλογον, τὸ μὲν ἀπὸ τοῦ ἄνω, τὸ δὲ ἀπὸ τοῦ κάτω· καὶ γὰρ ἡ ῥίζα καὶ ὁ καυλός. οὕτω καὶ τὴν αἰτίαν εὐθὺς ἐν τῇ φύσει ληπτέον, ὅτι τὰ μὲν χεδροπὰ ἄθυρα ὄντα, μίαν τινὰ καὶ τὴν αὐτὴν ἀμφοῖν ἔχει κατὰ τὸ ἄκρον, ὃ καὶ φαίνεται προσπεφυκὸς, ὥσπερ ἔξωθεν ὂν, καὶ συνάπτουσι πρὸς τὸν λοβόν. ἅτε γὰρ ἐναγγειόσπερμα ὄντα, ταύτην μὲν ἐξ ἀνάγκης ἔχει· τρέφεσθαι γὰρ ἄλλως οὐκ ἦν. τὴν δὲ ἐκ τοῦ αὐτοῦ μέρους οὐ δυνατὸν, συνεχῆ τ' ἀλλήλοις ὄντα, καὶ περιεχόμενα τῷ λοβῷ,

ἐν γοῦν χώρᾳ ἀγαθῇ. ὥστ' ἐκ τῆς ὑπερβολῆς ἡ διάδασις. ὁ δὲ θέρμος, ἰσχυρὸς ὢν καὶ περαῖος ἐξαιρούμενος, οὐδ' εἰς ἓν μεταβάλλει διὰ τὴν ἄγαν ἰσχύν. ἐπικρατεῖ γάρ. δεῖ δὲ τὸ μέλλον μεταβάλλειν, μὴ ἀπαθὲς εἶναι, μήτε ἄγαν εὐπαθές· τὸ μὲν γὰρ οὐ μετακινεῖται, τὸ δ' ὅλον ὡς εἰπεῖν φθάρεται, καθάπερ ἐλέχθη· σκεπτέον δὲ, καὶ ἐπὶ τῶν ἄλλων σπερμάτων ἢ τῶν ἀγρίων, ἃ τῶν ἡμέρων δέχεται τὴν τοιαύτην ἀλλοίωσιν. καὶ περὶ μὲν αἰρῶν, ἀρκείτω τὰ εἰρημένα. τὰς γὰρ ἐν αὐτοῖς τοῖς γένεσι τῶν πυρῶν μεταβολὰς, οἷον ἐκ ποιῶν δὲ ποιοὶ γίνονται, καὶ κριθαὶ, καὶ τἆλλα ὡσαύτως, οὐκ ἔστι. ζητεῖν μὲν οὖν, εἰ τοῦτ' ἔχει τὸ θαυμαστόν. ἡ γὰρ ὥρα, καὶ αἱ τροφαὶ, καὶ ὁ ἀὴρ, καθάπερ εἴρηται, ποιοῦσι τὰς ἀλλοιώσεις, ὁμοίως ζῴων καὶ φυτῶν. ἢ καὶ πρὸς τὴν ἔκστασιν ὅλως τοῦ γένους χρῆναί φαμεν μετενεγκεῖν, ποιάν τινα καὶ πόσην ποιήσαντες τὴν τροφήν. ἐπεὶ καὶ τῶν δένδρων, καὶ ὅλως τῶν φυτῶν αἱ ἐν ταῖς ἱστορίαις εἰρημέναι μεταβολαὶ, διὰ ταύτας γίνονται τὰς αἰτίας, ὥσπερ ἐν τοῖς πρότερον ἐλέχθη· τῶν μὲν εὐτροφούντων ἐν ταῖς οἰκείαις τροφαῖς καὶ θεραπείαις, ὥσπερ τὸ σισύμβριον ὅταν εἰς μίνθαν. ἀπόλλυται γὰρ τὸ δριμὺ τῆς ὀσμῆς, καὶ οἷον ἐκθηλύνεται. διὰ τὴν τροφὴν δὲ καὶ ἀργίαν ἡ ἀπαγρίωσις. ἔνια δ' ὅλως καὶ ἀπόλλυσιν, ὥσπερ τὴν μίνθαν καταπνιγομένων τῶν ῥιζῶν ὑφ' αὑτῶν. ἡ δὲ λεύκη, τὸ μὲν ὅλον οὐ πόρρω τῆς αἰγείρου, καὶ τῇ ὅλῃ μορφῇ καὶ τοῖς φύλλοις. ἐξαγριοῦσθαι δὲ ἐξερημουμένη, τῷ καταξηραίνεσθαι καὶ μᾶλλον ἀτροφεῖν, οὐκ ἄλογον. ἀλλὰ περὶ μὲν τούτων, ἐν ἄλλοις διὰ πλειόνων εἴρηται· καὶ ὅτι δὲ καὶ τὰ περὶ τὰ ζῷα κατὰ μὲν τὰς γενέσεις τοιοῦτόν τι συμβαίνει· τελειωθεισῶν δὲ τῶν νοσσιῶν οὐκέτι, πλὴν εἴ τις τὰς κατὰ τοὺς ὄρνιθας ἀλλοιώσεις, ἅμα τοῖς γινομένοις ὁρᾶν λέγοι. φαίνονται δὲ αὗταί γε πάθεσι μᾶλλον ὅμοιαι σωματικοῖς, ἢ μεταβολαῖς.

Τῶν δὲ ἄλλων τῶν περὶ τὰ σπέρματα μάλιστα πόρρω, εἴπερ ἀληθὲς τὸ παρὰ μέρος, καὶ μὴ ἅμα γεννᾶν ἔνια· καθάπερ ἐπί τε τοῦ αἰγίλωπος λέγεται, καὶ τοῦ λωτοῦ, καὶ τοῦ βολβοῦ. τοῦτο δ' οἱ μὲν φασὶν εἶναι ψεῦδος. ἀλλ' ἐκ τῆς ῥίζης βλαστανόντων τῶν ὕστερον ἔτι, οὐκ ἐκ τοῦ σπέρματος ἀναπολαμβανόντων. οἱ δ' ὡς ἀληθῶς διαδικοῦνται, σημεῖα φέροντες, ἄλλοι γε καὶ οἱ ἐκκλῶντες τὸν αἰγίλωπα, διότι εἰς τὸν ἀργὸν ποιοῦσιν· ὅπως ἀμφότερα τὰ σπέρματα ἐκβλαστήσῃ, συνεμπλησθῇ τε καὶ ἐκθερισθῇ τὸ ὅλον ὁ καρπός. ἔχει δέ τινα καὶ ἄλλως ἀπορίαν ἡ παρ' ἔτος βλάστησις· καὶ εἴπερ συνεχὲς ὂν, καὶ διῄρουν, ὥσπερ φαίνεται, καὶ ἅμα πίπτον, τὸ μὲν ἀλλοιοῦται καὶ διαβλαστάνει, τὸ δ' ἀπαθὲς διαμένει παρὰ τὸν ἐνιαυτόν. ὅσῳ γὰρ ἀσθενέστερον τὸ ἔλαττον, ὃ δή φασι διαμένειν, τοσούτῳ καὶ εὐπαθέστερον ἐχρῆν εἶναι καὶ εἰς τὴν διαβλάστησιν, καὶ εἰς τὴν ὅλην φθοράν. ἀνάγκη δὲ δῆλον ὅτι, καὶ ὅταν ἐκβλαστήσῃ θάτερον χωρίζεσθαι. μὴ γὰρ χωρισθὲν, καὶ εἰ μὴ γίνεται συμπαθὲς ἀλλ' ἐξαιρουμένων γε τῶν ῥιζῶν, συναίροιτ' ἄν, πολλάκις δὲ τοῦτο δρῶσιν οἱ γεωργοί. καὶ οὔ φασι φθείρειν. τὸ δὲ διαρκεῖν ἀπαθὲς ἐν τῇ γῇ, μέχρι μὲν τῆς οἰκείας ὥρας εἰς τὴν ἔκφυσιν, εὔλογόν τε καὶ ἐπὶ πολλῶν γινόμενον. τὸ δ' ὅλον ἐνιαυτὸν ἐπέχειν, ἤδη θαυμασιώτερον· ἀλλὰ μὴν καὶ τὸ μὲν τέλειον, τὸ δὲ ἀτελὲς αὐτῶν εἶναι. τελειοῦσθαι γὰρ ὑπὸ τὸν ἐνιαυτὸν, ἄλογον. οὔτε γὰρ ἀσθενὲς, ἀλλ' ἰσχυρὸν ὁ αἰγίλωψ, ὥστε ἐκτελεῖν δύνασθαι πλείω. καὶ ἅμα δὲ καὶ τὸ ἀσθενέστερον τοῦτο δρᾷ. ἔτι αὖ τελείωσις ἡ κατὰ φύσιν οἰκειοτάτη, τάχα δὲ καὶ μόνη. τροφὴν γὰρ τότε λαμβάνει τὴν αὑτοῦ. διὰ δὲ τῆς τροφῆς, ἡ αὔξησις καὶ τὸ τέλειον. χωρισθὲν δὲ, ἤτοι φθάρεται πάμπαν, ἢ ἀναυξὲς καὶ ἀνεπίδοτον. τὸ δ' αὖ πολυχρόνιον εἶναι, καὶ ἐπὶ βρόμου καὶ τῆς ζειᾶς συμβέβηκεν. ὥστε χρὴ καὶ ταῦτα διαμένειν ἀπαθῆ. τὰ μὲν οὖν ἀπορούμενα, σχεδὸν ταῦτ' ἐστίν. ἀλλὰ μὴν εἰ δεῖ λέγειν τὴν αἰτίαν, ἐκείνην ἄν τις ἴσως μάλιστα εἴποι τὴν φάσκουσαν, μὴ τελειοῦν ἄμφω πρὸς τὰ φύσιμα ποιεῖν· ἀλλ' ὅμοιόν τι συμβαίνει καὶ τῶν ᾠοτόκων, καὶ τῶν σκληροτάτων ἐστί. τὰ γὰρ ᾠὰ ἀποτικτόμενα τρέφεται καὶ ἐκτελειοῦται, τὰ μὲν ἐν τῷ ὕδατι καὶ τῇ θαλάττῃ, τὰ δὲ ἐν τῇ γῇ καὶ τῷ ἀέρι. καὶ ταῦτα δεχόμενα ζωοποιεῖ· τὰ δὲ φύσαντα καὶ ἐκτεκόντα, ἐξαδυνατεῖ; φαίνεται δὲ τοῦτό γε καὶ ἄλλως ἀληθὲς, ὡς οὐκ εὐθὺς ἀλοηθέντα τὰ σπέρματα βελτίω τῶν χρονισθέντων, οὐδὲ τὰ νέα τῶν ἔνων, ὥσπερ εἴπομεν, ἀλλὰ δεῖ τινα λαβεῖν ἐν ἑαυτοῖς οἷον πέψιν καὶ δύναμιν, ἀποπνεύσαντος τοῦ ἀλλοτρίου. τί οὖν (ἴσως ἄν τις φαίη) κωλύει, καὶ ἐπὶ τῶν ἀπορουμένων τοιοῦτόν τι συμβαίνειν, ὥστε καὶ τελείωσιν λαμβάνειν καὶ δύναμιν, ἐκπεττόμενα ὥσπερ τῇ θερμότητι τῇ τε ἐν ἑαυτοῖς καὶ τῇ περιεχούσῃ, ἢ τοῦτο παράλογον, ὡς μᾶλλον ἐν τῇ γῇ κα-

τακλειόμενα

θαι τὴν αἶραν, ὃ καὶ καθ' αὑτὴν φαίνεται ποιοῦσα, μὴ σπαρέντων πυρῶν ἢ κριθῶν ἐν ταῖς ἐπομβροτέραις χώραις. αἱ μὲν οὖν ἔνιαι πίστεις αὗται δοκοῦσιν ἐλέγχεσθαι τοῖς ἔργοις. πολλοὶ γάρ, ὥς φασι, σπείροντες πυροὺς ἢ κριθὰς, ἐθέρισαν αἴρας. τὴν δὲ ἐξέτασιν καὶ τὴν μεταβολὴν, θάτερα μὲν ἂν ἀμφοτέρως γίνεσθαι, καὶ τοῦ σπέρματος ἀλλοιουμένου καὶ τῶν ῥιζῶν. ἡ γὰρ ἐν τῇ χλόῃ μεταβολὴ, διὰ ἐκείνας. συμφυεῖς δ' οὔσας, οὐκ ἄλογον συμπάσχειν. ἐπεί τοίγε σπέρμα διαφθαρὲν, οὐ φύσιμον ὅλως ἦν. τοῦτο μὲν κοινόν· οὐδὲ γὰρ ῥίζαι φθαρεῖσαι τρέφοιεν ἄν. τὴν δὲ τοῦ σπέρματος φθορὰν, οὐδεμίαν τῶν εἰρημένων ὑπολειπτέον σῆψιν ἢ γαλάκτωσιν, ἀλλ' ἑτέραν, ἣ γίνεται διὰ πλῆθος τῆς τροφῆς ἐκτηκομένου. αὕτη δὲ τὸ μὲν ὅλον οὐκ ἀπόλλυσι, μεθίστησι δὲ εἰς ἕτερον ἐπικρατοῦσά πως τῆς ἀρχῆς. τὸ δὲ συμβαῖνον ὅμοιον, τρόπον τινὰ καὶ ἐπὶ τῶν ζώων, ὡς κατ' ἀναλογίαν ἡ τὸ θηλυκρατοῦσα τοῦ ἄρρενος, ἢ ἔτι μᾶλλον ἐναλλαγὴ γίνεται πρὸς τὴν παρὰ φύσιν. δεῖ γὰρ δὴ τὴν γῆν ὥσπερ τὸ θῆλυ νοῆσαι, καὶ τὸ ἀνάλογον οὕτω λαμβάνειν. ὅταν οὖν ἐκ ταύτης ἡ τροφὴ πλείων γίνεται διὰ τὰς ἐπομβρίας, τότε τὴν ἔκστασιν συμβαίνειν, οὐ φθείρουσαν μὲν ὅλως τὴν γεννητικὴν δύναμιν, ἐξαλλοιοῦσαν δὲ εἰς ἑτέραν. εὐλόγως δὲ τῆς φύσεως οὔσης (εὐζωότερα γὰρ πολὺ τὰ τῶν ζώων) εὔλογον, καὶ διὰ μόνων μᾶλλον ταύτην· ἐπεὶ καὶ ἄνευ σπερματικῆς ἀρχῆς αὐτόματα πολλὰ συνίσταται, καὶ ἐκ τῶν ἐλαττόνων καὶ τῶν μειζόνων φυτῶν. ὅθεν καὶ τοῦτ' ἂν εἴη φανερόν, εἴ τις ἀκολουθήσει τῇ ἀναλογίᾳ, διότι τῇ τῶν σπερμάτων ἀλλοιώσει, καὶ οὐ τῇ τῆς χλόης μεταβολῇ. καὶ γὰρ ἐπὶ τῶν ζώων οὕτω γίνεται, καὶ ἅμα δὲ τότε ἀσθενέστατον, ὅταν ἐν μεταβολῇ τυγχάνῃ τῇ περὶ τὴν βλάστησιν. ἤδη δ' ἐκβεβλαστηκὸς καὶ ἐρριζωμένον, ὥσπερ γέγονε. τοῦτο δὲ καὶ μένουσι εἰς αὔξησιν καὶ τροφήν, ἢ καὶ τὴν ὅλην φθοράν, οὐκ εἰς μεταβολήν. ἔτι δὲ καί φασιν οἱ ἔμπειροι, φανερὸν εὐθὺς εἶναι τὸ φύλλον ἀνατέλλον τῆς αἴρας, λιπαρώτερον ὂν καὶ ποωδέστερον, καὶ στενώτερον, καὶ οὐχ ὕστερον τοιοῦτο γινόμενον. ἐκ μὲν οὖν τούτων δόξειεν ἂν τοῖς σπέρμασιν. οὐ μὴν οὐδὲ θάτερον ἀδύνατον, οὐδ' ἄλογον, ὥστε ἐν τῇ χλόῃ μεταβάλλειν ἀλλοιουμένων τῶν ῥιζῶν. τοῦτο γὰρ ἀνάγκη συμβαίνειν ὥσπερ τῶν δένδρων, ὅσα μεταβάλλει ταῖς θεραπείαις τοὺς καρποὺς ἐξ ὀξέων καὶ πικρῶν εἰς γλυκεῖς καὶ ποτίμους, ἢ ἐκ πολυπυρήνων ἀπυρήνους, ἡ δ' αἰτία τῆς μεταβολῆς ὁμοίως καὶ ταύτης πλῆθος τροφῆς, ὅταν ἐπομβρίαι γένωνται· καὶ ὥς γε δή τινές φασι, μάλιστα τοῦ ἦρος, ἐὰν ἥλιοι συνεπιλάμψωσιν, ὡς ἐξ ἀμφοῖν γινομένης τῆς μεταστάσεως. ἐνιαχοῦ γὰρ ἔν τισι τόποις ἐλώδεσιν ὅλως τοῦτο συμβαίνει. καὶ τότε φύλλον μεταβάλλει, ὥστε πᾶσιν εἶναι φανερόν. ἐὰν δὲ τὰ ἐαρινὰ μὴ γίνηται, πολὺ γίνεσθαι πυρῶν πλῆθος. ὥστε τοῦτο μὲν οὐδετέρως ἄλογον. εἰ δὲ καὶ ἀμφοτέροις συμβαίνει, τάχ' ἂν οὐδ' ἄτοπον εἴη, διαφορὰν δέ τινα εἶναι, ὡς αἶραι δεῖν καὶ τῶν ἐπαφῶν καὶ τοῦ ἀέρος. ἐπεὶ καὶ σπαρέντων εὐθὺς μεγάλη βλάβη πολυυδρείαν ἐπιγίνεσθαι. συμβαίνει γὰρ ἀσθενεστέρας εἶναι τὰς ῥίζας. τὸ δ' ἀσθενὲς, † ἀπαθέστερον. ἡ μὲν οὖν ἐξαλλαγὴ, διὰ τοῦτ' ἂν εἴη. τὸ δὲ, μόνα ταῦτα πάσχειν, ἔτι δ' ἰσχυρότατα δοκοῦντ' εἶναι (καὶ γὰρ ἡ ζειὰ ἰσχυρόν) μιᾷ τινι λύοιτ' ἂν αἰτίᾳ, τῇ τοιαύτῃ. διὰ γὰρ τὸ πολυρριζότατα καὶ ἰσχυρότατα εἶναι, πλείστην ἔχοντα ὑπομένει. τὰ δ' ἄλλα, φθείρεται τελείως. ἔτι δ' ἡ ὥρα καθ' ἣν ὁ σπόρος, ἐπομβροτέρα, καὶ πλείω χρόνον ἐν τῇ γῇ γίνεται. τὰ δὲ πρὸς τὸ ἔαρ, καὶ διαγελῶντος ἤδη τοῦ ἀέρος, ἐν εὐκρασίᾳ μᾶλλον, καὶ εὐθὺς εἰς τὴν βλάστησιν ἡ ἀναδρομή. διὸ καὶ οὐδέτερον οὐδὲν ἐκ τῆς διαφορᾶς αὐτῶν, ἂν ποτε διαφθαρῇ, γίνεται. τὸ μὲν γὰρ καὶ τὴν αἶραν ἀξιοῦν, ἄτοπον. εἰς γὰρ τὸ σύνεγγυς καὶ ὁμογενές πως αἱ μεταβολαί. τὸ δὲ μηδὲ εἰς ἕτερον, μηδ' εἰς ἀσθένειαν ἀκτέον, ὡς ὅλως φθειρομένων, ἀλλὰ τοῖς ὁμοιοπύροις ἂν εἴη καὶ ὁμοιοειδέσι μᾶλλον εἰς σεῖραν. τούτων δὲ τὰ μὲν ὅλως οὐχ ὑπομένει διὰ τὴν ἀσθένειαν, ὥσπερ ἡ τίφη. τὰ δὲ εἰς τὸ συγγενὲς μᾶλλον μεταβάλλει, καθάπερ ἡ ζειὰ πρὸς τὸν βρόμον. ὁ δὲ πυρὸς εἰς τίφην οὐ μεταβάλλει καὶ ζειὰν ἐξαμβλούμενος· ὅτι πλείων ἡ τροφὴ, καὶ ἰσχυροτέρα, δι' ἣν συμβαίνει. τοιαύτη δ' οὖσα. οὐκ ἂν ἐκθηλύνειεν, οὐδὲ εἰς τὸ σφοδρότερον ἀγάγοι, καὶ ὅλως ἐκστάσει τοῦ γένους. ἐπεὶ μᾶλλον ἄν τις εὐλόγως θαυμάσειεν, ὅτι οὐκ εἰς τὸν ἄγριον πυρὸν, ὥσπερ καὶ ἄλλα. τυγχάνει δὲ καὶ τούτου παραπλησία τις ἡ αἰτία· μετακινεῖ γὰρ ἁπλῶς ἡ φύσις. ἄτοπον δὲ καὶ λόγου δεόμενον, εἰ καὶ τὸ λινὸν ἐξαιροῦνται. μεγάλη γὰρ ἡ διάστασις, εἰ μὴ ἄρα καὶ τοῦτο τῆς τροφῆς ἀλλόν. φι-

λεῖ γὰρ

ἴσως ἄνευ ἀπὸ τῶν ἀρχῶν ἔρχεται δεύτερα. φαίνεται δὲ τοῦτο καὶ ἐφ' ἑτέρων συμβαίνειν

εὐπαθέστερον

σύνεγγυς

5ον

λέωσις γὰρ τις ἡ ἐκκαύλησις, ὥσπερ ὁ καρπὸς τέλος, οὐκ ἄλογον. δεύτερα δὲ ἡ ἐκ τῶν πα-
λαιοτέρων· καὶ γὰρ ἐκ τούτων οἷον καθαρωτέρα τις καὶ πλείων ἡ δύναμις. ἐν δὲ τοῖς νέοις
ἀναμεμιγμένη, καὶ τὸ πλέον εἰς τὴν τροφὴν ἄγουσα, καθάπερ ἐν τοῖς ἄλλοις. αἰεὶ γὰρ ὀψιαίτερα
τὰ πολύτροφα. διὸ καὶ εἰ μὴ τὰ ἀπὸ τῶν ἀκμαζόντων ἐκκαυλεῖ πρῶτα, ἀλλὰ τὰ ἀπὸ τῶν πα-
λαιοτέρων, οὐκ ἄλογον. περὶ οὗ δὴ καὶ ἀντιλέγουσί τινες. ἐκκαυλεῖν γάρ φασι τὰ ἀσθενέστε-
ρα μᾶλλον, ὥσπερ ἐπὶ τῶν λαχάνων. αἴτιον δὲ, ὅτι δυναμικώτερά τε καὶ ἐλάττω τροφὴν ἔχοντα
τελειοῖ. τὸ δὲ ἐκκαυλεῖν, ὥσπερ τελείωσιν. διὸ καὶ τῶν δένδρων τὰ πρεσβύτερα, θᾶττον
τίκτει καὶ μᾶλλον τοὺς καρπούς· τὰ δὲ ἐν ἀκμῇ, πλείους μὲν καὶ καλλίους ἔχει, βραδύτερον
δέ. φαίνεται δ' οὖν εἶναι τοῦτ' ἀληθὲς, ὅτι ταχυγονώτερα τὰ παλαιότερα. μεμίχθαι γάρ τι
ἐν τοῖς σπέρμασι δοκεῖ, οἷον ὕλη καὶ τροφὴ ταῖς ἀρχαῖς, ἣν δεῖ προκατεργασθῆναι πρότερον
ἢ εἰς τὴν βλάστησιν ἐλθεῖν. εἴη δ' ἂν κἀκεῖνα λέγειν πρός γε τὸ καυλεῖν, ὡς ἧττον ῥιζουμένων
τῶν παλαιῶν. εἰς δὲ τὸ ἀνώμαλον φερόμενον, ταχεῖαν ποιεῖ τὴν τελείωσιν· ὥσπερ σχεδὸν
καὶ ἐπὶ τῶν ὀλιγοχρονίων πάντων ἐστί. καθάπερ καὶ ἐπὶ τῶν τριμήνων λέγεται. τοὺς δὲ χρόνους
δηλονότι καὶ τὰς ἀκμὰς, κατὰ τὰς φύσεις ἑκάστων ληπτέον. ἀλλὰ γὰρ ταῦτα μὲν ὁμοιό-
τητά τινα ἔχει. τὰ δ' ἴδια καθ' ἕκαστον γένος αὐτὰ καθ' αὑτὰ λέγουσιν ἐπὶ πλέον. ῥη-
τέον δὲ τοῖς τῶν δένδρων καὶ πρὸς αὐτὰ καὶ πρὸς τὰ ἄλλα θεωροῦσιν. Ἄτοπον δ' ἂν δό- 4
ξαι, καὶ ἅμα θαυμαστὸν, εἰ ἀπὸ τῶν ἀπλῶν ἔνια γεννᾷ· καὶ ταῦτα, δένδρων φύσεις μεγάλας
οὕτως· οἷον, ἰτέας καὶ πτελέας. ἀπλεὲς γὰρ τὸ ὠμόν. ἆρ' οὖν ὥσπερ τοῦτ' ἀληθὲς, διαιρετέον
τὴν τελειότητα, τὴν τε πρὸς ἡμᾶς, καὶ πρὸς τὴν γένεσιν. ἡ μὲν γὰρ πρὸς τροφὴν, ἡ δὲ πρὸς
δύναμιν τοῦ γεννᾶν. ἔνια δὲ ἄτροφα· γεννητικὰ δὲ τὰ δ' ἴσως ἀνάπαλιν. τάχα δ' ἐκείνη.
πρὸς δὲ τὰ νῦν ἡ διαίρεσις, ὅτι τὴν πέψιν τιθέμεθα χρώμασι καὶ χυλοῖς καὶ πυκνότητι καὶ τα
ἀν τοῖς τοιούτοις. ἐπεί τοί γ' ἐνδόσιμον ὑπάρχει καὶ τοῖς τῶν παλαιῶν, καὶ ἄλλοις. ἀλλ' οὐ τοῦτο κύ-
ριον, ἀλλὰ τὸ γεννᾶν. ἑκάστου γὰρ τὸ ἔργον κρίνεται, καὶ ταῦτα μὲν ὡς πρὸς ὑπόθεσιν.
Ἐκεῖνο δὲ ἀτοπώτατον, εἰ τελειούμενα γένους τινὸς, ἄγονα γίνεται τὸ ὅλον, καί τι ἀπὸ 5
σπέρματος γινομένου τοῦ δένδρου καθάπερ ἐπὶ τῆς κυπαρίττου. τὸ γὰρ ἄρρεν γένος ὅλως ἄ-
γονον, πολλὰ δὲ καὶ τῶν θηλειῶν. ἐπεί τοί γε μὴ καρποφορεῖν ἔνια τῶν ὁμογενῶν, ἧττον ἄτο-
πον. καὶ πάλιν ἐπὶ τῶν σπερμάτων, αὐτὸ πεφυκὸς ἄγονον. ἀλλ' ἴσως τοῦτό γε καὶ ἀναγ-
καῖον. τὸ δὲ μηδὲν ὅλως γόνιμον, ὥσπερ ἐλέγχει τὴν φύσιν, ὅτι καὶ ματαίαν· ὃ καὶ ἡμῖν ὑπεν-
αντίον πρὸς τὰ πρότερον. καὶ τὰ μὲν τῆς πτελέας ἀμφισβητούμενα, καὶ τῆς ἰτέας. ὁ δ' ἰεα-
νὸς ὁμολογουμένως γεννᾷ, καὶ ἄπεπτον εἰς τὴν ἡμετέραν τροφήν. γεννᾷ δὲ καὶ τὸ τοῦ θύ-
μου ἄνθος, καὶ ἄλλων, ὃ πρὸς τὴν ἡμετέραν αἴσθησιν ἀφανές. τὸ δ' ἄνθος μόνον φανερόν. ἀλ-
λὰ τὰ μὲν τῶν δένδρων ἢ ὅλως τε, καὶ ἄλλας ἴσως ἀπορίας ἔχει. καὶ γὰρ τὸ περὶ τοὺς φοίνι-
κας, ἄτοπον, καὶ λόγου δεόμενον. καὶ τὸ οὕτως ἀμβλωθρὰ τινῶν εἶναι τὰ σπέρματα, καθά-
περ καὶ τῆς κυπαρίττου. τὰ γὰρ τοιαῦτα δίδωσί τινα ἔννοιαν, καὶ ὑπὲρ τοῦ μὴ ἔχειν ἔνια
τροφὴν πρὸς ἑαυτοῖς. πλὴν ἴσως ἄλλοις ἄλλα καὶ ὕλη καὶ τροφή· καὶ ἱκανόν τισιν, οὐκ ἔχει ἄλλη
τὸ διατηρεῖσθαι. ὑπὲρ δὲ τῶν σιτηρῶν, καὶ ὅλως τῶν ἐπετείων, αἱ μὲν τοιαῦται διαφοραὶ
ῥᾴους· οἷον, αἱ κατὰ τὰς βλαστήσεις, καὶ τελειώσεις, καὶ τὰ λοιπὰ πάθη τὰ συμβαίνοντα
τοῖς τοιούτοις. Περὶ δὲ τῆς ἐξαλλαγῆς εἰς ἕτερον γένος, ὥσπερ ἐκ πυρῶν εἰς αἴρας, καὶ 6
εἰ δὴ πάλιν τῶν αἰρῶν εἰς πυρούς, καὶ τῶν ζειῶν εἰς βρόμον, ἄτοπον εἰ καί τι συμβαί-
νον ἐστὶ τῷ ἰδίῳ. μόνα γὰρ δὴ ταῦτα μεταβάλλει τῶν σπερμάτων φύσεις ὡς. ὁ γὰρ ἐκ τῆς τί-
φης καὶ τῆς ζειᾶς πυρός, παρασκευῇ πως καὶ τέχνῃ, καθάπερ οἱ τὰ σπέρματα προβρέχοντες
εἰς τὴν γλύκανσιν. ἄτοπον δὲ, πρὸς τὰ μόνα καὶ ὅτι ἰσχυρότερα δοκοῦντα τῶν χεδροπῶν εἶναι.
τὸ γὰρ ἀσθενὲς, εὐφθαρτότερον. φθορὰ δέ τις ἡ ἔκστασις, καὶ μᾶλλον πυρὸς ἢ κριθὴ ἰσχυρότε-
ρον. ἔτι δὲ τὰ μὲν ἰσχυρότερα, εἰς τὸ ἀσθενέστερον μεταβάλλει. ἡ δὲ αἶρα, καὶ πυροῦ καὶ κριθῆς
ἰσχυρότερον. ὥσθ' ἅμα συμβαίνει, καὶ τὸ παρὰ φύσιν τοῦ κατὰ φύσιν ἰσχυρότερον. ἡ δὲ δια-
φθορὰ καὶ ἡ μεταβολὴ δυοῖν θάτερον, ἢ ἐν τοῖς σπέρμασιν, ἢ ἐν τῇ χλόῃ. σπέρματος
μὲν οὖν γαλάκτωσις, σῆψις, ὅλως διάχυσις· ὧν οὐδὲν φύσει. μόνη δὲ χλόη ῥιζωθέντων
ἤδη. τὰς δὲ ῥίζας μεταβάλλειν, ἄτοπον. ὅθεν δὴ τοῖς τοιούτοις περιπεπεισμένοι τινὲς ὡς ἀ-
λόγοις, ὅλως οὐδὲ γίνεσθαί φασι τὴν ἔκστασιν, ἀλλ' ὑπὸ ὀμβρίας φύεσθαι καὶ συνίσα-
σθαι τὴν

ὂν ἐπὶ τῇ βλαστήσει, ἐν τούτοις ἂν εἴη. πρὸς δὲ τὴν ἔξω διαμονὴν φυτευομένων, ἄλλοις μὲν ἄλλως συμβαίνει ἐπὶ τοὺς χρόνους.

2 Οὐ μὴν ἀλλ' οὐδ' ἄλογον, ἔνια πρότερον τῶν δενδρικῶν εἶναι τὴν φθορὰν· οἷον ὅσα ἐν περικαρπίοις ἐστὶ σαρκώδεσιν, οἷον ὅταν χωρισθῇ ἡ σάρξ. γυμνὸν γὰρ, ἀναξηραίνεται καὶ θνήσκει. τὰ δὲ ἐν δερματικοῖς, καὶ μὴ χωριζόμενα· καὶ γὰρ ὑγρότερα, καὶ παρεισδέχεται τὸν ἀέρα. μάλιστα δὲ διαμένει τὰ ἐν ξυλώδεσι, καὶ τούτων ὅσα πυκνόν τι τὸ κέλυφος ἔχει, καὶ αὐτὰ λιπαρά· καθάπερ τὰ κάρυα τὰ ἡρακλεωτικά. πλὴν ἐκπικροῦται. τὰ δ' ἀμύγδαλα ἐλάττω χρόνον. ἐλάχιστον δὲ τὰ βασιλικὰ μόνον· μανότατον γὰρ τὸ πέριξ, καὶ ἥκιστα συμφυές. διαμένει δὲ καὶ τὸ τῆς ἐλαίας, καὶ εἴ τι ἄλλο τοιοῦτον. τῶν δ' ἐν σαρκώδεσι περικαρπίοις, χρονιώτατον τὸ τοῦ φοίνικος, ἅτε ξηρότατον ὂν καὶ πυκνόν. τὰ μὲν οὖν τῶν δένδρων, διὰ ταύτας τὰς αἰτίας, τὰ μὲν μᾶλλον, τὰ δ' ἧττον διαμένει. σχεδὸν δὲ καὶ τὰ τῶν σιτωδῶν διὰ παραπλησίας αἰτίας. ἢ γὰρ τῷ περιέχεσθαι πλείοσι χιτῶσιν ἢ διαμένει, καθάπερ ὁ κέγχρος· ἢ τῷ λίπος ἔχειν, ὥσπερ τὸ σήσαμον· ἢ τῷ δριμύτητά τινα καὶ πικρότατα χυλὸν, καθάπερ ὁ θέρμος. καὶ ὁ ἐρέβινθος. ἀλλ' ὅγε ἐρέβινθος μέλας γίνεται διαφθειρόμενος. ὁ δὲ πυρὸς, μᾶλλον τῆς κριθῆς καὶ τῶν χεδροπῶν, διὰ τὸ θερμότερον εἶναι, καὶ χιτῶνας ἔχειν πλείους. ἡ γὰρ αὖ κριθὴ, καθάπερ γυμνόν. τὰ δὲ χεδροπὰ, παχέα μὲν τοῖς κελύφεσιν· ἀλλὰ μανὰ καὶ γλυκύτητά τινα ἔχοντα φαίνεται. οὐχ ἥκιστα δ' αἰτία ταῦτα τῆς φθορᾶς. διὸ καὶ ὁ κύαμος καὶ ὁ ὦχρος τάχιστα κόπτεται. τάχα δ' ἀληθέστατον εἰπεῖν, ὡς ἐπὶ τὰς χώρας. ἐν Ἀπολλωνίᾳ γοῦν τῇ πρὸς τὸν Ἰόνιον, πολλά φασιν ἔτη διαμένειν τοὺς κυάμους πολλὰ δὲ καὶ περὶ Κύζικον. ἀλλὰ περὶ μὲν τῆς τούτων διαμονῆς, καὶ τὸ ὅλον τῆς φύσεως, τάχ' ἂν ἐν τοῖς ὕστερον ἐπὶ πλέον ῥηθείη. πρὸς δὲ τὰ τῶν δένδρων συγκρινόμενα, ταύτας ἔχει τὰς διαφοράς.

3 Ἐν δὲ τοῖς τῶν λαχανωδῶν, τὰ μὲν ἄλλα τὴν ὁμοίωσιν ἐκδίδωσι. ῥάφανος γὰρ, καὶ ἀλλ' ἄττα *, δοκεῖ γὰρ ἄλλα τινὰ καὶ ἀγριώτερα. τὰς δ' ἐκφύσεις πλεῖον ἀλλήλων, ὅτι ταῦτα παραλλάττει τῶν σιτηρῶν. τὰ μὲν γὰρ τριταῖα διαβλαστάνει, καθάπερ ὤκιμον, σίκυος, κολοκύντη· τὰ δὲ πεμπταῖα, ἢ ἑκταῖα. τὰ δὲ πεντεκαιδεκαταῖα, καθάπερ τεῦτλον. τὸ δὲ σέλινον τεσσαρακοσταῖον, ἐνιαχοῦ δὲ πεντηκοσταῖον· δυσφυέστατον γὰρ τῶν πάντων. δυσφυὲς δὲ καὶ τὸ ῥιανόν· οὐ γὰρ βλαστάνει, μὴ βρεχθέν. αἰτία δ' ἡ σκληρότης· ὥσπερ γὰρ ξυλῶδές ἐστι τὸ περιέχον. ἡ δὲ τῶν τεύτλων ἀνωμαλία, τῷ τὰ μὲν ὕστερον μιᾷ ἐπιβλαστάνειν, τὰ δὲ δυοῖν, τὰ δὲ πλείοσι, τὰ δὲ καὶ ἐνιαυτῷ· σημαίνειν δὲ ἔοικε τῶν σπερμάτων αὐτῶν ἑτερομορφότητά τινα πρὸς τὴν βλάστησιν. τὰ δὲ θερινὰ σπειρόμενα, δῆλον ὡς διὰ θέρμην· διὸ ταχύ τε παραγίνεται, καὶ ταύτην τὴν ὥραν φύεται, φέρειν οὐ δυνάμενα τὸν χειμῶνα τὰ μὴ ὄντα ξηρὰ, καθάπερ καὶ τὸ ὤκιμον· τὰ δ' ὑγρὰ καὶ ψυχρὰ, καθάπερ ὁ σίκυος καὶ ἡ ἀνδράχνη. θαυμαστὸν δ' ἂν δόξειε τὸ τοῦ ἀβροτόνου μάλιστα, διότι θερμὸν ὂν τὴν ἀλέαν διώκει· αἰτία δ' ἡ ἀσθένεια. πρὸς ἄμφω γὰρ ἀσθενεῖ, καὶ πρὸς τοὺς χειμῶνας καὶ πρὸς τὰ καύματα. τὸ δ' ὅλον, οὐκ ἔοικεν ἡ θερμότης μάλιστα εὐβλαστεῖν. ἅπερ θερμὰ, τὰ δριμέα. καὶ γὰρ τὸ πράσον, καὶ τὸ γήτειον, καὶ ἔτι μᾶλλον ἡ θύμβρα, καὶ ἡ ὀρίγανος, δυσβλαστῆ. δεῖ γὰρ ἔχειν τινὰ ὑγρότητα, καὶ οὐχ ἧττον, ἀλλὰ μᾶλλον ἴσως εὐκρασίαν τὸ εὔβλαστες, πρὸς τὸ ποιεῖν καὶ πάσχειν. ὅλως δ' ὡς ἐν γένει λαβεῖν, ξηρότητα τῶν σπερμάτων τὰ στεφανωματικὰ, καὶ τὰ τῶν λαχάνων ἔχει· ὅθεν καὶ τάχιστα τὰς ἰκμάδας ἕλκει. διὸ καὶ κρεμαννύουσιν αὐτὰ, καὶ οὐ ῥαίνουσι τὰ οἰκήματα, οὐδ' ὕλην εἰσφέρουσιν ἁπλῶς. ἡ δὲ διαμονὴ θησαυριζομένων, πρός τε τοὺς ἀέρας, καὶ πρὸς τὰς ἄλλας χώρας, παραπλήσια καὶ τοῖς σιτηροῖς γόνιμα μένει εἰς τὴν τριετίαν μάλιστα. χρήσιμα δὲ πρὸς τἄλλα πλείω χρόνον, ὥσπερ ὁ σῖτος εἰς τροφήν. καὶ τοῦτο δὲ κατὰ λόγον, ὥσπερ καὶ τοῖς ζώοις πρότερον ἀπολιπεῖν τὴν τῆς γονῆς. καὶ γὰρ ἐν τούτοις ἡ ἀρχὴ τοῦ γονίμου, ὅπερ ἄν τις ὡς πέρας θείη· τὸ δὲ λοιπὸν, ὡς τροφὴν καὶ ὕλην περιεστημένην. ἀλλὰ τὸ ὅλον καλεῖται σπέρμα. διὸ καὶ ζῆν αὐτά φασι, καὶ μὴ ζῆν, ὅταν διαμένῃ ταύτῃ, ἢ φθαρῇ, καθάπερ καὶ † τὰ ἴα. συμβαίνει δὲ τοῦτο καὶ τοῖς βαλανώδεσι, καὶ τοῖς ἄλλοις. εἰς βλάστησιν δὲ τὰ ἔνια τῶν νέων οὐκ ἄλογον εἶναι βελτίω, ξυνεστηκότα τε καὶ οἷον αὐτὰ αὑτῶν ὄντα μᾶλλον. πρόσεισι γάρ τις καὶ τούτων πέψις, ἀποπνεύσαντος τοῦ ἀλλοτρίου, χρονιζομένου δὲ, πάλιν γῆρας καὶ φθίσις. περὶ δὲ τοῦ ἐκκαυλεῖν, τάχιστα μὲν τὰ ἀπὸ τῶν ἀκμαζόντων, ὡς ἰσχυροτάτων. τε-

λείως

[Margin notes: καὶ — ἀνδράχνη — κρεμ — † τὰ ὠά]

φύειν, οὐδ' ἥλιος περιλαμβάνειν· ἀλλὰ ψύχει γίνεσθαι, καὶ περιτρέφειν, ὅπως μὴ περιλαβόμενον τὸ ὕδωρ περιλαβὼν ὁ ἥλιος ἐρυσιβώσῃ, ψιλὴν ποιήσας. διὸ καὶ αἱ ἀροσβόλοι χῶραι, καὶ ἔγκοιλοι, καὶ ἀπνεύματοι, μάλιστα ἐρυσιβῶδεις.

ΘΕΟΦΡΑΣΤΟΥ ΠΕΡΙ ΦΥΤΩΝ
ΑἸΤΙΩ͂Ν ΤΌ Δ'.

ΕΠΕὶ δὲ πλείους αἱ γενέσεις τῶν φυτῶν, τούτων δὲ κυριωτάτη ἡ ἀπὸ σπέρματος, ἣ ὅσα ἔχει σπέρμα καὶ καρπόν, ἀπορήσειεν ἄν τις, διὰ τί ποτε οὐκ ἀνάλογον ἡ ἰσχὺς ἑκάστη ἐστὶ τῶν σπερμάτων, ἀλλ' ἀσθενέστερα τῶν ἰσχυροτέρων· οἷον, τὰ τῶν δένδρων, τῶν ἐπετείων. ἀμφοτέρως γὰρ φαίνεται τὸ ὁμολογούμενον, καὶ εἰ ἐκ τῶν ἀσθενεστέρων σπερμάτων ἰσχυρότερα γινόμενα. τὰ γὰρ σπέρματα γεννᾷ τὰ δένδρα. τῆς δ' ἀσθενείας καὶ τῆς ἰσχύος ἐκεῖνα σημεῖα. τὰ μὲν γὰρ ἐπέτεια ὅταν σπαρῇ, διαμένει τὰ αὐτά, καὶ ἐξομοιοῖ τοὺς καρπούς. τὰ δὲ τῶν δένδρων μεταβάλλει, καὶ χείρω ποιεῖ. καὶ τὰ μὲν ταχέως ἀποδίδωσι τῇ τελειώσει, τὰ δὲ χρόνιον καὶ βραδεῖαν. καὶ ἀνάπαλιν δὲ λαμβανομένων. ἰσχυρότερα γὰρ ὄντα τὰ δένδρα, βραδύτερον ἐκπέττει τοὺς καρπούς. ἔτι δὲ τὰ μὲν, ἐν κελύφεσι δερματικοῖς καὶ ξυλώδεσιν· οἷον τὸ τῆς ἐλαίας, καὶ τὸ τῆς κοκκυμηλέας, καὶ τὰ τῆς ἀπίου, καὶ ἀμπέλου, καὶ μηλέας. ἔνια δὲ ἐν ξυλώδεσι. τὰ δ' αὐτὰ πάλιν ἐν περικαρπίοις σαρκώδεσι, καὶ ὅλως ὅσα κάρυον ἐντὸς ἔχει τῆς σαρκός· τὰ δὲ τῶν σίτων γυμνά, καὶ μάλιστα τοῦ πυροῦ καὶ τῆς κριθῆς. εἰ δὲ μή, χιτῶσί γε περιέχεται λεπτοῖς. ἀεὶ δὲ τῷ ἀσθενεστέρῳ ἡ φύσις εἰς πλείω τίθεται φυλακήν. αἱ μὲν οὖν ἀπορίαι σχεδὸν αὗται. δεῖ δὲ λαβεῖν πρὸς αὐτὰς ἀρχήν τινα δὲ· τὸ σπέρμα μὴ μόνον ἔχειν δύναμιν τοῦ ποιεῖν, ἀλλὰ καὶ τοῦ πάσχειν. ὅπερ καὶ ἐπὶ πάντων τῶν τῆς φύσεως, ἀληθές. καὶ κατ' αὐτὴν δὲ τὴν γένεσιν ἀμφοῖν εἰς τὴν ἐνέργειαν, καὶ τρόπον τινὰ οὐχ ἧττον ὑπὸ πάσχειν. τότε γὰρ καὶ ἡ ἐν τοῖς σπέρμασι κινεῖται δύναμις, οἷον διαθερμαινομένων. διὸ καὶ οὐ πάντα βλαστάνει κατὰ τὴν αὐτὴν αἰτίαν ἀλλ' ὅταν ἡ αἰτία τοῦ ἀέρος κατάσχῃ κρᾶσις. ὑποκειμένου δὲ τούτου, φανερὸν ὡς οὐκ ἰσχύος, ἀλλ' ἀσθενείας μᾶλλον ἡ ταχυβλαστία. τὸ γὰρ ἀσθενὲς, εὐπαθέστερον εἰς τὸ παθεῖν. ὁ δ' αὐτὸς λόγος καὶ περὶ τῆς τελειώσεως· τὰ ἀσθενέστερα ῥᾷον ἐκτελειοῦσθαι, καὶ τῷ περιέχοντι καὶ ταῖς ἐν αὐταῖς ἀρχαῖς. ὃ καὶ περὶ ζώων ἐστίν. αἰεὶ γὰρ τὰ ἰσχυρότερα, χρονιωτέρας ὡς ἐπίπαν ποιεῖται καὶ τὰς κινήσεις καὶ τὰς τροφάς. ἅμα δ' ὥσπερ, ἐὰν τὰ μὲν αὐτοῦ τοῦ χλωροῦ σπέρματος γεννητικὰ σώματα ᾖ δὲ μικρὸν ὑπόκειται, τὰ δὲ ἐν ὄγκοις μείζοσιν, οἳ καταναλίσκουσι καὶ αὐξάνουσιν εἰς ἑαυτοὺς τὰς τροφάς. ὥσπερ τὰ μὲν ὀλιγόκαρπα, τὰ δὲ ὅλως ἄκαρπα ποιεῖν, ὡς ἐπὶ τῶν ζώων συμβαίνει, τῶν ἐκπαχυνομένων καὶ εὐτροφουμένων. τοῦ μὲν οὖν δεῖ ἧττον ἐκπλεῖον, οὐχ ἡ ἰσχύς, ἀλλὰ ταῦτα τὰ αἴτια· διὸ καὶ πολυγονώτερα. καίτοι τάχ' ἄν τις αἰτιάσαιτο περὶ τοῦ πλήθους, φάσκων πλείω τὰ ἐκ τῶν δένδρων εἶναι· πολλὰ γὰρ ἕκαστον ἔχει τῶν περικαρπίων. τὸ δὲ σιτῶδες ἀφ' ἑνὸς γεγενῆσθαι σπέρματος. ἀλλὰ ταῦτα μὲν τὰ ἐλαφρότερα, καὶ οἷον ἐπιτετμημένα ἂν φανείη. τὸ δὲ μὴ δύνασθαι τηρεῖν τὰ γένη, μηδ' ἐξομοιοῦν, ἐπ' ἀμφοῖν ἂν ἔχοι τὸ αἴτιον· καὶ ὑπὸ πλείονα χρόνον τὰ τῆς γῆς μᾶλλον κατακρατεῖσθαι, καὶ ὑπὸ τοὺς σωματικοὺς ὄγκους ἀποσπᾶν. ὃ γὰρ καὶ τῆς ἀκαρπίας αἴτιον, καὶ τῆς κακοκαρπίας εὔλογος. φανερουμένης δὲ τῆς ὑγρότητος καὶ τῆς εὐτροφίας, μεταβάλλουσι. τὰ δ' ἐπέτεια βραχύν τινα χρόνον ἐν τῇ γῇ γίνεται, καὶ ὀλίγην ἕλκει τροφήν· διὸ καὶ οὐκ ἐξίσταται μιᾷ σπορᾷ τῶν γενῶν, ἀλλὰ τῇ τρίτῃ. τότε γὰρ ποιεῖται τὰς μεταβολάς. ὥσθ' ὅπερ ἐκείνοις διὰ τὸ πλῆθος τῆς τροφῆς εὐθὺς, τοῦτο τοῖς σπέρμασι χρονισθεῖσι κατὰ λόγον· πλὴν ὅτι τὰ μὲν εἰς τὸ χεῖρον ἀεὶ μεταβάλλει, τὰ δὲ καὶ ἐπὶ τὸ βέλτιον, ἐὰν ἡ χώρα τοιάδε ᾖ καὶ ὁ ἀήρ. ἀλλὰ διὰ τοῦτο μὲν ἕτερον, ὡς ἄλλο δ' ὅλως ἐξίσταται γένος τὰ μάλιστα τῶν σπερμάτων, καὶ ἰσχυρότερα, καθάπερ ὁ πυρὸς καὶ ἡ κριθή· μόνα γὰρ ἐξαγριοῦνται. μᾶλλον δ' ὁ πυρὸς, ἰσχυρότερος ὤν. ὥστε καὶ τοῦτο ὁμολογούμενον, τὸ πλείω τροφὴν ἕλκειν. ὁ γὰρ θέρμος, ὥσπερ ἀπέπτωκε τὸ ὅλον, τὰ δὲ

λοιῶ

ἀλλ' ὁ

κεῖν, εἰ καὶ χείριστος οὗτος τῶν σπόρων. ὁ γὰρ ἐν ξηρῷ σπορᾷ γενόμενος, καθ' ὥραν οὗτος οὐκ ἀπόλλυσι τὸ σπέρμα. τὸν δὲ περὶ τροπὰς σπόρον, Κλείδημός φησιν ἀσφαλέστερον εἶναι. λιπαρὰν γὰρ οὖσαν καὶ βαρεῖαν τὴν γῆν, ἀτμιδώδη γίνεσθαι, καὶ μακρὰς ῥίζας καλῶς ὠχυρωμένας. ἔτι δὲ οὐ δύνασθαι τὰς ἀτμίδας ἕλκειν, οὐδὲ διαπέμπειν, ἅτε θερμὸν οὐκ ἔχουσαν ἱκανόν, καὶ ἐπιπολαίως ἔλαττον. ἀλλὰ τὰ ὄψια δεῖ σπείρειν ὑπὸ τροπάς. συμφέρει δὲ σπειρομένοις καὶ σπαρεῖσιν, εὐδίας ἐπιγίνεσθαι πλείους ἡμέρας, ὅπως διαβλαστῶσι. μετὰ δὲ ταῦτα, ψύχη βόρεια καὶ μέτρια λεπτὰ χειμῶνος, ἰσχυρῶς ἐρριζωμένων ἤδη καταξηρουμένων. αὐξήσουσι γὰρ μᾶλλον· ἐπεὶ πιλούμενά γε βελτίω καὶ ἐγκαρπότερα. τὰς γὰρ ῥίζας ἰσχυούσας, ἅτε τροφὴν πλείω, καὶ ἡ αὔξησις μετὰ ταῦτα θᾶττον. τὰ γὰρ εὐθὺς ἀναθρέχοντα, λεπτὰ καὶ ἀσθενῆ γίνεται· καὶ ἅμα πρὸς τὰς ὥρας κινούμενα, καὶ ἀρχόμενα φθείρεται. τὸ γὰρ ὅλον ἡ πέραν εὐδία, σφαλερόν. διὸ καὶ ἐπιτίμνουσιν, εἰ δὲ κείρουσιν. ἀγαθὸν δὲ καὶ ἡ χιών, ὅτι συμπιεῖ καὶ μανοῖ τὴν γῆν, τροφήν τε
29 παρέχει. καὶ ἐγκατακλείουσα τὸ θερμόν, αὔξειν τε καὶ ἰσχύειν ποιεῖ τὰς ῥίζας. Ἡ καὶ τὸ ἐαρινὸν φαινόμενον οὐκ ἀφανές, διὰ τὸ αἱ ψυχειναὶ χῶραι, καὶ αἱ θερμαί, σιτοφόροι· καθάπερ ἡ θρᾴκη, καὶ † ὁ ποταμός, καὶ ἡ λιβύη, καὶ ἡ αἴγυπτος. πρὸς γὰρ τοῖς ἄλλοις ποιεῖ ὁ χειμὼν τι καὶ τὰ καύματα, καθάπερ ἐν ταῖς κατεργασίαις ἐλέχθη τῆς γῆς. οὐδὲν δὲ ἔλαττον, ἀλλὰ πάντων μέγιστος ὁ περιέχων αὐτὰς † πρὸς εὐκαιρίας ὑδάτων, καὶ βίας χειμώνων καὶ πνευμάτων. ὁποῖα γὰρ ἂν ᾖ ταῦτα, καὶ τὰ σπέρματα οὕτως ἐκτελεῖται. ὃ καὶ ἡ παροιμία καλῶς, ἔτος φέρει, οὐ τι ἄρουρα. μέγα δὲ καὶ ἡ θέσις τῆς χώρας, ἡ πρὸς τὰ πνεύματα καὶ τὸν ἥλιον· ὥσπερ ἐπὶ τῶν δένδρων ἐλέχθη. πολλαὶ γὰρ οὖσαι λεπταὶ καὶ φαῦλοι, τελεσφόροι γίνονται, διὰ τὸ πρὸς ταῦτα κεῖσθαι καλῶς. ὡς δ' ἁπλῶς εἰπεῖν, ἡ ἀγαθὴ χώρα, καὶ χειμώνων δεῖται πολλῶν. αἱ γὰρ εὐδίαι καὶ τὰ νότια ἐν χειμῶσι, λεχαίους ποιοῦσιν ὡς ἐπὶ πολύ, καὶ ἐρυσιβώδεις. ὁ δὲ χειμὼν πιλώσας καὶ καρκινώσας τὰς ῥίζας, σύμμετρον εἰς τὸ ἔαρ ποιεῖ τὸ μέγεθος. ὅλως δὲ καὶ τὴν χώραν ἂν εἰργασμένην λάβῃ, μανοῖ. διὰ ταύτην δὲ τὴν αἰτίαν, καὶ εἰς τὸ ἔαρ αἱ αὐξήσεις ταχεῖαι γίνονται, καὶ ἐκφύσεις καὶ τελειώσεις, ὥστε δοκεῖν μὴ κατὰ λόγον ἀπολείπεσθαι τῶν ἐν ταῖς ἀλέαις, ἀλλὰ καὶ πρότερον, ὥσπερ καὶ τὰ παραλλάττοντα, ἰσχυρᾶς τῆς ὁρμῆς γινομένης, διὰ τὸν ἀθροισμόν. καὶ τοῦ ἀέρος συνεργοῦντος, ταχεῖαι καὶ αἱ ἀπολύσεις καὶ αἱ τελειώσεις γίνονται. ταῦτα μὲν οὖν ἐν ταῖς τῆς χώρας διαφοραῖς ἐστι. τὰ δὲ σπέρματα, καθάπερ ἐπὶ τῶν πυρῶν, ἐκ τῶν ὁμοίων καὶ τῶν χειρόνων ληπτέον, ὅπως δὴ μηδεμία μεταβολὴ ἐπὶ τὸ βέλτιον γίνηται, καί τινες φασὶν ἐκ τῆς ἀγαθῆς ἰσχυρότερα εἶναι· διὸ καὶ ἐπὶ δυοῖν ἔτη διαμένειν τὴν δύναμιν. εἰ δὲ τοῦτο ἀληθές, ὅμοιον ἂν εἴη καὶ τὸ ἐπὶ τῶν φυτευμάτων, τὸ τὰ κάλλιστα καὶ
30 ἰσχυρότατα λαμβάνειν· ὥστ' ἀμφοτέρως ἂν ἔχοι λόγον. Χρὴ δὲ καὶ ταῖς τοῦ ἀέρος ἀνωμαλίαις προσέχειν. οὔτε γὰρ τὰ ἐκ τῶν εὐδίων καὶ πρωΐων εἰς τοὺς ὀψίους καὶ δυσχειμέρους, οὔτε τὰ ἐκ τούτων εἰς ἐκείνους ἁρμόττειν. τὰ μὲν γὰρ πρότερον δοκεῖ, τὰ δὲ ἀπ' αὐχμοῦ ἀπόλλυται καὶ ἀνυδρίας. ὄψια γὰρ ὄντα, βραδέως τε κυίσκεται καὶ ἀρτίκεται· διὸ καὶ ὑστερεῖ. ταυτὸ δὲ τοῦτο συμβαίνει καὶ ἐπὶ τῶν σπερμάτων. ὅσα γὰρ εὐβλαστῆ, καὶ ταχὺ πρῷα γίνεται, καθάπερ τὰ τριμηνιαῖα, σπαρέντα πρώϊα, πρὸ τοῦ καιρόν. εἰ μὴ τις ἐπὶ τὴν ὄψιν, ὃ προλαβεῖν τὸ χειμῶνος πρὸς τὴν ῥίζωσιν. ὥσπερ καὶ τὸν κύαμον διὰ τοῦτο πρωϊσπορεῦσι, καὶ ἅμα διὰ τὸ τελεῖν αὐθέντα βρέχεσθαι καὶ ἀνανθεῖν, πολὺν χρόνον. ὄψιε γὰρ σπειρόμενος, οὐκ ἂν βρέχοιτο. τὸ δὲ ὕδωρ ἐν αὐτῷ θεῖν, τούτῳ μὲν συμφέρει διὰ τὴν μανότητα. τῷ σίτῳ δὲ ἀσύμφορον, διὰ τὴν λεχθεῖσαν πρότερον αἰτίαν. τοῖς δὲ ἄλλοις χεδροποῖς ἀβλαβές, πλὴν ἐρεβίνθου· τοῦτον δὲ ἀπόλλυσι. καταπλυθέντος δὲ τοῦ ἅλμου, ὥσπερ συμφύτου τινὸς ἀφαιρουμένου, σφακελίζεται, καὶ ὑπὸ καμπῶν κατεσθίεται. ζωογονεῖται γάρ, ὥσπερ εἴρηται. βραχέντος δὲ οἴνῳ τοῦ σπέρματος, ὅτι ἔλαττον δοκεῖ νοσεῖν· ὅπερ οὐκ ἄλογον, ἔχοντά τινα δριμύτητα. διαστρέφουσι γὰρ αὐτοί· τὸ γὰρ ὅλον ἐάν τις ἀλλοιώσας καταβάλλῃ τὸ σπέρμα, καθάπερ πρότερον ἐλέχθη, μεταβάλλειν καὶ φυτὰ καὶ τοὺς καρποὺς οὐκ ἄλογον. οἷα γὰρ ἡ ἀρχή, τοιαῦτα καὶ τὰ ἐκ τῆς ἀρχῆς. ἔτι δὲ ὁρῶμεν, ὅτι καὶ ταῖς τροφαῖς ἀλλοιούμενα, μεταβάλλει καὶ ὅλα γένη τῶν δένδρων· ὥσπερ ἐξ ἀγρίων ἥμερα γινόμενα, καὶ ἐκ μελαινῶν λευκά. καὶ κατὰ τοὺς καρποὺς ὁμοίως, ὥστε καὶ περὶ αὐτὸ ποιόν τι γινόμενον, οὐκ ἄτοπον ἀλλοιοῦν καὶ τὴν ῥίζαν εὐθύς, καὶ τὸν καυλόν, καὶ ἔσχατον τὸν καρπόν. ἀπιθανὸς δ' ὁ συμφέρει κατὰ μικρὸν ἐκφύειν.

† ὁ πόντος

ἀήρ, πρὸς

-στον, ὁ ἀήρ

ἐν τῷ τοῦ ἀέρος καιρῷ. διὸ σκεπτέον ταῦτα. χειμῶνος δὲ ἐπιγινόμενοι, πανταχοῦ μὲν χρήσιμοι. ῥιζοῦται γάρ, καὶ καρπιζοῦται μᾶλλον, ὥστ' εἰ τὸ ἔαρ σύμμετρον ἐπιδίδωσι μέγεθος. μάλιστα δ' ἐν ταῖς ἀγαθαῖς χώραις. τὰ γὰρ ὄψια, καὶ ὅταν εὐδία, ταχὺ ἀναδίδωσι καὶ ποιοῦσι λοχαίαν· καὶ τὰ πρὸς ἐρυσιβώδη. τὰ δὲ πυκνότερα, πρότερον ἄρχεται τῶν μανοτέρων. ὅτι τὰ μὲν ῥιζοῦται, καὶ εἰς τὰ κάτω σχίζεται διὰ τὸ ἔχειν τόπον· τὸ δ' εὐθὺς εἰς τὸ ἄνω ῥέχα. 27 Χρὴ δὲ καὶ τὰ οἰκεῖα σπέρματα πρὸς εὐφορίαν, καὶ τὰ νοσήματα τὰ συμβαίνοντα λαμβάνειν· οἷον, ἐρυσίβας. ἐπεὶ ἐν τοῖς κοίλοις καὶ ἀπνόοις, γίνεται τὰ † μὴ ἐρυσιβώμενα. τοιαῦτα δὲ τὰ ἁπαλινὰ ἐπὶ στάχυι, καὶ μὴ ὀρθά. διὰ τοῦτο γὰρ καὶ τὸ ἐπικύπτειν συμφέρει τὸν στάχυν, ὅπως ἀπορρέῃ, καὶ μὴ ἐμμένῃ τὸ ὕδωρ καὶ ἡ δρόσος. ἀποκλίνουσι δὲ οἱ μακροὶ στάχυες μᾶλλον. οἱ δὲ πλατεῖς καὶ βραχεῖς, ὀρθότεροι· διὸ καὶ ἐρυσιβοῦνται. ταῦτα δὲ χρήσιμα, καὶ ὧν ὁ στάχυς ἀπήρτηται πολὺ τῶν φύλλων· ἐν γὰρ τοῖς φύλλοις ἐμμένει μᾶλλον ἡ ὑγρότης. ὥστε πλησίον μὲν ὄντες, εὐθὺς ἅπτεται· πόρρω δ' οὐχ ὁμοίως. διὸ καὶ ἡ μὲν ἀχιλλαῖς κριθή, καὶ λευκὴ καὶ μέλαινα, ἐρυσιβώδης· ὀρθοὶ γὰρ οἱ στάχυες. ἡ δ' ἱστόκριθος, ἀσφαλής· ἀκρόδυα γάρ. τὰ δὲ προσήνεμα τῶν χωρίων, ἧττον ἐρυσιβοῦται· διὰ γὰρ τὴν κίνησιν ἀποσείεται καὶ ἐκπίπτει τὸ ὑγρόν. ἐπεὶ καὶ ὅταν ὕσαντος πνεῦμα ἐπιγίνηται, καὶ πάλιν ἐπιλαμβάνῃ νύξ, ἧττον. τὸ μὲν γὰρ διέσεισεν, ὁ δ' ἥλιος εὐθὺς ἐπιγινόμενος, οὐκ ἐποίησε σῆψιν, ἀλλ' ἀνεξήρανε πρότερον. ἡ δ' ἐρυσίβη, σαπρότης τις ἐστὶν ἢ σαπρὸν ἄνευ θερμότητος ἀλλοτρίας. μάλιστα δὲ ἐρυσιβοῦται σῖτος ταῖς πανσελήνοις. διὸ καὶ τὴν σελήνην τῇ θερμότητι σήπειν ἐπὶ νυκτός. ἀλφίσεται δὲ καὶ ἐπιχλωρότατα πάνθ' ὡς ἁπλῶς εἰπεῖν, τὰ λευκὰ τῶν μελάνων, καὶ ἐπὶ τῶν φυτῶν ἐστὶ καὶ ἐπὶ τῶν ζῴων. ὅτι μὲν οὖν οἰκεῖα τὰ σπέρματα ταῖς χώραις ληπτέον, φανερὸν ἐκ πολλῶν. νοσήματα δὲ γίνεται πᾶσι τοῖς σπέρμασιν, ὡς ἁπλῶς εἰπεῖν, διὰ τὴν ἀσυμμετρίαν τῆς τροφῆς τε καὶ τοῦ περιέχοντος ἀέρος, ὅταν ἡ μὲν πλείων, ἡ δὲ ἐλάττων, ὁ δὲ κάθομβρος ἢ κατάξηρος ἄγαν, εἰ καὶ μὴ τὸν καιρὸν ἀνυγραινόμενος τύχῃ. τότε γὰρ καὶ οἱ σκώληκες ἐγγίνονται τοῖς ὤχροις, καὶ τοῖς λαθύροις, καὶ τοῖς πισοῖς, καὶ αἱ κάμπαι τοῖς ἐρεβίνθοις. ὅταν οἱ μὲν ἀναξηρανθῶσι, καὶ μεταξὺ ἐγγίνονται θερμημερίαι. τῶν δ' ἐρεβίνθων, ὅταν ἡ ἅλμη καταπλυνθῇ καὶ ἀναγλυκανθῶσι. πανταχοῦ γὰρ ἡ φύσις ζῳογονεῖ, μιγνυμένη πως τῇ ὑγρότητι τὸ θερμόν, καθάπερ ὕλην οὖσαν τὴν ὑγρότητα τοῦ θερμοῦ πρὸς τὴν πέψιν· ὃ δὴ καὶ ἐπὶ τῶν ῥαφάνων συμβαίνει, καὶ περὶ τοὺς σκώληκας. γίνονται γὰρ ἐν ταῖς ῥίζαις, ὅταν νότια πλείω μετὰ τοὺς πόρους ἐπιγένηται. τότε γὰρ συνυγραινομένης τῆς ῥίζης, καὶ τοῦ ἀέρος ὄντος θερμοῦ, ζῳοποιεῖ πως ἡ θερμότης, συσσήπουσα τὴν ῥίζαν. ὁ δέ, γενόμενος εὐθὺς κατεσθίει. πέφυκε γὰρ ἐκ τῶν αὐτῶν ἑκάστοις ἡ γένεσις, καὶ ἡ τροφή. ἅτερος δ' ὅταν ἐπιχυθῶσι διὰ τὸν αὐχμὸν μὴ διιῇ, τὸ ἐγκατακλειόμενον ὑγρὸν ὑπὸ τοῦ θερμοῦ, σήψεως γενομένης ἐζῳοποίησεν. εἶθ' ὁμοίως ἡ τροφὴ διὰ τὸ αὐτό. ταῦτα δ' ἔοικε καὶ ἐπὶ τῶν μηλέων, καὶ ὅλως ἐπὶ τῶν δένδρων συμβαίνειν, ὅσα σκωληκοῦται διψήσαντα. διὰ γὰρ τὸ ὀλίγον εἶναι τὸ ὕδωρ, καὶ μένειν ἐν τῷ δένδρῳ, σῆψιν ἐποίησεν, ἐξ ὧν ὁ σκώληξ, ἢ ὅταν ἄφθονος ἡ τροφὴ γίνεται. τότε γὰρ καὶ ἡ ἐπιρροὴ πρὸς τὰ ἄνω διαδίδοται, καὶ πλείων οὖσα κατακρατεῖ, καὶ οὐ σήπεται. παραπλήσιον δὲ τὸ συμβαῖνόν ἐστι καὶ τῇ ἀμπέλῳ. καὶ γὰρ ἐν ταύτῃ τοῖς νοτίοις οἱ ἶπες γίνονται μᾶλλον, ἅτε διυγραινομένης, καὶ τοῦ ἀέρος γονοῦντος, εἶτ' εὐθὺς ἐσθίουσι τὸ ὁμογενές. ὡσαύτως δὲ καὶ ἐπὶ τῶν ἐλαιῶν αἱ κάμπαι, καὶ ἐφ' ἑτέρων ἄλλα ἐγγίνεται ζῷα περὶ τὴν βλάστησιν, ἢ τὴν ἄνθησιν, ἢ καὶ ὕστερον. πάντων γὰρ ἐκ παραπλησίας ἐστὶ συνιστάμενα. τῇ δ' ἀμπέλῳ μάλιστα τοῦτο συμβαίνει· διότι φύσει ὑγρόν ἐστι. καὶ ἡ ὑγρότης αὐτῆς, ἄχυλος καὶ ὑδατώδης· εὐπαθεστάτη γὰρ ἡ τοιαύτη. ἐνιαχοῦ δ' οὐ γίνονται τὸ ὅλον ἶπες, ὅταν εὔπνους τε καὶ μὴ ἔνυγρος μάλ' εὔτροφος ὁ τόπος ὑπάρχῃ. καὶ περὶ μὲν νοσημάτων ἐν τοῖς ὕστερον ἐπὶ πλέον ῥητέον. 28 † Ἐπισπείρειν δὲ κελεύουσιν οἱ μὲν πλειάδος. ξηρὰν γοῦν ἔνικμόν τε οὖσαν, διαφυλάττειν τὸ σπέρμα τὴν γῆν. οἱ δ' ἅμα πλειάσι δυομέναις, ὥσπερ καὶ Κλείδημος· ἐπιγίνεσθαι γὰρ ὕδατα ἐπὶ πολλὰ τῇ ἑβδόμῃ μετὰ τὴν δύσιν. ἄριστον δὲ ἴσως καὶ ἀσφαλέστατον εἰς ὀργάδα, ἐπειδὰν ἐμβληθῇ διευλαβουμένους, ὅπως μήτ' ἐμβληθῇ πηλῷ, μήθ' ἡμιβραχῇ καὶ ἡμίκλον, ἃ δὴ καλοῦσί τινες ἀμφίεργον. ἡ μὲν γὰρ ὑγρὰ καὶ πηλώδης, διαχεῖ καὶ ἐγκαλύπτει. κἂν ξηρανθῇ, συναλείφει, καὶ οὐ διαδίδωσιν. ἡ δὲ ἡμιβραχὴς, κατασήπει. τοσοῦτον γὰρ ἔχει τὸ θερμὸν καὶ τὸ ὑγρόν, ὥστε κινῆσαι μέν, μὴ ἐκβιάσασθαι δέ, μηδ' ἐκβλα-

Marginal variants: † μὴ; † σπείρειν

γὰρ τοῦ θέρους διακαιομένη, ἔτι πλεῖον ὑπόπετρος οὖσα διέκαιε. καὶ μικροῖς ἀρότροις οἱ Σύροι χρῶνται. διὸ ταῦτα μὲν πειρατέον ὑπερκρίνειν. ὡς δὲ κοινῇ καὶ καθόλου φασὶν εἰπεῖν, μέγιστον μὲν καὶ πρῶτον, εἰ τὴν πρὸ δὲ τὴν χώραν κατείργασαι καλῶς. εἰς διειργασμένην γὰρ καλῶς πεσὸν τὸ σπέρμα, ἐκφύεται, διημερευθείσης τῆς γῆς. εἶθ' ἡ κόπρευσις ἤδη, καὶ ἄλλη θεραπεία, μετὰ ταῦτα διαβεβληκότων· οἷον σκάλισις, καὶ ποασμός. ἡ δὲ κατεργασία ἐν τῷ νεοῦν κατ' ἀμφοτέρας τὰς ὥρας καὶ θέρους καὶ χειμῶνος, ὅπως χειμασθῇ καὶ ἡλιωθῇ ἡ γῆ· καθάπερ καὶ ἐπὶ τῆς φυτείας ἐλέχθη. πολλάκις γὰρ μεταβληθεῖσα, μανὴ καὶ κούφη καὶ καθαρὰ γίνεται τῆς ὕλης, ὥστε ῥᾳδίως ἐκτρέφειν. καὶ διὰ τοῦτο κελεύουσιν, οὐδὲ τὰ χεδροπὰ συμβάλλειν εἰς τὰς νέας, ἐὰν μή τι σφόδρα πρῴιον, ὅπως μὴ κωλύσωσι τὴν θερινὴν νέωσιν. ἀγαθὴν δὲ οἴονται τὴν χιόνα ταῖς χειμεριναῖς νέαις, καὶ οὐχὶ τὴν πάχνην εἶναι· διϊδίειν γὰρ, καὶ μανοῦν τὴν γῆν. καὶ ὅταν μετὰ τοὺς πρώτους ἀρότους νεάσωσι, πάλιν τοῦ ἦρος μεταβάλλουσιν, ὅπως τὴν ἀναφυομένην πόαν ἀπολέσωσιν· εἶτα θέρει ἀροῦσι. καὶ πάλιν ὅταν μέλλωσι σπείρειν, ὑπαίρουσιν, ὡς δέον καθάπερ ἐλέχθη προκατειργάσθαι, καὶ περὶ τοῦτο μάλιστα σπουδάσαι. διὸ καὶ τὴν ἀρχὴν τῆς δικέλλης ἐργασίαν μᾶλλον ἐπαινοῦσιν, ἢ τὴν διὰ τοῦ ἀρότρου. δοκεῖ γὰρ πολλὰ παραποιεῖν. θετταλοὶ δ' ἰσχυρότερον ἔτι δικέλλης ὄργανον ἔχουσιν, ὃ καλοῦσι μοχλόν· ὃ μᾶλλον εἰς βάθος κατιὸν, πλείω γῆν περιτρέπειν, καὶ κατωτέρωθεν. αὕτη μὲν οὖν τῆς χώρας ἡ κατεργασία, συμβαίνει ‸ τοῖς εἰς ταῦτα πονήσασιν, ἧττον ἐν τοῖς ἄλλοις κακοπαθεῖν. ὅσοι δ' αὖ μαλακωτέρως, ἀναγκάζονται πολλάκις καὶ σκάλλειν ὅτι γὰρ καὶ βοτανίζειν, ἅτε πολλῆς πόας ἐκφυομένης.† οὔτε γὰρ ἀπόλλυται τὰ σπέρματα. προτερεῖ δὲ τοῦ σίτου, διά τε τὴν ἰσχὺν, καὶ τὸ προϋπάρχειν. ἐπεὶ πρότερον αὐξηθέντος τοῦ σίτου, πολλὰ καταπνίγεται καὶ ἀπόλλυται· καὶ τὸ ὅλον οὐχ ὁμοίως βλάπτει τὰ σπέρματα.

26 Τὰ δ' οἰκεῖα τῇ μὲν ἐπομβρίᾳ καὶ ψυχρᾷ, τὰ ἀνασομώτατα πρὸς τὴν σιτοποιίαν· ὁμοίως καὶ πυρῶν καὶ κριθῶν, καὶ τῶν ἄλλων· ἀραιὰ γὰρ ταῦτα. τὰ δ' ἄλλα, πλείονος ὄμβρου δεῖται. καὶ τὰ μέλανα δὲ λευκῶν. ἐὰν δὲ ξηρὰ καὶ ἐρυθρὰ, καὶ ἐν ψυχροῖς τόποις, πηλίνοσα. καὶ τὰ λευκὰ μᾶλλον τῶν μελάνων, ὅπως ἀφαιμῶνται περὶ τῆς ἀπλήστως τῶν ὑδάτων. αὔξεται γὰρ καὶ φθίνει τὰ λευκὰ μᾶλλον τῶν μελάνων. ἐν δὲ ταῖς εὐκρασίαις, τὰ ἀνὰ μέσον. οἱ μὲν οὖν οὕτω διαιροῦσιν. οἱ δ' ἄλλως. ὡς δ' ἁπλῶς εἰπεῖν, ἡ μὲν λεπτὴ κριθοφόρος ἀμείνων· ἡ δὲ πίειρα, πυροφόρος. αἱ μὲν γὰρ ἐλάττονος καὶ κουφοτέρας δέονται τροφῆς· αἱ δὲ, πλείονος καὶ σωματωδεστέρας. τῶν δὲ πυρῶν ὁ μὲν τρίμηνος ἐν ταῖς λεπτογέοις καλλίων. σύμμετρος γὰρ ἡ τροφὴ, κούφη κούφοις. ὁ δὲ λυβικὸς, καὶ ὁ δρακοντίας, καὶ ὁ στλεγγίας, καὶ ὁ σελινούσιος, ἐν ἀγαθῇ· πολύτροφοι γάρ. σημεῖον δ' ὅτι κάλαμον ἔχουσι παχύν. ἁπλῶς δὲ, καὶ εἴ τις ἄλλος τοιοῦτος. εἰ δέ τις πολυχίτων, ὥσπερ ὁ θρᾴκιος, ἐν ταῖς χειμεριναῖς. ἀπαθὴς γὰρ ὑπὸ τοῦ ψύχους. ὁ δὲ χαῦνος καὶ μανὸς, ὥσπερ ὁ καγχρυδίας, ἐν ταῖς ἐπόμβροις. τροφῆς γὰρ πολλῆς καὶ οὗτος δεῖται· διὸ καὶ παχυκάλαμος. ὡσαύτως δὲ καὶ ἐπὶ τῶν χεδροπῶν. ἡ μὲν γὰρ γλίσχρα καὶ μελάγγειος, ἐρέβινθον· ἡ δὲ κούφη, κύαμον φέρει καλλίω. σύμμετρα γὰρ ἑκατέρα τούτοις. καὶ ἐπὶ τῶν ἄλλων δὲ, τὸν αὐτὸν τρόπον· ἀεὶ πρὸς τὰ τῆς τροφῆς ἀνακτέον, συμπαραλαμβάνοντα καὶ τὰς τοῦ ἀέρος. ἡ γὰρ εὔειλος, καὶ ἁπλῶς ἡ εὐδιεινὴ, τὰ ἀσθενέστερα συμφέρει μᾶλλον· ἡ δ' ἐναντία, τὰ ἰσχυρά. καὶ ἡ ὕφαμμος δὲ καὶ πηλώδης, τὰ ὀλιγότροφα καὶ ξηρά, καθάπερ τὴν ἀχιλλίδα. καὶ γὰρ λευκαίνει μᾶλλον ἐκπέττουσα τὰς τροφάς. καὶ φέρει δὲ καὶ τρόφιμα, τὰ ξηρὰ καὶ τὰ πρόσηλα· πέττει γὰρ ὁ ἥλιος μᾶλλον. ἐν δὲ τοῖς εὐγείοις καὶ πίοσιν, οὐχ ὁμοίως. πυρὸς δὲ κριθῆς ἐν τοῖς ὀμβρώδεσιν εὐθενεῖ μᾶλλον· καὶ τὸ ὅλον δὲ πρὸς τὰς ἐπομβρίας ἰσχυρότατος. φέρει δὲ καὶ ἐν τοῖς ἀκόπροις μᾶλλον. αἴτιον δὲ, ὅτι θερμὸς ὢν, ἐκπέττειν δύναται μᾶλλον· καὶ κόπρον οὐχ ὁμοίως ἐπιζητεῖ, διὰ τὸ ἔχειν ἐν ἑαυτῷ ὅπερ ἐκ τῆς κόπρου γίνεσθαι. καὶ τὸ ὅλον ἰσχυρότερός ἐστι, καὶ πρῳϊαπορεῖται, καὶ ἐν τοῖς ψυχροῖς καταβάλλεται μᾶλλον. ἡ δὲ ἰσχὺς θερμοτάτη, καὶ διὰ μᾶλλον πολυχίτωνα εἶναι. διὸ καὶ ἡ διὰ χρόνου γεωργουμένη γῆ, πυροὺς φέρει μᾶλλον, καὶ κριθάς. κατακρατεῖ γὰρ τῆς τροφῆς ἰσχυροτέρας οὔσης ὁ πυρὸς μᾶλλον· ἐπέχει δ' οὐ. ὁμοίως ἐθέλει φέρειν μὴ ἐμπλησθείσης τῆς ὕλης. οὕτως δ' ὥσπερ μανοῦται καὶ κοπρίζεται. ὡς δὲ ἁπλῶς εἰπεῖν, ἐν πάσαις ταύταις μεγίσταις καὶ κοινοτάταις οὔσαις διαφοραῖς, ἐν τῇ τῆς χώρας φύσει, τῇ τῶν σπερμάτων ἰσχύϊ καὶ ἀσθενείᾳ, καὶ

ἐν τῇ

νον, οὐδ' ἄλλο τῶν τοιούτων οὐδὲν ἀφιᾶσι. πάντα γὰρ ἀφαιροῦσιν, ὅπως μὴ ὑποβρεχοῦσαι ἐκβάλλῃ σὺν καρπὸς ἐν τῷ ἄνθει. διὸ καὶ χώραν οὐκ ἀγαθὴν ζητοῦσιν. ἐὰν δὲ μετὰ ταῦτα ἀκαρπῇ, τάς τε ῥίζας γυμνώσαντες περιλελόασι ὑπὸ χειμῶνι, καὶ τὰς ἄλλας κολούσαντες προσφέρουσι τὰς εἰρημένας. ὁμοίως δὲ καὶ ὅσων οἱ φλοιοὶ περιαιροῦνται· καθάπερ ἀμπέλου, κέδρου, φιλύρας, καὶ ὅλως τῶν φλοιοῤῥαγῶν. αὐτὴ γὰρ ἡ φύσις ἐνταῦθα ἔοικεν ἀπολεαίνειν τὸ σύμφορον, ἀφαιρουμένη, καὶ ἀλλότριον ποιοῦσα. τὸ δ' ἀλλότριον ἅπαν, βλαβερόν· ὥσπερ καὶ τὸ ζῷον. καὶ τὸ περὶ τῶν ἄλλων δὲ τὸν αὐτὸν τρόπον, ὅπου τις ἰδιότης οἰκεία πρὸς τὴν φύσιν. καὶ περὶ μὲν δένδρων, ἐκ τούτων θεωρητέον.

24 Ἔχει δὲ ὁμοίως καὶ περὶ τῶν στεφανωματικῶν, καὶ ὅλως τῶν φρυγανικῶν, σχεδὸν δὲ καὶ τῶν λαχανικῶν. τὰ μὲν γὰρ ἐστι κοινὰ πᾶσιν, οἷον ὕδρευσις, κόπρωσις, ἡ τῶν ὑλάτων ἐργασία. τὰ δὲ ἴδια καθ' ἕκαστον γένος· οἷον ἡ διακάθαρσις τοῖς φρυγανικοῖς, ὁμοίως ἐν στεφανώμασι καὶ λαχάνοις. καὶ γὰρ ὁ ἕρπυλλος αὐξάνεται καὶ μὴ διακαθαιρόμενος, καὶ τὸ σισύμβριον, καὶ τ' ἄλλα. τὰς δὲ ῥοδωνίας οὐ κατακόπτουσι μόνον, ἀλλὰ καὶ ἐπικαίουσιν· εὐανθεῖς γὰρ γίνονται καὶ ἐκλοχμῶνται, μὴ ἐὰν πάχυσαι, διὰ δυστροφίαν. καὶ ἡ ῥάφανος δὲ καὶ τὸ πήγανον ἀποσκληρύνονται καὶ ἀποξηραίνονται. κολουθέντα δὲ καὶ πολυβλαστῆ γινόμενα, μείζω καὶ καλλίω καὶ ἀχυλότερα· διὰ γὰρ καὶ τῶν χυλῶν καὶ τῶν ὀσμῶν ἀφαιρεῖσθαι τὸ ἄγαν δριμύ. τῇ γὰρ μεσότητι, τὸ ἡδὺ καὶ τὸ σύμμετρον. ἐν δὲ τοῖς λαχάνοις ἀφαίρεσις μὲν οὐκ ἔστι, πλὴν ὅσα κειρόμενα καλλίω, καθάπερ τὸ πράσον, ἔτι τὸ πολυβλαστον. ἡ δὲ τῶν περιφυτευομένων ἐξαίρεσις, καὶ ἡ αὐτῶν τῶν ὁμογενῶν ὅταν ᾖ πυκνά, καθάπερ ἡ διακάθαρσις γίνεται, τροφὴν πλείω ποιοῦσα καὶ αὔξησιν τοῖς λοιποῖς. ἔχει δὲ καὶ ἰδιότητας ἔνια, καθάπερ ἐπὶ τοῦ πηγάνου πρότερον ἐλέχθη, καὶ ἐπ' ἄλλων ἐστίν. ἀλλὰ ταῦτα μὲν ἐλάττω, καὶ σχεδὸν φανερά.

25 Λοιπὸν δὲ, καὶ ὥσπερ ἀντικείμενα τοῖς περὶ τὰ δένδρα, τὰ περὶ τὴν ψιλὴν γεωργίαν ἐστίν. ἐνταῦθα δὲ ἥτε τῆς γῆς κατεργασία, καὶ ἡ τοῦ σπόρου ὥρα, καὶ μετὰ ταῦτα σπαρέντων κατεργασία. πρότερον δὲ ἐπὶ τούτων ἢ καὶ ἅμα τὴν οἰκείαν ἑκάστου σπέρματι ἰδεῖν, ὥσπερ καὶ ἐπὶ τῶν δένδρων. ἔστι δὲ καὶ περὶ τὰς ἐργασίας τὸ οἰκεῖον οἰονεί, τοῦ μὲν θέρους μᾶλλον, τοῦ δὲ χειμῶνος, ἐὰν ἡ σκάπτῃ, ἤ τι τοιοῦτον ἕτερον· ἅπερ ἐπιχειροῦσί τινες διαιρεῖν. δεῖ γὰρ, ὥς φασι, τὴν μὲν ἔπομβρον καὶ στερεὰν καὶ βαρεῖαν, καὶ τὴν πίειραν, θέρους ἐργάζεσθαι, καὶ τοῖς ἀρότροις, καὶ τῇ σκαπάνῃ· τὴν δὲ ξηρὰν καὶ μανὴν, καὶ τὴν λεπτὴν καὶ κούφην, καὶ τοῦ χειμῶνος. δύναται γὰρ ἡ μὲν ξηραίνειν, καὶ λεπτύνειν· ἡ δὲ χειμερινὴ παχύνειν, καὶ ὑγραίνειν. ἑκάτερα δὲ τούτων δεῖται πρὸς τὸ ἐνδεὲς τῆς φύσεως. καὶ κοπρίζειν πλεῖον μὲν τὴν λυπρὰς, ἔλαττον δὲ τὴν ἀγαθήν· καὶ διὰ τὴν ἀρετὴν τῆς γῆς, καὶ διὰ τὸ τὴν κόπρον πλείω λαμβάνειν τροφὴν λεγίος πίπτῃ. μίσγειν δὲ καὶ τὴν γῆν ἐναντίαν· οἷον τῇ βαρείᾳ τὴν κούφην, καὶ τῇ κούφῃ τὴν βαρεῖαν, καὶ τῇ λεπτῇ τὴν πίειραν· ὡσαύτως δὲ καὶ τὴν ἐρυθρὰν καὶ τὴν λευκήν, καὶ εἴ τις ἄλλη ἐναντιότης. οὐ γὰρ μόνον ἡ μίξις ἀποδίδωσι τὸ ἐλλεῖπον, ἀλλὰ καὶ ὅλως σφοδροτέρας ποιεῖ, καὶ ἐὰν τυχοῦσα ἡ μίξις· οἷον ἐὰν τὴν ἀπυρωμένην, καὶ μὴ δυναμένην φέρειν ἑτέρᾳ μίξῃς, πάλιν φέρει καθαπερανεὶ καινὴ γεγενημένη· καὶ ἡ καθ' αὑτὴν οὐ φέρουσα, καθάπερ ἡ ἄργιλος, ὅταν μιχθῇ, ποιεῖ φόρον. ὥσπερ γὰρ κόπρος ἡ ἑτέρα τῇ ἑτέρᾳ γίνεται. διὸ ταῦτα ποιοῦσι Μεγαρεῖς, καὶ δι' ἐτῶν πέντε ἢ ἓξ σκάπτοντες βαθεῖαν, ἀναβάλλουσι τὴν κάτωθεν ἐφ' ὅσον διικνεῖται τὸ ὕδωρ, ἵνα καινὴν ποιῶσιν. ἡ γὰρ ῥόφημος ἀεὶ καταῤῥεῖ ὑπὸ τοῦ ὕδατος. σπείρειν δὲ κελεύουσι τὴν ξηρὰν καὶ τὴν θερμὴν † τῶν ὑδάτων, ὅπως λαμβάνουσα πλῆθος ὕδατος ἐκτρέφειν δύνηται. καὶ τὴν ἐπομβρίαν δ' ὡσαύτως, ἵνα τὰ σπέρματα λαμβάνῃσι, καὶ βλαστοῦντα καὶ αὐξηθέντα θερμῇ τῇ γῇ δυνατώτερα δέχηται τὸν ὄμβρον. ἐὰν δὲ μὴ ἐν ξηρᾷ, προσεργασάμενος τὴν γῆν, ὀψὲ ποιεῖσθαι τὸν σπόρον. σπείρειν δὲ δεῖ τὸν μὲν πρωϊνὸν μανὸν, τὸν δὲ ὄψιον, πυκνόν· ὁ μὲν γὰρ οὐκ ἔχει ῥίζωσιν, ὁ δ' ἔχει καὶ γίνεται πολυσχιδής. ταῦτα μὲν οὖν καὶ τὰ τοιαῦτα (πλείω γάρ ἐστι) διακριβοῖ εἴ τις ἐθέλοι τὰς ἐργασίας μᾶλλον, ὧν ἕκαστα δεῖ σκοπεῖν πρὸς τὴν χώραν. ἔνια γὰρ οὐ δέχονται τὰς ἀκριβείας, ἀλλὰ διαμάρτοι ἂν ὁποίων. ὅπερ ἔπαθέ τις ἀνελθὼν εἰς Συρακούσας ἐκ Κορίνθου, τὴν ἐργασίαν τὴν ἐντεῦθεν μεταφέρων, καὶ ὡς τὸ χωρίον τὸ δοκοῦν ἀγαθὸν ἐκλιθολογήσας διέφθειρε· ἐξεπίγνωτο γοῦν ὁ σῖτος, οὐκ ἔχων οὐδεμίαν προβολὴν, ἐξαιρεθέντων τῶν λίθων. καὶ ὡς ἐν συνεχεῖ κατὰ βάθος ἀρόσασαν ἐξήρανεν· ὑπὸ

† ἢ ζητοῦσιν, ἐὰν δὲ μετὰ ταῦτα ἄκαρπα ταῖς ῥίζας

κά

-ὰν

† πρὸ τῶν

λον, ἱκανῶς εἰρήσθω. πάντων δὲ ἰδιώτατον εἶναι δοκεῖ τὸ περὶ τὰς θεραπείας οἱ ἅλες, οἱ τοῖς φοίνιξι παραβαλλόμενοι· καὶ γὰρ πρὸς εὐβλαστίαν, καὶ πρὸς εὐκαρπίαν χρήσιμον. ἐπεὶ ὅσα γε πρὸς ἰατρείαν τινὰ τῶν τοιούτων ἢ φυλακήν, οὐδὲν ἄτοπον· οἷον, ἡ τέφρα ταῖς συκαῖς καὶ τοῖς πηγαίοις. ξηρὰ γάρ, πρὸς τὸ μὴ σκωληκοῦσθαι, μηδὲ σήπεσθαι τὰς ῥίζας· βοηθεῖ γὰρ καταξηραίνουσα. περὶ δὲ τῶν † ἄλλων, ἢ τῆς ἅλμης, ἣν περιχέουσιν (οἱ μὲν γὰρ οὕτω ποιοῦσιν, οἱ δ' ἐκείνως) ἁπλῆ μέν τις αἰτία, διότι φιλεῖ χώρα ἁλμυρώδη. σημεῖον δέ, ὅτι περὶ οὓς πλῆθος φοινίκων, ἐν τόποις τοιούτοις ἐστίν· οἷον, Λιβύῃ, Συρίᾳ, ταῖς ἄλλαις. καθάπερ γὰρ οἰκείαν τινὰ βοήθειαν βοηθοῦσι διὰ τῶν † ἄλλων. ὅτι μὲν γὰρ ὁ φοῖνιξ χαίρει τῷ ἁλμώδει, κοινή τις αἰτία λέγοιτ' ἂν περὶ πάντων, ὅσα ζητεῖ τόπους διαφόρους, ἀπὸ τῶν πρώτων καὶ μεγίστων ἀρχομένοις· οἷον φυτῶν δένδρων, χερσαίων, καὶ ὅσαι δὲ καθ' ἑκάτερα τούτων διαφοραί. δῆλον γάρ, ὡς τῇ κράσει πως σύμμετροί τε καὶ οἰκεῖοι καθ' ἕκαστα τυγχάνουσιν· ὥσπερ ἐπὶ τῶν ζώων. ὁ γοῦν αὐτὸς λόγος καὶ περὶ τούτων, καὶ ἡ αὐτὴ ζήτησις. οὐ μὴν † ἀλλ' ἔτι τε καὶ περὶ τὸ ἴδιον χρὴ ποιεῖν, ἐν ἀμφοῖν τὴν αἰτίαν ζητητέον, ἔν τε τῷ τὴν γῆν ποιάν τινα ποιεῖν, καὶ ἐν τῷ τὰς ῥίζας, ἅπερ ἄμφω συμβαίνει διὰ τῶν ἁλῶν. τὴν μὲν γὰρ ποιοῦσι κούφην καὶ χαύνην, τὰς δὲ ῥίζας εὐτραφεστέρας καὶ παχυτέρας ἐλιωτέρας τε ποιοῦντες, τοῖς πόροις τινὰς ἀνοίγειν, καὶ ἔτι τοῖς καταψύχειν· ὅπερ ἡ κόπρος οὐ ποιεῖ, διὰ τὸ ἔμπυρον. ὁ δὲ φοῖνιξ, τὰ μὲν ἄνω τὰ περιέχοντα ζητεῖ θερμά, οὕτως ἡ πέπανσις τοῦ καρποῦ· τὰς δὲ ῥίζας καταψύχεσθαι, διὰ τὴν ξηρότητα. τοῦτο δὲ ποιοῦσιν οἱ ἅλες. ὅθεν καὶ τοῖς μὲν χρῶνται † Βλ * χώνιοι, τῇ κόπρῳ δ' οὐ χρῶνται. τοῖς δέ, μόνῳ τούτῳ συμφέρει, τῇ ἰδιότητι τῆς φύσεως αἰτιατέον. ὥσπερ γὰρ τὸ ξύλον, καὶ αἱ ῥίζαι διάφοροι τῶν ἄλλων. διόπερ ἀναδεχθεῖσαι, μᾶλλον ἀπολαύονται τὴν τροφήν, καὶ αὗται ἀρκοῦνται, καὶ τὸ ὅλον δένδρον αὔξουσι.

23 Γίνεται δὲ καὶ ὡς ἡ γεωργία τὰς ῥίζας πάντων ἀλιμωτέρας, οὕτω γὰρ καὶ ἐξημεροῦνται τῶν ἀγρίων ἔνια. καὶ ἡ κόπρος δὲ ἰσχυροτάτη, τὸ αὐτὸ τοῦτο δρᾷ. καθάπερ ἡ σκυτοδεψικὴ τὰς τῶν μυρρίνων, καὶ οὖρον παραχεόμενον· ἄμφω γὰρ διαπιαίνεται μᾶλλον. αἱ δὲ ῥίζαι δέονται τῆς ἀναδέξεως καὶ τῶν ἄλλων ὡσαύτως, καὶ τῶν ῥοιῶν· καὶ γὰρ ταύτας παραχέουσι, καὶ τὴν σκυτοδεψικὴν παραβάλλουσι· πλὴν οὐχ ὁμοίως ἐστὶ τῇ μυρρίνῃ, ἀλλ' ἧττον. αἱ δ' ὑγραὶ καὶ σαρκώδεις, οὐ δέονται τῆς ἀναστομώσεως καὶ δέξεως. ὅλως δ' αἱ μεταβολαὶ τῶν δένδρων διὰ τὰς θεραπείας. ὥστε ἐξ ὀξέων καὶ πικρῶν γλυκέα γίνεσθαι, καθάπερ αἵ τε ῥοαὶ καὶ αἱ ἀμυγδαλαῖ, καὶ εἴ τι ἄλλο τὰς ῥίζας ἀλλοιοῦσθαι μεταβάλλουσιν, οὕτω τὴν γῆν καὶ τὴν τροφήν. αὕτη μὲν γὰρ ἐπὶ τρία ἢ τέτταρα ἔτη γίνεται. ἐπὶ τοσοῦτον γὰρ ἡ θεραπεία. ῥᾷον δὲ ῥίζαι διαμένουσι καὶ τὸν πλείω χρόνον. μεταβολὴ δ' εὐλόγως τῶν καρπῶν, ἐκπεπτωμένης μᾶλλον τῆς τροφῆς. ἐκπίπτει τοι δὲ τοῦ τοιούτου, ποιάν τινα τὴν ῥίζαν εἶναι. τὸ δ' ὅλον, ὥσπερ καὶ πρότερον ἐλέχθη περὶ τῶν σπερμάτων, κινουμένης καὶ μεταβαλλούσης τῆς ἀρχῆς, συμμεταβάλλει καὶ τἆλλα ἐστὶ ἡ ὅλη φύσις. αἱ τροφαὶ δὲ κινοῦσι καὶ ἐξαλλοιοῦσιν, ἐὰν πλείων γίνηται χρόνος. ἐπεὶ δὲ καὶ ὅσα τοῖς θερμοῖς ἀρδευόμενα βελτίω, καθάπερ ἥ τε μηλέα δοκεῖ ἡ ἠρινή, καὶ ὁ μύρρινος. καὶ γὰρ οὗτος ἀπύρηνος, ὥς φασι, γίνεται. καὶ ἐξ ἀρχῆς οὕτω συνώφθη περὶ σύμπτωμα, πρὸς λουτρῷ ὄντος μυρρίνου, καὶ ἐξημελημένου· τούτου γὰρ ἀπυρήνου γενομένου, λαμβάνοντες ἐφύτευον· ὅθεν τὸ γένος Ἀθήνησι γέγονεν. ἀλλὰ ταῦτα μὲν ἔχοντά τινα πρὸς πίστιν εἴρηται τῶν ἐξ ἀρχῆς. ἡ δ' ἁλικότης τῶν ὑδάτων, ὅτι καὶ τῶν λαχανωδῶν τισιν ἁρμόττει, καὶ διότι τῷ λουτρῷ χρῶνται πρὸς ἔνια, πρότερον εἴρηται. διὸ καὶ τοῦθ' ὡς κοινὸς οἰκεῖον παραλειπτέον· ἐκ γὰρ τούτων δηλονότι καὶ τῆς τροφῆς καὶ τούτων ἡ γλυκύτης. ἀλλὰ τοῖς μὲν ἡ πικρότης τοῖς ἐν τοῖς χυλοῖς σύμφυτος, τῷ δὲ φοίνικι στρυφνότης, ἣν ἐξαιροῦσιν εὐθὺς οἱ ἅλες ἐκ τῆς πρώτης ἀρχῆς. περὶ μὲν οὖν τῶν ἁλῶν ἱκανῶς εἰρήσθω.

Τὸ δὲ μὴ ὑπομένειν ἐπὶ τῷ θήλει φοίνικι τὸν καρπόν, ἂν μὴ τὸ τοῦ ἄρρενος ἄνθος κατασείωσιν ἅμα τῷ κονιορτῷ, καθ' αὑτὸ (καὶ γὰρ τοῦτο λέγουσί τινες) ἴδιον μὲν παρὰ τὰ ἄλλα. παρόμοιον δὲ τῷ ἐρινασμῷ τῶν συκῶν, ἐξ ὧν ἐστι τὸ πλεισγονεῖν, μὴ δ' αὐτάρκης ἐστὶν τὸ θῆλυ, καὶ μάλιστα ἄν τις ἐπαγάγῃ. πλείω ἔχειν τοῦτο μὴ ἐφ' ἑνὸς ἢ δυοῖν, ἀλλ' ἐπὶ πάντων, ἢ τῶν πλείστων ἐστίν. τὴν γὰρ φύσιν οὕτω κρίνομεν τοῦ γένους. ἀτοπώτατον δὲ καὶ ἐπ' αὐτῶν τούτων τὸ τοῦ φοίνικος. ὁ γὰρ ἐρινασμὸς δοκεῖ φανερὰν ἔχειν τὴν αἰτίαν. ἀλλὰ περὶ μὲν τούτων, ἅλις. ἡ δὲ τῶν ἄλλων ἰδιότης ὅσον δεῖ, συμφανεστέρας ἔχει τὰς αἰτίας· οἷον ὡς τὴν ἀμυγδαλῆν, ὅταν ἄρχηται καρποφορεῖν, ὅτι ὑφαιροῦσιν, ὅτι κοπρίζουσιν, ὅτι διακαθαίρουσιν, εἰ μὴ τὰ ἄλλα μό-

νον

δ᾽ ἐν τῇ ψυχρᾷ μεθεῖσαι τὸ ὕδωρ, αὗται μὲν οὐδὲν χείρους, ὁ δὲ καρπὸς ἀσθενέστερος καὶ ἀδυνατώτερος. τὰς δ᾽ ἐν τῇ μέσῃ καὶ εὐκράτῳ, περὶ τὸ μέσον τῶν ὡρῶν. ἔνιοι δὲ ὅλως πρωῒ πάσας κελεύουσιν, ὅπερ εἴπομεν· ὅτι παχύτερόν τε τὸ κλῆμα γίνεται, καὶ ἀμβλωπεῖς οὐκ εἰσὶν· καὶ ἐὰν δυσδία συμβῶσιν, τὰς τομὰς προεξηράνθαι. πάντα δὲ ταῦτα συμφέρει, χειμῶνος μὲν γὰρ οἱ πολλοὶ τῶν ὀφθαλμῶν ἀπόλλυνται ῥίγει, καὶ ἡ τομὴ βίᾳ ξηραινομένη ῥήγνυται. τοῦ δ᾽ ἔαρος ῥεῖ τό τε δάκρυον, καὶ ἀμβλωπεῖς ἀπογίνονται πολλοί. καί τοι τινὲς οὐ διὰ ταῦθ᾽ ὑπολαμβάνουσιν, ἀλλ᾽ ὡς τίκτουσαν τὴν ἄμπελον εὐθὺς ὅταν τρυγηθῇ, καὶ τόν τε γινόμενον τὸν καρπόν. οὐ γὰρ οἴονθ᾽ ἅμα δύο γονὰς ἔχειν· οὐκ ὀρθῶς λέγοντες. γίνεσθαι γὰρ θέρους τὸν καρπὸν, ὅταν ᾖ πολὺ τὸ ὑγρόν. ἐκ τούτου γὰρ τὴν γένεσιν εἶναι. τεκμήριον δέ· ἐὰν δὶς ἐργάσωνται τὰς τοῦ χειμῶνος ἐργὰς ἀρχομένου τοῦ θέρους, εὐθὺς τὰ κλήματα πυκνόφθαλμα γίνεσθαι διὰ τὸ πλῆθος τοῦ ὑγροῦ. ὥσπερ δὲ τὴν ἐργασίαν ποιεῖν, ὅτι πληροῖ· τὸν δ᾽ ἥλιον θερμαίνοντα πηγνύναι, καὶ πυκνοτέρους τοὺς ὀφθαλμοὺς γίνεσθαι, καὶ βότρυς πλείους. οἱ δὲ ταῦτα κελεύοντες, ἀλλ᾽ ὥσπερ τὰς αἰτίας λέγουσι. φασὶ γὰρ ὥσπερ δεῖν ἐν τῇ θερμῇ, καὶ λεπτῇ, καὶ διὰ τοῦτο πρωῒ κλᾶν ὅπως τὸ ὕδωρ εἰς τὰ καιριώτατα τῶν κλημάτων ἔλθῃ, καὶ ἔχῃ τροφὴν ἐν τῷ θέρει. τὰς δ᾽ ἐν τοῖς ἐφύδροις, ἢ διὰ τῶν γεωργῶν ὑβριστικοὺς, τὸν ἦρος, ὅπως διασκεδασμένον τὸ ὑγρὸν, καὶ τμηθείσης ἐν ὥρᾳ, τοῦτ᾽ ἀπορρυῇ. διὰ γὰρ τὸ πλῆθος οὐ πεπήσσας, τὸ θ᾽ ὑβρίζειν· ἀλλὰ καὶ ἐγκλήματ᾽ εἶναι. φυτοῖς δὲ οὐσι τοῖς τοιούτοις, καὶ ὑπαναιρεῖν ἤδη τὰ αὐθαιρὰ δεῖ κριθὰς καὶ κυάμους· ἐπειδὴ ταῦτα ξηραντικώτατα πάντων. αἱ μὲν οὖν αἰτίαι, σχεδὸν αὗται παρ᾽ ἑκάστων. ἀκριβεστάτη δ᾽ ἡ ἐν ἀμφοῖν διαίρεσις. ἔν τε ταῖς χώραις καὶ τοῖς γένεσι, καὶ πρὸς τὰς ὥρας, καὶ πρὸς τὸ βραχυτομεῖν ἢ μακροτομεῖν. ἔνια γὰρ οὐ φέρουσι, κἂν βραχὺ τμηθῶσιν, ἀλλ᾽ εἰς τὴν βλάστησιν τρέπονται· καθάπερ ὁ ἀφυταῖος καλούμενος. καὶ ἐν ἐκαδίνθῳ δὲ ἤδη τέτταρας ὀφθαλμοὺς ἐλαχίστην τέμνουσιν. αἱ δὲ μακροτομούμεναι, ταχὺ καταγηράσκουσι διὰ τὴν πολυκαρπίαν. νέας δ᾽ οὖν οὔσας, ἀναγκαῖον βραχυτομεῖν, ὅπως καὶ ῥιζωθῶσι. καὶ περὶ μὲν ἀμπελουργίας, ἐκ τούτων ἄν τις θεωρήσειεν. Ἐπεὶ 22

δ᾽ ὅμοιον περὶ τούτων, καὶ ὥσπερ δεύτερον ἡ βλαστολογία, δεῖ καὶ ταύτην εὐθὺς ποιεῖσθαι, καὶ βλαστολογεῖν, ὅταν διαφαίνωσι τὸν καρπόν. μετὰ δὲ ταῦτα εὐθὺς τὸ δένδρον σκάπτειν, ὅταν ὁ καρπὸς καὶ ὁ βλαστὸς νέος ὢν καὶ ἐν ὁρμῇ τοῦ βλαστάνειν, ὡραίαν λάβῃ τὴν σκαπάνην. ἔπειτα πάλιν βλαστολογεῖν, πρὸ τοῦ ἀνθεῖν. συμβαίνει γὰρ ἐν τούτῳ τὸ τρύγιον αὔξεσθαι, διὰ τὸ μή πω συνιστάναι τὰς ῥᾶγας. ὅταν δὲ ἀπανθήσῃ, τὸ μὲν συνίσταται, αἱ δὲ συνίστανται καὶ αὔξονται. τὸ δ᾽ ὅλον, αὐχμαλέα μάλιστα ἀποδίδοσθαι ζητεῖ τῶν ἔργων, ἥ τε βλαστολογία καὶ ὁ σκαφητὸς ὁ μέσος. τῇ γὰρ ἀμπέλῳ τότε συμβαίνει πρὸς αὔξησιν ὁρμᾶν, τῶν τε παρόντων καρπῶν καὶ τῶν βλαστῶν, ἐν οἷς ἄρχεται γονεύειν τὸν εἰς νέωτα καρπόν. ἐὰν οὖν ὁ καρπὸς μὴ πληθῇ, καλῶς γονεύσει. βλαστάνει δὲ μέχρι τοῦ κυνὸς ἐπιπολῆς. ὅταν δὲ ἐπιτέλλῃ, παύεται τὰ μέλλοντα καλῶς ἐγκύμονα γίνεσθαι. θερμαίνοντος γὰρ τοῦ ἡλίου, τὸ περιγινόμενον τῶν βλαστῶν ἁπαλὸν ἀποσκληρύνεται καὶ παύεται. πεπαυμένης δὲ τῆς αὐξήσεως, φύσιν ἔχει συνίστασθαι τὴν ὑγρότητα τοῦ βλαστοῦ, καὶ ἐκ ταύτης φύεσθαι τὸν καρπόν. ὅσα δ᾽ ἐν παλισκίοις ἢ ἐνύδροις ἐστὶ, κρατεῖ τοῦ ἡλίου, καὶ πλείω χρόνον αὔξεται. καιρὸν δὲ τινα ζητεῖ καὶ ἡ διαστολὴ, καὶ ἡ κόλουσις· οὐ μὴν ἄσημον γ᾽ ὁμοίως, οὐδὲ χαλεπὸν καταμαθεῖν. Τὴν δ᾽ ὑπο- 23 τοῦ λείαν

κόνισιν, τὸ μὲν ἐν τοῖς πρώτοις καιροῖς, ὅταν ἄρχονται περκάζειν οἱ βότρυες, μὴ ἐὰν ἄχρις οὗ πεπανθῶσιν, ὀρθῶς ἔχει. κωλύουσι γὰρ τὴν ὁρμὴν τῆς πέψεως, ἀνακαμπτόντες εἰς τὸ ἕτερα κινήσει. διὸ οὐδὲ τὴν πόαν † οἴομαι δεῖν ἐκτίλλειν, ὡς ὅλως ἀχρεῖον καὶ βλαπτικόν, οὐκ ὀρθῶς. ἥ τε γὰρ χρεία μαρτυρεῖ, καὶ τὸ ἐφ᾽ ἑτέρων γινόμενον. οἱ γὰρ σίκυοι δοκοῦσι τρέφεσθαι τούτῳ, καὶ ἁπαλώτεροι γίνεσθαι, κατακρυπτόμενοι τῷ κονιορτῷ. διὸ καὶ μεγαρεῖς κρύπτουσι. θαυμάζεται δ᾽ εἰ ξηρὸς ὢν τρέφει. τὸ δ᾽ αἴτιον ἴσως ἐκ πλειόνων ἂν εἴη. καὶ τῷ κινουμένης τῆς γῆς ἀναδίδοσθαι τροφήν ἐνίκμου τινὸς ἀέρος, ὥσπερ ἤδη τῆς ἀτμίδος ἐλέχθη· καὶ τῷ, περιβολὴν ἅμα πρὸς τὸν ἥλιον εἶναι· καὶ ἔτι καταξηραινόμενον ἁπλῶς ξηρότητα καὶ μαλακήν, μᾶλλον ἀποσπᾶται τὴν τροφὴν ἐκ τῆς ἀμπέλου. +εἴοντα πολὺ πάντα γὰρ ταῦτα συνεργεῖ καὶ πρὸς εὐτροφίαν καὶ πέψιν. ἡ δὲ τῶν σικύων κατάκρυψις, οὐκ ἄλογος. ἀναξηραίνων γὰρ ὁ ἥλιος, σκληρύνει· διὸ καὶ ὑπὸ τὰ φύλλα κρύπτουσιν. ὡς ὑποβολὴν ἔχοντες, καὶ βρεχομένων ἀμφοτέρων, εὐτραφεῖς γίνονται καὶ ἁπαλοί. καὶ περὶ μὲν ἀμπέ- δὲ

δῶσι καὶ ξηραῖς, ἀνάγκη τὰ βέλτιστα λιπεῖν. ξηρὰ γὰρ ὄντα καὶ ὀλιγότροφα, οὐ ῥᾳδίως ἑτέρας προΐσονται. διὸ συνακολουθητέον τῇ ὁρμῇ. χρὴ δὲ καὶ πρὸς τὰ ἐνδύματα τῇ αὐτῇ ὁρμῇ χρῆσθαι, καὶ μὴ βιάζεσθαι παρὰ φύσιν. τῶν μὲν οὖν φυτῶν τοιαῦτα καὶ διὰ ταῦτα, ποιοῦνται τὰς θεραπείας.

19 Τῶν δ' ἀμπέλων τῶν πλείων ἤδη, πρῶτον μὲν καὶ μέγιστον ὥσπερ ἡ κλάσις. καλῶς γὰρ ἀμπελουργουμένη, καὶ εὐβλαστοτέρα, καὶ εὐκαρποτέρα, καὶ πολυχρονιωτέρα γίνεται. δεύτερον δὲ, καὶ τρόπον τινὰ τούτῳ παραπλήσιον, ἡ βλαστολογία. καὶ γὰρ ἐν ταύτῃ δεῖ εἰδέναι δεῖ, τὰ ποῖα συμφέρει καταλιπεῖν, καὶ τὰ ποῖα ἀφαιρεῖν, καὶ πρὸς τοὺς ἑτέρους καρποὺς, καὶ πρὸς τὴν ὅλην φύσιν. τὰ δ' ἄλλα ἤδη κοινότερα, καὶ ῥᾴω· πάντα δ' ἔχοντα διαίρεσιν, ὥστε κοινὸν ζητεῖν καὶ τρόπον. αἱ δὲ διαφοραὶ περὶ τὰς ὥρας τῶν ἔργων, τὰ μὲν καὶ ἐν τοῖς ἄλλοις ἐστὶν, οὐ μὴν ἀλλὰ πλείστη γε κατὰ τὴν κλάσιν καὶ τὴν ἀμπελουργίαν. ἐπεὶ ὥς καὶ πειρῶνταί γε διαιρεῖν, ὅτε τοῖς γένεσι ποιούμενοι καὶ ταῖς χώραις τὸν ἀφορισμόν. ὁ δ' ἀφορισμὸς ἐν δυοῖν, ἐν ποίαις ἑκάσταις ὥραις δεῖ, καὶ ἐν τῷ βραχυτομεῖν ἢ μακροτομεῖν. ἐπεὶ τά γ' εἰς τὴν ἀγωγὴν, καὶ τὴν ὅλην τομὴν τῶν ἀμπέλων, πανταχοῦ τὰ αὐτά. σχεδὸν δ' ἔνιοί γε τὸν αὐτὸν καὶ διειλέασιν ἐπί τε τῶν γενῶν, καὶ τῶν ὁμοίας χώρας ἀφορισμόν· οἷον τὸ βραχυτομεῖν, ἔν τε ταῖς καυσώδεσι καὶ ξηραῖς καὶ τῶν ἀμπέλων ὅσαι τοιαῦται τυγχάνουσαι, ἐγκαρπότεραι † γὰρ γίνονται, διὰ τὸ μᾶλλον δύνασθαι τρέφειν. μακροτομεῖν δὲ ταῖς ἐναντίαις καὶ τὰς ἐναντίας· οἷον ἐν τοῖς ἐφύγροις καὶ εὐτραφέσι, καὶ ὅσαι τῶν ἀμπέλων τοιαῦται. φύσει τε γὰρ καὶ παχύτεραι εἰσὶν, καὶ τὸν γινόμενον καρπὸν ἐν ἄκροις μᾶλλον φύεσθαι τοῖς κλήμασιν. ἔνιοι δὲ καθόλου περὶ πασῶν διαιροῦσιν, οὐκ εἰς τὰς ὥρας ἀποβλέποντες, ἀλλ' εἰς αὐτὰ τὰ γένη καὶ τὰς διαθέσεις, κελεύοντες σκοπεῖν πρὸς τὴν μήτραν, ὥσπερ ἐπὶ τῶν αὐτῶν εἴπομεν ἐν τοῖς ἀποτεμνομένοις τῶν νέων κλημάτων. ἐὰν μὲν γὰρ ἔχῃ πολλὴν, πολλὰ καὶ βραχέα καταλιπεῖν, ὅπως βραχέων μὲν ὄντων δύνηται τρέφειν· ἀπὸ πολλῶν δὲ πολὺς ὁ καρπὸς γίνηται. ἐάν τε ὀλίγην, καὶ πολὺ τὸ ἐν τῷ κλήματι ἔχουσαν, ἐλάττω μὲν τὸ πλῆθος, μείζω δὲ τὸ μέγεθος. δεῖ δὲ ὅσῳ ἐλάττω τὴν μήτραν, τοσούτῳ μακρότερα λείπειν ἐν ἁπάσαις. καθόλου μὲν οὖν, ὥστε τὸ μέγεθος τὴν βραχύτητα τῶν κλημάτων καθ' ἑκάστην ποιεῖσθαι πρὸς τὴν μήτραν τὴν ἐν τοῖς ἀποτόμοις, ὅπως ἴσον τὸ πλῆθος ᾖ τῷ περιειληφότι κλήματι. τῆς γὰρ ἀμπέλου τεμνομένης οὕτως, πρός τε τὴν ἕξιν τὴν ἑαυτῆς, καὶ πρὸς τὴν τοῦ καρποῦ φορὰν, πολυχρόνιον ἔσεσθαι καὶ ἀγαθὴν διὰ τέλους. ἐὰν δὲ ἡ μήτρα πλείων μέρος κατέχῃ τῆς τομῆς, καρπὸν μὲν γίνεσθαι πολὺν, τὰ δὲ κλήματα ἀμβλυνά, διὰ τὴν τῆς τροφῆς ἀποφθίνειν. ἐὰν δὲ τὸ κλῆμα τὸ ἐν τῇ τομῇ δυνατὸν ᾖ καὶ ἱκανὸν, καρπὸν ὀλίγον ἀπὸ μικρᾶς τῆς μήτρας. γίνεσθαι γὰρ τὸν μὲν βότρυν, ἀπὸ τῆς μήτρας· τὸ δὲ κλῆμα, ἀπὸ τοῦ περιειληφότος κλήματος. δηλοῦν δὲ τὴν ἄμπελον αὐτήν. τὰ γὰρ ἐκ τῶν ἔνων νέων βλαστήματα, πάντα ἄκαρπα γίνεσθαι, διὰ τὴν μικρότητα τῆς μήτρας· καὶ τὰς νέας τῶν παλαιῶν ἀφορωτέρας, διὰ τὴν αὐτὴν αἰτίαν, ὡς ἀπὸ τῆς μήτρας, τοῦ τε καρποῦ. καὶ τοῦτο γὰρ τὸ γινόμενον, ὅπερ οὐδ' ὑπολαμβάνουσιν, οὐδ' ἔοικεν. ἅπερ ἐξαιρεθείσης, ἡ μὲν σὰρξ γίνεται, τὸ δὲ γίγαρτον οὐ γίνεται. πλὴν εἰ ἄρα τῷ ἐνδοτάτω τῆς μήτρας ἐξαιρουμένης. τοῦτο μὲν οὖν ἐπισκεπτέον. εἰσὶ δ' ὅλως αἱ μείζους ἔχουσαι τὰς μήτρας, εὐκαρπότεραι καὶ πολυκαρπότεραι τυγχάνουσιν, οὐδὲν ἂν διαφέροι πρὸς τὰ νῦν. κοινότατον μὲν δεῖ ταύτην εἶναι πάσαις. ὅσαι δὲ κλήματα μὲν πολλὰ φύουσι, καρπὸν δ' ὀλίγον, τούτων τὰ μὲν ἐξ ἄκρας τὰς πρώτας ὡς μακρότατα λείπειν, τὰ δὲ πρὸς αὐτὸ τὸ στέλεχος βραχέα· ὅπως ἀπὸ μὲν βραχείας τομῆς, ἡ ἄμπελος αὔξηται· ἀπὸ δὲ τῶν ἐξ ἄκρου κλημάτων, ὁ καρπὸς, ἀπὸ μεγάλης τῆς μήτρας πολύς. ὅταν δὲ βλαστάνῃ, περιαιρεῖν τὰ ἄλλα πάντα· πλὴν ὅσα καρπὸν ἔχει, τούτων ἀποκνίζειν τὰς κορυφὰς ἐν αὐταῖς ταῖς οἰνάνθαις, ἵνα μήθ' ἡ ἄμπελος εἰς τοῦτο τὸ κλῆμα ἀφίῃ τὴν αὔξησιν, ὅπερ ἀποτέμνεται· ἥ τε περιοῦσα τροφὴ συναλισθεῖσα, ἐν ταῖς οἰνάνθαις αὔξει τὸν βότρυν. ἀεὶ γὰρ δεῖ τοῦτο ζητεῖν ἐκ τῆς τομῆς, ὅπως ἥ τε ἄμπελος ἰσχύσῃ, καὶ ὁ καρπὸς ἔσται πολύς. αὕτη μὲν δὴ καθόλου τις ἐστὶ κοινὴ πάσαις.

Ἔργα δὲ τῆς ἀμπελουργίας, οἱ μὲν ταῖς χώραις μόνον διαιροῦσιν, οἱ δὲ τῶν γενῶν ἐφάπτονται. κελεύουσι δὲ τὰς μὲν ἐν τῇ ξηρᾷ καὶ θερμῇ, πρωΐας ἀμπελουργεῖν, ὅταν τάχιστα παύσωνται φυλλοβολοῦσαι· τὰς δ' ἐν τῇ ψυχρᾷ καὶ ἐπόμβρῳ, μικρὸν πρὸ τῆς βλαστήσεως. αἱ μὲν γὰρ ἐν τῇ ξηρᾷ, διασώζουσαι τὸ ὑγρὸν, αὐταί τε βελτίους γίνονται, καὶ ὁ καρπὸς ἡδυοινότερος· αἱ

δ' ἐν τῇ

† μὴν

τε πυκνὰ μήτε μανά. γίνε μὲν οὖν πρὸς ἑκατέραν ταῦτα οἰκεῖα διαιρεῖται. Περὶ δὲ τῶν 17
κατορυγμάτων, ἐπείπερ ἰσχυρότατα δεῖ, διὰ τοῦτό τινες κελεύουσιν ὡς ἐκ ψυχροτάτης χώρας
λαμβάνειν. πυκνότατα γὰρ ὄντα, μᾶλλον ἔχειν ὥστε καὶ ἐν ταῖς λεπταῖς ἀντιλαμβάνεσθαι.
διὰ τοῦτο γὰρ καὶ τὰ μοσχεύματα δ᾽ ἄν τις εἰς τὰς ἐπομβρίας μᾶλλον ἐμβάλλειν, ἢ τὰ φυτεύμα-
τα πάντων τῶν δένδρων. ὅτι τὰς ῥίζας τὰς καθιεμένας τῶν φυτευμάτων ἀσθενεῖς οὔσας
ἐκσήπει, † ἡ τῶν μοσχευομένων ἰσχυροτέρα, καὶ εὐθὺς ἀντιλαμβάνεται. τὰ δὲ πάχη τῶν τὰ δὲ τῶν
φυτῶν, εἰς μὲν τὴν ἔπομβρον οἰκεῖα· δεῖ γὰρ μάλιστα ἰσχυρά, καθάπερ λέγομεν. εἰς δὲ τὴν
αὐχμηρὰν, μήτε παχέα, μήτε ἄγαν λεπτά. τὰ μὲν γὰρ, οὐκ ἂν δύναιντο σῶσαι· τὰ δὲ ἀσθε-
νῆ, κίνδυνος μὴ πρὸ τῆς βλαστήσεως ἀποξηρανθῇ. παραλλάττουσι δὲ καὶ οἱ χρόνοι τῆς φυ-
τείας καθ᾽ ἑκατέραν. τὴν μὲν γὰρ ἔπομβρον καὶ ψυχρὰν, ὀλίγον πρὸ ἰσημερίας δεῖ· τότε
γὰρ ξηρότατα καὶ θερμότατα. τὴν δ᾽ αὐχμηρὰν καὶ θερμὴν, μεθ᾽ ἡλίου τροπάς· ὅσῳ
γὰρ ἂν μᾶλλον βρέχηται, τοσούτῳ βελτίων ἡ βλάστησις. τὴν δ᾽ ἄλλην ἅπασαν, τεκμαι-
ρόμενον πρὸς τοῦτον τὸν χρόνον. Χρὴ δὲ καὶ τὴν ἐργασίαν ποιεῖσθαι πρὸς τὴν χώραν, εὐ- 18
θὺς ἀπ᾽ αὐτῶν τῶν γύρων ἀρξαμένους. οἷον ἐν τῇ ἐπόμβρῳ, μήτε μεγάλους ὀρύττοντας, μή-
τε βαθεῖς, ὅπως μὴ πολὺ συνιστάμενον ἐκσήπῃ τὸ ὕδωρ. διὰ τοῦτο γὰρ κἂν σφόδρα κάθυ-
γρος ᾖ, τοῖς πατταλοῖς τοῖς σιδηροῖς φυτεύουσι. μὴ δὲ δεῖ συσκάπτειν αὐτὸ ἔτι, μὴ δὲ τὸ
ὕστερον, ὅπως μάλισθ᾽ ὁ ἥλιος ξηραίνῃ τὴν κατὰ τὸ φυτὸν γῆν. ἐὰν δὲ αὐχμηρὰ καὶ ξη-
ρὰ, δῆλον ὡς ἐναντίως. † οὐ γὰρ γύρους ἅμα πᾶσαν ἡ δυνατὸν ὀρυκτέον, ἵν᾽ ὡς μάλι- † ὡς γὰρ
στα συνεργασθεῖσα, δέχηται τὸ ὕδωρ. εἰ δὲ μὴ, τάφρους ὡς βαθυτάτας καὶ μεγίστας ποι-
οῦντας, συσκάπτειν ὅτι μάλιστα πρὸς αὐτὸ τὸ φυτὸν, ὅπως ἥκιστα διαθερμαίνηται τοῦ θέ-
ρους. ὁμοίως δὲ καὶ τἆλλα τούτοις ἀκόλουθα ποιεῖν. ὡς γὰρ ἁπλῶς εἰπεῖν, ἀληθὲς τὸ καὶ
ἀε πρότερον λεχθὲν, ὅτι δεῖ ταῖς ἐργασίαις, τὴν μὲν ὑγρὰν ξηραίνειν, τὴν δὲ ξηρὰν ὑγραί-
νειν. διὸ καὶ τοῦ ἔαρος κελεύουσιν ὡς βαθύτατα σκάπτειν, ὅπως ὅτι πλεῖστον ἐγκαταμι-
χθὲν πνεῦμα, κατέχῃ τροφήν. ὥσπερ γὰρ εἴρηται πολλάκις, † οὐκ ἐκ τοῦ ἀέρος ἡ καὶ ἐκ
τροφή. λαμβάνουσι δὲ καὶ κατὰ τὰς ὡραίας καὶ ἀνωμάλους τὰ πρόσφορα ταῖς φυ-
τείαις· οἷον τούς τε γύρους ὀρύττοντες τοῖς καθεστῶσι πνεύμασι, καὶ τὸ φυτὸν τιθέντες
τὸν αὐτὸν τρόπον, ὅπως ἡ βλάστησις μὴ ἐναντία γίνηται τῷ πνεύματι. θραύεσθαι γὰρ
ἐκείνως ἀνάγκη· μὴ δ᾽ ἔμπαλιν ὑποπιεζομένη παρὰ φύσιν αὔξεται. τοῦτον γάρ τι
πάσχουσα, χείρων ἡ ἄμπελος. ὡσαύτως δὲ καὶ τὰ ἄλλα τὰ ἀκόλουθα πρὸς τὴν χώραν.
τὰς μὲν οὖν φυτείας, ἐν ἑκάσταις οὕτω καὶ διὰ ταῦτα ποιοῦνται. τὰς δὲ τομὰς παν-
ταχοῦ τῶν φυτῶν βραχείας, ὡς ἂν ῥιζοβολῶσι καὶ αὐξηθῶσιν· ἅμα δὲ ἡ γῆ αὐχμηρὰ, καὶ τρέ-
φειν ἀδύνατος τὰ πολλά. κατὰ δὲ τὴν ἔφυδρον καὶ ψυχρὰν, ἢ καὶ ὅλως ἔνυγρον, καὶ τὸ ἔαρ
τέμνειν εὐλαβοῦνται, τὸ γὰρ ψῦχος ἀποξηραίνει. ὥραν δὲ τῆς τομῆς χρεὼν τὴν αὐτὴν πᾶ-
σιν ἀποδεδόασιν, ἐπ᾽ αὐτὴν τὴν βλάστησιν· ὅπως τὸ φυτὸν πλῆρες ὂν τοῦ ὑγροῦ πρὸς
τὴν ἀφαίρεσιν ὁρμήσῃ, καὶ ὁ βλαστὸς ἔτι κάλλιστος γίνηται. τὴν γὰρ τομὴν οὐ καρποῦ χά-
ριν, ἀλλὰ βλαστοῦ γίνεσθαι. τὴν δὲ μετοπωρινὴν, καρποῦ. διόπερ ἐκείνην ποιητέον εὐθὺς
μετὰ πλειάδος δύσιν· τότε γὰρ εἶναι συνεστηκότα τε μάλιστα, καὶ ἥκιστα τεμνόμενα δα-
κρυρροεῖν καὶ ῥήγνυσθαι. μεθ᾽ ἡλίου δὲ τροπὰς, καὶ μετὰ ζεφύρου πνοὰς, ἀμφότερα πά-
σχει ταῦτα τεμνόμενα· καὶ τότε φυτὸν ποιεῖ, καὶ τὸν βλαστὸν ἐξ ἄκρου † φύεσθαι πρὸς τῇ φύεται
τομῇ· διὰ τὸ τὴν τροφὴν τὴν μὲν παρεξερρυηκέναι, τὴν δ᾽ ἐν τοῖς ἄκροις καταλελεῖφθαι. ἐξα
τέμνειν δὲ, τὰ μὲν ἐν τῇ χέρσῳ φυτευόμενα τῷ τρίτῳ ἔτει· θᾶττον γὰρ ἀπογίνεσθαι, διὰ τὸ
ἀργοτέραν εἶναι τὴν γῆν, καὶ ἀκάρπωτον. τὰ δ᾽ ἐν τῇ γεωργουμένῃ, ὀψιαίτερον. τὴν δ᾽
ἄμπελον ἄγειν δεῖ κύκλῳ περὶ τὸν πυθμένα· πανταχόθεν γὰρ ὁμαλοῦς οὔσης, καλλίων καὶ
εὐκαρποτέρα. τοῦτο δ᾽ οὐ χαλεπὸν, ἐὰν † τι καταλείπῃ μὴ τὰ κάλλισθ᾽ ὡρμηκότα τῶν κλημά- † τις
των, ἀλλὰ τὰ ἔσω πεφυκότα πρὸς τὴν ἀγωγήν. ἀρκεῖ γὰρ εἷς ὀφθαλμὸς ἐλλειφθεὶς εἰς τὸ
δένδρον. ἐὰν δέ τις ἀπορῇ, καὶ τοῦτ᾽ οὐ διὰ τὴν ἄμπελον ὡρμηκέναι, κατὰ τὸ αὐτὸ τῶν
λειφθέντων κλημάτων ἀφαιρεῖν τοὺς ἐντὸς ὀφθαλμοὺς, ὅπως εἰς τοὺς ἔξω ῥέουσα ἡ τροφὴ
χίσῃ τὴν ἄμπελον. ἀεὶ γὰρ πρὸς τὸ ζῶν καὶ τὸ δεχόμενον ἡ ἐπιρροή. διὸ, καθάπερ ἐλέχθη,
ῥᾴδιον ποιεῖσθαι τὰς ἀγωγάς. τοῦτο δ᾽ ἐν ταῖς ἐνίκμοις καὶ ἀγαθαῖς. ἐν δὲ ταῖς αὐχμώ-

δεσι καὶ

πάντων. τὰ δὲ καὶ ὅλως ἀναιρεῖ, πλὴν ὅσα γ' ἐν φαρμάκου μέρει. λέγω δέ, ὡς οἱ τὰς κριθὰς
ὑποσπείροντες ταῖς τῶν ἀμπέλων φυτείαις, ἢ εἴ τι ἄλλο ξηρόν, ὅπως τὴν ὑγρότητα ἀφαιρῇ. ἢ
ὡς ταῖς ῥαφανίσι τοὺς ὀρόβους, πρὸς τὸ μὴ κατεσθίεσθαι· καὶ εἰ δή τι ἄλλο τοιοῦτον. καὶ ὅσα προσ-
φιλῆ τυγχάνει· καθάπερ ἐλαία δοκεῖ τῶν δένδρων, καὶ μύρρινος. τάς τε γὰρ ῥίζας συμπλέ-
κεσθαί φησι τῶν δένδρων Ἀνδροτίων, καὶ τὰς τοῦ μυρρίνου ῥάβδους φύεσθαι διὰ τῶν ἀκρεμό-
νων τῆς ἐλαίας· τόν τε καρπὸν ἔχοντα τὴν ἁλίαν, καὶ τὴν ἀνέμων προσβολήν, ἐλαίαν ἀπαλὴν
γίνεσθαι καὶ γλυκύν· ἔλαττον δὲ τοῦ ἐν τοῖς προσήλοις. ἄλλο δ' οὐδὲν ἰδίως φυτεύεσθαι πρὸς ταῖς
ἐλαίαις. συμμενὴς δὲ καὶ πτελέα δοκεῖ πᾶσιν εἶναι, διά τε τὸ μονόρριζον εἶναι, καὶ βαθύρρι-
ζον. ὑποφυτεύονται γὰρ ὑπ' αὐτῇ καὶ μύρρινος, καὶ δάφνη, καὶ ἕτερα πλείω· καὶ αὔξησιν
† σκίας λαμβάνει. καὶ φανερόν, ὅτι μᾶλλον παρενοχλοῦσιν αἱ ῥίζαι ταῖς †σκίλλαις. σκιὰν γὰρ πολλὴν
ποιεῖ ἡ πτελέα. κατὰ λόγον δὲ καὶ τὰ ἄλλα τὰ ὀλιγόρριζα καὶ βαθύρριζα· καὶ πρὸς οἷς, ὧν μὴ κα-
τὰ τὴν αὐτὴν ὥραν ἡ βλάστησις καὶ καρποτοκία. τροφήν τε γὰρ ἐλαχίστην ἀφαιρεῖται ταῦτα·
καὶ παραλλάττοντες οἱ χρόνοι τῇ τε βλαστήσει καὶ τῇ τελειώσει τῶν καρπῶν, ἧττον λυποῦσι. χαλε-
πώτατα δὲ καὶ ἀμπέλῳ καὶ τοῖς ἄλλοις, συκῆ καὶ ἐλαία. καὶ γὰρ τροφὴν πολλὴν ἀμφότερα λαμ-
βάνει, καὶ σκιὰν παρέχει πλείστην. χαλεπὸν δὲ καὶ ἡ ἀμυγδαλῆ, διά τε τὴν ἰσχύν, καὶ ^τὴν πολυρ- ^διὰ
ῥιζίαν καίτοι φυτεύουσί τινες ἐν ταῖς ἀμπέλοις, ὡς ἀσινέστατον. τροφῆς τε ἐλαφρᾶς δεομέ-
νην, καὶ ἅμα διὰ τὸ πρωΐκαρπον καὶ μὴ πολύσκιον ἥκιστα ἐνοχλοῦσαν. οὐ μὴν ὀρθῶς γε λέγουσιν.
οὐ γὰρ οὕτως ἡ σκιὰ λυπεῖ, καθάπερ εἴρηται, καὶ τὸ ὄψιον, ὡς ἡ ἰσχὺς τῶν ῥιζῶν. ἀφαιρεῖται
γὰρ τὴν τροφήν, συντάρρον γινόμενον. ἀλλὰ κουφότατον καὶ ἀσινέστατον πάντων ἐστί, μηλέα,
καὶ ῥόα· καὶ γὰρ ἡ πολύρριζα, καὶ τροφῆς ἐλαφρᾶς δεῖται, καὶ ταχὺ γηράσκουσιν, ὥστε
μὴ πολὺν χρόνον ἐνοχλεῖν. ἁπλῶς δ' ἁπάντων ὑπεισιέναι καὶ βλάπτει τῇ παραφύσει. καί-
τοι συμβαίνει γ' ἐνίοτε, τῶν παραφυτῶν παραιρουμένου θατέρου, καὶ θάτερον αὐαί-
νεσθαι. ὅπερ γὰρ ἤδη τινὶ συνέπεσεν, ἅμα πεφυκυιῶν ἀναδενδράδων καὶ συκῶν, ὡς
αἱ συκαῖ περιῃρέθησαν. αἴτιον δ' ὅτι μεγάλην ἐποίησε μεταβολήν, συμπεφυκυιῶν ἤδη καὶ
† εἰ μὲν νέων ὄντων συνεκτεθραμμένων. ὥσπερ γὰρ μία φύσις ἐγεγένητο, διὰ τὸν χρόνον †ὑμμένων ὄντων δι-
θὺς παρεῖλεν, οὐχ ὅτι ἀνεφύετιν, ἀλλὰ καὶ διαυξετέρας καὶ καλλίους ἐποίησε. καὶ περὶ
16 μὲν τῶν ἄλλων δένδρων θεωρείσθω. Περὶ δὲ ἀμπέλων, ὅσα μὲν κοινά, καὶ ἐν τοῖς πρότε-
ρον εἴρηται, λεκτέον ὁμοίως. ἐπεὶ δὲ καὶ τὰ γένη διαφέρει, καὶ αἱ χῶραι, ὥσπερ χρὴ παρα-
θεῖναι διαιρεῖν, τὰ ποῖα καὶ ταῖς ποίαις οἰκεῖα. κατὰ φύσιν μὲν γὰρ ἐὰν φυτεύῃ τις,
ἀγαθά· παρὰ φύσιν δέ, ἄκαρπα γίνεται. τὸ δὲ κατὰ φύσιν, σχεδὸν καθ' ὁμοιότητά
τινα λαμβάνουσιν, ὡς εἴπομεν. ἐν μὲν τῇ στερεᾷ καὶ αὐχμώδει τὰ στερεά, καὶ τῶν λευ-
κῶν καὶ τῶν μελάνων· ὡς δ' ἤδη τὸ πᾶν, τὰ μέλανα στερεώτερα. ἐν δὲ τῇ ἐπόμβρῳ, τὰ μα-
νά. διαλλάλα δὲ τὰ πυκνὰ καὶ τὰ μανὰ ταῖς μήτραις, ἃς δεῖ θεωρεῖν ἀποτέμνοντας τὰ
νέα τῶν κλημάτων. ἔχει γὰρ ἡ μὲν μανὴ πολλήν, τὸ δὲ ξύλον λεπτόν· ἡ δὲ πυκνὴ μικράν, τὸ
δὲ ξύλον παχύ. ὅτι δὲ ἑκάτερον ἑκατέρᾳ τῇ χώρᾳ συμφέρει, διὰ τῶνδε φανερόν. ὧν μὲν γὰρ
ἡ μήτρα μεγάλη, τούτων καὶ οἱ πόροι εὐρεῖς· ὧν δὲ μικρά, στενοί τε καὶ ὀλίγοι. διὸ καὶ αὐτῆς
στερεᾶς τροφῆς ἐλάττονος δεῖται τὰ πυκνά, καὶ ἅμα διατηρεῖν δύναται τὸ ὑγρὸν εἰς τὸ θέ-
ρος. ὁ γὰρ ἥλιος οὐχ ὁμοίως ἐξάγει, διὰ τὴν πυκνότητα. διὸ μικρᾶς τῆς ἀφαιρέσεως γινομέ-
νης, ἐπαρκοῦσιν αἱ ῥίζαι τὸ σύμμετρον εἰς τὸν καρπόν. αἱ δὲ μαναί, πολλῆς μὲν τῆς ἀφαιρέ-
σεως οὔσης, ὀλίγης δὲ τῆς ἐπιρροῆς, διὰ τὴν ξηρότητα τῆς γῆς, τά τε κλήματα ἀσθενῆ καὶ τοὺς
καρποὺς ἀτελεῖς φέρουσι, τῇ δὲ ἐπόμβρῳ, προσφορώτατον τὸ γένος, ἅτε πολλῆς τροφῆς
δεόμενον. καὶ μεγάλης ἀφαιρέσεως γινομένης, ὁ ἥλιος ἐξάγει· καὶ τοσούτῳ πλέον ἐπιδί-
δωσι, καὶ εἰς μέγεθος, καὶ εἰς εὐκαρπίαν· ἄφθονον μὲν γὰρ τροφὴν ἔχει, ταύτης δὲ κατα-
κρατεῖ, καὶ πέττουσα ῥᾳδίως. διὸ ὥσπερ γὰρ καὶ ἡ λειμωνία δοκεῖ ταῖς ἀμπέλοις εἶναι
κρατίστη, διότι πρὸς τὸ κούφη καὶ μὴ πίειρα εἶναι, καὶ ἔφυδρός ἐστιν, ὥστε μὴ δύνασθαι τὸ οὐρά-
νιον ὕδωρ διικνεῖσθαι πρὸς τὸ ἐκ τῆς γῆς. ἡ δ' ἄμπελος, ὕδατος πλείστου δεῖται, διὰ τὸ ἐν τῷ
καρπῷ πλεῖστον ἔχειν τὸ ὑγρόν· ἔτι δὲ μάλιστ' ἀντέχειν δύναται ἐν ταῖς ἐπομβρίαις. ἐὰν δὲ ἡ
χώρα μήτε αὐχμηρά, μήτε ἔπομβρος, ἀλλὰ μέση τυγχάνῃ, τὰ ἀνὰ μέσον φυτευτέον, ὅσα μή-
τε πυκνά

δὲ καὶ οὐδ' ἂν δύναιντο δέχεσθαι συνεχῶς, ἀλλ' ἀφαυαίνονται διὰ τὴν θερμότητα. τὸ γὰρ τῇ ψιλῇ κοπρίζειν, οὐχ ὅμοιον. ἐν ἐκείνῃ μὲν γὰρ εἰς πολλὰ μερίζεται, καὶ ἐξαναλίσκεται· τὰ δὲ οὐ μόνον τῶν σπερμάτων. ἐνταῦθα δ' εἰς αὐτὰς τὰς ῥίζας δύεται, καὶ οὐ δύναται παραδιδόναι τοῖς καρποῖς, οὐχ ὁμοίως εὔτροφον, ὃ δὲ πολυχοῦν. ὥστε πάλιν ἄλλως καὶ ἄλλως ἐπιγινομένης, ὡς ἐκθερμαινόμενον, αὐαίνεται. ἐπεὶ καὶ ὁ σῖτος, ἄν τις κατακόρως χέῃ, † καὶ ἐπιγίνεται (καὶ μὴ) πλῆθος ὕδατος. διὸ καὶ ταῖς ἐπομβρίαις χρησιμώτερος ὅ γε συνεχὴς καὶ πλείων κοπρισμός. ἐν δὲ ταῖς αὐχμώδεσι καὶ λεπταῖς ὁ σύμμετρος. διὰ ταῦτα δὲ ἴσως οὐδὲ ἡ δριμυτάτη τοῖς δένδροις ἁρμόττει. καί τοι δόξειεν ἂν ἄτοπον εἶν, τὸ μὴ τοῖς ἰσχυροτάτοις *. ἀλλ' ἐν τῶν πεφυρμένων τὸ αἴτιον ληπτέον. ἐπεὶ καὶ τοῖς λαχάνοις διὰ τοῦθ' ἁρμόττει· διὰ τὸ μεθ' ὑδρείας ἡ χύλωσις, καὶ ὅλως ὅτι πολλῷ τῷ ὑγρῷ χρῶνται καὶ καθ' ἡμέραν, καὶ αὐτὰ φύσει ὑγρά. φυλλοφορεῖν γὰρ ἐθέλουσιν, οὐ καρπογονεῖν αὐτά. οὐ μὴν ἀλλ' ἐνίαις τε χρῶνται καὶ πρὸς τὰ δένδρα τῶν ἰσχυροτέρων, καὶ μάλιστα εἰς μαλακώτατα καὶ μεταβολὴν τῶν καρπῶν. οἷον τῇ πρὸς τὸ γλυκαίνειν καὶ ἀπυρήνους ποιεῖν τὰς ῥόας, καὶ τὰς ἀμυγδαλᾶς ἐκ πικρῶν γλυκείας. καὶ ὡς παρὰ τὰς μυρρίνας κελεύουσιν ἰσχυροτέραν ἔτι παραβάλλειν, οἷον τὴν βυρσοδεψικὴν, καὶ οὖρον παραχεῖν, ὅταν ἐκβλαστάνωσιν, ὡσανεὶ ἀπυρήνων γινομένων. οἱ δὲ καὶ τῇ ἐλαίᾳ συμφέρειν οἴονται πρὸς εὐκαρπίαν. ἔοικε δὲ τὸ ἐν τῇ ἀρχῇ μέγα διαφέρειν. ἐπεὶ καὶ τὰ τῶν σικύων σπέρματα, γάλακτι βρεχόμενα καὶ μελικράτῳ, γλυκυτέρους ποιεῖ. νομίσειε δ' ἄν τις ταῦτα καὶ ἐπὶ τῶν ἄλλων γίνεσθαι λαχάνων. ἀλλ' ἴσως τὸ δριμὺ χρησιμώτερον. ἡ δὲ ῥίζα τῶν δένδρων ἀρχὴ καὶ οὖσα, καὶ τὰ περικάρπια συνεξομοιοῖ τὰ ἐφ' ἑαυτῆς. περὶ μὲν οὖν τούτων καὶ πρότερον εἴρηται. τὴν δὲ χρησίμην, ἀεὶ πρὸς τὰς δυνάμεις ἀφοριστέον· τὰς μὲν δριμυτέρας, ἐλάττονα· τὰς δὲ μαλακωτέρας, πλείονα.

13 Δεῖ δὲ καὶ τὴν πρόσφορον ἑκάστοις τῶν δένδρων μὴ ἀγνοεῖν. οὐ γὰρ ὥσπερ ὕδωρ τὸ αὐτὸ πᾶσιν, οὕτω καὶ κόπρος· ἀλλ' ὥσπερ τὰ ἐδάφη πρὸς ἕκαστον οἰκεῖα, οὕτω καὶ ἡ κόπρος. ἐπεὶ καὶ κατὰ τὰς ἡλικίας τῶν δένδρων ἐστί τις διαφορά. διὸ καὶ φυτεύοντες, ἐμβάλλουσιν εὐθὺς (ὥσπερ ἐλέχθη) τὴν τῶν λοφούρων, ὅτι κουφοτάτη. τὸ δ' ἀσθενὲς, κουφοτάτης δεῖται. τὸ δ' ὅλον, ἐν ταῖς θεραπείαις τῶν δένδρων, ὅσα μὲν κοινὰ πᾶσίν ἐστι, ταῦτα τῷ ποσῷ καὶ τῷ ποιῷ διοίσει, καὶ τοῖς καιροῖς· οἷον τομή, διακάθαρσις, σκαπάνη, κόπρωσις. ταῖς δ' οὖν ἀμπέλοις ἢ διὰ τεττάρων, ἢ πλειόνων ἐτῶν, παραβάλλουσι κόπρον. οὐ γὰρ δύνανται φέρειν διὰ ἐλαττόνων. οὐδ' ἐστι βοήθεια, καθάπερ τοῖς δένδροις, ἡ ὕδρευσις· ἀλλ' ἐκκαίονται. διό, καθάπερ ἐλέχθη, ταῖς ἐπομβρίαις χώραις συμφέρειν μᾶλλον. ἄλλως γὰρ κίνδυνος, μὴ ἐπιγινομένου τῶν ἐκ Διός.

14 Σκαπάνη δὲ πᾶσι συμφέρει. ταῦτα γὰρ ἐμποδίζοντα, καὶ τὰ παραιρούμενα τὰς τροφὰς ἐξαίρει· καὶ αὐτὴν τὴν γῆν ἐνικμοτέραν ποιεῖ, καὶ κουφοτέραν. ἔτι δ' ὁ ἀὴρ ἐγκαταμιγνύμενος (ἀνάγκη γὰρ ἐγκαταμίγνυσθαι κινούμενον) ἰκμάδα τινὰ δίδωσι, καὶ παρέχει τροφήν. διὸ καὶ τὴν αὐχμώδη καὶ ἄνυδρον σκάπτειν δεῖ, καὶ μεταβάλλειν πολλάκις, ὥσπερ καὶ πρότερον εἴρηται. συμφέρει δ' ἡ σκαπάνη καὶ τοῖς ἐλώδεσι, καὶ τοῖς ἐφύδροις. καί τοι δόξειεν ἂν ἄτοπον, εἰ τοῖς ἐναντίοις. ἀλλ' οὐδὲν ἄτοπον. τὴν μὲν γὰρ ξηραίνει, τὴν δ' ὑγραίνει· δεῖται δὲ ἑκατέρα τοῦ ἐναντίου. τροφῆς δὲ πλείονος γινομένης καὶ βελτίονος, αὐτό τὸ δένδρον εὐθενεῖ, καὶ οἱ καρποὶ καλλίους. ποιεῖ γὰρ καὶ τοὺς πυρῆνας ἐλάττους, καὶ ὅλως ξυλώδη καὶ δερματικὰ τὰ ἐκτός· οἷον ἀμυγδαλῆς, καρύας εὐβοϊκῆς· τούτων λεπτότερα ταῦτα, † τὰ δ' ἐν τοῖς, μείζω. (τὰ δ' ἐντὸς) τὸ γὰρ ὅλον ἡ εὐτροφία διϋγραίνει, καὶ τὸ σαρκῶδες αὔξει. διὰ ταῦτα καὶ κατὰ λόγον ἀμφοῖν τὸ συμβαῖνον. ποιεῖ δὲ καὶ εὐχυλότερα, καὶ μείζω καὶ ἡδίω, μετὰ τῶν ἄλλων θεραπειῶν· ὅτι καὶ τροφὴ πλείων, καὶ πέψις γίνεται μᾶλλον. ἐπὶ δὲ τοῦ κρανίου (περὶ τούτου γὰρ μάλιστα ἀντιλέγεται) δῆλον, εἴπερ ὡς ἀληθῶς πλεῖον ἀναλαμβάνει τῆς συμμέτρου τροφῆς. ὥσθ' ἧττον ποιεῖν εὔχυλον. ὅπερ καὶ ἐπ' ἄλλων συμβαίνει περικαρπίων, ἐν ταῖς πίοσι λίαν χώραις καὶ εὐτρόφοις. ἡ μὲν οὖν σκαπάνη, πάντα ταῦτα συναπεργάζεται. καὶ τὸ ὅλον, ὠφελεῖ διὰ τὸ ἐξαιρεῖν τὰ παραιρούμενα.

15 Ἐπεὶ καὶ τὰ παραφυόμενα καὶ τὰ παρασπειρόμενα, διὰ τὸ βλάπτειν

πάντα

ποιεῖ πεπηρότερα. πνευματώδης δὲ καὶ προσήνεμος, οὐδὲν (ὡς εἰπεῖν) τῶν γε ἡμέρων. ἀναυξῆ γάρ, καὶ μικρά, καὶ καυλώδη γίνεται διὰ τὰς πληγάς, τὰς ὑπὸ τῶν πνευμάτων. ἔνια δὲ οὐδὲ τῶν ἀγρίων· οὐ γὰρ πλειοκαρπεῖ, καθάπερ οὐδὲ τὴν εὐβοϊκὴν φασίν· ἀλλὰ μέχρι τοῦ ἄνθους ἀφικνεῖσθαι. τὰς δ' ἐν τοῖς ὑπηνέμοις, εὐαυξεῖς τε καὶ πολυκάρπους γίνεσθαι. τὸ γὰρ ὅλον, ὥσπερ πολλάκις εἴρηται, συμμετρίας τινὸς ἔοικεν ἕκαστα δεῖσθαι πρὸς τὴν φύσιν. ὁμοίως ἔν τε ταῖς ἄλλαις τροφαῖς, καὶ ταῖς τοῦ ἀέρος μεταβολαῖς. ἀλλὰ τοῦτο μὲν ἂν εἴη καθόλου, καὶ κοινόν. Τὰς δὲ μανότητας καὶ πυκνότητας τῶν φυτευομένων, οὐχ οὕτω πρὸς 8
τὸν τόπον, ὡς πρὸς αὐτὰ τὰ φυτευόμενα σκεπτέον, ὅσα τε φιλόσκια καὶ μή, καὶ ὅσα μακρόρριζα καὶ βραχύρριζα. τὰ μὲν γὰρ δηλονότι μανά, τὰ δὲ πυκνὰ φυτευτέον. φιλόσκια δέ, ὧν οἱ καρποὶ ξηρότατοι καὶ πυρηνώδεις, ὥσπερ ῥόας καὶ μυρρίνου· καὶ ὅσα φύσει μανά τε καὶ ξηρά, καὶ μὴ μακρόρριζα, καθάπερ ἡ δάφνη. τῶν μὲν γὰρ ὁ καρπὸς ἡλιούμενος, στρυφνὸς γίνεται. τὰ δέ, ὥσπερ προβολῆς δεῖται καὶ πρὸς τοὺς χειμῶνας καὶ πρὸς τὰ καύματα, διὰ τὴν ἀσθένειαν. οὐκ ἐνοχλεῖ γὰρ ὑφ' ἑτέρων, διὰ τὴν βραχυρριζίαν. καί τινες ἅπαντα κελεύουσι διὰ πολλοῦ φυτεύειν, ὅπως μὴ σύντερρα γίνηται, μηδ' ἀναυξῆ, τροφήν τε ἐλάττω λαμβάνοντα, καὶ τοῦ πνεύματος ἀφαιρούμενα. οὐ μὴν ὀρθῶς γε λέγουσιν· ἀλλ' ἑκάτερα διαιρετέον, ὥσπερ εἴρηται. χρὴ δὲ καὶ πρὸς τὸν τόπον ὁρῶντα ποιεῖσθαι τὰς ἀποστάσεις. ἐν γὰρ τοῖς ὀρεινοῖς ἐλάττους, ἢ ἐν τοῖς πεδινοῖς. ἐπ' ἔλαττον γὰρ αἵ τε ῥίζαι προσαύξονται, καὶ ἡ κόμη.

Ἅπαν δὲ φυτὸν ὅταν ἐκβλαστῇ τὸ πρῶτον, ἐᾶν ῥιζωθῆναι, μηδὲν κινοῦντα τῶν ἄνω· καθάπερ 9
ἐπὶ τῶν ἀμπέλων ποιοῦσιν, ἀφικνοῦντας τὰς ῥάχας. εἶθ' ὅταν ἴσχωσι, τότε περιαιρεῖν τὰ (ουν)
ἄνω, καταλιπόντα τὰ κάλλιστα καὶ εὐτονώτατα τὰ πεφυκότα. ἐπὶ γὰρ τὰ δένδρα, τοῦτ' (μά-)
ἀναγκαῖον, οὐχ ὥσπερ ἐπὶ τῶν ἄλλων ἀφαιρεῖν ἐνδέχεται πάντα καὶ τέμνειν ἰσογεῖον. ἀρρίζου γὰρ ὄντος, ἐὰν περιαιρῇ καὶ κινῇ ὡς ἀσθενὲς ὄν, * σαθρὸν ἔσται μᾶλλον. ἐὰν δ' ἐρριζωμένου καὶ ἰσχύοντος, αὐτό τε ἀπαθὲς ἐστι, καὶ τὴν τροφὴν ἀποδώσει πλείονα τοῖς καταλειπομένοις. ἡ δὲ ἀναγωγή, καὶ ἣν καλοῦσιν οἱ πολλοὶ τῶν φυτῶν παιδείαν, οἷον σχηματισμός ἐστι, καὶ μόρφωσις τῶν δένδρων, ὕψει τε καὶ ταπεινότητι, καὶ πλάτει. καὶ τοῖς ἄλλοις. ὡς δ' ἐπίπαν φυτεύουσι τὰ ὑψηλά, πλὴν ὅσα φύσει τοιαῦτα καὶ ἐστὶ καὶ βέλτιστ'· καθάπερ φοῖνιξ, πεύκη, κυπάριττος, † εὐκαρπότερα. γίνεται γὰρ διὰ πολλοῦ τῆς τροφῆς ἰούσης, καὶ ἐνταῦθα καταναλισκομένης. ἀλλὰ δεῖ πολύκλαδα καὶ πολυβλαστῆ ποιεῖν. ἅμα γὰρ τῇ πολυκαρπίᾳ καὶ εὐτρυγητότερα, καὶ τὸ ὅλον εὐθεραπευτότερα γίνεται. διὸ καὶ περιαιρετέον, καὶ κωλυτέον τὰς μὴ κατὰ καιρὸν βλαστήσεις. χρεία δ' ἡ τοιαύτη θεραπεία καὶ κατάστασις ὁμοία τῇ διακαθάρσει τυγχάνει πλείων ὄντων τῶν δένδρων· ὑπὲρ ἧς καὶ λεκτέον πρῶτον τῶν ἐπὶ τὰς θεραπείας, εἶθ' οὕτω περὶ τῶν ἄλλων· ὥσπερ γὰρ ἐφεξῆς ταῦτα τῶν περὶ τὴν φυτουργίαν ἐστί. Κοινοτάτη μὲν οὖν καὶ μάλιστα ἔνδηλος ἐπὶ τῶν ἀμπέλων τυγχάνει· πάντες γὰρ χρῶνται, καὶ πάντες ἀμπελουργοῦσιν, ὥσπερ ὑπ' αὐτῆς ἀναγκαζόμενοι τῆς φύσεως, διὰ τὴν εὐβλαστίαν καὶ πολυβλαστίαν· ὑπὲρ ἧς ἐπειδὴ καὶ ἐν τῇ βλαστήσει καὶ ἐν τοῖς ἄλλοις διωρίσθη μάλισθ' ἡ θεραπεία, πειρατέον αὐτὰ καθ' αὑτὰ θεωρεῖν ὕστερον. νῦν δ' ὑπὲρ τῶν ἄλλων λέγωμεν. οὐδὲ γὰρ οὐδ' ἐπὶ τούτων μικρόν ἐστι, τὸ κατασκήσασθαί πως τὰ δένδρα, καὶ τὰ κακῶς πεφυκότα καὶ τὰ ἐμποδίζοντα τοὺς καρποὺς ἀφαιρεῖν. ἐμποδίζει γὰρ οὐ ταῦτα μόνον, ἀλλὰ καὶ τὰ ἀπηρτημένα, καὶ αὐτὰ ὅλως τὰ παρακαίρως πεφυκότα· διὸ δεῖ ταῦτ' ἐξαιροῦντα, μεταβιβάζειν τῇ βλαστήσει εἰς τὸ δένδρον. ἔοικε γὰρ ὥσπερ ὀχετεία τις εἶναι τῆς τροφῆς τῶν δένδρων, ὅπως ἀναγκάζῃ. εἰς γὰρ τὰ καταλειπόμενα ῥεῖ, καὶ ταῦτ' αὔξει. τοῦτο δὲ ξυμβαίνει, διότι τοῖς μέρεσιν ἄριστα πέφυκε, καὶ ἔτι προσεπιβλαστάνει κατ' ἐνιαυτόν. ἐπεὶ καὶ εἰ ἀεὶ βέλτιστα κολούειν τὰ ἄνω, πρὸς τὰς ῥίζας ἡ τροφὴ πᾶσα φέρεται· κἀκεῖναι λαμβάνουσιν αὔξησιν, ὥστε συνταράττεσθαι τὰ χωρία· καὶ τέλος ἀναυξῆ γίνεται τὰ ἄνω, πάσης ἐνταῦθ' ὁρμησάσης τῆς τροφῆς. οἷον γὰρ ἤδη φύσις γίνεται, χρονισθέντων. ἡ μὲν οὖν ἄμπελος ἀεὶ τὴν τομὴν ζητεῖ κατ' ἐνιαυτὸν διὰ τὸ εὐαυξές. τὰ δ' ἄλλα, τὰ μὲν παρ' ἔτος, τὰ δὲ διὰ τετραετίας. οὐδὲν γὰρ οὕτως εὐαυξές. ἐπεὶ εἴγε τι τοιοῦτον ἦν, δέοιτ' ἂν ἀφαιρεῖν ἐκ τῶν ὑγρῶν περίεργον. ἅμα δ' ἡ ἕλκωσις πόνον παρέχει, καὶ κακοῖ τὰ δένδρα. διὸ καὶ μετὰ τὴν διακάθαρσιν, εὐθὺς οἴονται δεῖν κοπρίζειν, καὶ τὴν ἄλλην ἀποδιδό-

(margin: ἀκαρπότερα γὰρ γίνεται)

7 χλωρὸν παρέχειν, ὁ δὲ πηλὸς ἐκείνην τηρεῖν, τὸ δ' ὄστρακον τὸν πηλόν. Ὁ δὲ κόπρος, ὅτι μὲν καὶ μανοῖ τὴν γῆν, καὶ διαθερμαίνει, δι' ἀμφοτέρων ἡ ὠφέλεια, φανερόν. ὑπὲρ δὲ τῆς χρήσεως ἀμφισβητοῦσι, καὶ οὐχ ὡσαύτως χρῶνται πάντες. ἀλλ' οἱ μὲν εὐθὺς ἀναμίξαντες τῇ γῇ, πρὸς τὸ φυτὸν προσβάλλουσιν· οἱ δ' ἀνὰ μέσον ποιοῦσι τῆς τε πρώτης γῆς, καὶ τῆς ἐπάνω. καὶ ταύτην γὰρ παραλαμβανομένην, εἰς τὸ ἄνω φέρεσθαί φασιν, ὅταν ὕσῃ· βέλτιστον γὰρ εἶναι τὸν χυλόν. ἄνωθεν δ' ἐξικμάζεσθαι ὑπὸ τοῦ ἡλίου, καὶ ὕοντος οὐ διϊκνεῖσθαι τὸ κάτω. πάντες δὲ τόν γε τρόπον συμφωνοῦσιν, ὥστε μὴ δριμεῖαν καὶ ἰσχυράν, ἀλλὰ κούφην· διὸ καὶ μάλιστα χρῶνται τῇ τῶν λοφούρων. ἡ γὰρ δριμεῖα καὶ ἰσχυρά, διαθερμαίνει μᾶλλον· ἡ δὲ καὶ ξηραίνει. χρὴ δὲ καὶ πρὸς τὴν χώραν ἑκάστην ποιεῖν τὸ ἁρμόττον· οἷον ἐὰν μέν τις ἐμπύρῳ φυτῷ φυτεύσῃ, τοὺς γύρους ὕδατος ἐμπιπλάναι πρότριτα· καὶ ἐπειδὰν ἀναπίωσι, τότε βάλλειν, ὅπως ἔνικμος ἡ γῆ γενομένη, μᾶλλον δέχηται καὶ καλλίω ποιῇ τὴν ῥίζωσιν. ἐὰν δὲ ἐν ἁλμώδει, ἢ ἐφάμμῳ, λίθους περιτιθέναι περὶ τὸ πρέμνον τοῦ φυτοῦ τρεῖς, καὶ περιχωννύναι γῆν, ὅπως ἀποστέγωσι τὴν ἁλμυρίδα. συμφέρει δὲ καὶ ἄλμον πότιμον παραβάλλειν, καὶ ψάφους ἐκ ποταμοῦ ἢ χαράδρας. ἀποστέγει γὰρ καὶ ταῦτα, καὶ ἅμα δι' αὐτῶν παρέχεταί τινα δύναμιν. ἐὰν δὲ ἔφυδρα καὶ νεματώδη, τάφρους ὀρύσσοντα, τὰς μὲν πλαγίους, ἵνα τὸ ὕδωρ δέχωνται· τὰς δὲ ὀρθίας, καὶ λίθων πληροῦντα καὶ γῆς, ὥστε μὴ ἅπτεσθαι τῆς σκαπάνης· εἶτα ἄμμον ἐμβάλλοντα, καὶ χοῦν. ἅπαντα γὰρ ταῦτα ὠφελεῖ πρὸς τὴν ὑπερβολήν. αἵ τε γὰρ πλάγιοι τάφροι δεχόμεναι τὸ ὕδωρ, ξηροτέραν ποιοῦσιν. αἵ τ' ὄρθιαι κάτω λίθους ἔχουσαι, δέχονται τὴν συρροήν. ὅτι δ' ἡ ἄμμος καὶ ὁ χοῦς ἀναξηραίνουσι, διὰ τοῦτο ἐὰν οἵ γε ὦσι λίθοι ταῖς τοιαύταις, οὐκ ἐκλεκτέοι· ὑπάρχει γὰρ φύσει τὸ βοηθεῖν ὅλως ἐν ὁποιαοῦν. ἐὰν ὀρύττων τις λίθους εὕρῃ, ἢ πρόχμαλον, ἢ ἄμμον, ἢ γῆν μοχθηράν, οὐκ ἄκος τὸ μὴ συμμιγνύναι, μὴ δὲ σκεδαννύναι ταύτην· ἀλλὰ τοσούτῳ βαθύτερον τὸν γῦρον ἢ τὴν τάφρον ὀρύξαντα, τόν τε πρόχμαλον ὑποστορεννύναι, καὶ τὴν ἄμμον. ὁ μὲν γὰρ λίθος, ὁ μὴ πλατὺς καὶ συμφυής, βλάπτει τὰ δένδρα· ὁ δὲ πρόχμαλος ὑποκάτω τεθείς, ψῦχός τε παρέχεται, τό θ' ὕδωρ δέχεται, καὶ ταῖς ῥίζαις εὔδιον ποιεῖ τὸν τόπον. ἁπλῶς δὲ τούς γε λίθους ἐκλέγειν, οὐδ' ἐκ γῆς ψιλῆς οἴονταί τινες φέρειν. καὶ γὰρ ἀλέαν παρέχειν τοῦ χειμῶνος, καὶ ψῦχος τοῦ θέρους. ὁμοίως δὲ καὶ περὶ τὰς ἄλλας διαφορὰς τῶν χωρῶν, τὰ πρόσφορα ληπτέον. ὡς γὰρ ὅλως εἰπεῖν, οὐδενὸς ἔλαττον, ἀλλὰ πάντων πρῶτον καὶ μέγιστον, τὸ δύνασθαι θεωρῆσαι, ποῖον ἐν ποίᾳ χώρᾳ φυτευτέον· οὐ μόνον ἁπλῶς, ἀλλὰ καὶ αὐτῆς τῶν συνεχῶν, ὅπερ ἀνωμαλὴς ἡ περὶ τοὺς τρόπους ἑκάστους. ὥσπερ γὰρ λέγεται πολλάκις, ἡ οἰκεία μεγίστην ἔχει ῥοπὴν καὶ πρὸς ἀντίληψιν καὶ πρὸς εὐκαρπίαν. ὃ καὶ καθ' ὅλον τὸ γένος ἐστί, καὶ ἐν αὐτοῖς τοῖς ὁμοειδέσιν· οἷον, ὡς μὲν ἁπλῶς εἰπεῖν, ἡ συκῆ φιλεῖ τοὺς ξηροὺς τόπους. οἱ γὰρ ὑγροὶ σήπουσιν, ἢ οὐ καλῶς πεπαίνουσι, διὰ τὸ καὶ αὐτὸν εἶναι τὸν καρπὸν ὑγρόν. οὐ μὴν ἀλλ' ἔνιοί γε ὑδρεύεσθαι ζητοῦσι, καθάπερ ἡ λακωνική, τὰ ἔφυδρα ζητοῦσιν. ὡσαύτως δὲ καὶ τῶν ἀμπέλων, αἱ μὲν στερεαὶ καὶ πυκναί, καθάπερ καὶ πρότερον ἐλέχθη, τὴν ὀρεινὴν μᾶλλον φιλοῦσιν. αἱ δὲ μαναὶ καὶ ὑγραί, τὴν πεδεινήν. ἑκατέραις γὰρ ἡ τροφὴ πρὸς τὴν φύσιν σύμμετρος, ταῖς μὲν ἐλάττων οὖσα, ταῖς δὲ πλείων. ὅλως δέ, τὰ ἀγρία δένδρα καλὰ δοκεῖ περὶ τὰς ὑπωρείας γίνεσθαι. σημεῖα δὲ ποιοῦνται, τὴν αὐτομάτην γένεσιν. ὅπου γὰρ ἡ φύσις αὐτὰ γεννᾷ, τοῦτον οἰκειότατον εἶναι τόπον. αἱ δὲ καθ' ἕκαστα διαφοραί, δηλονότι κυριώταται. καὶ γὰρ ὑπώρειαι πολλαὶ καὶ παντοῖαι· καὶ τὸ ὅλον, ὥσπερ μία τις αὕτη διαφορὰ καθ' ὕψος καὶ ταπεινότητα, πολλῶν οὐσῶν ἑτέρων καὶ μειζόνων, ὥσπερ ἐν ταῖς ἱστορίαις εἴπομεν· ὧν οὐδεμίαν θετέον εἶναι χρή. τὴν γοῦν † χειμωνίαν καὶ ἔφυδρον, σχεδὸν οἱ πλεῖστοι ὁμολογοῦσιν ἀγαθὴν εἶναι ταῖς ἀμπέλοις· ὥσπερ καὶ τὴν εὔγαιον, ἐλαίαις καὶ συκαῖς. αἱ μὲν γάρ, ὑγροτέρας δέονται καὶ μαλακωτέρας τροφῆς· αἱ δέ, ξηροτέρας καὶ σωματωδεστέρας. ὅλως δ' αἰεὶ τὰ μὲν ξηρά, ξηρὰν ζητεῖ χώραν· τὰ δὲ ὑγρά, ὑγράν. ὡς δ' ἁπλῶς εἰπεῖν, ἀρίστη πᾶσιν ἡ μανὴ καὶ κούφη, καὶ ἔνικμος· εὐτραφὴς γὰρ μάλιστα, καὶ εὐαυξής. εἰ μὴ ὅσα διὰ τὴν ἰσχὺν λαμβάνοντα πλῆθος τροφῆς, ἐξυβρίζει· καθάπερ ἡ ἀμυγδαλῆ. ταύτῃ γὰρ ἡ λεπτόγεως ὑγροτέρα, καὶ τόπος εὐδιεινὸς καὶ ἄλιθος. ἐναντίως δὲ τῇ εὐβοῖ παλίσκιος καὶ δροσερός. οὐ μικρὸν δὲ οὐδὲ πρὸς τὰ πνεύματα καλῶς κεῖσθαι τοὺς τόπους, ὥστε καὶ τοῦτο θεωρητέον. εὔπνουν μὲν γὰρ ἅπαντα ζητεῖ, προφαίνεται γὰρ ἐν τοῖς τοιούτοις βελτίους, καὶ οἱ καρ-

† λειμωνίαν

ποὶ

ὅπως ἔνικμος ἡ γῆ γινομένη παρέχῃ τροφήν. καὶ τοὺς γύρους οὐκ εὐθὺς συμπληροῦσιν, ὅπως ῥιζῶ-
ται τὰ κάτω πρότερον· εἰ δὲ μή, φέρονται πρὸς τὰ ἄνω. τρέφει γὰρ καὶ αὔξει πάνθ' ὁ ἥλιος
καὶ ὁ ἀήρ. ὄντων δὲ τῶν μὲν βαθυρρίζων, τῶν δ' ἐπιπολαιορρίζων, διὰ τοῦτο τοὺς γύρους οὐκ
ἰσοβαθεῖς ὀρύττουσι τοῖς ἐπιπολαιορρίζοις, οἷον ἐλαίᾳ καὶ συκῇ, * βουλόμενοι πιέσθαι, καὶ
ὥσπερ ἀντιτασσόμενοι πρὸς τὰς φύσεις. ὅπως δὲ καὶ τῶν ὑδάτων τοῦ χειμῶνος ἀπολαύω-
σι, καὶ τοῦ θέρους καταψύχωνται (δεῖ γὰρ δὴ πρὸς ἀμφοτέρας τὰς ὥρας παρεσκευάσθαι)
διὰ τοῦθ' ὑποβάλλουσι κάτω λίθους, ὅπως στεγνὴ γίνηται τοῦ ὕδατος, καὶ τοῦ θέρους ἔ-
τι καταψύχωσι τὰς ῥίζας. οἱ δὲ κληματίδας ὑποτιθέασιν, οἱ δὲ κέραμον παρακατορύτ-
τουσιν ὕδατος· οἱ δὲ ξύλον, κἂν εἰ μὴ παχὺς εἶτ' ἐξαίρουσιν, ὅπως ἔχῃ τροφὴν ἀεὶ τὰ φυ-
τά, διικμαζομένης τῆς γῆς, καὶ συρρεόντων τῶν ὑδάτων. ἁπλῶς γὰρ τοῦτο δεῖ τηρεῖν, ὅπως
καὶ πρὸς τοὺς ὄμβρους τοὺς γινομένους, καὶ πρὸς τὸν ἀέρα, καὶ τὸν ἥλιον ἕξει συμμέτρως. αἱ γὰρ
τροφαὶ καὶ αἱ αὐξήσεις διὰ τούτων. ἐπεὶ δὲ ἡ γῆ βορείοις μὲν πεπηγυῖα καὶ ξηρά, νοτίοις δὲ
κεχυμένη καὶ ἔνικμος, ὡσαύτως δὲ καὶ τὸ φυτὸν ὑγρότερον καὶ αὐτὸ ἑαυτοῦ μᾶλλον, διὰ
ταῦτα βελτίων ἡ τοῖς νοτίοις φυτεία. ταχεῖα γὰρ ἡ ῥίζωσις καὶ ἡ βλάστησις, ὅταν ὀργῶν
εἰς ὀργῶσαν τεθῇ, καὶ τὰ τοῦ ἀέρος ᾖ μαλακὰ καὶ εὔδια, δεῖ γὰρ δὴ τὸ μέλλον ἔσεσθαι
καλόν, ἅμα κάτωθεν καὶ ἄνωθεν βλαστάνειν. τοῖς δὲ βορείοις ἅπαντα τἀναντία γίνεται. 6
ῥιγοῦν γὰρ καὶ κακοπαθεῖν τὸ φυτόν. ἔτι δὲ τῆς γῆς πεπηγυίας, οὔτε ῥιζοῦσθαι δύναιντ' ἂν ὁ-
μοίως, οὔτε βλαστάνειν. ἡ μὲν οὖν τοιαύτη παρατήρησις, τοῦ ἀέρος ἂν εἴη. Τὰ δὲ φυ-
τευτήρια δεῖ λαμβάνειν ἀπό νέων τε τῶν δένδρων, ἢ ἀκμαζόντων· καὶ ὅλως λεῖα ταῦτα,
καὶ ἰθύτατα, καὶ ὡς κάλλιστα. καὶ γὰρ ἀντιλαμβάνεται καὶ ἰσχύει τὰ τοιαῦτα μάλιστα, καὶ
διὰ τὴν ἡλικίαν καὶ τὸ πάχος εὐβλαστότερα τυγχάνει. τό, τε γὰρ λεῖον, ὥσπερ ὑγιὲς καὶ ἀ-
πήρωτον· τὸ δὲ τραχὺ καὶ ὀζῶδες, ἄλλως τε τυφλοῖς ὄζοις, ὥσπερ πεπηρωμένον. ἐκ τε καὶ
ζώσης ἐκβεβλαστηκὸς εἰς τοῦτο ἀσθενέστερον, ὅσον μὴ δι' ἡ φύσις τοιαύτη· καθάπερ τῶν κλη-
μάτων. διὰ τοῦτο γὰρ ἐνίων τῶν δένδρων ἔνιοι μοσχεύουσιν. οἱ δὲ περιαιροῦσι τὴν θάλειαν τῶν
κλάδων, ὅπως μὴ ἐξαναλώσῃ τὴν δύναμιν εἰς τὴν βλάστησιν. ἔτι δ' εὐθύτης λειότη-
τος, εὔρουν καὶ εὐδίοδον ποιεῖ τὴν ῥοήν, ὥστε ταχείας εἶναι τὰς αὐξήσεις. ὀρθῶς δὲ καὶ τό, μᾶλ-
λον ἐξ ὁμοίας γῆς, εἰ δὲ μή, μὴ χείρονος λαμβάνειν. ἡ μὲν γάρ, οὐδεμίαν ποιεῖται μεταβολήν·
ἡ δ' ἐπὶ τὸ βέλτιον συντροφοῦντος. μέγα δὲ καὶ αἱ μεταβολαὶ τοῖς ἀσθενέσιν. ἀσθενὲς δὲ τὸ φυ-
τόν. διὰ ταῦτα γὰρ καὶ τὰς θέσεις τῶν φυτευομένων τὰς αὐτὰς ἀποδιδόασι, κατὰ τὰ πρόσ-
βορρα καὶ νότια καὶ πρὸς ἕω καὶ δυσμάς, ὡς ἐπὶ τῶν δένδρων εἶχε βουλόμενοι τηρεῖν, ἅτε μά- ὁμοίως ἔτι
λιστα τὸ μηδὲν τῆς φύσεως καὶ τῶν εἰωθότων μετακινεῖν, ὡς οὐκ ἂν ῥαδίως φερόντων μεταβο-
λήν. ἐπεὶ καὶ τοὺς τόπους ὅτι μάλιστα † ὁμοίους ζητοῦσι, διὰ τὰς αὐτὰς αἰτίας· καὶ πε-
μοσχευόντες φυτεύουσιν. ἰσχυρότερα γάρ, καὶ ὥσπερ ἤδη βεβιωκότα, καὶ τὰ φυτὰ μάλι-
στα μὲν ὑπόρριζα λαμβάνουσιν. ἔχει γὰρ εὐθὺς καὶ ἀρχάς. εἰ δὲ μή, μᾶλλον ἀπὸ τῶν κάτω ἢ
τῶν ἄνω· καὶ γὰρ ταῦτα ἐμβιώτερά ἐστι, πλὴν ἀμπέλου καὶ συκῆς, καὶ εἴ τι ἄλλο ὑγρόν, ὥσπερ
εἴρηται. τὰ γὰρ ὑγρά, κάλλιον ἀπὸ τῶν ἄνω βλαστάνει. τὰ δ' ἄλλα διὰ τὴν ξηρότητα καὶ τὴν
λεπτοδερμίαν, τὰ μὲν ὅλως οὐ βλαστάνει, τὰ δὲ χεῖρον. τὰ δ' ὑπόρριζα, ὡς περιπεπονημέ-
νον τι τῆς φύσεως ἔχει, καθάπερ τὸ μεμοσχευμένον, ᾧ δεῖ χρῆσθαι. καὶ διὰ τοῦτο βέλτιον λέ-
γουσιν, ὀρθὰ κελεύοντες τὰ τοιαῦτα τιθέναι· καὶ μὴ ὑποβάλλοντές τι μέρος, ὥσπερ τοῖς ἀρ-
ρίζοις, ὅπως ἡ ῥίζα βλαστάνῃ. συμβαίνειν γὰρ δοκεῖ, πλαγίων τιθεμένων ἀφανίζεσθαι τὰς
πρότερον. ἄτοπον δὲ ζητεῖν ἑτέρας, ἀποβάλλοντα τὰς ὑπαρχούσας. ὀρθῶς δὲ καὶ τὸ μὴ πολὺ
τῆς γῆς ὑπερέχειν τὸ φυτόν. εἰ δὲ μή, γίνεται δυσαυξές, ὅταν ᾖ πλεῖον τοῦ τρεφομένου τὸ ποιοῦν. πονοῦν
ἔνια δὲ καὶ ἀφανίζεται, καθάπερ ἡ συκῆ, καὶ εἴ τι ἄλλο μανόν. ἅμα δὲ καὶ ἀθροωτέρα φέ-
ρεται μᾶλλον ἡ τροφὴ πρὸς τὴν βλάστησιν· ὃ καὶ ἐπὶ τῶν κατακοπτομένων συμβαίνει. τὰ
γὰρ παρὰ τὴν γῆν ὅτι μάλιστα κοπέντα, θᾶττον παραγίνεται τῶν ἐν ὕψει. φανερὸν δὲ καὶ
ἐπὶ τῶν τῆς ἀμπέλου φυτῶν, καὶ εἴ τι ἄλλο τομὴν ζητεῖ κατὰ τὴν φυτείαν. τῶν δὲ τῆς ἐλαίας καὶ
τῆς μυρρίνου, καὶ ὅλως ὅσα φύεται, μᾶλλον πάντων ἀποστεγάζουσι τὰς τομάς, ὅπως μήθ' ἥλιος,
μήθ' ὕδωρ λάβῃ. κίνδυνος γὰρ σῆψαι ξηρῷ. περιαλείφουσι δὲ οἱ μὲν πηλὸν μόνον· οἱ δὲ σκίλ- 7
λαν ὑποδήσαντες, εἶτ' ἄνωθεν τὸν πηλόν, ἐπὶ πάντων δὲ τὸ ὄστρακον. δοκεῖ γὰρ ἡ μὲν σκίλλα

μανὴ γὰρ ἡ γῆ, καὶ ἀπόλαυσιν πλείω δίδωσι, καὶ μεταβάλλει τοὺς χυλούς. ὥστ᾽ εὐλόγως οὐκ ἂν εἴη πρόσφορος ἐνίοις· οἷον, ὅσα ξηρά τε καὶ δριμέα, καὶ πικρά, καὶ ἁπλῶς ὅσα φαρμακώδη. καὶ ἐν τούτοις περιέχεται τὴν χρείαν ἡμῖν. ἐκθηλύνεται γὰρ ἀφαιρουμένων τῶν δυνάμεων· καὶ τὰ μὲν ὅλως οὐκ ἐκφέρει καρπούς, τὰ δ᾽ ὑγροτέρους καὶ χείρους, ἃ καὶ ὑδαρέστερα γίνεται· καθάπερ τὸ ἀψίνθιον, καὶ τὸ κενταύριον, καὶ ὅλως δὲ πᾶσα φαρμακώδης δύναμις, ἢ περὶ ῥίζαν, ἢ περὶ καυλόν, ἢ περὶ καρπόν, ἢ περὶ κλῶνας. ἀνάλογον δὲ τούτοις καὶ ὅσα δριμύτητά τινα ἔχει δὴ περὶ τὴν γεῦσιν. ὧν καὶ ἡ κάππαρις ἔοικεν εἶναι, καὶ τὸ σίλφιον, καὶ τὸ λάπαθον, καὶ ἡ θύμβρα, καὶ τὸ θύμιον. τὰ μὲν γὰρ ὅλως οὐδὲ φύεται τούτων ἐν τοῖς ἡμέροις, ἢ κακῶς· τὰ δέ, χεῖρον πολλῷ· καθάπερ τὸ λάπαθον, καὶ ἡ θύμβρα, καὶ ἡ κάππαρις. ἔνια δὲ καὶ τὰς γλυκύτητας αὐτῶν λαμβάνει, καθυγραινόμενα καὶ πληθυνόμενα ταῖς τροφαῖς· ὥσπερ τὸ κέδρον. καὶ γὰρ τοῦτο χεῖρον ἡμερούμενον γίνεται, καὶ ἁπλῶς δὲ αὐτὸ τὸ δένδρον ὑδαρές τε καὶ μανὸν καὶ ἀσθενές. τοῦ † δ᾽ ἀσθενοῦς γλυκύτερος μὲν ὁ καρπός, ἧττον δ᾽ εὐώδης· ἀφαιρεῖται γὰρ τὴν εὐτροφίαν καὶ τὸ εὔοσμον. ὁ δ᾽ αὐτὸς λόγος καὶ περὶ σιλφίου, καὶ θέρμου, καὶ † ἔτι τοιούτων ἑτέρων. τὸ μὲν γὰρ οὐχ ὁμοίως ἔχει τὴν δριμύτητα, διὰ τὸ πλείω καὶ ὑδαρεστέραν εἶναι τὴν τροφήν. ὁ δὲ θέρμος ἄκαρπος γίνεται, καθάπερ ὑλομανῶν, καὶ ἐξυβρίζων. ποιεῖ γὰρ καὶ ταύτην τὴν ἐναντίωσιν κατεργασία, καθάπερ εἴρηται, πλῆθος παρέχουσα τροφῆς. ἐκ δὲ τῆς ἀρχῆς ταμιευόντα τὸ σύμμετρον ἕκαστον ἑαυτῷ, καὶ λαμβάνει τὴν οἰκείαν χώραν. ἡ γὰρ αὐτοφυὴς γένεσις ἐν ταύταις. ἁπλῶς γὰρ τὸ μέγιστον, ὥσπερ πολλάκις εἴρηται, τὸ λαβεῖν οἰκεῖον ἀέρα καὶ τόπον. ἐκ τούτου γὰρ ἡ εὐθένεια, καὶ ἡ ἀκαρπία. ταῦτα δὲ ἐναντία φαίνεται τοῖς παρὰ φύσιν ἡμερουμένοις. εἴς τε γὰρ ἀέρα μαλακώτερον μετατίθενται, καὶ τροφὴν ἀλλοιοτέραν λαμβάνουσιν. ἐξ ἀμφοτέρων δὲ τούτων ἡ μεταβολή, καὶ οἷον ἔκστασις τῆς φύσεως. ἐπιμαρτυρεῖ δέ πως καὶ ἐν αὐτοῖς τοῖς γεωργουμένοις, τὸ μὴ φιλεῖν ἔνια τὴν ἀκρίβειαν καὶ τὴν πολλὴν ἄγαν ἐξεργασίαν· ὥστε καὶ ταύτης ζητεῖν τινα ὅρον. καὶ τρόπον τινὰ οὐδὲν κωλύει περὶ τὴν μετάβασιν οὕτως, ἔνια μηδὲ ζητεῖν ὅλως. ὅτι μὲν οὖν οὐ πάντα προσδέχεται τὰς γεωργίας, φανερὸν ἔστω διὰ τούτων. ἴσως γὰρ τὰ μὲν ὅλως οὐ δεῖται, τῶν δ᾽ οὐκ ἐξευρίσκομεν τὰς αἰτίας.

† δ᾽ ὅτι

ἤ τι

Ἡ δὲ γεωργία, δυοῖν ὄντοιν ἐξ ὧν αἱ τροφαὶ καὶ εὐθένειαι, τὸ τῆς γῆς παρασκευάζει βοήθειαν· τὸν ἀέρα γὰρ οὐκ ἐπ᾽ αὐτῇ ποιόν τινα ποιεῖν. ἀλλὰ δεῖ πρὸς μεταβολὰς καὶ τὰς ὥρας τὰς γινομένας, αὐτά τε τὰ δένδρα καὶ τὴν χώραν διασκευάζειν πως, ἵνα τε ἐκλαύνῃ τὴν προσαύξησιν καὶ τροφήν, καὶ μὴ πάσχῃ μηδὲν ὑπὸ τῶν ἐναντίων. δεῖ γὰρ καὶ πρὸς ταῦτα φυλακῆς. λέγω δ᾽ οἷον σκαφάς τε καὶ διακαθάρσεις, καὶ βλαστολογίας, καὶ κοπρίσεις, καὶ σκεπάσεις, καὶ ὅσα ἄλλα πραγματεύονται. καὶ περὶ τῶν ἀροσίμων δὲ καὶ σπερματωδῶν ὁμοίως. τοῖς μὲν γὰρ οὐ ταὐτά, τοῖς δ᾽ οὐκ ἴσα, τοῖς δὲ οὐ τὸν αὐτὸν τρόπον οὐδὲ τὴν αὐτὴν ὥραν ἀποδιδόναι δεῖ, τοῖς δὲ ἴσως οὐδὲ ποιεῖν ἔνια τὸ ὅλον· ἃ δὴ καὶ φαίνονται διαιροῦντες οἱ γεωργοί. καθάπερ καὶ ἐν τῇ διακαθάρσει, τὰ μὲν σιδήροις, τὰ δὲ ταῖς χερσί, τὰ δ᾽ ἀγκύρας τισὶ κελεύοντες ἀφαιρεῖν· οἷον τῆς τε ἐλαίας, καὶ τῆς ἀπίου, καὶ τῶν μηλέας, ὅπως μὴ ἑλκούμενα πονῇ διὰ τὴν λεπτότητα καὶ ξηρότητα τοῦ κλάδου. καὶ γὰρ ἀφαιρεῖν δεῖ τούτων ταῦτά τε καὶ τὰ τρώξανα μόνον. ὁμοίως δὲ καὶ τὰ τῆς ἀμπέλου διαιροῦσιν, τάς τε πρωτοτόμους, καὶ τὰς ὀψιτόμους, καὶ τὰς βραχυτόμους, καὶ τὰς μακροτόμους, καὶ τοῖς ἄλλοις ὡσαύτως, ἀναφέροντες ἀεὶ πρὸς τὸ τέλος. ὁ μὲν οὖν σκοπὸς οὗτος, καὶ ἡ καθ᾽ ἕκαστα διαίρεσις· ὑπὲρ ἑκάστου δ᾽ ἐστὶν ὁ λόγος, ὁ τὴν αἰτίαν ἔχων, ἣν δεῖ μὴ λανθάνειν. ὁ γὰρ ἄνευ ταύτης ποιῶν, καὶ τῷ ἔθει καὶ τοῖς συμβαίνουσι κατακολουθῶν, κατορθοῖ μὲν ἴσως, οὐκ οἶδε δέ, καθάπερ ἐν ἰατρικῇ. τὸ δὲ τέλειον, ἐξ ἀμφοῖν. ὅσοι δὲ καὶ τὸ θεωρεῖν μᾶλλον ἀγαπῶσιν, αὐτὸ τοῦτο ἴδιον τοῦ λόγου καὶ τῆς αἰτίας. ἀντιλέγεται δὲ περὶ πολλῶν· καὶ τὰ μὲν ἁπλῶς, τὰ δ᾽ εἰς τὸ βέλτιον καὶ χεῖρον, ὥσπερ καὶ περὶ τὰς ἄλλας τέχνας. ἐνταῦθα δὲ καὶ ἰδιώτερόν τι συμβαίνει. πρὸς γὰρ τὴν χώραν ἔνιοι τεθραμμένοι, τὰ πρόσφορα πολλάκις καθόλου λέγουσιν. ὅτε δὲ καὶ ἀμφοτέρως γινομένων ἄκριτον εἶναι τὸ βέλτιον. ὁποῖα γὰρ ἂν ᾖ τὰ ἐκ τοῦ θέρους συμβαίνοντα, τοιαῦτα ἐκβαίνει καὶ τὰ περὶ τὰς ἐργασίας. οὐδὲ γὰρ δεῖ μᾶλλον ἀκολουθεῖν τῇ τοῦ ὅλου κατασκευῇ καὶ διαφορᾷ † τῶν δένδρων, καὶ φυτῶν, καὶ σπερμάτων, ὡς πολλάκις ἁμαρτανόμενα τῇ ἐκ τούτου ἀκρασίᾳ, καὶ τῇ αὐτῶν δυνάμει· τὰ μὲν ὑπομένει, τὰ δέ τινα δυσμαχεῖται· καθάπερ καὶ τῶν ἀνθρώπων ἡ φύσις ἐκ τῶν ἰατρικῶν. ὥστε αἱ μὲν ἀντιλογίαι πρὸς τὰς κοινὰς τῶν τεχνῶν, καὶ διὰ ταύτας γίνονται τὰς αἰτίας. οὐ μὴν ἀλλὰ καὶ συνομολογεῖται πολλάκις παρὰ πάντων, ὥσπερ δὴ αὐτῶν τῶν πραγμάτων εἰληφότα πίστιν· τὰ μὲν καθόλου, τὰ 2

† ἢ τῇ τῶν δένδ., καὶ φ. καὶ σπ. φύσει,

λυπηρὸν εἶναι. ῥᾴδιον δὲ ἴσως ἐν τοῖς ὁμογενέσιν ἰδεῖν. ὑπὲρ δ' οὖν τῆς εἰρημένης, ἡ μὲν τῶν φύλλων στροφὴ γίνεται, διὰ τὸ περὶ τοῦτον τὸν καιρὸν καὶ μάλιστά πως ἀεὶ φυλλοῤῥοεῖν. ἡ δ' αἰτία πρότερον εἴρηται περὶ πάντων τούτων. γινομένης οὖν τῆς φυλλοῤῥοίας, ἀναγκαῖον μάλιστα πάσχειν τι τὰ φύλλα· καὶ τὰ μὲν ἀσθενῆ καὶ ὥσπερ γεγηρακότα, καταξηρανθέντα πίπτειν· τὰ δ' ἄλλα τὴν ἀποστροφὴν μόνον λαμβάνειν. ἅπασι μὲν οὖν τοῦτο συμβαίνει, ἢ μᾶλλον ἢ ἧττον. ἐπίδηλον δὲ μάλιστα ἐπὶ τούτων, ὅτι μεγίστη διαφορὰ τῶν χρωμάτων τοῖς πρανέσι πρὸς τὰ ὕπτια, τὰ μὲν χλωρά, τὰ δὲ ὑδατώδη καὶ ὑγρά. μᾶλλον δ' ἐπὶ τῆς φιλύρας· μείζω γάρ, καὶ ἐκλευκότερα. δεῖ δ' αὖ ὁμοίως καὶ ἐπὶ τῆς πτελέας. τῶν δ' ἀειφύλλων, οἷς μὴ συμβαίνει τοῦτο, διὰ τὸ κατ' ἐκεῖνον † τὸν καρπὸν ἀκμήν τινα καὶ ὥσπερ ἰσχύν τινα εἶναι τῆς βλαστήσεως, διὰ τοῦτο οὐκ ἂν συμβαίνοι. τῶν γὰρ ἰσχυόντων οὐδὲν εὐπαθές. ἡ δὲ τῶν ἀνθῶν σύμμυσις καὶ διοίξις, ἐλαφροτέρα καὶ ῥᾴων ἰδεῖν. ὑπὸ γὰρ τοῦ ψύχους καὶ τῆς ἀλέας γίνεται, ψυχρῶν ὄντων καὶ ἀσθενῶν· συμμύει μὲν γὰρ, ξυνιόντος καὶ οἷον πηγνυμένου τοῦ ὑγροῦ· συνεκλείπει γὰρ καὶ τὸ θερμόν. ἀνοίγεται δὲ πάλιν, διαχεομένου καὶ ἀνιέντος, ὅπερ ὁ ἥλιος ποιεῖ. τὰ δὲ πλεῖον καταδυόμενα καὶ ὑποβρυχίοντα, δῆλον ὅτι ψυχρότερα καὶ ἀσθενέστερα· διὸ μᾶλλον συμπάσχει ταῖς μεταβολαῖς. ἡ δὲ αἴσθησις οὕτως ὀξεῖα γινομένη τοῖς καθ' ὕδατος, οὐκ ἄλογος, ἄλλως τε καὶ ἐν τόποις θερμοῖς καὶ ἐκπύροις. ἐπεὶ καὶ ἐν τοῖς μὴ τοιούτοις, αἱ διαδόσεις ταχεῖαι πάντων ἀπὸ τοῦ ἡλίου καὶ τῶν ἄστρων. φαίνεται γοῦν συμπάσχειν οὐ μόνον τὰ ἐπὶ γῆς, ἀλλὰ καὶ τὰ ὑπὸ γῆς ὕδατα τροπαῖς τε καὶ ἐπιτολαῖς. ἐπ' ἐνίων δὲ ἄστρων καὶ αὐτὴ ἡ γῆ καὶ ἡ θάλαττα μεταβάλλει. πάσχει δέ τι παραπλήσιον φυτῶν καὶ τῶν ἀνθῶν πολλὰ μεθ' ἡμέραν. ἀεὶ γὰρ συμπεριφέρεται τῷ ἡλίῳ, νεύοντα καὶ ἐγκλίνοντα πρὸς αὐτόν. μᾶλλον δ' ἔστι τοῦτο καταμαθεῖν ἐν τοῖς ἑλώδεσιν. ἐνίων δὲ καὶ τὰ φύλλα συμπάσχει ταὐτό, καθάπερ τῆς μαλάχης, καὶ τῶν τοιούτων. αἴτιον δὲ τοῦ ὑγροῦ ἡ ἀφαίρεσις. ἣν γὰρ ἂν ἐξάγει θερμαίνων ὁ ἥλιος, ἐν τούτῳ ἡ ἔγκλισις. ἐξάγει δὲ καθ' αὑτήν, ὡς καὶ τοῦτο ποιοῦντος· ἀποστρέφεται γάρ, καὶ περιάγεται. τοῦτο μὲν οὖν ὡς πίστεως χάριν εἰρήσθω, πρὸς τὸ πρότερον ῥηθέν. ὑπὲρ δὲ τῶν ἄλλων, ὅσα συμβαίνει τοῖς δένδροις ἢ φυτοῖς, πειρατέον ἐκ τῶν δένδρων μετιέναι καὶ θεωρεῖν, τὴν ἰδίαν οὐσίαν ἑκάστου λαμβάνοντας, καὶ τὴν τῆς χώρας φύσιν. ἐκ τούτων γὰρ τὰ κοινὰ πάθη, καὶ αἱ κατὰ γένη ἐπαλλαγαί, καὶ τὸ ἁρμόττον, καὶ τὸ οἰκεῖον ἑκάστοις γίνεται φανερόν. δεῖ δὲ καὶ τὸ ὅμοιον, καὶ τὸ αὐτὸ δύνασθαι θεωρεῖν. πολλὰ γὰρ δοκεῖ διαφέροντα, οὐ διαφέρειν, ὥσπερ καὶ ἐπὶ τῶν ἄλλων. καὶ ταῦτα μὲν ἐν τούτοις ἐχέτω τὸ πέρας. ὅσα δὲ περὶ τὰς γεωργίας συμβαίνει, καὶ ὧν χάριν ἕκαστα ποιοῦσι, λεκτέον ὁμοίως.

ΘΕΟΦΡΑΣΤΟΥ ΠΕΡΙ ΦΥΤΩΝ ΑἸΤΙΩ͂Ν ΤΟ Γ.

Ἡ ΠΕΡΙ τῶν φυτῶν θεωρία διττὰς ἔχει τὰς σκέψεις, καὶ ἐν δυσί. μίαν μὲν, τὴν ἐν τοῖς αὐτομάτοις γινομένην, ἧσπερ ἀρχὴ τῆς φύσεως. ἑτέραν δὲ, τὴν ἐκ τῆς ἐπινοίας καὶ παρασκευῆς, ἥν φαμεν συνεργεῖν τῇ φύσει πρὸς τὸ τέλος. ἐπεὶ δὲ περὶ τῆς προτέρας εἴρηται, λεκτέον ὁμοίως καὶ περὶ ταύτης, ὑπὲρ αὐτῶν τούτων τῶν πρῶτον εἰπόντας, οἷον καὶ τῶν δενδρώδη ἔνια καὶ τῶν ἐλαττόνων ὑλημάτων, ἃ δέχεται γεωργίαν. τὸ γὰρ αὖ ἂν τῆς μὲν οἷον πέρας, τῆς δὲ ἀρχή, μεταβαίνουσιν ἐκ τῶν αὐτοφυῶν, εἰς τὰ διὰ τέχνης. ἄτοπον δ' αὖ ἴσως δόξειεν τὸ νῦν λεχθέν, εἰ τὸ προσλαμβάνον θεραπείαν, ὥσπερ χώραν οἰκείαν, μὴ μᾶλλον εὐθενεῖν καὶ καλλικαρπεῖν, συνεργούσης τῇ φύσει τῆς τέχνης. ἀλλ' οὐκ ἔστιν ἄτοπον, οὐδ' ἀλλότριον. ἀρχὴν δὲ αὐτοῦ ληπτέον τήνδε, τὴν φύσιν ἑκάστου μὴ ἐκ τοῦ αὐτοῦ εἶναι, μηδὲ ἐκ μιᾶς τινος ὕλης· μηδ' αὖ πᾶσι ταὐτὸ τέλος τῆς πέψεως καὶ δυνάμεως τοῦ καρποῦ· ἀλλ' ἑκάστου πρὸς ὃ πέφυκε, χυλοῖς καὶ ὀσμαῖς καὶ τοῖς ἄλλοις. μάλιστα δέ πως ἐν δυοῖν τούτοιν ὁρίζομεν τὴν πέψιν, ὀσμαῖς καὶ χυλοῖς, ἀναφέροντες καὶ ταῦτα πρὸς τὴν ἡμετέραν χρείαν, ὥσπερ διορίζει καὶ πρότερον. ἐπεὶ δ' ἐξ ὧν συνέστηκεν ἕκαστον, καὶ τρέφεται, καὶ τὸ προσφέρεται οὐ περὶ τὸ ποιὸν μόνον δεῖν, ἀλλὰ καὶ περὶ τὸ ποσόν, ἐν ἀμφοτέροις ἂν εἴη ἑαυτοῦ οἰκεῖον. ἡ δὲ γεωργία πλῆθός τε τροφῆς καὶ ποιότητα κατασκευάζει. κατεργαζο-

μένη γάρ

περιπλώματι καταπίπτον τὸ σπέρμα καθαρὸν, καὶ τοῦ δένδρου λαμβάνοντός τινα μεταβολὴν ὑπὸ τῆς κόπρου, διαβλαστάνει καὶ φύεται. τὴν δ' ἰσχὺν εὐλόγως ἔχει, καὶ διὰ τὴν εὐτροφίαν, καὶ μάλιστ' ἴσως διὰ τὴν αὐτοῦ φύσιν. ἰσχυρότερα δὲ εἰκὸς τὰ ἐν ταῖς ἐλάταις καὶ πεύκαις εἶναι· πλείων γὰρ ἡ τροφὴ, καὶ λιπαρωτέρα. πολλὰ δ' ἡ φύσις φαίνεται καὶ ἐν τοῖς ζώοις τοιαῦτα ποιεῖν, ὥσθ' ἕτερον ἑτέρῳ χρήσιμον εἶναι πρὸς σωτηρίαν καὶ γένεσιν, ἅπερ ἐν ταῖς ἱστορίαις ταῖς περὶ τούτων εἴρηται. διὸ καὶ ἐνταῦθα ἴσως οὐ θαυμαστὸν τὸ τῶν ὀρνίθων, εἴτε ἐπιτηδείως, εἴτε κατὰ συμβεβηκὸς γέγονεν· οὐδὲ λεκτέον, ὅτι οὐκ ἂν ἦν ἡ γένεσις, εἰ μὴ διὰ τούτους. οὔτε γὰρ ἴσως ταῖς πίνναις βίος, εἰ μὴ διὰ τὸν καρκῖνον· οὐδ' ἡ τῶν μελιττῶν φύσις, εἰ μὴ διὰ τὸν γόνον, ὥς φασί τινες· οὐδ' ὁ τοῦ κόκκυγος, εἰ μὴ ἦν ἡ ὑπολαΐς, καὶ εἰς τὴν νεοττίαν τὰ ᾠὰ τίθησιν· ἀλλ' ὥσπερ καὶ φθοραὶ καὶ σωτηρίαι τινὲς γίνονται ἀλλήλων καὶ εἰς τοὺς βίους καὶ εἰς τὰς γενέσεις, οὕτω καὶ πρὸς τὰ φυτὰ δεῖ οἴεσθαι οὐθὲν κωλύει παρὰ τῶν ζώων. ὥστε ταύτην ἡ τοιαύτην αἰτίαν ὑποληπτέον εἶναι τῶν εἰρημένων. ἐν δὲ τοῖς ἀποπατουμένοις, ἀφαιρεῖται καὶ τὸ συμβεβηκός· πεπαίνεσθαι γὰρ δεῖ πρὸς τὴν δίοδον, ἀλλὰ τὸν καιρὸν δηλονότι λαμβάνουσι τῆς ἀποπατήσεως, ὅταν ὀργᾷ τὸ ὑποκείμενον, ὥσπερ ἡ ἄκανθα φαίνεται περὶ τὸ ἄστρον· ἔνικμον γὰρ δεῖ καὶ εὔαφες εἶναι. πρὸς τὴν διαβλάστησιν δὲ ταχὺ τῆς ἐκφύσεως, οὐ μόνον διὰ τὴν ὥραν, ἀλλὰ δηλονότι καὶ διὰ τὴν ἰδίαν γίνεται φύσιν. καὶ περὶ μὲν τούτων, ἅλις. Ὅτι δὲ καὶ ἐν τοῖς φυτοῖς ἔνια συνεργεῖ πρὸς τὴν ἀλλήλων 25 σωτηρίαν καὶ γένεσιν, καὶ ἐκ τῶνδε φανερόν. ἐν μὲν γὰρ τοῖς ἀγρίοις, τὰ φυλλοβόλα τοῖς ἀειφύλλοις· ὅτι σηπομένων συμβαίνει καθάπερ κοπρίζεσθαι τὴν γῆν, ὃ καὶ πρὸς εὐτροφίαν καὶ πρὸς τὴν βλάστησιν τῶν σπερμάτων χρήσιμον. ἐν δὲ τοῖς ἡμέροις, ὅσα τοῖς φυτοῖς ὑποσπείρουσι τῶν ἀμπέλων, ἀφαιρεῖν βουλόμενοι τὸ πλῆθος τῆς ὑγρότητος. καὶ τοῖς λαχάνοις, ἢ τούτου χάριν, ἢ τῶν γινομένων θηρίων ἐν ταῖς ῥαφανίσι· τοὺς ὀρόβους πρὸς τὰς ψύχας, καὶ ἔτι τοιοῦτον ἕτερον ἑτέροις. εἴωθε γὰρ καὶ τοιαῦτα καὶ ἐν τοῖς αὐτομάτοις τῆς φύσεως ὑπάρχειν, ἄλλως τε εἰ καὶ ἡ τέχνη μιμεῖται τὴν φύσιν. ἔτι δὲ ὅσα πρὸς δένδρα, καὶ περὶ ἄλλον καυλὸν τυγχάνει. ταῦτα γὰρ τὰ πρὸς ἑτέρῳ διώκει, καθάπερ ὅ, τε κιττὸς, καὶ ἡ σμίλαξ, καὶ ἡ συκύα, καὶ ἄλλ' ἄττα καὶ τῶν ἐλαττόνων, ἕρπυλον, καὶ ἡ ἀσίνη. πάντα γὰρ ταῦτα ζῇ † πρὸς ἕτερον. μὴ ἔχοντα δὲ, χαμαίκαυλα γίνεται· πλὴν ὅσα καὶ δενδροῦσθαι πέφυκε, καθάπερ ὁ κιττός. ἔστι δὲ καὶ ἄμπελος τοιοῦτον. οὐ γὰρ ἂν δύναιτο φέρειν τὰ κλήματα καὶ τὴν βλάστησιν, ἢ οὐχ ὁμοίως καὶ ἀκμὴν ἔχουσα τὸ ὑπερεῖσον. ἀλλὰ καὶ τὴν ἕλικα δοκεῖ τούτου χάριν ἔχειν, ὅπως εὐθὺς ἀντίληψις γίνηται, καὶ οἷον δεσμός· ὥσπερ ὁ κιττὸς τὰ ῥίζια, τὰ ἐκ τῶν βλαστῶν. ὅσα δὲ κοῦφα καὶ λεπτὰ, ῥᾳδίως ἀναβαίνει, καὶ περιπλέκεται· καθάπερ ἡ ἀσίνη, καὶ ὁ θέρμος, καὶ ὁ δόλιχος. πάντα δὲ ταῦτα βλάπτει τὰ δένδρα, καταπνίγοντά τε καὶ ἐπισκιάζοντα, καὶ τὴν τροφὴν ἀφαιρούμενα· τὰ μὲν περὶ καυλὸν, ὁ δὲ κιττὸς καὶ τὸ ἐμφυόμενον ἐξαιρεῖσθαι· διὸ χαλεπώτατος τοῖς δένδροις οὗτος. πρὸς γὰρ τοῖς ἄλλοις, ἀείφυλλος ὢν, καὶ ἰσχυρὸς, ἀεὶ δεῖται τροφῆς καὶ πολλῆς. ἀφαναίνεται δὲ τελέως, ὅταν ἤδη τὰ ἄκρα συμμύσῃ· τότε γὰρ πίπτει, καὶ ἐξαιρεῖται πανταχόθεν τὴν τροφήν. οὐ χαλεπὸν δ' ἴσως οὐδὲ ἐν ἄλλοις τε πλείοσι λαβεῖν τὰς βλάβας· πολλῷ γὰρ πλείους εἰσὶ τῶν ὠφελίμων, ὥσπερ καὶ τοῖς ζώοις. ἐπεὶ καὶ ταῖς ὀσμαῖς ἔνια βλάπτεται· καθάπερ ἡ ἄμπελος τῇ τῆς δάφνης καὶ τῇ τῆς ῥαφανίδου. καὶ τοῦτο εὐθὺς ἐκδηλοῖ κατὰ τὴν βλάστησιν· ὅταν γὰρ πλησίον ᾖ τῆς ῥαφανίδου καὶ τῆς δάφνης ὁ βλαστὸς, ἀποστρέφεται τὸ ἄκρον αὐτοῦ, καὶ ὥσπερ ἀνακάμπτει διὰ δριμύτητα τῆς ὀσμῆς. ὀσφραντικὸν γὰρ ἡ ἄμπελος, ὥσπερ καὶ ὁ οἶνος δεινὸς ἑλκύσαι τὰς ἐκ τῶν παρακειμένων ὀσμάς· καὶ μᾶλλον καὶ θᾶττον ὁ κατατετμημένος, διὰ τὴν ὀλιγότητα καὶ τὸ γυμνόν. ἀλλὰ τὸ μὲν τοιοῦτον γένος, ῥᾴδιον ἐν πολλοῖς ὥσπερ ἐλέγχειν συνιδεῖν. Ὅσα δὲ κοινὰ γένους τινὸς, ἢ καὶ πλειόνων μὴ ὁμογενῶν, οἷον τὸ 26 στρέφειν τὰ φύλλα τὴν φιλύραν καὶ τὴν ἐλαίαν καὶ τὴν πτελέαν ταῖς τροπαῖς ταῖς θεριναῖς· καὶ ὡς ἔνια τῶν ἀνθῶν νύκτωρ μὲν συμμύει, μεθ' ἡμέραν δὲ διαπετάννυται· καὶ ὡς ἐν τῷ Εὐφράτῃ λέγουσιν, οὐ μόνον τοῦ λωτοῦ τὸ ἄνθος ἀνοίγεσθαι καὶ συμμύειν, ἀλλὰ καὶ τὸν καυλὸν, ὁτὲ μὲν ἀναβαίνειν, ὁτὲ δὲ δύεσθαι, καὶ ἀποβαίνειν ἀπὸ δυσμῶν μέχρι μέσων νυκτῶν· ὡσαύτως δὲ καὶ ἔτι ἄλλο τοιοῦτον, ἐν ἅπασι καὶ πανταχοῦ κοινήν τινα αἰτίαν ὑπολαπτέον

τέρας· γῆς γινομένης, ἡ πέψις καλλίων. τῶν δὲ λαχανωδῶν, ἢ ποωδῶν, ὅσα κακόμενα καὶ κειρόμενα, βελτίω· καθάπερ τά, τε πράσα καὶ ἡ ῥάφανος, ἣν πάλιν βλαστάνει. καὶ ἡ μηδική, καὶ ἡ θρίδαξ, καὶ τὸ ὤκιμον· ἅπαντα ταῦτα τῇ ἁπαλότητι καὶ εὐτροφίᾳ, βελτίω καὶ εὐχυλότερα γίνεται. ἐξαιρεῖται γὰρ ἡ δριμύτης, καὶ ἡ ξηρότης, καὶ εἴ τις ἄλλη τὸ ἐπιπολῆς ὑπὸ τούτων. ἁπαλὰ δὲ καὶ εὔτραφῆ γίνεται, διὰ τὸ τὰς ῥίζας ἰσχυροτέρας εἶναι, καὶ ὅλως αὐξανομένων ἔτι μᾶλλον κολουομένων ἰσχύος. αἱ δὲ καὶ ὑπακούουσι πλείω, καὶ καταπέττουσι μᾶλλον. ἔτι δὲ ἀφαιρουμένων τῶν ξυλωδῶν καὶ σκληρῶν, ἡ ἐπίδοσις πλείων. μηδενὸς ἐμποδίζοντος. ἡ δὲ πρώτη βλάστησις ἐξ ἀσθενοῦς ὡρμημένη μᾶλλον, χείρων. αὗται μὲν οὖν ἐν τοῖς χυλοῖς αἱ μεταβολαί.

21 Γίνονται δὲ καὶ περὶ τὰς † ὁρμάς, μάλιστα μὲν αὐτομάτως διὰ τὸν ἀέρα καὶ τὴν χώραν. εὐοσμότεραι γὰρ ὡς ἐπὶ πᾶσιν αἱ ξηραὶ ποιοῦσι, καὶ ὁ ἀὴρ ὁ τοιοῦτος· διὸ καὶ τὰ ἄγρια εὐοσμότερα. τάχα δὲ οὐ πάντως, οὐδ' ὀσμωδέστερα· δριμύτερα γάρ· ἀρίστη δὲ ἡ μέση, καὶ ὁ μέσος. ἐπεὶ καὶ τὰ ἐν τῇ γῇ ὑδαρῆ καὶ ἄοσμα. καὶ περὶ μὲν ὀσμῶν καὶ χυλῶν, αὐτὰ καθ' αὑτὰ δεῖ θεωρεῖν ἐπὶ πλέον ἐν τοῖς ὕστερον. αἱ δὲ μεταβολαί, δῆλον καὶ ἐν τούτοις γίνονται, καὶ φυσικῶς ἐκ θεραπείας, φανερὸν ἐκ τῶν εἰρημένων. ἔνια δὲ δοκοῦσιν ὅλων τῶν δένδρων καὶ φυτῶν αὐτόματοι γίνεσθαι μεταβολαί, καθάπερ τὴν λεύκην ἐξαγριοῦσθαί φασι, καὶ φύλλοις, καὶ τῇ ὅλῃ προσόψει· καὶ τὸ σισύμβριον εἰς μίνθην μεταβάλλειν, μὴ κατεχόμενον ταῖς ἐργασίαις, καὶ μεταφυτευόμενον πολλάκις. ἔτι δὲ καὶ τὸν πυρὸν ἐξαιρεῖσθαι, καὶ τὸ λίνον. αὕτη μὲν οὖν ὥσπερ ἀληθής, ὥσπερ φθορά τις ἔοικεν εἶναι, διὰ πλῆθος ὑγροῦ. γίνεται γὰρ δι' ἐπομβρίαν. ἀλλοιωθείσης δὲ τῆς ἀρχῆς, ἀλλ' οἷον τὸ ἀναβλαστάνον. ἡ δ' αἴρα φιλόδενδρον. ἡ, τε τῆς λεύκης, εἰ ἄρα ἐστὶ μεταβολή, γινομένη τις αὖ ἐστι, παχυνομένου τοῦ δένδρου μᾶλλον· ὃ συμβαίνει διὰ τὴν ἡλικίαν. εἰς βάθος γὰρ ἡ αὔξησις ἐγγηρασκόντων ἐν ὥσπερ οἱ, τε φλοιοὶ παχύτεροι, καὶ οἱ ἀκρέμονες μείζους καὶ πλείους.

22 Ὁ δὲ τῶν φύλλων μετασχηματισμός, καὶ ἑτέρων κοινός. ἐπεὶ καὶ τὰ τοῦ κρότωνος, ἔνια περιφερῆ φυόμενα τὴν ἀρχήν, ὕστερον ἀπογωνιοῦται, καθάπερ ἀναδιαρθρούμενα. τάχα δ' ὅτι ῥᾷον τὸ ἁπλοῦν, ἢ τὸ πολυειδές· ἀσθενὴς δ' ἡ ἀρχή. τὸ δὲ σισύμβριον εἰς μίνθην, κατὰ τὴν ὀσμήν, εἴπερ ἄρα μεταβάλλει μόνον ἀπολύον τὴν οἰκείαν, ἐξαμαυρούμενον διὰ τὴν ἀγρίαν· ἐκείνην δ' οὐ λαμβάνον, ἀλλ' ὥσπερ ὅμοιον ταῖς καλαμίνθαις γινόμενον. ἡ γὰρ μεταβολὴ πᾶσιν εἰς ὅμοιόν τε, καὶ οὐ πόρρω τελέως φθειρομένων. ἡ δὲ θεραπεία, καὶ ἡ μεταφυτεία, κατέχει καὶ σώζει τὴν φύσιν. σημεῖον δέ, ὅτι καὶ τὸ ἄγριον τοιοῦτον τῇ ὀσμῇ. καὶ γὰρ δὴ κἀκεῖνο τὸ τῆς φύσεως ἐναντίον. ἡ μὲν γὰρ μίνθη βαθύρριζον, τὸ δὲ σισύμβριον ἐπιπολῆς, καὶ οὐχ ὁμοίως πολύρριζον. ὥστε μᾶλλον ἔοικεν ἐπί γε τῶν τοιούτων κατὰ φαντασίαν ἡ μεταβολὴ γίνεσθαι, καὶ ὡς πρὸς τὸ ἥμερον εἰς τὸ ἄγριον. οὐδετέρως δ' ἄτοπον· ἐπεί γε καὶ οἱ τόποι μεταβάλλουσιν. εἰ δὲ καὶ ἐπὶ τῶν ζώων τοῦτο συμβαίνει, καθάπερ φασὶν ἐπὶ τῶν ὀρνίθων, καὶ χρώμασι καὶ σχήμασι καὶ δυνάμεσι, καὶ ταῦτα καθ' ἕκαστον ἐνιαυτόν, οὐκ ἐν πλήθει χρόνου πλείονι, κἂν θαυμάσειεν ἄν τις μᾶλλον, εἰ μή τι συμβαίνει καὶ ἐνταῦθα τοιοῦτον. ἀτακτοτέραν γάρ, καὶ μᾶλλον ξυγκεχυμένην εἰκὸς εἶναι ταύτην τὴν φύσιν, τάχα δὲ ἰσχυροτέραν· διὸ καὶ μεταβάλλειν, οὔτε χρώμασιν οὔτε ἐν τοῖς ἄλλοις φθειρομένην. καὶ ταῦτα ἐν ὀλίγοις, ὥστε εἰς ἄλλο γε μεταλλάττεσθαι φυτόν· οὔτε γὰρ κατὰ τὴν γένεσιν οὐδὲν μεταβάλλει τὰς μορφάς, ὥσπερ ἔνια τῶν ζώων· ἀλλ' ἁπλῆ τις ἡ φύσις πάντων. ἀλλ' αἱ μεταβολαὶ γίνονται, καθάπερ πολλάκις λέγεται, τοῖς τε χυλοῖς μάλιστα, καὶ ταῖς ὀσμαῖς, καὶ τοῖς μεγέθεσιν, αὐτῶν τε τῶν καρπῶν, καὶ τῶν φύλλων. καὶ γὰρ τὰ στενόφυλλα, πλατυφυλλότερα γίνεται, καὶ ὅλων τῶν δένδρων φυτῶν. διὰ ταῦτα καὶ ζητεῖ τόπον ἕκαστον οἰκεῖον. οἰκεῖος δέ, ἐν ᾧπερ εὐθενεῖ. διόπερ καὶ οὐ πᾶσιν ἄριστος, ἀλλ' ἔνια λεπτὴν καὶ λυπρὰν χώραν φιλεῖ, τὰ δ' ὕφαμμον· ἔνια δὲ καὶ ἀμμώδη τινά, καθάπερ ἡ ῥάφανος. λοιπὸν δὲ καὶ τὸ τῆς χώρας πρόσφορον· ἢ γὰρ τὸ οἰκεῖον τῆς φύσεως, ἢ τὸ πρὸς ἰσχὺν καὶ δύναμιν ἁρμόττον. οἷον ταῖς ἀμυγδαλαῖς ἡ λεπτή· βαθείας γὰρ οὔσης, καὶ πιείρας, ἐξυβρίζουσαι διὰ τὴν εὐτροφίαν, ἀκαρποῦσι· καθόλου δὲ περὶ τῶν δένδρων, ἀλλὰ δεῖ τὸ μὲν περὶ τὰς ἀλλοιώσεις καὶ μεταβολάς, ἄχρι τούτων διειλέσθαι.

23 Θαυμασιώτατον δ' ἂν δόξαι, καὶ ὅλως ἄτοπόν τι καὶ παράδοξον

ὀσμάς

τῶν ῥιζῶν μεταβολῆς, ὑπὲρ ἧς πάνυ ὁ λόγος, ἐκεῖνο δεῖ λαβεῖν· ὅτι καθάπερ ἀρχαί τινές εἰσι αἱ ῥίζαι τῶν δένδρων. ἀκολουθεῖν δὲ φιλεῖ ταῖς ἀρχαῖς τὰ ἄλλα. διὸ καὶ περὶ τῶν σικύων ἐλέχθη πρότερον, ὅτι βρεχομένων ἐν γάλακτι τῶν σπερμάτων, ἢ ἐν μελικράτῳ, γλυκύτεροι γίνονται. καὶ ἐπ' ἄλλων. αὗται δὲ καὶ τὴν τροφὴν πεπεμμένην μᾶλλον λαμβάνουσι· καὶ αὐταὶ μεταβάλλουσαι, συμμεταβάλλειν ποιοῦσι καὶ τὸ δένδρον· ἀπὸ γὰρ τούτων ἡ διάδοσις. ἐπεὶ καὶ αἱ πολυϋδρίαι καὶ τὰ ἐδάφη καὶ αἱ κατεργασίαι, περὶ ταύτας πρῶτον ἀπὸ τούτων ἀρχόμεναι, τὰ ἄλλα συναλλοιοῦσι. πρὸς ἕτερα δ' ἴσως καὶ ἕτεραι βοήθειαι συνεργοῦσιν· οἷον αἱ σχάσεις συκῶν, καὶ κλάσεις τῶν ἀμπέλων, καὶ αἱ κολούσεις τῶν ἀμυγδαλῶν, ἢ πληγαί, ἢ διαιρόντων εἰς πασσάλους. ἀπορρεούσης γὰρ τῆς ὑγρότητος, ἡ καταλειπομένη ῥᾷον ἐκπέττεται γλυκύτης. τὰς δὲ ὀφθαλμιζομένας [illegible] μεταβάλλειν, ὅτι καθάπερ ἀρχὰς ἑτέρας τούτων δεῖν, ὡς οὐκέτι δύναται κατακρατεῖν. ὥσπερ γὰρ γῇ χρῆται τῷ ὑποκειμένῳ τὸ ἐμφυτευόμενον, ἢ ἐνοφθαλμιζόμενον, ὥσπερ ἐλέχθη. καὶ εἰσὶν αὗται δύο μεταβολαί, καὶ ἀπὸ δυοῖν, ἥ τε ἀπὸ τῶν ῥιζῶν, καὶ ἀπὸ τῶν ὀφθαλμιζομένων ἢ ἐγκεντριζομένων ἢ ἐμφυτευομένων. ἡ μὲν αὐτῶν τῶν ὑποκειμένων ἀλλοιουμένων, ἡ δὲ ἑτέρων τινῶν ἐμβαλλομένων. διὸ καὶ ἧττον ἐπὶ ταύτης τὸ θαυμαστόν. διὰ τί δ' ἡ ῥόα μάλιστα μὲν μεταβάλλει, τὴν μανότητα καὶ τὴν ἀσθένειαν αἰτιάσαιτ' ἄν τις. εὐκίνητα γὰρ τὰ τοιαῦτα πρὸς μεταβολήν. ἐπισκεπτέον δὲ, καὶ εἴ τις ἄλλη τῆς φύσεως ἰδιότης. Εἰς δὲ τὸ χεῖρον μεταβολαί, δῆλον ὡς ἐναντίαι. καὶ ἐμφανεστάτη γε † κοινοτάτη πᾶσιν ὡς ἀγεωργησία. πάντα γάρ, ὡς εἰπεῖν, ἀπαγριοῦται. ἔνια δὲ καὶ οἷον ἀπορίᾳ τινὶ μεταβάλλουσιν εἰς τὸ χεῖρον, κολουόμενα κατὰ τὴν πρώτην γένεσιν τὰ φυτά· καθάπερ ἡ ἀμυγδαλῆ. πικρὰ γὰρ ἐκ γλυκείας γίνεται, καὶ ἐκ μαλακῆς σκληρά. τὰ δ' ἄλλα οὐκ ἔστιν ἐπίδηλα μεταβάλλοντα· καίτοι τάχ' ἐστὶ ἀμπέλου φυτὰ καὶ ἀπόλλυται πονοῦντα. τὰ δὲ καὶ μεταβάλλειν, εἰκὸς μᾶλλον ἦν. τὸ γὰρ ἀμυγδαλῆς καὶ τὸ ὅλον φαίνεται παράλογον· ἰσχυρότερον γὰρ τῶν δένδρων. ἔνια δὲ καὶ βελτίω κολουόμενά φασι γίνεσθαι, καὶ καθάπερ οἱ Χῖοι τὴν ἄπιον τὴν φωκίδα. τὸ μὲν οὖν ἰσχυρὸν ἐστὶ ἀμυγδαλῆς, οὐκ ἐν τῷ αὐτῷ λαμβάνεται δένδρῳ. κολουθεῖσα μὲν γὰρ ἰσχυρά, φυομένη δὲ ἀσθενής. ἄλλως τε καὶ ἀπὸ σπέρματος· ἐπεὶ καὶ μὴ κολουθεῖσαι, πικραὶ γίνονται καὶ σκληραί, καθάπερ ἐν τοῖς πρότερον ἐλέχθη. πᾶν γὰρ ὅλως ἀπὸ σπέρματος, ἐξαλλοιοῦται πρὸς τὸ χεῖρον· κινηθείσης δὲ τῆς φυσικῆς ὁρμῆς, εἰκὸς ἔτι μᾶλλον· οἷον γὰρ ἄλλη καὶ ἀσθενεστέρα γέγονεν. ἐπεὶ καὶ τὰ ἑψόμενα κωλύεται, μὴ ἐν καιρῷ κινούμενα. καὶ ἡ γῆ δυσδιάλυτος, ἢ βρεχομένη. ὁ δὲ ἐν ἀρχῇ μέγα, καὶ διατείνει πρὸς τὴν τελέωσιν. ἐπὶ μόνης δὲ ταύτης μάλιστα ἔνδηλον εἶναι τὴν μεταβολήν, οὐκ ἄτοπον, καὶ διὰ τὰς προειρημένας αἰτίας· καὶ διότι ἐπὶ μὲν ἀμπέλου καὶ τῶν ἄλλων οὐθενὸς ὁ καρπὸς τελειούμενος πικρὸς ἢ ὀξύς, ἀλλ' ἤτοι γλυκύς, ἢ οὐκ ἐπίφθονος. ταύτης δὲ οὐχ ὑπάρχει τοιοῦτος οὐδεὶς ἐν τοῖς τελείοις καὶ εὐκαρποῦσι. τάχα δὲ καὶ τῶν ἄλλων ἐστί τις καὶ εἰς τὸ στρυφνότερον, ἢ ὑδαρέστερον, ἢ μὴ ὁμοίως γλυκύ. λανθάνει δὲ τὴν ἡμετέραν αἴσθησιν. καὶ γὰρ αὐτῶν τῶν ὁμογενῶν, αἱ μὲν μᾶλλον, αἱ δ' ἧττον τοιαῦται. συμβαίνει δὲ ταῖς κολουθείσαις, αὖ πρεσβύτεραι γινόμεναι πάλιν ἀποκόπτονται καὶ διακαθαίρονται, γλυκύτεραι γίνεσθαι, καὶ τέλος ἀποκαθίστασθαι πρὸς τὴν φύσιν. αἴτιον δὲ ἔτι πρὸς τῷ εἰρημένῳ, διότι τῷ μὲν ἡ κόλουσις κωλύουσα τῆς εἰς τὸν ὄγκον βλάστην κατέμιξε, καὶ χάριν τὴν ὑγρότητα τὴν εἰς τὸν καρπὸν ἐποίησε. πλείονος δὲ οὔσης, ἄπεπτος, ὥστε πικρός. καὶ κατακοπτομένη δὲ λαμβάνει τινὰ ἀποπνοὴν καὶ ἀφαίρεσιν, ὥσπερ καὶ ὅταν οἱ σφῆνες διακρουσθῶσιν. ἐλάττονος δὲ γινομένης, καὶ αὐτὸ μᾶλλον ἰσχύον διὰ τὴν ἀσθένειαν, ἐκπέττει μᾶλλον, καὶ ἀποκαθίσταται. ταύτης μὲν οὖν ὥσπερ ἀνασώζεται πάλιν ἡ φύσις. ἔνια δὲ ἐὰν μὴ κολουθῇ, τὸν καρπὸν οὐ πέττει. καθάπερ ἡ ἄμπελος, ἡ κανθαρίς καλουμένη. διὸ καὶ κολούουσιν ἄκρον τὸν βότρυν· εἰ δὲ μή, σήπει καὶ διαφθείρει. δῆλον οὖν, ὡς ἁπλῶς εἰπεῖν, ὅτι ἀφαιρέσεως δεῖται τῆς ὑγρότητος. ἡ δὲ φωκὶς καλουμένη, βελτίων πρὸς δένδρωσιν, οὐ πρὸς εὐκαρπίαν. ἐκτρέφει γὰρ ἄγαν μὴ κολουθεῖσα, καὶ γίνεται μονόκωλος ἢ ἀσθενής. εἰ δὲ μή, παραβλαστάνουσα δενδροῦται, τάχα δ' ἄν τις συμβάλλοιτο τοῦτο πρὸς εὐκαρπίαν. ἰσχυρο-

† κὴ κοινοτ.

τέρας

ρος) καὶ ἡ φύσις εἰς τὰ ἄνω μᾶλλον ὁρμᾷ, καὶ μὴ αὐτὴ παχύνῃ τὴν ῥίζαν, ἀλλὰ συνωθῇ, καὶ πρὸς ἔτι μανῆ ἀπέρχηται κατὰ λόγον, καὶ διὰ ταῦτα πολυκαρποτέρα γίνεται τῶν ἄλλων.

18 Ὁ δ' ὁ κύαμος, καὶ ἔτι τῶν χεδροπῶν ἄλλο μὴ πολύκαρπον, διὰ ἀσθένειαν ὀλιγόκαρπον· διὸ δὴ καὶ πρωϊσπορεῖται, προλαμβανόντων σὺν χειμῶνας εἰς τὴν ῥίζωσιν. ἔτι δὲ ἐπίκαρπον ἐν πολλοῖς καὶ πολλάκις, ὥστε αὖ καὶ προφανῆ, μὴ δύνασθαι τελειοῦν. ἡ δὲ ἀσθένεια, καὶ τῇ αἰσθήσει φανερά. μανὸν γὰρ, καὶ κενόν, καὶ οὐ πολύρριζον· ὥστε εὐδιάθετον ὑπὸ κακοποιούντων. τοῦ μὲν οὖν πολυκαρπεῖν, ἐν τούτοις αἱ αἰτίαι, καὶ ταῖς ἐπιτάσεσι καὶ τοῖς χρονιωτέροις. ἐπεὶ καὶ αἱ διακαθάρσεις τῶν δένδρων, καὶ αἱ κατακοπαί, ποιοῦσι πολυκαρπεῖν· ὅτι τὰ μὲν αὐτὰ κωλύει, τὰ δ' αὐτὰ λαμβάνει τὰς τροφάς. τούτων οὖν ἀφαιρεθέντων, εἰς τὸν καρπὸν ἡ ὁρμή. καὶ διὰ τοῦτο τὰς ἡρακλεωτικὰς καρύας θαμνώδεις ποιοῦσι, κατακόπτοντες. ἐξαναλίσκουσι γὰρ αἱ ἀκρολυόμεναι πᾶσαι τὴν τροφήν. αἱ δὲ μεταβολαὶ τῶν καρπῶν κατὰ τὰς χώρας, δῆλον ὅτι κατὰ τὸν ἀέρα καὶ ἔδαφος γίνονται. διὰ τούτων γὰρ, καὶ ἐκ τούτων, αἱ τροφαὶ πᾶσιν. ἰσχυρὸν δ' ἡ τροφὴ πρὸς ὁμοίωσιν, εἴγε καὶ ἐν τοῖς ζῴοις οὕτως ἡ ἐν τοῖς θήλεσιν ὁμοιότης. φαίνεται δὲ οὐ μόνον τὰ σπέρματα καὶ τὰ φυτὰ καὶ τὰ δένδρα μεταβάλλειν, ἀλλὰ καὶ τὰ ζῷα· καὶ τρόπον τινὰ μᾶλλον ταῦτα. καὶ γὰρ τὰς τροφὰς ἐξομοιοῦται κατὰ τοὺς τόπους. ἐν δὲ τοῖς καρποῖς οὐχ ὁμοίως ὥσπερ ἐπίδηλον. οὐ μὴν ἀλλὰ καὶ ἐνταῦθα γίνεται, καὶ μάλιστα ἐκδήλως καὶ τὰ χρώματα, καὶ τὰ μεγέθη, καὶ τοὺς χυλούς. χρώματα μὲν, οἷον τὰ σπέρματα· λευκὰ γὰρ ἐκ μελάνων, καὶ μέλανα ἐκ λευκῶν μεταβάλλει. χυλοὺς δὲ, καὶ οἱ καρποί· τὸ δ' ἐκ τῶν χρωμάτων ἢ οὐκ ἐμφανὲς, ἢ οὐχ ὁμοίως συμβαίνει, πλὴν ἐὰν ὅλον μεταστῇ τὸ δένδρον, ὥστε ἐκ μέλανος γίνεσθαι λευκόν, ὅπερ ἐνίοτε συμβαίνει τοῖς ἐκ σπέρματος φυομένοις. κοινοῦ δὲ τοῦ πάθους ὄντος ὁμοίως ζῴων τε καὶ φυτῶν, κοινήν τινα δεῖ καὶ τὴν αἰτίαν ζητεῖν. ἐπεὶ κἀκεῖνο ὅμοιον ἔν τε τοῖς σπέρμασι καὶ ἐν τοῖς ζῴοις, ὥστε μὴ εὐθὺς ἀλλὰ τριγονήσαντα μεταβάλλειν· ἅπαντα γὰρ κατὰ μικρὸν ἐξαλλοιοῦται, καὶ μεθίσταται. τὰ δ' ἐπὶ τῶν δένδρων αὖ πάλιν εὐλόγως· ἀσθενέστατα γὰρ ἐν ἀρχῇ, καὶ μάλισθ' ὅταν ἐκ σπέρματος. ἀτοπώτατον δὲ, καὶ θαυμάζεται μάλιστα ἐπὶ τῶν δένδρων, ἡ εἰς τὸ βέλτιον μεταβολή· καθάπερ ἐν αἰγύπτῳ τε καὶ ἔτι μᾶλλον ἐν κιλικίᾳ τῶν ῥοῶν· ἔτι δ' ἡ τῆς μυρρίνης περὶ αἴγυπτον εὐωδία. τὰς γὰρ ἐπὶ τὸ χεῖρον καὶ πολλὰς ὁρῶμεν, καὶ πανταχοῦ· διὸ καὶ θαυμάζομεν. ἔστιν οὖν δηλονότι καὶ ἐπὶ τῶν σπερμάτων συμβαῖνον, ὅταν εἰς τὸ βέλτιον ἢ χεῖρον ὅμοιον. ἐν τούτῳ γὰρ ἡ διαφορὰ, ὑπὸ τότε μὲν ἀεὶ ὥσπερ μένειν ὅταν φυτευθῇ, τὸ δ' ἄλλο καὶ ἄλλο μεταβάλλειν. ἐπεί τό γε γινόμενον ταὐτό. παραιροῦνται γὰρ ἀεὶ τῆς φύσεως ὑπὲρ τῶν ὡσαύτως ἀμφοῖν. συμβαίνει γὰρ ὥσπερ καὶ ἐπὶ τῶν ζῴων· ἐκ μελάνων γὰρ λευκὰ γίνεται, καὶ ἐκ τραχέων μαλακά. αἴτιον δὲ ἐνταῦθα δοκεῖ τῶν μὲν φανερῶν εἶναι τὸ ὕδωρ, τῶν δὲ καὶ ὅλως αἱ τροφαὶ καὶ ὁ ἀήρ. ὥστε κἀκεῖ χρὴ νομίζειν, καὶ εἴπου ἄλλοθι τοιοῦτόν τι συμβαίνει, τὰς αὐτὰς εἶναι καὶ παραπλησίας αἰτίας. τὰ δὲ καθ' ἕκαστα μᾶλλον, ἴσως δὲ καὶ μόνως ἄν τις ἴδοι, τὴν ἐμπειρίαν προσλαβὼν, χώρας καὶ τόπου διὰ τῆς ἱστορίας.

19 Ὅμοιον γοῦν τούτῳ καὶ παραπλήσιον φαίνεται, καὶ ὅσα διὰ τῆς θεραπείας ἀλλοιοῦται. προϊδεῖν μὲν καὶ καθόλου πᾶσιν εἰπεῖν, ἁμαρτάνομεν· δυσκολώτερον δὲ, ἐν αὐτῷ τῷ ὑπὸ τόπῳ βέλτιον, καὶ χαίρει γεωργούμενα. καὶ γὰρ τοὺς πυρῶνας, ὥσπερ ἄπυρον, ἐλάττους ἔχειν· τὰ δὲ βελτίονα. ἔτι δή που ὑδρεία γλυκαίνει τε τὰς ῥοὰς, καὶ μαλακωτέρας ποιεῖ· δεῖται γὰρ ἡ στρυφνότης τοιαύτης, καὶ ἡ σκληρότης ὑγρασίας. καὶ γὰρ τὸ ἐνδεὲς δεῖται βοηθείας. οὐ μόνον γὰρ δὴ ὥσπερ διχῶς, ἢ πρόσθεσίν τινα λαμβάνον, ἢ ἀφαιρέσεως θατέρου γινομένης καθάπερ ἐπὶ τῶν ἀμυγδαλῶν ἐλέχθη, τῶν κολαζομένων καὶ περιαιρουμένων τὰς ῥίζας· καὶ ἐπὶ τῶν συκῶν, τῶν κατασχιζομένων. ἀφαιρεθέντος γὰρ τοῦ πλήθους τῆς τροφῆς, ἰσχύει μᾶλλον τὸ σύμφυτον θερμὸν εἰς τὸ κατάλοιπον. ἰδιωτάτη δ' αὖ δόξειεν ἡ ἀπὸ τῆς τῶν ῥιζῶν εἶναι θεραπείας· τῆς τε κόπρου τῆς ὑείας ταῖς ῥοαῖς παραβαλλομένης, καὶ εἴ τις ἄλλη τοιαύτη τινὶ διδοῖτο τροφή, δι' ἧς γλυκαίνει τὸν χυλόν. λέγεται δὲ, καὶ ὡς ἡ πολυυδρία καὶ ψυχρουδρία ποιεῖ τινα μεταβολήν. καὶ ἐμφανέστατα δὴ καὶ μάλιστα αἱ τῶν ἐδαφῶν ἐνίων καὶ τοῦ ἀέρος φύσεις, ὥσπερ καὶ ἐν αἰγύπτῳ καὶ ἐν κιλικίᾳ· ἐν τούτοις γὰρ καὶ ζητεῖν ὅλως δεῖ τὰς ἀλλοιώσεις καὶ μεταβολάς, ἐδάφει καὶ ὕδατι καὶ ἀέρι καὶ ἐργασίᾳ. καὶ γὰρ ἁπλῶς ἡ γεωργία μεθίστησιν, ἐξημεροῦσα τὰ δένδρα καὶ τοὺς καρπούς. ταῖς μὲν οὖν τῶν λοιπῶν ἑτεραί τινες αἰτίαι. ὑπὲρ δὲ τῆς ἀπὸ τῶν ῥιζῶν

τὸν γὰρ καὶ μᾶλλον ὑπακούει τῷ ἀέρι τὸ ἀσθενές. ὡς δὲ Δημόκριτος αἰτιᾶται, τὰ εὐθέα τῶν σκολιῶν βραχυβιώτερα, καὶ πρωϊβλαστότερα † διὰ τὰς ἀνάγκας εἶναι (τοῖς μὲν γὰρ ταχὺ διαπέμπεσθαι τὴν τροφὴν, ἀφ᾽ ἧς ἡ βλάστησις καὶ οἱ καρποί· τοῖς δὲ βραδέως, διὰ τὸ μὴ εἶναι εὔρουν τὸ ὑπὲρ γῆς, ἀλλ᾽ αὐτὰς τὰς ῥίζας ἀπολαύειν· καὶ γὰρ μακρόῤῥιζα ταῦτα εἶναι, καὶ παχύῤῥιζα) δόξειε δ᾽ ἂν οὐ καλῶς λέγειν. καὶ γὰρ τὰς ῥίζας ἀσθενεῖς φησιν εἶναι τῶν εὐθέων, ἐξ ὧν ἀμφοτέρων θᾶττον γίνεσθαι τὴν φθοράν. ταχὺ γὰρ ἐκ τοῦ ἄνω διϊέναι καὶ τὸ ψῦχος, καὶ τὴν ἀλέαν ἐπὶ τὰς ῥίζας, διὰ τὴν εὐθυπορίαν· ἀσθενεῖς δ᾽ οὔσας, οὐχ ὑπομένειν. ὅλως δὲ τὰ πολλὰ τῶν τοιούτων κάτωθεν ἄρχεσθαι γηράσκειν, διὰ τὴν ἀσθένειαν τῶν ῥιζῶν, ἔτι δὲ τὰ ὑπὲρ γῆς διὰ τὴν λεπτότητα, καμπτόμενα ὑπὸ τῶν πνευμάτων, κινεῖν τὰς ῥίζας· τούτου δὲ συμβαίνοντος, ἀποῤῥήγνυσθαι καὶ πηροῦσθαι, καὶ ἀπὸ τούτων ἐπὶ ὅλον τὸ δένδρον πήγνυσθαι τὴν φθοράν. ἃ μὲν οὖν λέγει, ταῦτά ἐστιν. οὐ μὴν δόξειε γ᾽ ἂν, ὥσπερ εἴρηται, καλῶς λέγειν. οὔτε γὰρ τὸ τῶν ῥιζῶν ἐστὶν ἀληθὲς, ὥσπερ καὶ πρότερον ἐλέχθη· τὸ, τῶν μακροβίων εἶναι μακρὰς καὶ παχείας. οὐ γὰρ μακρόβιον, οὔθ᾽ ἡ συκῆ, οὔθ᾽ ἕτερα τῶν μακροῤῥίζων καὶ παχυῤῥίζων. οὔτε τὰ εὐθέα καὶ τὰ ὀρθὰ βραχύβια, οἷον ἐλάτη, φοῖνιξ, κυπάριττος. οὐδ᾽ εὐαυξῆ δὲ ταῦτα, οὐδὲ πρωϊκαρπα, οὐδὲ πρωϊκαρπότερα· καίτοι καὶ ταῦτα ἐχρῆν εὐθὺς τοιούτων γε τῶν πόρων ὄντων, καὶ τῶν ῥιζῶν μὴ μακρῶν. ὅσα γὰρ ἀπὸ τῆς αὐτῆς αἰτίας, ἅπαντα δεῖ συνακολουθεῖν τοῖς αὐτοῖς. ἀλλὰ μή ποτε οὐ τοῦτο ᾖ τὸ αἴτιον, ἀλλὰ τὰ προειρημένα πρότερον, ἐν αἷς καὶ τὸ δυσφυὲς ὅλως, καὶ μικρόκαρπον καὶ ὀλιγόκαρπον, καὶ ὅλως τὸ ἰσχυρόν ἐστιν. ἡ γὰρ πυκνότης, καὶ ἡ ξηρότης, καὶ ἡ στερεότης, καὶ ἡ λιπαρότης, ἐν οἷς ὑπάρχει καὶ μακροβιότητος καὶ πάντων τῶν τοιούτων αἴτια. τὰ δ᾽ ἐναντία, τῶν ἐναντίων. ὅσα δὲ πολυκαρποῦντα, μὴ βραχύβια, μὴ δὲ ταχὺ γηράσκει, καθάπερ ἄπιος, ἀμυγδαλῆ, δρῦς, καὶ πρεσβύτερα γινόμενα, καρπιμώτερα, καθάπερ ἐλέχθη. παραιρουμένης γὰρ τῆς ἰσχύος, παραιρεῖται τὸ πλῆθος τῆς τροφῆς. † ὥσπερ ῥᾴδιον καταπέττειν τὴν λοιπήν. ἅμα δ᾽ ἴσως συμβάλλεται καὶ τὸ μὴ ἐντελεχὲς, ἢ πᾶσιν, ἢ ἴσοιν. ἡ γὰρ ἄπιος, καὶ ἔτι μᾶλλον ἡ ἀμυγδαλῆ, περαίνουσι πολλήν. † ἐκτρέφουσι γοῦν πολλάκις τοῦτον. ἔτι δὲ ἐν τῇ τελειώσει ὁ πόνος, καὶ ἡ ἀπείρασις. ἡ δὲ συκάμινος ἐλαφρὰν ἴνα, καὶ ὑδατώδη, καὶ μικρὸν, ὡς πρὸς τὸ μέγεθος ἔχει τοῦ δένδρου τὸν καρπόν. ἀλλὰ γὰρ περὶ μὲν μακροβιότητος, ἐν τούτοις

† δι᾽ αὐτὰς · καλῶς ἐ † ὥστε † ἐμβιωτικ. πολλ.

17 ἴσως ἂν αἱ αἰτίαι. περὶ δὲ πολυκαρπίας τῶν δένδρων, εἴρηται πρότερον· ὅτι τὰ θερμὰ, καὶ μανὰ, καὶ ὑγρά. Τῶν δὲ σπερμάτων, ὡς ἁπλῶς εἰπεῖν, τὰ ἐλάττω πολυχούστερα. καὶ γὰρ τὰ ἐλάχιστα, μάλιστα· καθάπερ κέγχρος, σήσαμον, ἐρύσιμον, μήκων, κύμινον. αἴτιον δὲ δοκεῖ, καθόλου μὲν καὶ κοινῶς εἰπεῖν, ὅτι τὰ ἐλάττω, ῥᾷον ἐκτελεῖν. ἐν δὲ τῷ ῥᾳδίῳ τὸ πλῆθος. ὥστε ἐγγυτέρω, ὅτι πάντα τὰ τοιαῦτα, ἀβλαστότερα, καὶ θᾶττον ὑπακούει τῷ ἀέρι. σημεῖον δὲ καὶ ἡ ὀλιγοχρονιότης τῆς τελειώσεως· ἐπεὶ καὶ τὰ σπέρματα διὰ τοῦτ᾽, ὡς ἁπλῶς εἰπεῖν, πολυκαρπότερα τῶν δένδρων· καὶ αὐτῶν τούτων, τὰ χεδροπὰ τῶν σιτωδῶν. θᾶττον γὰρ ἡ τελείωσις, καὶ ἡ ἅδρυνσις. ἔτι δ᾽ οἱ καυλοὶ τῶν πλείστων ἰσχυροί, καὶ οὐ ξυλώδεις, καὶ οὐ μονοφυεῖς, ἀλλὰ πλείους καὶ ἀκρεμονικοί. πολλῶν δὲ καὶ ἰσχυρῶν ὄντων, εὔλογον ἤδη καὶ τὸ τοῦ καρποῦ πλῆθος· ἄλλως τε καὶ αἱ ῥίζαι μὴ ἀντισπῶσιν, ὥσπερ τῶν ναρθηκωδῶν καὶ κεφαλοῤῥίζων. ἀλλ᾽ αἰεὶ διαδιδόασιν ὧν ἂν λαμβάνωσιν, ὅπερ ἐπὶ τῶν χεδροπῶν ἐστι, καὶ ἐπὶ τῶν ἄλλων τῶν πλείστων. μονόῤῥιζα γὰρ, καὶ οὐ παχύῤῥιζα· ἀλλ᾽ εἰς τἄνω φερόμενα τῇ ὁρμῇ, καὶ μάλιστα (ὡς εἰπεῖν) τὸ κύμινον. μικρὰ γάρ τις ἡ ῥίζα τούτου πάμπαν. ὅσα δὲ ἰσχυρόῤῥιζα τούτων (ἔνια γὰρ τοιαῦτα, καθάπερ ὁ κέγχρος, καὶ ὁ μέλινος) ταῦτα δὲ κατὰ λόγον ἀποδίδωσι τοὺς καυλοὺς, ἀπ᾽ ἰσχυρῶν ἰσχυροὺς καὶ πολυσχιδεῖς. οὐδ᾽ ὅταν ἀπὸ μικρᾶς ἀρχῆς πολλοὶ γίνωνται, κατὰ λόγον ἤδη καὶ τὸν καρπὸν εἶναι πολὺν, ὥσπερ ἐπὶ καὶ τῶν πυρῶν καὶ κριθῶν, ὅταν ἐξ ἑνὸς πλείονες ἐκβλαστῶσι κάλαμοι, πλείους γὰρ οἱ στάχυς. ταὐτὸ δὲ τοῦτο καὶ ἐπὶ τῶν λαχανηρῶν ἐστιν, ὅτι πολύσπερμα καὶ ἰσχυρόῤῥιζα τυγχάνει. τὰ μὲν γὰρ πλείστους καυλοὺς ἀφιᾶσι, τὰ δ᾽ ὑπὸ τοῦ ἑνὸς ἀκρέμονας πλείους. ἅπαντα γοῦν ἀποδενδροῦται, τὰ ὄψια διακαυλίσαντα. πανταχόθεν δὲ, καὶ ἐκ πολλῶν, πολὺς ὁ καρπὸς, ὅταν οὖν καὶ τοῦ ἀέρος εὐμενοῦς τυγχάνῃ (βραχὺς γὰρ οὗτος καὶ ἀχάμανος τοῖς ὀψιαιτέροις)

καὶ

βλαστάνειν ἐξαναλίσκουσα πᾶσαν τὴν τροφήν. καὶ γὰρ σφόδρα μεγαλόφυλλος, ἀφ' ὧν ἴσως καὶ διὰ τὴν δίβοιαν καὶ ἡ τῶν ῥιζῶν τῶν καθιεμένων ἐστὶ γένεσις. ἴσως δ' αὖ πάλιν, ὅτι καὶ εἰς ταῦτα καταμερίζει, διὰ τοῦτο ἀσθενέστερος ἐστὶ καὶ ἐλάττων ὁ καρπός. ἐπεὶ δὲ τῶν ῥιζῶν γε ἐστέφεις εἴρηται. μόνα δὲ καὶ μάλιστα τῶν μονοκάρπων αὔξησιν λαμβάνει μέγεθος, ἄμπελος καὶ συκῆ. δύναται γὰρ ἡ μὲν, ἐφ' ὅσον ἂν ἀφικνεῖσθαι κληματουμένη, καὶ ἔδαφος εὔγεον ἔχουσα καὶ εὔτροφον. ἡ δὲ καὶ εἰς ὕψος αἴρεται, καὶ πολύκλαδος γινομένη, πολὺν καταλαμβάνει τόπον.

15 Εὐλόγως δὲ καὶ μακροβιώτερα τὰ ἄκαρπα τῶν καρπίμων, καὶ τὰ ὀλιγόκαρπα τῶν πολυκάρπων, ὅσα μὴ δι' ἀσθένειαν ἢ ὑγρότητα ἢ δι' ἄλλην τινὰ αἰτίαν ἄκαρπα, ἢ ὀλιγόκαρπα· καθάπερ τά τε πάρυδρα, καὶ ἀλσώδη, καὶ ὅσα μανὰ καὶ εὔσηπτα, καθάπερ ἡ δάφνη. ταῦτα μὲν γὰρ, καὶ εἴ τι τοιοῦτον ἄλλο, διὰ τὰς εἰρημένας αἰτίας. ἡ δὲ καρποτοκία πολὺ τῆς φύσεως ἀφαιρεῖ, καὶ τὸ κυριώτατον· ὅπερ καὶ ἐπὶ τῶν ζώων συμβαίνει. τὰ γὰρ πολυτοκώτατα καὶ γηράσκει τάχιστα, καὶ ἀπόλλυται. φανερὸν δὲ ἀμέλει καὶ ἐπ' αὐτῶν ἐστι τῶν δένδρων. ὅσα γὰρ πολύφορα καὶ πολύκαρπα, ταῦτα καὶ ὅλως καταγηρᾷ θᾶττον, καὶ ἐν τοῖς ὁμογενέσιν· οἷον ἀμπέλοις, συκαῖς, τοῖς ἄλλοις. [τά] τὰ δὲ στέριφα, καὶ ὀλιγόκαρπα, χρονιώτερα ὡς εἰπεῖν † δήποτε. μᾶλλον δὲ πολλάκις, ὑπερκαρπήσαντα τὰ δένδρα, δι' ἀσθένειαν ἀφαυαίνεται· καὶ [†γίνεται μὲν οὖν δήποτε,] μάλιστα τοῦθ' αἱ ἄμπελοι πάσχουσι, καὶ τἆλλα δὲ τὰ πολύκαρπα, διὰ τὸ ἐξαναλίσκεσθαι τὴν φύσιν εἰς τὸν καρπόν. καὶ τοῖς σιτηροῖς σπέρμασι, καὶ ὅλως τοῖς ἐπετείοις συμβαίνει. διὸ καὶ ἐπέτεια. συναποξηραίνονται γὰρ εὐθὺς αἱ ῥίζαι τελειουμένου τοῦ καρποῦ, διὰ τὰς αὐτὰς ἀνάγκας ἐκδεδομένης πάσης τῆς φύσεως. τὰ δὲ δένδρα παραχρῆμα μὲν οὐ πάσχει τοῦτο, ἢ οὐ φανερὰ γίνεται· προϊούσης δὲ τῆς ὥρας, ἐξελέγχουσιν. ἐὰν δέ τι συγγένηται τοιοῦτον ἐκ τοῦ ἀέρος, ὥστε πιέσαι καὶ κακῶσαι καὶ θᾶττον, οὐ μόνον οὕτω τὰ ὑπερκαρπήσαντα, ἀλλὰ καὶ πολυκαρπήσαντα, πονεῖ πολλάκις, ἢ καὶ φθείρεται. κενωθὲν γὰρ ἅπαν ἀσθενές. φύσει ἀσθενεῖ δὲ καὶ τὸ μὴ ἰσχυρόν. διὸ ὅπερ καὶ τὰ γεωργούμενα τῶν ἀγεωργήτων θᾶττον γηράσκει, καὶ τὰ βελτίω τῶν χειρόνων, καὶ τὰ ἥμερα ὅλως τῶν ἀγρίων. καί τοι τάχ' ἂν δόξειεν ἄτοπον, [δ'] τὰ μᾶλλον τυγχάνοντα θεραπείας. ἀλλ' ἡ θεραπεία πρὸς καρπογονίαν, οὐ πρὸς ἰσχύν· αὕτη δ' ἀφαιρεῖ. τὸ δὲ μακρόβιον ἐν τῷ ἰσχύειν. ἰσχυρὸν δὲ, τὸ πυκνὸν καὶ στέριφον. ὅθεν καὶ Θάσιοι τὰς γεωργίας ἐκμισθοῦντες, οὐ φροντίζουσι τῶν ἄλλων ἐτῶν, ἀλλὰ καὶ βούλονται κακουργεῖν· ἐπεὶ δὲ τῷ πλείστῳ συγγράφονται, πρὸς τὴν αὐτῶν κατάληψιν. συμβαίνει δὲ ὥσπερ καὶ ἐπὶ τῶν ζώων. καὶ γὰρ τὰ ὅλως εὔτοκα, βραχύβια. καὶ τὰ ὑπερβινήσαντα, πολλάκις ἀπόλλυνται, καὶ μάλιστα ἐπὶ ἀνδρῶν + τῶν τε συνανθρωπευομένων αἱ ὄρνιθες. [-δῶν] αὕτη τε δὴ βραχυβιότητος αἰτία. καὶ ἡ ἐναντία δηλονότι μακροβιότητος, ὥσπερ εἴρηται. καὶ ὅσα δὲ ἀσθένειαν εὔφθαρτα, μὴ πάντως ὄντα πολύκαρπα, ἀλλ' ἔνια καὶ ἄκαρπα, καθάπερ ἐν τοῖς ἐπετείοις ὡς † ἡ σικυά, περὶ ἧς καὶ πρότερον ἐλέχθη· [†ἡ σίκυς] ταῦτα γὰρ οὐδ' εἰς τελείωσιν ἀφικνεῖσθαι δύνανται τῆς φύσεως. ἔνια δὲ καὶ τῶν δένδρων εὔφθαρτα διὰ μανότητα καὶ ἀσθένειαν, οὐκ ὄντα πολύκαρπα, καθάπερ ἡ δάφνη. ταύτης γὰρ ἐστιν, ἡ καὶ ἄκαρπος, ὥσπερ ἡ βρυοφόρος.

16 Πλὴν οὐχ ἁπλῶς ταύτῃ γε, ἀλλὰ κατὰ μέρος καὶ ἡ φθορὰ καὶ τὸ γῆρας. εἰ γὰρ τὸ μάλιστα παχυνόμενον, ὡς εἰπεῖν, σήπεται καὶ φθείρεται. παραβλαστήσεις δὲ ἔχει πολλὰς, ὡς ὅμοιον εἶναι τρόπον τινὰ τοῖς ἀφαυαινομένοις ἀκρέμοσιν ἐπὶ τῶν δένδρων. ἀλλ' ἡ διαφορὰ, [τοῦ] τοῖς μὲν ὅτι τὸ κυριώτατον, τοῖς δὲ τῶν ἀπηρτημένων τι † μοριδῶν. ἀλλ' ὅτι ἡ παραβλάστησις ἐκ [†μορίων] τοῦ αὐτοῦ, διὰ ὅπερ ταὐτὸ δοκεῖ καὶ τὸ δένδρον εἶναι· περὶ οὗ καὶ διηπορήθη πρότερον. ἀρχαὶ δὲ φθορᾶς τοῖς ἀσθενέσι, καὶ ἐκ πληγῆς, καὶ ἐκ πνευμάτων μεγέθους, καὶ ἀφ' ἑτέρων τινῶν τοιούτων. ἐκ πολλῶν γὰρ εὐκίνητον, τὸ ἀσθενές. ἐὰν δὲ πρὸς τούτῳ καὶ πολύκαρπον ᾖ, καθάπερ ἡ ῥόα, καὶ μηλέα ἡ ἐαρινή, καὶ μᾶλλον. ἐξ ἀμφοτέρων γὰρ, τάχα δ' ἐκ πολλῶν αἱ ἀρχαί. καὶ ἀεὶ μηλέαι καὶ σκωληκοῦνται τάχιστα, θᾶττον δὲ αἱ γλυκεῖαι· καὶ ὅπερ πάσχουσι, καὶ ὅλως γηράσκουσιν, οὐχ αἱ μηλέαι μόνον, ἀλλὰ καὶ αἱ ῥόαι. τὸ γὰρ ποτιμώτατον ἀφαιρεῖται τῆς φύσεως. ἅμα δὲ καὶ αἱ μὲν ὥσπερ ἄγριαί πως, αἱ δ' ἥμεραι τυγχάνουσιν. ἀνάλογον δὲ, καὶ αἱ ἀπύρηνοι τῶν πυρηνωδῶν, καὶ αἱ μαλακοπύρηνοι τῶν σκληρῶν. καὶ ἐπὶ μυρρίνων δὲ, καὶ τῶν ἄλλων ὡσαύτως· καὶ γὰρ πλεῖον ἀφαιρεῖται τῆς φύσεως. καὶ τὸ ὅλον ἀσθενέστερα καὶ μανότερα ταῦτα· διὸ καὶ πρωϊκαρπότερα. θᾶτ-

πῆσι διαθρυμματομένων, ὥσπερ καὶ αἱ κύτινοι τῶν ῥοῶν. ὅτι δ' ταῦτα αἴτια, μηνύει τὸ συμβαῖνον. ἃ δὲ καὶ λέγουσι τινὲς, ἀποβάλλουσι γὰρ μᾶλλον ὑδάτων ἐπιγινομένων. σημεῖον δ' ὅτι κἀκεῖνο δεῖ τοῦ συμμύσαι χάριν· ἐὰν γὰρ μὴ ἔχωσι περιέπτεν, τῇ ἄμμῳ ἐπιπάττουσιν, ἵνα συμμύσῃ. καὶ ὁ κονιορτὸς δὲ ποιεῖ διὰ τοῦτο ἐπιμένειν, ὅτι συμμύει κονιορτούμενα. τὰ δὲ τῶν ὀψίων, οὐ διοίγεται κατ' ἐκεῖνον τὸν καιρὸν, ἀλλὰ συμμένει· διὸ καὶ ἐπιμένει, καὶ οὐδὲ ὅλως † θαυμασμῷ δεῖται. μετὰ ταῦτα ἰσχύοντα· καὶ ἅμα τῆς ὥρας μεταβεβληκυίας, ἀνοίγνται τε καὶ οὐκ ἀποπίπτει. τὴν μὲν οὖν αἰτίαν ἀμφοτέρως λαβεῖν ἐνδέχεται. τάχα δ' ἄν τις φαίη ταῦτά γε οὐδὲν ἐπιφανέσθαι· καὶ γὰρ ὑδάτων ἐπιγινομένων, ἀποθνήσκει τὰ ἐρινά, καὶ πλείων ὑγρότης γίνεται, δι' ἣν ἐκπνευματουμένη ἡ ἀποβολή. καὶ τῇ ἄμμῳ περιπάττειν ἀποξηραίνειν βουλομένους. διὸ καὶ τὸν κονιορτὸν ὠφελεῖν· ἐξαιρεῖν γὰρ τὸ ὑγρὸν, τὸ τῆς ἀποβολῆς αἴτιον. εἰ μὲν οὖν μηθὲν ἀντιλέγει, δῆλον ὡς ἐν ἐκείνῳ τὸ αἴτιον. εἰ δὲ ἐναντιοῦται, συμβαίνει αὖ ἐκεῖνως μὲν ἀπὸ τῶν ἐντὸς εἶναι τὴν ἀρχήν, καὶ ἔτι δ' αὖ προσεπιγίνεσθαι τῶν ἐκτός· οὕτως δ' ἀπὸ τῆς ἔξωθεν ὑγρότητος, ὑφ' ἧς μόλις αὖ ἀποπίπτει τὰ ὀρθὰ πεφυκότα, καὶ μὴ κατακλινῆ· καθάπερ οἱ κύτινοι. πιθανὸν δὲ, καὶ ἐξ αὐτῶν τινὰς αἰτίας εἶναι τῆς ἀποβολῆς, ὥσπερ νοσούντων. πλὴν ἡ μὲν νόσος ἴσως κοινὴ πάντων τῶν καρπῶν. τὸ δὲ συμμύειν ὅταν εἰσδύωσιν οἱ ψῆνες, ἀνάγκη τινὰ λέγειν αἰτίαν. ἐπεί τοί γ' ἐν βόσκεσθαι τὴν ὑγρότητα τὴν ἐνυπάρχουσαν οἰκείαν οὖσαν, ἀληθές· διόπερ πρὸς τὴν ἐπιμονὴν, χρήσιμον. τὰ μέντοι σῦκα χείρω ποιεῖ. κενωθέντα γὰρ τὰ ἐρινὰ, μᾶλλον ἐπιπαρεῖται καὶ πλείω τὸν ὀπόν. ὅθεν ἔνιοί γ' οὐδ' ἐρινάζουσιν. ἀλλὰ καὶ φυλάττοντες κορύπτουσιν, ὡς αὐξήνασα καὶ δοκεῖ πολὺ διαφέρειν. ἔτι δ' ἐχρῆν τὰ εἰς βορέαν ἧττον ἀποπίπτειν· συμμύει γὰρ μᾶλλον, εἰ μὴ ἄρα ὑπὸ ξηρᾶσθαι διαχαλᾶσι. φαίνεται δ' οὖν πλείους εὐλογίας ἔχειν τὸ πρότερον, εἰ μὴ ἄρ' ἀμφοτέρως συμβαίνει καὶ ἐνδέχεται. τὸ δ' ἐνίους τόπους μὴ δεῖσθαι τῶν ἐρινασμῶν, οὐκ ἄτοπον, ὥσπερ ἐλέχθη, συμμετρίαν ἔχοντας ἅμα τῆς ἐκτροφῆς τοῦ ἀέρος. ἐπεὶ ὅτι γε ἡ ὑγρότης πολλὴ καθ' ὅλον τὸ γένος, καὶ ἐξ αὐτῶν τῶν ἀγρίων δῆλον. καὶ γὰρ ἡ ἀπεψία διὰ τοῦτο γίνεται. καὶ ἐρινάζουσι κἀκείνους, ὅπως ἐπιμένωσι. διὰ τὰς αὐτὰς αἰτίας καὶ διφοροῦσιν, ἔνιοι δὲ καὶ τριφοροῦσιν αὐτῶν, διὰ πλῆθος τροφῆς. ἀφαιρουμένων γὰρ τῶν πρώτων, ῥᾳδίως ἕτερα φύουσι· καὶ πάλιν τούτων ἕτερα, πληθύοντές τε τῇ ὑγρότητι, καὶ μέχρι τούτου κρατοῦντες. ἔτι πλεῖον δὲ οὐ δυνάμενοι διὰ τὴν ὑπερβολήν. μόνον γὰρ διὰ τοῦτο τῶν ἀγρίων, ἡ μετ' ὀλίγον ἀπελθεῖ φέρει τὸν καρπόν, εἰ μὴ ἄρα ἐνταῦθα αὐτῶν ἐστι τὸ τέλος. φύεται γοῦν καὶ αὐτόματος. ἡ δὲ τῶν αὐτομάτων γένεσις, ἐκ σπέρματος, καὶ ὅσα δὴ διὰ σῆψίν τινα, μᾶλλον δ' ἀλλοίωσιν γίνεται τῆς γῆς. ὥστε καὶ τοῦτο ὠλεσίκαρπον ἄν τις εἴποι, καθάπερ ὁ ποιητὴς τὴν ἰτέαν. ἐπεὶ τἆλλα κἂν ἀκαρπῶς ἔχει πᾶσι τοὺς καρποὺς, ὅμως ἐκτελεῖ καὶ πεπαίνει κατὰ τὴν τῆς φύσεως ὁρμήν. ἀλλὰ γὰρ αὕτη μὲν ἰδιότης ἄν τις εἴη πρὸς τὰ ἄλλα. τὸ δ' ἐπὶ τῶν φοινίκων συμβαῖνον, οὐ τοιοῦτον μὲν, ἔχει δέ τινα ὁμοιότητα τούτῳ· διὸ καλοῦσιν ὀλυνθάζειν αὐτούς. τὸ γὰρ ἀπὸ τοῦ ἄρρενος ἄνθος, καὶ ὁ κονιορτὸς καὶ χνοῦς συγκαταπαττόμενος, ποιοῦσί τινα τῇ θερμότητι καὶ τῇ ἄλλῃ δυνάμει ξηρότητα καὶ διάπνοιαν. διὰ τοῦτο μὲν ἡ ἐπιμονή. φαίνεται δὲ τρόπον τινὰ ὅμοιον τούτῳ καὶ ἐπὶ τῶν ἰχθύων συμβαῖνον, ὅταν ὁ ἄρρην ἐπιρραίνῃ τοῖς ᾠοῖς ἀποτικτομένοις τὸν θορόν. ἀλλὰ τὰς μὲν ὁμοιότητας, καὶ ἐκ τῶν ἀπηρτημένων δεῖ λαμβάνειν.

14 Τῶν δὲ ὁμογενῶν, ἐν οἷς τὰ μὲν ἄκαρπα, τὰ δὲ κάρπιμα, τῶν δ' ἀγρίων, ἃ δὴ θήλεα, τὰ δ' ἄρρενα καλοῦσιν, ἐν ἐκείνῃ τῇ αἰτίᾳ περιλαμβάνεται, τῇ καὶ πρότερον εἰρημένῃ περὶ τῶν καρπῶν· ὅτι διὰ πυκνότητα, καὶ ἰσχὺν, καὶ εὐτροφίαν ἄκαρπα γίνεται. συμβαίνει γὰρ, ἅπαντα εἰς ἑαυτὰ καταναλίσκειν. ἡ δὲ καρπογονία, δεῖται μὲν τῆς φυσικῆς περιττώσεως· ἐκ ταύτης γὰρ ὁ καρπός, ὥσπερ καὶ τοῖς ζῴοις τὸ σπέρμα. τρεπομένης δ' εἰς ἕτερον αἰεὶ καὶ καταναλισκομένης, ἀφαιρεῖται τὴν γένεσιν. ἡ γὰρ φύσις οὐ διαρκὴς εἰς ἄμφω, μὴ λαμβάνουσα τὸ σύμμετρον. οἷς μὲν οὖν ἐνίοτε τοῦτο συμβαίνει, τότε ἄκαρπα γίνεται. οἷς δ' εὐθὺς ἐνταῦθα ἡ ὁρμὴ τῆς φύσεως, ὅλως † ἄκαρπα. διὸ δὴ καὶ τῶν ἀγρίων ἔνια τοιαῦτ' ἐν τοῖς ὁμογενέσιν, ἅπερ ἰσχυρότερα καὶ πυκνότερα, καὶ ὡς ἐπίπαν μείζω γίνεται διὰ τὴν εὐτροφίαν. ἐπεὶ καὶ μικρόκαρπα πάνθ' ὡς ἐπίπαν μείζω, καὶ τὰ εἰς μέγεθος ὡρμημένα μικροκαρπότερα· καθάπερ καὶ ἡ ἰνδικὴ συκῆ καλουμένη. θαυμαστὴ γὰρ οὖσα τοῦ μεγέθους, μικρὸν ἔχει φύσει σφόδρα τὸν καρπόν, καὶ ὀλίγον, ὡς εἰς τὴν

βλάστησιν

(margin notes: ἐρινασμῷ; φασὶν; δι'; δύσκαρπα)

περιφυόντα. τὰ δ' ἐν τοῖς εὐπνόοις καὶ προσηνέμοις καὶ εὐήλοις, ἔτι δὲ μανοῖς καὶ περιφυκόσιν ἧττον. ἥ, τε γὰρ εἰς βάθος αὔξησις κωλύεται τάχει, καὶ τὰ πνεύματα τραχύνει, καὶ ὄζους ἐμποιεῖ, καθάπερ ἐλέχθη, διὰ τὴν ἐπίστασιν. ἐκείνοις δὲ ἀφῃρημένων τούτων, ἡ εἰς τὸ μῆκος αὔξησις μόνη γίνεται. διὸ καὶ τὰ μὴ ὁμοίως ὀρθοφυῆ, μὴ δ' εὐμήκη, τὴν αὐτὴν διάθεσιν λαμβάνει τοῖς ὀρθοφυέσι καὶ μακροῖς, ὅταν ἐν τόποις γένηται τοιούτοις· ὥσπερ αἱ δρῦς. λεῖαι γὰρ καὶ εὐθεῖαι, καὶ σχεδὸν ἰσομήκεις γίνονται ταῖς ἐλάταις, καθάπερ φασὶ καὶ περὶ τὸν αἷμον. ἅμα δὲ μανότερα καὶ ὑγρὰ καὶ ἀσθενέστερα τὰ τοιαῦτα γίνεται, διὰ τὸ μήτε ὑπὸ τοῦ ἡλίου, μήτε ὑπὸ τῶν πνευμάτων καὶ τοῦ ψύχους λαμβάνειν πύκνωσιν. ἐκβλητικὰ δὲ μάλιστα τῶν καρπῶν πρὶν πεπᾶναι, συκῆ, καὶ φοῖνιξ, καὶ ἀμυγδαλῆ. † καὶ διὰ τὴν ἐνίοτε πολλὴν ὑγρότητά τινος, ἢ πνεύματος, ὥσπερ συκαῖ· τὰ δέ, τῷ τὴν προσάρτησιν ἔχειν ἀσθενῆ, ὅσων δ' ὄγκος μείζων, ὥσπερ ἡ ἀμυγδαλῆ, καὶ μηλέα, καὶ ἄπιος· ἱκανὸν γὰρ καὶ ὀλίγον διϋγραίνει, καὶ ἀσθενὲς ποιῆσαι· καὶ ἅμα τούτοις γε καὶ πνευμάτων ἐπιγίνεται μέγεθος. ἡ δὲ ῥόα τοῖς μὲν αὖ τινος, εὐαπότμητος· ἀσθενὴς γὰρ αὐτῆς ἡ πρόσφυσις. ὡς δ' ὅταν ψακάδια καὶ δρόσοι πέσωσιν, εἰσδυόμενα ἐπὶ τὸ ἄνθος, διϋγραίνει, καὶ ποιεῖ τὴν βολήν. διὸ καὶ κατάγουσι τὰ δένδρα, καὶ οὐκ ἀφιᾶσιν εἰς ὕψος, ὅπως οἱ κύτινοι μὴ ὀρθοὶ γινόμενοι δέχωνται τὸ ὑγρόν. οἱ δὲ καὶ ἀνάπαλιν κελεύουσι φυτεύειν τὰς ῥάβδους, τούτου χάριν, ὅπως εὐθὺ κατανεύσωσιν. ὅτι δ' ὑγρότης αἰτία τῆς ἐκβολῆς, κἀκεῖθεν δῆλον· αἱ γὰρ ἄπιοι καὶ ἀμυγδαλαῖ, κἂν μὴ βρέχῃ, νότιος δὲ ᾖ ὁ ἀὴρ, καὶ ἐπινεφής, ἐκβάλλουσι καὶ τὰ ἄνθη καὶ τοὺς πρώτους καρπούς, ἐὰν εὐθὺς μετὰ τὴν ἀπάνθησιν ᾖ. καὶ τούτων μὲν καὶ τῶν τοιούτων ἐν τῇ προσαρτήσει τε καὶ τοῖς ὄγκοις ἡ αἰτία.

τὰ μὲν διὰ

11 Τῶν δὲ συκῶν καὶ τῶν φοινίκων, οὐκ ἐν τούτοις ἐστὶ μόνον, ἀλλὰ καὶ ἐν τῇ αὐτῶν διαθέσει. διὸ καὶ ἐρινάζουσι τὰς συκᾶς. τοῦτο δὲ ποιοῦσιν, ὅπως οἱ ψῆνες οἱ ἐκ τῶν ἐρινῶν τῶν ἐπικρεμαννυμένων γινόμενοι, διοίγουσι τὰ ἐπὶ τῆς συκῆς. ἡ μὲν γὰρ γένεσις ἐξ ἐκείνων. ζητοῦντες δὲ τὴν ὁμοίαν τροφήν, ἐκπίπτονται καὶ προσίπτανται τῷ ἐπὶ τῆς συκῆς ἐρινῷ. συμβαίνει δὲ τοῦτο καὶ ἐπὶ τῶν ἐριναζομένων, ὅταν ἐπ' αὐτῶν τῶν συκῶν ἐπιγίνωνται. διὸ καὶ παραφυτεύουσι ταῖς συκαῖς ἐρινοὺς ἐπὶ τῶν ἄκρων, ὅπως κατ' ἄνεμον ἡ πτῆσις ῥᾳδία γίνηται, ταῖς μὲν πρωΐαις πρωΐους, ταῖς δ' ὀψίαις ὀψίους, ταῖς δὲ μέσαις μέσους, ἵνα κατὰ τὴν οἰκείαν ὥραν ἑκάστοις ὁ ἐρινασμὸς ᾖ. διοιχθέντος δὲ τοῦ μέσου, τὴν ὑγρότητα ἐκβόσκονται τὴν πλείω, καὶ τὸν ἔξωθεν ἀέρα δίοδον δεδώκασι, καὶ τὸ ὅλον εὐπεπτότερα ποιοῦσι. συμβαίνει γὰρ ἅμα τῇ θερμότητι τῇ κατεργασμένῃ, συγκατακλείεσθαί τι πνεῦμα, καθάπερ τοῖς ἑψομένοις, οὗ χωρισθέντος ἅμα τῇ ὑγρότητι καὶ διεκπνεύσαντος ἐπιμένει. τὰ γὰρ αἴτια τοῦ ἐκβάλλειν ταῦτ' ἐστίν. εὐλόγως δὲ καὶ γίνονται καὶ εἰσδύονται πάλιν οἱ ψῆνες εἰς τὰ ἐρινά. γίνονται μὲν γάρ, διὰ τὸ μὴ δύνασθαι πεπαίνειν, μηδὲ τελεουργεῖν τὸν ἐρινεόν. ὥσπερ γὰρ καὶ τῶν ἄλλων σηπομένων, καὶ ἐν τούτοις ζωοποιὸς ἡ φύσις. οὐκ ἔχοντες δὲ τροφήν, ζητοῦντες δὲ τὴν οἰκείαν, φέρονται πρὸς τὸ ὅμοιον. ἡ γὰρ ἐπιθυμία πᾶσι τοῦ συγγενοῦς. ὥσπερ τοῖς φθειρσὶν αἵματος, ἐξ οὗ διαφθαρέντος γένεσις. εὐλόγως δέ, καὶ ἐν ταῖς λεπτογείοις καὶ καταβόροις οὐκ ἐπιζητοῦσι τὸν ἐρινασμόν· ξηρὰ γὰρ γίνεται τῇ φύσει, διὰ ὀλιγότητα τῆς τροφῆς. οὐδὲ δή, εἴ τις ἑτέρα χώρα τοιαύτην ἔχει τὴν κρᾶσιν, ὥστε σύμμετρον ἐκδιδόναι τὴν τροφήν· ἡ γὰρ ἀποβολὴ διὰ ἀπεψίαν, καὶ τὸ μὴ κρατεῖν. ὡσαύτως δέ, καὶ ὅπου κονιορτὸς πολύς· ἀναξηραίνει γὰρ καὶ οὗτος. ἄτοπον δ' ἂν δόξειεν, ὅτι βορείοις ἀποβάλλουσι μᾶλλον, ἢ νοτίοις, ξηροτέρων ὄντων. αἴτιον δέ, ὅτι πυκνούμενα μᾶλλον τὰ ἐρινὰ κωλύει διεκπνεῖν, ἅμα δ' ἴσως καὶ πῆξίς τις γίνεται τοῦ ὀποῦ. 12 ταύτην γὰρ καὶ τῆς φυλλοβολίας αἰτίαν φέρουσί τινες, ὥσπερ εἴπομεν. ὅσα δ' ὄψια πάμπαν τῶν γενῶν, οὐκ ἀποβάλλει, διὰ τὴν ὀψιότητα τῆς βλαστήσεως. οὐ γὰρ ἔτι συμβαίνει κατακλείεσθαι καὶ ἐναπολαμβάνεσθαι τὸ πνεῦμα, διὰ τὴν ὥραν· ἀλλ' ἐπικρατεῖ αὐτὴ προεξιστάμενον τὸ θερμόν. ἅμα δὲ καὶ φύσει ξηρά πως ὄντα, καὶ ὀψὲ διϋγραίνεται. διὸ καὶ τὴν ἄρδευσιν αἱ τοιαῦται ζητοῦσι, καὶ δέχονται μᾶλλον. ἔοικε δ' ὥσπερ ἡ ἄνοιξις ποιεῖ τὴν ἐπιμονήν, εὔπνοιάν γε καὶ ἀπολυσίαν ποιοῦσα, παραπλησίως τρόπον τινὰ συμβαῖνον ἐπὶ τῶν ἐν αἰγύπτῳ συκαμίνων.

13 Ἀλλὰ τοῦτο διαμφισβητοῦσί τινες, ὡς ἄρ' οὐκ ἀνοίγουσιν οἱ ψῆνες, ἀλλὰ συμμύειν ποιοῦσιν, ὅταν εἰσδύωσιν. ὅθεν καὶ τὴν αἰτίαν δεῖν ἐκ τοῦ ἐναντίου φέρειν, ὡς τούτου χάριν ἐριναζομένων. ἐὰν γὰρ συμμύωσιν, οὔθ' ἡ δρόσος, οὔτε τὰ ψακάδια δύνανται παραφέρειν· ὑφ' ὧν ἀποπί-

ὁμογενῆ, τὸν αὐτὸν ζητεῖ. καθάπερ ὁ κιττὸς, καὶ τὰ πάχυδρα καὶ ἀλσώδη ῥᾳδίως ἀπαιτεῖ. ὁ μὲν γὰρ θερμὸς ἐστι ξηρός. τῶν δὲ ἡ φύσις ὅλως συγγενής. ἔνια δὲ καὶ τούτων ἐν ταῖς καθ᾽ ἕκαστα διαφοραῖς ἔδειξε τὴν αἰτίαν. ὁμοίως δὲ καὶ ὅσα φυλλόσποντα τυγχάνει καὶ τῶν ἀγρίων καὶ τῶν ἡμέρων, ὥσπερ ἡ ῥόα, καὶ ὁ μύῤῥινος· καὶ ὁ μὲν πυκνὸς ὢν, καὶ ξηρός· ὁ δὲ μανὸς καὶ ξηρός. τὸν μὲν γὰρ καρπὸν ἀμφότερα πυρηνώδη, καὶ οὐχ ὑγρὸν ἔχει. ὑπὸ μὲν γὰρ ἡλίου παραδιδόμενος, ταχὺ καταξηραίνεται· σκιατροφούμενος δὲ, καὶ μετρίως εἰσλαμπόμενος, σώζει τε τὴν οἰκείαν ὑγρότητα, καὶ πεπαίνει. διὸ καὶ τὰς ῥόας πυκνὰς φυτεύουσι, καὶ τοὺς μυῤῥίνους, ἵνα συσκιάζωσιν ἀλλήλας, καὶ προβολὴν ἔχωσι τοῦ ἡλίου. ἅμα δὲ καὶ τῷ μὴ πολύῤῥιζα τυγχάνειν, οὐκ ἐνοχλοῦνται περὶ τὰς τροφάς. εἰ γὰρ αὖ τἀναντία πως οὕτω φυτεύοιτο, καθάπερ ἄμπελον καὶ συκῆν, οὐκ ἂν ὁμοίως εὐκαρποῖ. ἔνυγρα γὰρ ὄντα, καὶ πέψεως δεῖται πλείονος. αἱ μὲν οὖν τῶν τόπων παραλλαγαί, διὰ τοιαύτας τινάς εἰσιν αἰτίας, ὅπου μὴ καὶ ἄλλο τι συμβαίνει κώλυμα καὶ σίνος πρὸς εὐκαρπίαν· ὥσπερ περὶ τάραντα τῆς ἐλαίας. ἡ γὰρ ἄπνοια, κατὰ τὴν αἴσθησιν. ἀποκαίεται γὰρ πολλὰ, καὶ ὅταν πνέῃ τοιοῦτόν τι πνεῦμα πόντιον, ἢ τῇ ἅλμῃ τῇ ἐπιφερομένῃ κατικμάζεται καὶ λυμαίνεται τὰ ἄνθη. δοκεῖ δὲ καὶ ὁμίχλη τις ἀναδιδοῦσα ἐκβαίνειν, ἢ ὅταν ἅπτηται τῶν ἀνθῶν ἐπικρατεῖ. διὸ καὶ μάντεις θύουσιν, ὥστε μὴ ἐκβαίνειν, καί φασι κωλύειν. τὸν αὐτὸν δὲ τρόπον, καὶ ἐπὶ πόλιν σωτήριον ἢ μὴ πρόσφορον διὰ τοῦ ἀέρος. ἐνίοτε γὰρ τῶν ἐδαφῶν ὄντων φαύλων, ὁ ἀὴρ ἐπιτρίβει τῇ εὐκρασίᾳ, καθάπερ

10 ἐλέχθη, καὶ τοῖς οἰκείοις πνεύμασιν. Εἰ δέ γε ἡ πέψις τῶν καρπῶν, τοῖς μὲν ὑπὸ θερμοῦ δοκεῖ, τοῖς δ᾽ ὑπὸ ψυχροῦ γίνεσθαι, κατὰ συμβεβηκὸς ἄγει ὑπὸ τοῦ ψυχροῦ γινομένη· τὸ γὰρ θερμὸν ἐν ἀμφοῖν πέττει. καὶ μία τις ἡ αἰτία, φανερὸν δὲ οὐχ ὁμοίως διὰ τὴν ἀντιπερίστασιν. ὅλως γὰρ πάντων τῶν τοιούτων τὰς αὐτὰς δυνάμεις ὑποληπτέον αἰτίας εἶναι. ξυμβαίνει δὲ διὰ τοῖς ὀψικάρποις ὑπὸ τοῦ χειμῶνος πεπαίνεσθαι, προκαταλαμβανομένοις τῇ ὥρᾳ. ὀψίκαρπα δ᾽ ὥσπερ ἐλέχθη, διὰ πλείους αἰτίας. ὅσα μὲν οὖν ὑγρὰ τῇ φύσει, συντονωτέρου δεῖται τοῦ ψυχροῦ, ὥσπερ ἡ ἄμπελος· οὕτω γὰρ μᾶλλον ἡ πέπανσις. ὅσα δὲ ξηροκαρπότερα, καθάπερ ὁ μύῤῥινος (καὶ γὰρ οὗτος τῶν ὀψικάρπων) ἐλαφροτέρου. ἀποξηραίνει γὰρ καὶ ἀποσήπει τὸ ἄγαν. ἡ δ᾽ εὐκρασία, καὶ ὁ ὑγρότερος, καὶ ὁ ὑπὸ νότον ἀὴρ, εὐτροφώτατος. ἐπεὶ οὐδὲ τὰ ὑγρότερα τῇ φύσει πέττουσιν αἱ ὑπερβολαὶ τῶν χειμώνων, ἀλλὰ τὰ μὲν ὅλως ἀναξηραίνουσι, τῶν δ᾽ ἐξαιροῦνται τὸν οἰκεῖον χυλὸν, ὥσπερ τῶν συκῶν. αὐτίκα δὲ μάλιστα, καὶ διαίτας, τά, τε ἐν ὑγρότητι μᾶλλον πλείονι, καθάπερ τῶν ὑγρῶν τὰ μιμαίκυλα. καὶ ἔνια γλίσχρα καὶ στρυφνὰ καὶ ἰσχυρὰ τὴν φύσιν, οἷον βάλανος, ἀχράς, οὖον. ὀψὲ γὰρ ταῦτα γε λαμβάνει τὴν οἰκείαν ὑγρότητα. τοιαῦτα δὲ καὶ τὰ μέσπιλα, καὶ τὰ μῆλα τὰ ἄγρια· καὶ πάνθ᾽ ὅλως πεπαίνεσθαι, καθάπερ ἡ ἀχράς, καὶ τὸ οὖον· οὐ τὴν αὐτὴν μὲν πέπανσιν, ἥνπερ ἐπὶ τῶν δένδρων τὴν φυσικὴν, ἔχουσαν δέ τινα γλυκύτητα τὴν ποιοῦσαν ἐδώδιμον, εἴτ᾽ οὖν σῆψιν αὐτὴν χρὴ λέγειν, ὥσπερ ἐπὶ τῶν δρυπεπῶν ἐλαιῶν φασιν, εἴτε καὶ ἄλλην τινὰ διάθεσιν ἥνπερ ἔν. οὐ μὴν ἀλλ᾽ ἴσως οὐθὲν αὖ κωλύει, καὶ τῇ ἔξωθεν θερμότητι πεπέφθαι, καθάπερ τὰ οὖα, πεπανθέντας ἤδη ἐν ἀχύροις ἐκ τῶν δένδρων. τότε μὲν γὰρ αἰεί τινος ὑπάρχοντος, οὐκ ἐκράτει, κωλυόμενον ἅμα διὰ τὸ ψῦχος. μὴ προσγινομένης δ᾽ ἑτέρας, ἅμα δὲ καὶ τοῦ θερμοῦ συγκατακλειομένου, δι᾽ ἄμφω πέττεται, καὶ λαμβάνει τὴν μεταβολήν. ἐπεὶ καὶ οἱ ἐπὶ τῶν δένδρων καρποὶ πεπαινόμενοι, καθάπερ οἱ βότρυες, ἀφαιρεθέντος γλυκύτεροι γίνονται, τοῦ ὑδατώδους ὑπὸ τοῦ ἡλίου καταξηραινομένου. ἐπ᾽ αὐτῶν δὲ τῶν ἀμπέλων, ὅταν ἐπιστρέφωσιν, ἢ καὶ γεραιότεραι ἀποστραφῶσι. φανερὸν δὲ ἐστὶν ἐν τοῖς ἄλλοις γίνεταί τις τοιαύτη μεταβολή, τῶν μὲν ἐπ᾽ ἔλαττον, τῶν δ᾽ ἐπὶ πλεῖον. ἔνια δ᾽ ἐναντίως. καὶ γὰρ ἐπ᾽ αὐτῶν τῶν δένδρων ἐν τόποις θερμοῖς καὶ οἰκείοις ἀπέπαντα, ἐπανιθέντα δὲ, καὶ καὶ ἐπαλειφθέντα ἐλαίῳ (καθάπερ καὶ πρότερον ἐλέχθη) διὰ τὴν εὐτροφίαν ὥσπερ τὰ ἐν αἰγύπτῳ συκάμινα. ὑπὸ δὲ παθόντα, καὶ ἀπέρασιν τινα ἔλαβεν ὑγροῦ καὶ πνεύματος, καὶ τὸ θερμὸν εἰσδέχεται. τῶν δὲ λαχανωδῶν ἔνια, καὶ τὸ ὅλον ἀπέπαντα καὶ ἀμετάβλητα, καθάπερ ἡ κολοκύνθη. πέψεως μὲν οὖν καὶ ἀπεψίας, καὶ ἁπλῶς τῶν γινομένων μεταβολῶν,

11 ἐν τούτοις ἡ αἰτία. Τῶν δὲ δένδρων αὐτῶν ἀεὶ τὰ ἐν τοῖς ἀπνόοις καὶ παλισκίοις, ὀρθὰ καὶ ἀστραβῆ, καὶ λεπτότερα καὶ εὐμηκέστερα γίνεται. τὸν αὐτὸν δὲ τρόπον, κἂν πυκνὰ τυγχάνῃ

πεφυκότα,

ἐκλεγόντων τὰς ὑπερχοίσεις. καὶ τὰ μὲν ἁλυκὰ τοῖς τοιούτοις πρόσφορα, διὰ τὴν εἰρημένην αἰτίαν. αἱ δὲ ἄληθες, ὅ λέγει Ἀνδροσθένης, ὑπὲρ τὴν ἐν Τύλῳ τῇ νήσῳ τῇ περὶ τὴν ἐρυθρὰν θάλατταν, ὅτι τὰ ναματιαῖα μᾶλλον συμφέρει τῶν οὐρανίων, ἁλυκὰ ὄντα, τοῖς δένδροις καὶ πᾶσι τοῖς ἄλλοις, διὸ καὶ ὅταν ὕσῃ τούτοις ἀπαρέχειν, αἰτιάσαιτ' ἄν τις τὴν συνήθειαν. τὸ γὰρ ἔθος, ὥσπερ φύσις γέγονε. συμβαίνει δὲ τὰ μὲν οὐράνια σπάνια γίνεσθαι· τούτοις δ' ἐκτρέφεσθαι καὶ τὰ δένδρα, καὶ τὸν σῖτον, καὶ τἄλλα. διὸ καὶ πᾶσαν ὥραν σπείρουσι. ταῦτα μὲν οὖν ὡς ἐξ ὑποθέσεως εἰρήσθω.

8 Τῶν δὲ ποτίμων τὰ ψυχρὰ βέλτιστα· καὶ γὰρ πέψιν ποιεῖ μάλιστα, διὰ τὴν ἀντιπερίστασιν τοῦ θερμοῦ, καὶ κατάψυξιν ταῖς ῥίζαις. δεῖται δὲ τὰ δένδρα ταύτης. ὅτι δὲ βελτίω, σημεῖον τὸ γλυκύτερα γίνεσθαι, καὶ εὐχυλότερα τοῖς ψυχροῖς ἀρδευόμενα καὶ λάχανα καὶ ῥίζας καὶ καρπούς, καὶ τὰ ἄλλα ὁμοίως. ἔοικε δὲ κατὰ λόγον ἔχειν, ὥσπερ καὶ ἐπὶ τῶν διοσ ὑδάτων τὰ νυκτερινὰ καὶ τὰ βόρεια· καὶ ἐπ' αὐτῶν δὲ τῶν πνευμάτων, ὅταν τὰ βόρεια, καὶ μὴ νότια· καὶ ὅλως, ὅταν ψυχρά, καὶ μὴ θερμά. τὴν γὰρ αὐτὴν ὄνησιν πάντα ἔχει. καὶ διὰ τὰς αὐτὰς ἀνάγκας τὰ θερμὰ διαχεῖ καὶ ἀνυγραίνει, καὶ ἀσθενὲς ποιεῖ τὸ σύμφυτον θερμόν. ὑπερβολὴ δ' ἐστὶν οὐδὲν ἴσως καὶ τοῦ ψυχροῦ, καὶ πρὸς τροφήν, καὶ πρὸς γένεσιν, ὥσπερ καὶ ἐπὶ τῶν ζώων. ἅπερ ἀφαιρεῖται τὴν τοῦ θερμοῦ δύναμιν, ἀφαιρεῖται τὴν τροφήν· ἀφαιρεῖται γὰρ τὴν ζωήν· οὐ μὴν πολλοῖς γε, οὐδὲ ἐν πολλοῖς, ἐὰν μή τινα καὶ ἄλλον ἔχῃ χυλὸν ἀλλότριον. οὐ γὰρ οὐδ' ὅμοιον καὶ ἐπὶ τῶν ζώων ἐστὶ τὸ ἐν αὐτοῖς. ἐκεῖνα μὲν γὰρ ὅλως ὑπὸ τοῦ ὑγροῦ περιέχονται, καὶ ἐν τούτῳ ξυνίστανται· ταῦτα δ' ἐν τῇ γῇ, καὶ ἐν τῷ ἀέρι. μιγνυμένου δὲ τοῦ ὕδατος τούτοις, ὅτε τὴν ἐκ τῆς γῆς, ὅτε τὴν οἰκείαν ἀφαιρεῖται θερμότητα. πλὴν γ' εἴπερ καὶ ὁ ἀὴρ ὅλος τοιοῦτος· οὕτως γὰρ ἀβλαστὴς καὶ ἄγονος ἡ γῆ τὸ ὅλον. τὰ μὲν οὖν ψυχρὰ διὰ ταῦτα βελτίω. τὰ δὲ πολέμια τῶν ἀπότων, ὅτι τροφιμώτερα. μιγνυμένη γὰρ ἡ ἁλμυρίς, καὶ πᾶς ὁ τοιοῦτος χυλός, οὐ μόνον ἀτροφίας, ἀλλὰ καὶ ἄλλας βλάβας ἐμποιεῖ, καθάπερ ἐπὶ τῶν σωμάτων. ἡ δὲ μίξις τῶν ὑδάτων ἡ τοσαύτη χρήσιμος, ὅταν τὸ μὲν ἄγαν σκληρόν, ἢ καὶ ὥσπερ ἄπεπτον καὶ ὠμόν· τὸ δὲ θῆλυ καὶ μαλακὸν ᾖ, καὶ ἔνια τινὰ γλυκὺν συνεπιφέρει χυλόν, ὅπερ ἔχει τὰ θολερὰ καὶ κοπριώδη· καὶ γὰρ τῆς τοιαύτης δέονται τροφῆς. διὸ πολλάκις ἐναρμόσει λεπτὸν καὶ καθαρόν, μὴ καθαρῷ τε παχεῖ, καὶ φρεατιαῖον ναματιαίῳ, καὶ ῥυτὸν ὀμβρίῳ, εἰ μή τι καὶ ἁπλῶς αἴτιον. θαυμασιώτερον δ' ἂν δόξειεν, ὅτι γλυκὺ καὶ ἀπόλεμον ἢ ὅλως ἄτροφον, εἰ μὴ τελεσφόρον ἐστίν· ὥσπερ καὶ ἐπὶ τὸ περὶ τὴν πυραίαν, ὃ καὶ ἐν ταῖς ἱστορίαις εἴρηται. τὴν δ' αἰτίαν ἐν λύσιν ἄν τις λάβοι τούτων· ἢ ὅτι πάντως ἀσθενές, ὅπερ οὐκ ἔοικεν, ἐπεὶ καὶ ὁ ἀὴρ δοκεῖ τρέφειν· ἢ ὅτι χυλόν τινα ἔχει κακοποιόν, ὃς λανθάνει τὴν γεῦσιν· ὅπερ ἐκδηλότερον φαίνεται καὶ ἐπὶ τούτου τοῦ ὕδατος. καὶ γὰρ ἄνθρωποι λουόμενοι λεπροὶ γίνονται, καὶ τὰ φυτὰ παραπλησίαν τινὰ λαμβάνει διάθεσιν. οὐ γὰρ δὴ τόγε ἄγαν τρόφιμον αὐτὸ λεκτέον, ὡς διὰ τὸ μὴ δύνασθαι κρατεῖν, ἄτροφα καὶ χείρω γίνεται. περὶ μὲν οὖν τούτων ἱκανῶς εἰρήσθω.

9 Τοὺς δὲ τόπους ζητεῖ τοὺς οἰκείους οὐ μόνον τὰ περιττὰ καὶ ἴδια τῶν δένδρων, ὥσπερ εἴπομεν, ἀλλὰ καὶ τὰ κοινότερα γινόμενα. τὰ μὲν γὰρ φιλεῖ ξηρούς, τὰ δὲ ἐνύδρους, τὰ δὲ χειμερινούς, τὰ δὲ προσείλους, τὰ δὲ παλισκίους· καὶ ὅλως, τὰ μὲν ὀρεινούς, τὰ δὲ ἑλώδεις, ὥσπερ καὶ διαιροῦσιν. οὐκ ἀεὶ δὲ πάντας τοὺς αὐτοὺς ἴσως, οὐδὲ διὰ μίαν αἰτίαν ἀλλὰ διὰ πλείους, ὥσπερ καὶ ἐν τοῖς πρότερον ἐλέχθη. καὶ παρὰ τὸ συγγενὲς τῆς φύσεως, ἕκαστον ἄγει πρὸς τὸν οἰκεῖον, ἐν ᾧπερ καὶ τὰ αὐτόματα φύεται. τὸ δ' αὐτόματον μηνύει τὴν φύσιν, ὥσπερ ἐκ τῶν αὐτῶν αἱ τροφαὶ καὶ αἱ γενέσεις, καὶ αἱ καθ' ἕκαστον διαιρέσεις· οἷον ἡ θερμότης, καὶ ἡ ψυχρότης, καὶ ἡ ξηρότης, καὶ ἡ ὑγρότης· ζητεῖ γὰρ πρόσφορα κατὰ τὴν κρᾶσιν. ἔτι δὲ τὰ ἀσθενῆ, καὶ ἰσχυρά, καὶ βαθύρριζα, καὶ ἐπιπολαιόρριζα, καὶ εἴ τις ἄλλη διαφορὰ κατὰ τὰ μέρη. πολλάκις δὲ καὶ διὰ πλείω τούτων, καὶ ἔνια τὰ μὲν ἔχοντα, τὰ δὲ οὐκ ἔχοντα. πάντα γὰρ ταῦτα, ἔτι δὲ τὰ ὅμοια ζητεῖ τὸ ὅμοιον, καὶ τὰ ἀνόμοια μὴ τὸν αὐτόν, ὅταν ᾖ τις παραλλαγὴ τῆς φύσεως· ἐν οἷς καὶ τὰ περὶ τὴν ἐλάτην καὶ πεύκην ἐστίν. ἡ μὲν γὰρ χαίρει παλισκίοις, ἡ δὲ πεύκη τοῖς προσείλοις. ἐν ἐκείνοις δὲ οὐ φύεται πάμπαν, ἢ κακῶς. θερμὰ μὲν ἴσως ἄμφω, καθάπερ φασίν· ἀλλ' ἡ μὲν ἐλάτη ξηρόν, ἡ δὲ πεύκη ὑγρόν. σημεῖον δὲ καὶ ἡ τῆς πεύκης γένεσις. ἅμα δ' ὑγρότητος πλῆθος, καὶ ὁ πρόσειλος τόπος οἰκεῖος· πέψις γὰρ οὕτω μᾶλλον. ἀεὶ δὲ καὶ τὸ ὑπεραῖρον ἡ ὄρεξις ἦν, καὶ δῆλον ὡς ἐν τοῖς δοκοῦσι παραλλάττειν τῶν ὁμογενῶν, ἀεί τινα ζητητέον τοιαύτην διαφοράν. ἐπεὶ ὅσα μὴ

γῆ καὶ ὑγρὰ, καὶ κούφη καὶ βαρεῖα, ἔτι δὲ τὰ ἄνω πρὸς τὰ κάτω σύμμικτα τόποις, πάσαις ἀεὶ πρὸς ἅπαντα (ὡς εἰπεῖν) δένδρα τε καὶ σπέρματα. φαίνεται γὰρ ὁμοίαν τινὰ ἔχειν τῇ ἀνειμένῃ πρὸς τὰς ἄλλας χώρας. οὐ μὴν ἀλλ' αὐτῶν γε φυτῶν ἡ πρὸς θάτερον μέρος ἐκκλίνουσα τῇ φύσει ἐνίοις κρείττων, ἣν καὶ ἁπλῶς τίθενταί τινες ἀρίστην, οἷον τὴν κούφην καὶ μανὴν καὶ ἔνικμον. ἔχει τε γὰρ τροφὴν ἐν ἑαυτῇ, καὶ εὐδίοδός ἐστι ταῖς ῥίζαις. ἡ δὲ πυκνὴ καὶ βαρεῖα καὶ ξηρὰ, δῆλον ὡς ἐναντία. ἔτι δὲ τὰς παραλλαγὰς τῶν ἀντικειμένων, καὶ τὰς πρὸς ἕκαστον ἕξεις ἤδη διαφοράς· οἷον, ἐὰν ἡ μανὴ μὲν καὶ λεπτὴ, βαθύγειος δὲ καὶ ξηρὰ καὶ ἄνυδρος, δενδροφόρος μὲν ἀγαθὴ, σιτοφόρος δὲ κακή. διὰ γὰρ τὴν μανότητα δίεισιν εἰς βάθος τὸ χειμερινὸν ὕδωρ, ὥστε τὸν μὲν σῖτον μὴ ἐφικνεῖσθαι διὰ τὸ ἐπιπολῆς εἶναι, τὰ δένδρα δ' εἰς βάθος καθιέντα τὰς ῥίζας ἐφικνεῖσθαι καὶ ἕλκειν. ὡσαύτως δὲ καὶ εἴ τις ἄλλη τοιαύτη διαφορά· τὸ γὰρ πρόσφορον ἀποδίδοσθαί τινι γίνεται διὰ τὴν παραλλαγήν. οὐκ ἀλόγως δὲ, οὐδ' οἱ ταύτην ἀρίστην ὑπολαμβάνουσιν, ἥτις ἂν ᾖ θερμή τε καὶ ἔνικμος· ἄμφω γὰρ ἔχειν ἃ δεῖ, τροφήν τε καὶ τὸ κατεργαζόμενον. εὐλόγως δὲ, καὶ μετὰ τὸ πρῶτον ὕδωρ ἀτμίζειν. ἀλλὰ τὴν μὲν ἔνικμον αὐτῶν εἶναι, τὴν δὲ ξηράν. τὴν μὲν οὖν ἔνικμον σιτοφόρον ἀγαθὴν, ἱκανὴν γὰρ ἔχειν πρὸς τὴν ἐκτροφὴν ὑγρὸν τῷ σίτῳ· τοῖς δὲ δένδροις ἔλαττον. τὴν δὲ ξηρὰν, σιτοφόρον φαύλην, διὰ τὸ μὴ ἔχειν μηδὲ τούτῳ τροφὴν ἀρκοῦσαν. περὶ ταὐτὸ δέ πως φέρονται, καὶ οἳ φασὶ δεῖν πιεράν τε εἶναι, καὶ μὴ παρώδη, μηδὲ πυκνὴν, μηδ' ἁλμυρὰν, ἀλλὰ ποτὲ μὲν καὶ ψαθυράν. τροφήν τε γὰρ οἴονται δεῖν ἔχειν, καὶ θερμότητα, καὶ ταῖς ῥίζαις εὐδίοδον εἶναι· πάντα δὲ ταῦτα οἰκεῖα πρὸς αὔξησιν καὶ καρποτοκίαν. ὁμοίως δὲ καὶ οἱ τὴν μελάγγειον ἐπαινοῦντες, ὥσπερ Λεωφάνης. εὐθὺς γὰρ ἀποδιδόναι πειρᾶται τὰς αἰτίας· ὅτι δύναται καὶ ὄμβρον καὶ αὐχμὸν φέρειν, διχὸς ἔχουσα καὶ τὸ ὑγρὸν καὶ τὸ θερμόν. τὴν μὲν οὖν ἀρετὴν τῆς χώρας, χαλεπὸν ὥσπερ εἴρηται, διὰ τὸ αὐτῶν πως καὶ ἐν τοῖς αὐτοῖς δεῖν λαβεῖν, ἐν οἷς καὶ ἀποδεδώκασι πάντες. αἱ διαφοραὶ δ' ἐπεὶ πλείους εἰσὶ καὶ ταύτης καὶ τῶν φυτῶν, παρ' ἑκάτερον πρὸς ἕκαστον λαμβάνειν, καὶ θεωρεῖν.

7 Τὰς δὲ τῶν ὑδάτων διαφορὰς τῶν ἐπιγείων (καὶ γὰρ ταῦτα οὐ μικρὰν ἔχει μερίδα πρὸς αὔξησιν καὶ τροφὴν) ὁμοίως τούτοις ληπτέον. ὅσα μὲν οὖν θερμὰ, καὶ νιτρώδη, καὶ στυπτηριώδη, καὶ εἴ τις ἄλλος τοιοῦτος χυλὸς, ἄτροφα καὶ ἄγονα φυτῶν, ὡς ἁπλῶς εἰπεῖν. πλὴν εἴ τι συγγενὲς αὐτοῖς ἐκτρέφειν δύναται, καθάπερ καὶ ἡ θάλαττα. βραχὺ δέ τι τοῦτο, ἢ οὐδὲν, ὡς εἰπεῖν, ἐστίν. ἐνιαχοῦ δὲ ποτίμων πλειόνων ὄντων ἡ ἐκτροφὴ, καθάπερ τοῖς ἐν βραχέσι θερμοῖς· καθ' αὑτὰ δ' ὥσπερ καὶ ζώων καὶ φυτῶν ἄγονα. ἡ δὲ θάλαττα πολλὰ καὶ παντοῖα φύει. καὶ ἔστιν ὥσπερ ζώων τι γένος ἐν αὐτῇ, καὶ φυτῶν. ὅσα δ' ἐν τῇ ἀπωτέρω δένδρα μέγεθος ἔχοντα καὶ καρπὸν τυγχάνει, περὶ τούτων οὐκ ἄν τις ἴσως ἀποδοίη τῇ θαλάττῃ τὴν τροφὴν, ἀλλ' ἐνδέχεται πότιμον ἕλκειν ἐν τῇ γῇ τὰς ῥίζας, τὴν δὲ θάλατταν ἀβλαβῆ περιέχουσαν εἶναι, καθάπερ καὶ τὸ ὕδωρ τοῖς ἐνύγροις. ἀλλὰ τούτων μὲν πέρι, λόγος ἕτερος· καὶ ὅσα δὲ πρὸς αὐτῇ τῇ θαλάσσῃ φύεται, χρῆταί πως τῇ ἁλμυρίδι πρὸς διαθήκην καὶ τροφήν. ἔοικε γὰρ καὶ τοῦτο ἴδιόν τι γένος εἶναι, καθάπερ τὰ εἰρημένα, καθάπερ καὶ μεῖζον ὄντα. τὰ δ' ἁλικὰ τῶν ὑδάτων ὕδατα, τρέφει μὲν καὶ τὰ ἔγγεια, χεῖρον δὲ τῶν γλυκέων· ἀναυξῆ γὰρ ποιεῖ, καὶ ἐπικαίει. τὸ δ' ἁλυπότερα τοῖς δένδροις, ἢ τοῖς λαχανώδεσιν, ἢ ὅλως ἐπετείοις εἶναι, καθάπερ τινές φασιν, οὐκ ἄλογον, ὅσωπερ ἰσχυρότερα. τάχα γὰρ ἄν τις προσφορὰ τὸ ὅλον, ὥσπερ τοῖς φοίνιξιν· εἴπερ καὶ οἱ ἅλας παραβαλλόμενοι, παραπλήσιος γὰρ ὁ αὐτὸς χυλός. οὐ μὴν ἀλλὰ καὶ τῶν λαχανωδῶν ἔστιν οἷς τὰ ἁλικὰ πρόσφορα, καθάπερ ῥαφανίῳ, τεύτλῳ, πηγάνῳ, ὀριγάνῳ. βελτίω γὰρ γίνεται τοῖς ἁλυκοῖς ἀρδόμενα ταῦτα. διὸ πρός γε τὴν ῥάφανον νίτρον τινὲς παραμιγνύουσιν ἐν τῷ βρέχειν, ὥσπερ οἱ ἐν Αἰγύπτῳ, καὶ γίνεται πολλῷ γλυκυτέρα, καὶ ἁπαλωτέρα. καθάπερ καὶ ἡ ἑψομένη· τοῦτο δὲ συμβαίνει. καὶ ὅλως ἡ ἁλυκότης πρόσφορος, ὅτι πικρότητά τινα ἔχουσα ἐν τῇ φύσει ταύτην δὲ διαλυομένην, καὶ ὥσπερ ἀνατέμνον τὸ ἁλυκὸν, ἐξάγει. διὸ καὶ ἐν ταῖς ἁλμυρίσιν ἡ ῥάφανος ἀρίστη. τὸ δὲ πικρὸν ἄτροφόν τε, καὶ δύσχυλον· ὥστε ἐξαγομένου τούτου, καὶ γλυκυτέρα καὶ ἁπαλωτέρα καὶ εὐαυξεστέρα γίνεται. τὰ δ' ἄλλα χείρω, διὰ τὸ μὴ ἐξάγειν τὸ ἀλλότριον, ἀλλὰ τὸ οἰκεῖον ἐπιτείνουσα. δῆλον δ' ὅτι καὶ ἐπὶ τῶν λοιπῶν πικρῶν ὁμοίως ἂν ἔχοι. καθάπερ καὶ ὁ κορωνόπους παρὰ τὰ κιχόρεια. τοῖς δριμέσι, † οἷον κρομμύῳ, σκορόδῳ, τοῖς ἄλλοις, οὐκέτι πρόσφορον· οὐ γὰρ ἀφαιρεῖ τὴν δριμύτητα, διὰ τὴν ὁμοιότητα τῶν χυλῶν. τὸ γὰρ ὅμοιον ἐπὶ τὸ ὅμοιον φέρεται, καὶ ὡς οὐδὲ πόρους ἐνδύεται, καθάπερ ἐπὶ τῶν καθαιρόντων καὶ ἐξαγόντων

λας ἔχει διαφοράς, λεκτέον καὶ περὶ τούτου· καὶ γὰρ αὐτὰ τῆς φύσεως. ἔστι δὲ ἡ βλάστη ἀμφο- γίνεται, καὶ διὰ τὸν ἀέρα, καὶ διὰ τὴν γῆν πολλάκις. ὅτε μὲν γὰρ τὰ κάτω χρηστότατα, τὰ δ' ὑπὲρ γῆς φαῦλα· καθάπερ ὅταν ἀμμώδης † ἢ κέραμις, ἢ κατακεκαυμένη τις τυγχάνῃ. [† ἢ] ῥιζοῖ γὰρ, καὶ τροφὴν οὐδεμίαν τῶν τοιούτων ἔχει· καὶ σχεδὸν αἱ μὲν ἀβλαστεῖς εἰσιν αὗται. καὶ ἔτι αἱ ἄγαν δίυγροι ὅλως, ἢ πηλώδεις. βλαστικὴν † καὶ ἄκαρπον, οὐ καλῶς δὴ ἡ διαίρεσις, [δὲ καὶ] ἡ πρὸς τὰ σπέρματα καὶ τὰ δένδρα λέγεται· τὴν μὲν πίειραν, ἀμείνω σιτοφόρον· τὴν δὲ λεπτοτέραν, δενδροφόρον εἶναι. λαμβάνει γὰρ, ὥσπερ καὶ πρότερον εἴπομεν, ὁ σῖτος, καὶ ἁπλῶς τὰ ἐπέτεια, τὴν ἐπιπολῆς τροφὴν, ἣν δεῖ μὴ ὀλίγην μηδ' εὔξηραν τὴν εἶναι· καθάπερ ἐν ταῖς λεπταῖς τὰ δένδρα, διὰ τὸ μεγάλας καὶ ἰσχυρὰς ἔχειν τὰς ῥίζας, καὶ τὴν ἐκ βάθους. αὕτη δὲ ἐν μὲν τῇ πιείρᾳ, λευκὴ λίαν οὖσα, βλάστην μὲν ποιεῖ καλὴν, καὶ μέγεθος τοῖς δένδροις· καρπὸν δ' οὐ ποιεῖ, διὰ τὸ μὴ ἐκπέττειν. ἐν δὲ τῇ λεπτοτέρᾳ, σύμμετρος γίνεται πρὸς ἄμφω· καὶ κρατοῦντα τὰ δένδρα δύναται καρποτοκεῖν. ἡ δὲ πίειρα πάμπαν, οὐδενὶ συμφέρει φυτῷ· ξηραίνει γὰρ μᾶλλον τοῦ δέοντος, ὥσπερ καὶ Μενέστωρ φησί. τοιαύτην δ' εἶναι τὴν πλευτρίδα, χρῶμα δ' ὑπόλευκον. ἀρίστη δὲ δῆλον, ὡς ἡ ἀρίστη κεκραμένη. καὶ ὅλως μανή τις οὖσα, καὶ μὴ ψυχρὰ, καὶ ἔνικμος. καὶ εὐδίοδος γὰρ οὕτω ταῖς ῥίζαις ἐστὶ, καὶ εὔτροφος ὅπερ βούλονται καὶ αἱ ἐμβρώσεις, καὶ αἱ κατεργασίαι, καὶ κοπρίσεις ποιεῖν. ἄλλη δὲ πρὸς ἄλλα τῶν δένδρων ἁρμόττει μᾶλλον, ὥσπερ καὶ διαιροῦσιν. οἷον ἡ ἀσιλάς, καὶ ἔτι μᾶλλον ἡ λευκόγεως, ἐλαιοφόρος· ἰκμάδα τε γὰρ ἔχει, καὶ σύνδυμα πολύ. δεῖται δὲ καὶ ἀμφοῖν. ἡ δὲ λειμωνία, καὶ ἔραμμος, [ἐφάμμιν] ἀμπελοφόρος ἀγαθή. καὶ ὅλως, ἥτις ἂν ᾖ μανὴ καὶ κούφη, καὶ λεπτὴ καὶ ἔφυδρος οὕτως, ὥστε τὸ οὐράνιον ὕδωρ συνικνεῖσθαι πρὸς τὸ ἐν αὐτῇ. τροφῆς γὰρ πολλῆς ἡ ἄμπελος δεῖται, διὰ τὸ θερμὴ καὶ μανὴ καὶ ὑγρὰ καὶ πολύκαρπος εἶναι· τάχα δὲ καὶ δι' αὐτὰ ταῦτα καὶ πολύκαρπος. ἔτι δὲ οὐκ εὔσηπτοι τῶν ὑγρῶν αἱ ῥίζαι, καθάπερ αἱ τῶν ξηρῶν, ὥστε δύνασθαι καὶ ὑποστᾶσθαι καὶ ἀντέχειν καὶ διιδίναι. τὸν αὐτὸν δὲ τρόπον, καὶ τῶν ἄλλων ἑκάστοις ἐστί τις οἰκεία πρὸς τὴν φύσιν· καὶ ἡ αὐτὴ τοῖς μὲν μᾶλλον, τοῖς δ' ἧττον.

6 ὡς δ' ἁπλῶς εἰπεῖν, τοῖς μὲν πλείοσιν οὐ συμφέρει ἡ πίειρα· δοκεῖ γὰρ καταξηραίνειν μᾶλλον τοῦ μετρίου. διὸ καὶ λυμαίνεσθαι, καὶ νοσεῖν. ὅσα δὲ λυπρὰ, τούτοις συμφέρει. σημεῖον δὲ, ὅτι τὰ λάχανα καὶ ὁ δημήτριος καρπὸς ἐν ταῖς τοιαύταις εὐθυνεῖ· ταῦτα δὲ ταῦτα λυπρὰ τῇ φύσει. τὰ γὰρ φύσει λυπρὰ, πλειοτέρας τροφῆς δέονται. δηλοῦν δὲ οἴονται καὶ τὴν τῶν ἀνθρώπων τοιαύτην φύσιν· τοὺς γὰρ ἐκλίμνους, καὶ χαίρειν μάλιστα ταύτῃ, καὶ ὑπολιδεῖς εἶναι πρὸς ὄρεξιν καὶ ἰσχνούς. † ὑγρὰ γὰρ ὄντα τὰ σώματα δεῖσθαι τροφῆς πολλῆς καὶ πιείρας. [† ξηρὰ] ὑπὸ δὲ τῶν ξηρῶν καὶ λυπρῶν οὐθὲν ὠφελεῖσθαι, διὰ τὸ μὴ ἀπολαύειν· ἀλλὰ καὶ ἐπικίνδυνα εἶναι πρὸς νόσους ἄλλας τε καὶ μάλιστα δὲ τὰς τῆς κοιλίας. ὁμοίως δὲ καὶ ἐπὶ τῶν δένδρων ἔχει ὥσπερ· πλὴν ταῦτα μὲν ὅμοια διατελεῖ· τὸ δὲ σῶμα, ὅταν ἀνακομισθῇ, μεταβαίνει εἰς τὴν τετριμμένην καὶ ἄπνιγον. οὗτος μὲν οὖν καθόλου τις διορισμός. διαφοραὶ δὲ πολλαὶ καὶ τῆς γῆς καὶ τῶν δένδρων, ὥσπερ καὶ τῶν ἀμπέλων. ταῖς μὲν ἡ πεδινὴ, ταῖς δὲ ἡ ὀρεινὴ μᾶλλον ἁρμόττει· καὶ ἐν αὐταῖς ταύταις αἱ τοιαίδε ταῖς τοιαῖσδε. μικραὶ δὲ παραλλαγαὶ φαινόμεναι, μεγάλας ποιοῦσι ῥοπὰς εἰς τὴν φύσιν. τὸ δ' ἁπλοῦν, ῥᾴδιον εἰπεῖν, ὥσπερ καὶ κελεύουσι, τὰ μὲν στερεὰ καὶ πυκνὰ φυτεύειν, τὰ δ' ἀραιὰ καὶ ὑγρὰ ἐν τοῖς μαλακωτέροις καὶ ψυχροτέροις. ἑκατέροις γὰρ οὕτως αἱ τροφαὶ δῆλον ὅτι σύμμετροι, τοῖς μὲν πολλῶν δεομένοις, τοῖς δὲ ὀλίγων. [ὡς] καὶ τὸ καθόλου λεχθὲν, ὑπὲρ πάντων ἴσως τῶν δένδρων ἀληθὲς, ὅτι καθ' ἑκατέρας τὰς χώρας ἑκατέρα δεῖται τῶν δένδρων φυτεύειν· ἀλλ' ἐν τοῖς καθ' ἕκαστα τὸ ἀκριβὲς, μᾶλλον ἴσως αἰσθητικῆς δεῖται συνέσεως. λόγῳ δὲ οὐκ εὐμαρὲς ἀφορίσαι. ἐπεὶ καὶ ταῖς πρὸς ἥλιον διαφοραῖς, οἷον ἀνίσχοντα, ἢ δυόμενον, ἢ μεσοῦντα, ἢ πως ἄλλως ἔχοντα, δεῖ μὴ ἀγνοεῖν, ποῖος τῶν φυτῶν οἰκεῖος, καὶ ὅλως τῶν ὁμογενῶν· ὅπερ οἱ ἀμπελουργοὶ πειρῶνται διαιρεῖν, ὅταν συναγάγωσιν ἵνα λαβόντες φυτεύσωσιν. οὐ γὰρ ταὐτὰ τιθέασιν εἰς ἑκάτερον τὸ μέρος, ἀλλὰ διαιροῦσι. καὶ ποιεῖν μεγάλην διαφορὰν οὕτω τε φυτευθέντων, καὶ ἀνάπαλιν. ὁμοίως δὲ τοῦτ' ἔχει καὶ ἐπὶ τῶν λοιπῶν. ἀλλ' ὥσπερ ἐλέχθη πρότερον, αἰσθητικῆς ταῦτα δεῖται συνέσεως. ὡς δ' ἁπλῶς εἰπεῖν, ἡ μέσην ἔχουσα τῶν ἐναντίων κρᾶσιν, πυκνοῦ καὶ ἀραιοῦ, καὶ ξη-

ροῦ

καὶ τὰ ψυχρά, καθάπερ εἴρηται. βελτίω δὲ καὶ τὰ ζεφύρια, καὶ αἱ ῥοπαί, καὶ ὅλως αἱ αὖραι τῶν σκληρῶν καὶ δυσπνόων· τὸ μὲν γὰρ τρέφει, θάτερον δὲ πλεῖ καὶ κωλύει τὰς αὐξήσεις. ἰσχύει δ' ἕκαστον, κατὰ τὴν θέσιν τῆς χώρας· ἄλλα γὰρ ἄλλοις τοιαῦτα, καθάπερ ἐλέχθη καὶ πρότερον. διὸ καὶ ὡς ἐπίπαν εἰπεῖν, βελτίω τὰ βόρεια τῶν νοτίων. οὐ μὴν ἀλλ' ἐπείπερ αἱ παραλλαγαὶ καὶ τῆς χώρας ποιοῦσι τὰς δυνάμεις, καὶ δεῖ τὰ μὲν χειμῶνος εἶναι θερμά, τὰ δὲ θέρους ψυχρά. βοηθεῖ γὰρ οὕτως ἑκάτερα πρὸς τὰς ὥρας, ὥσπερ εἴπομεν. ἐὰν δὲ ὅμοια, βλάπτει· ποιεῖ γὰρ ὑπερβολήν. εὔλογον δ' ἄρα, μὴ τὰ αὐτὰ πᾶσιν εὔτροφα καὶ ὠφέλιμα, καὶ βλαβερὰ γίνεσθαι. διὸ τοῖς μὲν νότος ἐπισινής, τοῖς δ' ὠφέλιμος· ὡσαύτως δὲ καὶ ὁ ζέφυρος, καὶ τῶν ἄλλων ἕκαστος, ἅπασι δὲ χαλεπά, καθάπερ εἴρηται, κατὰ τὴν βλάστησιν εὐθύς, ἢ θερμὰ λίαν, ἢ ψυχρὰ πνέοντα· διαφθείρει γὰρ ἄμφω, διὰ τὴν ἀσθένειαν. ὡς δὲ τὸ σύνολον

† ἄπνως εἰπεῖν, εὔπνουν εἶναι χρὴ τὸν τόπον. ἕτερος δὲ ὁ † εὔπνους, καὶ ὅλως ὁ προσήνεμος, ἀναυξής. χρεῖον δ' ὁμολογουμένη τις καὶ ἡ τοῦ ἀέρος διάθεσις ἐστί. τούτοις γὰρ ὁ εὐκραὴς ἀήρ, ὡς ἁπλῶς εἰπεῖν, ἄριστος τοῖς δένδροις, συμβλαστὴς ὢν καὶ εὔκαρπος. οἱ δὲ περισκελεῖς ἐφ' ἑκάτερα, διαφθείρουσιν οἱ μὲν τοὺς καρπούς, οἱ δ' ὅλως καὶ τὰ δένδρα· πλὴν ὅσα πέφυκεν οἰκεῖα τούτοις. ἔνια γὰρ δὴ ταῖς ὑπερβολαῖς χαίρει. καὶ τὰ μὲν ἐστὶ φιλόθερμα, καθάπερ φοῖνιξ· τὰ δὲ φιλόψυχρα μᾶλλον, ὥσπερ ὁ κιττός, καὶ ἡ ἐλάτη. ταῦτα γὰρ ὅλως ἐν τοῖς ἐμπύροις οὐ φύεται. χαλεπὸς δὲ καὶ πύξος καὶ φιλύρα, καθάπερ ἐν ταῖς ἱστορίαις εἴπομεν. αἴτιον δὲ ἡ θερμότης καὶ ἡ ξηρότης· οἷον γὰρ πῦρ ἤδη πῦρ γίνεται. συμμετρίας δέ τινος δεῖται καὶ τὸ ὅμοιον. ὡσαύτως δὲ οὐδ' ἐν τοῖς ψυχροῖς ἔνια φύεται τῶν ψυχρῶν, διὰ τὴν αὐτὴν αἰτίαν. ἔοικε δὲ καὶ τῶν ἐναντίων δηλονότι συμμετρία τις πρὸς ἄλληλα, ὥστε τὰ μὲν δύνασθαι βλαστά-

† τὰ δ' ἄ. νειν †. ἀεὶ γὰρ δῆλον τινὰ ἔχειν τὴν κρᾶσιν τῆς φύσεως πρὸς τὸ περιέχον. ἔοικε δὲ κοινὸν εἶναι τοῦτο καὶ ἤδη τῶν ζῴων· καὶ γὰρ τὰ ζῷα καθ' ἑκάτερον τῶν τόπων ἴδια τυγχάνει, τὰ μὲν δεχόμενα, τὰ δ' οὐ δεχόμενα τὴν τοῦ ἀέρος διάθεσιν. ὅτι δὲ καὶ τροφὰς οὐκ ἔχοντα τὰς οἰκείας ἐνδέχεται γῆς καὶ τοῦτο κωλύειν ὁμοίως καὶ τὰ ζῷα καὶ τὰ φυτά. τάχα δὲ καὶ ἑτέρας πλείους αἰτίας, αἳ πρὸς τὰς ἰδίας φύσεις εἰσὶν ἐναντίαι. μεγίστη δ' οὖν διαφορὰ κατὰ τὰ ἔνυγρα καὶ χερσαῖα ζῷα καὶ φυτά, περὶ ὧν οὐδὲ ζητοῦμεν λόγον, ὡς εἰπεῖν, πλὴν ὑπὲρ τοῦ πότερα θερμότερα ἢ ψυχρότερα· τοῦτο γὰρ ἀμφισβητεῖται. καὶ ἄλλα δὲ οὐ συγκεχωρημένα τῇ φύσει τίθεται· καίτοι τὰ καθόλου καὶ κοινὰ πρῶτα ἔδει ζητεῖν. εὑρεθέντων γὰρ τούτων, καὶ τὰ κατὰ μέρος φανερά. τοῦτο μὲν ἴσως κωλύοιτ' ἂν οὖν διὰ τὸ χαλεπόν, εἴτε πλείους αἰτίαι τυγχάνουσιν, εἴτε μία. περὶ δὲ τῶν ἐν τοῖς καθ' ἕκαστα, μᾶλλον εὐποροῦμεν. ἡ γὰρ αἴσθησις δίδωσιν ἀρχὰς ἐπ' ἄμφω, καὶ ἔτι μᾶλλον πλείους ἤδη τῶν φυτῶν· ἐμφανίσαντα γὰρ τὰ συμβαίνοντα περὶ αὐτά. μεγίστη δὲ διαίρεσις κατά γε τὸν αὐτὸν τόπον τοῖς ἡμέροις καὶ ἀγρίοις. ἀεὶ γάρ τι μαλακωτέρους καὶ ὑγροτέρους ζητεῖ τοὺς ἀέρας. οὐ μὴν ἀλλ' ἔνιά γε καὶ τῶν ἡμέρων ἀδυνατεῖ βλαστάνειν ἐν τοῖς θερμοῖς καὶ ψυχροῖς, οὐ μόνον διὰ τὴν ἀσθένειαν ἢ τὴν κρᾶσιν, ἀλλὰ δι' ἕτερ' ἄττα. καθάπερ ἡ ἐλαία, καὶ θερμὸν καὶ πυκνὸν ἐν τοῖς φυτοῖς, διὰ τὸ μετέωρον τῶν ῥιζῶν· ἐμπήγνυται γάρ. ἡ δὲ ἀχρὰς ἐν τοῖς σφόδρα θερμοῖς, ὥσπερ περὶ Αἴγυπτον. μοχθηραὶ δὲ καὶ αἱ ἄπιοι, καὶ μηλέαι, καὶ σπάνιαι. τὴν δ' αἰτίαν σκεπτέον. ἐπεὶ οὐκ ἂν θερμὰ δόξειεν εἶναι. τὰ μὲν οὖν ὅλως οὐδὲ βλαστάνειν ἐνιαχοῦ δύναται· τὰ δὲ βλαστάνει μέν, ἄκαρπα δὲ γίνεται, καθάπερ ἡ περσέα, ἡ Αἰγυπτία περὶ Ῥόδον. πεδίον δὲ οὕτω, φέρει μέν, ὀλίγον δέ. καὶ καλλικαρπεῖ, καὶ γλυκυκαρπεῖ ἐκεῖ μόνον. ὁμοίως δὲ καὶ ὁ φοῖνιξ, καὶ ἔτι μᾶλλον ἐν τοῖς περὶ Βαβυλῶνα καὶ Συρίαν καλλίκαρπος· ὁ γὰρ ἀὴρ διὰ ψυχρότατα μὲν ὅλως οὐ δέχεται τὰ δ' ὅσον εἰς βλάστησιν, ἔνια εἰς καρπόν, ὁ δὲ οἰκεῖος ἤδη διὰ τελειότητα τῆς φύσεως. διὰ τὴν αὐτὴν δὲ αἰτίαν οὐδὲ αἱ συκαῖ περὶ Αἴγυπτον, οὐδ' ὅλως ἐκείνοις τοῖς τόποις χρησταί· θερμὸς γὰρ ὢν ἄγαν ὁ ἀήρ, περικαίει, καὶ οὐ ποιεῖ πέψιν. ἀλλ' ἡ ἐκ τῆς γῆς εὐτροφία διυγραίνει μόνον, ἀπὸ παντὸς ὕδατος. διὸ καὶ τοῖς μεγέθεσι γίνεται μικρά. τοὐναντίον δὲ ὁ ψυχρός· ἐξαίρει γὰρ τὴν ὑγρότητα, τὴν δὲ οὐ δύναται πρὸς τὴν οἰκείαν πέψιν ἀγαγεῖν· ὥσπερ ἐν ταῖς ἐλαίαις. διὸ καὶ αἱ μὲν ἄκαρποι πάμπαν, * μεγαλόρριζοι δὲ τῇ ἐν τοῖς ψυχροῖς· αἱ δὲ εὔκαρποι μέν, αὐλακοι δέ. πλείονος γὰρ τῆς θερμότητος δεῖται, πρὸς τὴν πέψιν. αἱ μὲν οὖν τοῦ ἀέρος κρά-

5 σεις καὶ διαθέσεις, τοιαύτας τινὰς παρέχονται δυνάμεις. ἐπεὶ δὲ καὶ τὰ ἐδάφη μεγάλας

λας

δι' αὐτὰ τῆς τροφῆς ἐν ἑαυτοῖς· ὥστε τρόπον τινὰ μᾶλλον τοῦ συνεργήσαντος δεῖσθαι πρὸς τὴν πέψιν, καὶ τὴν βλάστησιν. σημεῖον δὲ, τὸ μὴ βλαστάνειν πρὸ τοῦ ἦρος.

2 Ὅτι δὲ πολυϋδρία συμφέρει τοῖς δένδροις, κἀκεῖθεν φανερόν. ἐν γὰρ ταῖς ἐπομβρίαις, ἅπανθ' ὡς εἰπεῖν εὐθενεῖ μᾶλλον. ἀλλ' ὅταν μὲν ὦσι νότιαι, διυγραίνονται, καὶ ἀσθενέστεραι γίνονται· βορείων δ' οὐσῶν, ἰσχυραί τε καὶ ἐκπέττει μᾶλλον, ἅτε τῆς μὲν γῆς διακόρου οὔσης, αὐτά τε ξυνεστῶτα καὶ ἐν ἑαυτοῖς ἔχοντα οἰκεῖον θερμόν. ὅπου γὰρ ἀεὶ μαλακὸς ὁ ἀὴρ, ἐν τούτῳ θ' ἡ εὐβλαστία καὶ εὐκαρπία γίνεται τῶν δένδρων· ὥσπερ ἐν αἰγύπτῳ, διά τε τὴν † ἀτροφίαν, καὶ διὰ τὸ μηδὲν ἀντικόπτειν τῶν ἔξωθεν. ἀφθόνου γὰρ τῆς τροφῆς οὔσης, καὶ τοῦ ἀέρος εὐτρόφου, εὐλόγως ἡ εὐβλαστία καὶ ἡ εὐκαρπία. πρὸς δὲ τὸ ποιεῖν αὐτὴν ἢ πάντων ἢ τινῶν, δέονταί τινος ἴσως ἑτέρας κράσεως. ἐν ταῦθα δὲ, ἐὰν μὴ καθ' ὥραν ἔτους αἱ βλαστήσεις ὦσιν, ἀλλὰ παρεκδράμωσι διὰ εὐτροφίαν καὶ ἄνεσιν τοῦ ἀέρος, ἐπιγινόμενα ψύχη διελυμήνατο καὶ ἐπέκαυσε. διὸ καὶ οἱ ὄπισθεν χειμῶνες χαλεποὶ τοῖς δένδροις. ὅταν γὰρ ἅπαξ ἐκτέκωσιν, εὐθὺς οἱ καρποὶ μαλακοῦ τινος ἀέρος δέονται, καὶ εὐμενοῦς εἰς τὴν ἐκτροφήν· καὶ μάλιστ' ἐν ταῖς ἀρχαῖς· τότε γὰρ ἀσθενέστατοι. τὸ δ' ἀσθενὲς, οἷον τι θνήσιμόν ἐστι. καὶ γὰρ ὅλως πᾶσα μεταβολὴ καὶ γένεσις, δεῖται τῆς τοιαύτης εὐκρασίας. μεταβολαὶ δ' ἅμα καὶ ὥσπερ γενέσεις τινές, ἥ, τε βλάστησις καὶ ἡ ἄνθησις, καὶ ἔτι τούτων ἕτερον. ἐν αἷς καὶ πλεῖσται φθοραὶ γίνονται, τῶν καρπῶν ἐρυσιβουμένων τε καὶ ἀποκαομένων καὶ ἀποπιπτόντων, καὶ τὸ ὅλον χειμαζομένων. ἐπεὶ καὶ τὰ ἄγρια μάλιστα συμβαίνει πονεῖν, ὅταν μάλιστα ἀρτιβλαστῶν ὄντων, ἐπιγίνηταί τι πνεῦμα ψυχρὸν ἄγαν ἢ θερμόν. ἀποξηραίνει γὰρ ἄμφω, καὶ ἀπόλλυσιν. ἀλλὰ ταῦτα μὲν ἐν τοῖς καθ' ἕκαστα δεῖ θεωρεῖν. ἡ δ' ὅλη διάθεσις καὶ κατάστασις τοῦ ἀέρος, εἰς τὴν τῶν δένδρων εὐθένειαν. ὅτι δὲ ταύτῃ ξυμφέρει, φανερόν ἐστι διὰ τῶν εἰρημένων.

3 Ἐπιμένειν δέ πως τούτοις ἔστι, περὶ τῶν ὡραίων ὑδάτων εἰπεῖν. ὡραιότατα μὲν γὰρ τὰ χειμερινὰ, διὰ τὰς λεχθείσας αἰτίας. δεύτερα δὲ, τὰ πρὸ τῆς βλαστήσεως· οὕτω γὰρ ἀθροωτέρα τε καὶ καλλίων ἡ βλάστησις, ἐκπληρωθέντων πάντων ταῖς μορφαῖς. εἰ δὲ μὴ, ἀβλαστεῖς καὶ ἄμπελοι γίνονται, καὶ τἄλλα· τῶν μὲν ἐχόντων, τῶν δὲ ἐνδεομένων. τρίτα δὲ, μετὰ τὴν ἀπάνθησιν, ἃ πρὸς τὴν τροφὴν ἤδη καὶ τελείωσίν ἐστι· ταῦτα δὲ μὴ εὐθὺς, ἀλλ' ὅταν ὁ καρπὸς ἰσχύσῃ. εἰ δὲ μὴ, συμβαίνει τὰ μὲν ἄλλα καὶ ἀποῤῥεῖν, κἂν μὴ τοῦτο πάθῃ διυγραινόμενα χείρω καὶ ἀσθενέστερα γίνεσθαι· τὴν δ' ἐλαίαν καὶ ἐπιβλαστοῦσαν ἀποβάλλειν, ἅτε τῆς τροφῆς ἰούσης εἰς τὸν βλαστόν. ἄωρα μὲν οὖν ταῦτα. χείριστα δὲ, καὶ ἀκαιρότατα, περὶ τὰς ἀνθήσεις ἑκάστων· ἅπαντα γὰρ ἀσθενῆ· καὶ πάνθ' ὡς εἰπεῖν, ἢ τά γε πλεῖστα ἀπόλλυται καὶ ἀποπίπτει, τὰ μὲν ἐρυσιβούμενα, τὰ δὲ ὑγραινόμενα. τὰ δ' ἐπιμένοντα, χεῖρον ἀνθεῖν· πλὴν ἅττα τινῶν ὀλίγων. καὶ τοῦτ' οὐχ ἥττον δῆλον ἐν τοῖς φρυγανικοῖς, καὶ ποώδεσιν. οἷον τὰ στεφανωτικὰ, καὶ ὅλως τὰ ἄγρια καὶ αὐτόματα τῶν ἀνθῶν. ἔτι δὲ τῶν πολλῶν ἔνια, καὶ τῶν ἡμέρων σπερμάτων τὰ χεδροπά. ταῦτα δὲ διαμένει, διὰ τὴν θάτερον· ἢ δι' ἰσχὺν ἑαυτῶν τε καὶ τῶν προσφύσεων, καθάπερ καὶ τὸ ῥόδον, καὶ τὸ κρίνον, καὶ τὰ ἄλλα ὅσα τούτοις ὅμοια· ἢ διὰ ξηρότητα τῆς ὅλης φύσεως, ἀναλαμβανόντων τὸ ὑγρόν. ἐπικρατεῖ γὰρ οὕτω τὸ κρατοῦν, ἀπαθές. ὧν δὲ οἱ καρποὶ χρονιώτεροι, καὶ πλείονος δεόμενοι τροφῆς καὶ πέψεως, τούτοις ὡραῖα καὶ τὰ ὀψιαίτερα· καθάπερ ἀμπέλῳ, ῥόᾳ, ἐλαίᾳ, τοῖς ἄλλοις. ἁπλῶς δὲ, ἑκάστοις πρὸς τὴν ἑαυτοῦ τελείωσιν. διὸ καὶ οὐχ ὁ αὐτὸς ἅπασι καιρὸς, ὥσπερ ὁ τοῦ χειμῶνος πρὸς τὴν βλάστησιν· ἀλλ' ἕτερος ὁ τοῖς ὀψικάρποις, καὶ πρωϊκάρποις· ὥσπερ καὶ τῶν σπερμάτων τοῖς τριμήνοις, καὶ ἁπλῶς τοῖς ὀψίοις καὶ πρωΐοις. ἁπλῶς δ' αἰεὶ τὰ βόρεια βελτίω τῶν νοτίων. καὶ γὰρ ψυχρότερα, καὶ τὴν ἀπόλαυσιν ποιεῖ πλείω, ξυνεστηκότων καὶ ἰσχυόντων καὶ τῶν καρπῶν, καὶ τῶν δένδρων· ἔτι δὲ ἀφαιρεῖ τὸ περιττὸν, καὶ ἀποξηραίνεται, καὶ οὐκ ἐᾷ προσκαθήμενον διυγραίνειν, οὐδ' ὑπὸ τοῦ ἡλίου συνεψόμενον λυμαίνεσθαι. διὸ καὶ τὰ ἐπιγινόμενα πνεύματα ὠφελεῖ, καὶ μάλιστα ἐὰν ᾖ βόρεια· περιαιρεῖ γὰρ ταῦτα, καὶ ἀπόλαυσιν ποιεῖ πλείω. διὰ ταῦτα γὰρ καὶ τὰ παραπλήσια, καὶ τὰ νυκτερινὰ βελτίω τῶν ἡμερινῶν· ἀπόλαυσίς τε γὰρ γίνεται πλείων, μὴ εὐθὺς ἀφαιρουμένου τοῦ ἡλίου. καὶ τῶν ἄλλων ἀκινδυνώτερα.

4 Τὸν αὐτὸν δὲ τρόπον, καὶ τῶν πνευμάτων τὰ βόρεια τῶν νοτίων βελτίω· καὶ τὰ πόντια τῶν ἀπογαίων, ὅτι ψυχρότερα· καὶ τὰ ἀπὸ δύσεως, τῶν ἀφ' ἕω. καθόλου γὰρ ὡς εἰπεῖν, τὰ ψυχρὰ τῶν θερμῶν, ἐὰν μὴ ἀρτιβλαστῇ ᾖ, καὶ ἐν ἀνθήσει λαμβάνῃ. τότε γὰρ ἀποκαίει τὰ

ἀείφυλλα· καὶ τὸ ὅλον, ὥσπερ πρότερον εἴρηται, πρωϊβλαστῆ καὶ πρωΐκαρπα δι' ἀσθένειαν. ἔνια δὲ καὶ συμπαρακολουθεῖ, βλαστάνοντα καὶ ἀνθοῦντα πλείω χρόνον, ὥσπερ καὶ ἐν τοῖς ἐπιπέδοις ὁ ἠριγέρων, ἔχει δηλονότι συμμετρίαν τινὰ πρὸς τὴν ὑπερβολὴν τῆς τροφῆς. ὃ δὲ προσεπιλέγουσι περὶ τῶν πυρηνῶν, οὐκ ἄν τις ἴσως φαίη θερμότητος, ἀλλ' ἀνθηρότητος εἶναι σημεῖον. ἡ γὰρ τρῖψις δῆλον, ἡ ποιοῦσα τὸ πῦρ. σφοδροτέρα δὲ ἐν τούτοις, ἢ καὶ μᾶλλον ἐξαιρεῖν δυναμένη τὸ ὑγρόν. ἀλλὰ δὴ μάλιστα ἐκεῖνα φαίνεται καὶ πρὸς τὴν αἴσθησιν θερμά, καὶ πρὸς λόγον, τὰ λιπαρά τε καὶ τὰ δριμέα, καὶ εὔοσμα οὕτως ἔχει. πάντα γὰρ ταῦτα ἐν θερμότητι δοκεῖ εἶναι. διὸ καὶ ξηρά τε ὄντα, καὶ ὡς ἐπίπαν πυκνὰ καὶ ἄσαπῆ, καὶ τοὺς χυλοὺς ἔχοντα λιπαροὺς καὶ δριμεῖς, οἷον τὰ δῆ καὶ ἄφρον· καὶ ἡ πεύκη θερμή, καὶ † δυσπύρωτος δ' εἶναι. οὐ μὴν μόνα γε ταῦτα, ἀλλὰ καὶ ἄλλα δοκεῖ θερμὰ εἶναι, καθάπερ καὶ φίλυρα, καὶ ὅλως ὅσα τὴν τοῦ σιδήρου βαφὴν ἀνίησι. χρὴ δὲ καὶ ταῖς τοιαύταις δυνάμεσιν ἀθρεῖν τὰ θερμά, καὶ ὑπελείνειν· οἷον, ὅσα πρὸς τὰς προσφορὰς τοῖς σώμασι θερμότητάς τινας ἐμποιεῖ, καὶ πέψεις, ἢ συστάσεις, ἢ καὶ τὸ ὅλον πρὸς τὴν ἁφὴν καὶ τὴν γεῦσιν διαδιδῶσι τὴν αἴσθησιν. οὐ γὰρ ἔτι ταῦτα λόγου δεῖται πρὸς τὴν πίστιν, ἀλλὰ καὶ ἡ τῶν ἰατρῶν χρεία μαρτυρεῖ, καὶ ἡ αἴσθησις. ὡς δὲ εἰπεῖν τὸ πᾶν, πλείω ταῦτα ἐν τοῖς θερμοῖς ἢ ψυχροῖς, ἢ οὐκ ἐλάττω γίνεται· διὸ καὶ πρὸς τοῖς ἐναντίοις γένεσι καὶ τοῦτ' ἀμφισβητεῖται. τὸ μέντοι ζητεῖσθαί τινα τροφὴν εἰς τὸ διαμένειν ἐν τοῖς ψυχροῖς ἔνια τῶν θερμῶν, τάχ' ἄν τις συγχωρήσειεν· ἀλλὰ τὰ ποῖα, καὶ πῶς, ὅπερ παρατέον διελεῖν, εἰ μὴ ἄρα ἁπλῶς ἰσχύϊ τινὶ μᾶλλον, ἢ ῥιζῶν ἢ τῶν ὅλων σωμάτων ἡ διαμονή· καθάπερ καὶ τῆς ἀπίου, καὶ τῆς ἀχράδος, καὶ τῆς ἀμυγδαλῆς. καὶ δή, καὶ ἥκιστα ἐμπήγνυσθαι. καὶ περὶ μὲν θερμότητος ἐκ τούτων ληπτέος ὁ διορισμός—— λείπει περὶ δὲ τὰς βλαστήσεις καὶ καρποτοκίας τῶν δένδρων :–

[margin: † ἐμπύρωτος; ὑ]

ΘΕΟΦΡΑΣΤΟΥ ΠΕΡΙ ΦΥΤΩΝ ΑἸΤΙΩ͂Ν, ΤῸ Β'.

[margin: α']

ΠΕΡῚ δὲ τὰς βλαστήσεις καὶ καρποτοκίας τῶν δένδρων, καὶ ἁπλῶς τῶν φυτῶν, ὅσα μὴ πρότερον εἴρηται, πειρατέον ὁμοίως ἐκολουθῆσαι, διαιροῦντας χωρὶς ἕκαστα, τά τε κατὰ τὰς ἐνιαυσίους ὥρας γινόμενα, καὶ ὅσα κατὰ τὰς γεωργικὰς θεραπείας. δύο γὰρ δὴ μέρη ταῦτ' ἐστι, τὸ μὲν ὥσπερ φυσικὸν καὶ αὐτόματον, τὸ δὲ τέχνης καὶ παρασκευῆς δεόμενον εἰς τὸ εὖ εἶναι. ὁ λόγος δ' ἀμφοῖν ἐστιν οὐχ ὁ αὐτός· ἀλλ' ὁ μὲν οἷον φυσικός, ὁ δὲ ἐπινοητικός. οὔτε γὰρ ἡ φύσις οὐδὲν μάτην, ἥ, τε διάνοια βοηθεῖν θέλει τῇ φύσει. ἐπεὶ δὲ πρότερα τὰ τῆς φύσεως, ὑπὲρ τούτων καὶ ῥητέον πρότερον. Μέγιστον μὲν οὖν ὡς ἁπλῶς εἰπεῖν, παντὶ δένδρῳ καὶ ἡμέρῳ καὶ ἀγρίῳ, καὶ ὅλως δὲ φυτῷ παντὶ πρὸς εὐβλαστίαν καὶ εὐκαρπίαν, τὸ χειμασθῆναι χειμῶσιν ὡραίοις καὶ καλοῖς. οὕτω γὰρ αἱ βλαστήσεις κάλλισται, καὶ αἱ καρποτοκίαι γίνονται. καλὸς δὲ χειμών, ἐὰν πολυϋδρίαν τε ἔχῃ βόρειον, καὶ χιόνος πλῆθος, καὶ τὸ ὅλον ψύχη χωρὶς πάγου. δεῖ γὰρ κεκαρπωμένα τὰ δένδρα μετὰ τοὺς καρποὺς, ἀναπληρωθῆναι πάλιν τῆς τροφῆς, καὶ ταύτην πέψαι καὶ κατασχεῖν, εἴπερ εὐβλαστῆ καὶ εὔκαρπα μέλλει γενήσεσθαι. τροφῆς μὲν οὖν πλῆθος, ἐν ὄμβρων πλήθει. τὸ δὲ κατασχεῖν καὶ πέψαι ταύτην, ἐὰν ὁ χειμὼν πιέσῃ, καὶ μὴ εὐθὺς ἡ ἐνδρομὴ γένηται. τὰς γὰρ ῥίζας ὀργωμένας ἀφθόνου τροφῆς, διαδεδόναι δεῖ παντὶ τῷ δένδρῳ, καὶ ταύτῃ ὥσπερ κυουμένην καὶ πεττομένην χρόνον λαμβάνειν σύμμετρον. οὐκ ἐάσει δὲ τοῦτο, ἐὰν μὴ κατάσχῃ τὰ ψύχη. ταχὺ γὰρ ἡ μαλακότης τοῦ ἀέρος ἐκκαλεῖται τὴν βλάστησιν. διὸ τούς τε ὄμβρους συμφέρει βορείους, μὴ νοτίους εἶναι, καὶ τὸ πλῆθος χιόνος· ὅπως τηκομένη πρὸς μικρὸν διαδύηται πρὸς τὸ ἔδαφος, καὶ μὴ ἀθρόον τὸ ὑγρὸν ἀπορρυῇ προσπεσόν· ἅμα τε καὶ τὴν γῆν ἀναζυμοῖ, συγκατακλείουσαν, καὶ ἐναπολαμβάνουσαν τὸ θερμόν. ὃ καὶ τοῖς σπέρμασι συμφέρει· ῥιζωθέντα γὰρ καὶ ἐπισχύσαντα τῇ πιλήσει καὶ τῇ καταπέψει τοῦ ψύχους, ἅμα τῇ ἡμέρᾳ διατελέσει, ταχείας ποιεῖ καὶ ἀθρόας ἀναδόσεις. ἀλλὰ τὰ μὲν σπέρματα προσεπιζητεῖ καὶ τοὺς †ὀρεινοὺς ὑετοὺς μᾶλλον, πρὸς μικρούς τε καὶ πλείους γινομένους, διὰ τὴν ἀσθένειαν, καὶ τὸ ἐπιπόλαιον τῶν ῥιζῶν· ταχὺ γὰρ αὖ ξηραίνονται, καὶ ταχὺ πάλιν δέονται· τὰ δὲ δένδρα, καὶ ἰσχυρότερα, καὶ βαθυρριζότερα, καὶ ἅμα

[margin: † θερινὸς; α]

διαπλέα

διὸ καὶ τὰ πύρινα μάλιστα ζητοῦμεν, καὶ ἐφ' ὅσον δυνάμεθα τοῦτο προσδιδόαμεν· ὥσπερ οἱ τοὺς βότρυς τοὺς ἀγιγάρτους ποιοῦντες. ἡ δὲ φύσις δῆλον ὡς ἀμφοῖν ἀποδιδόναι βούλεται τὸ σύμμετρον· ὁπότερον δ' ἂν πλεονάζῃ, θάτερον ἔλαττον. τοῦτο δὲ τῶν μὲν διὰ ὑγρότητα καὶ ἁπλῶς εὐτροφίαν γίνεται, διὸ καὶ τὴν γεωργίαν ἔφαμεν συμπονεῖν· τῶν δὲ διὰ ξηρότητα καὶ πυκνότητα, καὶ τὸ ὅλον δυστροφίαν. καὶ πρὸς μὲν τὴν ἑκατέρου πλέωσιν καὶ πέψιν, τάχα δὲ καὶ τῶν φυτῶν γένεσιν, ὅλως καὶ πρωϊβλαστίαν, ἅπαντα τὰ τοιαῦτα, τήν τε τοῦ ἀέρος καὶ τοῦ ἡλίου δύναμιν αἰτιατέον· καὶ τὰς ἰδίας ἑκάστων φύσεις, εἴτ' οὖν ὑγρότητι καὶ ξηρότητι καὶ μανότητι καὶ τοῖς τοιούτοις διαφερούσας, εἴτε θερμότητι καὶ ψυχρότητι. καὶ γὰρ ταῦτα τῆς φύσεως. τούτων δὲ τὰ μὲν ἄλλα σχεδὸν τῇ αἰσθήσει φανερά· τὸ δὲ θερμὸν καὶ ψυχρὸν ἀμφισβητεῖται καὶ ἀντιλέγεται, καθάπερ τὰ ἄλλα τὰ ὑπὸ λόγου κρινόμενα. περὶ ὧν καλῶς ἔχει διορίσαι πως ἄλλως· ἐπεὶ καὶ πολλὰ πρὸς ταύτας ἀνάγεται τὰς ἀρχάς. ἀνάγκη δὲ ἐκ τῶν συμβεβηκότων ἅπαντα τὰ τοιαῦτα σκοπεῖν. ἐκ τούτων γὰρ κρίνομεν καὶ θεωροῦμεν τὰς δυνάμεις.

16 Μία μὲν οὖν αἰτία λέγεται τοῦ θερμὸν καὶ ψυχρόν, ἡ ὡς τὸ κάρπιμον ἀνάγουσα, καὶ ἄκαρπον ὡς τοῦ μὴ θερμοῦ, καρπίμων ὄντων. καθάπερ καὶ ἐπὶ τῶν ζώων τῶν γονίμων καὶ ἀγόνων, καὶ τῶν ζωοτόκων καὶ ᾠοτόκων. ἑτέρα δὲ ἡ περὶ τὰς χώρας, οἷον ψυχράς. τὰ γὰρ ἐναντία ἐν ταῖς ἐναντίαις δύνασθαι διαμένειν, τὰ μὲν θερμὰ ἐν ταῖς θερμαῖς, τὰ δὲ ψυχρὰ ἐν ταῖς ψυχραῖς. οὕτω γὰρ εὐθὺς καὶ τὴν φύσιν γεννᾶν, ὡς ὑπὸ μὲν τοῦ ὁμοίου φθειρομένων διὰ τὴν ὑπερβολήν, ὑπὸ δὲ τοῦ ἐναντίου σωζομένων, οἷον εὐκρασίας τινὸς γινομένης· ὥσπερ καὶ Ἐμπεδοκλῆς λέγει περὶ τῶν ζώων· τὰ γὰρ ὑπέρπυρα, τὴν φύσιν ἄγειν εἰς τὸ ὑγρόν. συνηκολούθηκε δὲ ταύτῃ τῇ δόξῃ καὶ Μενέστωρ, οὐ μόνον ἐπὶ τῶν ζώων, ἀλλὰ καὶ ἐπὶ τῶν φυτῶν. θερμότερα γὰρ εἶναί φασι τὰ μάλιστα ἔνυγρα, οἷον σχοῖνον, κάλαμον, κύπειρον· διὸ καὶ ὑπὸ τῶν χειμώνων οὐκ ἐκπήγνυσθαι. καὶ τῶν ἄλλων, ὅσα μάλιστα ἐν τοῖς ψυχροῖς δύνασθαι διαμένειν, οἷον ἐλάτην, πεύκην, κέδρον, ἄρκευθον, κιττόν. ἐπὶ τούτου γὰρ καὶ δὴ τὴν χιόνα τῇ θερμότητι ὑπομένειν. ἔτι δὲ σκολιὸν εἶναι, διὰ τὴν ἐν [illegible] θερμὴν οὖσαν, καὶ διαστρέφειν. τρίτην δ' αἰτίαν λέγει, τὸ πρωϊβλαστῆ καὶ πρωΐκαρπα εἶναι. φύσει γὰρ καὶ ὁ ὀπὸς αὐτοὺς ὢν θερμός, καὶ βλαστάνειν πρωῒ ποιεῖ, καὶ πέττει τοὺς καρπούς. σημεῖον δὲ ποιεῖ καὶ τούτου τόν τε κιττόν, καὶ ἕτερα ἄττα. τετάρτη δέ, ἡ τῶν ἀειφύλλων. διὰ γὰρ θερμότατα καὶ τοιαῦτα ὄντα διατηρεῖν. τὰ δέ, ἐνδείᾳ τοῦ φυλλοβολεῖν. προσεπιλέγειν δὲ τοῖς εἰρημένοις καὶ τὰ τοιαῦτα, σημειούμενος, ὅτι τὰ πύρεια ἄριστα καὶ κάλλιστα ἐκπυροῦται καὶ τῶν δένδρων, ὡς τὰ ἀεί τις τὰ τοῦ πυρὸς ὄντα τάχιστα, ἐκπυρούμενα. καὶ τὰ μὲν ὑπὲρ τοῦ θερμότητος λεγόμενα, σχεδὸν ταῦτ' ἐστίν.

17 Ἔχει δ' ἀπορίαν εὐθὺς ἐπὶ τοῦ πρώτου λεχθέντος, ὡς οὐκ ἔστι τὰ καρπιμώτερα, θερμότερα. τὰ γὰρ θήλεα τῶν δένδρων πολυκαρπιμώτερα μέν, ἧττον δὲ θερμὰ τῶν ἀρρένων· ὥσπερ ἐκ τῆς τῶν ζώων ὁμοιότητος λοιπόν, καὶ μὴ ὁμώνυμον. ἔτι δὲ τὰ ζῶα τὰ πολυγονώτερα, θερμότερα· καὶ καθάπερ σαρκοφάγα καὶ λαίμαργα· μόνα γὰρ τοῦ θερμοῦ δοκεῖ, κύων καὶ ὗς πολυτοκεῖν. αὐτῶν δὲ τῶν ὁμογενῶν τὰ ὁμοιοειδέστερα πολυγονώτερα, καθάπερ ἐπὶ τῶν ὀρνίθων· ἡ γὰρ θερμότης εἰς αὔξησιν φαίνεται καὶ διατρέφειν τὰ μέλη, καὶ σκληρύνειν. ἀλλὰ καὶ εἰς τὴν ζωογονίαν, καὶ εἰς τὴν καρποτοκίαν καὶ πέπανσιν, συμμετρίας τινὸς δεῖ τοῦ θερμοῦ, καὶ οὐχ ὑπερβολῆς, εἴπερ αὕτη μὲν ξηραίνει καὶ πυκνοῖ μᾶλλον. ὥστε ταῦτα μὲν ἐν ἀμφιδόξῳ, προσδεόμενα δὲ τινὸς διορισμοῦ. περὶ τῶν ἐνύδρων ῥᾴων ἡ ἀμφισβήτησις. οὐ γὰρ ὅτι γεννᾶν, ὅτι δὲ ῥίψαι, ὅτι σώζειν πέφυκε τὸ ἐναντίον, ἀλλὰ τὸ ὅμοιον. ἐπεὶ καὶ Ἐμπεδοκλεῖ πρὸς τοῖς ἄλλοις καὶ τοῦτ' ἄτοπον, ὅπερ καὶ ἐν ἑτέροις ἀρεῖ, τὸ γεννᾶσθαι ἐν τῷ ξηρῷ τὴν φύσιν μεταίρειν εἰς τὸ ὑγρόν. πῶς γὰρ ἂν διέμενε, καὶ πῶς οἷόν τε καὶ διαμένειν ὁποσονοῦν χρόνον, εἴπερ ἦν ὅμοια τοῖς νῦν. ἔτι δ' αὐτὸ τὸ συμβαῖνον κατὰ τὴν νῦν γένεσιν, ἀντισημαίνει· ἅπαντα γὰρ φαίνεται τὰ ζῶα, καὶ τὰ φυτά, καὶ διαμένοντα καὶ γεννώμενα ἐν τοῖς οἰκείοις τόποις, ὁμοίως ἔνυδρα καὶ χερσαῖα, καὶ εἴ τις ἄλλη τοιαύτη διαφορά. διὸ καὶ ἀπαθῆ μὲν ὑπὸ τούτων, παθητικὰ δ' ὑπὸ τῶν ἐναντίων, ἄν τε μεγάλης τῆς μεταβολῆς γινομένης. ἀσύμφωνοι δὲ αἱ δόξαι πρὸς αὐτάς, ὅταν ἅμα τε τὰ ἔνυγρα θερμότερα ᾖ, καὶ καρπιμώτερα. πολλὰ γὰρ ἄκαρπα τῶν ἐνύδρων. καὶ πάλιν, ὅταν τάδε πρωϊβλαστῆ καὶ πρωΐκαρπα. καὶ τὰ ἄκαρπα καὶ ἀείφυλλα, θερμὰ λέγωσιν· ὀψικαρπότατα γάρ, ὡς εἰπεῖν, τὰ ἀείφυλλα·

ἢ οὐδ' ἀνάπαλιν θερμότερα τὰ ὀλιγογονώτερα

24 λον, ἐν οἷς ὑπὲρ τῶν ἀγρίων εἴπομεν. Φέρει δὲ τοὺς καρποὺς τὰ μὲν ἐκ τῶν ἕνων, τὰ δὲ ἐκ τῶν νέων βλαστῶν, διεστῶτα ταῖς φύσεσιν εὐθὺς καὶ ταῖς κράσεσιν. ὅσα μὲν ξηρὰ καὶ πυκνὰ καὶ ξυλώδη, ταῦτα μὲν ἐκ τῶν ἕνων, ἅτε μικρᾶς καὶ βραχείας οὔσης τῆς ἐπιρροῆς· ἅμα δὲ καὶ ὁ βλαστὸς ἀσθενής, ὥστε μήτε μετεωρίζειν δύνασθαι, μήτε κατασχεῖν· ὥσπερ ὁ τῆς ἐλαίας. ὅσα δὲ ὑγρὰ καὶ μανὰ, καὶ τὸ ὅλον εὐτραφῆ, ταῦτα ἐκ τῶν ἀθρόας τε ἡ ὁρμὴ καὶ πολλή· διὸ ἄμφω δύναται ποιεῖν, ἅμα τόν τε βλαστὸν καὶ τὸν καρπόν. οὐ μὴν ἀλλὰ καὶ ἐκ τῶν ἕνων φέροντ' ἀεὶ βλαστημάδιον ποιεῖται μικρόν, καὶ οὐκ εὐθὺς ἐκ τοῦ ξυλώδους ὁ καρπός· οὐδὲ γὰρ οὐδὲ πέφυκεν, ἀλλὰ μή τι παράλογον. ἰδιωτάτη δὲ καὶ πρὸς τὰ ἄλλα, καὶ πρὸς αὐτὰ τὰ ξυλώδη τῶν καρπῶν, ἡ γένεσις τοῦ φοίνικος. οὐ γὰρ φέρει ἀπὸ ἕνων ἕνων ἢ νέων, ἀλλὰ τοῦ κυουμένου πρότερον· ὥσπερ τὰ σταχυηρὰ τῶν σπερμάτων ἐκφαίνει. ἐκ γὰρ τῶν ὁμογενῶν ἐκφαίνεται, καθάπερ στάχυς ἢ ῥάβδος, ἔχουσα πρὸς ἑαυτῇ τὸν καρπόν. αἰτιάσαιτο δ' ἄν τις τὴν ξηρότητα τοῦ δένδρου, καὶ τὴν ὅλην μορφήν. ἐπεὶ γὰρ φυλακῆς οἱ καρποὶ δέονται, καὶ ἔξω συνιστάμενοι, καὶ ἐξ αὐτῶν προφαινόμενοι, τοῖς μὲν ἄλλοις τὰ φύλλα τοσαῦτα ποιεῖ, καθάπερ εἴρηται. τούτου δὲ, ἐπείπερ οὐ παρὰ τὸ φύλλον ὁ καρπός, ἀναγκαῖον ἐν τούτῳ πως τὴν σύστασιν γενέσθαι, ὅπως ἰσχυρὸν ἤδη καὶ μεμορφωμένον ἀποδοθῇ τῷ ἀέρι. διόπερ ἐν τῷ συγγενεῖ καὶ οἰκείῳ τὴν κύησιν ἐξέτεκεν· ἴσως δὲ, ἅπερ ὅμοιον τῷ σταχυοβολεῖν. τοῦτο δὲ πλειόνων δεῖ, καὶ τὴν αἰτίαν κοινήν τινα λεκτέον. ἀλλ' εἰ ἄρα μόνον τῶν δένδρων τῷ φοίνικι τοῦτο συμβαίνει. τὸ γὰρ ἴδιον ἐν τοῖς ὁμογενέσι θαυμάζεται. περὶ μὲν οὖν τούτου σκεπτέον. Παρενιαυτοφόρα δὲ, καὶ οὐκ ἐπετειόφορα τῶν δένδρων, ὡς τύπῳ λαβεῖν, τὰ ξηρὰ καὶ ξυλώδη, καὶ ὅσα μὴ ἐκ τῶν νέων, ἀλλ' ἐκ τῶν ἕνων φέρει τοὺς καρπούς. οἷον γὰρ προσυλλέξαι δεῖ, καὶ προγεννῆσαι τὸ γεννῶν. οὐ δύναται δ' ἅμα ταῦτα, διὰ τὴν πρότερον λεχθεῖσαν αἰτίαν· ὥσπερ τὰ εὔξυλα καὶ εὔτροφα. μάλιστα δ' ἐπιδήλως ἡ ἐλαία τοῦτο. καὶ γὰρ ἀσθενέστατον, καὶ ἐπικρότατον· καὶ ἅμα ῥαβδιζομένη πονεῖ, καὶ κατακεκομμένη τὰς θαλλείας. ἐπεὶ καὶ ὅσοι γε μὴ οὕτω συλλέγουσιν, ἀλλὰ καὶ αὐτομάτως ἀεὶ τὴν ἀπορρέουσαν ἀποσείοντες, ἐπετειοφορεῖν φασι μᾶλλον. μέγα δὲ καὶ αἱ χῶραι διαφέρουσιν. ἐν γοῦν τῇ ἀληθείᾳ φασὶν, ὡς ἀεὶ τὸ καρποφορεῖ· παραλλαγὴν δὲ ποιοῦνται κατὰ τριετίαν. ὅσα ἰσχυρότερα τῶν ἐκ τῶν † νέων φερόντων, οἵας ἂν ὁ θεὸς ἄγῃ τὰς ὥρας, οὕτως καὶ τὰ τῶν καρπῶν ἐκδιδόασιν, ὥσπερ καὶ τὰ ἐκ τῶν νέων καρποφοροῦντα. καὶ γὰρ ταῦτα συνακολουθεῖ ταῖς ὥραις, καὶ τῇ κράσει τοῦ ἀέρος.

25 Συμβαίνει δὲ, ὅταν μὲν εὐβλαστῶσιν ἄγαν, ἀκαρπεῖν μᾶλλον· ὅταν δ' εὐκαρπῶσιν, ἀβλαστεῖν· ὡς οὐ δυναμένης εἰς ἄμφω διαρκεῖν τῆς φύσεως, ἀλλὰ καὶ καταναλισκούσης θάτερον πρὸς θάτερον. ἴδιον δὲ τὸ ἐπὶ τῆς συκῆς, καὶ τῆς λευκῆς ἀμπέλου, ὥς τινές φασι, συμβαῖνον· ταῦτα γὰρ ὅταν εὐβλαστῶσι, τότε μάλιστα εὐκαρπεῖν. εἰ δὲ τοῦτό ἐστι, καὶ τὸ πρότερον εἰρημένον ἀληθές· ἡ γὰρ εὐβλαστεία ἀφαιρεῖται τοὺς καρπούς. γίνεσθαι δὲ τοῦτο μάλιστα χώρας ἀρετῇ, καὶ ἰσχύι τῶν δένδρων. ἐν τῇ μὲν γὰρ ἄφθονα· τὰ δὲ, ἑλκῦσαι δεινὰ διὰ τὴν ἰσχύν, ὥσπερ ἡ ἀμυγδαλῆ καὶ ἡ ῥόα. δῆλον δὲ, ὡς ὅσα τὴν φύσιν ἀσθενῆ, ταῦθ' ἥκιστα ὑπερβλαστάνει· ἀλλὰ σύμμετρος αὐτῶν ἡ εὐβλαστία γίνεται, πρὸς τὴν καρπογονίαν. δεῖ γὰρ μήθ' ὑπερβλαστεῖν μήτε κακοβλαστεῖς εἶναι, τὸ καρποτοκῆσον. ἡ δὲ συκῆ καὶ ἡ ἄμπελος † ἡ τοιαύτη μάλιστα, λαμβάνει τὸ ξύμμετρον διὰ τὴν ἀσθένειαν. δεῖ δὲ ἴσως καὶ χώραν εἶναι μὴ ἀγαθὴν, ἵνα μὴ δ' ἐκ ταύτης ἡ ὑπερβολή. διόπερ εἰς τὰς νήσους τὰ τοιαῦτα μᾶλλον ξυμβαίνει. κοινὸς δὲ ὁ λόγος περὶ πάντων τῶν ἀσθενῶν. τούτου μὲν οὖν ἐνταῦθα τοῦτο αἴτιον ὑποληπτέον.

Ἐν ἅπασι δὲ τοῖς καρποῖς τὸ περικάρπιον πρότερον μᾶλλον, ἢ αὐτός γε ὁ καρπὸς καὶ τὸ σπέρμα γίνεται. τοῦτο δ' οὐ μόνον ὅτι ξυλώδη καὶ πυρηνώδη γίνεται τὰ πολλὰ τῶν σπερμάτων, τὰ δὲ τοιαῦτα συνίσταται βραδύτερον, ἀλλὰ καὶ ὅτι τέλος (ὥσπερ ἐλέχθη) τὸ σπέρμα. δεῖ δὲ τὸ ἕνεκα ἄλλου, πρότερον † ἢ ἐκείνου γε εἶναι. ἐν περιέχοντι γὰρ ἡ τῶν τοιούτων γένεσις. διὸ οὐχ ἅπαντα ἔνιοι τὰ περικάρπια σπερμοφόρα, καθάπερ τῶν βοτρύων μικρὰ ῥᾶγες, ὡς οὐκέτι δυναμένης τελεῶσαι τῆς φύσεως ταύτας· γλυκεῖαι δ' οὐδὲν ἧττον τῶν μεγάλων. ἢ καὶ δῆλον, ὡς ἀραιὸν ἐκπέψαι τὸ περικάρπιον ἔοικεν, ὥσπερ ὑπὸ τοῦ ἡλίου καὶ τοῦ ἀέρος, καὶ τῆς ὥρας συνέψεσθαι· τὸ δὲ σπέρμα τῆς φύσεως ἰδιώτερον εἶναι, πρὸς ἡμᾶς δὲ τὰ μὲν οὐδέν, τὰ δὲ ἐν ἐλάττονι χρόνῳ· ἐλάττων γὰρ ἡ χρεία.

διὸ

(Handwritten marginalia: ἕνων; νέω; † ἡ λευκή; † ἢ ἐκεῖνό γε; -κάρ-)

δένδρων καρποὶ, διὰ τὸ κρατεῖσθαι ὑπὸ πλήθει τῆς τροφῆς, ἐξίστανται τῶν γενῶν, ὥσπερ ἐλέχθη πρότερον. ἄτοπον δ' ἂν δόξειεν τὸ τῶν ὁμογενῶν ἔνια, τὰ μὲν εἶναι πρώϊα, τὰ δ' ὄψια· καθάπερ συκαῖ τέ τινες, καὶ ἄμπελοι, καὶ μηλέαι, καὶ ἄπιοι, καὶ τἄλλα. τῶν γὰρ ζώων οὐδὲν ποιοῦν, πλὴν κοινός· ἀλλὰ ἰσόχρονα κατὰ τὰς κυήσεις, καὶ τὰς ἐκτροφάς [marg.: σω-]· ἀλλὰ μόνον παραλλάττει ταῖς ὥραις κατὰ τοὺς τόπους, καὶ μάλιστά γε ξυνανθρωπευόμενα. τάχα μὲν οὖν καὶ αἱ βλαστήσεις ἐνίων ὕστεραι, καὶ παραδεδέασι τὸ ἀνάλογον. οὐ μὴν ἀλλ' ἐφ' ὧν τοῦτο μὲν δῆλον, ἔοικεν ὥσπερ ἐν ὁμωνυμίᾳ γίνεσθαι τὸ ἀπόρημα. ἔστι γὰρ εὐθὺ τῇ φύσει καὶ τοῖς ζώοις καὶ τοῖς φυτοῖς, ὥσπερ τὰ ἥμερα καὶ τὰ ἄγρια καὶ πολύκαρπα, τὰ δ' ὀλιγόκαρπα, τὰ δ' ὅλως ἄκαρπα. τὰ γὰρ τῶν ἐρινῶν, ἕτερον γένος, οὐ δυνάμενον πέττειν, οὐδὲ ἀφικνεῖσθαι πρὸς τὴν τελείωσιν. ἕτερον δὲ τὸ τῶν ἀμπέλων, τῶν μαινομένων καλουμένων· αἳ οὐ μόνον βλαστάνουσιν, ἀλλὰ καὶ πέττουσι, καὶ ἀνθοῦσι, καὶ βοτρυοῦνται, καὶ οὐ δύνανται τελειοῦν. ὡσαύτως δὲ καὶ τῶν ῥόων, καὶ ἔτι ἄλλων μέχρι τοῦ ἄνθους ἀφικνεῖται μόνον. ἐν γὰρ τῇ ἰδίᾳ φύσει τὰς διαφορὰς ἕκαστα τούτων ἔχοντα, δικαίως ἕτερα ἂν λέγοιντο κατὰ τὸ εἶδος. ὅσα δὲ δύνανται πεπαίνειν καὶ βλαστάνειν, καὶ ἀνθεῖν, καὶ τὰ ἄλλα μέρη, καθάπερ ἡ μηδικὴ μηλέα, ταῦτα μάζω τινὰ ἔχει καὶ ἰδιωτέραν δύναμιν ἐν ἑαυτοῖς, εἴπερ ἀεὶ διὰ τέλους τοῦτο δρᾷ. παράδοξον γὰρ τὸ συμβαῖνον, ὥσπερ ἐν τῷ ἀέρι πρότερον ἐλέχθη, ὑπὸ μαλακοῦ καὶ εὐκράτου, καθ' ὃν ἡ καρποφορία καὶ ἡ βλάστησις, πλὴν ἐκείνων μὲν ὁ ἀὴρ αἴτιος· διὸ καὶ πᾶσι κοινός. ἐνταῦθα δὲ ἡ τοῦ δένδρου φύσις καὶ δύναμις, εὔκρατος πρὸς ἁπάσας τὰς ὥρας.

23 Ἐπεὶ δ' ἕτερον τὸ περικάρπιον (τοῦτο γὰρ πρὸς τὴν χρῆσιν ἡμῶν) ἀναγκαῖον μὲν τούτων ὅρον τινὰ τοῦ χρόνου εἶναι· τὸν δὲ ὑπερβάλλοντα, λυμαίνεσθαι, χειμώνων τε καὶ ὑδάτων καταλαμβανόντων. † τὸν δὲ καρπὸν μὴ εἶναι [marg.: † δὲ καρπὸν]· συγκαταῤῥέουσι γὰρ τούτοις προσεκπηδῶσιν, ὥσπερ οἱ τῆς πιτυώδους πεύκης, καὶ ὅλως τῶν κωνοφόρων. προσηρτημένων γὰρ ἔτι τῶν κώνων, ἐκπηδᾷ τὰ κάρυα, καὶ καταλείπονται κενοί. ταὐτὸ δὲ συμβαίνει τοῦτο καὶ ἐπὶ τῶν κυπαρίττων. ἀλλ' ἔνθα μὲν τὸ περίσμα καρυῶδες, ἔνθα δὲ ὑμενῶδες καὶ ἀμβλυνόν. ὅσα μὲν οὖν ξυλώδεσιν ἢ δερματικοῖς τισι περιέχεται, καθάπερ τά τε κάρυα καὶ βάλανοι, ταῦτα μὲν περιστεγόμενα διατηρεῖται πρὸς τὴν τῆς βλαστήσεως ὥραν. ὧν δὲ σαρκώδη τὰ περικάρπια, τούτων δὲ σηπομένων καὶ περιῤῥεόντων, αὐτὰ καθ' αὑτὰ σώζεται, τὰ † μένοντα ξυλώδη [marg.: † μὴ ὄντα]· καθάπερ τὸ γίγαρτον, καὶ τὸ τοῦ φοίνικος, καὶ ὁ τῆς ἰτέας πυρήν. τὰ δὲ, ἐν ὑμέσι καὶ χιτῶσι περιεχόμενα πλείοσι· τὰ δὲ καὶ ἀλλήλοις πως συνημμένα, καὶ κοινὴν περιοχὴν ἔχοντα, καθάπερ καὶ τὰ τῶν ἀπίων καὶ μήλων· ἅπαντα γὰρ ταῦθ' ὡς εἰπεῖν ἐν μείζοσι περικαρπίοις, ἵνα πλείω διαμένῃ χρόνον. τῶν μὲν οὖν καρπῶν, αὕτη φυλακὴ καὶ σωτηρία πρὸς τὴν γένεσιν. ἡ δὲ τῶν περικαρπίων [marg.: περὶ], ὁμοίως ὅρον τινὰ ἔχει, καθάπερ ἐλέχθη, πρὸς τὴν χρείαν· ἐπεὶ καὶ οἱ χυλοὶ χρονιζόμενοι, καὶ ἀνυγραινόμενοι, χείρους γίνονται. τῶν δὲ, οὐδὲ πλείους οὐδὲ, ἀπὸ τινος ὥρας, ὥσπερ οὐδὲ τῶν ἐλαιῶν ἀπ' ἀρκτούρου· μέχρι τούτου γὰρ τὸ ἔλαιον ἐγγίνεσθαι δοκεῖ. κατὰ δὲ τὸ λοιπὸν, τῆς σαρκὸς ἡ αὔξησις. καὶ ἐὰν τι δὴ πλείω πίῃ ὕδατα, καὶ χεῖρον γίνεσθαι τὸ ἔλαιον ἁρμόγην λαμβάνον πλείω· πολλάκις δὲ καὶ σηπομένου τοῦ καρποῦ. περιμένουσι δὲ τὴν ἄπαυσιν, καὶ οὐκ εὐθὺς ἀφαιροῦσιν, ὅτι καὶ ἡ κατεργασία καὶ ἡ ἀφαίρεσις χαλεπωτέρα· καὶ ἔτι τὰ δένδρα λυμαίνοιτ' ἂν ῥαβδιζόμενα. φαίνεται δ' οὖν, εἴπερ τοῦτ' ἀληθὲς, ἡ τῆς θερμῆς φύσις, δημιουργεῖν τὸ ἔλαιον καὶ τὴν λιπαρότητα τοῦ χυλοῦ, συμμετρίαν ἔχουσα πρὸς τὸ ὑποκείμενον. ἡ δὲ πλείων, ὥσπερ ἀλλοτρία, καὶ ἐπίδοσις πρὸς περιττώματος χώραν, οἷον αὐτὴ πέττουσα μᾶλλον εἰς τὴν σάρκα τὴν τοῦ χυλοῦ δύναμιν· ὃ καὶ τοῦ θέρους καὶ τοῦ χειμῶνος συμβαίνει, γινομένων ὑδάτων ἐκ Διὸς, καὶ βρεχομένων τοῖς ναματίοις, ἐν ὁρμῇ τῆς αὐξήσεως οὔσης. ἐκσαρκοῦνται γὰρ, καὶ ἀπολλύουσι τὸ ἔλαιον διὰ τὴν πολυτροφίαν, ἂν μὴ μετὰ ταῦτα αἰθρίαι γινόμεναι καταξηραίνωσιν· οὕτω δὲ σώζεται, καὶ πληθύνει μᾶλλον. ὅπερ ἤδη καὶ πρότερον πολλάκις γέγονε, καὶ τὸ τελευταῖον ἐπ' ἄρχοντος Νικοδώρου· διὸ καὶ ἡ ῥύσις ἐγένετο καλλίων. ἐκ γὰρ τῶν ἡμίσεων ἡ αὐτή. τὰς μὲν πέψεις, ὅτι πρὸς τὴν χρείαν τὴν ἡμετέραν εὑρίσκομεν, ἐκ τούτων καὶ ἐκ τῶν πρότερον δῆ-

διαφοραὶ καὶ ἀμπέλων καὶ συκῶν, ὥστ' ἐνίων πόῤῥω πάνυ πεπαίνεσθαι. διόπερ ἴσως τὰς καθόλου λεκτέον αἰτίας. πρωΐκαρπα μὲν, ὅσα μήτε κάθυδρα, μήτε ψυχρὰ τοῖς ὀποῖς· ἔτι δὲ γυμνὰ, ἢ λεπτοῖς ὑμέσι περιεχόμενα, καὶ τὴν πέψιν ἔχοντα τῶν χυλῶν εὐδιαφορῆ, καὶ μὴ παχεῖαν. ὀψίκαρπα δὲ, τἀναντία τούτων· ὅσα κάθυγρα, καὶ ψυχρὰ τοῖς καρποῖς, ἢ τοῖς περικαρπίοις ξυλώδη καὶ ξηρά, καὶ ὧν αἱ περιοχαὶ τοιαῦται, καὶ ἅμα πλείους· ἔτι δὲ, ὧν οἱ χυλοὶ καὶ πρὸς τὰς πέψεις λιπαροί, καὶ ἄλλην τινὰ ἔχοντες παραπλησίαν δύναμιν· ἐὰν ξηροί τε καὶ ὀλίγην ἔχοντες ἅμα καὶ τοιαύτην ὑγρότητα πρὸς τὴν πέψιν. ἅπαντα γὰρ ταῦτα κωλυτικὰ τῶν πέψεων. ἐκ δὲ τῶν καθ' ἕκαστα θεωροῦσι συμφώνως ὁ λόγος τῶν γινομένων. τῶν γὰρ ἀειφύλλων, ἅπανθ' ὡς εἰπεῖν ὀψίκαρπα· ξυλώδεις δὲ καὶ οἱ καρποί, καὶ τὰ περικάρπια· καθάπερ φοίνικος, πίτυος, κυπαρίττου. τούτων δὲ ξηροί, ἢ λιπαροί, ἢ γλισχρότητά τινα ἔχοντες, ὥσπερ ὁ τῆς κέδρου, καὶ τῆς ἰξύας. διὸ καὶ οὐκ ὄντες μεγάλοι, δυσκατέργαστοι διὰ τὸ εἶναι τοιοῦτοι. καὶ ἅμα διὰ τὴν πυκνότητα, μικρὰ καὶ ἡ ἐπιῤῥοὴ, καὶ ἡ ἐπίστασις ὅλη. τῶν δὲ μὴ ἀειφύλλων, ὅσα κάθυγρά τε καὶ ψυχρά, καὶ ὅσα γεώδη· καὶ γὰρ ἡ ψυχρότης, καὶ τὸ πλῆθος, δυσέργαστον· καὶ τὸ γεῶδες, καὶ ἡ ξηρότης, ὥσπερ τῶν ἀχράδων, καὶ τῶν βαλάνων. ὅσα δὲ κέκραται πρὸς τούτοις, καὶ ἐν θερμασίᾳ τυγχάνει, καὶ μανά, ταῦτα καὶ πρωϊβλαστῆ καὶ πρωΐκαρπα, συμμετρίαν ἔχοντα τῆς μίξεως, καὶ ἐν αὐτοῖς καὶ πρὸς τὸ περιέχον. χρὴ δὲ λαμβάνειν ἕκαστα, ὥσπερ τῶν εἰρημένων, ἐὰν μή τις ᾖ κώλυσις. οὐδὲν γὰρ ἐν τούτῳ κύριον ἐπιγεγραφεῖν, οὔτε πρωϊκαρπίαν οὔτε ὀψικαρπίαν, οὐδέ γε πλείω ταῦτα, ἐὰν ἕτερα ἄττα ἐναντιώτατα. λέγω δ' οἷον ἔνια γυμνόκαρπα μὲν, ὄψια δέ· καθάπερ σμίλαξ, καὶ ἄλλ' ἄττα βοτρυώδη· τὰ δὲ, πρὸς τὸ ὄψιον καὶ κατὰ μέρος πεπαίνεται, καθάπερ ὁ βάτος. τούτων γὰρ τὰ μὲν ψυχρά, τὰ τῇ φύσει ὀψίκαρπα καὶ ὀψιβλαστῆ· ὅσα δὲ γυμνὰ καὶ ἀκέλυφα, οὐχ ἱκανὰ περιλαμβανομένων τῇ ὥρᾳ. τὰ δ' ἔτι ξηρὰ τῇ φύσει· πᾶν δὲ τὸ ξηρόν, ἰκμάδος δεῖται καὶ πρὸς τροφὴν, καὶ πρὸς πέψιν. ὡς δ' ὁ βλαστὸς ἀμφοτέρων μετέχει τῶν ὡρῶν, ὥστε πολὺν χρόνον παρεκτείνων. ἀλλ' ὥστε τύπῳ εἰπεῖν, ταύτας ὑποληπτέον εἶναι τὰς αἰτίας. ἐπεὶ καθ' ἡλικίαν ὀψικαρπότερα †, καὶ μὴ κατὰ τὰς ἐναντίους χώρας· οἷον τὰ νέα τῶν φυτῶν, διὰ πλῆθος ὑγρότητος καὶ τὸ ὅλον τροφῆς ὀψίκαρπα· τὰ δ' αὖ πάλιν, ὡς ἔτι φορὰ πόῤῥω τῆς ἡλικίας ὄντα· καθάπερ τὸ ἐν Αἰγύπτῳ λεγόμενον δένδρον, ὃ † ἑκάστῳ ἔτει μυθολογοῦσι φέρειν καρπόν. ἡ δ' αὖ συνεχόμενος οὐδὲ πέττειν δύναται, διὰ δυστροφίαν καὶ πλῆθος ὑγρότητος, μὴ ἀποκνισθέντων καὶ ἐπαλειφθέντων ἐλαίῳ τῶν καρπῶν. οὐ μόνον δὲ τὸ πλῆθος ὀψικαρπεῖν ποιεῖ τῆς τροφῆς, ἀλλὰ καὶ ἀκαρπεῖν ἔνια· καθάπερ ἐπί τε τῶν ἀμπέλων εἴρηται, καὶ ἐπὶ τῶν ἀμυγδαλῶν, καὶ ὅλως τῶν διαλιπραινομένων καὶ κολαζομένων. ἅπαντα γὰρ ὅταν τοῦτο πάθωσι, τῆς ὑγρότητος ἀπολαβάσης, τὰ μὲν ἐξ ἀκάρπων κάρπιμα, τὰ δὲ καλλικαρπότερα καὶ ἐγχυλότερα γίνεται. τὰς δὲ ἀμυγδαλῆς ἐάν τις ἐγκόψας τὸν πάτταλον, ὑποκαθάρῃ τὴν ὑπεῤῥοὴν τῆς ὑγρότητος, ἔτι δύο ἢ τρία καὶ γλυκεῖαν ἐκ πικρᾶς γίνεσθαί φασι. δοκεῖ δὲ καὶ ἡ συκῆ, ῥιζοτομηθεῖσα, καὶ καταχωσθεῖσα, εὔφορός τε ἐξ ἀφόρου γίνεσθαι, καὶ πολυκαρπεῖν μᾶλλον. σχεδὸν δὲ καὶ περὶ τὰς ἀμπέλους τὰς τραγώσας ὁμοίως ἔχει· καὶ γὰρ τούτων ἀφαιρεῖν δεῖ καὶ ἀναπαῦσαι τὴν βλάστησιν, καὶ ὁρμήν, ὅπως καρποτοκῶσιν.

22 ἐν δὲ τῷ αὐτῷ δέ πως γένει τῆς αἰτίας ἐστί, καὶ τὸ μὴ τὴν ἀρίστην καὶ πίειραν, καὶ βαθύγειον ἀρίστην εἶναι τοῖς δένδροις, ἀλλὰ τὴν δευτέραν· τῷ δὲ σίτῳ ἐκείνην. ἐν μὲν γὰρ τῇ κατὰ βάθος ἰούσης τῆς ῥίζης, καὶ τῆς χώρας ἀτροφοῦς πλείω, τὴν σύμμετρον τροφὴν ὑπεραίροντα· ἐν δὲ τῇ λεπτογέῳ, καὶ μὴ βαθείᾳ, τὰς ῥίζας ἀναγκαῖον ἐπιπολαιοτέρας εἶναι, καὶ τροφὴν ἐλάττω καὶ σύμμετρον. ἐπεὶ καὶ ἐν ταῖς ψαφαραῖς, καὶ ταῖς πετρώδεσι, δύνανται λαμβάνειν ἱκανήν, καθιέμενα καὶ βιαζόμενα ταῖς ῥίζαις. ἔτι δὲ καὶ καταψύχειν τὰς ῥίζας, ἄγει πετρώδης, δοκεῖ μᾶλλον, ὅπερ ἐπιζητεῖ τὰ δένδρα. ὁ δὲ σῖτος, ἐν μὲν ταῖς ἀγαθαῖς συλλαμβάνει μὲν πλείω, διὰ τὸ μὴ κατὰ βάθους εἶναι τὰς ῥίζας· ἐν δὲ ταῖς μοχθηραῖς καὶ καταξηραίνεται, διὰ τὸ μὴ ἔχειν πολλάς. καταψύξεως † δεῖται, διὰ τὸ μὴ κατὰ βάθους εἶναι. ὅταν δὲ ἐπομβρίαι γίνωνται, καὶ πολὺς ὁ δασυζόμενος, χείρων ἐστίν. ἐπεὶ καὶ οἱ τῶν

δένδρων

† ἢ πρωϊκαρπότερα,
† ἑκατοστῷ
† οὐ δεῖται

μεθ' ἑτέρων· καὶ τίνων δὲ ἡ σύμψις δόξειεν ἂν ἔχειν διαίρεσιν, καὶ ἁπλῶς καὶ πρὸς ἡμᾶς· οἷον ὅσα ταῖς δριμύτησι, καὶ ὅσα τοῖς φαρμακώδεσι χυλοῖς, ἃ δὴ καὶ ἐπιτείνουσι, καὶ μάλιστα χρῶνται τοῖς ποιότησι. ταῦτα μὲν οὖν ὥσπερ ἰδιότης τις φύσεως, πρὸς ἣν δηλονότι καὶ αἱ τροφαὶ καὶ αἱ κατεργασίαι τείνουσιν, ἢ τοὐναντίον αἱ ἀργίαι· καθάπερ τῷ σιλφίῳ, καὶ τῇ καππάρει, καὶ εἴ τι ἄλλο φεύγει τὴν ἐργασίαν· καὶ ἔτι πάλιν αὖ διώκει τὴν ξηρὰν καὶ ὑγρὰν καὶ χειμερινήν. ἐξ αὐτῶν δὲ τούτων τάχ' ἄν τις πάλιν ἐπιζητήσειε κοινήν τινα ἀπορίαν καὶ καθόλου, ποτέρως τὴν φύσιν ἐκ τῶν αὐτομάτων μᾶλλον θεωρητέον, ἢ ἐκ τῶν κατὰ τὰς ἐργασίας· καὶ ἐν ὁποτέροις τὸ κατὰ φύσιν· σχεδὸν δὲ ταὐτὸν μᾶλλον δὲ μέρος τούτου. καὶ πότερον, ἐκ τῶν ἀγρίων, ἢ ἐκ τῶν ἡμέρων. ἡ μὲν γὰρ φύσις ἐν αὑτῇ τὰς ἀρχὰς ἔχει. καὶ λέγομεν τὸ κατὰ φύσιν, τὸ δ' ἐκ τῶν αὐτομάτων τοιοῦτον. τὸ δ' ἔξωθεν ἄλλως τε, καὶ κατὰ τέχνην· ἀφ' ἑτέρας γὰρ ἀρχῆς. οὐδ' ἐν τοῖς ζώοις, ὅσα πλάττεται, ἢ καταναγκάζεται πρὸς μικρότητα καὶ μέγεθος, καὶ τὸν ὅλον τύπον τῆς μορφῆς, οὐ θετέα ταῦτα κατὰ φύσιν. ἡ δ' ἀεὶ πρός τι τὸ βέλτιστον ὁρμᾷ· καὶ τοῦθ' ὥσπερ ὁμολογούμενόν ἐστι. ταύτῃ δὲ τὰ ἐκ τῆς θεραπείας· ἅμα γὰρ τελείωσις γίνεται τῆς φύσεως. ὅταν οὖν ἐλλιπής τις τυγχάνῃ, ταῦτα προσλαμβάνει διὰ τέχνης· οἷον τροφῆς τε ποιότητα καὶ ἀφθονίαν, καὶ τῶν ἐμποδιζόντων καὶ τῶν κωλυόντων ἀφαίρεσιν, ἃ παρέχουσι δηλονότι καὶ οἱ ἐκεῖνοι τόποι πρὸς ἕκαστον, ἐν οἷς δὴ φαμὲν δεῖν θεωρεῖν τὰς φύσεις αὐτῶν. ἀλλ' ἐκεῖνο μὲν ἀεὶ τῶν ἔξωθεν μόνον παρέχουσιν, οἷον ἀέρος, καὶ πνεύματος, καὶ ἐδάφους, καὶ τροφῆς. ἡ δὲ γεωργία καὶ ἐν αὐτοῖς μετακινεῖ, καὶ μετατίθησιν. ὥστ' εἴπερ ἐκεῖνό γε προσαπαιτεῖ πρὸς τὸ βέλτιον, καὶ ταῦτα προσδέχοιτ' ἄν, ὡς ἂν οἰκεῖα προσαπαιτῇ· οὐδ' αὐτῇ καὶ ζητεῖν εὔλογον, ἄλλως τε καὶ ἐκ τούτων ἠρτημένην, καὶ ἐν τούτοις ἔχουσαν τὰς ἀρχάς. ἐπεὶ κἀκεῖνο τοῖς αὐτομάτοις ἄτοπον συμβαίνει, καὶ ὥσπερ παρὰ φύσιν, τὸ ἐκ τῶν σπερμάτων χεῖρω γίνεσθαι, καὶ ὅλως μὴ ἐξίστασθαι τῶν γενῶν. οὐδὲ γὰρ διὰ τοῦτο κατὰ φύσιν, ἀλλ' εἰς τὸ ὅμοιον ἐκγεννᾶν. αἱ μὲν οὖν ἀπορίαι σχεδὸν αὗταί τε καὶ τοιαῦται.

20 Φαίνεται δὲ καὶ ἐκ τούτων, πρότερον εἶναι δηλονότι διαιρετέον τὰς φύσεις, ὥσπερ καὶ τὰς πέψεις λέγομεν. τοῖς μὲν γὰρ ἡ αὐτόματος ἐστὶν οἰκειοτέρα, τοῖς δ' ἡ ἐκ τῆς θεραπείας καὶ γεωργίας, ἔνια δ' ἀμφοτέρως. ἐξ ὧν καὶ θεωρητέον, ὥσπερ καὶ ἡ φύσις διῄρηται ἡμέροις καὶ ἀγρίοις, ὁμοίως ἐν τοῖς ζώοις καὶ φυτοῖς· ἑκατέροις γὰρ ἐστὶ φῦλα φυσικὰ καὶ οἰκεῖα, καὶ πρὸς σωτηρίαν καὶ πρὸς διαμονὴν καὶ πρὸς αὔξησιν καὶ βλάστησιν, καὶ πρὸς τὴν καρπῶν γένεσιν. ἴσως δὲ καὶ ἐν αὐτοῖς τοῖς καρπίμοις πάλιν ἄν τις διέλοι, τὰ μὲν εἰς τὸ αὐτόματον ἀφιείς, τὰ δ' εἰς ἐπιμέλειαν καὶ κατεργασίαν μόνον. ἀλλὰ γὰρ τούτων μὲν ἐν τοιοῦτος ὁ διορισμός. περὶ δὲ τῆς πέψεως, ὅθεν ὁ λόγος ἐξέβη, πάλιν τὰ ἐπίλοιπα λεκτέον, ὡς ἐπὶ τὸ πᾶν. ὧν μὲν ὁ καρπὸς ὑγρός, καὶ γυμνός, ἢ λεπτὸν ἔχων περὶ αὑτὸν κέλυφος, ταῦτα μὲν πρωϊκαρπα, καθάπερ ἄμπελος, καὶ συκῆ, μάλιστα δὲ συκάμινος· αὕτη μὲν γὰρ γυμνὸν ἔχει τὸν καρπόν, ὥσθ' ὅσον ἂν ὁ ἥλιος ἐπιβῇ, ταχὺ περιαλλοιοῦσι, βραχέας δεόμενος θερμότητος. ἅμα δὲ καὶ ἐν αὐτῷ συνεργάζεται δύναμις ἰσχυρά, καὶ ἀθρόως ἐπιοῦσα, καθάπερ καὶ πρὸς τὴν βλάστησιν. ἡ γὰρ ὀψιότης ἐποίησεν ἀθροισμόν. ὅθεν αἵ τε βλαστήσεις ἀθρόοι, καὶ μετὰ φορᾶς γίνονται νεανικῆς, ὥστε καὶ ψόφον ποιεῖν, καθάπερ τινές φασι· καὶ πέψεις ταχεῖς. παρόμοιον γὰρ τὸ συμβαῖνον, ὥσπερ καὶ τοῖς σίτοις, τοῖς ὑπὸ τῶν χειμώνων κατεχομένοις. ἀναθέντων γὰρ † ἔδι, ταχέας ποιοῦνται τὰς αὐξήσεις, ὥστε μὴ πολὺ καθυστερεῖν, εἰ μὴ κατὰ λόγον τοῖς εὐδιεινοῖς. ἔτι δὲ καὶ ταύτῃ συμβαίνει τὸ μὴ ἀθρόον, ἀλλὰ κατὰ μέρος πεπαίνειν· διὸ καὶ πολὺν διαμένει χρόνον, καὶ ἐπὶ πλεῖον δ' ἡ τύρις ἡ ὑγρότης λεπτὴ καὶ ὑδατώδης.

23 Ἡ μὲν οὖν τῆς συκαμίνου, διὰ τοῦτο πρώϊος. ὡς δὲ Μενέστωρ φησίν, ἡ μὲν βλάστησις αὐτῆς ὀψία, διὰ τὴν ψυχρότητα τοῦ τόπου· ἡ δὲ πέψις ταχεῖα, διὰ τὴν ἀσθένειαν. ἡ δὲ τῆς ἀμπέλου καὶ τῆς συκῆς, ὀψιαίτεροι, ὅτι καὶ τὰ κελύφη περίκειται, καὶ ὑγρότης πλείων, καὶ παχυτέρα. καὶ τὸ μὲν σῦκον, μεῖζον τὸν ὄγκον, καὶ ἀθροωτέρα πρὸς ἡ πέψις αὐτοῦ· οἱ δὲ βότρυες καὶ τὸ πλῆθος πλείους, ὡς πρὸς τὴν δύναμιν καὶ ἐν τούτοις ἀθρόος ὁ καρπός, καὶ οὐ διαλελειμμένος. ἔτι δὲ ὑπόσκιος, καὶ οὐχ ὁμοίως ὑπαίθριος. καὶ ἡ ὑγρότης πολλή· φύσει γὰρ τὸ δένδρον φίλυδρον ἐστιν. ἅπαντα γὰρ τὰ γλυκέα βραδυτέρας ποιεῖ τὰς πεπάνσεις. ἐὰν δὲ δή τις καὶ πρὸς τὰς ἡμετέρας χρείας ποιῇ τὰς ἀφαιρέσεις, ἔτι μᾶλλον. αὐτῶν μὲν οὖν τούτων σχεδὸν ἐν τούτοις αἱ αἰτίαι, τοῦ προτέρου καὶ ὑστέρου. οὐ μὴν καθόλου τῶν δένδρων ἐστὶ τὸ πρώϊον. πολλαὶ γὰρ

μανὸν γὰρ

καὶ τρεφόμενα, καθάπερ οὐδ' ἐπὶ τῶν ζώων· ἀλλ' ἑτέρα τις καθ' ἑαυτὴν πρὸς καρπογονίαν ἰσχὺς καὶ δύναμις. † μόνον γάρ, καὶ εὐδίοδον, καὶ ὑγρὸν εἶναι δεῖ τὸ καρποτοκῆσον. ἡ δὲ πυκνότης ἐναντίον· ὥσπερ καὶ ἐπὶ τῶν γυναικῶν, καὶ ἐπὶ τῶν ἄλλων ζώων. ὃ καὶ ἡ γεωργία βούλεται ποιεῖν, ἀφαιροῦσά τε τὰ περιττά, καὶ τροφὴν παρέχουσα, καὶ εὔδιαλα καὶ εὔπνοα ποιοῦσα. περαίνει μὲν οὖν πλείω καρπόν, διὰ τὸ πρότερον εἰρημένον·

18 ἐνίων δὲ οὐκ ἐκπέττει, διὰ ταύτας τὰς αἰτίας. Ἡ δὲ πέψις ἐστὶν ἐν τῷ περικαρπίῳ· τοῦτο δὲ δεῖ γίνεσθαι, καὶ λαβεῖν χυλὸν ἁρμόττοντα πρὸς τὴν ἡμετέραν φύσιν. ἴσως δὲ αὐτὸ τοῦτο πρότερον δεῖ ἔχειν διελεῖν, ὅτι ἡ πέψις διττή· ἡ μὲν οὖν τοῦ περικαρπίου, ἡ δ' αὐτῶν τῶν καρπῶν. καὶ ἡ μὲν πρὸς τὰς ἡμετέρας τροφάς, ἡ δὲ πρὸς γένεσιν καὶ διαμονὴν τῶν δένδρων. οἱ γὰρ καρποί, καὶ τὰ σπέρματα, τούτων χάριν. ἑκατέρα δέ πως ἐναντιοῦται πρὸς τὴν ἑτέραν· ἅμα γὰρ τὸ περικάρπιον ὑγρότερον καὶ πλεῖον, ὁ καρπὸς ἐλάττων· καὶ ἅμα μείζων οὗτος, καὶ τὸ περικάρπιον ἔλαττον καὶ σκληρότερον καὶ δυσχυλότερον. πρὸς ὃ δὴ καὶ ἡ γεωργία μηχανᾶται, κωλύουσα τὴν τούτων αὔξησιν καὶ τροφήν. ἅπαν γάρ, ὡς εἰπεῖν, καὶ ἥμερον ἀγρίου, καὶ γεωργούμενον ἀγεωργήτου, καὶ κάλλιον εἰργασμένον τοῦ χείρονος, μικροπυρηνότερον αὖ, ὑγραινόμενόν τε μᾶλλον, καὶ τὴν τροφὴν περιασπῶν εἰς τὸ περικάρπιον. ἔτι δὲ τοὺς χυλοὺς ἐκπεπαίνον, εἰς συμμετρίαν τῆς ἡμετέρας χρείας. αἱ μὲν οὖν πέψεις τοσοῦτον διεστᾶσιν, ὥσπερ χρὴ καὶ τὴν μὴ εἰωθυῖαν πέψιν λέγειν. τάχα δ' ἄν τις ἀπορήσειεν ἐκεῖνο, καὶ ἀξιώσειεν, εἰ τὰ ἰσχυρότερα κατακρατεῖ, τοῦτο καὶ τὰ ἀσθενέστερα κατακρατεῖν· τὸ δὲ σπέρμα πάντων ἰσχυρότατον· κοινὸν γὰρ τέλος πάντων τῶν φυτῶν ἐστιν. ἐπείπερ ἡ τοῦ ὁμοίου γένεσις, τέλος, ἅμα δὲ καὶ ἐν τοῖς ζώοις, δοκεῖ τελειουμένης ἐπιγίνεσθαι τῆς φύσεως. ὅταν δ' ἐλλείπῃ διὰ τὴν ἡλικίαν, ἢ παρακμάσῃ διὰ τὸ γῆρας, ἐξαδυνατεῖ τὸ γεννᾶν. οὐκ ἀλόγως δ' ἂν οὔτε ἀπορήσειεν, οὔτε ἀξιώσειεν. ἐν τελειότητι μὲν γάρ ἐστι τὸ σπερμοφυεῖν, καὶ τῶν ζώων, ὡς ἂν ἡλικίαν λάβοι τις ἄν. οὐ μήν γε ὅτι τὰ ἰσχυρότατα σπερματικώτατα, ἀλλὰ σχεδὸν ἐναντίως, ἑτέρωθεν μεριζομένης τῆς τροφῆς καὶ δυνάμεως. ὃ δὴ καὶ ἐπὶ τῶν φυτῶν σημαίνει τὸν λόγον συμβαῖνον, ὥστε δὲ καὶ τὴν ἀναλογίαν λαμβάνειν· ὡς ὁπότερον ἂν τούτων ὁρμήσῃ, θάτερον ἐλλιπέστερον ἐστι. διαρκεῖν γὰρ οὐ δύναται πρὸς ἄμφω. τοῦτο γὰρ σχεδὸν ἐν ἅπασιν ὁμολογούμενον. ἐν δὲ τοῖς φυτοῖς τρεῖς τινές εἰσιν οἱ μερισμοὶ πρὸς αὐτὸ τὸ δένδρον, καὶ τὴν βλάστησιν· ὅπερ ἐναντίον τοῖς καρποῖς, ἐὰν πλεῖον γένηται τοῦ ξυμμέτρου· διὰ τοῦτο γὰρ ἀκαρπία. καὶ πάλιν ἐν ἑαυτῷ, καὶ τοῖς περικαρπίοις· ἡ γὰρ εἰς τὸ ἕτερον ὁρμή, κωλύει τὴν ἑτέραν. ὥσπερ οὖν ἐπ' ἐκείνων οὐκ ἄλογον, οὐδ' ἐπὶ τούτων· ἀλλ' ἔχει τὸ ἀνάλογον. τὰ γὰρ ἄγρια καὶ εἰς τὴν τροφήν, καὶ εἰς αὐτὴν ὑγρότητα ἄγοντα, παρὰ τρία τι τῶν περικαρπίων, ὥστε μείζω γίνεσθαι τὸν καρπόν. τάχα δ' οὐδ' ἂν τοι δόξειεν ὅλως ἄτοπον εἶναι, τὸ μᾶλλον ἐφικνεῖσθαι τὰ ἄγρια τῶν σπερμάτων, ὥσπερ ὄντα πυκνότερά τε καὶ ξηρότερα τῇ φύσει. διαθηλύνουσι γὰρ αἱ κατεργασίαι, καὶ αἱ τροφαί. τοῦτο μὲν οὖν ὡς καθ' ὁμοιότητά τινα λεγέσθω, πορρωτέρω κείμενον. τῶν δὲ πεπάνσεων, εἰς μὲν τὴν γένεσιν αὕτη κυριωτέρα. πρὸς δὲ τὴν ἡμετέραν χρείαν, ἡ τῶν περικαρπίων. ἐν ποτέρᾳ δὲ δεῖ θέσθαι τὸ τελεώτερον, ἄλλος λόγος. ἐπεί τοι γε καὶ ἐν τοῖς φύλλοις μόνον χρώμεθα, καὶ ἐν ταῖς ῥίζαις, ὥσπερ τῶν λαχάνων αὕτη κυριωτέρα πέψις ἐστί· καίτοι

ἄρρενα

19 γε τοῦτο τέλος ἐν τοῖς σπέρμασιν, οἷς ἡμεῖς οὐδὲν χρώμεθα πρὸς τὴν τροφήν. Ἔστι δ' ἴσως καὶ οὗτος ὁ λόγος, ὡς διὰ τὴν ψυχρότητα τῶν ἀγρίων οὐ δυναμένων πέττειν. τοῦτο δὲ πυρῆνας ἐκ τῆς ξυλώδους καὶ περιττωματικῆς γίνεσθαι τροφῆς, ὥσπερ τὰ ἐν τοῖς ζώοις. αὐτὸ μὲν τοῦτ' ἴσως οὐ κακῶς, εἰ ὁ πυρὴν ἐκ τοῦ γεώδους καὶ ξυλώδους. ἀλλὰ τὸ σπέρμα οὐκ ἔθ' ὁμοίως, ἀλλ' ἐκ γῆς καθαρωτάτης, ὥσπερ ἐν τούτοις. πέφυκε δὲ τὰ θερμὰ μάλιστα σπερμοφυεῖν, εἰ θερμότερα ἂν εἴη. καὶ τότε τῆς τῶν ἡμέρων θερμότητος ἐκεῖνο φέρεται σημεῖον, ἡ τῶν ὀπῶν δύναμις. ὁ μὲν γὰρ τῆς συκῆς, τὸ γάλα πήγνυσιν· ὁ δὲ τοῦ ἐρινεοῦ, οὐ πήγνυσιν, ἢ κακῶς. πρὸς αὐτὸ δὲ τοῦτο πάλιν ἀντίκειταί τις ἑτέρα καθόλου πίστις, ὑπὲρ τῆς θερμότητος· ὅτι τὰ ἄγρια μᾶλλον ἐν τοῖς ψυχροῖς δύνανται διαμένειν. καὶ ὅλως δὲ διὰ θερμότητα ἡ ἰσχύς. ἀλλ' ὑπὲρ μὲν τούτων τάχα ἂν ὕστερον εἴη λεκτέον· πλείων γὰρ ὁ λόγος, καὶ ἔχων τινὰ ἀπορίαν, ποῖα θερμὰ καὶ ψυχρά, καὶ τοῖς ποίοις διοριστέον· καὶ πρὸς ἔτι τῶν πίων τὸ αἴτιον, ὅτι μόνον, ὅτι μηδ'

διαυξεῖ τῇ φύσει· πλὴν εἴ τι διὰ ξηρότητα κωλύεται, καθάπερ ἡ ἀμυγδαλῆ· καὶ εἴ τινων ὑπόγειος ἡ ἀφαίρεσις τῶν καρπῶν, πρὸς τὴν τῆς ὥρας ἐπιβλάστησιν. ἐὰν οὖν μακρὸν γίνηται τὸ μετόπωρον, οὐκ ἄλογον καὶ ῥόδα γίνεσθαι, καὶ ἄλλ' ἄττα τῶν τοιούτων, ὥσπερ καὶ περὶ Δῖον φασὶ τῆς Μακεδονίας· οὐκ ἰσχυρῶς γε διόμενα τοῦ ψύχους, χρόνον δὲ λαβόντα ἱκανόν, ἐξέφηνε τὸ ἄνθος. ὅλως δέ, ὃ πλεονάκις εἴρηται, μαλακοῦ καὶ ὑγροῦ τοῦ ἀέρος, καὶ τὸ σύνολον εὐκράτου, ἀεὶ δυνατὸν βλαστάνειν, οὐ πάντα, ἀλλ' ἔνια τῶν δένδρων· τὰ δ' ἐλάττω τούτων, ἔτι μᾶλλον. ὃ καὶ νῦν ἐπί τινων στεφανωμάτων συμβαίνει, τόπους ἐχόντων εὐσκεπεῖς καὶ προσηλίους. διατελεῖ γὰρ ἀνθοῦντα δοκεῖ καὶ ἡ οἰνάνθη, καὶ τὸ ἴον τὸ μέλαν, καὶ ἄλλ' ἄττα. θεραπείας δέ τινος προσγενομένης, ἔτι μᾶλλον. ὅτι δὲ μεγάλην ῥοπὴν ὁ τόπος παρέχεται, πρόσηλος ὢν καὶ εὐσκεπής, καὶ αὐτὰ τὰ δένδρα μαρτυρεῖ. φύεται γὰρ ἐν τούτοις ἔνια, περὶ τὴν ἄλλην χώραν οὐ φυόμενα· καὶ καρποφορεῖ, τῶν ἄλλων οὐ φερόντων· καὶ προανθεῖ, καὶ προβλαστάνει πρότερον τῶν λοιπῶν. ὑπὲρ μὲν οὖν τούτων, ἱκανῶς εἰρήσθω.

16 Τὸ δ' ἐπὶ τῶν διαφερόντων δένδρων, ὅμοιόν τινα τρόπον δεῖ τῷ ἐπὶ τῶν προβάτων γινομένων. ἐκεῖνα γὰρ ἀποκυήσαντα, καὶ ἀπογονοῦντα, πάλιν ὁρμᾷ πρὸς κύησιν, ἐκποιούσης ἔτι τῆς ὥρας. καὶ τὰ δένδρα, παραιρεθέντων τῶν πρώτων καρπῶν, γονεύει πάλιν ἑτέρους. δεῖται δ' ἴσως χώρας τε εὐτρόφου τὰ τοιαῦτα, τοῦ τε θεραπείας πλείονος ἢ ἀμφοῖν· καὶ μάλισθ' ὡς εἰπεῖν, τῆς τοῦ ἀέρος κράσεως, ὅπως λάβῃ τὸν χρόνον ἱκανὸν εἰς τὴν κύησιν. διὰ τοῦτο γὰρ οὐδ' ἐάν τις ἀφέλῃ τὸν καρπὸν ἢ ἄνθος, δύναται πάλιν ἕτερα γεννᾶν, διὰ τὸ μὴ λαμβάνειν τὸν τῆς κυήσεως χρόνον. οὐ γὰρ οἷόν τε ἄνευ τῆς κυήσεως γεννᾶν, ἐξαναλωμένου τοῦ προϋπάρχοντος. ἅμα δὲ ὥσπερ πηροῦσθαι συμβαίνει τὴν ἀρχὴν διὰ τὴν ἕλκωσιν, ὥστε μὴ βλαστάνειν ἐᾷ τοῦτο καινῶς ἄλλως γινομένης οὐκ ἐκποιεῖ τῆς ὥρας. τούτων μὲν οὖν οὕτως ταύτας ὑποληπτέον τὰς αἰτίας. αἱ δ' ἀνθήσεις τῶν καρπῶν οὐ περὶ τὰς βλαστήσεις γίνονται. βλαστάνει γὰρ τά γε πολλὰ σύνεγγυς αὐτοῖς, περὶ μίαν (ὡς εἰπεῖν) ὥραν. τὸ δὲ πεπαίνειν τοὺς καρποὺς πολλοῖς χρόνοις ὕστερον, ἐκείνην τὴν αἰτίαν ὑποληπτέον, ὅτι τῶν μὲν φύλλων καὶ βλαστῶν εὐκινητότερα, καὶ ῥᾷον ἂν σωματικωτέραν ἔχοντα, καὶ περιττωματικὴν τὴν ὕλην· οἱ δὲ καρποὶ καθαρωτέραν, καὶ μάλιστα διὰ τοὺς χυλοὺς αὐτούς. αὕτη δ' ἡ τῶν καρπῶν πέπανσις, εἰς ἣν πλείονος δεῖται κατεργασίας. ἔτι δὲ μεγάλας εὐθὺς διαφορὰς ἔχουσιν οἱ καρποί, τῷ ξυλώδεις, ἢ γεώδεις, ἢ ξηροί, ἢ λιπαροὶ τὴν φύσιν εἶναι· δυσκατεργαστότεροι γὰρ οἱ τοιοῦτοι. διὸ καὶ προανθοῦντα ἔνια, τὸν καρπὸν ἔχειν πολὺν χρόνον, ὥσπερ ἀμυγδαλῆ· δυσπεπαντότατος γὰρ ὁ ξυλώδης. τὸ δ' ἄνθος ἀνθεῖ, διὰ τὴν προτέραν λεχθεῖσαν αἰτίαν. ὑπερβάλλοντα δὲ ταῦτα συμμετρίαν τινὰ ἔχει, καὶ τάξιν. ἀλλὰ καὶ αὐτῶν τῶν ἀνθῶν, ὅσα μετὰ τῶν σωματικῶν ὄγκων, ὀψιαίτερον γίνεται, καθάπερ τὸ τῆς ῥόας. ἐν γὰρ τῷ κυτίνῳ τὸ ἄνθος.

17 Τὰ δ' ἀργὰ τῶν εἰργασμένων πρωϊβλαστότερα, καθάπερ ἄμπελος, μηλέα, ἐλαία, συκῆ, τὰ δ' ἄλλα, διὰ τὸ κατέχειν ἔνια τὴν θερμότητα μᾶλλον, μὴ ἀνασκαπτομένης τῆς γῆς, μηδὲ γυμνουμένων τῶν ῥιζῶν· αὕτη γὰρ ἡ κινοῦσα. καὶ διὰ τὸ μηδεμίαν ἐν τοῖς ἄνω γίνεσθαι πληγήν, κλωμένων ἢ καρπολογουμένων· ἀφελκόμενα γάρ, πόνον τε παρέχει, καὶ καταψύχει, καὶ εἰς ὀλίγον συστέλλει. τοῖς δὲ πολλοῖς διαδίδοται καὶ τὰ μικρά· διὸ ταύταις ταῖς ὥραις ὑπακούει. καὶ ἔτι δὲ καὶ μάλισθ' ὡς εἰπεῖν, διὰ τὸ ἀβλαστοῦν ὄντων καὶ ἀκαθάρτων ἐν πολλοῖς εἶναι, καὶ τὰ μικρὰ τὰς μονίμους ἀρχάς. ὧν ἕκαστον διὰ τὴν ὀλιγότητα δεῖται μικρᾶς κινήσεως, καὶ εὐθὺς ποιεῖται τὰς ἐκβλαστήσεις. ὃ καὶ ἐπὶ τῶν ἀπίων ξυμβαίνει. καὶ γὰρ ἐκεῖνα εὐβλαστότερα τῶν ἡμέρων ἐστί, διὰ τὰς αὐτὰς αἰτίας, εἰς πλείω γὰρ καὶ περὶ μικρὰ μεμερισμένων τῶν ἀρχῶν, εὐκίνητα γίνεται τῷ περιέχοντι πρὸς βλάστησιν. ἔτι δὲ καὶ ἡ ξηρότης συμβάλλεται· καὶ γὰρ διὰ τοῦτ' ἐλάττων ἡ ὑγρότης. τὸ δὲ ἔλαττον, εὐκινητότερον. κάλλιον μὲν οὖν καὶ ἀθροωτέρα τῶν εἰργασμένων ἡ βλάστησις, καὶ ἡ καρπογονία· προτέρα δέ, ἐκείνων. ἐκ δὲ τοῦτ' αὖθις ἀπορήσειε. διατί τὰ ἄγρια τῶν ἡμέρων ἰσχυρότερα ὄντα, τοὺς καρποὺς οὐ πεπαίνει; περὶ γὰρ τὰς δυνάμεις ἰσχὺν καὶ τὰς πέψεις εἶναι. μία μὲν δή τις αἰτία, τὸ πλῆθος τῶν καρπῶν. οὐ γὰρ τοσοῦτον ὑπερισχύουσι τῷ ἰσχύειν, ὅσον πλείω τοῦ συμμέτρου τὸν καρπὸν ἔχουσιν. ἅμα δὲ πλῆθος πολύ, καὶ οὐκέτι γίνεται πέψις. διὸ καὶ οἱ γεωργοὶ παραιροῦσιν, ὅταν ὦσι πλείω. ἑτέρα δ' ὅτι πυκνότερα καὶ ξηρότερα, καὶ εἰς ἑαυτὰ μᾶλλον ἕλκοντα τὸ ὑγρόν. ἡ δὲ τροφὴ καὶ ἡ πέψις, ἐν δεούσῃ τινὶ ὑγρότητι, ἣν οὐ ῥᾴδιον ἄν τις ἀπομεμερισμένην λαμβάνειν. ἁπλῶς δ' οὖν τὰ ἰσχυρότερα

τοῦθ' οἷον περιόδους τισὶ χρόνοις ὡρισμένους, καθάπερ τοῖς ζώοις· ἢ διὰ τὴν ἔνδειαν τῆς τροφῆς συμβαίνει, καὶ διὰ τὴν ψυχρότητα τοῦ ἀέρος. εἰ γὰρ ἐν τοῖς εὐδιεινοῖς καὶ μαλακοῖς ἀεὶ βλαστάνουσιν, οὐκ ἂν ἦν τεταγμένη ἐν τοῖς χρόνοις ἡ κίνησις. εἰ δὲ μὴ, οὔτι γε ταύταις ταῖς ὥραις· ὡς ὅλον ἅμα βλαστάνειν πάλιν, καὶ ἔτι τὸ ὀργῶν ἀποτίκτειν. ἔτι καὶ συνεχὴς ὁ ἀὴρ ἀπολαύοι τούτοις, ἴσως οὐδὲ τὰ παρὰ τῶν ποιητῶν λεγόμενα, δόξειεν ἀναλόγως ἔχειν, οὐδ' ὡς Ἐμπεδοκλῆς, ἀείφυλλα καὶ ἐμπεδόκαρπα φησι θάλλειν,

» Καρπῶν ἀφθονίῃσι κατ' ἠέρα πάντ' ἐνιαυτόν.

ὑποθέμενος τινὰ τοῦ ἀέρος κρᾶσιν τὴν ἐαρινὴν κοινήν. ἐκεῖνο δ' ἂν τις ἴσως ἐν τούτοις ἀπορήσειε, πότερα καὶ αἱ πέψεις ὅμοιαι τῶν καρπῶν, ἢ ἐνδεέστεραι γίνονται, ἅτε ἐνδεεστέρου ὄντος τοῦ θερμοῦ, καὶ τῆς ὥρας ὑγροτέρας. τοῦτο μὲν οὖν ὡς καθ' ὑπόθεσιν θεωρείσθω. ἐν δὲ τῇ νῦν περιόδῳ τῶν ὡρῶν, ἔοικε τὰ δένδρα κενωθέντα τοῦ θέρους, ἐκ τῆς βλαστήσεως καὶ τῆς καρπογονίας ἀντιπληροῦσθαι πάλιν, εἶτ' ἐκ ταύτης τῆς ἀντιπεριστάσεως ἀποτίκτειν καὶ βλαστάνειν, καὶ οὐ ἐκτεταμένους καιροὺς ἔχοντα τοὺς πρὸς τὴν κίνησιν, καὶ ἐν τοῖς μέρεσι καὶ ἐν τοῖς ὅλοις. εὐλόγως δὲ καὶ αἱ φυτεῖαι, καὶ αἱ παραβλαστήσεις γίγνονται κατὰ πλείους ὥρας. δοκοῦσι δ' ἐναντίαι πως εἶναι, μετόπωρόν τε καὶ ἔαρ καὶ κυνὸς ἐπιτολή. εἰ γὰρ παραβλαστήσεις βραχεῖαι, ἀλλὰ μετ' ἀρκτοῦρον παραβλαστάνει πλεῖον, καὶ ὑπὸ κύνα. τὸ μὲν οὖν ἔαρ οὐδὲ θαυμαστόν· γονιμωτάτη γὰρ ἡ ὥρα, καὶ μάλιστα γόνιμος, ὑγρά τε οὖσα καὶ θερμή. τὸ δὲ θέρος ὥσπερ ἐναντίον· ξηρά τε γὰρ, καὶ ἐμπυροτάτη, καὶ μάλιστα ὑπὸ τὸ ἄστρον. ἔτι δὲ τὸ μετόπωρον οὐ μόνον ξηρὸν, ἀλλὰ καὶ ψυχρὸν, ὥστε μεταβάλλειν παραλαμβανούσης τῆς ὥρας. ἐναντιωτάτη δὲ βλαστήσει ψυχρότης καὶ ξηρότης· ἀλογία μὲν γὰρ δή τις φαίνεται διὰ τοῦτο· οὐ μὴν ὅτι πρὸς τὰς βλαστήσεις ἐναντία ταῦτα εἶναι, ὅτι αὖ ἀσύμφωνα κατὰ τὰς δυνάμεις, ἀλλ' ἔχοντά τινα ὁμοιότητα. δεῖ γὰρ δὴ τὴν ὥραν ὑγρότητά τινα καὶ θερμότητα ἔχειν, ὥσπερ καὶ τὸ ἔαρ. αὕτη μὲν ὁμολογουμένη μάλιστα πρὸς

15 βλάστησιν. Ἐν ἀμφοῖν δὲ τοῦτο συμβαίνει, καὶ ἐν τῇ τοῦ κυνὸς ἐπιτολῇ † μετ' ἀρκτοῦρον. ὑπὸ γὰρ αὐτὸ τὸ ἄστρον, καὶ περὶ ὄντος ἐμπύρου τοῦ ἀέρος, ὅμως καὶ νότια πνεῖ, καὶ νέφη συνίσταται, καὶ αὐτὰ τὰ δένδρα διυγραίνεται φανερῶς, καὶ ὑπὸ τοῦ φλοιοῦ αὐτῶν διαδίδοται τις ὑγρότης· ὅθεν καὶ ῥέαι κατὰ τοῦτον τὸν καιρὸν, εἴτ' οὖν συγκλειομένου τοῦ ὑγροῦ, καὶ ἀντιπεριστάσεως γινομένης, εἴτε δι' ἄλλην αἰτίαν, πλὴν συμβαίνει γε τοῦτο καὶ τοῖς ἀνθρώποις· διὸ καὶ κοιλίαι μάλιστα λύονται, καὶ πυρετοὶ πολλοὶ γίνονται καθυγραινομένων τῶν σωμάτων. δοκεῖ δὲ καὶ ἡ γῆ τότε καθυγραίνεσθαι μᾶλλον· ὅθεν καὶ ὑδάτων ἀναδύσεις, καὶ ἕτεραι μεταβολαὶ γίνονται πλείους. ἀλλὰ δι' ἣν μὲν αἰτίαν ἕκαστα συμβαίνει τούτων, ἕτερος λόγος. ὅτι δὲ συνυγραινομένων τῶν φυτῶν, καὶ τοῦ ἔξωθεν ἀέρος οὐκ ἀντιπίπτοντος, αἱ παραβλαστήσεις οὐκ ἄλογοι, φανερὸν ἐκ τῶν εἰρημένων. τὸ δὲ μετόπωρον, οὐχ ὥσπερ ἐλέχθη, ξηρὸν καὶ ψυχρὸν ἐστιν, ἀλλὰ μᾶλλον θερμόν. ἅμα δὲ ἐν τῇ τοῦ ἄστρου μεταβολῇ, ἐν τῷ ἀέρι γίνεται. διὸ καὶ ὥσπερ μίξιν τινὰ συμβαίνει γίνεσθαι τοῦ ὑγροῦ καὶ θερμοῦ, καθάπερ καὶ ἐν τῷ ἦρι προσγίνεται τὸ θερμὸν ἐκ τῆς ὥρας. ἐνταῦθα δὲ τοῦ θερμοῦ προϋπάρχοντος, ὑγρότης ἐπιγίνεται διὰ τὴν πύκνωσιν καὶ κατάψυξιν τοῦ ἀέρος. εὐλόγως δὲ καὶ τὰ μὴ κάρπιμα, καὶ ὅλως τὰ νέα, τῶν πρεσβυτέρων παραβλαστικώτερα· καὶ τὰ ἐν ταῖς ὑγραῖς καὶ χειμερίοις ὥραις. τὰ μὲν γὰρ κάρπιμα καὶ πρεσβύτερα, ξηρότερα, τὰ μὲν εἰς τοὺς καρποὺς κατηναλωκότα, τὰ δὲ καὶ τῇ φύσει τοιαῦτα. τὰ δὲ ἄκαρπα καὶ νέα, καὶ ὑγρότητα ἔχει, καὶ θερμότητα πλείω. πάλιν δὲ, ὅπου μὲν οἱ τόποι χειμέριοι καὶ ὑγροὶ τυγχάνουσι, καὶ ὁ ἀὴρ ἐπίπνους, ἐνταῦθα καὶ τὰ μετοπωρινὰ γίνεται μακρὰ καὶ ὑγρὰ καὶ καλά. πολλάκις δὲ καὶ ὕδατα θερινὰ κατάγει τὰς πλείστας. ὑπὸ ὑγροῦ τοῦ ἀέρος ὄντος, ἐπιγινομένου ἑτέρου, εὐβλαστότερα γίνεται καὶ εὐαυξῆ μᾶλλον. ἐπεὶ καὶ τὰ δοκοῦντα διακαρπεῖν, μηλέων τέ τινα καὶ ἀπίων, ἐν τούτοις μάλιστα γίνεται τοῖς τόποις, ἅτε περιεμπιπτούσης ἐπὶ πολὺ τῆς ὥρας, καὶ ταχὺ τῶν προτέρων ἀφαιρουμένων· ἃ καὶ προαποκαρποῦντα, ὅμως διαφέρει. θᾶττον γὰρ πάλιν ἀναπληροῦνται. διὸ καὶ χρῶνταί τινες αὐτῷ τῷ πρὸς τὴν ἀγορὰν βλεπόντων, καὶ κνίζονταί τινες αὐτῶν τῶν πρὸς τὴν ὥραν βλεπόντων. οὐ μὴν ἀλλ' οὐδέν γε, ὡς εἰπεῖν, τῶν διακαρπούντων ὅμοιον γίνεται τοῖς ἐξ ἀρχῆς· ἀλλ' ὡς ὁρμὴν μόνον τοῦ φυτοῦ λαμβάνοντος, οὐ συνεκτελέσαντος τοῦ ἡλίου καὶ τοῦ ἀέρος· καὶ ἐφ' ἑτέρων ἔτι μᾶλλον συμβαίνει. προφαίνει γὰρ καρπὸν καὶ ἡ ῥόα, καὶ ἡ μύρρινος, ἀλλὰ μέχρι τοῦ προδεῖξαι μόνον· ἔστι καὶ βλαστικώτατα. βλαστικώτατα δ' οὖν, ὡς εἰπεῖν, τὰ μάλιστα

εὐαυξῆ

γος, ὅτι τὰ μὲν ἄνω κωλύεται διὰ τὸν περιέχοντα ἀέρα ψυχρὸν ὄντα. τὰ δὲ κάτω στεγαζόμενα τῇ γῇ, καὶ ἅμα συγκατακλειόμενα ὑπὸ τοῦ θερμοῦ διὰ τὴν ἀντιπερίστασιν, ἔτι τε ὑγρότητα καὶ τροφὴν προσαύξεται. πάντα γὰρ αὐτοῖς ὑπάρχει, δι' ὧν ἡ αὔξησις καὶ ἡ γένεσις. σημεῖον δὲ, καὶ τὸ ἐπὶ τοῦ σίτου συμβαῖνον· ὃς ὑπὸ τοῦ χειμῶνος πιλούμενος, ῥιζοῦται μᾶλλον, ὃ δὴ καρποῦσθαι λέγουσιν, ὡς τῆς ἄνω δύναμιν καὶ τροφὴν εἰς τὰ κάτω τρεπομένην. ταῦτα μὲν οὖν δόξειεν ἂν μερίζεσθαι τὸ τῆς αὐξήσεως. τὸ δ' ἔτι πάλιν, οὐκ ἂν δόξειεν. ἐν τε γὰρ τῇ πρώτῃ γενέσει πρότερον μὲν ἡ ῥίζα τῶν βλαστῶν· οὐ μὴν τοσοῦτον, ὥστε χρόνου γίνεσθαι πλῆθος· ἀλλὰ βραχύτατον πάντων, ὥσπερ καὶ ἐπὶ τῶν ζώων ἡ καρδία, καὶ τὰ περὶ καρδίαν. ἁπλῶς γὰρ, ὡς εἰπεῖν, ἡ φύσις οὐδὲν, καθάπερ ἡ τέχνη ποιεῖ κατὰ μέρος, ἀλλὰ πάντ' ἀθρόα καταβάλλεται. συντελεῖ δὲ ἕτερον ἑτέρου πρότερον. εἰ δὲ καὶ ἐν τῇ πρώτῃ γενέσει τοῦτ' ἐπί τινων ἀναγκαῖόν ἐστιν, ἀλλ' ὅτε γε ἐν τῇ τροφῇ καὶ αὐξήσει, τὰ μὲν πρότερον τρέφεσθαι, τὰ δ' ὕστερον, ὥσπερ οὐδ' ἐπὶ τῶν ζώων· ἀλλ' ἅμα πῶς μάλιστα πάντων, καὶ ὅλος ὄγκος ὥστε κατὰ συνέχειαν καὶ τρέφεται, καὶ ἐπιδίδωσιν. ὃ καὶ κατὰ τὴν αὔξησιν ἐστὶ φανερόν. ἐπεὶ καὶ ἄτοπον ἐστι τὸ θερμαντικὸν, ὃ δὴ διαπλάττει καὶ δίδωσι τροφὰς, διαιρεῖται δὲ κατὰ μέρη τῆς ἐνεργείας· ἢ πάλιν ἐπὶ τοῦ σωματικοῦ τὸ ἐνεργοῦν, οἷον πνεῦμα, ἢ πῦρ. οὐδὲ γὰρ ταῦτα εἰκός· ἀλλ' ὅταν ἅμα ταῖς ὥραις κινηθῶσιν, ὁμοίως δι' ὅλου διάκειν τῶν φυτῶν. ἓν γάρ τι τὸ γεννῶν, οὐχ ὥσπερ Ἐμπεδοκλῆς διαιρεῖ καὶ μερίζει, τὴν μὲν γῆν εἰς τὰς ῥίζας, τὸν δ' αἰθέρα εἰς τοὺς βλαστοὺς, ὡς ἑκάτερον ἑκατέρου χωριζόμενον, ἀλλ' ἐκ μιᾶς ὕλης, καὶ ὑφ' ἑνὸς αἰτίου γεννῶντος. εἰς ἡ τοῦ ὅλου σύστασις μικρὰ, εἴπερ ἐλάμβανε πρὸς ἕξιν, καὶ κατὰ τὰς τροφὰς, καὶ κατὰ τὰς αὐξήσεις. ὥστε δι' ὅλας χώρας χωρίζειν, μέγα κομιδῇ τὸ διάστημα τῶν χρόνων. ἡ δ' ὑπὸ τοῦ ψύχους κώλυσις τῆς βλαστήσεως, ἀληθὴς μὲν, οὐκ ἔτι δὲ ποιεῖ μερισμὸν φυσικὸν, ἀλλ' ὥσπερ εἰ συμβαίνοντι πρὸς αὐξούσας τὰς ῥίζας, ὃ καὶ καθεστώσης ἐνίοτε γίγνεσθαι τῆς ὥρας, ὅταν εὔδιος ὁ χειμών. ἡ μὲν γὰρ βλάστησις κατέχεται. τὸ δὲ τῶν ῥιζῶν, οὐ κωλύεται διὰ τὴν ἀλέαν. ὅταν δ' ἤδη προωρμημέναι τύχωσιν, εἰς ἔκφυσιν καὶ αὔξησιν ἔρχονται. ἀλλὰ τοῦτο † οὐ τῆς φύσεως θετέον, ὃ διακωλύειν ποτὲ συμβαίνει τὸ τῶν ἐκτός· ἀλλ' ὅσα τῇ ὁρμῇ γίνεται τὰ αὐτά. ὡραίου δὲ χειμῶνος καὶ εὐδιεινοῦ γινομένου, ἅμα τά, τε ἄνω καὶ τὰ κάτω λαμβάνει τὰς αὐξήσεις. ἐπεὶ ὅπου ἀὴρ εὔβλαστος καὶ μαλακὸς, βραχύν τινα χρόνον (ὥσπερ εἴρηται) διαλείπουσιν αἱ βλαστήσεις, οὐ μειζομένων τῶν χρόνων. τοὺς δὲ χειμῶνας οὐ μόνον τὰς βλαστήσεις † καὶ τὰς ῥίζας εὔλογον κατέχειν, εἴπερ ἀρχὴ τοῦ ἡλίου θερμότητος καὶ αἱ τούτων αὐξήσεις καὶ γενέσεις. οὐκ εἰς πλεῖον καταλαμβάνουσαι βάθος, οὗ ὁ ἥλιος ἐξικνεῖται· πλὴν εἰ ποῦ τόπος εὐδιεινὸς ᾖ, καὶ μανὸς, καὶ κενός. μὴ γὰρ τούτου συμβαίνοντος, ἀπορήσειεν ἄν τις εὐλόγως, διά τι † ποτ' οὖν αὐξανόνται τοῦ χειμῶνος, τροφήν τε λαμβάνοντα, καὶ ἀπειργόντος τοῦ ψύχους. τάχα δὲ καὶ τοῦτο κοινὸν ἀπόρημα καὶ ἐπὶ τῶν ἄλλων μερῶν. ἅπαν μὲν γὰρ ζῶον τρέφεται· τὸ δ' ἐν ὁρμῇ τῆς αὐξήσεως ὂν, οὐκ αὔξεται. τὰ δὲ φυτὰ πανταχῇ, καὶ τὰ νέα, καὶ τὰ παλαιὰ, προορμᾷ πρὸς αὔξησιν. εἰ μὴ ἄρα συμβαίνει, τότε μὲν αὐξάνεσθαι τοὺς ὅλους ὄγκους, ἅμα δὲ τῇ ὥρᾳ διαγλαύσῃ τὰς ἐκβλαστήσεις γίνεσθαι. τοῦτο δὲ οἷον γένεσίς τις ἐστι. διὸ καὶ οὐκ ἄλογον, ἐπ' αὐτοῖς ὥσπερ κύοντα κατέχειν· ἢ συναθροίζοντα καὶ λαμβάνοντα πρὸς τὴν κύησιν, ἐν εἰς ὄγκος γίνεται καὶ αὔξησις, εἶθ' ἅμα ταῖς ὥραις ἀποτίκτουσιν. ἔχουσι γὰρ δὴ τινες οἱ κλάδοι, καὶ οἱ ἀκρέμονες, ἐν ἑαυτοῖς ἀρχὰς ζωτικὰς, αἳ διαθερμαινόμεναι τῇ ὥρᾳ, προΐενται τοὺς βλαστοὺς, καὶ μὴ ῥιζουμένου τοῦ κάτω. τοῦτο δὲ μάλιστα φανερὸν ἐν τοῖς ἀφαιρουμένοις φυτοῖς τῶν ἀμπέλων τε καὶ ἑτέρων, καὶ συντεθειμένοις ἐν πίθοις. προβλαστάνουσι γὰρ οἱ βλαστοὶ τῆς ὥρας καθηκούσης. ὅτι δὲ καὶ τὰ πηγνύμενα κλήματα, καὶ κράδαι, καὶ χάρακες, ἐξ ὧν ἄνωθεν ἐβλάστησαν, ὅσον εἰς ἀρχήν· κάτωθεν δὲ οὐκ ἐρρίζωσαν, ὡς ἔχοντα μὲν ἐν ἑαυτοῖς ἤδη τὰς ἀρχὰς καὶ τὰς δυνάμεις, τροφῆς δὲ δεόμενα κατὰ τὸν τόπον· ὡς μὴ γινομένης, καταξηραίνεται. διὸ καὶ οὐκ ἐοίκασι καλῶς λέγειν, οἱ φάσκοντες εὐθὺς αὐξεῖν τοὺς νέους καρποὺς, ἐπὶ τῶν ἑτέρων ἑπόντων. τοῦτο γὰρ δῆλον, οὐ δυνάμεις λέγουσιν. ὡς μὲν οὖν αὐξήσεις οὐκ αὖ ἀμφοτέρως συμβαίνει. οὐ μὴν ἀλλὰ, διὰ ταῦτά γε μᾶλλον ἄν τις ὅλων τῶν δένδρων μειζομένας ὑπολαμβάνοι γίνεσθαι.

14 Ζητήσειε δ' ἄν τις ἐκ τῶν μικρῷ πρότερον εἰρημένων, πότερον τὰ δένδρα κατὰ χειμῶνα κύει πρὸς καρπογονίαν, τοῦ δ' ἦρος ἀποτίκτει· καὶ

χὰς, οὐδ' ἴσως εἰς τὸν αὐτὸν τόπον, οὐδ' ἅμα κινίσκεται. * εἰ μὴ καθάπερ ἅμα καταλάβοι. τὸ δὲ, διά τι ἡ βλάστησις, οὐχ ἅμα, οὐ ῥᾴδιον εἰπεῖν. ἀνάγκη γὰρ διὰ τὸ τὰς ῥίζας μηδ' ἀμφὶ μὴ δὲ ὁμοίως ἔχειν, ἢ τοὺς ἀκρέμονας, μὴ δέχεσθαι, μὴ δὲ ἐκπέττειν ἐξ ὧν ἡ πρώτη βλάστησις. *ἀμαυρουμένης* τοῦτο δὲ διά τι, καὶ τίνος ἕνεκα γένοιτ' ἂν, οὐκ εὔλογον εἰπεῖν. εἰ μὲν γὰρ ἄμπελος † σημαινομένης, τάχα δόξειεν οὐκ ἀλόγως λέγεσθαι. τὸ μὲν γὰρ μὴ ἐκπέττειν τὸν καρπὸν, ὑπόλειμμα τὰ πολλὰ ποιεῖται ὑγρότητος γονίμου. τοῦτο δὲ ὅταν ἀὴρ ὑπολάβῃ μαλακὸς, ἐκτίκτει· καθάπερ καὶ ἄλλοις τῶν δένδρων αἱ πρὸ τοῦ βλαστήσεις ὑπογίνονται. ἡ δὲ μηλέα, καὶ ὅσα ἄλλα τοιαῦτα, πλειογονεῖ καὶ ἐκπέττει. διὸ τὸ μερίζεσθαι ἄλλο τἄλλο βλαστάνειν, ἄτοπον· καὶ τοῦτ' ἀπὸ μιᾶς ὁρμῆς. αἱ μὲν οὖν ἀπορίαι σχεδὸν αὗται, καὶ τοιαῦτα ἔρωτη περὶ τούτων.

12 Πρὸς δὲ τὸ τῆς αἰτίας τοῖς ἀπορουμένοις λέγειν, πρῶτον ληπτέον ὅπερ εἴρηται καὶ πρότερον. ὅτι τὸ δένδρον ἀρχὰς πολλὰς ἔχει πρὸς τὴν βλάστησιν, καὶ τὴν καρποτοκίαν. ἕτερον δ' ὥσπερ ἐλέχθη, τῆς οὐσίας, ὅτι καὶ πολλαχόθεν ζῇ, διὸ καὶ βλαστητικόν· εἰ δ' οἱ πρὸ τούτων, ἀναγκαιότεροι. ἐκ τῶν ἀρχῶν δὲ τούτων, οὔθ' ὅμοιοι πάντες, οὔτ' ἴσοι. οὔθ' ἅμα βλαστάνουσιν οἱ βλαστοί· ἀλλ' ὅταν ἡ πλείων συῤῥοῇ, καὶ ἰσχυροτέρα, κατὰ ταῦτα θᾶττον καὶ πλεῖον. ἕκαστος γὰρ αὐτῶν, ὥσπερ φυτόν ἐστιν ἐν τῷ δένδρῳ, καθάπερ ἐν τῇ γῇ. μὴ ἅμα δὲ τῆς βλαστήσεως οὔσης, μὴ δὲ ἴσης τῆς ἰσχύος, εὐλόγως οὐδὲ τῶν καρπῶν ἡ πέψις ἅμα γίνεται πάντων. ἐπεὶ καὶ ἡ θέσις διαφορὰν ποιήσει τῶν μερῶν· οἷον, ἢ πρὸς ἀνατολὰς, ἢ δυσμὰς, ἢ πρὸς ἄρκτον, ἢ μεσημβρίαν· ὥσπερ γὰρ καὶ ὅλων τῶν δένδρων, εἰ ἐν εὐδιεινῷ τόπῳ· πρωϊβλαστῆ γὰρ ταῦτα, καὶ πρωΐκαρπα. τοιαύτης δὲ τῆς φύσεως οὔσης τῆς κοινῆς, ὅπου μὲν ὁ ἀὴρ μαλακὸς καὶ εὔδιεινός, ὀλίγον χρόνον βλαστητικὰ τὰ δένδρα γίνεται· καθάπερ καὶ περὶ Αἴγυπτον. ὅπου δὲ χειμέριος καὶ σκληρὸς, πλείω. τὸ γὰρ ὅλον, βραχεῖά τις γένοιτο διάλειψις, *ἂν, τ'* † ἢ, τ' ἐκ τῆς γῆς τροφὴ δαψιλὴς εἴη, καὶ ὁ ἀὴρ εὔκρατος. ἐπεὶ καὶ τὰ μὴ φυλλοῤῥοοῦντα παρά τισιν, οἷον συκῆ καὶ ἄμπελος, διὰ τοῦτο οὐ φυλλοῤῥοεῖ, καθάπερ εἴρηται, διότι διαρκὴς ἡ τροφή. τοῦτο μὲν οὖν κοινὸν ὑπὲρ πλειόνων ἐστί· τὰ μὲν γὰρ διὰ τὴν φύσιν, τὰ δὲ διὰ τὸν τόπον ἔχει τι τοιοῦτον. διῃρημένων δὲ τῶν μὲν φυλλοβόλων, τῶν δὲ ἀειφύλλων, αἰτίας δὲ οὔσης τοῖς ἀειφύλλοις τῆς διαρκείας τῆς τροφῆς, δι' ὧν τὰ μὲν διὰ τὴν ἰδίαν φύσιν, τὰ δὲ διὰ τὸν τόπον τοιαῦτα· τρίτον δὲ, καὶ ὥσπερ ἐφεξῆς τούτοις τῆς ἀειβλαστήσεως θετέον, ὅτι τὸ ἀείφυλλον οὐκ ἀειβλαστές· ἀλλ' ἐκεῖνα μὲν ὥσπερ διατηρεῖν μόνον δύνανται τὰ προϋπάρχοντα, ταῦτα δὲ καὶ προσεπιγεννᾶν ἕτερα, διὰ τὴν ἰδίαν δηλονότι φύσιν. ἔτι δὲ καὶ ἐν ἄλλοις μέχρι τινός. ὑποβλαστάνει μὲν γὰρ, τὰ μὲν ἅμα τοῖς ἄστροις, τὰ δὲ καὶ ἀορίστως· ὥσπερ καὶ ἄμπελος. ὁ δὲ τούτοις μέχρι τινὸς, διὸ ὅλη δίδωσιν ἡ φύσις, ὥστε καὶ καρποφορεῖν καὶ καρπογονεῖν. οὔσης δὲ τοιαύτης τῆς οὐσίας, οὐδὲν ἄτοπον ἤδη, τὰ μὲν τελειοῦν, τὰ δὲ ἀνθεῖν, τὰ δὲ βλαστάνειν, τὰ δὲ μέλλειν. ἐπείπερ οὐδ' ἐν τοῖς ἄλλοις δένδρεσιν ἅπανθ' ἅμα τὰ μέρη· διαφέρει τι τοῖς χρόνοις, ὅτι τὰ μὲν ἄλλα παρ' ὀλίγον τῷ ἐφεξῆς. ἀλλ' ἐκεῖνο μᾶλλον ζητητέον, τίς ἡ πόθεν ἡ κρᾶσις καὶ ἡ σύστασις τῶν τοιούτων. ἔοικε δὲ παραπλήσιον, πλὴν χαλεπωτέρως, καὶ τις ἡ τῶν ἀειφύλλων. προσεπιπεῖν γὰρ δεῖ, καὶ διὰ τί τοσαύτην λαμβάνει, καὶ δύναται πέττειν, ὥστε γεννᾶν. ἡ γὰρ ὑποβλάστησις, καρποτοκίας γένεσις. ἐπεὶ τότε πλέους ἅμα καρποὺς ἔχειν, τὸν μὲν τέλειον, τὸν δ' ἀπαλὸν, τὸν δὲ ὑποφυόμενον, συμβαίνει καὶ περὶ ἀρκεύθου καὶ ἄλλοις, ὧν βραδεῖά τε ἡ ἔκπεψις, καὶ δυσαπόπτωτος ὁ καρπός. ἡ μὲν οὖν τούτων αἰτία, μέχρι τούτων εἰρήσθω τανῦν.

13 Πότερα δὲ ἡ βλάστησις καὶ αὔξησις ἅμα τῶν ἄνω τε γίνεται καὶ τῶν ὑπὸ γῆς, ἢ διῃρημέναι τοῖς χρόνοις, ὥσπερ τινές φασι, τὰς μὲν ῥίζας αὐξάνεσθαι *ἔαρος* μετοπώρου καὶ χειμῶνος, τὰ δὲ στελέχη καὶ τοὺς ἀκρέμονας † ἦρος καὶ θέρους, καὶ μάλισθ' ὑπὸ τὸ ἄστρον, ἔτι δὲ καὶ λόγον οὕτω συμβαίνει· ἐν γὰρ τῇ πρώτῃ γενέσει κατακολουθεῖν. ἐν ἐκείνῃ γὰρ τὴν ῥίζαν πρότερον, ἢ τὸν βλαστὸν ἀφιέναι πάντα. προϋπάρχειν γὰρ ἀναγκαῖον, ᾧ τὴν τροφὴν ἐπάξεται· φανερὸν δὲ καὶ ἐν ταῖς μετοπωριναῖς φυτείαις. τότε γὰρ ῥιζοῦται, οὐ βλαστάνει δὲ τὰ φυτευόμενα ἢ ὑπὸ βραχύτητα τοῦ ἀέρος. εἰ γὰρ ἦν ἄῤῥιζα, ἐσήπετ' ἄν. ἀλλὰ διὰ τοῦτο ἐπαινοῦσι ταύτην τὴν φυτείαν, ὅτι μᾶλλον τὰς ἀρχὰς ἰσχυροτέρας ποιεῖ, δι' ὧν καὶ ἡ τῶν στελεχῶν καὶ ἡ τῶν ἄλλων γένεσις. ὡς τά γ' εὐθὺς ἀναβρέχοντα πρὸς τὴν βλάστησιν, ἀσθενῆ καὶ ἄκαρπα γίνεται· καθάπερ ὑπὸ τῶν σπερμάτων, οἱ ἀδώνιδος κῆποι. πιθανὸς δὲ καὶ ταύτῃ δόξειεν ὁ λόγος.

πρώτην δ' ἐστί· τότε γὰρ ἀλλοιοῦται πρὸς τὴν ἐκτελείωσιν, ὥσπερ καὶ τὰ ζῷα. καὶ γὰρ ταῦτα τριγονήσαντα συναύξονται. οὐ μὴν ἀλλ' ἐπίδηλόν γέ τι ποιεῖ καὶ ὁ πρῶτος ἐνιαυτός. καὶ τὰ μὲν ἐκ τῶν σπερμάτων, χείρω διὰ ταύτας τὰς αἰτίας.

10 Ἡ δ' ἐπίτασις βλαστήσεως (αὕτη γὰρ οἷον δευτέρα γένεσίς ἐστιν) οὐχ ἅμα γίνεται πᾶσιν, ἀλλὰ παραλλάττει ταῖς ὥραις, ὥστε σχεδὸν ἐν ταῖς ἐναντίαις ἐνίων εἶναι. καὶ τὰ μὲν θέρους, τὰ δὲ χειμῶνος βλαστάνει. ὁμοίως δὲ καὶ ἡ καρπογονία· καὶ γὰρ αὕτη διέστηκε τοῖς χρόνοις. ὡς μὲν οὖν ἁπλῶς εἰπεῖν, τὰ πρὸς ἑκάστην ὥραν σύμμετρον ἔχοντα τὴν κρᾶσιν, ταῦτα καὶ τὰς βλαστήσεις ἐν ἑκάστῃ, καὶ τὰς τελειώσεις τῶν καρπῶν ἀποδίδωσιν. οὐ μὴν ἀλλὰ δεῖ καὶ τοῖς καθ' ἕκαστα πειρᾶσθαι διαιρεῖν. ἔνια μὲν γὰρ εὐβλαστῆ, καὶ ἡ βλάστησις δι' ἰσχὺν καὶ πολυτροφίαν· ὥσπερ ἀμυγδαλῆ, ῥοιά, καὶ ὅλως τὰ ἄγρια τῶν ἡμέρων μᾶλλον. ἔνια δὲ δι' ἀσθένειαν, ὥσπερ τὰ ποώδη καὶ ἐπίγεια· καὶ γὰρ ἀνθεῖ πολλὰ τοῖς περὶ χειμῶνα, καθάπερ καὶ ἡ ἀνεμώνη. φαίνεται δὲ οὐδ' ἡ μηλέα προανθεῖν δι' ἰσχύν, ἀλλ' ἄλλην αἰτίαν. ἑκάτερα δὲ εὐλόγως πρωϊβλαστεῖ, καὶ τὰ ἰσχυρά, καὶ τὰ ἀσθενῆ. τὰ μὲν γὰρ τῇ δυνάμει καὶ τῷ πλήθει προωθεῖ, τὰ δὲ ὑπὸ μικροῦ κινεῖται τοῦ περὶ τὸν ἀέρα. μέγα δὲ καὶ ἡ ὑγρότης καὶ ἡ μαλακότης εἰς τὸ προωθεῖσθαι, ὥσπερ καὶ ἐπὶ τῆς πρώτης φύσεως ἐλέχθη. τὸ γὰρ ξηρὸν καὶ πυκνόν, οὔτ' εὐδίοδον ὁμοίως, οὔθ' ὕλης ἔχει πλῆθος. ὅσα δὲ ἐν ταῖς ἐναντίαις ὥραις ἐκβλαστάνει, τούτων αἰτιῶνταί τινες τὴν ὑγρότητα καὶ θερμότητα. τὰ μὲν ψυχρὰ τοῦ θέρους, τὰ δὲ θερμὰ τοῦ χειμῶνος βλαστάνειν· ὥστε ἑκατέραν τὴν φύσιν σύμμετρον εἶναι πρὸς ἑκατέραν τὴν ὥραν. οὕτω γὰρ εἴρηται καὶ Κλειδήμῳ. οὐ κακῶς μὲν οὖν ἴσως, οὐδὲ ἱκανῶς λέγεται. δεῖ δὲ καὶ τὴν ὀλιγότητα καὶ ἀσθένειαν, καὶ ἔτι ἄλλο συναίτιον προσλαβεῖν, καθάπερ καὶ ἐπὶ τῶν λαχανωδῶν ὁρῶμεν. ἡ μὲν γὰρ ἀνδράχνη, καὶ ὁ σίκυος, καὶ ὅλως τὰ τοιαῦτα, καθ' ὑγρὰ καὶ ψυχρά· τὸ δ' ὤκιμον, ξηρὸν καὶ ξυλῶδες. ἀλλ' ὅμως οὐ δύνανται πρὸ τῶν θερμημερινῶν βλαστάνειν, εἴς γε διαμονὴν καὶ τελείωσιν. αἴτιον δὲ ἡ ἀσθένεια, καθάπερ καὶ τῆς σικύας καλουμένης. αὕτη γὰρ δένδρου ὕψος λαμβάνουσα, καὶ σχιζομένη τοῖς κλωσὶν ὥσπερ ἡ ἀναδενδράς, ὅμως ἐπίκηρόν τι, καὶ οὐ δύναται πρὸ τῶν θερινῶν, ἀλλὰ δεῖται προσφιλεστέραις ταῖς ὥραις παρατείνειν πρὸς τὸ μετόπωρον. ἔτι τὰ ἀκανθώδη, καὶ ποώδη, καὶ ῥιζοκέφαλα. καθάπερ ὅ τε σκόρπιος καλούμενος, καὶ τὰ τίφυα, καὶ ἡ ἄκανθα βασιλική, καὶ τὸ λάειον. ἔνια δὲ καὶ μετ' ἀρκτοῦρον. εἴτε οὖν ὕστερα χρὴ καὶ ὀψιαίτερα ταῦτα λέγειν, εἴτε καὶ πρωϊαίτερα, γινομένων τῶν πρώτων ὑδάτων (οὐδὲν γὰρ διαφέρει πρός γε τὸ νῦν) ἀλλ' ἐκεῖνο φανερόν, ὡς οὔτε μεγέθει καὶ σμικρότητι τὸ πρωϊβλαστὲς καὶ ὀψιβλαστὲς ἀφοριστέον, οὔτ' ἴσως θερμότητι καὶ ὑγρότητι καὶ ξηρότητι μόνον, ἀλλὰ δεῖ τινα συμμετρίαν ἕκαστον ἔχειν πρὸς τὴν ὥραν· γίνεται γὰρ ἀπαλωτάτη. φαίνεται γὰρ ἅπαντα τὴν οἰκείαν ἀναμένειν τελέωσιν. τὰ δὲ καὶ βλαστάνει. τελείως δὲ καὶ ἀκίνητα ὄντα ὁμοίως δένδρα καὶ ὑλήματα καὶ ποώδη· φανερώτερον γὰρ τοῦτ' ἐν τοῖς ἀγρίοις, ἐν οἷς δὴ καὶ ἡ γένεσις αὐτοφυής, καὶ ἄνευ παρασκευῆς. πάντα δὲ ὡς εἰπεῖν, ἢ τά γε πλεῖστα τῶν μετοπωρινῶν, ἐν τοῖς ὑλήμασι καὶ τοῖς φρυγανικοῖς καὶ ποώδεσίν ἐστιν. ἐπεὶ δένδρον γε οὐδέν, πλὴν εἰ μή τι περὶ τὴν ἐπιβλάστησιν· ἐπιβλαστάνει γὰρ ἔνια μετ' ἀρκτοῦρον.

11 Εἰ δ' ἐπὶ πᾶν καὶ καθόλου λαβεῖν, τὰ ἀείφυλλα τῶν δένδρων, καὶ ὀψιβλαστότερα καὶ ὀψικαρπότερα, διά τε πυκνότητα καὶ ξηρότητα (περὶ μικρὸν γὰρ ἡ ἐπιρροή) καὶ διὰ τὸ συνεχὲς ἀεὶ τῆς εἰς τὰ φύλλα διδομένης τροφῆς. οὐ γίνεται δὲ ἀθροισμὸς ὥστε προορμᾶν, ἀλλ' ἀεὶ τῆς ὥρας κινεῖται τῆς οἰκείας τὸ καθῆκον. σπάνια γὰρ ἄν τις λάβοι, τὰ πρωϊβλαστῆ καὶ πρωϊκαρπα τῶν ἀειφύλλων· οἷον τόν τε κιττόν, καὶ τὴν ῥάμνον, καὶ εἴ τι τοιοῦτον. εἰ δὲ ἰδιότης, εἴτε διὰ θερμότητα τούτων, εἴτε μανότητα καὶ ὑγρότητα, εἴτε καὶ διὰ ταύτας πάσας τὰς αἰτίας συμβαίνει, διαιρετέον, αὐτὸ τοῦτο πρότερον ἴσως εἰπόντας, ποῖα θερμά, καὶ ποῖα ψυχρά, καὶ τοῖς ποίοις λυπητέον. ἀλλὰ περὶ μὲν τούτων ἐν τοῖς ὕστερον πειρατέον εἰπεῖν. διὰ τί δὲ τὰ μὲν πρωϊβλαστῆ, τὰ δὲ ὀψιβλαστῆ, ταύτας ἄν τις ἀποδοίη τὰς αἰτίας. ὅσα δὲ περὶ πᾶσαν ὥραν βλαστάνει τε καὶ ἀνθεῖ καὶ καρποτοκεῖ, καθάπερ ἡ περσικὴ μηλέα, καὶ εἴ τι ἄλλο τοιοῦτον, ἀκριβώσαιεν ἄν τις οὐ μόνον ὅτι οὐ πρὸς πάσας ἁρμόττει τὰς ὥρας ἡ κρᾶσις, ἀλλ' ὅτι οὐδ' αὐτὰ αὑτοῖς ὁμοιοβλαστάνει τὰ γένη, καὶ ὁμοιοκαρπεῖ. ὅπερ γὰρ ἐν τοῖς κεχωρισμένοις τῶν ὁμογενῶν ἀξιοῦμεν καὶ ὁρῶμεν συμβαῖνον. τὸ μὲν οὖν πάθος, ὅμοιον φαίνεται τοῖς ἐπικυϊσκομένοις ζῴοις παράλληλα· τοῖς μὲν φανερά, τοῖς δὲ λόγου δεόμενα. τὰ μὲν γὰρ οὐχ ἅμα λαμβάνοντα τὰς περὶ ἑτέραν ἀρχάς, οὐδ'

νες καὶ ξύλα καὶ καυλοί, χωριζόμενα τοῦ φυτοῦ, ὥστε κινεῖν καὶ μέχρι τοῦ βλαστάνειν· οἷον αἵ τε σκίλλαι, καὶ ὅσα σκιλλώδη· καὶ τὰ τῆς ἐλαίας ξύλα, καὶ οἱ τοῦ κρίνου καυλοί, καὶ οἱ τοῦ βλήχωνος κλάδοι. αὐτὰ γὰρ καὶ αὐτὴ περὶ τροπάς, ὃ καὶ μάλιστα θαυμαστόν. ἐπεὶ τά, τε ἄλλα φαίνεται τινὰ ἔχειν ὑγρότητα κούφην, καὶ γλίσχρον. τὰ δὲ λιπαρά. καὶ ἔτι περιέχεσθαι τὰ μὲν χιτῶσι, τὰ δὲ πυκνότητι τῇ αὐτῶν· ὥστε μὴ εὐξήραντα εἶναι, τοῦ ἀέρος μεταβάλλοντος, καὶ τῆς οἰκείας χώρας συμπαθῆ τε γίνεται καὶ βλαστάνει. ὁ δὲ βλήχων ξηρὰ φαίνεται παντελῶς. ἀλλὰ δῆλον, ὡς ἔχει τινὰ τοιαύτην ἀρχήν, ἣ κινεῖται τῇ τοῦ ἀέρος ἅμα μεταβολῇ καὶ ἀλλοιώσει. θαυμαστὸν δὲ τὸ τῆς χώρας· οὐ γὰρ αὐτὴ μένει, ἀλλ' ἐν μᾶλλον ἐπιτεινούσης, εἰ μὴ ἄρα περὶ τὰς ἀλκυονίδας· ἱκανὸς γὰρ ὁποσοσοῦν χρόνος εἰς τὰς τῶν ἀσθενῶν καὶ μικρῶν μεταβολάς. αἱ μὲν οὖν γενέσεις, πόσαι τε καὶ ποσαχῶς, καὶ τίνες ἑκάστοις οἰκεῖαι, φανερὸν ἐκ τῶν εἰρημένων. Εὐβλαστῆ δὲ, καὶ εὐαυξῆ, τὰ ἐκ τῶν φυτευομένων μᾶλλον ἢ τῶν σπερμάτων, εὐλόγως· ἄλλως τε κἂν ἀπὸ ῥίζαν ληφθῇ. προϋπάρχει γὰρ πολλὰ τῶν μορίων, ἃ δεῖται μόνον τροφῆς. τῶν δ' ἐκ τῶν σπερμάτων ἅπαντα ταῦτα ἀνάγκη γεννᾶσθαι πρότερον, ἔπειθ' οὕτως αὐξηθῆναι. τὸν αὐτὸν δὲ τρόπον, καὶ ὅσα ῥιζοφυῆ τυγχάνει, καθάπερ τὰ κεφαλόρριζα. καὶ γὰρ ἐν τούτοις περιέσται τῆς φύσεως. διὸ ὧν πλείων ἡ ὁρμὴ πρὸς τὴν βλάστησιν, ἢ τῶν σπερμάτων· ῥιζωθῆναι γὰρ ἐκεῖνα δεῖ πρότερον. ὅσα δὲ κατὰ τὰς ἰδίας φύσεις, ὡς αὖ γένος πρὸς γένος ὁ συγκρίνων λάβοι τις ποτέρων κατὰ τὰς εὐθύτητας τῶν σπόρων ληπτέον, ὥσπερ Δημόκριτος. εὐθεῖα γὰρ ἡ φορά, καὶ ἀνεμπόδιστος, ὥς φησιν· ἢ μᾶλλον ὅσα μανότερα καὶ ὑγρότερα. τὰ μὲν γὰρ πυκνὰ καὶ ξηρά, δυσαύξητα. πᾶν γὰρ ἔμπυρον, τὸ πυκνὸν καὶ ξηρὸν καὶ πικρόν, ὥστε βραδεῖαν εἶναι τὴν ἐπίδοσιν. θάτερον δέ, ὀλίγον μὲν πολλῶν, διὰ τὴν μανότητα. καὶ ὅλως, ἡ ὑγρότης εὔβλαστόν τε καὶ εὔτροφον. σημεῖον δέ, καὶ τὸ κατὰ τοὺς τόπους καὶ τὰς φυτείας συμβαῖνον. ἐν μὲν γὰρ τοῖς εὐδιεινοῖς καὶ ἀπνευμάτοις, ἔτι δ' ὅταν ἡ φυτεία πυκνή, εὐαυξῆ μὲν τὰ δένδρα, μανὰ δὲ καὶ ὑγρὰ μᾶλλον. ἐν δὲ τοῖς πνευματώδεσι καὶ ψυχροῖς, καὶ τῇ φυτείᾳ μανῇ, ἀναυξέστερα μέν, πυκνότερα δὲ καὶ ξηρότερα. συνίστησι γὰρ τὰ πνεύματα καὶ τὰ ψύχη, ὅλως ὁ προσπίπτων ἀήρ. ἅμα δὲ καὶ συστέλλεται, καὶ οὐ λαμβάνει τὸν ἴσον ὄγκον. ὡσαύτως δὲ ὅταν ἡ φυτεία μανή. καὶ γὰρ ἐνταῦθα πυκνότερα, καὶ εἰς βάθος αὐξανόμενα μᾶλλον.

9 ἐν δὲ ταῖς πυκναῖς, ἀνάπαλιν. Φανερῶς δὲ καὶ ἐπὶ τῶν ἄλλων ζώων τοῦτο συμβαῖνον, καὶ μάλιστα ἐπὶ τῶν ἀνθρώπων. εὐαυξέστερα γὰρ τὰ θήλεα τῶν ἀρρένων, ὑγρότερα καὶ μανότερα τὴν φύσιν ὄντα. δῆλον δέ, ὅτι καὶ ἐπ' αὐτῶν τῶν δένδρων, ῥόα μὲν καὶ συκῆ, καὶ ἄμπελος, εὐαυξῆ· φοῖνιξ δέ, καὶ κυπάριττος, καὶ δάφνη, καὶ πεύκη, καὶ ἐλαία, δυσαυξῆ. καίτοι τὸ εὐθυπορεῖν ὑπάρχει τισὶ τούτων· ἀλλ' ἤτοι πυκνότης, ἢ ξηρότης, ἢ ἄμφω κωλύει. καὶ γὰρ ἡ ξηρότης ἀναυξής. ἔτι δὲ πρὸς τούτοις ἔνια τῆς ἀσθενείας· καὶ γὰρ τὰ τοιαῦτα δυσαυξῆ, καὶ δύστροφα. δεῖ γὰρ μὴ κρατεῖσθαι, μηδὲ κωλύεσθαι τὴν κραδὴν, ὑπὸ τοῦ περιέχοντος. ἐπεὶ καὶ τὸ εὐθυπορεῖν προσδεῖται δυνάμεως, καὶ τῆς κατεργαστικῆς καὶ τῆς ἀπαθοῦς. ἀλλ' ὅμως οὐδὲν ὄφελος. εὐαυξῆ μὲν οὖν καὶ δυσαυξῆ τοῖς τοιούτοις ἀφοριστέον. Ἅπαντα δὲ χείρω τὰ ἐκ σπέρματος, ὡς εἴπομεν. ἐν δὲ τοῖς ἡμέροις, οἷον ῥόα, συκῆ, ἄμπελος, ἀμυγδαλῆ· καὶ γὰρ ὅλα γένη μεταβάλλει, καὶ ἐκπίπτει πολλάκις ἔνια, καθάπερ ἐν ταῖς ἱστορίαις εἴρηται. τούτου δ' αἴτιον ἡ ἀσθένεια τῶν σπερμάτων. κρατεῖται γὰρ ὑπὸ τῆς ἐπιρροῆς, πλείονος οὔσης. ὥσπερ ἄκαρπα γίνεται, διὰ πλῆθος τροφῆς, οὐ δυνάμενα πέττειν, οὕτω καὶ χείρω γίνεται διὰ τὸ μὴ κρατεῖν. καὶ διὰ τοῦτο βάσειας τὰς ἀμυγδαλᾶς, ὅταν προσαυξῶσιν, ἐνοφθαλμίζουσιν. ἐκ γὰρ μαλακῶν σκληραὶ γίνονται μετὰ τὴν φυτείαν· ἔτι δ' αὖ τοῦτο καὶ ἐπὶ τῶν ἄλλων ποιεῖν. ὅσα δὲ ἰσχυρὰ τῶν σπερματικῶν, ταῦτα διαμένει μᾶλλον· ὥσπερ ὅ, τε φοῖνιξ, καὶ πεύκη ἡ κωνοφόρος καλουμένη, καὶ πίτυς ἡ φθειροφόρος. ὡσαύτως δὲ καὶ τὰ τῶν ἀγρίων. ἴσως δ' οὐκ ἔχει ταῦτά γε μετάβασιν εἰς τὸ χεῖρον· ἡ γὰρ ἀγριότης ἐσχάτη. ἀλλ' ἡ εὐχυλία, καὶ ἡ συσσαρκία τούτων, πρὸς ἄλληλα γίνεται, διὰ τὸν ἀέρα καὶ ἁπλῶς τοὺς τόπους. ἐπεὶ καὶ τὰ ἥμερα εἰς τὸ διαφέρει. δύναται γὰρ τινὲς χῶραι διατηρεῖν τὰς φύσεις, αἱ μὲν μέχρι τινός, αἱ δ' ἁπλῶς. αἱ δὲ καὶ μεθίστανται πρὸς τὸ βέλτιον, καθάπερ εἴρηται περί τε τῆς ἐν Αἰγύπτῳ καὶ † ἀκυλίᾳ ῥόας. αἱ μὲν γὰρ γλυκεῖαι, καὶ οἰνώδεις· αἱ δ' ἀπύρηνοι, καὶ καλλίκοκκοι γίνονται, περὶ τὸν Πίναρον ποταμόν. ἁπλῶς δ' ὅταν οἰκείαν χώραν λάβωσιν οἱ καρποί, μᾶλλον δύναται τὰ γένη διατηρεῖν, ὅταν μάλιστ' εὐθενῇ καὶ καλλικαρπῇ τὰ δένδρα. ἐν δὲ τοῖς ἐπετείοις σπέρμασι πανταχοῦ πρὸς τὴν χώραν ἡ μεταβολὴ γίνεται, πλὴν οὐκ εὐθὺς σπειρομένων (ὀλίγος γὰρ ὁ ἐν τῇ γῇ χρόνος) ἀλλὰ

πρῶτον

ἀκμαιότητα καὶ ἡλικίαν. δύναται γὰρ καὶ ἀναβλαστᾶν ἔτι τὰ νέα. μάλιστα δὲ εὐφυῆ πρὸς ἐνοφθαλμισμόν, ὡς οὐκ ἔνι λαβεῖν, ὅσων ἡ ὑγρότης ἔχει τι γλίσχρον. ἔτι δὲ μαλακόφλοια, καὶ ὁμόφλοια, καὶ ὁμοιοπαθῆ. διὸ καὶ εἰς τὰ παραπλήσια φύσει τε ἡλικίᾳ, κάλλιστος ὁ ἐνοφθαλμισμός. ἥ τε γὰρ γλισχρότης, καὶ ἀντιληπτική. ὅ τε φλοιὸς μαλακὸς ὤν, καὶ ὁμοίως εὐμήκης, καὶ οὐ ποιεῖ μεγάλην τὴν μεταβολήν. ἔτι δὲ τοῖς μὲν ἄλλοις βραχὺς ὁ καιρός, διὰ τὸ ταχεῖαν εἶναι τὴν βλάστησιν. τῇ ἐλαίᾳ δὲ πλείω χρόνον, διὰ τὸ πλείω χρόνον ποιεῖν τοὺς ὀφθαλμούς. ἔτι δὲ ἁπαλὰ ἰσχνὰ καὶ ἀθρόα διὰ τέλους, καὶ τὸν τόπον αὐτοῦ ὑγρὸν εἶναι πᾶν τὸ θέρος, καὶ ἀπὸ τούτου μάλιστα πάντων βλαστάνει. διὰ γὰρ τοῦτον οἴονταί τινες, καὶ τέτταρας καὶ πέντε μῆνας ἐνδέχεσθαι τὴν ἐμφυτείαν. τὸ δὲ ὕδωρ τῷ μὲν ἐνοφθαλμισμῷ πολέμιον. ἐκσήπει γάρ, καὶ ἀπόλλυσι, παραρρέον διὰ τῆς ἀδιεξίαν. διὸ καὶ ἐπὶ κυνὶ δοκεῖ ἀσφαλέστατος εἶναι. καὶ φύκιον γέ τινες οὕτω περιδοῦσι τοῖς φλοιοῖς, ὥστε μὴ παραρρεῖν. τῇ δὲ ἐμφυτείᾳ χρήσιμον, ἂν μὴ ᾖ ὑγρὸν τῇ φύσει. διὸ καὶ οἱ μετ' αὐτοῦ πηλὸν περικολλῶσιν· οἱ δὲ χύτραν προσβάλλουσιν ὕδατος, ὥστε ἐπὶ μικρὸν ἐπιρρεῖν. ἀναξηραίνεται γὰρ ἂν ταχύ, μὴ ἔχον ὑγρότητα, διὰ τὸ μέγεθος τῆς ἑλκώσεως. ὀρθῶς δὲ εἰς τὸ διατηρεῖν ἀρραγῆ τὸν ὀφθαλμὸν καὶ τὸν φλοιόν, καὶ τὸ ἔνθεμα οὕτως ἐκξύειν, ὥστε μὴ γυμνὸν τῆς μήτρας. ῥαγέντος γάρ, ἢ γυμνωθείσης, ἀναξηραίνεται καὶ διαφθείρεται. διὰ τοῦτο γὰρ καὶ περιδοῦσι * φυλάξαι ἐκγνωθεν φλοιοί, καὶ ἐπὶ τούτοις περιαλείφουσι πηλὸν τετριχωμένον, ὅπως ἔμμονος ἡ ὑγρότης ᾖ, καὶ μήθ' ἥλιος μήθ' ὕδωρ μήτε ψῦχος παραλυπῇ. καὶ ὅταν σχίσαντες ἐντιθῶσι τὸ ἔνθεμα, σφηνοειδὲς ποιήσαντες, τῇ σφύρᾳ ἐλαύνουσιν, ὅπως ὅτι μάλιστα προσαχθῇ. χρὴ δὲ καὶ τῆς ὑγρότητος τῆς αὐτοῦ, συμμετρίαν τινὰ ὑποδέχεσθαι. διὸ καὶ τὴν μετ' ἄμπελον προαποτέμνουσιν ἡμέραις τισὶ πρότερον, ὅπως προαπορρυῇ τὸ δάκρυον, καὶ μὴ σήπηται, μηδ' εὐρωτιᾷ. ῥεῖ δέ, καὶ συνεῖ, καὶ ὅσα τούτων ἐστὶ ξηρότερα, παραχεῖμα.

7 Δεῖ δὲ καὶ πρὸς τὰς χώρας προσλαμβάνειν τὰς οἰκείας ὥρας, καὶ πρὸς τὰς τῶν δένδρων φύσεις. ἐπεὶ τὰ μὲν ἔνυδρα, τὰ δὲ ξηρὰ καὶ λεπτόγεα. καὶ ἄμεινον τὸ ἔαρ· οἰκεῖον γὰρ οὕτως, διὰ τὸ ὀλίγον ἔχειν τὸ ὑγρόν. ἐν δὲ τοῖς εὐγείοις καὶ πηλώδεσι, τὸ μετόπωρον. τὸ γὰρ ἔαρ, πολλὴ λίαν ὑγρότης πρὸς τὸ διατηρεῖν, ἕως ἂν διαμείνῃ τὸ δάκρυον. ὁρίζονται δέ τινες τοῦτο τριάκοντα ἡμέραις. εὔλογον δέ, καὶ τὸ καλλικαρπότερα ταῦτα γίνεσθαι· καὶ μάλιστα, ἐὰν τὰ ἥμερα εἰς τὰ ἄγρια ἐντεθῇ τῷ φλοιῷ. εὐτροφία γὰρ συμβαίνει πλείων, διὰ τὴν ἰσχὺν τῶν ὑποκειμένων. διὸ καὶ κελεύουσι, κοτίνους φυτεύσαντες, ἐνοφθαλμίζειν ἢ ἐμφυτεύειν ὕστερον. ἀντιλαμβάνονται γὰρ μᾶλλον ἰσχυρότερον, καὶ τροφὴν ἐπισπώμενα πλείω, καλλίκαρπον τὸ δένδρον ποιεῖ. ἐπεὶ εἴγε τις ἀνάπαλιν τὸ ἄγριον εἰς τὸ ἥμερον ἐμβάλλοι, διαφορὰν μέν τινα ποιήσει, τὸ δὲ καλλικαρπεῖν οὐχ ἕξει. καὶ τὰ μὲν περὶ τὰς φυτείας καὶ τὰς ἐμφυτείας, ἱκανῶς εἰρήσθω.

Τὰ δὲ σπέρματα πάντων ἔχειν τινὰ τροφὴν ἐν αὑτοῖς, ἣ συναποτίκτεται τῇ ἀρχῇ, καθάπερ ἐν τοῖς ᾠοῖς. ἣ καὶ οὐ κακῶς Ἐμπεδοκλῆς εἴρηκε, φάσκων ᾠοτοκεῖν μακρὰ δένδρεα. παραπλησία γὰρ ἡ τῶν σπερμάτων ἡ φύσις τοῖς ᾠοῖς. πλὴν ἔοικε περὶ πάντων εἰπεῖν, καὶ μὴ μόνον τῶν δένδρων· ἅπαν γὰρ ἔχει τινὰ τροφὴν ἐν αὐτῷ, διὸ καὶ δύναται διαμένειν εἰς χρόνους. οὐχ ὥσπερ τὰ τῶν ζῴων εὐθὺ φθείρεται χωριζόμενα, πλὴν τὰ τῶν ᾠοτόκων. ταῦτα γάρ, ὥσπερ εἴρηται, τροφὴν ἔχοντα καὶ φυλακὴν ἅμα τῆς ἀρχῆς, διαμένει. χρονιώτερα δὲ ἕτερα ἑτέρων· καὶ μάλιστα τὰ πυκνά, καὶ ξηρά, καὶ ξυλώδη· καθάπερ τὰ τοῦ φοίνικος. οὐκ ἔχει γὰρ οὔτε ἔξωθεν οὐδεμίαν παράδυσιν, οὔτε ἐν αὑτοῖς ὑγρότητα τῆς διαφθειρομένης. ὅθεν καὶ οὔτε θηριοῦται, καθάπερ τὰ σιτηρὰ τῶν σπερμάτων· οὔτε ἀναξηραίνεται, καθάπερ τὰ τῶν λαχάνων· ἀλλ' ἐν αὑτῷ περιέχον, σῴζει τὴν ἀρχήν. ὅτι δ' ἐν ἅπασι σπέρματα, κἀκεῖθεν δῆλον. ἃ γὰρ δοκεῖ ξηρά, καὶ ὥσπερ κελυφανώδη πάμπαν, οἷα τὰ τῶν λαχάνων, ταῦτα κινεῖται ἐπὶ τὰς οἰκείας χώρας, ἐὰν καὶ ὁτιοῦν ἰκμάδος λάβῃ. καὶ διὰ τοῦτο ἐν ὑπερῴοις τιθέασι, καὶ κρεμαννύουσιν ἐν τοῖς * ἀξαρείχοις, καὶ οὔτε ῥαίνουσιν, οὔθ' ὕδωρ ὅλως εἰσφέρουσιν εἰς τὰ οἰκήματα. τῶν δὲ δὴ λοιπῶν καὶ τῇ αἰσθήσει φανερὰ τὰ προσόντα, ἔτι τε γε διὰ τῶν σαρκωδῶν ὥσπερ γαλακτοῦται διαλαμβανόντων. σχεδὸν δὲ ὁμολογούμενον τοῦτο καὶ ἐπὶ τῶν ζῴων εἶναι· οὐδὲ γὰρ ἐν τούτοις ἅπαν τὸ κάτω πεσὸν σπέρμα, καθαρὸν καὶ εἰλικρινὲς ὑπολειπτέον.

8 Ὅσα δὲ ξυλώδη καὶ πυρηνώδη περίκειταί τισι, φυλακῆς χάριν οἰητέον· ὥσπερ καὶ τὰ δερματικά, καὶ ὑμενώδη. πάντα γὰρ ταῦτα πρὸς τὴν σωτηρίαν ἐστίν. ὑγρὰ γὰρ ἡ ἀρχὴ δυνάμει πάντων. ἔχουσι δὲ τὰς ζωτικὰς ἀρχάς, ὥσπερ ἐλέχθη, καὶ ῥίζαν καὶ ἀκρέμονον καὶ

ποωδῶν. οὐ μὴν ἀλλὰ καὶ τῶν μειζόνων ἐστὶν ὅτε συμβαίνουσιν, ὅταν ἢ ἐπομβρίαι κατάσχωσιν, ἢ ἄλλη τις ἰδιότης γένηται περὶ τὸν ἀέρα καὶ τὴν γῆν. οὕτω γὰρ καὶ τὸ σίλφιον ἀνατεῖλαί φασιν ἐν Λιβύῃ, πιττώδους τινὸς ὕδατος γενομένου καὶ παχέος. καὶ τὴν ὕλην δὲ τὴν νῦν οὖσαν, ἐξ ἑτέρας τινὸς τοιαύτης αἰτίας· οὐ γὰρ ἦν πρότερον. αἱ δὲ ἐπομβρίαι, καὶ σήψεις τινὰς ποιοῦσι, καὶ ἀλλοιώσεις, ὑπὸ πολὺ διαιρουμένου τοῦ ὑγροῦ, καὶ τρέφειν καὶ ἐπαύξειν δύνανται τὰ συνεσταμένα, θερμαίνοντος τοῦ ἡλίου, καὶ κατεξηραίνοντος· ὥσπερ καὶ τὴν τῶν ζῴων γένεσιν οἱ πολλοὶ ποιοῦσιν. εἰ δὲ δὴ καὶ ὁ ἀὴρ σπέρματα δίδωσι συγκαταφέρων, ὥσπερ φησὶν Ἀναξαγόρας, καὶ πολλῷ μᾶλλον. ἄλλας γὰρ ἂν ποιοίη ἀρχὰς καὶ τροφάς. ἔτι δ' οἱ ποταμοί, καὶ αἱ συρροαί, καὶ ὑπορύγματα τῶν ὑδάτων πολλαχόθεν ἐπάγουσαι σπερμάτων καὶ δένδρων καὶ ὑλημάτων. διὸ καὶ αἱ μεταστάσεις τῶν ποταμῶν πολλοὺς τόπους ποιοῦσιν ὑλώδεις, τοὺς πρότερον ἀνύλους. ἀλλ' αὗται μὲν ἐκ αὐτομάτου δόξαιεν ἄν. ἀλλ' ὥσπερ σπειρόμεναι εἰσίν, ἢ φυτευόμεναι. τὸ δὲ τῶν † καρπῶν, οἷον θείη τις ἂν μᾶλλον αὐτόματον εἶναι, μήτε φυτευομένων, μήτε ἀπὸ σπέρματος γινομένων, ὅπερ δὴ ἀναγκαῖον, μὴ δι' ἑτέρου τούτων. ἀλλὰ μήποτ' οὐκ ἦν τοῦτ' ἀληθές ἐπί γε τῶν μειζόνων· ἀλλὰ μᾶλλον λανθάνουσιν αἱ πᾶσαι τῶν σπερμάτων φύσεις, ὅπερ καὶ ἐν ταῖς ἱστορίαις ἐλέχθη περί τε τῆς ἰτέας καὶ τῆς πτελέας. ἐπεὶ καὶ τῶν ἐλαττόνων πολλὰ διαλαμβάνουσι τῶν ποωδῶν, ὥσπερ καὶ περὶ τοῦ θύμου, καὶ ἑτέρων, ὡς εἰπομένων, τῶν μὲν τὴν ὄψιν οὐ φανερά, τῶν δὲ τὴν δύναμιν φανερά. σπειρομένων γὰρ τῶν ἀνθῶν γεννᾶται. καὶ δυσόρατα καὶ μικρὰ καὶ τῶν δένδρων ἔνια σπέρματα τυγχάνει, καθάπερ καὶ τῆς κυπαρίττου· ταύτης γὰρ οὐχ ὅλος ὁ καρπὸς σφαιροειδής ἐστιν, ἀλλὰ τὸ ἐγγινόμενον ἐν τούτῳ λεπτόν, καὶ ὥσπερ πιτυρῶδες καὶ ἀμυδρόν, ἅπερ ἐκπίπτει διαχασκόντων τῶν σφαιρίων· διὸ καὶ ἐμπείρου τινὸς ἔδει συλλέξαι τὴν θεωρίαν περὶ στιγμῶν, αὐτὸ τὸ σπέρμα γνωρίζειν δυνάμενον. ἐπὶ πολλῶν μὲν οὖν καὶ τοῦτο συμβαίνει. καὶ μάλιστα, ὅσα συνεχῶς ἐν ταῖς ὕλαις ταῖς ἀγρίαις καὶ τοῖς ὄρεσίν ἐστιν. οὐ γὰρ ῥᾴδιον αὐτομάτως συνισταμένων διαμένειν τὸ συνεχές· ἀλλὰ δυοῖν θάτερον, ἢ ἀπὸ ῥίζης, ἢ ἀπὸ σπέρματος βλαστάνειν. ὀλίγα δὲ ἄκαρπα τῶν ὁμογενῶν οἱ ὑλοτόμοι φασὶν εἶναι, τοῦ τε ἤτοι λανθάνειν εἰκός, ἢ διὰ τὸ καταναλίσκειν εἰς ἄλλα τὴν τροφὴν ἄκαρπα γίνεσθαι· καθάπερ τὰς ἀμπέλους τὰς τραγώσας, καὶ ὅσοις ἄλλοις τοῦτο συμβαίνει, γινόμενον ἐπὶ τῶν καρπίμων ἢ καρποφόρων· τί δὴ κωλύει τοῦτο συμβαίνειν ἐπὶ τῶν ὅλων, ὥσπερ τετρημμένων πρὸς καρπογονίαν; ἀλλὰ τοῦτο μὲν ὡς ἀποδεξαζόμενον εἰρήσθω. δεῖ δὲ ἀκριβέστερον περὶ αὐτῶν σκέψασθαι, καὶ αὐτοψίᾳ ἱστορῆσαι τὰς αὐτομάτους γενέσεις. ὡς δὲ ἁπλῶς εἰπεῖν, ἀναγκαῖον γίνεσθαι διαθερμαινομένης τῆς γῆς, καὶ ἀλλοιουμένης τῆς ἀθροισθείσης μίξεως ὑπὸ τοῦ ἡλίου, καθάπερ ὁρῶμεν καὶ τὰς τῶν ζῴων.

Margin notes: ἀκαρπῶν (left margin, beside the line marked with †); τὰ (right margin, beside the line ending in "γίνεσθαι").

ϛ Λοιπὸν δ' εἰπεῖν περὶ τῶν ἐν ἄλλοις γενέσεων, οἷον τῶν περὶ τὰς ἐμφυτείας καὶ τοὺς ἐνοφθαλμισμούς. ἁπλοῦς δέ τις λόγος, καὶ σχεδὸν εἰρημένος πρότερον. ὥσπερ γὰρ γῇ χρῆται τὰ ἐμφυτευόμενα. καὶ φυτεία δέ τις καὶ ὁ ἐνοφθαλμισμός, οὐ μόνον παράθεσις. ἀλλ' ἐνταῦθα δηλονότι καὶ τὸ βλαστάνειν, καὶ τὸ γεννᾶν, ἡ ὑγρότης οὖσα ἢ γόνιμος· ἅπερ ὀφθαλμὸς ἔχων, ἁρμόττεται θατέρῳ· καὶ τὴν τροφὴν ἔχων, ἀποδίδωσι τὴν οἰκείαν βλάστησιν. ἀνάξει δὲ πάντα τὰ τοιαῦτα, διὰ τὸ κατεργάζεσθαι τὰς τροφάς, καὶ ταῖς διὰ τῶν ἐνοφθαλμισμῶν ἔτι μᾶλλον· καθαρωτάτη γὰρ αὕτη, καὶ ὥσπερ ἐν τοῖς ἐλαχίστοις ἤδη τῶν καρπῶν. εὐπρόσφυτον δ' ἀεὶ τῷ ὁμοίῳ τὸ ὅμοιον. ὁ δὲ ὀφθαλμός, ὥσπερ ὁμογενής. εὐλόγως δὲ καὶ ἡ ἀντίληψις, μάλιστα τῶν ὁμοφλοιῶν. ἐλαχίστη γὰρ ἡ ἐξαλλαγὴ τῶν ὁμογενῶν, καὶ ὥσπερ μετάθεσις γίνεται μόνον. ἅμα γὰρ συμβαίνει καὶ τοὺς καρποὺς ὀργᾶν, καὶ τὰ ὅλα δένδρα πρὸς τὴν βλάστησιν. ἔτι δ' ὅταν ὅμοιόν τι ᾖ καὶ ὁμοιοπαθὲς τοῖς καρποῖς, ἐξ ἀμφοτέρων εὔλογον τὸ τάχος τῆς αὐξήσεως. ἐν δὲ τοῖς ἄλλοις, ὅταν ἧττον· ὃ καὶ τοῖς γένεσι καὶ τοῖς ὀποῖς καὶ τοῖς καιροῖς παραλλαγή. εὔλογοι δὲ καὶ αἱ ὧραι, μᾶλλον δὲ ἴσως ἀναγκαῖαι, καθ' ἃς καὶ ὅλως ἀποβλαστήσεις γίνονται, μετόπωρόν τε καὶ ἔαρ ἐπὶ κυνὸς ὑπὸ πολύ· δεῖ γὰρ ὀργῶν φέρειν. παραπλήσιοι δὲ καὶ οἱ λόγοι καὶ περὶ ἑκάστης, οἵπερ καὶ περὶ τῆς φυτείας. οἱ μὲν γὰρ τῇ ἐαρινῇ ἐπαινοῦσιν ἐπ' ἰσημερίαις, ἐπὶ κινούντων· ἅμα γὰρ τῇ ἐγκύσει βλαστάνει, καὶ ὁ φλοιὸς ἀποφύεται, καὶ περιλαμβάνει. οἱ δὲ περὶ τὴν ἐπ' ἀρκτούρῳ. παρὰ χεῖμα μὲν γὰρ οἷον ῥιζοῦται, καὶ οἷον ἀποσημαίνει. προσφυὴς δὲ γενομένη πρὸς τὸ ἔαρ, ἀθρόον ἀποδίδωσι τὴν βλάστην ἀπὸ ἰσχυροτέρας ἀρχῆς. εὔλογος δὲ καὶ τὸ τὰς μασχάλας ἐνοφθαλμίζειν, τὰς τελειοτάτας καὶ νεωτάτας· ἀντιλαμβάνεται γὰρ ἐντεῦθεν μάλιστα, διὰ τὴν

λειότητα

ῥίζα μετέωρος ᾖ, καὶ συῤῥοὴν λαμβάνουσα, ταύτην ἐκθερμαίνουσα καὶ πέττουσα, μεθίησι τὸν βλαστόν. τὰ μὲν οὖν πλεῖστα παρ' αὐτὸ τὸ στέλεχος ἐκβλαστάνει· μετεωρότατα γὰρ ταῦτα. καὶ ἥγε ἐλαία, καὶ ἐκ τῶν πρέμνων ἄπωθεν δὲ, καὶ ῥόα, καὶ ὅσα μὴ μόνον σύνεγγυς, ἀλλὰ διὰ πολλοῦ μακρόῤῥιζα ὄντα, ἢ ὅπου ἂν ἡ ῥίζα μετέωρος ᾖ, ταύτῃ τὸν βλαστὸν ἀφίησι. ἐνταῦθα γὰρ ἡ συῤῥοὴ, καὶ πέψις θερμαινομένης. διὸ καὶ ἄτακτος ὁ τόπος. ἄτακτος ὁ μετεωρισμὸς, καὶ ἡ συῤῥοή. τὰ δ' ἄκαρπα, καὶ δύζωα, καθάπερ αἴγειρος καὶ λεύκη, καὶ συμπληροῦν δύναται βλαστάνειν· τὰ δ' ἄλλα οὐχ ὁμοίως, ἀλλ' ἐπὶ τῶν ὑλημάτων καὶ ποωδῶν φυτῶν τοῦτο συμβαίνει, πρὸς ἃ καὶ δεῖ μεταβῆναι τὸν λόγον. ὑπὲρ γὰρ τῶν δένδρων ἱκανῶς εἴρηται.

4 Τούτων δὲ τὰς μὲν γενέσεις ἐκ τῶν αὐτῶν θεωρητέον, κοινοτάτην πᾶσι τὴν ἀπὸ σπέρματος τιθέντας. οὐ μὴν ἀλλὰ καὶ πλείους εἰσὶ καὶ τούτων. † εἰ δὲ ἕκαστα τῶν προειρημένων ἐφάπτεται, ταύτῃ διαιρετέον. οἷον, ὑπὲρ ἧς νῦν λέγομεν, τῆς ἀπὸ τῶν ῥιζῶν. ἔνια γὰρ καὶ αὐτόματα βλαστάνει, καὶ φυτεύουσιν ἀπὸ τῶν ῥιζῶν· ὥσπερ τὰ κεφαλόῤῥιζα, καὶ ὅλως ὧν παχεῖα καὶ σαρκώδης ἐστὶν ἡ ῥίζα. δεῖ δὲ καὶ τὸ μὲν ὑδατῶδες μηδεμίαν ἔχειν· ὥσπερ τῆς γογγυλίδος, καὶ ῥαφανίδος. ἐξηραίνονται γὰρ αὗται, καὶ ἀσθενεῖς εἰς δύναμιν. ἀλλ' ἤτοι χιτῶνας ἔχειν πλείους, καὶ ἅμα γλισχρότητά τινα, καθάπερ καὶ τοῦ βολβοῦ, καὶ σκίλλης. καὶ ὅλως, εὔχυλόν τινα καὶ εὔσαρκον εἶναι, καθάπερ αἱ τοῦ ἀμαράκου τοῦ χλωροῦ, καὶ τοῦ λειρίου, καὶ τῶν ὁμοειδῶν. αἱ γὰρ τοιαῦται, φυτείαν μόνον δέχονται καὶ μετάθεσιν. καὶ τούτων αἱ μὲν καὶ πλείω χρόνον διαμένουσιν, αἱ δὲ ἐλάττω, κατὰ τὰς ἰδίας φύσεις ἑκάστου. ἄλλαι δ' αὖ πάλιν εἰσί τινες, αἳ μένουσαι μὲν ἐν ταῖς ἑαυτῶν χώραις ἀφιᾶσι βλαστὸν, οἷον αἱ τοῦ ἐπιτειοκαύλου· μεταφερόμεναι δ' οὐ δύνανται, διὰ τὴν ξηρότητα. τὴν γὰρ αὐτὴν αἰτίαν ὑποληπτέον καὶ ἐπὶ τούτων ἥνπερ ἐπὶ ξύλων. ἔστι δέ τινων καὶ ἀπὸ παρασπάδος, καὶ ἀπὸ τῶν ἄκρων φύτευσις καὶ γένεσις. ἀπὸ παρασπάδος μὲν ῥαφάνου καὶ πηγάνου. τῶν δὲ στεφανωτικῶν, οἷον ἀβροτόνου καὶ σισυμβρίου καὶ ἑρπύλλου. καὶ ἀπὸ τῶν ἄλλων φυτῶν τῶν αὐτῶν, πηγάνου τε καὶ ἀβροτόνου, καὶ τῶν στεφανωτικῶν. καὶ γὰρ ἔχει ταῦτά γε καὶ καθίησιν εὐθὺς ῥίζας ἐκ τῶν βλαστῶν, ὥσπερ ὁ κιττός. οὗτος γὰρ δὴ μάλιστα ὅλως ἔμβρυος, καὶ εἰσδυόμενος εἰς αὐτὰ τὰ δένδρα, καὶ ἐν τῇ γῇ κρυπτόμενος. τῶν δὲ λαχανωδῶν, τὸ ὤκιμον (καὶ γὰρ τοῦτο ἀπὸ φυτείας ἐκ τῶν ἄνω δέχεται, καίπερ ξυλῶδες ὂν, ἀλλ' ἔτι δυσξήραντόν ἐστι) ταύτῃ φύεται. διὸ καὶ πολὺν χρόνον διαμένει, καὶ κολουόμενον πάλιν βλαστάνει. ξυλῶδες δὲ καὶ τὸ ἀβρότονον, ἀλλ' ἔχει τινὰ τῇ πυκνότητι καὶ δριμύτητι φυλακὴν, ὥσπερ ὁ κιττὸς καὶ οὕτω φύεται καταπηγνύμενος. αὗται μὲν οὖν κοιναὶ πλειόνων. αἱ δὲ τοιαῦται καὶ σπάνιαι, καὶ ἐλάττους· ὥσπερ τῆς κρινωνίας καὶ ῥοδωνίας. καὶ ὁ κάλαμος ὁ χισθείς, φύεται καὶ βλαστάνει. ταῦτα δὲ ὅμοια καὶ παραπλήσια, καὶ τὰ τῆς ἐλαίας, καὶ εἴ τι ἄλλο βλαστητικὸν ἀπὸ τοῦ ξύλου. διὸ καὶ ὑπὸ τὴν αἰτίαν πίπτειν δύναται, καὶ διατηρεῖν τὴν ὑγρότητα καὶ θερμότητα τὴν γόνιμον, καὶ τότε κατακόπτειν καὶ καταῤῥιζοῦν εὔλογον. ἐκ γὰρ τοῦ ἐλάττονος καὶ ἀνεῳγμένου, θᾶττον ἡ ἀρχὴ καὶ εὐκολωτέρα. τὸ δὲ μέγα καὶ συμπεπτωκὸς, οὐχ ὁμοίως παθητικὸν, οὐδὲ βλαστητικόν. διὸ καὶ τὰ σκόροδα διαιροῦσιν εἰς τὰς γέλγεις, καὶ κρομμύων ἀφαιροῦσι τὰς ῥίζας τὰς κάτω, καὶ τὰ κελύφη. ταῦτα γὰρ περιέχει πᾶν τὸ ἀλλότριον. ἀλλότριον δὲ τῶν ζωτικῶν, τὸ μὴ ζῶν, ὥσπερ καὶ τῶν δένδρων τὰ ἀφαυαινόμενα. τῆς μὲν οὖν ἐλαίας, καὶ τῶν μυῤῥίνων οὐ δεῖ περιαιρεῖν τὸν φλοιόν· ἀποστέγει γὰρ, καὶ τηρεῖ τὴν ζωήν. τῶν δὲ κρομμύων καὶ σκορόδων δεῖ, διὰ τὸ μὴ ταῦτα ζῶντας μηδὲ ταῦτα κυρίους ἀφαιρεῖν. ἐπεὶ κἀκείνων εἴ τις ἀφαιρῇ τούτους, βλαστάνειν. ἰδιωτάτη δὲ βλάστησις ἡ ἐκ τῶν δακρύων· οἷον τοῦ θ' ἱπποσελίνου, καὶ τοῦ κρίνου, καὶ φυτῶν ἑτέρων. οὐκ ἄλογος δὲ, ἀλλ' ὁμολογουμένη τῇ ἐκ τῶν καυλῶν. οὐδὲν γὰρ ἕτερον, ἀλλ' ἢ ξυναθροισμένοις δεῖ εἶναι, καὶ τὴν ἐκεῖθεν ἀρχὴν τὴν γόνιμον. οὐ γὰρ ἄνευ θερμότητος ἡ τοιαύτη ὑγρότης. διὰ δ' οὐ πάντων οἱ ὁποὶ καὶ τὰ δάκρυα γεννητικὰ, πρὸς τὰς ἐπάνω καὶ προτέρας αἰτίας ἀνοιστέον· ὥσπερ δ' οἱ καυλοὶ, οὐδ' αἱ ῥίζαι. κατὰ λόγον δὲ καὶ τὸ τῇδε, ὅπερ ἐλέχθη πρότερον, ὅτι πλείους αἱ γενέσεις καὶ τῶν ἄλλων ἢ τῶν ἄλλων, ῥᾷδιον γεννῆσαι τὰ ἀτελέστερα, καὶ ἀπ' ἐλάττονος ἀρχῆς. αἱ μὲν οὖν ἐκ τῶν μορίων ὁποῖαι, καὶ διὰ τίνας αἰτίας, ἐκ τούτων θεωρείσθω. 5

καὶ γὰρ εἴ τι παραλέλειπται, προσθεῖναι καὶ συνιδεῖν οὐ χαλεπόν. Αἱ δ' αὐτόματοι, γίνονται μὲν (ὡς ἁπλῶς εἰπεῖν) τῶν ἐλαττόνων, καὶ μάλιστα τῶν ἐπετείων καὶ

ὅτι ἀπὸ παρασπάδος, ὅτι ἀπὸ ἀκρέμονος· τὰ μὲν ἀπὸ παρασπάδος, τῷ μὴ ἔχειν τὰ μονοφυῆ· τὴν δὲ ἀπὸ ἀκρέμονος καὶ κλωνὸς, διὰ τὴν ξηρότητα. δεῖ γὰρ τὸ μέλλον βλαστάνειν, ἔχειν τι δεῖ τὴν ἔμβρυον ὑγρότητα, καὶ ταύτην δύνασθαι τηρεῖν. τὰ δὲ φύσει ξηρὰ, διὰ τὸ ὀλίγην ἔχειν, ὅταν ἀπὸ τοῦ δένδρου ἀφαιρεθῇ, ταχὺ διαπνεῖται καὶ ἀτμίζεται, συνεξάγον θ' ἅμα καὶ τὸ σύμφυτον θερμόν. καὶ ταῦτα μὲν διὰ τὰς εἰρημένας αἰτίας. τὰ δὲ † ἀπαράβλαστα, συμμετρίᾳ τινὶ τοῦ θερμοῦ καὶ ὑγροῦ, καὶ μονοφυῆ δέχεται, καὶ τὰς ἄλλας δύναται τηρεῖν τὴν ὑγρότητα καὶ θερμότητα τὴν σύμφυτον· ὥστε βλαστάνειν καὶ μόνον ἀπὸ παρασπάδος. ἀλλ' ἔνια καὶ ἀπὸ τῶν ἄκρων· οἷον συκῆ, καὶ ἄμπελος· καὶ τῶν ἀνύδρων δὲ καὶ φιλύδρων, ὥσπερ ἰτέα, καὶ ἀκτῆ, καὶ λεύκη, καὶ αἴγειρος. καθόλου μὲν οὖν, καὶ τύπῳ, τοῦτον διωρίσθω τὸν τρόπον.

† παραβλαστικὰ — μὴ

2 Οὐ μὴν ἀλλὰ μάλιστα μόνον τῶν ξηρῶν καὶ μονοφυῶν, καὶ ἀπαραβλάστων ὁ φοῖνιξ, δέχεται καὶ ἑτέρας γενέσεις παρὰ τὴν σπερματικήν. τάς τε γὰρ ῥάβδους φασὶ μοσχεύειν περὶ Βαβυλῶνα, τὰς ἁπαλωτάτας, καὶ ὅταν ἐμβιώσωσι μεταφυτεύουσι. καὶ ἐν τοῖς περὶ τὴν Ἑλλάδα τόποις, ἐὰν ἀποκόψας τις ἄνω φυτεύσῃ ῥιζοῦσι· καὶ βλαστάνειν οὐκ ἀπὸ τοῦ ἐγκεφάλου μόνον, ἀλλὰ καὶ κάτωθεν αὔξειν τὰς ῥίζας. ἔτι δ' αὖ πλάγιος, ἐν ᾧ καὶ ἔνικμος ἡ γῆ τυγχάνῃ, πολλαχόθεν ῥιζοφυεῖν, καὶ ἐκβλαστάνειν. οὐ μέν τοι μέγεθος τοῦτο λαμβάνειν. ὥσπερ δὲ πεύκης, καὶ ἐλάτης, καὶ εἴ τι παραπλήσιον τούτοις, τοιοῦτον συμβαίνειν οὐδὲν οὐδ' ὅπου κυπάριττος. πλὴν εἴ τι καὶ παραβλαστάνει· καθάπερ φασὶν ἐν Κρήτῃ τοὺς καλουμένους δρυΐτας. ἐνταῦθα γὰρ ἄλογον οὐδὲν, ὥστε καὶ τὰς ἄλλας παραφυάδας ὑπορρίζους οὔσας, καὶ ἐνύδρους, καὶ ταύτας βλαστάνειν. ἐπεί γε μὴ ἦσαν ὑπόρριζοι, χαλεπὸν, ἢ ἀδύνατον. τοῦτο μὲν οὖν ὡς πρὸς ὑπόθεσιν λεγόμενον. ὁ δὲ φοῖνιξ, ἀπὸ μὲν τῶν ῥάβδων βλαστάνει, χώρας εὐδοσίᾳ, καὶ εὐφυΐᾳ πρὸς τὸ θᾶττον βλαστάνειν. τὸ δ' ἀπὸ τῶν ἁπαλωτάτων, εὔλογον εἰς ὑγρότητα τοιαῦτα καὶ τμητικώτατα. ἀπὸ δὲ τοῦ ἐγκεφάλου, † διὰ τὸ ὑποκάτω, μᾶλλον δὲ τὸ εὔλογον. ἐντεῦθεν γὰρ καὶ ἡ τῶν ῥάβδων φύσις, καὶ ὅλως οἷον ἀρχή τις αὕτη ζωτική. διὸ καὶ ἐξαιρεθέντος, καὶ πονήσαντος, θνήσκει. ἐπεὶ καὶ ἡ ἐκ τῶν πλαγίων ἔκφυσις, ἔχοντός ἐστι τοῦ ἐγκεφάλου. ἐξαιρεθέντος γὰρ, ἀναίνεσθαι κατὰ λόγον. ὅπερ καὶ πεφυκότος καὶ ἐρριζωμένου τοῦτο συμβαίνει. ἡ δὲ ἔκφυσις, δηλονότι πανταχόθεν. πανταχοῦ γὰρ διαμένει μέχρι τινὸς ἡ ὑγρότης, καὶ ἡ θερμότης· διὰ τὸ μὴ εὐξήραντον εἶναι τῇ πυκνότητι τῶν πόρων· διὸ καὶ δυσαπόπνοον. ὁ μὲν οὖν φοῖνιξ διὰ ταῦτα πλεοναχῶς γίνεται. τῶν δὲ ἄλλων τῶν ὁμοφυῶν οὐδὲν, διὰ τὸ μὴ τοιαύτην ἔχειν τὴν φύσιν.

† ἢ διὰ

3 Ὅσα δὲ πλείους γεννᾶται τρόπους, ἔχει καὶ ἐν αὐτοῖς διαφοράς. τὰ γὰρ ἀπὸ παρασπάδος καὶ ῥίζης καὶ κλωνὸς, οὐ πάντως δύναται αὖ καὶ ἀπὸ ξύλου καὶ ἀπὸ ἀκρέμονος· καθάπερ ἄμπελος, καὶ συκῆ. τὰ δὲ πάλιν ἀπὸ τῶν βλαστῶν· ὥσπερ καὶ ἡ ἐλαία. τὸ δ' αἴτιον ἐν ἀμφοῖν, τοῦτο καὶ παραπλήσιον. ἀμπέλου μὲν γὰρ, καὶ συκῆς, καὶ τῶν ἄλλων τῶν τοιούτων, ξηρὰ καὶ ξυλώδη τὰ μείζω. καὶ ἐνίων βραχύ. τὸ δὲ βραχὺ, δυσβλαστές. τὰ δὲ ἄκρα, ἁπαλὰ καὶ ἔνυγρα, καθάπερ τὸ κλῆμα καὶ ἡ κραδίη. καὶ ἡ τῆς ἰτέας δὲ, καὶ τῶν ἄλλων ὁμοίως. ἐλαίας δὲ, τὰ μὲν τῶν ἀκρεμόνων ἔνικμα, διὰ τὴν λιπαρότητα καὶ πυκνότητα, καὶ ἀμφοτέρως εὐξήραντα· τὰ δ' ἄκρα, διὰ λεπτότητα ξηρὰ, καὶ οὐ δυνάμενα διαμένειν. ὡσαύτως καὶ ἀπίου, καὶ ἀμυγδαλῆς, καὶ μηλέας, καὶ δάφνης, καὶ ἄλλων. ἀβλαστῆ γὰρ τὰ τούτων, διὰ τὴν αὐτὴν αἰτίαν· πλὴν καὶ εἴ τι ἐναντίον, καὶ ὡς παράλογον. καὶ γὰρ τὸ ἀπὸ ἀκρεμόνων ἐνίων, συμβαίνει· οἷον ἀμυγδαλῆς. δάφνην δὲ, ἀδύνατον· ἐπεὶ οὐδὲ ἀπὸ παρασπάδος ἐθέλει ῥᾳδίως. αἰτία δ' ὥσπερ ἐλέγομεν, ἡ ξηρότης, καὶ τοῦτό γ' ἔτι ἡ πυκνότης. ἀσθενέστερον γοῦν καὶ πρὸς τὸ διατηρῆσαι ὅπου πλεῖον, τὸ μᾶλλον· ὅσα δὲ καὶ ἀπὸ ξύλων ἔμβια καὶ δύναται βλαστάνειν, οἷον ἐλαία, μύρρινος, κότινος, καὶ αὐτὰ τῇ πυκνότητι, καθάπερ ἐλέχθη, τηρεῖν τὴν ζωτικὴν ἀρχὴν, ἔχοντά τινα ὑγρότητα τοιαύτην. οὐ γὰρ ἱκανὸν, ἐὰν ᾖ πυκνόν γε ἢ ξηρὸν καὶ ἀπαράβλαστον. ἐπεὶ δὲ καὶ ἡ παραβλάστησις τῶν τοιούτων, διὰ τὸ πρεμνῶδες καὶ ξυνεστραμμένην πως εἶναι τὴν ῥίζαν, ὥσπερ καὶ τὴν δάφνης. ἰσχύει γὰρ μᾶλλον, ἢ καὶ δυσώλεθρα τὰ τοιαῦτα. τὸ γὰρ καταλειπόμενον, ἀεὶ βλαστητικόν. τῶν δὲ μακρορρίζων, διὰ τὴν τῶν ῥιζῶν ἰσχύν· ὥσπερ ἀπίου, καὶ κοκκυμηλέας, καὶ ἑτέρων. τάχα δὲ καθόλου περὶ πάντων ὧδε λεκτέον· πρῶτον μὲν, ὅτι μετέωρα, καὶ οὐ βαθύρριζά ἐστιν, εἰ καί τινες εἰς βάθος καθιᾶσιν, ἀλλ' ἔνιαι καὶ ἐπιπολῆς. ἔπειθ' ὅτι πάντων, ὅταν συρροῆς γινομένης συνθερμανθῇ τὸ ὕδωρ, καὶ συμπεφθῇ ὑπὸ τοῦ ἡλίου, καθάπερ κυῆσαν ἐκτίκτει. καὶ γὰρ ἐκ τῶν ἀκρεμόνων, οὕτω καὶ ἐκ τῶν ἄλλων οἱ βλαστοί· τούτων δὲ ὑποκειμένων, κατὰ λόγον ἤδη τὸ παραβλαστάνειν. ἡ γὰρ ῥίζα

τὸ — ἦ

πιστός· τὰ μὲν σὺν ὕδατι ἀποδευομένη καὶ καταπλαττομένη, τὰ δ' ἄλλα εἰς μέλι ξυομένη καὶ ἔλαιον. τὸ δὲ λέπιον, ἐν οἴνῳ ὀξίνῃ πινομένη. καὶ ἐπὶ τὸ δῆγμα, καταπλαττομένη. εἰς ὕπνον δὲ, ἐν οἴνῳ μέλανι αὐστηρῷ κινηθεῖσα. ἐὰν δὲ αἱ μῆτραι προσπίσωσι, μετὰ ὕδατι ἐκκλύζειν. αὕτη μὲν οὖν ἔοικε διαφέρειν τῇ πολυχρησίᾳ. τῆς δὲ σκαμμωνίας ὥσπερ ἐξ ἐναντίας ὁ ὀπὸς μόνον χρήσιμος, ἄλλο δ' οὐδέν. ἡ δὲ τοῦ πτερίδος ῥίζα μόνον, τῷ χυλῷ γλυκύστρυφνος. ἕλμινθας δὲ πλατείας ἐκβάλλει. σπέρμα δ' οὐκ ἔχει, οὐδ' ὀπόν. τέμνεται δὲ ὡραίαν, μετοπώρου φασίν. ἡ δ' ἕλμις σύμφυτον ἐνίοις ἔθνεσιν· ἔχουσι γὰρ ὡς ἐπίπαν αἰγύπτιοι, ἄραβες, ἀρμένιοι, μηδίδες, σύροι, κίλικες. θρᾶκες δ' οὐκ ἔχουσιν, οὐδὲ φρύγες. τῶν δὲ ἑλλήνων θηβαῖοί τε, οἱ περὶ τὰ γυμνάσια. καὶ ὅλως βοιωτοί. ἀθηναῖοι δ' οὔ. πάντων δὲ τῶν φαρμάκων, ὡς ἁπλῶς εἰπεῖν, βελτίω τὰ ἐκ τῶν χειμερινῶν καὶ προσβόρρων καὶ ξηρῶν. διὸ καὶ τῶν ἐν εὐβοίᾳ τὰ ἐν ταῖς αἰγαῖς ἢ τὰ ἐν τῷ τελεθρίῳ φασί· ξηρότερα γάρ. τὸ δὲ τελέθριον, σύσκιον.

ΘΕΟΦΡΑΣΤΟΥ ΠΕΡΙ ΔΥΝΑΜΕΩΣ ῬΙΖΩ͂Ν ΤῸ Κ.

ΠΕΡῚ δὲ τῶν ῥιζῶν, ὅσαι φαρμακώδεις, καὶ ὁποίας ἔχουσι δυνάμεις, εἴτε ἐν αὐταῖς, εἴτε ἐν τοῖς ὀποῖς, ἢ καὶ ἐν ἄλλῳ τῳ τῶν μορίων, ἢ καὶ τὸ ὅλον εἴη φευγαντικὸν ἢ ποσάδες ἔχει τοιαύτας δυνάμεις, καὶ περὶ τῶν χυλῶν τῶν τε εὐόσμων, καὶ τῶν ἀόσμων, ποιοῦσι διαφοράς, αἵπερ μάλιστ' ἐστὶν ἤπερ φυσικαί. τῶν δὲ ῥιζῶν πλείους μέν εἰσιν αἱ δυνάμεις, καὶ πρὸς πλείω. ζητοῦνται δ' ἢ μάλιστα αἱ φαρμακώδεις, ὡς χρησιμώτεραι· διαφέρουσαι, περί τε μὴ πρὸς ταῦτα, καὶ τῷ μὴ ἐν τοῖς αὐτοῖς ἔχειν τὴν δύναμιν, ὥσπερ εἴρηται μικρῷ πρότερον. ὡς δ' ἐπὶ τὸ ἐπίπαν αἱ πλεῖσται μὲν ἐν αὐταῖς ἔχουσι, καὶ τοῖς καρποῖς καὶ τοῖς ὀποῖς· ἔνιαι δὲ καὶ ἐπὶ τοῖς φύλλοις. σχεδὸν δὲ τὰς τε φυλλώδεις δυνάμεις τὰς πολλάς, πόας καλοῦσιν οἱ ῥιζοτόμοι.

Ταῦτα μόνα τοῦ δεκάτου ἐν τοῖς ἀντιγράφοις εὑρήκαμεν. εἰ μὴ ἄρα περὶ ἐνάτῳ συγκέχυνται τὰ λοιπά.

ΘΕΟΦΡΑΣΤΟΥ ΠΕΡΙ ΦΥΤΩΝ ΑἸΤΙΩ͂Ν ΤῸ Α.

ΤΩ͂Ν φυτῶν αἱ γενέσεις, ὅτι μέν εἰσι πλείους, καὶ πόσαι, καὶ τίνες, ἐν ταῖς ἱστορίαις εἴρηται πρότερον. ἐπεὶ δὲ οὐ πᾶσιν οἰκείως ἔχει διελθεῖν, τίνες ἑκάστοις, καὶ διὰ ποίας αἰτίας, οὐχ αἱ * χρωμένους τὰς κατὰ τὰς ἰδίας οὐσίας· δεῖ γὰρ χρὴ συμφωνεῖσθαι τοὺς λόγους τοῖς εἰρημένοις. ἡ μὲν οὖν ἀπὸ τοῦ σπέρματος γένεσις, κοινὴ πάντων ἐστὶ τῶν ἐχόντων σπέρμα· πάντα γὰρ δύναται γεννᾶν. τοῦτο δὲ καὶ τῇ αἰσθήσει φανερόν, ὅτι συμβαίνει· κατὰ δὲ τὸν λόγον, ἴσως ἀναγκαῖον. ἡ γὰρ φύσις οὐδὲν ποιεῖ μάτην· ἥκιστα δὲ ἐν τοῖς πρώτοις καὶ κυριωτάτοις. πρῶτον δὲ καὶ κυριώτατον, τὸ σπέρμα· ὥστε τὸ σπέρμα μάτην ἂν εἴη, μὴ δυνάμενον γεννᾶν· εἴπερ τούτου χάριν ἀεὶ τὸ σπέρμα, καὶ πρὸς τοῦτο πέφυκεν. ὅπερ ἐκ τῶν ἄλλων πάντων λαμβάνειν ἐστὶν ὁμολογούμενον. ἀλλὰ διὰ τὸ μὴ χρῆσθαι τοὺς γεωργοὺς ἐπ' ἐνίων, ὅτι θᾶττον ἀπ' αὐτομάτων παραγίνεται· καὶ διὰ τὸ μὴ εἶναι ῥᾳδίως ἐπιλαβεῖν λαμβάνειν μήτε τῶν δένδρων μήτε τῶν ποωδῶν τὰ σπέρματα, διὰ τὸ τὰ οὐχ οἷόν τε ἰδεῖν ἐνίοις πάνυ ὂν τὸ σπέρμα τοῦ ἐν δίχα ἐστὶ καὶ τοι, καθάπερ ἐν ταῖς ἱστορίαις εἴρηται, φανερώτατον ἐπὶ τῆς συκῆς. ἔτι δὲ κατ' ἄλλον τρόπον ἡ βλάστησις αὐτῶν, ἀλλὰ μή τι τῶν αὐτομάτων ἐκ συρροῆς καὶ σήψεως, μᾶλλον δὲ ἀλλοιώσεως γινομένης φυσικῶς. ὅτι μὲν οὖν κοινὴ πᾶσιν ἡ διὰ τοῦ σπέρματος γένεσις, φανερόν. εἰ δ' ἀμφοτέρως ἔνια, καὶ αὐτόματα καὶ ἐκ σπέρματος, οὐδὲν ἄτοπον· ὥσπερ καὶ ζῷά τινα, καὶ ἐξ ἀλλήλων καὶ ἐκ τῆς γῆς. διὸ καὶ αἱ γενέσεις κατὰ τὰς ἰδίας ἑκάστων φύσεις. ὅσα μὲν γὰρ ξηρὰ καὶ μονοφυῆ καὶ ἀπαράβλαστα, ταῦτ' οὐδεμίαν (ὡς εἰπεῖν) δέχεται φυτείαν,

σπίας. ἐν ἰσχῷ δὲ ἄγονον, ὡς ἐν πυρᾷ· τῶν γὰρ ἠλιθίων οἱ ἰατροί. ἐν Ἡρακλείᾳ δὲ, ὥς φασι, τῆς Ἀρκαδίας οἶνός ἐστιν, ὃς τοὺς μὲν ἄνδρας πινόμενος ἐξίστησι, τὰς δὲ γυναῖκας ἀτοκούσας ποιεῖ. πάλιν δ' ἐν Ἀχαΐᾳ, καὶ μάλιστα περὶ Κερυνίαν, ἀμπέλου τι γένος ἐστὶν, ἀφ' οὗ ὁ οἶνος ἐξαμβλοῦν ποιεῖ τὰς γυναῖκας τὰς κυούσας. κἂν αἱ κύνες φάγωσι τῶν βοτρύων, ἐξαμβλοῦσι καὶ αὗται. ἐπὶ δὲ τὴν γεῦσιν, οὔθ' ὁ βότρυς οὐδεμίαν αἴσθησιν ποιεῖ παρὰ τοὺς ἄλλους, οὔθ' ὁ οἶνος. ἐν Τροιζῆνι δὲ, ὁ οἶνος ἀγόνους ποιεῖ τοὺς πίνοντας. ἐν Θάσῳ δὲ, αὐτοί τινα ποιοῦσιν ὑπνωτικὸν οἶνον· ἕτερος δὲ, ὁ ἀγρυπνεῖν ποιεῖν τοὺς πίνοντας. ἀλλὰ γὰρ αὗται μὲν αἱ δυνάμεις πρὸς τὰ σώματα, καὶ ἐν τοῖς σωματικοῖς. λος Ις

ξο

81 Πρὸς δὲ τὴν ψυχὴν, τὰ μὲν συμβαίνει ὥσπερ παρακινεῖν καὶ ἐξιστάναι, καθάπερ ἐλέχθη πρότερον. ἡ δὲ τοῦ οἰνοθήρα ῥίζα δοθεῖσα ἐν οἴνῳ, πραότερον ποιεῖ καὶ ἱλαρώτερον τὸ ἦθος. ἔχει δὲ ὁ οἰνοθήρας, τὸ μὲν φύλλον ὅμοιον ἀμυγδάλῃ, πλατύτερον δέ· τὸ δὲ ἄνθος ἐρυθρὸν, ὥσπερ ῥόδον. αὐτὸς δὲ μέγας, ὡς θάμνος. ῥίζα δὲ ἐρυθρὰ καὶ μεγάλη. ὄζει δὲ αὐανθεῖσα ὥσπερ οἴνου. φιλεῖ δὲ ὀρεινὰ χωρία. φαίνεται δὲ οὐ τῶν ἀτόπων· οἷον γὰρ προσφορά τις γίνεται δύναμιν ἔχοντος οἰνώδη. ἀλλὰ τὰ δυνθέστερα καὶ πιθανώτερα, τάτε τῶν περιάπτων, καὶ ὅλως τῶν ἀλεξιφαρμάκων λεγομένων, τοῖς τε σώμασι καὶ ταῖς οἰκίαις. καὶ ὥς δή φασι, τὸ τριπόλιον, καθ' Ἡσίοδον καὶ Μουσαῖον, εἰς πᾶν πρᾶγμα σπουδαῖον χρήσιμον εἶναι. διὸ καὶ ὀρύττουσιν αὐτὸ νύκτωρ, σκηνὴν πηξάμενοι. καὶ τὰ περὶ τῆς εὐκλείας δὲ καὶ εὐδοξίας ὁμοίως, καὶ μᾶλλον. εὔκλειαν γάρ φασι ποιεῖν τὸ ἀντίῤῥιζον καλούμενον. τοῦτο δ' ὅμοιόν ἐστι τῇ ἀπαρίνῃ. ῥίζα δὲ οὐχ ὕπεστιν. ὁ δὲ καρπὸς, ὥσπερ μόσχου ῥῖνας ἔχει. τοῦτο δὲ ἀεὶ τοὺς ἀλειφομένους εὐδοξεῖν. εὐδοξεῖ δὲ, καὶ ἐάν τις τῷ ἑλειοχρύσου τῷ ἄνθει στεφανῶται, μύρῳ ῥαίνων ἐκ χρυσίου ἀπύρου. ἔχει δὲ ὁ ἑλειόχρυσος, τὸ μὲν ἄνθος χρυσοειδὲς, φύλλον δὲ λευκὸν, καὶ τὸν καρπὸν δὲ λεπτὸν καὶ σκληρόν. ῥίζαν δὲ ἐπιπόλαιον, καὶ λεπτήν. χρῶνται δὲ αὐτῷ πρὸς τὰ δακετὰ, ἐν οἴνῳ καὶ πρὸς τὰ πυρίκαυστα, κατακαύσαντες καὶ μίξαντες μέλιτι. τὰ μὲν οὖν τοιαῦτα, καθάπερ καὶ πρότερον ἐλέχθη, συγχωρεῖν βουλομένων ἐστὶ τὰς ἑαυτῶν τέχνας. αἱ δὲ τῶν ῥιζῶν καὶ τῶν καρπῶν καὶ τῶν ὀπῶν φύσεις, ἐπεὶ πολλὰς ἔχουσι καὶ παντοίας δυνάμεις, ὅσαι ταὐτὸ δύνανται, καὶ τῶν αὐτῶν αἰτίαι, καὶ πάλιν ὅσαι τἀναντία, διαπορήσειεν ἄν τις κοινὸν ἴσως ἀπόρημα, καὶ ἐφ' ἑτέρων ἀπορεῖν, πότερον ὅτε τῶν αὐτῶν αἰτία κατὰ μίαν τινὰ δύναμίν ἐστιν, ἢ καὶ ἑτέρων ἐνδέχεται ταὐτὸ γίνεσθαι. τοῦτο μὲν οὖν ταύτῃ ἀφωρίσθω. εἰ δέ τινων καὶ ἄλλων τὰς φύσεις, ἢ τὰς δυνάμεις ἔχομεν εἰπεῖν, ταῦτα ῥητέον.

82 Τὸ δὲ πέπερι, καρπὸς μέν ἐστι· διττὸν δὲ αὐτοῦ τὸ γένος. τὸ μὲν γὰρ στρογγύλον, ὥσπερ ὄροβος, κέλυφος ἔχον, καὶ σάρκα, καθάπερ αἱ δαφνίδες, ὑπέρυθρον. τὸ δὲ πρόμηκες, μέλαν, σπερμάτια μηκωνικὰ ἔχον. ἰσχυρὸν δὲ πολὺ τοῦτο θατέρου. † σπερματικὰ δὲ ἄμφω. φμαντικὰ διὸ καὶ πρὸς τὸ κώνειον βοηθεῖ ταῦτά τε καὶ ὁ λιβανωτός. ὁ δὲ κνίδιος κόκκος, στρογγύλον, ἐρυθρὸν τῇ χροιᾷ· μεῖζον δὲ τοῦ πεπέριος, ἰσχυρότερον δὲ πολὺ τῇ θερμότητι. διὸ καὶ ὅταν διδῶσι κατὰ ποτοῦ (δίδοασι γὰρ πρὸς κοιλίας λύσιν) ἐν ἄρτῳ. ἢ στέατι περιπλάττοντες· κάει γὰρ ἄλλως τὸν φάρυγγα. θερμαντικὸν δὲ καὶ ἡ τῆς πευκεδάνου ῥίζα, διὸ καὶ ἄλειμμά τι ποιοῦσιν ἐξ αὐτῆς ἱδρωτικὸν, ὥσπερ ἐξ ἄλλων. δίδοται δὲ ἡ τῆς πευκεδάνου, καὶ πρὸς τοὺς σπλῆνας. τὸ δὲ σπέρμα οὐ χρήσιμον, οὐδὲ ὁ ὀπὸς αὐτῆς. γίνεται δὲ ἐν Ἀρκαδίᾳ. δαῦκον δὲ περὶ τὴν σπαρτιακὴν τῆς Ἀχαΐας διάφορον, θερμαντικὸν φύσει· ῥίζαν δὲ ἔχει μέλαιναν. θερμαντικὸν δὲ καὶ δριμὺ καὶ τῆς ἀμπέλου τῆς ἀγρίας ἡ ῥίζα. διὸ καὶ εἰς ψίλωθρον χρήσιμον, καὶ ἐφηλίδας ἐπάγειν. τῷ δὲ καρπῷ ψιλοῦσι τὰ δέρματα. τέμνεται δὲ πᾶσαν ὥραν, ὀπώρας δὲ μάλιστα. δρακοντίου δὲ ῥίζα, βῆχας ἐν μέλιτι διδομένη παύειν χρησίμη. καυλὸν δὲ ἔχει ποικίλον, ὀφιώδη. σπέρματι δὲ οὐ χρῶνται. ἡ δὲ τοῦ θαψίας, ἐμετική. ἐὰν δέ τις κατάσχῃ, καθαίρει καὶ ἄνω καὶ κάτω, δύναται δὲ καὶ τὰ πελιώματα ἐξαίρειν. ὑπώπια δὲ ποιεῖ, ἀλλὰ ἔκλευκα. ὁ δὲ ὀπὸς ἰσχυρότερος αὐτῆς· καθαίρει δὲ καὶ ἄνω καὶ κάτω. σπέρματι δ' οὐ χρῶνται. γίνεται δὲ καὶ ἄλλοθι μὲν, ἀτὰρ καὶ ἐν τῇ Ἀττικῇ· καὶ τὰ βοσκήματα ταύτης οὐχ ἅπτεται τὰ ἐγχώρια, τὰ δὲ ξένα βόσκεται· καὶ διάῤῥοια αὐτοῖς γίνεται, ἢ διαφθείρεται. τὸ δὲ πολυπόδιον μετὰ τὰ ὕδατα αἰεὶ βάλλει. σπέρμα δὲ οὐ φύει. τὸ δὲ τῆς ἐβένου ξύλον κατὰ μὲν τὴν πρόσοψιν ὅμοιον πύξῳ. φλοισθὲν δὲ, μέλαν γίνεται. χρήσιμον δὲ πρὸς ὀφθαλμίας, ἀκόνῃ τριβόμενον. ἡ δὲ ἀριστολοχία, παχεῖα, καὶ ἐσθιομένη πικρὰ, τῷ χρώματι μέλαινα καὶ εὔοσμος. τὸ δὲ φύλλον στρογγύλον. οὐ πολὺ δὲ, τὸ ὑπὲρ τῆς γῆς. φύεται δὲ μάλιστα καὶ ἐν τοῖς ὄρεσι, καὶ αὕτη βελτίστη. τῇ δὲ χρείᾳ αὐτῆς εἰς πολλὰ καταχρῶνται. ἀρίστη μὲν πρὸς τὰ κεφαλόθλασα. ἀγαθὴ δὲ πρὸς τὰ ἄλλα ἕλκη, καὶ πρὸς ὕπνον, καὶ πρὸς τὰ ἑρπετὰ, καὶ πρὸς ὑστέραν ὡς πεσσός.

πρὸς τὰ ἔμψυχα σώματα μόνον, ἀλλὰ καὶ πρὸς τὰ ἄψυχα. Λέγουσι γὰρ ἄκανθάν τινα 19

εἶναι, ἣ πήγνυσι τὸ ὕδωρ ἐμβαλλομένη. πηγνύναι δὲ καὶ τὴν τῆς ἀλθαίας ῥίζαν, ἐάν τις ῥίψας ἐμβάλλῃ, καὶ θῇ ὑπαίθριον. ἔχει δὲ ἡ ἀλθαία, φύλλον μὲν ὅμοιον τῇ μαλάχῃ, πλὴν μεῖζον καὶ δασύτερον. τὸν δὲ καυλὸν μαλακόν, ἄνθος δὲ μήλινον, καρπὸν δ' οἷον μαλάχη. ῥίζαν δὲ ἐνώδη λευκὴν· τῇ γεύσει δὲ ὥσπερ τῆς μαλάχης ὁ καυλός. χρῶνται δὲ αὐτῇ πρός τε τὰ ῥήγματα, καὶ τὰς βῆχας, ἐν οἴνῳ γλυκεῖ· καὶ ἐπὶ τὰ ἕλκη, ἐν ἐλαίῳ. ἱστορεῖν δέ τινα, συμψωμένην τοῖς κρέασι, συνάπτειν εἰς τὸ αὐτό· καὶ τὰς μὲν πηγνύναι, τὰς δὲ καὶ ἕλκειν, ὥσπερ ἡ λίθος καὶ τὸ ἤλεκτρον. καὶ ταῦτα μὲν ἐν τοῖς ἀψύχοις. συλλέγειν Τὸ δὲ θηλύφονον (οἱ δὲ σκορπίον καλοῦσι, διὰ τὸ τὴν ῥίζαν ὁμοίως ἔχειν τῷ σκορπίῳ) ἐπιξυόμενον, ἀποκτείνειν τὸν σκορπίον. ἐὰν δέ τις ἐλλέβορον λευκὸν καταπάσῃ, πάλιν ἀνίστασθαί φασιν. ἀπολλύουσι δὲ καὶ βοῦς, καὶ ὑποζύγια, καὶ πρόβατα, καὶ ἁπλῶς πᾶν τετράπουν, ἐὰν εἰς τὰ αἰδοῖα τεθῇ ἡ ῥίζα, ἢ φύλλον, αὐθημερόν. χρήσιμον δὲ πρὸς σκορπίου πληγήν, πινόμενον. ἔχει δὲ τὸ μὲν φύλλον, ὅμοιον κυκλαμίνῳ. τὴν δὲ ῥίζαν, ὥσπερ ἐλέχθη, σκορπίῳ. φύεται δὲ ὥσπερ ἡ ἄγρωστις, καὶ γόνατα ἔχει. φιλεῖ δὲ χωρία σκιώδη. εἰ δὲ ἀληθῆ τὰ περὶ τῶν σκορπίων, ἤδη καὶ τ' ἄλλα οὐκ ἀπίθανα τὰ τοιαῦτα· καὶ τὰ μυθώδη δέ, οὐκ ἀλόγως σύγκειται. Ἐν δὲ τοῖς ἡμετέροις σώμασι, χωρὶς τῶν πρὸς ὑγίειαν καὶ νόσον καὶ θάνατον καὶ πρὸς ἄλλας δυνάμεις, ἔχειν φασὶν οὐ μόνον περὶ τῶν σωματικῶν, περὶ τὸ γεννᾶν καὶ ἀγονεῖν· καὶ ἔνιά γε εἶναι τῶν τὸ αὐτὸ ποιεῖν ἄμφω, καθάπερ ἡδὺ τῶν ὀρχέων καλουμένων. ἀγενές δυοῖν γὰρ ὄντοιν, τοῦ μὲν μεγάλου, τοῦ δὲ μικροῦ, τὸν μὲν μέγαν ἐνεργότερον ποιεῖν πρὸς τὰς ὁμιλίας, ἐν γάλακτι διδόμενον αἰγὸς ὀρεινῆς, τὸν δὲ ἐλάττω συνίεσθαι καὶ κωλύειν. ἔχει δὲ τὸ μὲν φύλλον σιλφῶδες, λειότερον δὲ καὶ ἔλαττον· τὸν δὲ καυλὸν ὁμοιότατον ἀπίῳ, ἀπύρῳ, ὥσπερ ἄκανθα. ἄτοπον δέ, ὥσπερ ἐλέχθη, τὸ ἐκ μιᾶς φύσεως καὶ τὸ αὐτό. ἐπεὶ τὸ δύο εἶναι τινὰς τοιαύτας δυνάμεις, οὐκ ἄτοπον. καὶ γὰρ καὶ ἄλλοι τινές, καὶ Ἀριστόφιλος ἔλεγεν ὁ Πλαταιϊκὸς ὁ φαρμακοπώλης, ὅτι πρὸς ἀμφότερα δυνάμεις τινὰς ἔχει, τὴν μὲν ὥστε μᾶλλον δύνασθαι, τὴν δὲ ὥστε ἁπλῶς μὴ δύνασθαι· ταύτης δὲ καὶ τὸ ὅλον δύνασθαι τῆς ἀδυναμίας. καὶ γὰρ εἰς χρόνον ὡρισμένον, οἷον δίμηνον, ἢ τρίμηνον· ᾗ κεχρῆσθαι πρὸς τοὺς παῖδας, ὁπότε βούλοιτο τινὰ κολάσαι καὶ σωφρονίσαι. ἔνια δ' εἶναι καὶ εἰς τὸ ἀρρενογονεῖν, ἢ θηλυγονεῖν· διὸ καὶ καλοῦσι φύλλον, τὸ μὲν ἀρρενόγονον, τὸ δὲ θηλύγονον· ὅμοια δ' ἄμφω, καὶ μορφὴν ἔχοντα ὠκίμου· ὁ δὲ καρπὸς τοῦ μὲν θηλυγόνου, καθάπερ ἐλαίας βρύου, ὠχρότερος δέ. τοῦ ἀρρενογόνου δέ, οἷόνπερ ἐλαία, ὅταν ἄρτι φύηται ἐκ τοῦ βρύου. δίκρουν δέ, ὥσπερ ὄρχεις ἀνθρώπου. πρὸς δὲ τὸ μὴ γόνιμον εἶναι τὸ σπέρμα, τῆς λευκακάνθου τὸν καρπόν φασι. πρὸς δ' αὐτὸ γόνιμον, τὸν τῆς κραταιγόνου καρπὸν ἐν ὕδατι. φύεται δὲ τοῦτο, ὥσπερ λίνον πύρινον· ὁ δὲ καρπός, οἷον κέγχρος. ἀδυνατεῖν δέ φασι γεννᾶν, καὶ ἐάν τις τοῦ κλυμένου τὸν καρπὸν πίνῃ συνεχῶς τριάκοντα ἡμέρας ἐν οἴνῳ λευκῷ, συμμίξας ὅσον χοίνικα τὸ ἴσον ἀν' ἑκάστην ἡμέραν. ἐὰν γὰρ ἐκτελέσῃ τὴν πόσιν, ἀγονεῖν τὸ ὅλον. τῆς δ' ἡμιόνου τὸ φύλλον, ταῖς γυναιξὶν εἰς τὸ ἀγονεῖν. μίγνυσθαι δέ φασι καὶ τὸν σπλῆνα τῆς ἡμιόνου, καὶ τοῦ † δέρματος. σπέρματος ὅμοιον δὲ τὸ φύλλον σκολοπενδρίῳ, ῥίζας δὲ λεπτάς, ὀρεινὰ δὲ χωρία φιλεῖ καὶ τραχώδη. χαίρειν δὲ σφόδρα καὶ τῇ ἡμιόνου αὐτῷ. χρῆσθαι δὲ καὶ πρὸς τοὺς σπλῆνας, ὥσπερ τῷ κλυμένῳ.

Ἡ δὲ θηλυπτερίς, 20

χρήσιμον πρὸς τὰς ἕλμινθας, τάς τε πλατείας καὶ τὰς λεπτάς. πρὸς μὲν τὰς πλατείας, ἀναδευομένη μέλιτι· πρὸς δὲ τὰς λεπτάς, ἐν οἴνῳ γλυκεῖ μετ' ἀλφίτου διδομένη. γυναικὶ δὲ ἐὰν μὲν γε δοθῇ, ἐὰν μὲν ἐγκύμονι, ἐκβάλλειν φασίν· ἐὰν δὲ μή, τὸ ὅλον ἄτεκνον γίνεσθαι. διαφέρει δὲ τῆς πτερίδος θηλυπτερίς, τῷ τὴν μὲν φύλλον ἔχειν μονόκαυλον, ῥίζαν δὲ μεγάλην καὶ μακρὰν καὶ μέλαιναν. τούτων μὲν οὖν αἱ δυνάμεις πρὸς τὰς γενέσεις. θαυμασιωτάτη δέ, ἣν ὁ Ἰνδὸς εἶχεν. οὐ γὰρ προσενεγκαμένοις, ἀλλ' ἁψαμένοις ἔφασαν ἂν τὸ αἰδοῖον τείνεσθαι. τὴν δύναμιν δ' οὕτως ἰσχυρὰν εἶναι, ὥσθ' ὁπόσαις ἂν βούλωνται, πλησιάζειν. τοὺς δὲ χρησαμένους φάναι καὶ δώδεκα. αὐτὸν γοῦν λέγειν (εἶναι γὰρ ἦν ἰσχυρὸς καὶ μέγας) ὅτι ἑβδομήκοντά ποτε πλησιάσειε. τὴν δὲ πρόεσιν αὐτῷ τοῦ σπέρματος εἶναι κατὰ στράγγα, τελευτῶντα δὲ εἰς αἷμα ἀναγαγεῖν. ἔτι δὲ σφοδροτέρως ὁρμᾶν τὰς γυναῖκας, ὅταν χρήσωνται τῷ φαρμάκῳ. αὕτη μὲν οὖν, εἴπερ ἀληθής, ὑπερβάλλουσά τις δύναμις. ει τὸ δ' ὅλον, εἶναι φύσεις τινὰς τοιαύτας, αἳ ποιοῦσιν ὁρμητικωτέρους, οὐκ ἄτοπον. ας ἐπεὶ καὶ ἐν τοῖς τροφίμοις χυλοῖς ὁρῶμεν ὅσας, καὶ ἐν ὑγροῖς καὶ ἐν ξηροῖς· ἔτι δὲ πρὸς τούτοις, ἄλλα δυνάμενα πάθη ποιεῖν. ἐνιαχοῦ μὲν γάρ φασι τὸ ὕδωρ παιδογόνον εἶναι γυναιξίν, ὥσπερ καὶ ἐν Θε-

ἔαρ, ὅταν οἱ ὀποὶ μάλιστα τῶν τοιούτων φύλλων ἀκμάζωσι· τότε γὰρ φαρμακωδέστατον τὸ γάλα. πίνουσι δὲ τὸ βόσκον· δοκεῖ γὰρ πολυωνυμώτατον, καὶ παμφαγώτατον πάντων ὁ βοῦς. φύεται δὲ παρ' αὐτοῖς, ὅ, τε ἐλλέβορος ἀμφότερος, καὶ ὁ λευκὸς καὶ ὁ μέλας· ἔτι τε δαῦκον δαφνοειδὲς κροκόχρουν, καὶ ἣν ἐκεῖνοι μὲν ῥάφανον ἀγρίαν καλοῦσι, τῶν δὲ ἰατρῶν τινὲς κέραν, καὶ ἣν οἱ μὲν ἀλβίαν, ἐκεῖνοι δὲ μαλάχην ἀγρίαν· καὶ ἡ ἀριστολοχία, καὶ τὸ σίσελι, καὶ τὸ ἱπποσέλινον, καὶ τὸ πευκέδανον, καὶ ἡ ἡρακλεία· καὶ ὁ στρύχνος ἀμφότερος, ὅ, τε φοινικοῦν ἔχων τὸν καρπόν, καὶ ὁ μέλανα. φύεται δὲ καὶ ὁ σίκυος ὁ ἄγριος, ἐξ οὗ τὸ ἐλατήριον συντίθεται. καὶ τὸ τιθύμαλλον, ἐξ οὗ τὸ † ἱππομανής. ἄριστον δὲ τὸ περὶ τέγεαν, καὶ ἐκεῖ μάλιστα σπουδάζεται. φύεται δὲ καὶ ἄλλοθι πλεῖον, πλεῖστον δὲ καὶ κάλλιστον φύεται περὶ τὴν κλειτορίαν. ἡ δὲ πανάκεια γίνεται, καὶ τὸ πετραῖον, περὶ ψωφίδα καὶ πλείστη καὶ ἀρίστη. τὸ δὲ μῶλυ περὶ φενεόν, καὶ ἐν τῇ κυλλήνῃ. φασὶ δ' εἶναι καὶ ὅμοιον, ὡς Ὅμηρος εἴρηκε· τὴν μὲν ῥίζαν ἔχον στρογγύλην, προσεμφερῆ κρομμύῳ· τὸ δὲ φύλλον ὅμοιον σκίλλῃ, χρῆσθαι δὲ αὐτῷ πρός τε τὰ ἀλεξιφάρμακα, καὶ τὰς μαγείας· οὐ μὴν ὀρύττειν γε εἶναι χαλεπόν, ὡς Ὅμηρός φησι. τὸ δὲ κώνειον, ἄριστον περὶ σοῦσα, καὶ ἐν τοῖς ψυχροτάτοις τόποις. γίνεται δὲ καὶ ἐν τῇ λακωνικῇ τὰ πολλὰ τούτων. καὶ γὰρ αὕτη πολυφάρμακος. ἐν ἀρκαδίᾳ δὲ ἡ τετραγάκανθα πολλή, καὶ οὐδὲν χεῖρον (ὡς οἴονται) τῆς κρητικῆς, ἀλλὰ καὶ τῇ ὄψει καλλίων, καὶ δαῦκον, περὶ τὴν πατρικὴν διαφέρον. ἔστι δὲ θερμαντικὸν φύσει· ῥίζαν δὲ ἔχει μέλαιναν. φύεται δὲ τὰ πολλὰ τούτων καὶ ἐν τῷ παρνασῷ, καὶ περὶ τὸ τελέθριον. καὶ ταῦτα μὲν κοινὰ πλειόνων χώρων.

Τὸ δὲ δίκταμνον, ἴδιον τῆς κρήτης· θαυμαστὸν δὲ τῇ δυνάμει, καὶ πρὸς πλείω χρήσιμον, μάλιστα δὲ πρὸς τοὺς τόκους τῶν γυναικῶν. ἔστι δὲ τὸ μὲν φύλλον παρόμοιον τῇ βλήχωνι, ἔχει δέ τι κατὰ τὸν χυλὸν ἐμφερές, τὰ δὲ κλωνία λεπτότερα. χρῶνται δὲ τοῖς φύλλοις, οὐ τοῖς κλωνίοις, οὐδὲ τῷ καρπῷ. χρήσιμον δὲ πρὸς πολλὰ μὲν καὶ ἄλλα, μάλιστα δὲ (ὥσπερ ἐλέχθη) πρὸς τὰς δυστοκίας τῶν γυναικῶν· ἢ γὰρ εὐτοκεῖν φασι ποιεῖν, ἢ παύειν γε τοὺς πόνους ὁμολογουμένως. δίδοται δὲ πίνειν ἐν ὕδατι. σπάνιον δέ ἐστι· καὶ γὰρ ὀλίγος ὁ τόπος ὁ φέρων. καὶ τοῦτον αἱ αἶγες ἐπινέμονται, διὰ τὸ φιλεῖν. ἀληθὲς δέ φασιν εἶναι καὶ τὸ περὶ τῶν βελῶν, ὅτι φαγοῦσαι ὅταν τοξευθῶσιν ἐκβάλλειν. τὸ μὲν οὖν δίκταμνον τοιοῦτόν γε, καὶ τοιαύτας ἔχει τὰς δυνάμεις· τὸ δὲ ψευδοδίκταμνον, τῷ μὲν φύλλῳ ὅμοιον, τοῖς κλωνίοις δ' ἔλαττον, τῇ δυνάμει δὲ πολὺ λειπόμενον. βοηθεῖ μὲν γὰρ καὶ ταῦτα, χεῖρον δὲ πολλῷ καὶ ἀσθενέστερον. ἔστι δὲ δῆλος ἐν τῷ στόματι φανερὰ ἡ τοῦ δικτάμνου δύναμις. θερμαίνει γὰρ ἀπὸ μικροῦ σφόδρα. τιθέασι δὲ καὶ τὰς δεσμίδας ἐν νάρθηκι, καὶ καλάμῳ, πρὸς τὸ μὴ ἀποπνεῖν. ἀσθενέστερον γάρ, ἐὰν ἀποπνεύσῃ. λέγουσι δέ τινες, ὡς ἡ μὲν φύσις μία ἡ τοῦ δικτάμνου, καὶ ἡ τοῦ ψευδοδικτάμνου, διὰ δὲ τὸ ἐν ἀγαθωτέροις φύεσθαι τόποις, χεῖρον γίνεσθαι, καθάπερ ἄλλα πολλὰ πλείω τούτων κατὰ τὰς δυνάμεις. τὸ γὰρ δίκταμνον φιλεῖ χώραν τραχεῖαν. ἔστι δὲ καὶ ἕτερον δίκταμνον, ὥσπερ ὁμώνυμον, οὔτε τὴν ὄψιν ἔχον, οὔτε τὴν δύναμιν τὴν αὐτήν. φύλλον τε γὰρ ἔχει ὅμοιον σισυμβρίῳ, τούς τε κλάδους μείζους· ἔτι δὲ τὴν χρείαν καὶ τὴν δύναμιν οὐκ ἐν τοῖς αὐτοῖς. τοῦτο μὲν οὖν, ὥσπερ ἐλέχθη, θαυμαστὸν ἅμα, καὶ ἴδιον τῆς νήσου. φασὶ δέ τινες, ὅλως τὰ φύλλα καὶ τῶν θάμνων, καὶ ἁπλῶς τῶν ὑπὲρ γῆς, τὰ ἐν κρήτῃ διαφέρειν. τῶν δὲ ἄλλων τῶν γε πλείστων, τὰ ἐν τῷ παρνασῷ. τὸ δ' ἀκόνιτον γίνεται μέν, ὥς φασι, καὶ ἐν κρήτῃ, καὶ ἐν ζακύνθῳ· πλεῖστον δὲ καὶ ἄριστον ἐν ἡρακλείᾳ τῇ ἐν τῷ πόντῳ. ἔχει δὲ φύλλον μὲν κιχωριῶδες, ῥίζαν δὲ ὁμοίαν τῷ σχήματι καὶ τῷ χρώματι καρύῳ· τὴν δὲ δύναμιν τὴν θανατηφόρον ἐν ταύτῃ, τὸ δὲ φύλλον καὶ τὸν καρπὸν οὐδέν φασι ποιεῖν. καρπὸς δέ ἐστι πόας, καὶ οὐχ ὑλήματος. βραχεῖα δ' ἡ πόα, καὶ οὐδὲν ἔχουσα περιττόν, ἀλλὰ παρομοία τῷ σίτῳ. τὸ δὲ σπέρμα οὐ σταχυηρόν. φύεται δὲ πανταχοῦ, καὶ οὐκ ἐν ταῖς ἀκόναις μόνον, ἀφ' ὧν ἔχει τὴν προσηγορίαν. αὕτη δέ ἐστι κώμη τις τῶν περιανδυνῶν. φιλεῖ δὲ μάλιστα τοὺς πετρώδεις τόπους. οὐ νέμεται δὲ οὔτε πρόβατον, οὔτε ἄλλο ζῶον οὐδέν. συντίθεσθαι δὲ τρόπον τινὰ πρὸς τὸ ἐργάζεσθαι, καὶ οὐ παντὸς εἶναι· διὸ καὶ τοὺς ἰατροὺς οὐκ ἐπισταμένους συντιθέναι, σηπτικῷ τε χρῆσθαι. καὶ πρὸς ἄλλα ἄττα πινόμενον οὐδεμίαν αἴσθησιν ποιεῖ, οὔτ' ἐν οἴνῳ, οὔτ' ἐν μελικράτῳ. συντίθεσθαι δέ, ὥστε κατὰ χρόνους τακτοὺς ἀναιρεῖν, οἷον δίμηνον, τρίμηνον, ἑξάμηνον, ἐνιαυτόν, τοὺς δὲ καὶ δύο ἔτη. χαλεπώτατα δὲ ἀπαλλάττειν, τοὺς ἐν πλείστῳ χρόνῳ καταφθίνοντας τοῦ σώματος, ῥᾷστα δὲ τοὺς παραχρῆμα. λυτικὸν δὲ φάρμακον οὐχ εὑρῆσθαι,

ὀλίγανον καὶ φύλλον ὅμοιον λεπτῷ, πολὺ στρογγυλώτερον. φύεται δὲ ὑπὲρ γῆς, ὥσπερ ἄχερωίς. φιλεῖ δὲ καὶ μάλιστα χωρία. οὐρητικὴ δέ, διὸ καὶ χρῶνται πρὸς τὰ τῆς ὀσφύος ἀλγήματα, καὶ πρὸς τὰ τῆς ἰσχιάδος. ἔνιαι δὲ ἰδιόμορφοί εἰσιν· ὥσπερ ἥ τε τοῦ σκορπίου καλουμένη, καὶ ἡ τοῦ πολυποδίου. ἡ μὲν γὰρ ὁμοία σκορπίῳ, καὶ χρησίμη δὲ πρὸς τὴν πληγὴν αὐτοῦ, καὶ πρὸς ἄλλ' ἄττα. ἡ δὲ τοῦ πολυποδίου δασεῖα, καὶ ἔχουσα κοτυληδόνας, ὥσπερ αἱ τοῦ πολύποδος πλεκτάναι. καθαίρει δὲ κάτω. ἐὰν περιάψηταί τις, ὥς φασιν, ἐμφύεσθαι πολύπουν. ἔχει δὲ φύλλον ὅμοιον τῇ πτερίδι τῇ μεγάλῃ. καὶ φύεται ἐν ταῖς πέτραις. πασῶν δὲ τῶν ῥιζῶν αἱ μὲν πλείω χρόνον, αἱ δὲ ἐλάττω διαμένουσιν. ὁ μὲν γὰρ ἐλλέβορος, καὶ τριάκοντα ἔτη χρήσιμος· ἡ δὲ ἀριστολοχία, πέντε ἢ ἕξ· χαμαιλέων δὲ γε ὁ μέλας, τετταράκοντα. κενταύριον δέ, δέκα καὶ δώδεκα· πίειρα δὲ ἡ ῥίζα, καὶ πυκνή. πευκέδανον δέ, πέντε ἢ ἕξ· ἀμπέλου δὲ ἀγρίας, ἐνιαυτὸν, ἐὰν ἐν σκιᾷ ᾖ καὶ ἄπληκτος· εἰ δὲ μή, σαπρὰ καὶ σομφώδης. ἄλλαι δὲ ἄλλως ἔχουσι χρόνους. πάντων δὲ ὅλως τῶν φαρμάκων πλεῖστον διαμένει χρόνον, τὸ ἐλατήριον· καὶ ὅσῳ παλαιότερον, ἄριστον. ἰατρὸς δὲ οὖν τις ἔλεγεν, οὐκ ἀλαζὼν, οὐδὲ ψεύστης, ὡς εἴπερ αὐτῷ διακοσίων ἐτῶν, θαυμαστὸν δὲ τὴν ἀρετήν. δοῦναι δέ τινα αὐτῷ δῶρον. αἰτία δὲ τῆς χρονιότητος, ἡ ὑγρότης. διὰ γὰρ ταύτην καὶ ὅταν κόψωσι, τιθέασιν ὡς τέφραν ὑγράν, καὶ οὐδ' ὡς ξηρὸν γίνεται, ἀλλ' ἄχρι πεντήκοντα ἐτῶν, σβέννυσι προσαγόμενον σὺν αὐχμοῖς. φασὶ δὲ μόνον, μάλιστα ὑπὲρ ἔτος ἄνω ποιεῖν τῶν φαρμάκων. αὕτη μὲν οὖν ἰδιότης τῆς δυνάμεως. τῶν δὲ ῥιζῶν ὅσαι μὲν γλυκύτητά τινα ἔχουσι, συμβαίνει θριπηδέστους γίνεσθαι χρονιζομένας· ὅσαι δὲ δριμεῖαι, ταύτας μὲν μὴ πάσχειν. ἀμαυροῦσθαι δὲ αὐτῶν τὰς δυνάμεις, μανουμένων καὶ κενουμένων. τῶν δὲ ἔξω θηρίων, ἄλλο μὲν οὐδὲν ἅπτεται ῥίζης οὐδεμιᾶς· ἡ δὲ σφονδύλη, πασῶν. τοῦτο δὲ οὖν ἴδιον τῆς τοῦ ζώου φύσεως· πᾶσαν δὲ χείρω γίνεσθαι ῥίζαν, ἐὰν ἐάσῃ τις πλεονασθῆναι καὶ ἁδρυνθῆναι τὸν καρπόν. ὡσαύτως δὲ καὶ τὸν καρπόν, ἐὰν ὀπίσῃς τὴν ῥίζαν. ὡς ἐπὶ πολὺ δὲ αἱ φαρμακώδεις, οὐκ ὀπίζονται. ὧν δὲ αὖ τὰ σπέρματα φαρμακώδη, αὗται δὲ ὀπίζονται. χρῆσθαι δὲ τῷ καρπῷ μᾶλλόν φασι ταῖς ῥίζαις· ὅτι ἰσχυρότερος ὁ καρπός, ὥσθ' ὑπερνικᾶν τὸ σῶμα. φαίνεται δὲ οὐ καθόλου τοῦτ' ἀληθές· ἐπεὶ καὶ οἱ ἐν Ἀντικύρᾳ τῷ σησαμοειδεῖ ἐλλεβόρῳ διδόασιν, ὅτι ὁ καρπὸς ὅμοιος συνεστώς. Φαρμακώδεις δὲ δοκοῦσιν εἶναι τόποι, μάλιστα μὲν ἔξω τῆς Ἑλλάδος, οἱ περὶ Τυρρηνίαν, καὶ τὴν Λατίνην, ἐν ᾗ καὶ τὴν Κίρκην εἶναι λέγουσι· καὶ ἔτι γε μᾶλλον, ὡς Ὅμηρός φασι, περὶ Αἴγυπτον. ἐκεῖθεν γὰρ τὴν Ἑλένην λαβεῖν,

›› ἐσθλὰ τά οἱ Πολύδαμνα πόρεν Θῶνος παράκοιτις,
›› Αἰγυπτίη. τῇ πλεῖστα φύει ζείδωρος ἄρουρα
›› φάρμακα, πολλὰ μὲν ἐσθλὰ τετυγμένα, πολλὰ δὲ λυγρά.

ἐν οἷς δὲ καὶ τὸ νηπενθὲς ἐκεῖνό φησιν εἶναι, καὶ ἄχολον, ὥστε λήθην ποιεῖν καὶ ἀπάθειαν τῶν κακῶν. καὶ σχεδὸν οὗτοι μὲν ἐοίκασιν, ὥσπερ ἐκ τῶν ποιητῶν ὑπολελεῖφθαι· καὶ γὰρ Αἰσχύλος ἐν ταῖς ἐλεγείαις, ὡς πολυφάρμακον λέγει τὴν Τυρρηνίαν·

›› Τυρρηνὸν γενεὰν φαρμακοποιὸν ἔθνος.

οἱ τόποι πάντες πως φαίνονται μετέχειν τῶν φαρμάκων, ἀλλὰ τῷ μᾶλλον καὶ τῷ ἧττον διαφέρειν. καὶ γὰρ οἱ πρὸς ἄρκτον, καὶ μεσημβρίαν, καὶ οἱ πρὸς ἀνατολάς, ἔχουσι θαυμαστὰς δυνάμεις. ἐν Αἰθιοπίᾳ γάρ, ἣ καὶ τοὺς οἰστοὺς χρίουσι, ῥίζα τίς ἐστι θανατηφόρος. ἐν δὲ Σκύθαις αὕτη τε καὶ ἕτεραι πλείους, αἱ μὲν παραχρῆμα ἀπολλύουσαι τοὺς προσενεγκαμένους, αἱ δὲ ἐν χρόνοις, αἱ μὲν ἐλάττοσιν, αἱ δὲ πλείοσιν, ὥστε φθίσει καταφθίνειν. ἐν Ἰνδοῖς τε καὶ ἕτερα μὲν πλείω, περιττότατα δὲ, ἅπερ ἀληθῆ λέγουσιν, ἅ τε δυνάμενα τὸ αἷμα διαχεῖν, καὶ οἷον ὑποφεύγειν· καὶ πάλιν ἡ συνάγουσα, καὶ πρὸς ἑαυτὴν ἀνακαλουμένη· ἃ δή φασιν εὑρῆσθαι πρὸς τὰ τῶν ὄφεων τῶν θανατηφόρων δήγματα. περὶ δὲ τὴν Θρᾴκην εἶναι μὲν καὶ ἑτέρας οὐκ ὀλίγας· ἰσχυροτάτην δὲ, ὡς εἰπεῖν, τὴν ἴσχαιμον. ἴσχειν λέγουσιν οἱ μὲν κεντηθείσης τῆς φλεβός, οἱ δὲ καὶ σφοδρότερον διατμηθείσης, ἴσχειν καὶ κωλύειν τὴν χύσιν. ταῦτα μὲν οὖν, ὥσπερ εἴπομεν, ἔοικε δηλοῦν τὸ κοινόν. καὶ τῶν ἔξω τόπων οἱ φαρμακωδέστατοι, οὗτοί εἰσι. τῶν δὲ περὶ τὴν Ἑλλάδα τόπων, φαρμακωδέστατον τό τε Πήλιον τὸ ἐν Θετταλίᾳ, καὶ τὸ Τελέθριον τὸ ἐν τῇ Εὐβοίᾳ, καὶ ὁ Παρνασός, ἔτι δὲ ἡ Ἀρκαδία, καὶ ἡ Λακωνική· καὶ γὰρ αὗται φαρμακώδεις ἀμφότεραι, διὸ καὶ οἱ γε Ἀρκάδες εἰώθασιν ἀντὶ τοῦ φαρμακοποτεῖν, γαλακτοποτεῖν περὶ τὸ

ἔαρ

τῆς μὲν γὰρ λευκὰ καὶ γλυκεῖα, καὶ παχεῖα, καὶ ὀσμὴν ἔχουσα βαρεῖαν. χρησίμη δέ φασι πρὸς τοὺς ξηρούς, ὅταν ἑψηθῇ κατατετμημένη, ὥσπερ ῥαφανὶς ἐν λοπάδι ἐφ' ὁλοσχοίνῳ. καὶ πρὸς τὴν ἕλμινθα τὴν πλατεῖαν, ὅταν ἀσταφίδα προφάγῃ πίνειν ἀποξύοντα ταύτην, ἔξω ὀξύβαφον ἐν οἴνῳ αὐστηρῷ. ἀναιρεῖ δὲ καὶ κύνα, καὶ σῦν. κτείνει δὲ, ἐν ἀλφίτοις ἀναφυραθεῖσα μετ' ἐλαίου καὶ ὕδατος. σῦν δὲ, μετὰ ῥαφανίου μιγνυμένη τῷ ὀρείῳ. γυναικὶ δὲ δίδοται ἐν ζυγὶ γλυκέος, καὶ ἐν οἴνῳ γλυκεῖ. καὶ ἐὰν βούληταί τις ἀσθενοῦντος ἀνθρώπου διαπειράζεσθαι εἰ βιώσιμος, λούειν κελεύουσι τρεῖς ἡμέρας· κἂν περιφύγῃ, βιώσιμος. φύεται δὲ ὁμοίως πανταχοῦ· καὶ ἔχει τὸ φύλλον ὅμοιον σκολύμῳ, μεῖζον δὲ αὐτὸ δὲ πρὸς τῇ γῇ. τὴν δὲ κεφαλὴν ἔχει ὁμοίαν ἀκάνῳ μασέλην. ὃ δ' ἄκανον καλοῦσιν. ὁ δὲ μέλας, τὸ μὲν φύλλον παρόμοιον· σκολυμῶδες γὰρ ἔχει, πλὴν ἔλαττον καὶ λειότερον. αὐτὸς δ' ὅλως ὥσπερ σκιάδιον. ἡ δὲ ῥίζα παχεῖα, καὶ μέλαινα. διαρραγεῖσα δὲ, ὑπόξανθος. φιλεῖ δὲ χωρία ψυχρὰ, καὶ ἀργά. ἰᾶται δὲ λέπραν ἐξαλείφων ἐν ὄξει βεβρεγμένος, καὶ ῥιζεὶς ἐπαλειφόμενος· καὶ ἀλφὸν ὡσαύτως. ἀναιρεῖ δὲ καὶ τοὺς κύνας. Μήκωνες δ' εἰσὶν ἄγριαι πλείους. ἡ μὲν κερατῖτις καλουμένη, ἡ δὲ μέλαινα. ταύτης τὸ φύλλον ὡς φλόμου, τῆς μελαίνης. ἄνθος δὲ μέλαν. ὁ δὲ καυλὸς τὸ ὕψος ὡς πηχυαῖον. ῥίζα δὲ βραχεῖα, καὶ ἐπιπόλαιος. ὁ δὲ καρπὸς καμπύλος, ὥσπερ τῶν κεράτων. συλλέγεται δὲ περὶ πυροτομίας. δύναται δὲ καθαίρειν κοιλίαν. τὸ δὲ φύλλον ἄργεμα προβάτοις ἀφαιρεῖ. φύεται δὲ παρὰ τὴν θάλατταν, ἐν αἷς ἢ τραχέα χωρία. ἑτέρα δὲ μήκων ῥοιὰς καλουμένη, παρομοία κιχορίῳ τῷ ἀγρίῳ. διὸ καὶ ἐσθίεται. ἐν τοῖς ἀρουραίοις δὲ φύεται, μάλιστα ἐν ταῖς κριθαῖς. ἄνθος δ' ἔχει ἐρυθρόν, κωδύαν δ' ὅσον ὄνυχα τοῦ δακτύλου. συλλέγεται δὲ πρὸ τοῦ θερισμοῦ τῶν κριθῶν, ἐγχλωροτέρα δὲ μᾶλλον. καθαίρει δὲ κάτω. ἑτέρα δὲ μήκων, ἡρακλεία καλεῖται. τὸ μὲν φύλλον ἔχουσα οἷον στρουθός, ᾧ τὰ ὀθόνια λευκαίνουσι· ῥίζαν δὲ λευκήν, ἐπιπόλαιον. τὸν δὲ καρπόν, λευκόν. καθαίρει ἄνω ταύτης ἡ ῥίζα. χρῶνται δ' ἔνιοι πρὸς τοὺς ἐπιλήπτους, ἐν μελικράτῳ. ταῦτα μὲν οὖν ὥσπερ ὁμώνυμά τινα συνείληπται. τῶν δὲ ῥιζῶν καὶ ἐν τοῖς χυλοῖς αἱ διαφοραί, καὶ ἐν ταῖς ὀσμαῖς. αἱ μὲν γάρ εἰσι δριμεῖαι, αἱ δὲ πικραί, αἱ δὲ γλυκεῖαι. καὶ αἱ μὲν εὔοσμοι, αἱ δὲ βαρεῖαι. γλυκεῖα μὲν, ἥ τε νυμφαία καλουμένη. φύεται δ' ἐν ταῖς λίμναις, καὶ ἐν τοῖς ἑλώδεσιν· οἷον ἐν τῇ Ὀρχομενίᾳ καὶ Μαραθῶνι, καὶ περὶ Κρήτην. καλοῦσι δ' αὐτὴν οἱ Βοιωτοὶ μαδωνάϊν, καὶ τὸν καρπὸν ἐσθίουσιν. ἔχει δὲ τὸ φύλλον μέγα ἐπὶ τοῦ ὕδατος. τὴν δέ φασιν ἴσχαιμον, ἐὰν ῥίψας τις ἐπὶ τὴν πληγὴν ἐπιθῇ. χρησίμη δὲ, καὶ πρὸς τὰς δυσεντερίας πινομένη. γλυκεῖα δὲ, καὶ ἡ σκυθική· καὶ ἔνιοί γε καλοῦσιν αὐτὴν ἰδίως γλυκεῖαν * αὐτήν. γίνεται δὲ περὶ τὴν Μαιῶτιν. χρησίμη δὲ πρός τε τὰ ἄσθματα, καὶ πρὸς βῆχα ξηρόν, καὶ ὅλως τοὺς περὶ τὸν θώρακα πόνους. ἔτι δὲ πρὸς τὰ ἕλκη, ἐν μέλιτι. δύναται δὲ καὶ τὴν δίψαν παύειν, ἐάν τις ἐν τῷ στόματι ἔχῃ. διὸ ταύτῃ τε καὶ τῇ ἱππάκῃ, διαρκεῖν φασὶ τοὺς Σκύθας ἡμέρας καὶ ἕνδεκα, καὶ δώδεκα. ἡ δὲ ἀριστολοχία τῇ ὀσφρήσει μὲν εὔοσμος, τῇ δὲ γεύσει πικρὰ σφόδρα, τῇ χροιᾷ δὲ μέλαινα. φύεται δ' ἐν τοῖς ὄρεσιν ἡ βελτίστη. φύλλον δ' ἔχει προσεμφερὲς τῇ ἐλσίνῃ, πλὴν στρογγυλότερον. χρησίμη δὲ πρὸς πολλά, καὶ ἀρίστη πρὸς κεφαλήν· ἀγαθὴ δὲ καὶ πρὸς τὰ ἄλλα ἕλκη, καὶ πρὸς ἑρπετά, καὶ πρὸς ὕπνον καὶ πρὸς ὑστέρα. τὰ μὲν οὖν προσάγειν κελεύουσιν ἐν ὕδατι ἀναδεύσαντα καὶ καταπλάττοντα. τὰ δὲ ἄλλα εἰς μέλι ἐγξύσαντα, καὶ ἔλαιον. πρὸς δὲ τὰ τῶν ἑρπετῶν ἐν οἴνῳ ὀξίνῃ πίνειν, καὶ ἐπὶ τὸ δῆγμα ἐπιπλάττειν. εἰς ὕπνον δὲ, ἐν οἴνῳ μέλανι αὐστηρῷ κνίσας. ἐὰν δὲ αἱ μῆτραι προπίπτωσι, ὑπὸ ὕδατι κατακλύζειν. αὗται μὲν οὖν γλυκεῖαι· ἄλλαι δὲ πικραί, αἱ δὲ βαρεῖαι τῇ γεύσει. γίνονται δ' ἔνιαι τῶν γλυκειῶν, αἱ μὲν ἐκστατικαί, καθάπερ ἡ ὁμοία τῷ σκολύμῳ, ὁ περὶ Τέγεαν· ἣν καὶ Πανδέος ὁ ἀνδριαντοποιὸς φαγὼν ἐργαζόμενος, ἐν τῷ ἱερῷ ἐξέστη. αἱ δὲ θανατηφόροι, καθάπερ αἱ περὶ τὰ μέταλλα τὰ ἐν τῇ Θρᾴκῃ. κούφη δὲ καὶ ἡδεῖα πάνυ τῇ γεύσει, καὶ τὸν θάνατον ὑπνώδη τινὰ ποιοῦσα, καὶ ἐλαφρόν. ἔχουσι δὲ καὶ τοῖς χρώμασι διαφοράς, οὐ τῷ λευκῷ καὶ μέλανι, καὶ ξανθῷ μόνον, ἀλλ' ἔνιαι καὶ οἰνοχρῶτες καὶ ἐρυθραί, καθάπερ ἡ τοῦ ἐρυθροδάνου.

Ἡ δὲ τοῦ πενταφύλλου, ἢ πενταπέτους, (καλοῦσι γὰρ ἀμφοτέρως) ὀρυττομένη ἐρυθρά, ξηραινομένη δὲ μέλαινα γίνεται, καὶ τετράγωνος. ἔχει δὲ τὸ μὲν φύλλον ὥσπερ οἴναρον, μικρὸν δέ, καὶ τὴν χροιὰν ὅμοιον· καὶ αὐξάνεται καὶ φθίνει ἅμα τῇ ἀμπέλῳ. πάντα δὲ ῥίπτει τὰ φύλλα, διὸ καὶ ἡ προσηγορία. καυλὸς δὲ ἐπὶ γῆς ἵησι λεπτός, καὶ κνήμας ἔχει πυκνάς. τὸ δὲ ἐρυ- 14

θρόδανον

τὸ δὲ ἀσκληπίειον, τὴν ῥίζαν μῆκος μὲν ὅσον ὡς σπιθαμήν, λευκὴν δὲ καὶ παχεῖαν σφόδρα καὶ φλοιὸν παχὺν καὶ ἁλικώδη. καυλὸν δὲ ἔχει γονατώδη πανταχόθεν· φύλλον δὲ ὅμοιον τῇ θαψίᾳ, πλὴν παχύτερον. ἀγαθὸν δὲ εἶναί φασιν ἕρπητί τε ξύοντα πίνειν, καὶ σπληνός, ὅταν αἷμα τὸ διὰ αὐτοῦ, ἐν μελικράτῳ· καὶ κεφαλῆς, τρίβοντα ἐν ἐλαίῳ ἀλείφειν· καὶ ἄλλο τι ἐὰν πονῇ τις ἀφανές, καὶ γαστρὸς ὀδύνης ἐν οἴνῳ ξύοντα. δύναται δὲ καὶ τὰς μακρὰς ἀρρωστίας ἐκκλίνειν, ἔπειτα τῶν ἑλκυδρίων, τῶν μὲν ὑγρῶν, ξηρὸν ἐπιπάττοντα, τὰ δὲ καταπλύζοντα οἴνῳ θερμῷ· τῶν δὲ ξηρῶν, ἐν οἴνῳ δεῦσαι καὶ καταπλάττειν. τὸ δὲ ἡράκλειον, φύλλον μὲν ἔχει μέγα καὶ πλατύ, καὶ ῥυπαρώδαμον πανταχῇ. ῥίζαν δὲ ὡς δακτύλου τὸ πάχος, δριμεῖαν ἢ ῥυπαρὰν τῇ γεύσει μὲν ὑπόπικρον, τῇ δὲ ὀσμῇ καθάπερ λιβανωτοῦ καθαρῶς· ἀγαθὴν δὲ τῆς ἱερᾶς νόσου, μιγνυμένην φώκης πυτίᾳ, ὅσον τεταρτημόριον, πίνειν· καὶ ὀδύνας τῆς γαστέρα, ἐν οἴνῳ γλυκεῖ· καὶ ἕλκεσι τῶν μὲν ὑγρῶν, ξηρά· τῶν δὲ ξηρῶν, ἐν μέλιτι. αὗται μὲν οὖν ταύτας ἔχουσι τὰς διαφοράς τε καὶ δυνάμεις. ἄλλα δὲ πανάκη, τὸ μὲν λεπτόφυλλον, τὸ δὲ πλατύφυλλον· αἱ δὲ δυνάμεις ἀμφοῖν αἱ αὐταί. ἐπωφελεῖ τε ταῖς γυναιξί, καὶ κατάπλασμα μετ' ἀλφίτων καὶ πρὸς τὰ ἑλκύδρια τὰ ἄλλα, καὶ πρὸς τὰ νεμόμενα. συνώνυμοι δὲ καὶ οἱ στρύχνοι καὶ οἱ τιθύμαλλοι. τῶν γὰρ στρύχνων ὁ μὲν ὑπνώδης, ὁ δὲ μανικός. καὶ ὁ μὲν ὑπνώδης ἐρυθρὰν ἔχων τὴν ῥίζαν, ὥσπερ αἷμα ξηραινομένην, ὀφθαλμούμενον δὲ λευκήν, καὶ καρπὸν ἐρυθρότερον κόκκου. φύλλον δὲ τὸ μᾶλλον ὅμοιον ἢ μηλέᾳ τῇ γλυκείᾳ· αὐτὸ δ' ἀστύ, καὶ πυθμὴν μέγας. τούτου τῆς ῥίζης τὸν φλοιὸν κόπτοντες λίαν, καὶ βρέχοντες ἐν οἴνῳ ἀκράτῳ διδόασι, καὶ ποιεῖ καθεύδειν. φύεται δὲ ἐν χαράδραις, καὶ τοῖς μνήμασιν. ὁ δὲ μανικός, οἱ μὲν † θρύορον καλοῦσιν αὐτόν, οἱ δὲ περιττόν. λευκὴν δὲ ἔχει τὴν ῥίζαν, καὶ μακρὰν ὡς πήχεως, καὶ κοίλην. δίδοται δ' αὐτοῦ, ἐὰν μὲν ὥστε παίζειν, καὶ δοκεῖν ἑαυτῷ κάλλιστον εἶναι, δραχμῆς σταθμόν· ἐὰν δὲ μᾶλλον μαίνεσθαι, καὶ φαντασίας τινὰς φαίνεσθαι, δύο δραχμάς· ἐὰν δὲ ὥστε μὴ παύεσθαι μαινόμενον, τρεῖς. καὶ συμπαραμιγνύναι φασίν, ὡς τὸ κένταυρον. ἐὰν δὲ ὥσπερ ἀποκτεῖναι, τέτταρας. ἔχει δὲ τὸ μὲν φύλλον ὅμοιον εὐζώμῳ, πλεῖον μεῖζον. τὸν δὲ καυλὸν ὥσπερ ὀργυίας. κεφαλὴν δὲ ὥσπερ γελοῖς, μείζω δὲ καὶ παχυτέραν, ἔοικε δὲ καὶ πλατάνου καρπῷ. τῶν δὲ τιθυμάλλων, ὁ μὲν παράλιος καλούμενος κόκκος, φύλλον ἔχει περιφερές, καυλὸν δὲ τὸ ὅλον μέγεθος ὡς σπιθαμῆς, τὸν δὲ καρπὸν λευκόν. ὡραῖτι δὲ, ὅταν ἄρτι περκάζῃ σταφυλή. καὶ ξηρανθεὶς ὁ καρπός, δίδοται τετριμμένος, ὅσον τρίτον μέρος ὀξυβάφου. ὁ δὲ ἄρρην καλούμενος, τὸ μὲν φύλλον ἐλαιῶδες ἔχει, τὸ δ' ὅλον μέγεθος διπηχυαῖον. τοῦτον ὀπίζουσιν ἅμα τρυγητῷ. καὶ θεραπεύσαντες, ὅτῳ χρῶνται· καθαίρει δὲ κάτω μᾶλλον. ὁ δὲ μυρτίτης καλούμενος τιθύμαλλος λευκός, τὸ μὲν φύλλον ἔχει καθάπερ ὁ μύρρινος, πλὴν ἀκανθῶδες ἐπ' ἄκρου. κληματίδα δ' ἀφίησιν ἀπὸ γῆς, ὡς σπιθαμιαία. ταῦτα δ' οὐχ ἅμα φέρει τὸν καρπόν, ἀλλὰ παρ' ἔτος. τὰ μὲν νῦν, τὰ δὲ εἰς νέωτα, πεφυκότα ἀπὸ τῆς αὐτῆς ῥίζης. φιλεῖ δὲ ὀρεινὰ χωρία· ὁ δὲ καρπὸς αὐτοῦ καλεῖται κάρυον. ἀμῶσι δ' ὅταν ἁδρύνωνται αἱ κριθαί, ξηράναντες δέ, καὶ ἀποκαθαίροντες αὐτοῦ τὸν καρπόν, πλύναντες ἐν ὕδατι, καὶ πάλιν ξηράναντες, διδόασι πρὸς συμμιγνύντες δύο μέρη τῆς μελαίνης μήκωνος. τὸ δὲ συναμφότερον, ὅσον ὀξύβαφον. καθαίρει δὲ φλέγμα κάτω. ἐὰν δὲ τὸ κάρυον αὐτὸ διδῶσι, τρίψαντες ἐν οἴνῳ γλυκεῖ διδόασιν, ἢ ἐν σησάμῳ πεφρυγμένῳ καταπάττειν. ταῦτα μὲν οὖν τοῖς τε φύλλοις καὶ τοῖς ὀποῖς, καὶ τοῖς καρποῖς, χρήσιμα. τῶν δὲ λιβανωτίδων (δύο γάρ εἰσιν) ἡ μὲν ἄκαρπος, ἡ δὲ κάρπιμος. καὶ ἡ μὲν καὶ τῷ καρπῷ καὶ τῷ φύλλῳ χρησίμη, ἡ δὲ μόνον τῇ ῥίζῃ. καλεῖται δὲ ὁ καρπός, κάχρυς. ἔχει δὲ αὕτη τὸ μὲν φύλλον ἰσικὸς σελίνου ἐλείου, μεῖζον δὲ πολύ. καυλὸν δὲ μέγεθος πήχεως, ἢ μείζω. ῥίζαν δὲ μεγάλην καὶ παχεῖαν, λευκήν, ὄζουσαν ὥσπερ λιβανωτοῦ· καρπὸν δὲ λευκόν, τραχύν, περιμήκη. φύεται δὲ μάλιστα, ὅπου ἂν αὐχμηρὰ χωρία ᾖ, καὶ πετρώδη. χρησίμη δὲ ἡ μὲν ῥίζα, πρός τε τὰ ἕλκη, καὶ πρὸς τὰ γυναικεῖα πινομένη, ἐν οἴνῳ αὐστηρῷ μέλανι. ὁ δὲ καρπὸς πρός τε τὰς στραγγουρίας, καὶ πρὸς τὰ ὦτα, καὶ ἄργεμα, καὶ πρὸς ὀφθαλμίας, καὶ ὥστε γάλα γυναιξὶν ἐμποιεῖν. ἡ δὲ ἄκαρπος, ἔχει τὸ φύλλον ὅμοιον θριδακίνης τῆς πικρᾶς, τραχύτερον δὲ καὶ λευκότερον. ῥίζαν δὲ βραχεῖαν. φύεται δὲ ὥσπερ εἴρηται πλείω. δύναται δὲ καθαίρειν ἡ ῥίζα καὶ ἄνω καὶ κάτω. τὸ μὲν γὰρ πρὸς τὴν βλάστησιν, ἄνω· τὸ δὲ πρὸς τὴν γῆν,

13 κάτω. κωλύει δὲ καὶ εἰς ἱμάτια, τιθεμένη, σῆτας. συλλέγεται δὲ περὶ πυροτομίας. Χαμαιλέων δὲ ὁ μὲν λευκός, ὁ δὲ μέλας. αἱ δὲ δυνάμεις τῶν ῥιζῶν· καὶ αὐταὶ δὲ αἱ ῥίζαι, τοῖς εἴδεσι διάφοροι.

τοῦ

τὸ· ἀλλ' ὁ μὲν καρπὸς πρὸς τὰς ἐξαμβλώσεις, καὶ πρὸς τὰ ἀσθματικά, καὶ τοῖς ὀρθόπνοις ποτόν· ἔτι δὲ πρὸς τὰ ὦτα, καὶ τὰς φαντασίας. ἡ δὲ ῥίζα, πρός τε τοὺς τόκους, καὶ τὰ γυναικεῖα, καὶ πρὸς ὑποζυγίων φύσεις. χρήσιμοι δὲ καὶ πρὸς τὸ ἴρινον μύρον, διὰ τὴν εὐωδίαν. ἰσχυρότερον δὲ τὸ σπέρμα τῆς ῥίζης. γίνεται δὲ περὶ Συρίαν, καὶ τιμᾶται περὶ πυρεμεστήν. τῆς δὲ κυκλαμίνου ἡ μὲν ῥίζα, πρός τε τὰς ἐκπυήσεις τῶν φλεγμονῶν, καὶ πρόσθετον ταῖς γυναιξί, καὶ πρὸς τὰ ἕλκη, ἐν μέλιτι. ὁ δὲ ὀπὸς πρὸς τὰς ἐκ τῆς κεφαλῆς καθάρσεις, ἐν μέλιτι ἐγχεόμενος· καὶ πρὸς τὸ μεθύσκειν, ἂν ἐν οἴνῳ διαβρέχων διδῷ τις πιεῖν. ἀγαθὴ δὲ τὴν ῥίζαν καὶ εἰς ὠκυτόκιον περιαπτεῖν, καὶ εἰς φίλτρα. ὅταν δὲ ὀρύξωσι, κατακαίουσιν ἐπ' οἴνῳ διελόντες, τροχίσκους ποιοῦσιν, ὡς τοῦ ῥυγός, ἢ ῥιπτούμενα. καὶ τοῦ σικύου δὲ τοῦ ἀγρίου, τὴν μὲν ῥίζαν ἀλφοῖς καὶ ψώραις βοσκήμασι· τὸ δὲ σπέρμα χυλισθὲν, ποιεῖ τὸ ἐλατήριον. τίλλεται δὲ τοῦ φθινοπώρου· τότε γὰρ βέλτιστον. τῆς δὲ χαμαίδρυος, τὰ μὲν φύλλα πρὸς τὰ ῥήγματα, καὶ πρὸς βρώματα ἐν ἐλαίῳ τριβόμενα· πρός τε τὰ νεμόμενα ἕλκη. τὸν δὲ καρπὸν καθαίρειν χολήν· ἀγαθὸν δὲ καὶ ὀφθαλμοῖς. πρὸς δὲ τὰ ἀργέματα, προσάγειν τὸ φύλλον, τρίψαντα ἐν ἐλαίῳ. ἔχει δὲ τὰ φύλλα, οἷά περ δρυός. τὸ δὲ ἀνάστημα τῆς ὅλης, ὅσον σπιθαμιαῖον. εὔοσμον δὲ, καὶ ἡδύ. τὸ μὲν οὖν μὴ πρὸς τὸ αὐτὸ πάντα τὰ μέρη χρήσιμα τυγχάνειν, οὐκ ἴσως ἄτοπον. τὸ δὲ τῆς αὐτῆς ῥίζης τὰ μὲν ἄνω, τὰ δὲ κάτω καθαίρειν, θαυμασιώτερον. οἷον τῆς τε θαψίας, καὶ τῆς ἰσχάδος (ἣν δ' ἄπιον καλοῦσι) καὶ τῆς λιβανωτίδος. τὸ γὰρ αὖ καὶ κάτω καὶ ἄνω τὰ αὐτὰ δύνασθαι καθαίρειν, καθάπερ τὸ ἐλατήριον, οὐδὲν ἄτοπον. ἔχει δὲ ἡ θαψία, φύλλον μὲν ὅμοιον μαράθρῳ, πλὴν πλατύτερον· καυλὸν δὲ ναρθηκώδη, ῥίζαν δὲ λευκήν. ἡ δ' ἰσχὰς, ἡ ἄπιος, φύλλον μὲν ἔχει πηγανώδες βραχύ, καυλοὺς δ' ἐπιγείους τρεῖς ἢ τέτταρας· ῥίζαν δὲ, οἷον ἀσφόδελος, πλὴν λεπυρώδη. φιλεῖ δὲ ὀρεινὰ χωρία, καὶ κοχλακώδη. τίλλεται δὲ, τοῦ ἦρος. τοῦτο μὲν οὖν ἴδιον τῶν εἰρημένων. Ὁ δὲ ἐλλέβορος, ὅ, τε μέλας 11
καὶ λευκὸς, ὥσπερ ὁμώνυμοι φαίνονται. περὶ δὲ τῆς ὄψεως διαφωνοῦσιν. οἱ μὲν γὰρ ὁμοίους εἶναι, πλὴν τῷ χρώματι μόνον διαφέρειν· τὴν δὲ ῥίζαν τοῦ μὲν λευκὴν, τοῦ δὲ μέλαιναν. οἱ δὲ τοῦ μέλανος τὸ φύλλον δαφνοειδὲς, τοῦ δὲ λευκοῦ πρασοειδές· τὰς δὲ ῥίζας ὁμοίας, πλὴν τῷ χρώματι. οἱ δ' οὐχ ὁμοίας λέγοντες, τοιάνδε φασὶν εἶναι τὴν μορφήν. καυλὸν δὲ ἀνθερικώδη, βραχὺν σφόδρα· φύλλον δὲ πλατυσχιστὸν, ὅμοιον τῷ τοῦ νάρθηκος, μῆκος ἔχον εὐμήκες, δεδυκὸς δ' ἐκ τῆς ῥίζης ἠρτημένον τε καὶ συγκόφυλλον. πολύρριζον δ' εὖ μάλα, ταῖς λεπταῖς καὶ χρησίμοις. κτείνει δὲ τὸν μὲν μέλανα καὶ ἵππους καὶ βοῦς, καὶ ὗς· διὸ καὶ οὐδὲ νέμονται τοῦτον. τὸν λευκὸν δὲ νέμονται τὰ πρόβατα, καὶ ἐκ τούτου φωρᾶσθαι συνοφθῆναι τὴν δύναμιν, καθαιρομένων ἐκείνων. ὡραῖος δὲ μετοπώρου, τοῦ δὲ ἦρος ἄωρος. ἀλλὰ πρὸς τὴν Πυλαίαν οἱ ἐκ τῆς Οἴτης συλλέγουσι· πλεῖστος γὰρ ἐνταῦθα φύεται, καὶ ἄριστος. μοναχοῦ δὲ φύεται τῆς Οἴτης περὶ τὴν Πυράν. μίσγεται δὲ πρὸς τὴν πόσιν, ὅπως εὐεμῶσι, τὸ τῆς ἐλλεβορίνης σπέρμα· τοῦτο δ' ἐστὶ ποάριον. φύεται δὲ ὁ μὲν μέλας πανταχοῦ· καὶ γὰρ ἐν τῇ Βοιωτίᾳ, καὶ ἐν Εὐβοίᾳ, καὶ περὶ ἄλλους πολλούς. ἄριστος δὲ ὁ ἐκ τοῦ Ἑλικῶνος, καὶ ὅλως τὸ ὄρος εὐφάρμακον. ὁ δὲ λευκὸς, ὀλιγαχοῦ. βέλτιστοι δὲ, καὶ οἷς χρῶνται μάλιστα, τέτταρες· Οἰταῖος, Ποντικὸς, Ἐλεάτης, Μασσαλιώτης. φασὶ δὲ τὸν Ἐλεάτην, ἐν ταῖς ἀμπέλοις φύεσθαι, καὶ ποιεῖν τὸν οἶνον οὕτω διουρητικόν, ὥστε λαγαροὺς εἶναι πάνυ τοὺς πίνοντας. ἄριστος δὲ πάντων καὶ τούτων, καὶ τῶν ἄλλων, ὁ Οἰταῖος. ὁ δὲ Παρνάσιος, καὶ ὁ Αἰτώλιος (γίνονται γὰρ καὶ ἐνταῦθα πολλοί, καὶ ὠνοῦνται καὶ πωλοῦσιν οὐκ εἰδότες) σκληροί τε, καὶ ἄγαν περισκελεῖς. ταῦτα μὲν οὖν ὅμοια ταῖς μορφαῖς ὄντα, δυνάμεις ἰδίας ἔχουσι. καλοῦσι δὲ τὸν μέλανα τινὲς ἐκ τοῦ τεμόντος καὶ ἀνευρόντος, μελαμπόδιον, ὡς ἐκείνου πρώτου τεμόντος. καθαίρουσι δὲ καὶ ὗς αὐτῷ, καὶ πρόβατα, συνεπάδοντες ἐπῳδήν τινα· καὶ εἰς ἄλλα δὲ πλείω χρῶνται. Πολλὰ δ' ἐστὶ καὶ τὰ πάνακα, καὶ οἱ πεύ- 12
μαλλοι, καὶ ἕτερα ἄττα. πάνακα γὰρ καλοῦσι πρῶτον μὲν, τὸ ἐν Συρίᾳ, περὶ οὗ μικρῷ πρότερον εἴρηται. ἄλλα δὲ τρία· τὸ μὲν χειρώνειον καλούμενον, τὸ δὲ ἡράκλειον, τὸ δὲ ἀσκληπιεῖον. ἔχει δὲ τὸ μὲν χειρώνειον, φύλλον μὲν ὅμοιον λαπάθῳ, μεῖζον δὲ καὶ δασύτερον· ἄνθος δὲ, χρυσοειδές· ῥίζαν δὲ, μακράν. φιλεῖ δὲ τὰ χωρία τὰ πίονα. χρῶνται δὲ πρός τε τοὺς ἔχεις, καὶ τὰ φαλάγγια, καὶ τοὺς σῆπας, καὶ τἆλλα ἑρπετά, διδόντες ἐν οἴνῳ, καὶ ἀλείφοντες μετ' ἐλαίου· τοῦ δὲ ἔχεως τὸ δῆγμα καταπλάττοντες ἐν ὄξει, καὶ πιεῖν διδόντες. ἀγαθὴν δέ φασι καὶ ἑλκῶν ἐν οἴνῳ, καὶ ἐλαίῳ, καὶ φυμάτων ἐν μέλιτι.

τὸ δ'

τῶν δὲ περιεληλυθότος. τὴν δὲ ῥιζοτομίαν, γίνεσθαι μὲν πάντων καὶ ὑπὸ πυροτομίαν, καὶ μικρῷ πρότερον· οὐ μὴν ἀλλ' ἤγε πλείων, τῶν μετοπώρου μετ' ἀρκτοῦρον, ὅταν φυλλοῤῥοήσωσιν· ὅσων δὲ καὶ ὁ καρπὸς χρήσιμος, ὅταν ἀμήσωσι τὸν καρπόν. ἔστι δὲ ὀπισμὸς, ἢ ἀπὸ τῶν καρπῶν, ὥσπερ πρὶ τοῦ τιθυμάλλου, καὶ τῶν θριδακινῶν, καὶ σχεδὸν τῶν πλείστων· ἢ ἀπὸ τῶν ῥιζῶν· ἢ ῥίζαν ἀπὸ τῆς κεφαλῆς, ὥσπερ τῆς μήκωνος. ταύτης γὰρ μόνης καὶ τοῦτο ἴδιον αὐτοῦ. τῶν μὲν οὖν καὶ αὐτόματος ὁ ὀπὸς συνίσταται δακρυώδης, ὥσπερ τῆς τραγακάνθης· ταύτης γὰρ οὐδὲν τέμνειν δεῖ. τῶν δὲ πλείστων δὲ τῆς τομῆς· ὧν τινὰς μὲν δίδυς εἰς ἀγγεῖα συνάγουσιν, ὥσπερ καὶ τιθυμάλλου, ἢ τῆς μηκωνίου· καλοῦσι γὰρ ἀμφοτέρως. καὶ ἁπλῶς, ὅσα πολύοπα τυγχάνει. τῶν δὲ μὴ πολυόπων, ἐρίῳ λαμβάνουσιν. ὥσπερ καὶ τῆς θριδακίνης. ἐνίων δὲ οὐδὲ ὀπισμὸς, ἀλλ' οἷον χυλισμός ἐστιν· ὥσπερ ὅσα καίον-

ἢ τρίψαντες τες, καὶ ὕδωρ ἐπιχέαντες, ἀπηθοῦσι καὶ λαμβάνουσι τὴν ἀπόσταξιν. ξηρὸς δὲ δηλονότι, καὶ ἐλάττων ὁ χυλὸς τούτων. ἔστι δὲ τῶν μὲν ἄλλων ῥιζῶν τὸ χύλισμα ἀσθενέστερον τοῦ καρποῦ· τοῦ κωνείου δὲ ἰσχυρότερον, καὶ τὴν ἀπαλλαγὴν ῥᾳδίως ποιεῖ, καὶ θᾶττον, μικρὸν πάνυ καταπότιον διδόν. ἐνεργότερον δὲ, καὶ εἰς τὰς ἄλλας χρείας. ἰσχυρότερον δὲ καὶ τὸ τῆς θαψίας· τὰ δὲ ἄλλα πάντα ἀσθενέστερα. οἱ μὲν οὖν ὀπισμοὶ σχεδὸν τοσαυταχῶς γίνονται. τῆς δὲ ῥιζοτομίας οὐκ ἔστι τοιαύτη διαφορὰ, πλὴν ἐν ταῖς ὥραις· οἷον θέρους, ἢ μετοπώρου· καὶ τὸ τὰς δὲ ἢ τὰς δὲ τῶν ῥιζῶν, οἷον τοῦ ἐλλεβόρου τὰς κάτω τὰς λεπτὰς· τὴν γὰρ ἄνω τὴν παχεῖαν τὴν κεφαλάδα, φασὶν ἀχρεῖον εἶναι, καὶ διδόναι ταῖς κυσὶν, ὅταν βούλωνται καθαίρειν. καὶ ἐφ' ἑτέρων δὲ ἐνίων τοιαύτας λέγουσι διαφοράς.

9 Ἔτι δὲ ὡς οἱ φαρμακοπῶλαι καὶ οἱ ῥιζοτόμοι, τὰ μὲν ἴσως οἰκείως, τὰ δὲ καὶ ἐπιτραγῳδοῦντες λέγουσι. κελεύουσι γὰρ τὰς μὲν κατ' ἄνεμον ἱσταμένους τέμνειν, ὥσπερ ἑτέρας τέ τινας, καὶ τὴν θαψίαν, ἀλειψαμένους λίπα. τὸ γὰρ σῶμα ἀνοιδεῖν, ἐὰν ἐξ ἐναντίας· κατ' ἄνεμον δὲ καὶ τοῦ κυνοσβάτου τὸν καρπὸν συλλέγειν· εἰ δὲ μὴ, κίνδυνον εἶναι τῶν ὀφθαλμῶν. τὰς δὲ νύκτωρ, τὰς δὲ μεθ' ἡμέραν· ἐνίας δὲ, πρὶν αὐτοῦ ἥλιον ἐπιβάλλειν, οἷον καὶ τὸ κλύμενον καλούμενον. καὶ ταῦτα μὲν, καὶ τὰ παραπλήσια τούτοις, τάχ' ἂν οὐκ ἀλλοτρίως δόξαιεν λέγειν. ἐπισινεῖς γὰρ ἐνίων αἱ δυνάμεις. ἐξάπτειν γάρ φασιν, ὥσπερ πῦρ, καὶ κατακαίειν. ἐπεὶ καὶ ὁ ἐλλέβορος ταχὺ καρηβαρεῖν ποιεῖ, καὶ οὐ δύνανται πολὺν χρόνον ὀρύττειν. διὸ καὶ προεσθίουσι σκόροδα, καὶ ἄκρατον ἐπιπίνουσιν. ἀλλὰ τὰ τοιαῦτα ὥσπερ ἐπίθετα καὶ πόῤῥωθεν· οἷον τὴν παιωνίαν, οἱ δὲ γλυκυσίδην καλοῦσι, νύκτωρ κελεύουσιν ὀρύττειν. ἐὰν γὰρ ἡμέρας, καὶ ὀφθῇ τις ὑπὸ δρυοκολάπτου, τὸν μὲν καρπὸν ἐκλέγοντα κινδυνεύειν τοῖς ὀφθαλμοῖς· τὴν δὲ ῥίζαν τέμνοντα, ἐκπίπτειν τὴν ἕδραν. φυλάσσεσθαι δὲ καὶ τὴν κενταυρίδα τέμνοντα, τριόρχην, ὅπως ἂν ἄτρωτος ἀπέλθῃ. καὶ ἄλλας δέ τινας ὁμοίως. τὸ δ' ἐ-

+ πανακὲς προυχόμενον τέμνειν, οὐδὲν ἴσως ἄτοπον· ἀλλ' ἔτι καὶ ἄλλο προστιθέασιν. οἷον τὸ † παναλκὲς, τὸ ἀσκληπίειον καλούμενον· ἀντεμβάλλειν γὰρ τῇ γῇ παγκαρπίαν μελιτοῦταν. ὅταν δὲ τῆς

ἀντιβάλλειν ἴριδος, τριμήνους μελιτοῦτας, † ἀντεμβάλλειν μαθόν. τέμνειν δὲ, ἀμφάκει ξίφει περιγράψαντα εἰς τρεῖς· καὶ ὃ ἂν πρῶτον τμηθῇ, μετέωρον ἔχειν, εἶθ' οὕτω τὸ ἕτερον τέμνειν, καὶ ἄλλα δὲ τοιαῦτα πλείω. περιγράφειν δὲ καὶ τὸν μανδραγόραν εἰς τρεῖς ξίφει· τέμνειν δὲ πρὸς ἑσπέραν βλέποντα, τὸν δὲ ἕτερον κύκλῳ περιορχεῖσθαι, καὶ λέγειν ὡς πλεῖστα περὶ ἀφροδισίων. τοῦτο δὲ ὅμοιον ἔοικε τῷ περὶ τοῦ κυμίνου λεγομένῳ περὶ τῆς βλασφημίας, ὅταν σπείρωσι. περιγράφειν δὲ καὶ τὸν ἐλλέβορον τὸν μέλανα, ἱστάμενον πρὸς ἕω, καὶ προσκατευχόμενον δέ· αἰετὸν δὲ φυλάττεσθαι, καὶ ἐκ δεξιᾶς καὶ ἐξ ἀριστερᾶς· κίνδυνον γὰρ εἶναι τοῖς τέμνουσιν. ἐὰν δὲ ὁ ἐγγὺς * μὴ διατέμνῃ, ὁ αὐτὸς ἀποθνήσκει ἐν ἐνιαυτῷ. ταῦτα μὲν οὖν ἐπίθετος ἔοικεν, ὥσπερ εἴρηται. τρόποι δὲ οὐκ εἰσὶ τῶν ῥιζοτομιῶν, πλὴν οὓς εἴπομεν.

10 Ἔστι δὲ ὥσπερ ἐλέχθη, τῶν μὲν πάντων τκ χρήσιμα, καὶ ἡ ῥίζα, καὶ ὁ καρπὸς, καὶ ὁ ὀπὸς, ὥσπερ ἄλλων τε καὶ τοῦ πάνακος. τῶν δὲ ἡ ῥίζα, καὶ ὁ ὀπὸς· οἷον τῆς σκαμωνίας, καὶ τοῦ κυκλαμίνου, καὶ τῆς θαψίας, καὶ ἑτέρων. καθάπερ καὶ τοῦ μανδραγόρου, τὸ μὲν φύλλον χρήσιμον εἶναί φασι πρὸς τὰ ἕλκη, μετ' ἀλφίτου· τὴν δὲ ῥίζαν, πρὸς ἐρυσιπέλας, ξυσθεῖσάν τε καὶ ὄξει δευθεῖσαν· καὶ πρὸς τὰ ποδαγρικὰ, καὶ πρὸς ὕπνον, καὶ φίλτρα. διδόασι δὲ ἐν οἴνῳ, ἢ ἐν ὄξει. τέμνουσι δὲ τροχίσκους, ὥσπερ ῥαφανίδος, ἐνείραντες δὲ ἐν λίνῳ ἐκρέμασαν ὑπὲρ καπνοῦ. ὁ δὲ ἐλλέβορος ἐπὶ ταῦτα, τῇ τε

+ ἀντικύρᾳ ῥίζῃ καὶ τῷ καρπῷ χρήσιμος· εἴπερ οἱ ἐν † ἀγκύρᾳ, καθαίρειν φασι, τῷ καρπῷ καθαίρουσιν· ἔχει δὲ σησαμώδη τοῦτον. πλείω δὲ καὶ τοῦ πάνακος τὰ χρήσιμα, καὶ οὐ πάντα πρὸς τὸ αὐτό. ἀλλ'

δηρεῖς ὑπὸ τὸ ἄστρον, ὅταν μάλιστα πνίγη ὦσι, καὶ τὰ στελέχη καὶ τὰ ἄνω. τὴν δὲ συλλογὴν ὅλον τὸ θέρος ποιεῖσθαι. οὐκ εἶναι δὲ πολὺ τὸ ῥέον, ἀλλ' ἐν ἡμέρᾳ τὸν ἄνδρα συλλέγειν ὅσον κόγχην. τὴν δ' ὀσμὴν διαφέρουσαν καὶ πολλήν, ὥστε ἀπὸ μικροῦ πολὺ ἐπιφαίνεσθαι τόπον. ἀλλ' οὐ φοιτᾶν ἐνταῦθα ἄκρατον, ἀλλὰ τὸ συνηγμένον κεκραμένον. πολλὴν γὰρ δέχεσθαι κρᾶσιν. καὶ τὸ ἐν τῇ Ἑλλάδι, πολλάκις εἶναι κεκραμένον. εὔοσμα δὲ σφόδρα καὶ τὰ ῥαβδία. καθαίρεσθαι γὰρ καὶ τούτου ἕνεκα, καὶ τοῦ διαφόρου πωλεῖσθαι τίμια. καὶ τὴν ἐργασίαν τὴν περὶ τὰ δένδρα σχεδὸν ταύτην αἰτίαν εἶναι καὶ τὴν βρέχησιν. βρέχεσθαι δὲ συνεχῶς. συναιτίαν δὲ δοκεῖν εἶναι, τοῦ μὴ μεγάλα γίνεσθαι τὰ δένδρα, καὶ τὴν τῶν ῥαβδίων τομήν. διὰ γὰρ τὸ πολλάκις ἀφαιρεῖσθαι, ῥάβδους ἀφιέναι, καὶ οὐκ εἰς ἓν ἐκτείνειν τὴν ὁρμήν. ἄγριον δὲ οὐδὲν εἶναι βάλσαμον οὐδαμοῦ. γίνεσθαι δὲ ἐκ μὲν τοῦ μείζονος παραδείσου, ἀγγεῖα δώδεκα ὅσον ἡμιχόεα· ἐκ δὲ τοῦ ἑτέρου, δύο μόνον. πωλεῖσθαι δὲ τὸ μὲν ἄκρατον δὶς πρὸς ἀργύριον, τὸ δ' ἄλλο κατὰ λόγον τῆς μίξεως. καὶ τοῦτο μὲν διαφέροντι φαίνεται, κατὰ τὴν εὐοσμίαν.

Ὁ δὲ κάλαμος γίνεται, καὶ ὁ σχοῖνος, ὑπερβάλλοντι τὸν Λίβανον, μεταξύ τε τοῦ τε Λιβάνου καὶ ἄλλου τινὸς ὄρους μικροῦ, ἐν τῷ αὐλωνίσκῳ τούτῳ· καὶ οὐχ ὥς τινές φασι, τοῦ Ἀντιλιβάνου. καὶ μεταξὺ τούτων οὖν, ὃν αὐλῶνα καλοῦσι πεδίον, πολὺ καὶ καλόν. ὅπου δὲ ὁ κάλαμος καὶ ὁ σχοῖνος φύεται, λίμνη μεγάλη τυγχάνει. πρὸς ταύτην δὲ ἐν τοῖς ἕλεσι τοῖς ἀνεξηραμμένοις πεφύκασι. τόπον δ' ἔχουσι πλεῖον ἢ τριάκοντα σταδίων. οὐ δοκοῦσι δὲ χλωροί, ἀλλὰ ξηρανθέντες· τῇ προσόψει δὲ οὐδὲν διαφέρουσι τῶν ἄλλων. εἰσβάλλοντι δὲ εἰς τὸν τόπον, εὐθὺς ὀσμὴ προσβάλλει· οὐ μὴν πόρρωθεν γε ἀποπνοὴ γίνεται, καθάπερ τινές φασι, ταῖς προσφερομέναις εἶναι πρὸς τὴν χώραν. καὶ γὰρ ὁ τόπος οὗτος ἀπὸ θαλάττης ἀπέχει πλείους ἢ ἑκατὸν πεντήκοντα σταδίους. ἀλλ' ἐν τῇ Ἀρραβίᾳ τὴν ἀποπνοήν εἶναί φασι, τὴν ἀπὸ τῆς χώρας εὔοσμον. ἐν μὲν οὖν Συρίᾳ τὰ περὶ τὴν ὀσμήν, σχεδὸν ταῦτ' ἐστιν. ἡ γὰρ χαλβάνη, βαρύτερον καὶ μᾶλλον φαρμακῶδες. ἐπεὶ καὶ γίνεται αὕτη περὶ Συρίαν, ἐκ τοῦ πάνακος καλουμένου. τὰ δὲ ἄλλα πάντα τὰ εὔοσμα, οἷς πρὸς τὰ ἀρώματα χρῶνται, τὰ μὲν ἐξ Ἰνδῶν κομίζεται, κἀκεῖθεν ἐπὶ θάλατταν καταπέμπεται· τὰ δὲ ἐξ Ἀρραβίας, οἷον πρὸς τῷ κινναμώμῳ καὶ τῇ κασίᾳ, καὶ κώμακον. ἕτερον δ' εἶναι τὸ κώμακον, καρπόν· τὸ δ' ἕτερον παραμίσγουσιν εἰς τὰ σπουδαιότατα τῶν μύρων. τὸ δὲ καρδάμωμον καὶ ἄμωμον, οἱ μὲν ἐκ Μηδείας, οἱ δ' ἐξ Ἰνδῶν, καὶ ταῦτα, καὶ τὴν νάρδον, καὶ τὰ ἄλλα, ἢ τὰ πλεῖστα. οἷς μὲν οὖν εἰς τὰ ἀρώματα χρῶνται, σχεδὸν τάδε ἐστί· κασία, κιννάμωμον, καρδάμωμον, νάρδος, νάρον, βάλσαμον, ἀσπάλαθος, στύραξ, ἶρις, νάρτη, κόστος, πάνακες, κρόκος, σμύρνα, κύπειρον, σχοῖνος, κάλαμος, ἀμάρακον, λωτός, ἄνηθον. τούτων δὲ τὰ μὲν ῥίζαι, τὰ δὲ φλοιοί, τὰ δὲ κλωνία, τὰ δὲ ξύλα, τὰ δὲ σπέρματα, τὰ δὲ δάκρυα, τὰ δὲ ἄνθη. καὶ τὰ μὲν πολλαχοῦ γίνεται, τὰ δὲ πλεῖστα καὶ εὐοσμότατα πάντα ἐκ τῆς Ἀσίας, καὶ ἐκ τῶν ἀλεεινῶν τόπων. ἐκ γὰρ τῆς Εὐρώπης οὐδὲν ἔστιν, ἔξω ἴρεως. αὕτη δὲ ἀρίστη ἐν Ἰλλυριοῖς, οὐκ ἐν τῇ πρὸς θάλατταν χώρᾳ, ἀλλ' ἐν τῇ ἀνακεχωρηκυίᾳ, κειμένῃ δὲ μᾶλλον πρὸς ἄρκτον. τόποι δὲ φύτων διαφέρουσιν, ἐν οἷς ἀμείνων. ἐργασία δὲ περὶ αὐτὴν οὐδεμία, πλὴν τοῦ περικαθήραντα ἀναξηραίνειν. τὰ γὰρ ἐν τῇ Θρᾴκῃ φυόμενα ῥιζία, καθάπερ τό τε τῇ νάρδῳ προσεμφερῆ τὴν ὀσμὴν ἔχον, καὶ ἕτερα ἄττα, μικράν τινα καὶ ἀσθενῆ τὴν εὐωδίαν ἔχει. καὶ περὶ μὲν τῶν εὐόσμων, ἐπὶ τοσοῦτον εἰρήσθω.

Περὶ δὲ τῶν ὀπῶν, ὅσα μὴ πρότερον εἴρηται, λέγω δ' οἷον εἴ τινες φαρμακώδεις, ἢ καὶ ἄλλας ἔχουσι δυνάμεις, πειρατέον ὁμοίως εἰπεῖν· ἅμα δὲ καὶ περὶ ῥιζῶν. καὶ γὰρ τῶν ὀπῶν τινὲς ἐκ τούτων, καὶ χωρὶς αὐταὶ καθ' αὑτὰς πολλὰς ἐναντίας ἔχουσι δυνάμεις. ὅλως δὲ περὶ πάντων φαρμακωδῶν, οἷον καρποῦ, χυλισμοῦ, φύλλων, ῥιζῶν, πόας· καλοῦσι γὰρ καὶ πόαν ἔνια τῶν φαρμακωδῶν, οἱ ῥιζοτόμοι. τῶν δὲ ῥιζῶν πλείους μέν εἰσι δυνάμεις, καὶ πρὸς πλείω. ζητοῦνται δὲ μάλιστα αἱ φαρμακώδεις, ὡς χρησιμώταται, διαφέρουσαι τῷ τε μὴ πρὸς ταῦτα, καὶ τῷ μὴ ἐν αὐταῖς ἔχειν τὴν δύναμιν. ὡς δ' οὖν ἐπίπαν, αἱ πλεῖσται μὲν ἐν αὐταῖς ἔχουσι, καὶ τοῖς καρποῖς, καὶ τοῖς ὀποῖς· ἔνιαι δὲ καὶ ἐπὶ τοῖς φύλλοις. τὰς δὲ φυλλώδεις δυνάμεις, τὰς πολλὰς σχεδὸν πόας καλοῦσιν (ὥσπερ εἴρηται) οἱ ῥιζοτόμοι.

Ὁ μὲν ὀπισμὸς γίνεται τῶν ὀπιζομένων, ὡς ἐπίπαν τοῦ θέρους· τῶν μὲν ἐνισταμένου,

δὲ ὑπὲρ τοῦ σωροῦ πινάκιον, γεγραμμένον ἔχον τό τε πλῆθος τοῦ μέτρου καὶ τῆς τιμῆς, ἧς δεῖ πραθῆναι
τὸ μέτρον ἕκαστον. ὅταν δὲ οἱ ἔμποροι παραγένωνται, σκοπεῖν τὰς γραφάς. ᾗτινος δ' ἂν αὐτοῖς
ἀρέσκῃ, μετρησαμένους τιθέναι τὴν τιμὴν εἰς τοῦτο τὸ χωρίον, ὅθεν ἂν ἔλωνται. τὸν δὲ ἱερέα παραγι
νόμενον, τὸ τρίτον μέρος λαβόντα τῆς τιμῆς τῷ θεῷ, τὸ λοιπὸν αὐτοῦ καταλιπεῖν· καὶ τοῦτο σῶον
εἶναι τοῖς κυρίοις, ἕως ἂν ἔλωνται παραγενόμενοι. ἄλλοι δέ τινες τὸ μὲν τοῦ λιβανωτοῦ δένδρον
ὅμοιον εἶναί φασι σχοίνῳ, καὶ τὸν καρπὸν ταῖς σχοινίσι, φύλλον δὲ ὑπέρυθρον. εἶναι δὲ τὸν μὲν
ἐκ τῶν νέων λιβανωτόν, λευκότερον καὶ ἀοδμότερον· τὸν δ' ἐκ τῶν παρακμαζόντων, ξανθότε
ρον καὶ εὐοσμότερον. τὸ δὲ τῆς σμύρνης ὅμοιον τῇ τερμίνθῳ, τραχύτερον δὲ, καὶ ἀκανθωδέστε
ρον. φύλλον δὲ μικρῷ στρογγυλώτερον. τῇ δὲ γεύσει διαμασωμένοις, ὅμοιον κατὰ τὴν τερμίνθου.
εἶναι δὲ καὶ τούτων τὰ παρηκμακότα, εὐωδέστερα. γίνεσθαι δὲ ἀμφότερα ἐν τῷ αὐτῷ τόπῳ.
τῆς γὰρ γῆς ὑπάργιλον, καὶ πλακώδη. καὶ ὕδατα πηγαῖα, σπάνια. ταῦτα μὲν οὖν ὑπεναντία
τῷ νίφεσθαι, καὶ ὕεσθαι, καὶ ποταμοὺς ἐξιέναι. τὸ δὲ παρόμοιον εἶναι τὸ δένδρον τῇ τερμίνθῳ, καὶ
ἄλλοι τινὲς λέγουσιν· οἱ δὲ καὶ ὅλως τέρμινθον εἶναι. κομισθῆναι γὰρ ξύλα πρὸς Ἀντίγονον ὑπὸ
τῶν ἀῤῥάβων, τῶν τὸν λιβανωτὸν καταγαγόντων, ἃ οὐδὲν διέφερε κατὰ τὴν τερμίνθου, πλὴν οὗ
τοί γε μεῖζον ἕτερον ἀγνόημα προσηγνόουν· ᾤοντο γὰρ ἐκ τοῦ αὐτοῦ δένδρου τόν τε λιβανωτὸν
γίνεσθαι, καὶ τὴν σμύρναν. διόπερ ἐκεῖνος ὁ λόγος πιθανώτερος, ὁ παρὰ τῶν ἀναπλευσάντων
ἐξ Ἡρώων πόλεως. ἐπεὶ καὶ τὸ ὑπὲρ Σάρδεων πεφυκὸς τοῦ λιβανωτοῦ δένδρον, ἐν ἱερῷ τινι,
δαφνοειδὲς ἔχει τὸ φύλλον, εἴ τι δεῖ σταθμᾶσθαι τούτῳ. ὁ λιβανωτὸς δ' ἐκ τούτου, καὶ ὁ ἐκ τοῦ στελέχους,
καὶ ὁ ἐκ τῶν ἀκρεμόνων, ὅμοιος καὶ τῇ ὄψει καὶ τῇ ὀσμῇ θυμιώμενος τῷ ἄλλῳ λιβανωτῷ. πεφυ
κὸς δὲ τοῦτο μόνον τὸ δένδρον οὐδεμιᾶς τυγχάνειν. ἔνιοι δὲ λέγουσιν, ὡς ἰδίως μὲν ὁ λιβανωτὸς
ἐν τῇ Ἀῤῥαβίᾳ γίνεται, κάλλιον δὲ ἐν ταῖς ἐπικειμέναις νήσοις ὧν ἐνυπάρχουσιν. ἐνταῦθα γὰρ
καὶ σχηματοποιεῖν, ἐπὶ τῶν δένδρων, οἷον ἂν θέλωσι· καὶ τάχα τοῦτό γε οὐκ ἀπίθανον ἐνδέχεται,
ὁποίαν ἂν βούληται ποιεῖν τὴν ἐντομήν. εἰσὶ δέ τινες καὶ μεγάλοι σφόδρα τῶν χόνδρων, ὥστε
εἶναι κατὰ μὲν ὄγκον χειροπληθιαίους, σταθμὸν δὲ πλέον ἢ τρίτον μέρος μνᾶς. ἀργὸς δὲ κομίζεται
πᾶς ὁ λιβανωτός, ὅμοιος δὲ τῇ προσόψει φλοιῷ. τῆς σμύρνης δέ, ἡ μὲν στακτή, ἡ δὲ πλαστή.
δοκιμάζεται δὲ ἡ μὲν ἀμείνων τῇ γεύσει, καὶ ἀπὸ ταύτης τὴν ὁμόχροιαν λαμβάνουσι. περὶ μὲν
5 οὖν λιβανωτοῦ καὶ σμύρνης, ἄχρι γε τοῦ νῦν χρόνου τοσαῦτα ἀκηκόαμεν. Περὶ δὲ κινναμώμου
καὶ κασίας ταῦτα λέγουσι. θάμνους μὲν ἀμφότερα ταῦτ' εἶναι οὐ μεγάλους, ἀλλ' ἡλίκας ἄγνους,
πολυκλάδους δὲ καὶ ξυλώδεις. ὅταν δὲ ἐκκόψωσι τὸ κιννάμωμον, ὅλον διαιρεῖν εἰς πέντε μέ
ρη. τούτου δὲ τὸ πρῶτον πρὸς τοῖς βλαστοῖς βέλτιστον εἶναι, ὃ τέμνεται σπιθαμιαῖον, ἢ μικρῷ μεῖ
ζον. ἑπόμενον δὲ τὸ δεύτερον, ὃ καὶ τῇ τομῇ ἔλαττον. εἶτα τὸ τρίτον, καὶ τέταρτον. ἔσχατον
δὲ τὸ χείριστον, τὸ πρὸς τῇ ῥίζῃ. φλοιὸν γὰρ ἐλάχιστον ἔχει· χρήσιμος δ' οὗτος, οὐ τὸ ξύλον. διὸ καὶ
τὸ ἀκροφυὲς κράτιστον· πλεῖστον γὰρ ἔχειν καὶ τὸν φλοιόν. οἱ μὲν οὕτω λέγουσιν. ἄλλοι δὲ θα
μνώδεις φασί· δύο δ' αὐτοῦ γένη, τὸ μὲν μέλαν, τὸ δὲ λευκόν. λέγεται δέ τις καὶ μῦθος ὑ
πὲρ αὐτοῦ. φύεσθαι μὲν γάρ φασιν ἐν φάραγξιν. ἐν ταύταις δ' ὄφεις εἶναι πολλούς, δῆγμα θα
νάσιμον ἔχοντας. πρὸς οὓς φραξάμενοι τὰς χεῖρας καὶ τοὺς πόδας, καταβαίνουσι, καὶ συλ
λέγουσιν. εἶθ' ὅταν ἐξενέγκωσι, διελόντες τρία μέρη, διακληροῦνται πρὸς τὸν ἥλιον. καὶ
ἣν ἂν λάχῃ ὁ ἥλιος, καταλείπουσιν. ἀπιόντες δ' εὐθύς, ὁρᾶν φασι καιομένην ταύτην.
οὗτος μὲν οὖν τῷ ὄντι μῦθος. τὴν δὲ κασίαν φασὶ τὰς μὲν ῥάβδους πλατυτέρας ἔχειν,
ἰνώδεις δὲ σφόδρα, καὶ οὐκ εἶναι περιφλοῦσαι. χρήσιμον δὲ καὶ ταύτης τὸν φλοιόν. ὅταν οὖν τέ
μνωσι τὰς ῥάβδους, κατακόπτειν ὡς διδάκτυλα τὸ μῆκος, ἢ μικρῷ μείζω. ταῦτα δ' εἰς νεό
δερον βύρσαν καταῤῥάπτειν· εἶτ' ἐκ ταύτης καὶ τῶν ξύλων σηπομένων, σκωλήκια γίνεσθαι,
ἃ τὸ μὲν ξύλον κατεσθίει, τοῦ φλοιοῦ δὲ οὐχ ἅπτεται, διὰ τὴν πικρότητα καὶ δριμύτητα τῆς ὀσ
6 μῆς. καὶ περὶ μὲν κασίας καὶ κινναμώμου, τοσαῦτα λέγεται. Τὸ δὲ βάλσαμον γίνεται
μὲν ἐν τῷ αὐλῶνι τῷ περὶ Συρίαν. παραδείσους δ' εἶναί φασι δύο μόνους, τὸν μὲν ὅσον εἴκοσι
πλέθρων, τὸν δ' ἕτερον πολλῷ ἐλάττονα. τὸ δὲ δένδρον μέγεθος μὲν, ἡλίκον ῥόα μεγάλη.
πολύκλαδον δὲ σφόδρα. φύλλον δὲ ἔχειν ὅμοιον πηγάνῳ, πλὴν ἔκλευκον. ἀείφυλλον δὲ
εἶναι. καρπὸν δὲ παρόμοιον τῇ τερμίνθῳ, καὶ μεγέθει καὶ σχήματι καὶ χρώματι. εὐώδη σφόδρα καὶ
τοῦτον, καὶ μᾶλλον τοῦ δακρύου. τὸ δὲ δάκρυον ἐκ τῆς ἐντομῆς συλλέγειν. ἐντέμνειν δὲ ὄνυξι σι
δηροῖς

τε λαμβάνειν ὕψος αἰεὶ κατὰ πλῆθος. γίνεσθαι δέ φασιν, ὅταν ἡ σύνθεσις ᾖ, κύκλῳ μὲν ὀγδοήκοντα καὶ ἑκατὸν πηχῶν· εἰς ὕψος δὲ ἑξήκοντα, πλεῖον ἢ πεντήκοντα, ἢ ἑκατὸν ἀμφοτέρους, ἐάνπερ ἡ δᾶς τυγχάνῃ πίειρα. συνθέντες οὖν αὐτὴν οὕτως, καὶ κατασκεπάσαντες ὕλῃ, γῆν ἐπιβάλλοντες κατακρύπτουσιν, ὅπως μηδαμῶς ἐπιδιαλάμψῃ τὸ πῦρ· ἀπόλλυται γὰρ ἡ πίττα, τούτου συμβαίνοντος. ὑφάπτουσι δὲ κατὰ τὴν ὑπολειπομένην δίοδον· εἶτα δὲ καὶ ταῦτα ἐπιφράττοντες τῇ ὕλῃ, καὶ ἐπιχώσαντες, τηροῦσιν ἀναβαίνοντες κατὰ κλίμακος, ᾗ ἂν ὁρῶσι τὸν καπνὸν ὠθούμενον· καὶ ἐπιβάλλουσιν αἰεὶ τῆς γῆς, ὅπως μὴ διαλάμψῃ. κατεσκεύασαι δὲ ὀχετὸς [οὺς] τῇ πίττῃ, διὰ τῆς συνθέσεως τῆς ἀπορροῆς εἰς βόθυνον, ὅσον ἀπέχοντι πεντεκαίδεκα πήχεις. λάμα ἡ δὲ ἀπορρέουσα τῆς πίττης, ψυχρὰ γίνεται κατὰ τὴν ἁφήν. καίεται δὲ μάλιστα δύο ἡμέρας καὶ νύκτας· τῇ γὰρ ὑστεραίᾳ, πρὸ ἡλίου δύναντος, ἐκκεκαυμένη γίνεται, καὶ συνίζηκεν ἡ πυρά. πρὸς τοῦτο γὰρ συμβαίνει, μηκέτι ῥεούσης. τὸν δὲ τὸν χρόνον ἅπαντα τηροῦσιν ἀγρυπνοῦντες, ὅπως μὴ διαλάμπῃ. καὶ θύουσι δὲ, καὶ ἑορτάζουσιν, εὐχόμενοι πολλήν τε καὶ καλὴν γίνεσθαι τὴν πίτταν. οἱ μὲν δὴ περὶ Μακεδονίαν καίουσι τὸν τρόπον τοῦτον. ἐν δὲ τῇ Ἀσίᾳ φασὶ, περὶ Συρίαν, οὐκ ἐκπλέττοντες τὴν δᾷδα, ἀλλ' ἐπ' αὐτοῦ τοῦ δένδρου περισκάπτειν, φέροντες ὄργανόν -πλέ- τα τι περιποιημένον, καὶ τοῦτο περιαλείφοντων, εἶθ' ὅταν ἐκτήξωσι ταύτην, πάλιν ἐπ' ἄλλο καὶ ἄλλο μεταφέρειν. ὅρος δὲ εἶναι αὐτοῖς τις, καὶ σημεῖα τοῦ παύεσθαι, καὶ μάλιστα δηλονότι τὸ μηκέτι ῥεῖν. πιττοκαυτοῦσι δὲ ὥσπερ καὶ πρότερον ἐλέχθη, τὰς τερμίνθους. πεδινὴν γὰρ οὐ φέρουσιν οἱ τόποι. -καλοῦ- τὰ μὲν οὖν περὶ τὴν ῥητίνην καὶ τὴν πίτταν, οὕτως ἔχει. περὶ δὲ λιβανωτοῦ, καὶ σμύρνης, καὶ βαλσάμου, καὶ ἔτι τοιούτων ἑτέρων, ὅτι μὲν καὶ δι' ἐντομῆς γίνεται καὶ αὐτομάτως, εἴρηται. πολλὰ δέ τις, ἡ τῶν δένδρων φύσις. καὶ εἴ τι περὶ τὴν γένεσιν, ἢ τὴν συλλογὴν, ἢ τῶν ἄλλων ἴδιον αὐτοῖς ὑπάρχει, πειρατέον εἰπεῖν· ὡσαύτως δὲ, καὶ περὶ τῶν λοιπῶν εὐόσμων. ἐι σχεδὸν γὰρ τάγε πλεῖστα ἐκ τῶν τόπων τούτων, τῶν τε πρὸς μεσημβρίαν καὶ ἀνατολήν.

4 Γίνεται μὲν οὖν ὁ λίβανος, καὶ σμύρνα, καὶ ἡ κασία, καὶ ἔτι τὸ κινάμωμον, ἐν τῇ τῶν Ἀράβων χώρᾳ, νήσῳ περί τε Σαβὰ, καὶ Ἀδραμύττα, καὶ Κιτίβαινα, καὶ Μαμάλι. φύεται δὲ τὰ τοῦ λιβανωτοῦ καὶ τῆς σμύρνης δένδρα, τὰ μὲν ἐν τῷ ὄρει, τὰ δὲ ἐν ταῖς ἰδίαις γεωργίαις ὑπὸ τὴν ὑπώρειαν. διὸ καὶ τὰ μὲν θεραπεύεται, τὰ δ' οὔ. τὸ δ' ὄρος εἶναί φασιν ὑψηλὸν, καὶ δασὺ, καὶ νιφόμενον· ῥεῖν δὲ ἐξ αὐτοῦ καὶ ποταμοὺς εἰς τὸ πεδίον. εἶναι δὲ τὸ μὲν τοῦ λιβανωτοῦ δένδρον, οὐ μέγα· πεντάπηχυ δέ τι, καὶ πολύκλαδον. φύλλον δ' ἔχειν ἐμφερὲς τῇ ἀπίῳ. πλὴν ἔλαττον πολὺ, καὶ τῷ χρώματι ποῶδες σφόδρα, καθάπερ τὸ πήγανον· λειόφλοιον δὲ πᾶν, ὥσπερ τὴν δάφνην. τὴν δὲ σμύρναν ἔλαττον ἔτι τῷ μεγέθει, καὶ θαμνωδέστερον δέ. τὸ δὲ στέλεχος ἔχειν σκληρὸν, καὶ συνεστραμμένον ἐπὶ τῆς γῆς, παχύτερον δὲ ἢ κνημοπαχές. φλοιὸν δὲ ἔχει λεῖον, ὅμοιον τῇ ἀνδράχνῃ. ἕτεροι δὲ οἱ φάσκοντες τεθεωρηκέναι, περὶ μὲν τοῦ μεγέθους σχεδὸν οὐ συμφωνοῦσιν. οὐδέτερον γὰρ εἶναι μέγα τῶν δένδρων, ἔλαττον δὲ τὸ τῆς σμύρνης, καὶ ταπεινότερον. φύλλον δὲ ἔχειν, τὸ τοῦ λιβάνου. ἀλλὰ τοῦ μὲν δαφνοειδὲς, καὶ λειόφυλλον εἶναι· τὸ δὲ τῆς σμύρνης ἀκανθῶδες, καὶ οὐ λεῖον· φύλλον δὲ προσεμφερὲς ἔχειν τῇ πτελέᾳ, πλὴν οὖλον, ἐξ ἄκρου δὲ ἐπακανθίζον, ὥσπερ τὸ τῆς πρίνου. ἔφασαν δὲ οὗτοι κατὰ τὸν παράπλουν, ὃν ἐξ Ἡρώων ἐποιοῦντο κόλπου, ζητεῖν ἐκβάντες ὕδωρ ἐν τοῖς ὄρεσι, καὶ οὕτως θεωρῆσαι τὰ δένδρα κατὰ τὴν συλλογήν. καὶ εἶναι δὲ ἀμφοτέρων ἐντετμημένα καὶ τὰ στελέχη, καὶ τοὺς κλάδους. ἀλλὰ τὰ μὲν ὥσπερ ἀξίνῃ δοκεῖν πεπλῆχθαι, τὰ δὲ λεπτοτέρας ἔχειν τὰς τομάς. τοὺς τὸ δὲ δάκρυον, τὸ μὲν καταπίπτειν, τὸ δὲ καὶ πρὸς τοῖς δένδροις προσίσχεσθαι, -σέχο- ἐνιαχοῦ μὲν ὑποβεβλῆσθαι ψιάθους, ἐκ τῶν φοινίκων πεπλεγμένας· ἐνιαχοῦ δὲ, τὸ ἔδαφος μόνον ἠδαφίσθαι, καὶ καθαρὸν εἶναι. τὸν μὲν ἐπὶ τῶν ψιάθων λιβανωτὸν, εἶναι καὶ καθαρὸν καὶ διαφανῆ· τὸν δ' ἐπὶ τῆς γῆς, ἧττον· τὸν δ' ἐπὶ τοῖς δένδροις προσισχόμενον, ἀποξύειν σιδήροις, διὸ καὶ φλοιὸν ἐνίοις προσεῖναι. τὸ δὲ ὄρος ἅπαν μεμερίσθαι τοῖς Σαβαίοις. τούτους γὰρ εἶναι κυρίους· δικαίους δὲ τὰ πρὸς ἀλλήλους, διὸ καὶ οὐδένα τηρεῖν· ὅθεν καὶ αὐτοὶ δαψιλῶς εἰς τὰ πλοῖα λαβόντες ἐνθέσθαι τοῦ λιβανωτοῦ, καὶ τῆς σμύρνης, ἐρημίας οὔσης, καὶ ἀποπλεῖν. ἔλεγον δὲ οὗτοι καὶ τόδε. καὶ ἔφασαν ἀκούειν, ὅτι συνάγεται πανταχόθεν ἡ σμύρνα καὶ ὁ λιβανωτὸς εἰς τὸ ἱερὸν τὸ τοῦ ἡλίου. τοῦτο δ' εἶναι μὲν τῶν Σαβαίων, ἁγιώτατον δὲ πολὺ τῶν περὶ τὸν τόπον. τηρεῖν δ' ἔχειν τινὰς ἄρραβας ἐνόπλους. ὅταν δὲ κομίσωσιν, ἕκαστον συνθέντα τὸν ἑαυτοῦ, καὶ τὴν σμύρναν ὁμοίως, καταλιπεῖν τοῖς ἐπὶ τῆς φυλακῆς. τιθέναι

καὶ διὰ τοῦτο ἄλευρον αὐτῷ περιπλάττουσι πρὸς τὴν πῆξιν. τὴν δ' ὥραν τῆς ἐκτομῆς ἴσασιν οἱ λίβυες· οὗτοι γὰρ οἱ σιλφιολέγοντες. ὡσαύτως δὲ καὶ οἱ ῥιζοτόμοι, καὶ οἱ τοὺς φαρμακώδεις ὀποὺς συλλέγοντες· καὶ γὰρ οὗτοι τοὺς καυλοὺς ὀπίζουσι πρότερον. ἁπλῶς δὲ, πάντων καὶ οἱ τὰς ῥίζας καὶ οἱ τοὺς ὀποὺς συλλέγοντες, τὴν οἰκείαν ὥραν ἑκάστου τηροῦσι· καὶ τοῦτο μὲν δὴ κοινόν. ἡ δὲ ῥητίνη γίνεται τόνδε τὸν τρόπον. ἐν μὲν τῇ πεύκῃ, ὅταν ἀφελκωθείσης, ἡ φορὰ διαιρεθῇ· συῤῥεῖ γὰρ εἰς τὸ ἕλκωμα τοῦτο πλείων ἡ ὑγρότης. ἐν δὲ τῇ ἐλάτῃ καὶ τῇ πίτυι, ὅταν γυμνωθέντος τοῦ ξύλου ἀφελκώσωσιν· ὁ γὰρ πᾶς ἀφορισμὸς ὁμοίως. ἀφελκοῦσι γὰρ καὶ τὰς τερμίνθους ἐν ἀμφοῖν, καὶ ἐν τῷ στελέχει καὶ ἐν τοῖς ἀκρέμοσιν. αἰεὶ δὲ πλείων καὶ βελτίων ἡ εἰς τὸ στέλεχος συῤῥέουσα, τῆς εἰς τοὺς ἀκρέμονας. διαφέρουσι δὲ καὶ ταῦτα τὰ δένδρα. βελτίστη μὲν γὰρ ἡ τερμινθίνη· καὶ γὰρ συνεστηκυῖα, καὶ εὐωδεστάτη, καὶ κουφοτάτη τῇ ὀσμῇ· ἀλλ' ὀλίγη. δευτέρα δὲ ἡ ἐλατίνη καὶ πιτυίνη· κουφότεραι γὰρ τῆς πευκίνης. πλείστη δὲ ἡ πευκίνη, καὶ βαρυτάτη, καὶ πιττωδεστάτη, διὰ τὸ μάλιστα ἔνδαδον εἶναι τὴν πεύκην. ἄγεται δὲ ἐν ἀσκοῖς ὑγρά, κἄπειτα οὕτως συνίσταται. ἔνιοι δέ φασι, καὶ τὴν τέρμινθον ῥητινεύεσθαι περὶ συρίαν. ἔστι γὰρ ὄρος, καθάπερ ἐν τοῖς ἔμπροσθεν εἴπομεν, μέγα, τερμίνθων μεστὸν ἅπαν μεγάλων. ἔνιοι δέ φασι καὶ τὴν πίτυν, καὶ τὴν κέδρον, καὶ τὴν φοινικῆν· ἀλλὰ ταῦτα μὲν ὡς ἐνδεχόμενα λεκτέον, διὰ τὸ ἀσαφές. ἐπεὶ οἵ γε περὶ μακεδονίαν, οὐδὲ τὴν πεύκην ῥητινεύουσιν, ἀλλὰ τὴν ἄῤῥενα. καλοῦσι γὰρ ἄῤῥενα, τὴν γε † καρποφόρον. τῆς δὲ θηλείας ἐάν τινα, τῶν ῥιζῶν λάβωσιν. ἅπασα γὰρ ἔνδαδος πεύκη ταῖς ῥίζαις.

καλλίστη δὲ πίττα γίνεται, καὶ καθαρωτάτη, ἡ ἐκ τῶν σφόδρα προσείλων καὶ προσβόῤῥων· ἐκ δὲ τῶν παλισκίων, θολωροτέρα καὶ βορβορώδης. ἐν γὰρ τοῖς σφόδρα παλισκίοις, οὐδὲ φύεται πεύκη τὸ παράπαν. ἔστι δὲ καὶ εὐφορία τις καὶ ἀφορία, καὶ πλήθους καὶ κάλλους. ὅταν μὲν γὰρ χειμὼν μέτριος γένηται, πολλὴ γίνεται καὶ καλὴ, καὶ τῷ χρώματι λευκοτέρα· ὅταν δὲ ἰσχυρός, ὀλίγη καὶ μοχθηροτέρα. καὶ ταῦτά γε δὴ τὰ ὁρίζοντα πλῆθος καὶ καλλονὴν πίττης, οὐχ ἡ πολυκαρπία τῶν πευκῶν. οἱ δὲ περὶ τὴν ἴδην φασὶ, διαιροῦντες τὰς πεύκας, καὶ τὴν μὲν καλοῦντες ἰδαίαν, τὴν δὲ παραλίαν, τὴν ἐκ τῆς ἰδαίας πλείω καὶ μελαντέραν γίνεσθαι, καὶ γλυκυτέραν, καὶ τὸ ὅλον εὐωδεστέραν ὠμήν. ἑψηθεῖσαν δὲ ἐλάττω ἐκβαίνειν, πλείω γὰρ ἔχειν τὸν ὀρόν· διὸ καὶ λεπτοτέραν εἶναι. τὴν δὲ τῆς παραλίας, ξανθοτέραν καὶ παχυτέραν ὠμὴν, ὥστε καὶ τὴν ἀφεψηθεῖσαν ἐλάττω γίνεσθαι. δᾳδωδεστέραν δὲ τῆς ἰδαίας. ὡς δὲ ἁπλῶς εἰπεῖν, ἐκ τῶν ἴσων δᾳδῶν πλείω καὶ ὑδαρεστέραν, ἐν ταῖς ἐπομβρίαις γίνεσθαι ἢ ἐν τοῖς αὐχμοῖς· καὶ ἐκ χειμερινῶν καὶ παλισκίων τόπων, ἢ ἐκ τῶν εὐήλων καὶ εὐδιεινῶν. ταῦτα μὲν οὖν οὕτως ἑκάτεροι λέγουσιν. ἀναπληροῦσθαι δὲ συμβαίνει τὰ κοιλώματα, πρὸς τὸ πάλιν ἐξαιρεῖν. τῶν μὲν ἀγαθῶν πευκῶν, ἐνιαυτῷ· τῶν δὲ μετριωτέρων, ἐν δυσὶν ἔτεσι· τῶν δὲ μοχθηρῶν, ἐν τρισίν. ἡ δὲ ἀναπλήρωσις, οὐ τοῦ ξύλου καὶ τῆς συμφύσεως, ἀλλὰ τῆς πίττης ἐστίν· ἐπεὶ τὸ ξύλον ἀδύνατον συμφῦναι, καὶ ἓν γενέσθαι πάλιν. ἀλλ' ἡ ἐργασία διὰ τοσούτου χρόνου γίνεται τῆς πίττης. ἀναγκαῖον δὲ δηλονότι καὶ τῷ ξύλῳ γενέσθαι τινὰ πρόσφυσιν· ἅπερ ἐξαιρουμένης τῆς δᾳδὸς, καὶ καιομένης τῆς πίττης, ἡ ἐκροή. τοῦτο μὲν οὖν οὕτω λεκτέον. οἱ δὲ περὶ τὴν ἴδην φασὶν, ὅταν λεπίσωσι τὸ στέλεχος (λεπίζουσι δὲ τὸ πρὸς ἥλιον μέρος, ὡς δύο ἢ τρεῖς πήχεις ἀπὸ τῆς γῆς) ἐνταῦθα τῆς ἐπιῤῥοίας γινομένης ἐν δ' ἄλλον ἐνιαυτῷ μάλιστα. τοῦτο δ' ὅταν ἐκπελεκήσωσιν, ἐν ἑτέρῳ πάλιν ἐνδαδοῦσθαι· καὶ τὸ τρίτον ὡσαύτως. τὰ δὲ τοιαῦτα διὰ τὴν ἐντομὴν ἐκπίπτειν δένδρα ὑπὸ τῶν πνευμάτων, σαπρότητα. τοῦτο δ' ἐξαιρεῖν αὐτὸ τὴν καρδίαν (τοῦτο γὰρ μάλιστα δᾳδῶδες) ἐξαιρεῖν δὲ ἐκ τῶν ῥιζῶν· καὶ γὰρ ταύτας, ὥσπερ εἴπομεν, ἐνδάδους πάσας. εἰκὸς δὲ δηλονότι τὰς μὲν ἀγαθὰς, ὥσπερ ἐλέχθη, συνεχῶς τοῦτο δρᾶν, τὰς δὲ χείρονας διὰ πλείονος χρόνου· καὶ ταμιευομένων μὲν, πλείω χρόνον ἀντέχειν· ἐὰν δὲ πᾶσαν ἐξαιρῶσιν, ἐλάττω. δύναται δ' ὡς ἔοικε, τρεῖς μάλιστα τοιαύτας ἐξαιρέσεις ὑπομένειν. οὐχ ἅμα δὲ καρποφοροῦσιν αἱ πεῦκαι καὶ δᾳδοφοροῦσι. καρποφοροῦσι μὲν γὰρ εὐθὺς νέαι, δᾳδοφοροῦσι δὲ ὕστερον πολλῷ πρεσβύτεραι γινόμεναι. Τὴν δὲ πίτταν καίουσι τόνδε τὸν τρόπον. ὅταν κατασκευάσωσιν ὁμαλῆ τόπον, ὥσπερ ἅλω ποιήσαντες, ἔχουσαν εἰς τὸ μέσον συῤῥοὴν, καὶ ταύτην ἐδαφίσωσι, κατασχίσαντες τοὺς κορμοὺς συντιθέασι, παραπλησίαν σύνθεσιν τῇ τῶν ἀνθρακευόντων, πλὴν οὐκ ἐμβόθρον, ἀλλὰ τὰς σχίζας ὀρθὰς πρὸς ἀλλήλας, ὥσ-

λεῖ χώραν ἀγαθήν. ἴδιον δὲ αὐτοῦ λέγεται πρὸς τὰ ἄλλα τὰ σιτώδη σπέρματα, καὶ ἡ παρ᾽ ἐνιαυτὸν βλάστησις ἑκατέρων τῶν σπερμάτων. διὸ καὶ οἱ βουλόμενοι τελέως φθεῖραι (δύσφθαρτον γὰρ διὰ φύσιν τυγχάνει) τὰς ἀρούρας ἀφίασιν ἀσπόρους ἤδη δύο ἔτη. καὶ ὅταν ἀναβλαστάνῃ, τὰ πρόβατα ἀφίασι πολλάκις, ἕως ἂν ἐκνεμηθῶσι, καὶ αὕτη γίνεται φθορὰ παντελής, ἅμα δὲ τοῦτο μαρτυρεῖ καὶ τὴν παρὰ μέρος βλάστησιν.

ΘΕΟΦΡΑΣΤΟΥ ΠΕΡΙ ΦΥΤΩΝ
ἹΣΤΟΡΊΑΣ ΤῸ Ι.

Η ὙΓΡΌΤΗΣ ἡ οἰκεία τῶν φυτῶν, ἣν δὴ καλοῦσί τινες ὀπὸν ὀνόματι κοινῷ προσαγορεύοντες, δύναμιν δὲ ἔχει δηλονότι τὴν καθ᾽ αὑτὴν ἑκάστη. χυμὸς δὲ ταῖς μὲν μᾶλλον, ταῖς δ᾽ ἧττον ἀκολουθεῖ· ταῖς δ᾽ ὅλως οὐκ ἂν δόξειεν· οὕτως ἀσθενὴς καὶ ὑδαρὴς †τίς ἐστι. πλείστη μὲν οὖν ὑπάρχει πᾶσι περὶ τὴν βλάστησιν· ἰσχυροτάτη δὲ μάλιστα, ἐκφαίνεται τῇ ἑαυτῶν φύσει, ὅταν ἤδη παύσηται καὶ βλαστάνοντα καὶ καρπογονοῦντα. συμβαίνει δὲ ἐνίοις τῶν φυτῶν, καὶ χρόας ἰδίας ἔχειν· τοῖς μὲν λευκάς, οἷον τοῖς ὀπώδεσι· τοῖς δ᾽ αἱματώδεις, οἷον τῇ κολυτερίᾳ, καὶ τῇ ἀβρακτυλίδι καλουμένῃ ἀκάνθῃ· τοῖς δὲ χλωρόν, τοῖς δ᾽ ἐν ἄλλον χρόαν. ἔνδηλα δὲ μᾶλλον ταῦτα τοῖς ἐπετείοις, καὶ ἐν τοῖς ἐπετειοκαύλοις, ἢ τοῖς δένδροις. ἡ δ᾽ ὑγρότης, τῶν μὲν πάχος ἔχει μόνον, ὥσπερ τῶν ὀπωδῶν· τῶν δὲ καὶ δακρυώδης γίνεται, καθάπερ ἐλάτης, πεύκης, τερμίνθου, πίτυος, ἀμυγδαλῆς, κεράσου, προύνης, ἀρκεύθου, κέδρου, πτελέας, τῆς ἀκάνθης τῆς αἰγυπτίας. καὶ γὰρ αὕτη φέρει κόμμι, πλὴν οὐκ ἐκ τοῦ φλοιοῦ, ἀλλ᾽ ἐν τῷ δένδρῳ. ἔτι δὲ ἀφ᾽ ὧν ὁ λίβανος, καὶ ἡ σμύρνα· δάκρυα γὰρ καὶ ταῦτα. καὶ τὸ βάλσαμον, καὶ χαλβάνη, καὶ ἔστι τοιοῦτον ἕτερον, οἷον φασὶ τὴν ἄκανθαν τὴν ἰνδικήν, ἀφ᾽ ἧς γίνεται τὸ ὅμοιον τῇ σμύρνῃ. συνίσταται δὲ καὶ ἤδη τῆς χίου, καὶ ἤδη τῆς ἀκάνθης τῆς ἰξίνης καλουμένης, ἐξ ὧν ἡ μαστίχη. ἅπαντα δὲ ταῦτα εὔοσμα, καὶ σχεδὸν ὅσα πιότητά τινα ἔχει, καὶ λίπος· ὅσα δ᾽ ἀλιπῆ, ταῦτα δ᾽ ἄοσμα, καθάπερ τὸ κόμμι, καὶ τὸ τῆς ἀμυγδαλῆς. ἔχει δὲ δάκρυον καὶ ἡ ἰξία, ἡ ἐν κρήτῃ, καὶ ἡ βραγάκανθα καλουμένη. ταύτην δὲ πρότερον ᾤοντο μόνον ἐν κρήτῃ φύεσθαι· νῦν δὲ φανερὰ καὶ ἐν ἀχαΐᾳ τῆς πελοποννήσου, καὶ ἄλλοθι, καὶ τῆς ἀσίας περὶ μηδίαν. καὶ τούτων μὲν πάντων ἔν τε τοῖς καυλοῖς καὶ τοῖς στελέχεσι καὶ τοῖς ἀκρέμοσι τὸ δάκρυον· ἐνίων δ᾽ ἐν ταῖς ῥίζαις, ὥσπερ τοῦ ἱπποσελίνου, καὶ τῆς σκαμμωνίας, καὶ τῶν ἄλλων πολλῶν φαρμακωδῶν. τῶν δὲ καὶ ἐν τῷ καυλῷ καὶ ἐν τῇ ῥίζῃ. καὶ γὰρ τὸν καυλὸν ὀπίζουσι, καὶ ἐνίων τὰς ῥίζας, ὥσπερ καὶ τοῦ σιλφίου. τὸ μὲν οὖν τοῦ ἱπποσελίνου, παρόμοιον τῇ σμύρνῃ. καί τινες ἀκούσαντες ὡς ἐν τούτῳ ἡ σμύρνη, ἡγοῦνται βλαστάνειν ἐν αὐτοῖς ἱπποσέλινον. φυτεύονται γάρ, ὥσπερ ἐλέχθη, καὶ ἀεὶ δακρύει τὸ ἱπποσέλινον, ἢ καθάπερ ἡ σκαμμωνία, καὶ ἄλλα. τὸ δὲ τοῦ σιλφίου δριμύ, καθάπερ αὐτὸ τὸ σίλφιον. ὁ γὰρ ὀπὸς καλούμενος τοῦ σιλφίου, δάκρυόν ἐστιν. ἡ δὲ σκαμμωνία, καὶ εἰ ἄλλο τοιοῦτον, ὥσπερ ἐλέχθη, φαρμακώδεις ἔχει τὰς δυνάμεις. πάντων δὲ τῶν εἰρημένων, τὰ μὲν αὐτομάτως συνίσταται, τὰ δὲ ἀπ᾽ ἀνατομῆς, τὰ δ᾽ ἀμφοτέρωθεν. τέμνουσι δὲ δηλονότι τὰ χρήσιμα, καὶ τὰ μᾶλλον. οὐδὲ γοῦν τὸ ἀπὸ τῆς ἀμυγδαλῆς, οὐδεμία χρεία δακρύου· διὸ καὶ ἀφέλκουσι. πλὴν ἐκεῖνό γε φανερόν, ἐξ ὧν αὐτόματος ἡ πῆξις, τούτων πλείων ἡ συρροὴ τῆς ὑγρότητος. οὐ τὴν αὐτὴν δ᾽ ὥραν ἁπάντων αἱ ἐντομαί, καὶ ἡ πῆξις. ἀλλὰ τῆς μὲν τῆς ἀμπέλου μάλιστα συνίστασθαί φασιν, ἐὰν μικρὸν πρὸ τῆς βλαστήσεως τμηθῇ. τῆς δὲ μετοπώρου, καὶ ἀρχομένου τοῦ χειμῶνος, ἧττον. καί τοι πρός γε καρποτοκίαν καὶ ὡραιότητα, ταῖς δὲ πλείσταις αὗται. τῆς δὲ τερμίνθου καὶ τῆς πεύκης, καὶ † ἢ ἐκ ζινων ἄλλων ῥητίνη γίνεται, μετὰ τὴν βλάστησιν. τὸ δ᾽ ὅλον, οὐκ ἐπέτειος ἡ τούτων, ἀλλ᾽ εἰς πλείω χρόνον ἡ ἐντομή. τὸν δὲ λιβανωτόν, καὶ τὴν σμύρναν, ὑπὸ κύνα φασὶ καὶ ταῖς θερμοτάταις ἡμέραις ἐντέμνειν. ὡσαύτως δὲ καὶ τὸ ἐν συρίᾳ βάλσαμον. ἀκριβεστέρα δὲ καὶ ἐλάττων καὶ ἡ τούτων ἐντομή· καὶ γὰρ ἡ συρροὴ τῆς ὑγρότητος ἐλάττων. ὧν δὲ καὶ ὁ καυλὸς ἐκτέμνεται, καὶ ἡ ῥίζα, τούτων ὁ καυλὸς πρότερον, ὥσπερ καὶ τοῦ σιλφίου. καλοῦσι δὲ τῶν ὀπῶν τούτων, τὸν μὲν καυλίαν, τὸν δὲ ῥιζίαν. καὶ ἔστι βελτίων ὁ ῥιζίας· καθαρὸς γάρ, καὶ διαφανής, καὶ ξηρότερος. ὁ δὲ καυλίας ὑγρότερος,

περ ἐν τοῖς λελεγμένοις. σκώληκες δὲ γίνονται καὶ ἐν τοῖς ὀρόβοις, καὶ ἐν τοῖς λαθύροις, καὶ τοῖς πίσοις, ὅταν ὑγρανθῶσι καὶ θερμημερίαι γίνωνται, καθάπερ ἐν τοῖς ἐρεβίνθοις αἱ κάμπαι. τὰ δὲ ἐξαναλώσαντα τὰς τροφὰς ἀπόλλυται, καὶ ἐν τοῖς χλωροῖς, καὶ ἐν τοῖς καρποῖς οἷον αἱ ἶπες, καὶ αἱ ἐν τοῖς κυάμοις ἐγγινόμεναι, καὶ ἐν τοῖς ἄλλοις· ὥσπερ καὶ ἐν τοῖς δένδρεσι καὶ ἐν τοῖς ξύλοις ἐλέχθη· πλὴν τῶν κερασῶν καλουμένων. πρὸς ἅπαντα δὲ ταῦτα μεγάλως διαφέρουσιν αἱ χῶραι, οὐκ ἀλόγως. ὁ γὰρ ἀὴρ εὐθὺς διάφορος ἢ θερμὸς ἢ ψυχρὸς ὢν, ἢ ὑγρὸς ἢ ξηρός. οὗτος δὲ ἦν ὁ ἐνδίων. διὸ καὶ ἐν ταῖς αὔλαξι γίνεται, οὐκ ἀεὶ γίνονται. τῶν δὲ σπερμάτων οὐχ ἡ αὐτὴ δύναμίς ἐστιν, οὔτε πρὸς τὴν βλάστησιν, καὶ εἰς θησαυρισμόν. ἔνια μὲν γὰρ βλαστάνει καὶ τελειοῦται τάχιστα, καὶ θησαυρίζεται κράτιστα· καθάπερ ἔλυμος, καὶ κέγχρος. ἔνια δὲ βλαστάνει μὲν, οὐ ταχέως δέ. καθάπερ ὁ κύαμος, καὶ μᾶλλον ὁ τρέμμον. ταχὺ δ' ὁ ἐκφαίνει, καὶ ὁ δόλιχος. κωθὴν δὲ πυρός· θᾶττον δὲ καὶ ὁ κονιορτώδης †καὶ ὁ κονιορτός. καὶ ὁ

ἢ ὁ ἀκονίορθος

ἐν τοῖς κονιορτοῖς ἐν ἅπασιν, οἷον κονιάταις ἢ ἀκονιάταις » γίνεται διαφθειρομένοις ἴδια ζῶα, καθάπερ ἐλέχθη, πλὴν ἐρεβίνθου· μόνος γὰρ οὗτος οὐ ζωογονεῖ. καὶ συμπεπαμένοις μὲν ὥσπερ σκώληξ. κοπτομένοις δὲ, καθάπερ ἴδιον. πάντων δὲ μάλιστα διαμένουσιν ἐρέβινθος καὶ ὄροβος, τούτων δὲ ἔτι μᾶλλον ὁ θέρμος· ἀλλ' ἰσχυρὸν οὗτος ὥσπερ ἄγριον. διαφέρει δὲ, ὡς εἴρηται, χώρα χώρας, καὶ ἀὴρ ἀέρος, εἰς τὸ κόπτεσθαι, καὶ μὴ, τὰ σπέρματα. ἐν Ἀπολλωνίᾳ γοῦν τῇ περὶ τὸν Ἰόνιον, οὐκ ἐσθίεσθαί φασιν ὅλως κύαμον. διὸ καὶ εἰς θησαυρισμὸν ἐκτίθεσθαι. διαμένει δὲ καὶ περὶ Κύζικον ἐπὶ πλέω. μέγα δὲ πρὸς διαμονὴν, καὶ τὸ ξηρὰ θερίζειν· ἐλάττων γὰρ ἡ ὑγρότης. θερίζουσι δ' εὐχυλότερα τὰ μὲν χεδροπὰ, πρὸς τὸ μᾶλλον καὶ ῥᾷον συμπῆξαι· ταχὺ γὰρ καταῤῥεῖ, καὶ αὐανθέντα θρύπτεται. †τὰς δὲ κριθὰς, καὶ γένος ἡ κριθῶν,

σὺν δὲ πυρὸς

διὰ τὸ βέλτιον εἰς τὰ ἄλφιτα γίνεσθαι, μὴ ἀπεξηραμμένας. διὸ καὶ εἰς θημῶνας συντιθέασι καὶ πυροὺς καὶ κριθὰς, καὶ δοκοῦσιν ἀδρύνεσθαι ἐν θημῶνι μᾶλλον. ὑλίκως στερρὸν οὐκ ἐσθίεται δὲ σῖτος; ὁ τανυσθεὶς περιφυεῖ: ἀέριος δὲ μάλιστα διαμένει ὁ πυρός· ἔτι δὲ μᾶλλον ὁ θέρμος. θέρμος. οὐδὲ γὰρ βυζόνουσι τοῦτον τὸν τρόπον· ὕλωρ γίνεσθαι, διὰ τὸ ἐκ πολλῶν διεξόμενον, καὶ ἀπόλλυσθαι τὸ σπέρμα.

11 Πρὸς ἔκφυσιν δὲ, καὶ τὴν ὅλην σπορὰν, ἄριστα δοκεῖ τὰ ἐνιαύσια· τὰ δὲ δίετα, χείρω· καὶ τὰ τρίετα. τὰ δ' ὑπερτείνοντα, σχεδὸν ἄγονα, πρὸς δὲ τὴν σίτησιν ἀρκοῦντα. βίος γάρ ἐστιν ἑκάστοις ὡρισμένος εἰς γονήν, καί τοι καὶ ταῦτα παραλλάττει ταῖς δυνάμεσι, διὰ τοὺς τόπους, ἐν οἷς ἂν θησαυρίζωνται. τῆς γοῦν Καππαδοκίας ἐν χωρίῳ τινὶ τῷ καλουμένῳ πέτρα, καὶ τετταράκοντα ἔτη διαμένειν φασί, γόνιμα δὲ καὶ χρήσιμα πρὸς σπόρον, εἰς ἑξήκοντα ἢ ἑβδομήκοντα. τὸ γὰρ ὅλον οὐ κόπτεσθαι· τὰ δὲ ἱμάτια, καὶ τὴν ἄλλην γάζαν κόπτεσθαι. τὸ γὰρ χωρίον ἄλλως τε ὑψηλὸν ἐστὶν, καὶ εὔπνουν, καὶ ἔναυρον ἀεί· καὶ ἐπὶ ἀνατολὰς ἔχει καὶ δύσεως καὶ μεσημβρίας. φασὶ δὲ καὶ ἐν Μηδίᾳ, καὶ ταῖς ἄλλαις ὑψηλαῖς χώραις, διαμένειν θησαυριζόμενα πολὺν χρόνον. ἐρέβινθον δὲ, καὶ θέρμον, καὶ ὄροβον, καὶ κέγχρον, καὶ τὰ τοιαῦτα, δηλονότι πολλῷ πλείω τῶν ἑτέρων· ὥσπερ καὶ ἐν τοῖς περὶ τὴν Ἑλλάδα τόποις. ἀλλὰ ταῦτα μὲν, ὥσπερ εἴρηται, τῶν τόπων ἴδια. δοκεῖ δὲ καὶ γῆ τις εἶναι πρὸς ἄλευσιν, ἣ διαπλαττομένη συντηρεῖ τὸν πυρόν, ὥσπερ ἥ τε ἐν Ὀλύνθῳ καὶ ἐν Κηρίνθῳ τῆς Εὐβοίας. ποιεῖ δὲ χείρω μὲν εἰς τὴν σίτησιν, ἀδρότερον δὲ τῇ προσόψει. παρεμπάττουσι δὲ χοίνικα εἰς τὸν μέδιμνον. πυρωθέντα δὲ πάντα τὰ σπέρματα ἀπόλλυται, καὶ ἄβλαστα γίνεται. καί τοι περί γε Βαβυλῶνά φασι, τὰς κριθὰς καὶ τοὺς πυροὺς ἐπὶ τῶν ἅλω πυρολῶν, ὥσπερ τὰ φρυγόμενα. ἀλλὰ δῆλον, ὡς διαφορά τις ἐστὶ τῆς θερμότητος, ἢ ἁπλῶς πᾶσα θερμασία γίνεται, καὶ ἡ πύρωσις. καὶ τὰ μὲν τοιαῦτα σχεδὸν ὥσπερ ἀπορίας δόξαιεν ἂν εἶναι πάντων, ἢ τῶν πλείστων. ἔνια δὲ ἔχει τινὰ ἰδιότητα, ἢ τῶν δοκούντων ὥσπερ ἀγρίων εἶναι κατὰ τὴν γένεσιν καὶ ἔκφυσιν, ὥσπερ ὁ θέρμος, καὶ ὁ αἰγίλωψ. ὁ μὲν γὰρ θέρμος, καίπερ ἰσχυρότατος ὢν, ὅμως ἐὰν μὴ εὐθὺς ἄλω καταβληθῇ, κακοφυὴς γίνεται, καθάπερ ἐλέχθη. καὶ τὸ ὅλον δὲ οὐκ ἐθέλει κρύπτεσθαι τῇ γῇ. διὸ καὶ οὐχ ὑποπορῶντες σπείρουσι· πολλάκις δὲ, κἂν εἰς ὕλην ἢ βοτάνην τινὰ πέσῃ, διωσάμενος ταύτην, συνάπτει τὴν ῥίζαν τῇ γῇ, καὶ βλαστάνει. χώραν δὲ ὕφαμμον ζητεῖ, καὶ φαύλην μᾶλλον. τὸ δὲ ὅλον, οὐκ ἐθέλει φύεσθαι τῇ διεργασμένῃ. ὁ δὲ αἰγίλωψ ἀνάπαλιν· ἐν γὰρ τῇ γεωργημένῃ κάλλιον. καὶ ἐν παχεῖ δέ, πρότερον ἄβλαστος ὤν, ἐὰν γεωργηθῇ, βλαστάνει, καὶ γίνεται πολύς. καὶ ὅλως δὲ φι-

λεῖ χώραν

αἴρω, τὸ αἱμόδωρον, μονόκαυλον, οὐκ ἀπεμφερὲς τοῦ καυλοῦ, πλὴν βραχύτερόν τε πολὺ, καὶ ἄνωθέν τι κεφαλῶδες ἔχει, ῥίζαν δὲ ὑποστρόγγυλον. οὐδὲν δ' ἕτερον ἀφανίζεται πλὴν τὸ βέκιρας. γίνεται δὲ ταῦτα ἐν ταῖς λεπταῖς, οὐκ ἐν ταῖς πιείραις· ὥσπερ καὶ τῆς Εὐβοίας ἐν τῷ Λη λαίτῳ μὲν οὐ γίνεται· περὶ δὲ τὸ Καίνθον, καὶ εἴ τις ἄλλος τοιοῦτος τόπος. ταῦτα μὲν οὖν κοινὰ πλεόνων ὄντα, κατισχύει μᾶλλον ἐν τοῖς εἰρημένοις διὰ τὴν ἀσθένειαν.

9 Τὸ δὲ τρόφιμον καὶ ἀτρόφιμον, λέγεται μὲν ἤδη τῶν ὀσπρίων μόνον. οὐκ ἄλογον δὲ καὶ ἐπὶ τῶν σιτωδῶν περὶ ἃ πλείω, εἰ καὶ τοῦτό τι συμβαίνει· ἀλλὰ διὰ τὸ μὴ τῇ αὐτῇ εἶναι χρείᾳ, οὐχ ὁμοίως ἐμφανές. ἐπεὶ οὐδὲ ἐπὶ τούτων ἁπάντων ὁμοίως, ἀλλὰ μάλιστα ἐπὶ τοῦ κυάμου λέγεται καὶ φακοῦ. ἔτι δ' οὖν καὶ μάλιστα ἐπὶ τῶν χόρτων, ἅτε καὶ διὰ τῆς χρείας φαινομένων. γίνεται γοῦν πλείω. πολλαχοῦ γὰρ τόποι τινές εἰσιν, οἱ μὲν φέρουσι τεράμονα, καὶ ἄλλοι πάλιν ἀτεράμονα. τὸ δὲ ὡς ἐπίπαν, οἱ λεπτόγεω μᾶλλον τεράμονα, καὶ ἀέρος κατάστασίς τις ποιεῖ τὴν τοιαύτην παραλλαγήν. σημεῖον δὲ, ὅτι ταῦτα τὰ χωρία, καὶ ὁμοίως ἐργασθέντα, φέρει ποτὲ μὲν τεράμονα. περὶ Φιλίππους δὲ ὁ κύαμος λεγόμενος, ἐὰν ὑπὸ ποδίματος ἐγχωρίου ληφθῇ, τεράμων μὲν, ἀτεράμων γίνεται. ταῦτα μὲν οὖν κοινὰ, διότι πολλαχῶς τῶν δὲ τῶν χωρίων ἔνια συνεργεῖ, καὶ ὁμοίως καθιέμενα, καὶ οὐδεμίαν ἔχοντα περὶ τὴν γῆν διαφορὰν, τὸ μὲν τεράμονα, τὸ δ' ἀτεράμονα φέρει· καὶ φύσει μόνον αὔλακος διορίζουσης. καρπίζεται τὴν γῆν μάλιστα πυρὸς, εἶτα κριθή· διὸ καὶ ὁ μὲν ἀσθενῆ ζητεῖ χώραν, ἡ δὲ κριθὴ δύναται καὶ ἐν ταῖς ψαφαρωτέραις ἐκφέρειν. τῶν δὲ χεδροπῶν μάλιστα ἐρέβινθος, καίπερ ἐλάχιστον χρόνον ἐν τῇ γῇ μένων. ὁ δὲ κύαμος, ὥσπερ ἐλέχθη, καὶ ἄλλως οὐ βαρὺ, καὶ ὅτι κοπρίζειν δοκεῖ τὴν γῆν, διὰ μανότητα καὶ σῆψιν. διὸ καὶ οἱ περὶ Μακεδονίαν καὶ Θετταλίαν, ὅταν ἀνθῶσιν, ἀναστρέφουσι τὰς ἀρούρας. τῶν δὲ ὁμοιοσπόρων καὶ ὁμοιοκρίθων, οἷον ζειᾶς, τίφης, ὀλύρας, βρόμου, αἰγίλωπος, ἰσχυρότερον καὶ μάλιστα καρπιζόμενον ἡ ζειά. καὶ γὰρ πολύρριζον, καὶ βαθύρριζον, καὶ πολυκάλαμον· ὁ δὲ καρπὸς κουφότερος, καὶ προσφιλὴς πᾶσι τοῖς ζώοις. τῶν δὲ ἄλλων ὁ βρόμος πολύρριζος· καὶ γὰρ οὗτος πολυκάλαμος. ἡ δὲ ὀλύρα, μαλακώτερον καὶ ἀσθενέστερον τούτων. ἡ δὲ τίφη, πάντων κουφότατον· καὶ γὰρ καὶ μονοκάλαμον. διὸ καὶ χώραν ζητεῖ λεπτὴν, οὐχ ὥσπερ ἡ ζειὰ πίειραν καὶ ἀγαθήν. ἔστι δὲ δύο ταῦτα καὶ ὁμοιότατα τοῖς πυροῖς, ἔτι αἰγίλωψ καὶ ὁ βρόμος· ὥσπερ ἄγρια ἄττα καὶ αὐχμηρά. ἐκκαρπίζεται δὲ σφόδρα καὶ ὁ αἰγίλωψ τὴν γῆν, καὶ ἔστι πολύρριζον καὶ πολυκάλαμον. ἡ δὲ αἶρα παντελῶς ἐπινεμομένη. τῶν δὲ ἐν τοῖς θερινοῖς ἀρότοις, τὸ σήσαμον δοκεῖ χαλεπώτατον εἶναι τῇ γῇ, καὶ μάλιστα καρπίζεσθαι, καὶ πολυκαλαμώτερον, καὶ παχυκαλαμώτερον, καὶ πολυρριζότερον τυγχάνει. διαφέρει δὲ πάντα πρὸς τὴν γῆν κοῦφα, καὶ πρὸς τὴν ἡμετέραν τροφήν. ἔνια γὰρ ἐναντίως, ὥσπερ τὰ χεδροπὰ, καὶ οἱ κέγχροι· καὶ τὰ πρὸς ἡμᾶς δὲ, ὥσπερ ἐλέχθη, τί, καὶ τὰ ἄλλα ζῷα.

10 Τῶν δὲ σπερμάτων, τὰ μὲν κοινὰ πάντων ἐστὶν, οἷον ἐρυσίβη· τὰ δὲ ἴδια τινῶν, οἷον ὁ σφακελισμὸς τῆς κριθῆς, καὶ τὸ ὑπὸ καύματος κατακαίεσθαι, καὶ ὑπὸ ψύλλων θηρίων. ἔνια δὲ καὶ ψῆρας καὶ ἄλμας, καθάπερ τὸ κύμινον. τὰ δὲ ἐγγινόμενα ζῷα, εἰ μὴ δι' αὐτὸ, ἀλλ' ἐκ τῆς ἔξωθεν, οὐχ ὁμοίως βλάπτει. ἐγγίνεται γὰρ ἡ μὲν † καβαρὶς ἐν τοῖς πυροῖς, τὸ δὲ φαλάγγιον ἐν ὀρόβοις, ἄλλα δ' ἐν ἄλλοις. ἐρυσιβᾶται δὲ ὡς ἁπλῶς εἰπεῖν, τὰ σιτώδη μᾶλλον τῶν ὀσπρίων. αὐτῶν δὲ τούτων ἡ κριθὴ μᾶλλον, ἢ πυρός. καὶ τῶν κριθῶν ἑτέρα ἑτέρων. μάλιστα δὲ ὡς εἰπεῖν, ἡ ἀχιλληΐς. διαφέρει δὲ καὶ ἡ τῶν χωρίων θέσις, καὶ ἡ φύσις. οὐ μικρὸν γὰρ προσήνεμα καὶ μετέωρα, οὐκ ἐρυσιβᾶ, ἢ ἧττον· ἀλλὰ τὰ ἔγκοιλα, καὶ ἄπνοα. γίνεται δὲ ἡ ἐρυσίβη, πανσελήνους μάλιστα. ἀπόλλυται δὲ καὶ ὑπὸ τῶν πνευμάτων, καὶ πυρὸς καὶ κριθὴ, ὅταν ἢ ἀνθοῦντα ληφθῇ, ἢ ἄρτι ἀπηνθηκότα καὶ ἀσθενῆ· μᾶλλον † καὶ κριθή. πολλάκις δ' ἤδη ἐν τῷ ἀδρύνεσθαι * οὐ, ἐὰν μεγάλα καὶ πλείω χρόνον ἐπιγίνηται. ξηραίνει γὰρ, καὶ ἀφανίζει, ὃ καλοῦσί τινες διακαυμοῦσθαι. διαπόλλυσι δὲ καὶ ἥλιος ὁ ἐκνέφιος ἄμφω, καὶ μᾶλλον πυρὸν ἢ κριθὴν, ὥστε μηδ' ἐπίδηλον εἶναι τὸν στάχυν τῇ ὄψει, ὄντα κενόν. τὸν δὲ πυρὸν κωλύουσι καὶ οἱ σκώληκες, οἱ μὲν εὐθὺς κατεσθίοντες φυόμενον, τὰς ῥίζας· οἱ δὲ, ὅταν αὐχμῶντες ἐκλυθῶσι μὴ δύνωνται. τότε γὰρ ἐγγινόμενος ὁ σκώληξ, ἐσθίει τὸν ἐκπυνιζόμενον κάλαμον· ἐσθίει δὲ ἄχρι τοῦ στάχυος, εἶτ' ἐξαναλώσας ἀπόλλυται. καὶ ἐὰν μὲν ὅλον ἐκφάγῃ, τελέως αὐτὸς ὁ πυρός· ἐὰν δὲ ἤδη θάτερα τοῦ καλάμου, καὶ ἐκβιάζονται τὴν ἀπόχυσιν, τοῦτο μὲν οὖν τοῦ στάχυος, θάτερον δὲ ὑγιές. γίνεται δὲ οὐ πανταχοῦ τὸ τοιοῦτο πυρὸς, οἷον ἐν Θετταλίᾳ· ἀλλὰ περὶ χώρας τινὰς, ὥσπερ ἐν τῇ Λιβύῃ, καὶ τῆς Εὐβοίας ὥσ-

σι μὲν δίς, τὸ δὲ τρίτον τὰ πρόβατα ἐπαφιᾶσιν. οὕτω γὰρ φύει τὸν καυλόν· εἰ δὲ μή, φυλλομανεῖ. γίνεται δὲ μὴ καλῶς ἐργαζομένοις, τεσσαρακοντάχοα· τοῖς δὲ ἐπιμελῶς, ἑκατοντάχοα. ἡ δὲ ἐργασία, τὸ ὡς πλεῖστον χρόνον ἐμμένειν τὸ ὕδωρ, ὅπως ὕλην πείσῃ πολλήν· πίειραν γὰρ οὖσαν καὶ πυκνὴν τὴν γῆν, δεῖ ποιῆσαι μανήν. ὕλην δὲ οὐ φέρει καὶ πόαν, ὥσπερ ἐν Αἰγύπτῳ. τὰ μὲν οὖν τοιαῦτα χώρας ἀρετῆς. φύεται δὲ καὶ ἀπὸ τῶν ῥιζῶν πυρός, καὶ κριθή, πολλαχοῦ τῷ ὑστέρῳ ἔτει, αὐτοετὴς δὲ καὶ ἀπὸ τῶν εἰς κρᾶσιν καρπομένων, ἑτέρου καλάμου παραβλαστάνοντος. ὡσαύτως δὲ κἂν ὑπὸ χειμῶνος ἐκ παγετοῦ· παραβλαστάνει γάρ, ὑδάτων ἐπιγινομένων. ὁ δὲ στάχυς ἀτελὴς καὶ μικρὸς ἀπὸ τῶν τοιούτων. βλαστάνουσι δὲ περὶ ὑστέρῳ ἔτει καὶ ἀπὸ τῶν κατεσπαρμένων, καὶ συμπατηθέντων, ὥστε μηδὲν ἂν δεῖν, ὡς εἰπεῖν· οἷον ὅταν διέλθῃ στρατόπεδον, καὶ οἱ στάχυες μικροί, καὶ τούτους οὓς καλοῦσιν ἄγρας. τὸ δὲ χιλοκοπεῖν οὐδὲν δύναται τοῦ τὸ ποιεῖν, ἢ οὐχ ὁμοίως, ὡς αἱ βλαστήσεις πολυσταχεῖς·

Πρὸς αὔξησιν δέ, καὶ τροφὴν μέγιστα μὲν ἡ τοῦ ἀέρος κρᾶσις συμβάλλεται· καὶ ὅλως, ἡ τοῦ ἔτους κατάστασις. εὐκαίρων γὰρ ὑδάτων, καὶ εὐδιῶν, καὶ χειμώνων γινομένων, ἅπαντα εὔφορα καὶ πολύκαρπα, κἂν ἐν ἁλμώδεσι καὶ λεπτογείοις ᾖ. διὸ καὶ παροιμιαζόμενοι λέγουσιν, οὐ κακῶς, ὅτι ἔτος φέρει, οὐχὶ ἄρουρα. μέγα δὲ καὶ αἱ χῶραι διαφέρουσιν. οὐ μόνον τῷ πίειραι καὶ λεπταὶ καὶ ἔνομβροι καὶ αὐχμώδεις, ἀλλὰ καὶ τῷ ἀέρι τῷ περιέχοντι, καὶ τοῖς πνεύμασιν. ἔνιαι γὰρ οὖσαι λεπταὶ καὶ φαῦλαι, τελεσφοροῦσι, διὰ τὸ πρὸς τὰ πνεύματα τὰ πόντια κεῖσθαι καλῶς. ἄλλα δὲ ἄλλοις τοιαῦτα, καθάπερ πολλάκις εἴρηται. ταῖς μὲν γὰρ τὰ ζεφυρικά, ταῖς δὲ τὰ βόρεια, ταῖς δὲ τὰ νότια. συμβάλλεται δὲ καὶ οὐ μικρὰ ἡ ἐργασία, καὶ μάλισθ' ἡ τοῦ σπόρου. κατεργασθεῖσα γάρ, ῥᾳδίως ἐκφέρει. καὶ ἡ κόπρος δὲ μεγάλα βοηθεῖ, τῷ διαθερμαίνειν καὶ συμπέττειν. περιέχει γὰρ τὰ κοπριζόμενα τῆς κόπρου καὶ εἴκοσιν ἡμέρας, ἅπασι δὲ οὐ συμφέρει. καὶ χρήσιμος οὐ μόνον τοῖς περὶ τὸν σῖτον, ἀλλὰ καὶ τοῖς ἄλλοις, πλὴν ὀρείας· ταύτην δὲ φθείρειν φασὶν ἐπιβαλλομένην. ἀπόλλυται δὲ καὶ ἡ ὀροβίς, ὡς ἐπικοιμωμένων τῶν προβάτων. ὡς δὲ ἔνιοι λέγουσι, καὶ ἡ μηδική, διὰ τὴν κόπρον, καὶ τὸ οὖρον. τῶν δὲ σπερμάτων ἕκαστα καὶ πρὸς τὴν τοῦ ἀέρος φύσιν ἁρμόττει, καὶ ὅλως γένη πρὸς γένος, καὶ ἐν αὐτοῖς τοῖς ὁμογενέσιν, εὖ δὲ περιόντι διακρίνειν. μεταβάλλει δὲ τὰ ξενικὰ τῶν σπερμάτων, μάλιστα μὲν ἐν τρισὶν ἔτεσιν, εἰς τὰ ἐπιχώρια· συμφέρει δ' ἐκ τῶν ἀλεεινῶν εἰς τὰ μικρὸν ἧττον ἀλεεινά, καὶ ἐκ τῶν ψυχρῶν ἀνάλογον ποιεῖσθαι τὴν μεταβολήν. τὰ δ' ἐκ τῶν δυσχειμέρων, ἐν τοῖς πρωΐοις ἐὰν ἀπόκειται· ὥστ' ἐπὶ αὐχμοῦ φθείρεται, ἐὰν μὴ ὄψιον ὕδωρ σχῶσι. διὸ ὥσπερ καὶ εὐλαβητέον φασί, τὸ μίσγειν τὰ ξενικὰ τοῖς ἐπιχωρίοις, ἐὰν μὴ ᾖ ὁμοίας. ἔστι ἀσύμφορα τῇ ὥρᾳ περὶ τὸν σπόρον, καὶ περὶ τὴν γένεσιν, ὥστε καὶ ἐργασίας ἑτέρας δεῖται. ταῦτα τῆς γῆς διαφοράς, καὶ τὰς τῶν σπερμάτων δυνάμεις, καὶ ἔτι τὰς ἑκάστων ὥρας. ὅταν δὲ εὐετηρία γένηται, καὶ πολυχοώτερα τὰ σπέρματα γίνεται. ἐκβιάζουσι δ' οὖν αἱ κριθαὶ τὰ πλεῖστα ποιοῦσι τὰ ἄλφιτα (κριθοφόρος γὰρ ἀρίστη) ἔτος δὲ οὐχ ὅταν πλεῖσται γένωνται, ἀλλ' ὅταν λάβωσι καλὴν κρᾶσιν. ἐν δὲ τῇ Φωκίδι περὶ Ἐλάτειαν, οἱ πυροὶ καὶ αἱ κριθαί, καὶ παρ' ἄλλοις ἄλλα, πρὸς ἅπερ εὐφυὴς ἑκάστη. βελτίω μὲν οὖν καὶ χείρω τὰ σπέρματα, καὶ διὰ τὴν ἐργασίαν, καὶ διὰ τὴν γῆν γίνεται. καὶ γὰρ ἀπαγριοῦται, καὶ ἡμεροῦται, καθάπερ τὰ δένδρα, καὶ ὅλως μεταβάλλει τὴν χώραν, ὥσπερ περὶ τῶν δένδρων εὐθὺς εἴρηκε πρὸς τὸ χεῖρον. γένος δ' ὅλον ἐξαλλάττειν εἰς ἕτερον, οὐδὲν ἕτερον ἄλλο πέφυκε, πλὴν τίφη καὶ ὄλυρα, καθάπερ εἴπομεν ἐν τοῖς πρώτοις λόγοις. καὶ ἡ αἶρα δ' ἐκ τῶν πυρῶν καὶ κριθῶν διαφθειρομένων. ἡ αἱ μὴ ὥσπερ, ἀλλὰ φιλεῖ γε μάλιστα ἐν τοῖς πυροῖς γίνεσθαι, καθάπερ καὶ ὁ μελάμπυρος ὁ ποντικός, καὶ τὸ τῶν βολβῶν σπέρμα, καὶ ἄλλα δὲ ἐν ἄλλοις τῶν σπερμάτων. ἐπεὶ καὶ ὁ αἰγίλωψ δοκεῖ μᾶλλον ἐν ταῖς κριθαῖς. ἐν δὲ τοῖς † ἀφάκοις ἄφακος, τὸ βραχὺ καὶ σκληρόν. ἐν δὲ ταῖς ἀφάκαις ὁ πελεκῖνος, ὅμοιον τῇ ὄψει περὶ πελέκει. γελοῖον δὲ καθ' ἕκαστον δεῖ, τὸ συμπεριφερόμενον καὶ συναναμιγνύμενον, εἴτε διὰ τὰς χώρας (ὅπερ οὐκ ἄλογον) εἴτε δι' ἄλλην αἰτίαν. ἔνια δὲ καὶ φανερῶς δεῖ κοινὰ πλειόνων· ἀλλὰ διὰ τὸ μάλιστα ἐν τούτοις ἀνθεῖν, ἴδια τούτων φαίνεται. καθάπερ ἡ ὀροβάγχη τῶν ὀρόβων, καὶ ἡ ἀπαρίνη τῶν φακῶν. ἀλλ' ἡ μὲν μάλιστα ἐπικρατεῖ τῶν ὀρόβων διὰ τὴν ἀσθένειαν, ἡ δὲ ἀπαρίνη μάλιστα ἐν τοῖς φακοῖς εὐτροφεῖ. τρόπον δέ τινα παραπλήσιον δεῖ τῇ ὀροβάγχῃ, περιβάλλειν καὶ κατέχειν ὅλον ὥσπερ πλεκτάνην· ἀπάγχει γὰρ οὕτως, ὅθεν καὶ τὸ ὄνομα εἴληφε. τὸ δὲ ὑποφυόμενον εὐθὺς ἐκ τῆς ῥίζης τῷ κυμίνῳ, καὶ περὶ βακίον, τὸ

πρὸς τὰ ἔμψυχα σώματα μόνον, ἀλλὰ καὶ πρὸς τὰ ἄψυχα. 19 Λέγουσι γὰρ ἀκανθῶν τινα εἶναι, ἣ πήγνυσι τὸ ὕδωρ ἐμβαλλομένη. πηγνύναι δὲ καὶ τὴν τῆς ἀλθαίας ῥίζαν, ἐάν τις ῥίψας ἐμβάλλῃ, καὶ θῇ ὑπαίθριον. ἔχει δὲ ἡ ἀλθαία, φύλλον μὲν ὅμοιον τῇ μαλάχῃ, πλὴν μεῖζον καὶ δασύτερον. τὸν δὲ καυλὸν μαλακόν, ἄνθος δὲ μήλινον, καρπὸν δ' οἷον μαλάχη. ῥίζαν δὲ ἰνώδη λευκήν· τῇ γεύσει δὲ ὥσπερ ὁ τῆς μαλάχης ὁ καυλός. χρῶνται δὲ αὐτῇ πρός τε τὰ ῥήγματα, καὶ τοὺς βῆχας, ἐν οἴνῳ γλυκεῖ· καὶ ἐπὶ τὰ ἕλκη, ἐν ἐλαίῳ. ἱστοροῦσι δέ τινα, συναπτομένην τοῖς κέρασι, συνάπτειν εἰς τὸ αὐτό· καὶ τὰς μὲν πηγνύναι, τὰς δὲ καὶ ἕλκειν, ὥσπερ ἡ (συλλέγειν) λίθος καὶ τὸ ἤλεκτρον. καὶ ταῦτα μὲν ἐν τοῖς ἀψύχοις. Τὸ δὲ θηλύφονον (οἱ δὲ σκορπίον καλοῦσι, διὰ τὸ τὴν ῥίζαν ὁμοίαν ἔχειν τῷ σκορπίῳ) ἐπιξυόμενον, ἀποκτείνειν τὸν σκορπίον. ἐὰν δέ τις ἐλλέβορον λευκὸν καταπάσῃ, πάλιν ἀνίστασθαί φασιν. ἀπόλλυσι δὲ καὶ βοῦς, καὶ ὑποζύγια, καὶ πρόβατα, καὶ ἁπλῶς πᾶν τετράποδον, ἐὰν εἰς τὰ αἰδοῖα τεθῇ ἡ ῥίζα, ἢ φύλλον, αὐθημερόν. χρήσιμον δὲ πρὸς σκορπίου πληγήν, πινόμενον. ἔχει δὲ τὸ μὲν φύλλον, ὅμοιον κυκλαμίνῳ. τὴν δὲ ῥίζαν, ὥσπερ ἐλέχθη, σκορπίου. φύεται δὲ ὥσπερ ἡ ἄγρωστις, καὶ γόνατα ἔχει. φιλεῖ δὲ χωρία σκιώδη. εἰ δὲ ἀληθῆ τὰ περὶ τὸν σκορπίον, ἤδη καὶ τἆλλα οὐκ ἀπίθανα τὰ τοιαῦτα· καὶ τὰ μυθώδη δέ, οὐκ ἀλόγως σύγκειται. Ἐν δὲ τοῖς ἡμετέροις σώμασι, χωρὶς τῶν πρὸς ὑγίειαν καὶ νόσον καὶ θάνατον καὶ πρὸς ἄλλας δυνάμεις, ἔχειν φασὶν οὐ μόνον περὶ τὰ σωματικά, περὶ τὸ γεννᾶν καὶ ἀγονεῖν· καὶ ἔνιά γε ἀπὸ τοῦ αὐτοῦ ποιεῖν ἄμφω, καθάπερ ἐπὶ τοῦ ὀρχίου κα- (ἀγενὲς) λουμένου. δυοῖν γὰρ ὄντοιν, τοῦ μὲν μεγάλου, τοῦ δὲ μικροῦ, τὸ μὲν μέγαν ἐνεργότερον ποιεῖ πρὸς τὰς ὁμιλίας, ἐν γάλακτι διδόμενον αἰγὸς ὀρεινῆς, τὸ δὲ ἔλαττον ἀνιέναι καὶ κωλύειν. ἔχει δὲ τὸ μὲν φύλλον σιλφῶδες, λειότερον δὲ καὶ ἔλαττον· τὸν δὲ καυλὸν ὁμοιότατον ἀπίῳ, ἀπύρῳ, ἤδη ἀκανθ. ἄτοπον δέ, ὥσπερ ἐλέχθη, τὸ ἀπὸ μιᾶς φύσεως καὶ τῆς αὐτῆς. ἐπεὶ τὸ δύο εἶναι τινὰς τοιαύτας δυνάμεις, οὐκ ἄτοπον. καὶ γὰρ καὶ ἄλλοι τινές, καὶ Ἀριστόφιλος ἔλεγεν ὁ Πλαταιϊκὸς ὁ φαρμακοπώλης, ὅτι πρὸς ἀμφότερα δυνάμεις τινὰς ἔχει, τὴν μὲν ὥστε μᾶλλον δύνασθαι, τὴν δὲ ὥστε ἁπλῶς μὴ δύνασθαι· ταύτης δὲ καὶ τὸ ὅλον δύνασθαι τὴν ἀδυναμίαν. καὶ γὰρ εἰς χρόνον ὡρισμένον, οἷον δίμηνον, ἢ τρίμηνον· ᾗ κεχρῆσθαι πρὸς τοὺς παῖδας, ὁπότε βούλοιντο τινὰ κολάσαι καὶ σωφρονίσαι. ἔνια δ' εἶναι καὶ εἰς τὸ ἀρρενογονεῖν, ἢ θηλυγονεῖν· διὸ καὶ καλοῦσι φύλλον, τὸ μὲν ἀρρενόγονον, τὸ δὲ θηλύγονον· ὅμοια δ' ἄμφω, καὶ μορφὴν ἔχοντα ὠκίμου· ὁ δὲ καρπὸς τοῦ μὲν θηλυγόνου, καθάπερ ἐλαίας βρύου, ὠχρότερος δέ. τοῦ ἀρρενογόνου δέ, οἷόνπερ ἐλαία, ὅταν ἄρτι φύηται ἐκ τοῦ βρύου. δίκρουν δέ, ὥσπερ ὄρχεις ἀνθρώπου. πρὸς δὲ τὸ μὴ γόνιμον εἶναι τὸ σπέρμα, τὸ λευκῆς κισσοῦ τὸν καρπόν φασι. πρὸς δ' αὐτὸ γόνιμον, τὸ τοῦ κραταιγόνου καρπὸν ἐν ὕδατι. φύεται δὲ τοῦτο, ὥσπερ λίνον πύρινον· ὁ δὲ καρπός, οἷον κέγχρος. ἀδυνατεῖν δέ φασι γεννᾶν, καὶ ἐάν τις τοῦ καλουμένου τὸν καρπὸν πίνῃ συνεχῶς τριάκοντα ἡμέρας ἐν οἴνῳ λευκῷ, συμμίξας ὅσον χοίνικα τὸ ἴσον ἀν' ἑκάστην ἡμέραν. ἐὰν γὰρ ἐκτελέσῃ τὴν πόσιν, ἀγονεῖν τὸ ὅλον. τὸ δὲ ἡμιόνιον τὸ φύλλον, ταῖς γυναιξὶν εἰς τὸ ἀγονεῖν. μίγνυσθαι δέ φασι καὶ τὸ σπλῆνος τῆς ἡμιόνου, καὶ τοῦ † δέρματος. ὅμοιον δὲ (σπέρματος) τὸ φύλλον σκολοπενδρίῳ, ῥίζας δὲ λεπτάς, ὀρεινὰ δὲ χωρία φιλεῖ καὶ πετρώδη. χαίρειν δὲ σφόδρα καὶ τὴν ἡμίονον αὐτῷ. χρῆσθαι δὲ καὶ πρὸς τοὺς σπλῆνας, ὥσπερ τῷ κλυμένῳ. Ἡ δὲ θηλυπτερίς, 20 χρήσιμος πρὸς τὰς ἕλμινθας, τάς τε πλατείας καὶ τὰς λεπτάς. πρὸς μὲν τὰς πλατείας, ἀναδευομένη μέλιτι· πρὸς δὲ τὰς λεπτάς, ἐν οἴνῳ γλυκεῖ μετ' ἀλφίτων διδομένη. γυναικὶ δὲ ἐὰν (μὴ) δοθῇ, ἐὰν μὲν ἐγκύμονι, ἐκβάλλειν φασίν· ἐὰν δὲ μή, τὸ ὅλον ἄτεκνον γίνεσθαι. διαφέρει δὲ τῆς πτερίδος θηλυπτερίς, τῷ τὴν μὲν φύλλον ἔχειν μονόκωλον, ῥίζαν δὲ μεγάλην καὶ μακρὰν καὶ μέλαιναν. τούτων μὲν οὖν αἱ δυνάμεις πρὸς τὰς γενέσεις. θαυμασιωτάτη δέ, ἣν ὁ Ἰνδὸς ἔχειν· οὐ γὰρ προσενεγκαμένοις, ἀλλ' ἀλειψαμένοις ἔφασαν ἂν τὸ αἰδοῖον τείνεσθαι. τὴν δύναμιν δ' οὕτως ἰσχυρὰν εἶναι, ὥσθ' ὁπόσαις ἂν βούλοιντο, πλησιάζειν. τοὺς δὲ χρησαμένους φάναι καὶ δώδεκα. αὐτὸν γοῦν λέγειν (ἦν γὰρ ἰσχυρὸς καὶ μέγας) ὅτι ἑβδομήκοντά ποτε πλησιάσαι. τὴν δὲ πρόεσιν αὐτοῦ τοῦ σπέρματος εἶναι κατὰ σταγόνα, τελευτῶν δὲ εἰς αἷμα ἀγαγεῖν. ἔτι δὲ σφοδροτέρως ὁρμᾶν τὰς γυναῖκας, ὅταν χρήσωνται τῷ φαρμάκῳ. αὕτη μὲν οὖν, εἴπερ ἀληθής, ὑπερβάλλουσά τις δύ- (ει) ναμις. τὸ δ' ὅλον, εἶναι φύσεις τινὰς τοιαύτας, αἳ ποιοῦσιν ὁρμητικωτέρους, οὐκ ἄτοπον. (ας) ἐπεὶ καὶ ἐν τοῖς βρωσίμοις χυλοῖς ὁρῶμεν ὅσας, καὶ ἐν ὑγροῖς καὶ ἐν ξηροῖς· ἔτι δὲ πρὸς τούτοις, ἄλλα δυνάμενα πάθη ποιεῖν. ἐνιαχοῦ μὲν γάρ φασι τὸ ὕδωρ παιδογόνον εἶναι γυναιξίν, ὥσπερ καὶ ἐν Θε-

ὥσπερ ἀκούομεν ἑτέραν τινὰ φύεσθαι. ἀλλ' οὐ πινόντων τοῖς ἐγκαταλαμβανομένοις βοήθειαν εὑρῆσθαι. τοὺς γὰρ ἐγχωρίους ἀναστάζειν τινὰς μέλιτι καὶ οἴνῳ, καὶ τούτοις εἶναι· σπανίως δὲ καὶ τούτους, καὶ ἐργωδῶς. ἀλλὰ καὶ τὸ ἐφημέριον φάρμακον εὑρῆσθαι. ἕτερον γὰρ τὸ ῥίζιον εἶναι, ὃ οὐκ ἐφήμερον ἀπαλλάττει. τούτου δὲ τὸ φύλλον ὅμοιον ἔχειν τῷ ἐλλεβόρῳ, ἢ τῷ αἰγείρῳ. καὶ τοῦτο πάντας εἰδέναι· διὸ καὶ τὰ ἀφροδισιακά φασι πολλάκις παρορισθέντα χρῆσθαι, κἄπειτα ἰατρεύειν αὐτὰ πρὸς τοῦτο ὁρμῶντα. καὶ γὰρ οὐδὲ ταχεῖαν ποιεῖσθαι τὴν ἀπαλλαγήν, οὐδὲ ἐλαφράν, ἀλλὰ δυσχερῆ καὶ χρόνιον, εἰ μὴ ἄρα διὰ τὸ δυσθεράπευτον εἶναι καὶ ἀκατασκεύαστον ὡς δεῖ. φασὶ γοῦν καὶ παραχρῆμα ἀπαλλάττεσθαι, καὶ ὕστερον χρόνῳ· τοῦτο δὲ καὶ εἰς ἐνιαυτὸν ἄγειν. καὶ τὰς δόσεις δυσβοηθήτους εἶναι. ταῦτα δὲ ἐξακριβοῦσθαι μάλιστα παρὰ τοῖς τυρρηνοῖς τοῖς ἐν ἡρακλείᾳ. τοῦτο μὲν οὐδὲν ἄτοπον, εἰ τρόπον μέν τινα ἀβοήθητον, ἄλλως δὲ βοηθήσιμον· ὥσπερ καὶ ἕτερα τῶν θανατηφόρων. τὸ γοῦν ἀκόνιτον, ἄχρηστον (ὥσπερ εἴρηται) τοῖς μὴ ἐπισταμένοις· οὐδὲ κεκτῆσθαι δὲ ἔξεστιν, ἀλλὰ θάνατον εἶναι τὴν ζημίαν. τὰς δὲ τοῦ χρόνου διαφορὰς ἀκολουθεῖν εἶναι κατὰ τὰς συλλογάς· ἰσοχρόνους γὰρ τοὺς θανάτους γίνεσθαι τοῖς ἀπὸ τῶν συλλογῶν χρόνοις.

17 Θρασύας δὲ ὁ μαντινεὺς εὑρηκέναι τι τοιοῦτον, ὥσπερ ἔλεγεν, ὥστε ῥᾳδίαν ποιεῖν καὶ ἄπονον τὴν ἀπόλυσιν· τοῖς ὀποῖς χρώμενος, κωνείου τε καὶ μήκωνος, καὶ ἑτέρων τοιούτων, ὥστε εὔογκον εἶναι πάνυ, καὶ μικρὸν ὅσον εἰς δραχμῆς ὁλκήν· ἀβοήθητον δὲ πάντη, καὶ δυνάμενον διαμένειν ὁποσονοῦν χρόνον, καὶ οὐδὲν ἀλλοιούμενον. ἐλάμβανε δὲ τὸ κώνειον, οὐχ ὅθεν ἐτύγχανεν, ἀλλ' ἐκ σούσων, καὶ εἴ τις ἄλλος τόπος ψυχρὸς καὶ παλίσκιος. ὡσαύτως δὲ καὶ τὰ ἄλλα· συνετίθει δὲ καὶ ἕτερα φάρμακα πολλὰ ἐκ πολλῶν. δεινὸς δὲ καὶ Ἀλεξίας ὁ μαθητὴς αὐτοῦ, καὶ οὐχ ἧττον ἐν τέχνῃ ἐκείνου· καὶ γὰρ τῆς ἄλλης ἰατρικῆς ἔμπειρος. ταῦτα μὲν οὖν εὑρῆσθαι δοκεῖ πολλῷ μᾶλλον νῦν, ἢ πρότερον. ὅτι δὲ διαφέρει τὸ χρῆσθαί πως ἑκάστῳ, φανερὸν ἐκ πολλῶν. ἐπεὶ καὶ κείους φασὶ τῷ κωνείῳ πρότερον οὐχ οὕτω, ἀλλὰ τρίβοντες καθάπερ οἱ ἄλλοι χρῆσθαι. νῦν δὲ οὐδ' ἂν εἷς τρίψειεν· ἀλλὰ περιπτίσαντες, καὶ ἀφελόντες τὸ κέλυφος (τοῦτο γὰρ τὸ τὴν δυσχέρειαν παρέχον δυσκατέργαστον ὄν) μετὰ ταῦτα κόπτουσιν ἐν τῷ ὅλμῳ, καὶ διαπτίσαντες λεπτά, ἐπιπάττοντες ἐφ' ὕδωρ πίνουσιν, ὥστε ταχεῖαν καὶ ἐλαφρὰν γίνεσθαι τὴν ἀπαλλαγήν.

18 Ἁπάντων δὲ τῶν φαρμακωδῶν αἱ δυνάμεις ἀσθενέστεραι τοῖς συνειθισμένοις· τοῖς δέ, καὶ ἀνενεργεῖς τὸ ὅλον. ἔνιοι γὰρ ἐλλέβορον ἐσθίοντες πολλὸν, ὥστε ἀναλίσκειν δέσμας ὅλας, οὐδὲν πάσχουσιν. ὅπερ ἐποίει καὶ Θρασύας, δεινότατος ὢν (ὡς ἐδόκει) τὰ περὶ τὰς ῥίζας. ποιοῦσι δὲ τοῦθ', ὡς ἔοικε, καὶ τῶν νομέων τινές. διὸ καὶ πρὸς τὸν φαρμακοπώλην, τὸν θαυμαζόμενον ὡς κατέδει μίαν ῥίζαν ἢ δύο, παραγγελλόμενος ὁ ποιμὴν, καὶ ἀναλώσας ὅλην τὴν δέσμην, ἐποίησεν ἀδόκιμον. ἔλεγε δέ, ὅτι καθ' ἑκάστην ἡμέραν τοῦτο ποιεῖ καὶ αὐτὸς καὶ ἕτεροι. κινδυνεύει γὰρ ἔνια τῶν φαρμάκων τῇ ἀσυνηθείᾳ φάρμακα γίνεσθαι. τάχα δὲ ἀληθέστερον εἰπεῖν, ὡς τῇ συνηθείᾳ οὐ φάρμακα· προσδεξαμένης γὰρ τῆς φύσεως, καὶ κατακρατούσης, οὐκέτι φάρμακα, καθάπερ καὶ Θρασύας ἔλεγεν. ἐκεῖνος γὰρ ἔφη, τὸ αὐτὸ τοῖς μὲν φάρμακον εἶναι, τοῖς δὲ οὐ φάρμακον, διαιρῶν τὰς φύσεις ἑκάστων. ᾤετο γὰρ δεῖν, καὶ ἦν δεινὸς διαγνῶναι. ποιεῖ δέ τι δηλονότι πρὸς τῇ φύσει, καὶ τὸ ἔθος. Εὔδημος γοῦν ὁ φαρμακοπώλης εὐδοκιμῶν σφόδρα ἐπὶ τὴν τέχνην, συνθέμενος μηδὲν πείσεσθαι πρὸ ἡλίου δύνοντος, κατέφαγε μέτριον πάνυ, καὶ οὐ κατέσχεν, οὐδ' ἐκράτησεν. ὁ δὲ Χῖος Εὔδημος πίνων ἐλλέβορον, οὐκ ἐκαθαίρετο· καί ποτε ἔφη πιεῖν ἐν μιᾷ ἡμέρᾳ δύο καὶ εἴκοσι πόσεις, ἐν τῇ ἀγορᾷ καθήμενος ἐπὶ τῶν σκευῶν, καὶ οὐκ ἐξαναστῆναι πρὸ τοῦ δείλην γίνεσθαι. τότε δ' ἐλθὼν ἐλούσατο, καὶ δειπνεῖν ὥσπερ εἰώθει, καὶ οὐκ ἐξημέσαι. πλὴν οὗτος βοήθειάν τινα προσκευασάμενος κατεῖχε. κίσσηριν γὰρ ἐπιπάττων ἐπ' ὄξος δριμὺ, πιεῖν ἔφη μετὰ τὴν ἑβδόμην πόσιν, καὶ πάλιν ὕστερον ἐν οἴνῳ τὸν αὐτὸν τρόπον. τὴν δὲ τῆς κισσήρεως οὕτως ἰσχυρὰν εἶναι δύναμιν, ὥστε ἐάν τις εἰς πίθον ζέοντα ἐμβάλλῃ, παύειν τὴν ζέσιν, οὐ παραχρῆμα μόνον, ἀλλὰ καὶ ὅλως· κατεξηραίνουσαν δηλονότι, καὶ ἀναδεχομένην τὸ πνεῦμα, καὶ τοῦτο δίισαν. ὅτε μὴ οὖν τό γε πλῆθος, ταύτῃ τῇ βοηθείᾳ κατεῖχεν. ὅτι δὲ καὶ τὸ ἔθος ἰσχυρὸν, ἐκ πολλῶν φανερόν. ἐπεὶ καὶ τὸ ἀψίνθιον, τὰ μὲν ἐνταῦθα πρόβατα, οὔ φασί τινες νέμεσθαι· τὰ δ' ἐν τῷ πόντῳ νέμεται, καὶ γίνεται πιότερα καὶ καλλίω, καὶ (ὡς δή τινες λέγουσιν) οὐκ ἔχοντα χολήν. ἀλλὰ ταῦτα μὲν ἑτέρας ἂν τινος ἂν θεωρίας. αἱ δὲ ῥίζαι καὶ τὰ ὑλήματα, καθάπερ εἴρηται, πολλὰς ἔχουσι δυνάμεις, οὐ

πρὸς τὰ

ἔαρ, ὅταν οἱ ὀποὶ μάλιστα τῶν τοιούτων φύλλων ἀκμάζωσι· τότε γὰρ φαρμακωδέστατον τὸ γάλα. πίνουσι δὲ τὸ βόειον· δοκεῖ γὰρ πολυνομώτατον, καὶ παμφαγώτατον πάντων ὁ βοῦς. φύεται δὲ παρ' αὐτοῖς, ὅτε ἐλλέβορος ἀμφότερος, καὶ ὁ λευκὸς καὶ ὁ μέλας· ἔτι τε δαῦκον ἀφρωδὲς κροκόεν, καὶ ἣν ἐκεῖνοι μὲν ῥάφανον ἀγρίαν καλοῦσι, τῶν δὲ ἰατρῶν τινες κέρας. καὶ ἣν οἱ μὲν ἀλθίαν, ἐκεῖνοι δὲ μαλάχην ἀγρίαν· καὶ ἡ ἀριστολοχία, καὶ τὸ σέσελι, καὶ τὸ ἱπποσέλινον, καὶ τὸ πευκέδανον, καὶ ἡ ἡρακλεία· καὶ ὁ στρύχνος ἀμφότερος, ὅ, τε φοινικοῦν ἔχων τὸν καρπόν, καὶ ὁ μέλανα. φύεται δὲ καὶ ὁ σίκυος ὁ ἄγριος, ἐξ οὗ τὸ ἐλατήριον συντίθεται. καὶ τὸ τιθύμαλλον, ἐξ οὗ τὸ † ἱππομανὲς. ἄριστον δὲ τὸ περὶ τὴν Τεγέαν, καὶ ἐκεῖ μάλιστα συνάζεται. φύεται δὲ καὶ ἄλλη πλέον, πλεῖστον δὲ καὶ κάλλιστον φύεται περὶ τὴν Κλειτορίαν. ἡ δὲ πάνακες γίνεται, καὶ τὸ πετραῖον, περὶ Ψωφῖδα καὶ πλείστη καὶ ἀρίστη. τὸ δὲ μῶλυ περὶ Φενεόν, καὶ ἐν τῇ Κυλλήνῃ. φασὶ δ' εἶναι καὶ ὅμοιον, ᾧ Ὅμηρος εἴρηκε· τὴν μὲν ῥίζαν ἔχον στρογγύλην, προσεμφερῆ κρομμύῳ· τὸ δὲ φύλλον ὅμοιον σκίλλῃ. χρῆσθαι δὲ αὐτῷ πρός τε τὰ ἀλεξιφάρμακα, καὶ τὰς μαγείας· οὐ μὴν ὀρύττειν γε εἶναι χαλεπόν, ὡς Ὅμηρός φησι. τὸ δὲ κώνειον, ἄριστον περὶ Σοῦσα, καὶ ἐν τοῖς ψυχροτάτοις τόποις. γίνεται δὲ καὶ ἐν τῇ Λακωνικῇ τὰ πολλὰ τούτων. καὶ γὰρ αὕτη πολυφάρμακος. ἐν Ἀρκαδίᾳ δὲ ἡ τετραγάκανθα πολλή, καὶ οὐδὲν χεῖρον (ὡς οἴονται) τῆς Κρητικῆς, ἀλλὰ καὶ τῇ ὄψει καλλίων. καὶ δαῦκον, περὶ τὴν Πατρικὴν διάφορον. τοῦτο δὲ θερμαντικὸν φύσει· ῥίζαν δὲ ἔχει μέλαιναν. φύεται δὲ τὰ πολλὰ τούτων καὶ ἐν τῷ Παρνασῷ, καὶ περὶ τὸ Τελέθριον. καὶ ταῦτα μὲν κοινὰ πλειόνων χωρῶν.

Τὸ δὲ δίκταμνον, ἴδιον τῆς Κρήτης· θαυμαστὸν δὲ τῇ δυνάμει, καὶ πρὸς πλείω χρήσιμον. μάλιστα δὲ πρὸς τοὺς τόκους τῶν γυναικῶν. ἔστι δὲ τὸ μὲν φύλλον παρόμοιον τῷ βληχοῖ, ἔχει δέ τι κατὰ τὸν χυλὸν ἐμφερές, τὰ δὲ κλώνια λεπτότερα. χρῶνται δὲ τοῖς φύλλοις, οὐ τοῖς κλωσίν, οὐδὲ τῷ καρπῷ. χρήσιμον δὲ πρὸς πολλὰ μὲν καὶ ἄλλα, μάλιστα δὲ (ὥσπερ ἐλέχθη) πρὸς τὰς δυστοκίας τῶν γυναικῶν· ἢ γὰρ εὐτοκεῖν φασὶ ποιεῖν, ἢ παύειν γε τοὺς πόνους ὁμολογουμένως. δίδοται δὲ πίνειν ἐν ὕδατι. σπάνιον δέ ἐστι· καὶ γὰρ ὀλίγος ὁ τόπος ὁ φέρων. καὶ τοῦτον αἱ αἶγες ἐκνέμονται, διὰ τὸ φιλεῖν. ἀληθὲς δέ φασιν εἶναι καὶ τὸ περὶ τῶν βελῶν, ὅτι φαγοῦσαι ὅταν τοξευθῶσιν ἐκβάλλειν. τὸ μὲν οὖν δίκταμνον τοιοῦτόν τε, καὶ τοιαύτας ἔχει τὰς δυνάμεις· τὸ δὲ ψευδοδίκταμνον, τῷ μὲν φύλλῳ ὅμοιον, τοῖς κλωνίοις δ' ἔλαττον, τῇ δυνάμει δὲ πολὺ λειπόμενον. βοηθεῖ μὲν γὰρ καὶ ταῦτα, χεῖρον δὲ πολλῷ καὶ ἀσθενέστερον. ἔστι δ' εὐθὺς ἐν τῷ στόματι φανερὰ ἡ τοῦ δικτάμνου δύναμις. θερμαίνει γὰρ ἀπὸ μικροῦ σφόδρα. τιθέασι δὲ καὶ τὰς δεσμίδας ἐν νάρθηκι, καὶ καλάμῳ, πρὸς τὸ μὴ ἀποπνεῖν. ἀσθενέστερον γάρ, ἀποπνεῦσαν. λέγουσι δέ τινες, ὡς ἡ μὲν φύσις μία ἡ τοῦ δικτάμνου, καὶ ἡ τοῦ ψευδοδικτάμνου. διὰ δὲ τὸ ἐν εὐγειοτέροις φύεσθαι τόποις, χεῖρον γίνεσθαι, καθάπερ ἄλλα πολλὰ πλείω τούτων κατὰ τὰς δυνάμεις. τὸ γὰρ δίκταμνον φιλεῖ χώραν τραχεῖαν. ἔστι δὲ καὶ ἕτερον δίκταμνον, ὥσπερ ὁμώνυμον, οὔτε τὴν ὄψιν ἔχον, οὔτε τὴν δύναμιν τὴν αὐτήν. φύλλον τε γὰρ ἔχει ὅμοιον σισυμβρίῳ, τούς τε κλῶνας μείζους· ἔτι δὲ τὴν χρείαν καὶ τὴν δύναμιν οὐκ ἐν τοῖς αὐτοῖς. τοῦτο μὲν οὖν, ὥσπερ ἐλέχθη, θαυμαστὸν ἅμα, καὶ ἴδιον τῆς νήσου. φασὶ δέ τινες, ὅλως τῶν φύλλων καὶ τῶν θερμῶν, καὶ ἁπλῶς τῶν ὑπὲρ γῆς, τὰ ἐν Κρήτῃ διαφέρειν. τῶν δὲ ἄλλων τῶν γε πλείστων, τὰ ἐν τῷ Παρνασῷ. τὸ δ' ἀκόνιτον γίνεται μέν, ὥς φασι, καὶ ἐν Κρήτῃ, καὶ ἐν Ζακύνθῳ· πλεῖστον δὲ καὶ ἄριστον ἐν Ἡρακλείᾳ τῇ ἐν τῷ Πόντῳ. ἔχει δὲ φύλλον μὲν κιχοριῶδες, ῥίζαν δὲ ὁμοίαν τῷ σχήματι καὶ τῷ χρώματι καρύῳ· τὴν δὲ δύναμιν τὴν θανατηφόρον ἐν ταύτῃ, τὸ δὲ φύλλον καὶ τὸν καρπὸν οὐδέν φασι ποιεῖν. καρπὸς δέ ἐστι πόας, καὶ οὐχ ὑλήματος. βραχεῖα δ' ἡ πόα, καὶ οὐδὲν ἔχουσα περιττόν, ἀλλὰ προσομοία τῷ σίτῳ. τὸ δὲ σπέρμα οὐ σταχυηρόν. φύεται δὲ πανταχοῦ, καὶ οὐκ ἐν ταῖς Ἀκόναις μόνον, ἀφ' ὧν ἔχει τὴν προσηγορίαν. αὕτη δέ ἐστι κώμη τις τῶν Περιανδυνῶν. φιλεῖ δὲ μάλιστα τοὺς πετρώδεις τόπους. οὐ νέμεται δ' οὔτε πρόβατον, οὔτε ἄλλο ζῷον οὐδέν. συντίθεσθαι δὲ τρόπον τινὰ πρὸς τὸ ἐργάζεσθαι, καὶ οὐ παντὸς εἶναι· διὸ καὶ τοὺς ἰατροὺς οὐκ ἐπισταμένους συντιθέναι, σηπτικῷ τε χρῆσθαι. καὶ πρὸς ἄλλα ἄττα πινόμενον οὐδεμίαν αἴσθησιν ποιεῖ, οὔτ' ἐν οἴνῳ, οὔτ' ἐν μελικράτῳ. συντίθεσθαι δέ, ὥστε κατὰ χρόνους τακτοὺς ἀναιρεῖν, οἷον δίμηνον, τρίμηνον, ἑξάμηνον, ἐνιαυτόν. τοὺς δὲ καὶ δύο ἔτη. χείριστα δὲ ἀπαλλάττειν, τοὺς ἐν πλείστῳ χρόνῳ καταφθίνοντας τοῦ σώματος, ῥᾷστα δὲ τοὺς παραχρῆμα. λυτικὸν δὲ φάρμακον οὐχ εὑρῆσθαι,

ὑπόλευκον καὶ φύλλον ὅμοιον κισσῷ, πλὴν στρογγυλώτερον. φύεται δ' ὑπὸ γῆς, ὥσπερ ἀχερωΐς· φιλεῖ δὲ καὶ παλίσκια χωρία. εὐφραντικὴ δὲ, διὸ καὶ χρῶνται πρὸς τὰ περὶ ὀσφῦς ἀλγήματα, καὶ πρὸς τὰ περὶ ἰσχιάδος. ἔνιαι δὲ ἰδιόμορφοί εἰσιν· ὥσπερ ἥ τε τοῦ σκορπίου καλουμένη, καὶ ἡ τοῦ πολυποδίου. ἡ μὲν γὰρ ὁμοία σκορπίῳ, καὶ χρησίμη δὲ πρὸς τὴν πληγὴν αὐτοῦ, καὶ πρὸς ἄλλ' ἄττα. ἡ δὲ τοῦ πολυποδίου δασεῖα, καὶ ἔχουσα κοτυληδόνας, ὥσπερ αἱ τοῦ πολύποδος πλεκτάναι. καθαίρει δὲ κάτω. κἂν περιάψηταί τις, ὥς φασιν, ἐμφύεται πολύπουν. ἔχει δὲ φύλλον ὅμοιον τῇ πτεριδίῳ τῇ μεγάλῃ. καὶ φύεται ἐν ταῖς πέτραις. Ἰσχύουσι δὲ τῶν ῥιζῶν αἱ μὲν πλείω χρόνον, αἱ δὲ ἐλάττω διαμένουσιν. ὁ μὲν γὰρ ἐλλέβορος, καὶ τριάκοντα ἔτη χρήσιμος· ἡ δὲ ἀριστολοχία, πέντε καὶ ἕξ· χαμαιλέων δὲ γε ὁ μέλας, τετταράκοντα. κενταύριον δὲ, δέκα καὶ δώδεκα· πικρὰ δὲ ἡ ῥίζα, καὶ πυκνή. πευκέδανον δὲ, πέντε ἢ ἕξ· ἀμπέλου δὲ ἀγρίας, ἐνιαυτόν, ἐὰν ἐν σκιᾷ ᾖ καὶ ἄπληκτος· εἰ δὲ μή, σαπρὰ καὶ συγκώδεις. ἄλλαι δὲ ἄλλους ἔχουσι χρόνους. πάντων δὲ ὅλως τῶν φαρμάκων πλεῖστον διαμένει χρόνον, τὸ ἐλατήριον· καὶ τὸ παλαιότερον, ἄριστον. ἰατρὸς δ' οὖν τις ἔλεγεν, οὐκ ἀλαζὼν, οὐδὲ ψεύστης, ὡς ἔχοι παρ' αὐτῷ διακοσίων ἐτῶν, θαυμαστὸν δὲ τῇ ἀρετῇ. δοῦναι δέ τινα αὐτῷ δῶρον. αἰτία δὲ τῆς χρονιότητος, ἡ ὑγρότης. διὰ γὰρ ταύτην καὶ ὅταν κόψωσι, τιθέασιν εἰς τέφραν ὑγράν, καὶ οὐδ' ὣς ξηρὸν γίνεται, ἀλλ' ἄχρι πεντήκοντα ἐτῶν, σβέννυσι προσφερόμενον πρὸς αὐχμούς. φασὶ δὲ μόνον, μάλιστα ὑπὲρ ἴσον ἄνω ποιεῖν τῶν φαρμάκων. αὕτη μὲν οὖν ἰδιότης περὶ δυνάμεως. Τῶν δὲ ῥιζῶν ὅσαι μὲν γλυκύτατά τινα ἔχουσι, συμβαίνει θριπηδέστους γίνεσθαι χρονιζομένας· ὅσαι δὲ δριμεῖαι, ταύτας μὲν μὴ πάσχειν. ἀμαυροῦσθαι δ' αὐτῶν τὰς δυνάμεις, μαραινομένων καὶ κεγχρωμένων. τῶν δ' ἔξω θηρίων, ἄλλο μὲν οὐδὲν ἅπτεται ῥίζης ὀσμᾶς· ἡ δὲ σφονδύλη, πασῶν. σχεδὸν ὡς ὂν ἴδιον τῆς τοῦ ζῴου φύσεως· πᾶσαι δὲ χείρους γίνονται ῥίζαι, ἐὰν ἐάσῃ τις τελειωθῆναι καὶ ἀδρυνθῆναι τὸν καρπόν. ὡσαύτως δὲ καὶ τὸν καρπόν, ἐὰν ὀπίσῃς τὴν ῥίζαν. ὡς ἐπὶ τὸ πολὺ δὲ αἱ φαρμακώδεις, οὐκ ὀπίζονται. ὧν δ' αὖ τὰ σπέρματα φαρμακώδη, αὗται δὲ ὀπίζονται. χρῆσθαι δέ κερὸν μᾶλλόν φασι ταῖς ῥίζαις· ὅτι ἰσχυρότερος ὁ καρπός, ὥσθ' ὑπερπονεῖν τὸ σῶμα. φαίνεται δὲ οὐ καθόλου τοῦτο ἀληθές· ἐπεὶ καὶ οἱ ἐν Ἀντικύρᾳ τὸ σησαμοειδὲς ἐλλέβορον δεδώκασιν, ὅτι ὁ καρπὸς ὅμοιος σησάμῳ. Φαρμακώδεις δὲ δοκοῦσιν εἶναι τόποι, μάλιστα μὲν ἔξω τῆς Ἑλλάδος, οἱ περὶ Τυρρηνίαν, καὶ τὴν Λατίνην, ἐν ᾗ ἐστι τὴν Κίρκην εἶναι λέγουσι· καὶ ἔτι γε μᾶλλον, ὡς Ὅμηρός φησι, περὶ Αἴγυπτον. ἐκεῖθεν γὰρ τὴν Ἑλένην λαβεῖν,

Ἐσθλὰ τά οἱ Πολύδαμνα πόρε Θῶνος παράκοιτις,
Αἰγυπτίη. † τόθι πλεῖστα φύει ζείδωρος ἄρουρα
φάρμακα, πολλὰ μὲν ἐσθλὰ † τετυγμένα, πολλὰ δὲ λυγρά.

ἐν οἷς δὲ καὶ τὸ νηπενθὲς ἐκεῖνό φησιν εἶναι, καὶ ἄχολον, ὥστε λήθην ποιεῖν καὶ ἀπάθειαν τῶν κακῶν. καὶ σχεδὸν οὗτοι μὲν ἐοίκασιν, ὥσπερ ἐκ τῶν ποιητῶν ὑποδεδέχθαι· καὶ γὰρ Αἰσχύλος ἐν τοῖς ἐλεγείοις, ὡς πολυφάρμακον λέγει τὴν Τυρρηνίαν·

Τυρρηνῶν γενεάν, φαρμακοποιὸν ἔθνος.

οἱ τόποι πάντες πως φαίνονται μετέχειν τῶν φαρμάκων, ἀλλὰ τῷ μᾶλλον καὶ τῷ ἧττον διαφέρειν. καὶ γὰρ οἱ πρὸς ἄρκτον, καὶ μεσημβρίαν, καὶ οἱ πρὸς ἀνατολὰς, ἔχουσι θαυμαστὰς δυνάμεις. ἐν Αἰθιοπίᾳ γάρ, ἣ τοὺς ὀϊστοὺς χρίουσι, ῥίζα τίς ἐστι θανατηφόρος. ἐν δὲ Σκύθαις αὕτη τε καὶ ἕτεραι πλείους, αἱ μὲν παραχρῆμα ἀπαλλάττουσαι τοὺς προσενηνεγμένους, αἱ δ' ἐν χρόνοις, αἱ μὲν ἐλάττοσιν, αἱ δὲ πλείοσιν, ὥστε φθίνοντας καταφθίνειν. εἰς Ἰνδούς τε καὶ ἕτεραι μὲν πλείω, περιττότατα δὲ, εἴπερ ἀληθῆ λέγουσιν, ἥ τε δυναμένη τὸ αἷμα διαχεῖν, καὶ οἷον ἀποφεύγειν· καὶ πάλιν ἡ συνάγουσα, καὶ πρὸς ἑαυτὴν ἀνασπωμένη· ἃ δή φασιν εὑρῆσθαι πρὸς τὰ τῶν ὄφεων τῶν θανατηφόρων δήγματα. περὶ δὲ τὴν Θρᾴκην εἶναι μὲν καὶ ἑτέρας οὐκ ὀλίγας· ἰσχυροτάτην δ', ὡς εἰπεῖν, τὴν ἴσχαιμον. ἴσχειν δὲ λέγουσιν οὐ μόνον κεντηθείσης τῆς φλεβὸς, εἰ δὲ καὶ σφοδρότερον διατμηθείσης, ἴσχειν καὶ κωλύειν τὴν χύσιν. ταῦτα μὲν οὖν, ὥσπερ εἴπομεν, ἔοικε δηλοῦν τὸ κοινόν. καὶ τῶν ἔξω τόπων οἱ φαρμακωδέστατοι, οὗτοί εἰσι. τῶν δὲ περὶ τὴν Ἑλλάδα τόπων, φαρμακωδέστατόν τε, τὸ Πήλιον τὸ ἐν Θετταλίᾳ, καὶ τὸ Τελέθριον τὸ ἐν τῇ Εὐβοίᾳ, καὶ ὁ Παρνασσός, ἔτι δὲ ἡ Ἀρκαδία, καὶ ἡ Λακωνική· καὶ γὰρ αὗται φαρμακώδεις ἀμφότεραι. διὸ καὶ οἵ γε Ἀρκάδες εἰώθασιν ἀντὶ τοῦ φαρμακοποτεῖν, γαλακτοποτεῖν περὶ τὸ

ἔαρ

τῇ μὲν γὰρ λευκὴ καὶ γλυκεῖα, καὶ παχεῖα, καὶ ὀσμὴν ἔχουσα βαρεῖαν. χρησίμη δέ φασι πρὸς τοὺς ζῶς, ὅταν ἐντεθῇ κατατετμημένη, ὥσπερ ῥαφανὶς ἐφθὴ ἐφ' ἁλὸς χ' οἴνῳ. καὶ πρὸς τὰς ἕλμινθας τὰς πλατείας, ὅταν ἀναφλίσας προφάγῃ πίνειν ἀφέψοντα ταύτην, ὅσον ὀξύβαφον ἐν οἴνῳ αὐστηρῷ. ἀναιρεῖ δὲ καὶ κύνας, καὶ σῦς. κύνας μὲν, ἐν ἀλφίτοις ἀναφυραθεῖσα μετὰ ἐλαίου καὶ ὕδατος· σῦς δὲ, μετὰ ῥαφανίδων μιγνυμένη τῷ ὀρείῳ. γυναικὶ δὲ δίδοται ἐν ζυγὶ γλυκέος, καὶ ἐν οἴνῳ γλυκεῖ. καὶ ἐπὶ βούλεταί τις ἀθετοῦντος αὐχένα διαπρίζεσθαι οἱ βιώσιμοι, λάβῃ τὰ λευκὰ τρεῖς ἡμέρας· κἂν περὶ φαγῇ, βιώσιμος. φύεται δὲ ὁμοίως πανταχοῦ· καὶ ἔχει τὸ φύλλον ὁμοιότατον σκολύμῳ, μεῖζον δέ· αὐτὸ δὲ πρὸς τῇ γῇ· τὴν δὲ κεφαλὴν ἔχει ὁμοίαν ἀκάνθῃ μεγάλην. οἱ δὲ ἄκανον καλοῦσιν. ὁ δὲ μέλας, τὸ μὲν φύλλον ἐμφερὲς σκολυμώδης γὰρ ἔχει, πλὴν ἔλαττον καὶ λειότερον. αὐτὸς δὲ ὅλος ὥσπερ σκιάδιον. ἡ δὲ ῥίζα παχεῖα, καὶ μέλαινα. διαφέρει δὲ, ὑπόξανθος. φιλεῖ δὲ χωρία ψυχρὰ, καὶ ἀγρά. φύονται δὲ λίπρον ὑπαλείνειν ἐν ὀξεῖ ῥυπτομένους, καὶ ῥιζοὺς ἐπαλειφομένους· καὶ ἀλφὸν ὡσαύτως. ἀναιρεῖ δὲ καὶ τοὺς κύνας. μήκωνος δέ εἰσιν ἄγριαι πλείους. ἡ μὲν κερατῖτις καλουμένη, ἡ δὲ μέλαινα. ταύτης τὸ φύλλον ὡς φλόμου, τῆς μελαίνης. ἔλαττον δὲ μέλαν. τοῦ δὲ καυλοῦ τὸ ὕψος ὡς πυγονιαῖον. ῥίζα δὲ βραχεῖα, καὶ ἐπιπόλαιος. ὁ δὲ καρπὸς καμπύλος, ὥσπερ τῶν κερατίων. συλλέγεται δὲ περὶ πυροτομίας. δύναται δὲ καθαίρειν κοιλίαν. τὸ δὲ φύλλον ἄργεμα προβάτοις ἀφαιρεῖ. φύεται δὲ παρὰ τὴν θάλατταν, ἢ ἐν τοῖς πετρώδεσι χωρίοις. ἑτέρα δὲ μήκων ῥοιὰς καλουμένη, παρόμοια κιχορίῳ τῷ ἀγρίῳ. διὸ καὶ ἐσθίεται. ἐν τοῖς ἀρουραίοις δὲ φύεται, μάλιστα ἐν ταῖς κριθαῖς. ἄνθος δὲ ἔχει ἐρυθρὸν, κωδύαν δὲ ὅσην ὄνυχα τοῦ δακτύλου. συλλέγεται δὲ πρὸ τοῦ θερισμοῦ τῶν κριθῶν, ἐγχλωροτέρας δὲ μᾶλλον. καθαίρει δὲ κάτω. ἑτέρα δὲ μήκων, ἡρακλεία καλεῖται. τὸ μὲν φύλλον ἔχουσα οἷον στρουθὸς, ᾧ τὰ ὀθόνια λευκαίνουσι· ῥίζαν δὲ λευκὴν, ἐπιπόλαιον. τὸν δὲ καρπὸν, λευκόν. καθαίρει ἄνω ταύτης ἡ ῥίζα. χρῶνται δ' ἐνίοι πρὸς τοὺς ἐπιλήπτους, ἐν μελικράτῳ. ταῦτα μὲν οὖν ὥσπερ ὁμώνυμα τινα συνείληπται. τῶν δὲ ῥιζῶν καὶ ἐν τοῖς χυλοῖς αἱ διαφοραὶ, καὶ ἐν ταῖς ὀσμαῖς. αἱ μὲν γάρ εἰσι δριμεῖαι, αἱ δὲ πικραὶ, αἱ δὲ γλυκεῖαι. καὶ αἱ μὲν εὔοσμοι, αἱ δὲ βαρεῖαι. γλυκεῖα μὲν, ἥ τε νυμφαία καλουμένη. φύεται δὲ ἐν ταῖς λίμναις, καὶ ἐν τοῖς ἑλώδεσιν· οἷον ἐν τῇ ὀρχομενίᾳ καὶ μαραθῶνι, καὶ περὶ κρήτην. καλοῦσι δὲ αὐτὴν οἱ βοιωτοὶ μαδωνάϊν, καὶ τὸν καρπὸν ἐσθίουσιν. ἔχει δὲ τὸ φύλλον μέγα ἐπὶ τοῦ ὕδατος. τὴν δέ φασιν ἴσχαιμον, ἐάν ῥίψῃ τις ἐπὶ τὴν πληγὴν ἐπιθῇ. χρησίμη δὲ, καὶ πρὸς τὰς δυσεντερίας πινομένη. γλυκεῖα δὲ, καὶ ἡ σκυθικὴ· καὶ ἔνιοί γε καλοῦσιν αὐτὴν γλυκεῖαν * αὐτήν. γίνεται δὲ περὶ τὴν μαιῶτιν. χρησίμη δὲ πρός τε τὰ ἄσθματα, καὶ πρὸς βῆχα ξηρὸν, καὶ ὅλως τοὺς περὶ τὸν θώρακα πόνους. ἔτι δὲ πρὸς τὰ ἕλκη, ἐν μέλιτι. δύναται δὲ καὶ τὴν δίψαν παύειν, ἐάν τις ἐν τῷ στόματι ἔχῃ. διὸ ταύτῃ τε καὶ τῇ ἱππάκῃ, διαρκεῖν φασὶ τοὺς σκύθας ἡμέρας καὶ ἕνδεκα, καὶ δώδεκα. ἡ δὲ ἀριστολοχία τῇ ὀσφρήσει μὲν εὔοσμος, τῇ δὲ γεύσει πικρὰ σφόδρα, τῇ χροιᾷ δὲ μέλαινα. φύεται δὲ ἐν τοῖς ὄρεσιν ἡ βελτίστη. φύλλον δὲ ἔχει προσεμφερὲς τῇ ἐλσίνῃ, πλὴν στρογγυλότερον. χρησίμη δὲ πρὸς πολλὰ, καὶ ἀρίστη πρὸς κεφαλὴν· ἀγαθὴ δὲ καὶ πρὸς τὰ ἄλλα ἕλκη, καὶ πρὸς ἑρπετὰ, καὶ πρὸς ὕπνον καὶ πρὸς ὑστέρα. τὰ μὲν οὖν προσάγειν κελεύουσιν ἐν ὕδατι ἀναδεύσαντα καὶ καταπλάσσοντα. τὰ δὲ ἄλλα ὡς μέλι ἐγχύσαντα, καὶ ἔλαιον. πρὸς δὲ τὰ τῶν ἑρπετῶν ἐν οἴνῳ ὀξίνῃ πίνειν, καὶ ἐπὶ τὸ δῆγμα ἐπιπλάττειν. εἰς ὕπνον δὲ, ἐν οἴνῳ μέλανι αὐστηρῷ κνίσας. ἐὰν δὲ αἱ μῆτραι προπίπτωσι, τῷ ὕδατι κατακλύζειν. αὗται μὲν οὖν γλυκεῖαι· ἄλλαι δὲ πικραί, αἱ δὲ βαρεῖαι τῇ γεύσει. γίνονται δὲ ἔνιαι τῶν γλυκειῶν, αἱ μὲν ἐκστατικαί, καθάπερ ἡ ὁμοία τῷ σκολύμῳ, ἡ περὶ τὴν γῆν· ἣν καὶ φαῦλος ὁ ἀνδριαντοποιὸς φαγὼν ἐργαζόμενος, ἐν τῷ ἱερῷ ἐξέστη. αἱ δὲ θανατηφόροι, καθάπερ αἱ περὶ τὰ μέταλλα τὰ ἐν τῇ θρᾴκῃ. κούφη δὲ καὶ ἀδεῖα πάνυ τῇ γεύσει, καὶ τὸν θάνατον ὑπνώδη τινὰ ποιοῦσα, καὶ ἐλαφρόν. ἔχουσι δὲ καὶ τοῖς χρώμασι διαφορὰς, οὐ τῷ λευκῷ καὶ μέλανι, καὶ ξανθῷ μόνον, ἀλλ' ἔνιαι καὶ οἰνοχρώτες καὶ ἐρυθραὶ, καθάπερ ἡ τοῦ ἐρυθροδανοῦ. 14

Ἡ δὲ τοῦ πενταφύλλου, ἢ πενταπέτου, (καλοῦσι γὰρ ἀμφοτέρως) ὀρυττομένη ἐρυθρὰ, ξηραινομένη δὲ μέλαινα γίνεται, καὶ τετράγωνος. ἔχει δὲ τὸ μὲν φύλλον ὥσπερ οἴναρον, μικρὸν δέ, καὶ τὴν χροιὰν ὅμοιον· καὶ αὔξεται καὶ φθίνει ἅμα τῇ ἀμπέλῳ. πάντα δὲ ποιεῖ τὰ φύλλα, διὸ καὶ ἡ προσηγορία. καυλὸς δὲ ἐπὶ γῆς ἐστι λεπτὸς, καὶ κνήμας ἔχει πυκνάς. τὸ δὲ ἐρυθρόδανον

τὸ δὲ ἀσκληπίειον, τὴν ῥίζαν μῆκος μὲν ὅσον ὡς σπιθαμὴν, λευκὴν δὲ καὶ παχεῖαν σφόδρα καὶ φλοιὸν παχὺν καὶ ἁλικώδη. καυλὸν δὲ ἔχει γονατώδη πανταχόθεν· φύλλον δὲ ὅμοιον τῇ θαψίᾳ, πλὴν παχύτερον. ἀγαθὸν δὲ εἶναί φασιν ἑρπετῶν τε ξύοντα πίνειν, καὶ σπληνὸς, ὅταν αἷμα περὶ αὐτοῦ, ἐν μελικράτῳ· καὶ κεφαλῆς, τρίβοντα ἐν ἐλαίῳ ἀλείφειν· καὶ ἄλλο τι ἐὰν πονῇ τις ἀφανὲς, καὶ γαστρὸς ὀδύνης ἐν οἴνῳ ξύοντα. δύνασθαι δὲ καὶ τὰς μακρὰς ἀῤῥωστίας ἐκκλίνειν, ἔπειτα τῶν ἑλκωδῶν, τῶν μὲν ὑγρῶν, ξηρὸν ἐπιπάττοντα, προκατακλύζοντα οἴνῳ θερμῷ· τῶν δὲ ξηρῶν, ἐν οἴνῳ δεῦσαι καὶ καταπλάττειν. τὸ δὲ ἡράκλειον, φύλλον μὲν ἔχει μέγα καὶ πλατὺ, καὶ ῥαφανίδαμον πανταχῆ. ῥίζαν δὲ ὡς δακτύλου τὸ πάχος, δικραιὰν ἢ τρικραιάν· τῇ γεύσει μὲν ὑπόπικρον, τῇ δὲ ὀσμῇ καθάπερ λιβανωτοῦ καθαροῦ· ἀγαθὴν δὲ τῆς ἱερᾶς νόσου, μιγνυμένην φώκης πιτύᾳ, ὅσον τεταρτημόριον, πίνειν· καὶ ὀδύναις περὶ γαστέρα, ἐν οἴνῳ γλυκεῖ· καὶ ἑλκῶν τῶν μὲν ὑγρῶν, ξηρά· τῶν δὲ ξηρῶν, ἐν μέλιτι. αὗται μὲν οὖν ταύτας ἔχουσι τὰς διαφοράς τε καὶ δυνάμεις. ἄλλα δὲ πανάκια, τὸ μὲν λεπτόφυλλον, τὸ δὲ πλατύφυλλον· αἱ δὲ δυνάμεις ἀμφοῖν αἱ αὐταί. πρὸς δυτέον τι ταῖς γυναιξί, καὶ κατάπλασμα μετ' ἀλφίτων καὶ πρὸς τὰ ἕλκη τὰ ἄλλα, καὶ πρὸς τὰ νεμόμενα. συνώνυμοι δὲ καὶ οἱ στρύχνοι καὶ οἱ τιθύμαλλοι· τῶν γὰρ στρύχνων ὁ μὲν ὑπνώδης, ὁ δὲ μανικός. καὶ ὁ μὲν ὑπνώδης ἐρυθρὰν ἔχων τὴν ῥίζαν, ὥσπερ αἷμα ξηραινομένην, ὀφοπορμένην δὲ λευκὴν, καὶ καρπὸν ἐρυθρότερον κόκκου. φύλλον δὲ τῷ μάλλῳ ὅμοιον, ἢ μηλέᾳ τῇ γλυκείᾳ· ἔστιν αὐτὸ δασὺ, καὶ πυθμὴν μέγας. τούτου τῆς ῥίζης τὸν φλοιὸν κόψαντες λίαν, καὶ βρέχοντες ἐν οἴνῳ ἀκράτῳ διδόασι, καὶ ποιεῖ καθεύδειν. φύεται δὲ ἐν χαράδραις, καὶ τοῖς μνήμασιν. ὁ δὲ μανικὸς, οἱ μὲν † θρύορον καλοῦσιν αὐτὸν, οἱ δὲ περιττόν. λευκὴν δὲ ἔχει τὴν ῥίζαν, καὶ μακρὰν ὡς πήχεος, καὶ κοίλην. δίδοται δ' αὐτῆς, ἐὰν μὲν ὥστε παίζειν, καὶ δοκεῖν ἑαυτῷ κάλλιστον εἶναι, δραχμῆς σταθμόν· ἐὰν δὲ μᾶλλον μαίνεσθαι, καὶ φαντασίας τινὰς φαίνεσθαι, δύο δραχμάς· ἐὰν δὲ ὥστε μὴ παύσασθαι μαινόμενον, τρεῖς. καὶ συμπαραμιγνύναι φασὶν, ὡς τὸ κάντκυρον. ἐὰν δὲ ὥσπερ ἀποκτεῖναι, τέτταρας. ἔχει δὲ τὸ μὲν φύλλον ὅμοιον εὐζώμῳ, πλὴν μεῖζον. τὸν δὲ καυλὸν ὥσπερ ὀργυιᾶς. κεφαλὴν δὲ ὥσπερ γλυῦς, μείζω δὲ καὶ παχυτέραν, ἔοικε δὲ καὶ πλατάνου καρπῷ. τῶν δὲ τιθυμάλλων, ὁ μὲν παράλιος καλούμενος κόκκος, φύλλον ἔχει περιφερὲς, καυλὸν δὲ τὸ ὅλον μέγεθος ὡς σπιθαμιαῖος, τὸν δὲ καρπὸν λευκόν. ἀκμάζει δὲ, ὅταν ἄρτι περκάζῃ σταφυλή. καὶ ξηρανθεὶς ὁ καρπὸς, δίδοται πιεῖν τριφθεὶς, ὅσον τρίτον μέρος ὀξυβάφου. ὁ δὲ ἄῤῥην καλούμενος, τὸ μὲν φύλλον ἐλαιῶδες ἔχει, τὸ δὲ ὅλον μέγεθος διπηχυαῖον. τούτου ὀπίζουσιν ἅμα τρυγητῷ. καὶ θεραπεύσαντες, ὅτου χρῶνται· καθαίρει δὲ κάτω μᾶλλον. ὁ δὲ μυρτίτης καλούμενος τιθύμαλλος λευκὸς, τὸ μὲν φύλλον ἔχει καθάπερ ὁ μυῤῥίνος, πλὴν ἀκανθῶδες ἐπ' ἄκρου. κλήματα δ' ἀφίησιν ἐπὶ γῆν, ὡς σπιθαμιαῖα. ταῦτα δ' οὐχ ἅμα φέρει τὸν καρπὸν, ἀλλὰ παρ' ἔτος. τὰ μὲν νῦν, τὰ δὲ εἰς νέωτα, πεφυκότα ἀπὸ τῆς αὐτῆς ῥίζης. φιλεῖ δὲ ὀρεινὰ χωρία. ὁ δὲ καρπὸς αὐτοῦ καλεῖται κάρυον. ἀμῶσι δ' ὅταν ἁδρύνωνται αἱ κριθαί, ξηραίνοντες δὲ, καὶ ἐκκαθαίροντες αὐτοῦ τὸν καρπὸν, πλύναντες ἐν ὕδατι, καὶ πάλιν ξηραίναντες, διδόασι πιεῖν συμμιγνύντες δύο μέρη τῆς μελαίνης μήκωνος. τὸ δὲ συναμφότερον, ὅσον ὀξύβαφον. καθαίρει δὲ φλέγμα κάτω. ἐὰν δὲ τὸ κάρυον αὐτὸ διδῶσι, τρίψαντες ἐν οἴνῳ γλυκεῖ διδόασιν, ἢ ἐν σησάμῳ πεφρυγμένῳ κατατραγεῖν. ταῦτα μὲν οὖν τοῖς τε φύλλοις καὶ τοῖς ὀποῖς, καὶ τοῖς καρποῖς, χρήσιμα. τῶν δὲ λιβανωτίδων (δύο γάρ εἰσιν) ἡ μὲν ἄκαρπος, ἡ δὲ κάρπιμος. καὶ ἡ μὲν καὶ τῷ καρπῷ καὶ τῷ φύλλῳ χρησίμη, ἡ δὲ μόνον τῇ ῥίζῃ. καλεῖται δὲ ὁ καρπὸς, κάχρυς. ἔχει δὲ αὕτη τὸ μὲν φύλλον ἐοικὸς σελίνῳ ἑλείῳ, μεῖζον δὲ πολύ. καυλὸν δὲ μέγεθος πήχεος, ἢ μείζω. ῥίζαν δὲ μεγάλην καὶ παχεῖαν, λευκὴν, ὄζουσαν ὥσπερ λιβανωτοῦ. καρπὸν δὲ λευκὸν, τραχὺν, προμήκη. φύεται δὲ μάλιστα, ὅπου ἂν αὐχμηρὰ χωρία ᾖ, καὶ πετρώδη. χρησίμη δὲ ἡ μὲν ῥίζα, πρός τε τὰ ἕλκη, καὶ πρὸς τὰ γυναικεῖα πινομένη, ἐν οἴνῳ αὐστηρῷ μέλανι. ὁ δὲ καρπὸς πρός τε τὰς στραγγουρίας, καὶ πρὸς τὰ ὦτα, καὶ ἄργεμα, καὶ πρὸς ὀφθαλμίας, καὶ ὥστε γάλα γυναιξὶν ἐμποιεῖν. ἡ δὲ ἄκαρπος, ἔχει τὸ φύλλον ὅμοιον θριδακίνης τῆς πικρᾶς, τραχύτερον δὲ καὶ λευκότερον. ῥίζαν δὲ βραχεῖαν. φύεται δὲ ὅπουπερ εἴρηται πλείστη. δύναται δὲ καθαίρειν ἡ ῥίζα καὶ ἄνω καὶ κάτω. τὸ μὲν γὰρ πρὸς τὴν βλάστησιν, ἄνω· τὸ δὲ πρὸς τὴν γῆν,
13 κάτω. κωλύει δὲ καὶ εἰς ἱμάτια, τιθεμένη, σῆτας. συλλέγεται δὲ περὶ πυροτομίας. Χαμαιλέων δὲ ὁ μὲν λευκὸς, ὁ δὲ μέλας. αἱ δὲ δυνάμεις τῶν ῥιζῶν καὶ αὐταὶ δὲ αἱ ῥίζαι, τοῖς εἴδεσι διάφοροι.

τὸ ἄλλ' ὁ μὲν καρπὸς πρὸς τὰς ἐξαμβλώσεις, καὶ πρὸς τὰ σπάσματα, καὶ τοὺς ὀρθόπνους· ἔτι δὲ πρὸς τὰ ὦτα, καὶ τὰς φωνασκίας. ἡ δὲ ῥίζα, πρός τε τοὺς τόκους, καὶ τὰ γυναικεῖα, καὶ πρὸς ὑποζυγίων φύσεις. χρήσιμος δὲ καὶ πρὸς τὸ ἴρινον μύρον, διὰ τὴν εὐωδίαν. ἰσχυρότερον δὲ τὸ σπέρμα τῆς ῥίζης. γίνεται δὲ περὶ Συκέαν, καὶ τιμιωτάτη περὶ Περγαμωτόν. τῆς δὲ κυκλαμίνου ἡ μὲν ῥίζα, πρός τε τὰς ἐκπυήσεις τῶν φλεγμονῶν, καὶ πρόσθετον ταῖς γυναιξί, καὶ πρὸς τὰ ἕλκη, ἐν μέλιτι. ὁ δὲ ὀπὸς πρὸς τὰς ἀπὸ τῆς κεφαλῆς καθάρσεις, ἐν μέλιτι ἐγχεόμενος· καὶ πρὸς τὸ μεθύσκειν, ἐν οἴνῳ διαβρέχοντες διδόασι πιεῖν. ἀγαθὴν δὲ τὴν ῥίζαν καὶ εἰς ὠκυτόκιον περιάπτειν, καὶ εἰς φίλτρα. ὅταν δὲ ὀρύξωσι, κατακαίουσιν ἀπ' οἴνου δεύσαντες, τροχίσκους ποιοῦσιν, ὡς τοῦ βρυγός, ἢ ῥιπτόμενα. καὶ τοῦ σικύου δὲ τοῦ ἀγρίου, τὴν μὲν ῥίζαν ἀλφοῖς καὶ ψώραις προβοσκήμασι· τὸ δὲ σπέρμα χυλισθέν, ποιεῖ τὸ ἐλατήριον. τίλλεται δὲ τοῦ φθινοπώρου· τίκτει γὰρ βέλτιον. τοῦ δὲ χαμαίδρυος, τὰ μὲν φύλλα πρὸς τὰ ῥήγματα, καὶ πρὸς βρώματα ἐν ἐλαίῳ τριβόμενα· πρός τε τὰ νεμόμενα ἕλκη. τὸν δὲ καρπὸν καθαίρειν χολήν· ἀγαθὸν δὲ καὶ ὀφθαλμοῖς. πρὸς δὲ τὰ ἀργέματα, προσάγειν τὸ φύλλον, βάψαντα ἐν ἐλαίῳ. ἔχει δὲ τὰ φύλλα, οἷάπερ δρυός. τὸ δὲ ἀνάδημα τῆς ὅλης, ὅσον σπιθαμιαῖον. εὔοσμον δέ, καὶ ἡδύ. τὸ μὲν οὖν μὴ πρὸς τὸ αὐτὸ πάντα τὰ μέρη χρήσιμα τυγχάνειν, οὐκ ἴσως ἄτοπον. τὸ δὲ τῆς αὐτῆς ῥίζης τὰ μὲν ἄνω, τὰ δὲ κάτω καθαίρειν, θαυμασιώτερον, οἷον τῆς τε θαψίας, καὶ τῆς ἰσχάδος (οἱ δ' ἄπιον καλοῦσι) καὶ τῆς λιβανωτίδος. τὸ γὰρ αὖ καὶ κάτω καὶ ἄνω τὰ αὐτὰ δύναται καθαίρειν, καθάπερ τὸ ἐλατήριον, οὐδὲν ἄτοπον. ἔχει δὲ ἡ θαψία, φύλλον μὲν ὅμοιον μαράθρῳ, πλὴν πλατύτερον· καυλὸν δὲ ναρθηκώδη, ῥίζαν δὲ λευκήν. ἡ δ' ἰσχὰς, ἢ ἄπιος, φύλλον μὲν ἔχει πηγανώδες βραχύ, καυλὸς δ' ἐπίγειος βρυς, ἢ τὰ ἄλλα· ῥίζαν δέ, οἷον ἀσφόδελος, πλὴν λιπυρώδη. φιλεῖ δὲ ὀρεινὰ χωρία, καὶ κοχλακώδη. τίλλεται δέ, τοῦ ἦρος. ἔστι μὲν οὖν ἴδιον τῶν εἰρημένων. 11 ὁ δὲ ἐλλέβορος, ὅ, τε μέλας καὶ λευκός, ὥσπερ ὁμώνυμοι φαίνονται. περὶ δὲ τῆς ὄψεως διαφωνοῦσιν. οἱ μὲν γὰρ ὁμοίους εἶναι, πλὴν τῷ χρώματι μόνον διαφέρειν· τῆς δὲ ῥίζης τὴν μὲν λευκήν, τὴν δὲ μέλαιναν. οἱ δὲ τοῦ μέλανος τὸ φύλλον δαφνοειδές, τοῦ δὲ λευκοῦ πρασοειδές· τὰς δὲ ῥίζας ὁμοίας, πλὴν τῷ χρώματι. οἱ δ' οὖν ὁμοίας λέγοντες, ψιλὴν δέ φασιν εἶναι τὴν μορφήν. καυλὸν δὲ ἀνθερικώδη, βραχὺν σφόδρα· φύλλον δὲ πλατυσχιστόν, ὅμοιον τῷ τοῦ νάρθηκος, μῆκος ἔχον συχνόν, εὐθὺς δ' ἐκ τῆς ῥίζης ἠρτημένον τε καὶ πολύφυλλον. πολύρριζον δ' οὖν μάλα, ταῖς λεπταῖς καὶ χρησίμοις. ἀναιρεῖν δὲ τὸν μὲν μέλανα καὶ ἵππους καὶ βοῦς, καὶ ὗς· διὸ καὶ οὐδὲ νέμεσθαι ταῦτα. τὸν δὲ λευκὸν δὲ νέμεσθαι τὰ πρόβατα, καὶ ἐκ τούτου πρῶτον συνοφθῆναι τὴν δύναμιν, καθαιρομένων ἐκείνων. ὡραῖος δὲ μετοπώρου, τοῦ δ' ἦρος ἄωρος. ἀλλὰ περὶ τὴν Πυλαίαν οἱ ἐκ τῆς Οἴτης συλλέγουσι· πλεῖστος γὰρ ἐνταῦθα φύεται, καὶ ἄριστος. μοναχοῦ δὲ φύεται τῆς Οἴτης περὶ τὴν Πυράν. μίσγεται δὲ πρὸς τὴν πόσιν, ὅπως εὐεμῶσι, τὸ τῆς ἐλλεβορίνης σπέρμα· ἔστι δ' ὅδε ποάριον. φύεται δὲ ὁ μὲν μέλας πανταχοῦ· καὶ γὰρ ἐν τῇ Βοιωτίᾳ, καὶ ἐν Εὐβοίᾳ, καὶ ἐπ' ἄλλοις πολλοῖς. ἄριστος δὲ ὁ ἐκ τοῦ Ἑλικῶνος, καὶ ὅλως τὸ ὄρος εὐφάρμακον. ὁ δὲ λευκός, ὀλιγαχοῦ. βέλτιστοι δὲ καὶ οἷς γε χρῶνται μάλιστα, τέτταρες· Οἰταῖος, Ποντικός, Ἐλεάτης, Μασσαλιώτης. φασὶ δὲ τὸν Ἐλεάτην, ἐν ταῖς ἀμπέλοις φύεσθαι, καὶ ποιεῖν τὸν οἶνον οὕτω διουρητικόν, ὥστε λαγαροὺς εἶναι πάνυ τοὺς πίνοντας. ἄριστος δὲ πάντων καὶ φύτων, καὶ τῶν ἄλλων, ὁ Οἰταῖος. ὁ δὲ Παρνάσιος, καὶ ὁ Αἰτώλιος (γίνονται γὰρ καὶ ἐνταῦθα πολλοί, καὶ ὠνοῦνται καὶ πωλοῦσιν οὐκ εἰδότες) σκληροί τε, καὶ ἄγαν περισκελεῖς. ταῦτα μὲν οὖν ὅμοια ταῖς μορφαῖς ὄντα, δυνάμεις ἰδίας ἔχουσι. καλοῦσι δὲ τὸν μέλανα τινὲς ἐκ τοῦ τεμόντος καὶ εὑρόντος, μελαμπόδιον, ὡς ἐκείνου πρώτου τεμόντος. καθαίρουσι δὲ καὶ ὗς αὐτῷ, καὶ πρόβατα, συνεπᾴδοντες ἐπῳδήν· καὶ εἰς ἄλλα δὲ πλείω χρῶνται. 12

Πολλὰ δ' ἐστὶ καὶ τὰ πανάκη, καὶ οἱ τιθύμαλλοι, καὶ ἕτερα ἄττα. πανάκη γὰρ καλοῦσι πρῶτον μέν, τὸ ἐν Συρίᾳ, περὶ οὗ μικρῷ πρότερον εἴρηται. ἄλλα δὲ τρία· τὸ μὲν Χειρώνειον καλούμενον, τὸ δὲ Ἡράκλειον, τὸ δὲ Ἀσκληπίειον. ἔχει δὲ τὸ μὲν Χειρώνειον, φύλλον μὲν ὅμοιον λαπάθῳ, μεῖζον δὲ καὶ δασύτερον· ἄνθος δέ, χρυσοειδές· ῥίζαν δέ, μακράν. φιλεῖ δὲ τὰ χωρία τὰ πίονα. χρῶνται δὲ πρός τε τοὺς ἔχεις, καὶ τὰ φαλάγγια, καὶ τοὺς σῆπας, καὶ τἄλλα ἑρπετά, διδόντες ἐν οἴνῳ, καὶ ἀλείφοντες μετ' ἐλαίου. τοῦ δὲ ἔχεως τὸ δῆγμα καταπλάττοντες ἐν ὄξει, καὶ πιεῖν διδόντες. ἀγαθὴν δέ φασι καὶ ἑλκῶν ἐν οἴνῳ, καὶ ἐλαίῳ, καὶ φυμάτων ἐν μέλιτι.

τὸ δ'

τῶν δὲ περιειληλυθότος. τὴν δὲ ῥιζοτομίαν, γίνεσθαι μὲν ἐνίων καὶ ὑπὸ πυροτομίαν, καὶ μικρῷ πρότερον· οὐ μὴν ἀλλ' ἤγε πλείων, τῆς μετοπώρου μετ' ἀρκτοῦρον, ὅταν φυλλοῤῥοήσωσιν· ὅσων δὲ καὶ ὁ καρπὸς χρήσιμος, ὅταν ἀμέρσωσι τὸν καρπόν. ἐστὶ δὲ ὀπισμός, ἢ ἀπὸ τῶν καρπῶν, ὥσπερ τῆς τιθυμάλλου, καὶ τῆς θριδακίνης, καὶ σχεδὸν τῶν πλείστων· ἢ ἀπὸ τῶν ῥιζῶν· ἢ ῥέον ἀπὸ τῆς κεφαλῆς, ὥσπερ τῆς μήκωνος. ταύτης γὰρ μόνης καὶ τοῦτο ἴδιον αὐτῆς. τῶν μὲν οὖν καὶ αὐτόματος ὁ ὀπὸς συνίσταται δακρυώδης, ὥσπερ τῆς τραγακάνθης· ταύτης γὰρ οὐδὲν τέμνειν δεῖ. τῶν δὲ πλείστων δι' ἐντομῆς· ὧν τινὰς μὲν εὐθὺς εἰς ἀγγεῖα συνάγουσιν, ὥσπερ καὶ τιθυμάλλου, ἢ τῆς μηκωνίου καλοῦσι γὰρ ἀμφοτέρως. καὶ ἁπλῶς, ὅσα πολύοπα τυγχάνει. τῶν δὲ μὴ πολυόπων, ἐρίῳ λαμβάνουσιν. ὥσπερ καὶ τῆς θριδακίνης. ἐνίων δὲ οὐδὲ ὀπισμός, ἀλλ' οἷον χυλισμὸς ὅσων· ὥσπερ ὅσα κόπτοντες, καὶ ὕδωρ ἐπιχέαντες, ἀπηθοῦσί τε λαμβάνουσι τὴν ἀπόταξιν. ξηρὸς δὲ δηλονότι, καὶ ἐλάττων ὁ χυλὸς τούτων. ἐστὶ δὲ τῶν μὲν ἄλλων ῥιζῶν τὸ χύλισμα ἀσθενέστερον τοῦ καρποῦ· τοῦ κωνείου δὲ ἰσχυρότερον, καὶ τὴν ἀπαλλαγὴν ῥᾳδίως ποιεῖ, καὶ θᾶττον, μικρὸν πάνυ καταπότιον δοθέν. ἐνεργότερον δέ, καὶ εἰς τὰς ἄλλας χρείας. ἰσχυρότερον δὲ καὶ τὸ τῆς θαψίας· τὰ δὲ ἄλλα πάντα ἀσθενέστερα. οἱ μὲν οὖν ὀπισμοὶ σχεδὸν τοσαυταχῶς γίνονται. τῆς δὲ ῥιζοτομίας οὐκ ἔστι τοιαύτη διαφορά, πλὴν ἐν ταῖς ὥραις· οἷον θέρους, ἢ μετοπώρου· καὶ τὸ τὰς δὲ ἢ τὰς δὲ τῶν ῥιζῶν, οἷον τοῦ ἐλλεβόρου τὰς κάτω τὰς λεπτάς· τὴν γὰρ ἄνω τὴν παχεῖαν τὴν κεφαλώδη, φασὶν ἀχρεῖον εἶναι, καὶ διδόναι ταῖς κυσίν, ὅταν βούλωνται καθαίρειν. καὶ ἐφ' ἑτέρων δὲ ἐνίων τοιαύτας λέγουσι διαφοράς.

9 Ἔτι δὲ ὡς οἱ φαρμακοπῶλαι καὶ οἱ ῥιζοτόμοι, τὰ μὲν ἴσως οἰκείως, τὰ δὲ καὶ ἐπιτραγῳδοῦντες λέγουσι. κελεύουσι γὰρ τὰς μὲν κατ' ἄνεμον ἑσταμένους τέμνειν, ὥσπερ ἑτέρας τέ τινας, καὶ τὴν θαψίαν, ἀλειψαμένους λίπα. τὸ γὰρ σῶμα ἀνοιδεῖν, ἐὰν ἐξ ἐναντίας· κατ' ἄνεμον δὲ καὶ τοῦ κυνοσβάτου τὸν καρπὸν συλλέγειν· εἰ δὲ μή, κίνδυνον εἶναι τῶν ὀφθαλμῶν. τὰς δὲ νύκτωρ, τὰς δὲ μεθ' ἡμέραν· ἐνίας δέ, πρὶν αὐτῆς ἥλιον ἐπιβάλλειν, οἷον καὶ τὸ καλούμενον κλύμενον. καὶ ταῦτα μέν, καὶ τὰ παραπλήσια τούτοις, τάχ' ἂν οὐκ ἀλλοτρίως δόξειεν λέγειν. ἐπισινεῖς γὰρ ἐνίων αἱ δυνάμεις. ἅπτεσθαι γάρ φασιν, ὥσπερ πυρὸς καὶ κατακαίειν. ἐπεὶ καὶ ὁ ἐλλέβορος ταχὺ καρηβαρεῖν ποιεῖ, καὶ οὐ δύνανται πολὺν χρόνον ὀρύττειν. διὸ καὶ προεσθίουσι σκόροδα, καὶ ἄκρατον ἐπιπίνουσιν. ἀλλὰ τὰ τοιαῦτα ὥσπερ ἐπίθετα καὶ πόῤῥωθεν· οἷον τὴν παιωνίαν, ἣν δὲ γλυκυσίδην καλοῦσι, νύκτωρ κελεύουσιν ὀρύττειν. ἐὰν γὰρ ἡμέρας, καὶ ὀφθῇ τις ὑπὸ δρυοκολάπτου, τὸν μὲν καρπὸν ἐκλέγοντα κινδυνεύειν τοὺς ὀφθαλμούς· τὴν δὲ ῥίζαν τέμνοντα, ἐκπίπτειν τὴν ἕδραν. φυλάττεσθαι δὲ καὶ τὴν κενταυρίδα τέμνοντα, τὸν τριόρχην, ὅπως ἂν ἄτρωτος ἀπέλθῃ. καὶ ἄλλας δέ τινας ὁμοίως. τὸ δ' ἐπευχόμενον τέμνειν, οὐδὲν ἴσως ἄτοπον· ἀλλ' ἔπι τε ἄλλο προστιθέασιν. οἷον τὸ †πανάλκες, τὸ ἀσκληπίειον καλούμενον· ἀντεμβάλλειν γὰρ τῇ γῇ παγκαρπίαν μελιτοῦταν. ὅταν δὲ τὴν ἶριν, τριμήνους μελιτούτας, † ἀντεμβάλλειν μιαδήν. τέμνειν δέ, ἀμφήκει ξίφει περιγράψαντα εἰς τρεῖς· καὶ ὅ, ἂν πρῶτον τμηθῇ, μετέωρον ἔχειν, εἶθ' οὕτω τὸ ἑξῆς τέμνειν. καὶ ἄλλα δὲ τοιαῦτα πλείω. περιγράφειν δὲ καὶ τὸν μανδραγόραν εἰς τρεῖς ξίφει· τέμνειν δὲ πρὸς ἑσπέραν βλέποντα, τὸν δ' ἕτερον κύκλῳ περιορχεῖσθαι, καὶ λέγειν ὡς πλεῖστα περὶ ἀφροδισίων. τοῦτο δὲ ὅμοιον ἔοικε τῷ περὶ τοῦ κυμίνου λεγομένῳ, δεῖν τὴν βλασφημίαν, ὅταν σπείρωσι. περιγράφειν δὲ καὶ τὸν ἐλλέβορον τὸν μέλανα, ἱστάμενον πρὸς ἕω, καὶ προσκατευχόμενον δε· αἰετὸν δὲ φυλάττεσθαι, καὶ ἐκ δεξιᾶς καὶ ἐξ ἀριστερᾶς· κίνδυνον γὰρ εἶναι τοῖς τέμνουσιν. ἐὰν δὲ ὁ ἐγγὺς * μὴ διατέμνῃ, ὁ αὐτὸς ἀποθνήσκει ἐνιαυτῷ. ταῦτα μὲν οὖν ἐπίθετος ἔοικεν, ὥσπερ εἴρηται. τρόποι δ' οὐκ εἰσὶ τῶν ῥιζοτομιῶν, πλὴν οὓς εἴπομεν.

10 Ἔστι δ' ὥσπερ ἐλέχθη, τῶν μὲν πάντων χρήσιμα, καὶ ἡ ῥίζα, καὶ ὁ καρπός, καὶ ὁ ὀπός, ὥσπερ ἄλλων τε καὶ τοῦ πάνακος. τῶν δὲ ἡ ῥίζα, καὶ ὁ ὀπὸς· οἷον τῆς σκαμμωνίας, καὶ τοῦ κυκλαμίνου, καὶ τῆς θαψίας, καὶ ἑτέρων. καθάπερ καὶ τοῦ μανδραγόρου, τὸ μὲν φύλλον χρήσιμον εἶναί φασι πρὸς τὰ ἕλκη, μετ' ἀλφίτου· τὴν δὲ ῥίζαν, πρὸς ἐρυσιπέλας, ξυσθεῖσαν τε καὶ ὄξει δευθεῖσαν· καὶ πρὸς τὰ ποδαγρικά, καὶ πρὸς ὕπνον, καὶ φίλτρα. διδόασι δὲ ἐν οἴνῳ, ἢ ἐν ὄξει. τέμνουσι δὲ τροχίσκους, ὥσπερ ῥαφανίδος, ἐνείραντες δὲ ἐν γλεύκει ἐκρέμασαν ὑπὲρ καπνοῦ. ὁ δὲ ἐλλέβορος ἤδη ταῦτα, τῇ τε ῥίζῃ καὶ τῷ καρπῷ χρήσιμος· εἴπερ οἱ ἐν †ἀγκύρᾳ, καθάπερ φασί, τῷ καρπῷ καθαίρουσιν· ἔχει δὲ σησαμώδη τοῦτον. πλείω δὲ καὶ τοῦ πάνακος τὰ χρήσιμα, καὶ οὐ πάντα πρὸς τὸ αὐτό. ἀλλ'

πρὶ | ἢ τρίψαντες | + πανακὲς | αὐτιβάλλειν | + αὐτικύρᾳ | τα

διαιροῦσιν ὑπὸ τὸ ἄστρον, ὅταν μάλιστα πνίγη ὦσι, καὶ τὰ στελέχη καὶ τὰ ἄνω. τὴν δὲ συλλογὴν ὅλον τὸ θέρος ποιεῖσθαι. οὐκ εἶναι δὲ πολὺ τὸ ῥέον, ἀλλ' ἐν ἡμέρᾳ τὸν ἄνδρα συλλέγειν ὅσον κόγχην. τὴν δ' ὀσμὴν διαφέρουσαν καὶ πολλήν, ὥστε ἀπὸ μικροῦ πολὺν ἐπιφοιτᾶσθαι τόπον. ἀλλ' οὐ φοιτᾶν ἐνταῦθα ἄκρατον, ἀλλὰ τὸ συνηγμένον κεκραμένον. πολλὴν γὰρ δέχεσθαι κρᾶσιν. καὶ τὸ ἐν τῇ Ἑλλάδι, πολλάκις εἶναι κεκραμένον. εὔοσμα δὲ σφόδρα καὶ τὰ ῥαβδία. καθαίρεσθαι γὰρ καὶ τούτων δὲ ἕνεκα, καὶ τοῦ διαφόρου πωλεῖσθαι τίμια. καὶ τὴν ἐργασίαν τὴν περὶ τὰ δένδρα σχεδὸν ταύτην αἰτίαν εἶναι καὶ τὴν βρέχειν. βρέχεσθαι δὲ συνεχῶς. συναιτίαν δὲ δοκεῖν εἶναι, τοῦ μὴ μεγάλα γίνεσθαι τὰ δένδρα, καὶ τὴν τῶν ῥαβδίων τομήν· διὰ γὰρ τὸ πολλάκις ἀποκείρεσθαι, ῥάβδους ἀφιέναι, καὶ οὐκ εἰς ἓν ἐκτείνειν τὴν ὁρμήν. ἄγριον δὲ οὐδὲν εἶναι βάλσαμον οὐδαμοῦ. γίνεσθαι δὲ ἐκ μὲν τοῦ μείζονος παραδείσου, ἀγγεῖα δώδεκα ὅσον ἡμιχόα· ἐκ δὲ τοῦ ἑτέρου, δύο μόνον. πωλεῖσθαι δὲ τὸ μὲν ἄκρατον δὶς πρὸς ἀργύριον, τὸ δ' ἄλλο κατὰ λόγον τῆς μίξεως. καὶ τοῦτο μὲν διαφέρειν φαίνεται, κατὰ τὴν εὐοσμίαν. Ὁ δὲ κάλαμος γίνεται, καὶ ὁ σχοῖνος, 7
ὑπερβάλλοντι τὸν Λίβανον, μεταξὺ τοῦ τε Λιβάνου καὶ ἄλλου τινὸς ὄρους μικροῦ, ἐν τῷ αὐλωνίσκῳ τούτῳ· καὶ οὐχ ὥς τινές φασι, τοῦ Ἀντιλιβάνου. καὶ μεταξὺ τούτων ἐστίν, ὃν αὐλῶνα καλοῦσι πεδίον, πολὺ καὶ καλόν. ἔπειτα δὲ ὁ κάλαμος καὶ ὁ σχοῖνος φύεται, λίμνη μεγάλη τυγχάνει. περὶ ταύτην δὲ ἐν τῷ ἕλει τῷ ἀνεξηραμμένῳ πεφύκασι. τόπον δὲ ἔχουσι πλεῖον ἢ τριάκοντα σταδίων. οὐ δοκοῦσι δὲ χλωροί, ἀλλὰ ξηρανθέντων· τῇ προσόψει δὲ οὐδὲν διαφέρουσι τῶν ἄλλων. εἰσβάλλοντι δὲ εἰς τὸν τόπον, εὐθὺς ὀσμὴ προσβάλλει· οὐ μὴν πόρρωθέν γε ἡ ἀποπνοὴ γίνεται, καθάπερ τινές φασι, ταῖς προσφερομέναις εἶναι πρὸς τὴν χώραν. καὶ γὰρ ὁ τόπος οὗτος ἀπὸ θαλάττης ἀπέχει πλείους ἢ ἑκατὸν πεντήκοντα σταδίους. ἀλλ' ἐν τῇ Ἀραβίᾳ τὴν ἀναπνοὴν εἶναί φασι, τὴν ἀπὸ τῆς χώρας εὔοσμον. ἐν μὲν οὖν Συρίᾳ τὰ περιττὰ τῇ ὀσμῇ, σχεδὸν ταῦτ' ἐστίν. ἡ γὰρ χαλβάνη, βαρύτερον καὶ μᾶλλον φαρμακῶδες. ἐπεὶ καὶ γίνεται αὕτη περὶ Συρίαν, ἐκ τοῦ πάνακος καλουμένου. τὰ δὲ ἄλλα πάντα τὰ εὔοσμα, οἷς πρὸς τὰ ἀρώματα χρῶνται, τὰ μὲν ἐξ Ἰνδῶν κομίζεται, κἀκεῖθεν ἐπὶ θάλατταν καταπέμπεται· τὰ δὲ ἐξ Ἀραβίας, οἷον πρὸς τῷ κινναμώμῳ καὶ τῇ κασίᾳ, καὶ κώμακον. ἕτερον δ' εἶναι τὸ κώμακον, καρπόν· τὸ δ' ἕτερον παραμίσγουσιν εἰς τὰ σπουδαιότατα τῶν μύρων. τὸ δὲ καρδάμωμον καὶ ἄμωμον, οἱ μὲν ἐκ Μηδείας, οἱ δὲ ἐξ Ἰνδῶν, καὶ ταῦτα, καὶ τὴν νάρδον, καὶ τὰ ἄλλα, ἢ τὰ πλεῖστα. οἷς μὲν οὖν εἰς τὰ ἀρώματα χρῶνται, σχεδὸν τάδε ἐστί· κασία, κιννάμωμον, καρδάμωμον, νάρδος, νᾶρον, βάλσαμον, ἀσπάλαθος, στύραξ, ἶρις, νάρτη, κόστος, πάνακες, κρόκος, σμύρνα, κύπειρον, σχοῖνος, κάλαμος, ἀμάρακον, λωτός, ἄννητος. τούτων δὲ τὰ μὲν ῥίζαι, τὰ δὲ φλοιοί, τὰ δὲ κλωνία, τὰ δὲ ξύλα, τὰ δὲ σπέρματα, τὰ δὲ δάκρυα, τὰ δὲ ἄνθη. καὶ τὰ μὲν πολλαχοῦ γίνεται, τὰ δὲ πλεῖστα καὶ εὐοσμότατα πάντα ἐκ τῆς Ἀσίας, καὶ ἐκ τῶν ἀλεεινῶν τόπων. ἐκ γὰρ τῆς Εὐρώπης οὐδέν ἐστιν, ἔξω ἴρεως. αὕτη δὲ ἀρίστη ἐν Ἰλλυριοῖς, οὐκ ἐν τῇ πρὸς θάλατταν χώρᾳ, ἀλλ' ἐν τῇ ἀνακεχωρηκυίᾳ, κειμένῃ δὲ μᾶλλον πρὸς ἄρκτον. τόποι δὲ φυτῶν διαφέρουσιν, ἐν οἷς ἀμείνων. ἐργασία δὲ περὶ αὐτὴν οὐδεμία, πλὴν τοῦ περικαθάραντα ἀναξηραίνειν. τὰ γὰρ ἐν τῇ Θρᾴκῃ φυόμενα ῥιζία, καθάπερ τό τε τῇ νάρδῳ προσεμφερῆ τὴν ὀσμὴν ἔχον, καὶ ἕτερα ἄττα, μικρά τινα καὶ ἀσθενῆ τὴν εὐωδίαν ἔχει. καὶ περὶ μὲν τῶν εὐόσμων, ἐπὶ τοσοῦτον εἰρήσθω. Περὶ δὲ τῶν ὀπῶν, ὅσα μὴ πρότερον εἴρηται, λέγω δ' οἷον αἱ 8
τινῶν φαρμακώδεις, ἢ καὶ ἄλλας ἔχουσι δυνάμεις, πειρατέον ὁμοίως εἰπεῖν· ἅμα δὲ καὶ περὶ ῥιζῶν. καὶ γὰρ τῶν ὀπῶν τινῶν ἐκ τούτων, καὶ χωρὶς αὐταὶ καθ' αὑτὰς πολλὰς ἐναντίας ἔχουσι δυνάμεις. ὅλως δὲ περὶ πάντων φαρμακωδῶν, οἷον καρποῦ, χυλισμοῦ, φύλλων, ῥιζῶν, πόας· καλοῦσι γὰρ καὶ πόαν ἔνια τῶν φαρμακωδῶν, οἱ ῥιζοτόμοι. τῶν γὰρ ῥιζῶν πλείους μέν εἰσι δυνάμεις, καὶ πρὸς πλείω. ζητοῦνται δὲ μάλιστα αἱ φαρμακώδεις, ὡς χρησιμώταται, διαφέρουσαι τῷ τε μὴ πρὸς ταῦτα, καὶ τῷ μὴ ἐν αὐταῖς ἔχειν τὴν δύναμιν. ὡς δ' οὖν ἐπίπαν, αἱ πλεῖσται μὲν ἐν αὐταῖς ἔχουσι, καὶ τοῖς καρποῖς, καὶ τοῖς ὀποῖς· ἔνιαι δὲ καὶ ἐπὶ τοῖς φύλλοις. τὰς δὲ φυλλώδεις δυνάμεις, τὰς πολλὰς σχεδὸν πόας καλοῦσιν (ὥσπερ εἴρηται) οἱ ῥιζοτόμοι. ὁ μὲν ὀπισμὸς γίνεται τῶν ὀπιζομένων, ὡς ἐπίπαν τοῦ θέρους· τῶν μὲν ἐνισταμένου,

δὲ ἐπὶ τοῦ σωροῦ πινάκιον, γραφὴν ἔχον τό τε πλῆθος τῶν μέτρων καὶ τὴν τιμήν, ἧς δεῖ πραθῆναι τὸ μέτρον ἕκαστον. ὅταν δὲ οἱ ἔμποροι παραγένωνται, σκοπεῖν τὰς γραφάς. ὅτῳ δ' ἂν αὐτῶν ἀρέσκῃ, μετρησαμένους τιθέναι τὴν τιμὴν εἰς τοῦτο τὸ χωρίον, ἔνθεν ἂν ἕλωνται. τὸν δὲ ἱερέα παραγενόμενον, τὸ τρίτον μέρος λαβόντα τῆς τιμῆς τῷ θεῷ, τὸ λοιπὸν αὐτοῦ καταλιπεῖν· καὶ τοῦτο σῶον εἶναι τοῖς κυρίοις, ἕως ἂν ἕλωνται παραγενόμενοι. ἄλλοι δέ τινες τὸ μὲν τοῦ λιβανωτοῦ δένδρον ὅμοιον εἶναί φασι σχίνῳ, καὶ τὸν καρπὸν ταῖς σχοινίσι, φύλλον δὲ ὑπέρυθρον, εἶναι δὲ τὸν μὲν ἐκ τῶν νέων λιβανωτὸν, λευκότερον καὶ ἀοσμότερον· τὸν δ' ἐκ τῶν παρακμαζόντων, ξανθότερον καὶ εὐοσμότερον. τὸ δὲ τῆς σμύρνης ὅμοιον τῇ τερμίνθῳ, τραχύτερον δέ, καὶ ἀκανθωδέστερον. φύλλον δὲ μικρῷ στρογγυλότερον. τῇ δὲ γεύσει διαμασωμένοις, ὅμοιον κατὰ τὴν τερμίνθον. εἶναι δὲ καὶ τούτων τὰ παρηκμακότα, εὐοσμότερα. γίνεσθαι δὲ ἀμφότερα ἐν τῷ αὐτῷ τόπῳ. τὴν γὰρ γῆν ὑπάργιλον, καὶ πλακώδη, καὶ ὕδατα πηγαῖα, σπάνια. ταῦτα μὲν οὖν ὑπεναντία τῷ νίφεσθαι, καὶ ὕεσθαι, καὶ ποταμοὺς ἐξιέναι. τὸ δὲ παρόμοιον εἶναι τὸ δένδρον τῇ τερμίνθῳ, καὶ ἄλλοι τινὲς λέγουσιν· οἱ δὲ καὶ ὅλως τέρμινθον εἶναι. κομισθῆναι γὰρ ξύλα πρὸς Ἀντίγονον ὑπὸ τῶν Ἀράβων, τῶν τὸν λιβανωτὸν καταγαγόντων, ἃ οὐδὲν διέφερε κατὰ τῆς τερμίνθου, πλὴν ὑπέρ γε μεῖζον ἕτερον ἀγνόημα προσηγνόουν· ᾤοντο γὰρ ἐκ τοῦ αὐτοῦ δένδρου τόν τε λιβανωτὸν γίνεσθαι, καὶ τὴν σμύρναν. διόπερ ἐκεῖνος ὁ λόγος πιθανώτερος, ὁ παρὰ τῶν ἀναπλευσάντων ἐξ Ἡρώων πόλεως. ἐπεὶ καὶ τὸ ὑπὲρ Σάρδεων πεφυκὸς τοῦ λιβανωτοῦ δένδρον, ἐν ἱερῷ τινι, δαφνοειδὲς ἔχει τὸ φύλλον, εἴ τι δεῖ σταθμᾶσθαι τοῦτο, ὁ λιβανωτὸς δ' ἐκ τούτου, καὶ ὁ ἐκ τοῦ στελέχους, καὶ ὁ ἐκ τῶν ἀκρεμόνων, ὅμοιος καὶ τῇ ὄψει καὶ τῇ ὀσμῇ θυμιώμενος τῷ ἄλλῳ λιβανωτῷ. πέφυκε δὲ τοῦτο μόνον τὸ δένδρον οὐδεμιᾶς τυγχάνειν. ἔνιοι δὲ λέγουσιν, ὡς ἥδιον μὲν ὁ λιβανωτὸς ἐν τῇ Ἀραβίᾳ γίνεται, κάλλιον δὲ ἐν ταῖς ἐπικειμέναις νήσοις ὧν ἐνυπάρχουσιν. ἐνταῦθα γὰρ καὶ χυμοὺς ποιεῖν, ἐπὶ τῶν δένδρων, οἵους ἂν θέλωσι· καὶ τάχα τοῦτό γε οὐκ ἀπίθανον ἐνδέχεται, ὁποίαν ἂν βούληται ποιεῖν τὴν ἐντομήν. εἰσὶ δέ τινες καὶ μεγάλοι σφόδρα τῶν χόνδρων, ὥστε εἶναι κατὰ μὲν ὄγκον χειροπληθιαίους, σταθμὸν δὲ πλέον ἢ τρίτον μέρος μνᾶς. ἀργὸς δὲ κομίζεται πᾶς ὁ λιβανωτός, ὅμοιος δὲ τῇ προσόψει φλοιῷ. τῆς σμύρνης δέ, ἡ μὲν στακτή, ἡ δὲ πλαστή. δοκιμάζεται δὲ ἡ μὲν ἀμείνων τῇ γεύσει, καὶ ἀπὸ ταύτης τὴν ὁμόχροιαν λαμβάνουσι. περὶ μὲν

5 οὖν λιβανωτοῦ καὶ σμύρνης, ἄχρι γε τοῦ νῦν χρόνου τοσαῦτα ἀκηκόαμεν. Περὶ δὲ κινναμώμου καὶ κασίας τοιάδε λέγουσι. θάμνους μὲν ἀμφότερα ταῦτ' εἶναι οὐ μεγάλους, ἀλλ' ἡλίκας ἄγνους, πολυκλάδους δὲ καὶ ξυλώδεις. ὅταν δὲ ἐκκόψωσι τὸ κιννάμωμον, ὅλον διαιρεῖν εἰς πέντε μέρη. τούτου δὲ τὸ πρῶτον πρὸς τοῖς βλαστοῖς βέλτιστον εἶναι, ὃ τέμνεται σπιθαμιαῖον, ἢ μικρῷ μεῖζον. ἑπόμενον δὲ τὸ δεύτερον, ὃ καὶ τῇ τομῇ ἔλαττον. εἶτα τὸ τρίτον, καὶ τέταρτον. ἔσχατον δὲ τὸ χείριστον, τὸ πρὸς τῇ ῥίζῃ. φλοιὸν γὰρ ἐλάχιστον ἔχει· χρήσιμος δ' οὗτος, οὐ τὸ ξύλον. διὸ καὶ τὸ ἀκροφυὲς κράτιστον· πλεῖστον γὰρ ἔχειν καὶ τὸν φλοιόν. οἱ μὲν οὕτω λέγουσιν. ἄλλοι δὲ θαμνώδη φασί· δύο δ' αὐτοῦ γένη, τὸ μὲν μέλαν, τὸ δὲ λευκόν. λέγεται δέ τις καὶ μῦθος ὑπὲρ αὐτοῦ. φύεσθαι μὲν γάρ φασιν ἐν φάραγξιν. ἐν ταύταις δ' ὄφεις εἶναι πολλούς, δῆγμα θανάσιμον ἔχοντας. πρὸς οὓς φραξάμενοι τὰς χεῖρας καὶ τοὺς πόδας, καταβαίνουσι, καὶ συλλέγουσιν. εἶθ' ὅταν ἐξενέγκωσι, διελόντες τρία μέρη, διακληροῦνται πρὸς τὸν ἥλιον. καὶ ἣν ἂν λάχῃ ὁ ἥλιος, καταλείπουσιν. ἀπιόντες δ' εὐθύς, ὁρᾶν φασι καιομένην ταύτην. οὗτος μὲν οὖν τῷ ὄντι μῦθος. τὴν δὲ κασίαν φασὶ τὰς μὲν ῥάβδους πλατυτέρας ἔχειν, ἰνώδεις δὲ σφόδρα, καὶ οὐκ εἶναι περιφλοῖσαι. χρήσιμον δὲ καὶ ταύτης τὸν φλοιόν. ὅταν οὖν τέμνωσι τὰς ῥάβδους, κατακόπτειν ὡς διδάκτυλα τὸ μῆκος, ἢ μικρῷ μείζω. ταῦτα δ' εἰς νεόδερον βύρσαν καταρράπτειν· εἶτ' ἐκ ταύτης καὶ τῶν ξύλων σηπομένων, σκωλήκια γίνεσθαι, ἃ τὸ μὲν ξύλον κατεσθίει, τοῦ φλοιοῦ δὲ οὐχ ἅπτεται, διὰ τὴν πικρότητα καὶ δριμύτητα τῆς ὀσ-

6 μῆς. καὶ περὶ μὲν κασίας καὶ κινναμώμου, τοσαῦτα λέγεται. Τὸ δὲ βάλσαμον γίνεται μὲν ἐν τῷ αὐλῶνι τῷ περὶ Συρίαν. παραδείσους δὲ εἶναί φασι δύο μόνους, τὸν μὲν ὅσον εἴκοσι πλέθρων, τὸν δ' ἕτερον πολλῷ ἐλάττονα. τὸ δὲ δένδρον μέγεθος μέν, ἡλίκον ῥόα μεγάλη. πολύκλαδον δὲ σφόδρα. φύλλον δὲ ἔχειν ὅμοιον πηγάνῳ, πλὴν ἔκλευκον. ἀείφυλλον δὲ εἶναι. καρπὸν δὲ παρόμοιον τῇ τερμίνθῳ, καὶ μεγέθει καὶ σχήματι καὶ χρώματι. εὐώδη σφόδρα καὶ τοῦτον, καὶ μᾶλλον τοῦ δακρύου. τὸ δὲ δάκρυον ἐκ ἐντομῆς συλλέγειν. ἐντέμνειν δὲ ὄνυξι σι-

δηροῖς

τι λαμβάνῃ ὕψος αἰεὶ κατὰ πλῆθος. γίνεται δέ φασιν, ὅταν ἡ σύνθεσις ᾖ, κύκλῳ μὲν ὀγδοήκοντα καὶ ἑκατὸν πηχῶν, εἰς ὕψος δὲ ἑξήκοντα, πλέον ἢ πεντήκοντα, ἢ ἑκατὸν ἀμφοτέρους, ἐάνπερ ἡ δᾲς τυγχάνῃ πίειρα. συνθέντες οὖν αὐτὴν οὕτως, καὶ κατασκεπάσαντες ὕλῃ, γῆν ἐπιβάλλοντες κατακρύπτουσιν, ὅπως μηδαμῶς ἐπιδιαλάμψῃ τὸ πῦρ· ἀπόλλυται γὰρ ἡ πίττα, τούτου συμβαίνοντος. ὑφάπτουσι δὲ κατὰ τὴν ὑπολειπομένην δίοδον· εἶτα δὲ καὶ ταῦτα ἐπάξαντες τῇ ὕλῃ, καὶ ἐπιχώσαντες, τηροῦσιν ἀναβαίνοντες κατὰ κλίμακος, ᾗ ἂν ὁρῶσι τὸν καπνὸν ἀθρούμενον, καὶ ἐπιβάλλουσιν αἰεὶ τῆς γῆς, ὅπως μὴ διαλάμψῃ. κατεσκευάσθαι δὲ ὀχετὸν τῇ πίττῃ, διὰ τῆς συνθέσεως τῆς ἀπορροῆς εἰς βόθυνον, ὅσον ἀπέχοντα πεντεκαίδεκα πήχεις. ἡ δ' ἀπορρέουσα τῆς πίττης, ψυχρὰ γίνεται κατὰ τὴν ἁφήν. καίεται δὲ μάλιστα δύο ἡμέρας καὶ νύκτας· τῇ γὰρ ὑστεραίᾳ, πρὸ ἡλίου δύναντος, ἐκκεκαυμένη γίνεται, ἐὰν ἐνδεδώκῃ ἡ πυρά. τοῦτο γὰρ συμβαίνει, μηκέτι ῥεούσης. τὸν δὲ χρόνον ἅπαντα τηροῦσιν ἀγρυπνοῦντες, ὅπως μὴ διαλάμψῃ. καὶ θύουσι δὲ, καὶ ἑορτάζουσιν, εὐχόμενοι πολλήν τε καὶ καλὴν γίνεσθαι τὴν πίτταν. οἱ μὲν δὴ περὶ Μακεδονίαν καίουσι τὸν τρόπον τοῦτον. ἐν δὲ τῇ Ἀσίᾳ φασὶ, περὶ Συρίαν, οὐκ ἐκπλέκοντες τὴν δᾷδα, ἀλλ' ἐπ' αὐτῷ τῷ δένδρῳ προσκαίειν, φέροντες ὄργανόν τι περιπεποιημένον, καὶ τοῦτο περιαλείφοντες, εἶθ' ὅταν ἐκτήξωσι ταύτην, πάλιν ἐπ' ἄλλο καὶ ἄλλο μεταφέρειν. ὅρος δὲ δὴ αὐτοῖς ἐστι, καὶ σημεῖα τοῦ παύεσθαι, καὶ μάλιστα διὰ τὸ μηκέτι ῥεῖν. πιττοκαυτοῦσι δὲ ὥσπερ καὶ πρότερον ἐλέχθη, τὰς τερμίνθους. πεδινοὶ γὰρ οἱ φυσιμοὶ τόποι. τὰ μὲν οὖν περὶ τὴν ῥητίνην καὶ τὴν πίτταν, οὕτως ἔχει. περὶ δὲ λιβανωτοῦ, καὶ σμύρνης, καὶ βαλσάμου, καὶ εἴ τι τοιοῦτον ἕτερον, ὅτι μὲν καὶ δι' ἐπιτομῆς γίνεται καὶ αὐτομάτως, εἴρηται. πολλὰ δέ ἐστιν, ἃ τῶν δένδρων φύσις. καὶ εἰ περὶ τὴν γένεσιν, ἢ τὴν συλλογὴν, ἢ τῶν ἄλλων ἴδιον αὐτοῖς ὑπάρχει, πειρατέον εἰπεῖν· ὡσαύτως δὲ, καὶ περὶ τῶν λοιπῶν δυνάμεων. σχεδὸν γὰρ τά γε πλεῖστα ἐκ τῶν τόπων τούτων, τῶν τε πρὸς μεσημβρίαν καὶ ἀνατολήν.

4 Γίνεται μὲν οὖν ὁ λίβανος, καὶ σμύρνα, καὶ ἡ κασία, καὶ ἔτι τὸ κιννάμωμον, ἐν τῇ τῶν Ἀράβων χερσονήσῳ περί τε Σαβὰ, καὶ Ἀδραμύττα, καὶ Κιτίβαινα, καὶ Μαμάλι. φύεται δὲ τὰ τοῦ λιβανωτοῦ καὶ τῆς σμύρνης δένδρα, τὰ μὲν ἐν τῷ ὄρει, τὰ δ' ἐν ταῖς ἰδίαις γεωργίαις ὑπὸ τὴν ὑπώρειαν. διὸ καὶ τὰ μὲν θεραπεύεται, τὰ δ' οὔ. τὸ δ' ὄρος εἶναί φασιν ὑψηλὸν, καὶ δασὺ, καὶ νιφόμενον· ῥεῖν δὲ ἐξ αὐτοῦ καὶ ποταμοὺς εἰς τὸ πεδίον. εἶναι δὲ τὸ μὲν τοῦ λιβανωτοῦ δένδρον, οὐ μέγα, περὶ πεντάπηχυ δέ ἐστι, καὶ πολύκλαδον. φύλλον δὲ ἔχειν ἐμφερὲς τῇ ἀπίῳ, πλὴν ἔλαττον πολὺ, καὶ τὴν χρόαν ποῶδες σφόδρα, καθάπερ τὸ πήγανον· λειόφλοιον δὲ πᾶν, ὥσπερ τὴν δάφνην. τὴν δὲ σμύρναν ἔλαττον ἔτι τῷ μεγέθει, καὶ θαμνωδέστερον δέ. τὸ δὲ στέλεχος ἔχειν σκληρὸν, καὶ συνεστραμμένον ὑπὲρ τῆς γῆς, παχύτερον δὲ ἢ κνημοπαχές. φλοιὸν δὲ ἔχει λεῖον, ὅμοιον τῇ ἀνδράχνῃ. ἕτεροι δὲ οἱ φάσκοντες τεθεωρηκέναι, περὶ μὲν τοῦ μεγέθους σχεδὸν συμφωνοῦσιν. οὐδέτερον γὰρ εἶναι μέγα τῶν δένδρων, ἔλαττον δὲ τὸ τῆς σμύρνης, καὶ ταπεινότερον. φύλλον δὲ ἔχειν, τὸ τοῦ λιβανωτοῦ, ἀλλὰ τοῦ μὲν δαφνοειδὲς, καὶ λειόφυλλον εἶναι· τὸ δὲ τῆς σμύρνης ἀκανθῶδες, καὶ οὐ λεῖον· φύλλον δὲ προσεμφερὲς ἔχειν τῇ πτελέᾳ, πλὴν οὖλον, ἐπ' ἄκρου δὲ ἐπακανθίζον, ὥσπερ τὸ τῆς πρίνου. ἔφασαν δὲ ὅτι κατὰ τὸν παράπλουν, ὃν ἐξ Ἡρώων ἐποιοῦντο κόλπου, ζητεῖν ἐκβάντες ὕδωρ ἐν τοῖς ὄρεσι, καὶ οὕτως θεωρῆσαι τὰ δένδρα καὶ τὴν συλλογήν. εἶναι δ' ἀμφοτέρων ἐντετμημένα καὶ τὰ στελέχη, καὶ τοὺς κλάδους. ἀλλὰ τὰ μὲν ὥσπερ ἀξίνῃ δοκεῖν πεπλῆχθαι, τὰ δὲ λεπτοτέρας ἔχειν τὰς τομάς. τὸ δὲ δάκρυον, τὸ μὲν καταπίπτειν, τὸ δὲ καὶ πρὸς τῷ δένδρῳ προσίσχεσθαι, ἐνιαχοῦ μὲν ὑποβεβλῆσθαι ψιάθους, ἐκ τῶν φοινίκων πεπλεγμένας· ἐνιαχοῦ δὲ, τὸ ἔδαφος μόνον ὡμαλίσθαι, καὶ καθαρὸν εἶναι. τὸν μὲν ἐπὶ τῶν ψιάθων λιβανωτὸν, εἶναι καθαρὸν καὶ διαφανῆ· τὸν δ' ἐπὶ τῆς γῆς, ἧττον. τὸν δ' ἐπὶ τοῖς δένδροις προσεχόμενον, ἀποξύειν σιδήροις, διὸ καὶ φλοιὸν ἐνίοις προσεῖναι. τὸ δὲ ὄρος ἅπαν μεμερίσθαι τοῖς Σαβαίοις. τούτους γὰρ εἶναι κυρίους· δικαίους δὲ τὰ πρὸς ἀλλήλους, διὸ καὶ οὐδένα τηρεῖν· ὅθεν καὶ αὐτοὶ δαψιλῶς εἰς τὰ πλοῖα λαβόντες ἐνθέσθαι τοῦ λιβανωτοῦ, καὶ τῆς σμύρνης, ἐρημίας οὔσης, καὶ ἀποπλεῖν. ἔλεγον δὲ ὅτι καὶ τόδε, καὶ ἔφασαν ἀκούειν, ὅτι συνάγεται πανταχόθεν ἡ σμύρνα καὶ ὁ λιβανωτὸς εἰς τὸ ἱερὸν τὸ τοῦ ἡλίου. τοῦτο δ' εἶναι μὲν τῶν Σαβαίων, ἁγιώτατον δὲ πολὺ τῶν περὶ τὸν τόπον. τηρεῖν δ' ἔχειν τινὰς Ἄραβας ἐνόπλους. ὅταν δὲ κομίσωσιν, ἕκαστον σωρεύσαντα τὸν ἑαυτοῦ, καὶ τὴν σμύρναν ὁμοίως, καταλιπεῖν τοῖς ἐπὶ τῆς φυλακῆς. τιθέναι

καὶ διὰ τοῦτο ἔλαττον αὐτῷ περιπλάττουσι πρὸς τὴν τομήν. τὴν δ' ὥραν τῆς ἐκτομῆς ἴσασιν οἱ Λίβυες· οὗτοι γὰρ οἱ συλλέγοντες. ὡσαύτως δὲ καὶ οἱ ῥιζοτόμοι, καὶ οἱ τοὺς φαρμακώδεις ὀποὺς συλλέγοντες· καὶ γὰρ οὗτοι τοὺς καυλοὺς ἐπιζέουσι πρότερον. ἁπλῶς δὲ πάντες καὶ οἱ τὰς ῥίζας καὶ οἱ τοὺς ὀποὺς συλλέγοντες, τὴν οἰκείαν ὥραν ἑκάστου τηροῦσι· καὶ τοῦτο μὲν δὴ κοινόν. ἡ δὲ ῥητίνη γίνεται τὸν εἰρημένον τρόπον. ἐν μὲν τῇ πεύκῃ, ὅταν ἀφελκωθείσης, ἡ δορὰ ἐξαιρεθῇ· συρρεῖ γὰρ εἰς τὸ ἕλκωμα τότε πλείων ἡ ὑγρότης. ἐν δὲ τῇ ἐλάτῃ καὶ τῇ πίτυι, ὅταν γυμνωσάμενοι τὸ ξύλον ἀφελκώσωσιν· οὐ γὰρ πᾶς ἀφορισμὸς ὁμοίως. ἀφελκοῦσι γὰρ καὶ τὰς τερμίνθους ἐν ἀμφοῖν, καὶ ἐν τῷ στελέχει καὶ ἐν τοῖς ἀκρέμοσιν. αἰεὶ δὲ πλείων καὶ βελτίων ἡ εἰς τὸ στέλεχος συρρέουσα, τῆς εἰς τοὺς ἀκρέμονας. διαφέρουσι δὲ καὶ ταῦτα τὰ δένδρα. βελτίστη μὲν γὰρ ἡ τερμινθίνη· καὶ γὰρ συνεστηκυῖα, καὶ εὐωδεστάτη, καὶ κουφοτάτη τῇ ὀσμῇ ἀλλ' ὀλίγη. δευτέρα δὲ ἡ ἐλατίνη καὶ πιτυΐνη· κουφότεραι γὰρ τῆς πευκίνης. πλείστη δὲ ἡ πευκίνη, καὶ βαρυτάτη, καὶ πιττωδεστάτη, διὰ τὸ μάλιστα ἔνδαδον εἶναι τὴν πεύκην. ἄγεται δὲ ἐν ἀσκοῖς ὑγρά, κἄπειτα οὕτως συνίσταται. καί τι φασί, καὶ τὴν τερμίνθου πεπηγυῖαν περὶ Συρίαν. ἔστι γὰρ ὄρος, καθάπερ ἐν τοῖς ἔμπροσθεν εἴπομεν, μέγα, τερμίνθων μεστὸν ἅπαν μεγάλων. ἔνιοι δέ φασι καὶ τὴν πίτυν, καὶ τὴν κέδρον, καὶ τὴν φοινικῆν· ἀλλὰ ταῦτα μὲν ὡς ἐνδεχόμενα λεκτέον, διὰ τὸ ἀσαφές. ἐπεί οἵ γε περὶ Μακεδονίαν, οὐδὲ τὴν πεύκην πελεκῶσιν, ἀλλὰ τὴν ἄρρενα. καλοῦσι γὰρ ἄρρενα, τὴν γε † καρποφόρον. τῆς δὲ θηλείας ἐνίας τινά, τῶν ῥιζῶν λαβοῦσιν. ἅπασα γὰρ ἔνδαδος πεύκη ταῖς ῥίζαις.

καλλίστη δὲ πίττα γίνεται, καὶ καθαρωτάτη, ἡ ἐκ τῶν σφόδρα προσείλων καὶ προσβόρρων· ἐκ δὲ τῶν παλισκίων, βλοσυρωτέρα καὶ βορβορώδης· ἐν γὰρ τοῖς σφόδρα παλισκίοις, οὐδὲ φύεται πεύκη τὸ παράπαν. ἔστι δὲ καὶ εὐφορία τις καὶ ἀφορία, καὶ πλήθους καὶ καλλονῆς. ὅταν μὲν γὰρ χειμὼν μέτριος γένηται, πολλὴ γίνεται καὶ καλὴ, καὶ τῷ χρώματι λευκοτέρα· ὅταν δὲ ἰσχυρός, ὀλίγη καὶ μοχθηροτέρα. καὶ ταῦτά γε δὴ τὰ ὁρίζοντα πλῆθος καὶ καλλονὴν πίττης, οὐχ ἡ πολυκαρπία τῶν πευκῶν. οἱ δὲ περὶ τὴν Ἴδην φασί, διαιροῦντες τὰς πεύκας, καὶ τὴν μὲν καλοῦντες Ἰδαίαν, τὴν δὲ παραλίαν, τὴν ἐκ τῆς Ἰδαίας πλείω καὶ μελαντέραν γίνεσθαι, καὶ γλυκυτέραν, καὶ τὸ ὅλον εὐωδεστέραν ὠμήν· ἑψηθεῖσαν δὲ ἐλάττω ἐκβαίνειν, πλείω γὰρ ἔχει τὸν ὀρόν· διὸ καὶ λεπτοτέραν εἶναι. τὴν δὲ τῆς παραλίας, ξανθοτέραν καὶ παχυτέραν ὠμήν, ὥστε καὶ τὴν ἑφθὴν ἐλάττω γίνεσθαι. διαλλάττειν δὲ τῆς Ἰδαίας. ὡς δ' ἁπλῶς εἰπεῖν, ἐκ τῆς ἴσως δαδὸς πλείω καὶ ὑδαρεστέραν, ἐν ταῖς ἐπομβρίαις γίνεσθαι ἢ ἐν τοῖς αὐχμοῖς· καὶ ἐκ χειμερινῶν καὶ παλισκίων τόπων, ἢ ἐκ τῶν εὐήλων καὶ εὐδιεινῶν. ταῦτα μὲν οὖν οὕτως ἑκάτεροι λέγουσιν. ἀναπληροῦσθαι δὲ συμβαίνει τὰ κοιλώματα, πρὸς τὸ πάλιν ἐξαιρεῖν. τῶν μὲν ἀγαθῶν πευκῶν, ἐν ἐνιαυτῷ· τῶν δὲ μετριωτέρων, ἐν δυσὶν ἔτεσι· τῶν δὲ μοχθηρῶν, ἐν τρισίν. ἡ δὲ ἀναπλήρωσις, οὐ τοῦ ξύλου καὶ τῆς συμφύσεως, ἀλλὰ τῆς πίττης ἐστίν· ἐπεὶ τὸ ξύλον ἀδύνατον συμφῦσαι, οὐδὲ γενέσθαι πάλιν. ἀλλ' ἡ ἐργασία διὰ τοσούτου χρόνου γίνεται τῆς πίττης. ἀναγκαῖον δὲ δηλονότι καὶ τοῦ ξύλου γενέσθαι τινὰ πρόσφυσιν· ἅπερ ἐξαιρουμένης τῆς δαδός, καὶ καιομένης τῆς πίττης, ἡ ἐκροή. τοῦτο μὲν οὖν οὕτω ληπτέον. οἱ δὲ περὶ τὴν Ἴδην φασίν, ὅταν λεπίσωσι τὸ στέλεχος (λεπίζουσι δὲ τὸ πρὸς ἥλιον μέρος, ὕψει δ' ὡς ἢ δύο πήχεις ἀπὸ τῆς γῆς) ἐνταῦθα τῆς συρροῆς γινομένης ἐν δ' ἔτει ἐνιαυτῷ μάλιστα. τοῦτο δ' ὅταν ἐκπελεκήσωσιν, ἐν ἑτέρῳ πάλιν ἐνδαδοῦσθαι· καὶ τὸ τρίτον ὡσαύτως. τὰ δὲ τοιαῦτα διὰ τὴν ὑποτομὴν ἐκπίπτειν δένδρα ὑπὸ τῶν πνευμάτων, κενωθέντα. δεῖν δ' ἐξαίρειν αὐτὸ τὴν καρδίαν (τοῦτο γὰρ μάλιστα δαδῶδες) ἐξαιρεῖν δὲ ἐκ τῶν ῥιζῶν· καὶ γὰρ ταύτας, ὥσπερ εἴπομεν, ἐνδάδους πάσας. αὐτὰς δὲ δηλονότι τὰς μὲν ἀγαθάς, ὥσπερ ἐλέχθη, συνεχῶς τοῦτο δρᾶν, τὰς δὲ χείρονας διὰ πλειόνος χρόνου· καὶ ταμιευομένων μέν, πλείω χρόνον ἀντέχειν· ἐὰν δὲ πᾶσαν ἐξαιρῶσιν, ἐλάττω. διαμένειν δ' ὡς ἔοικε, τρεῖς μάλιστα τοιαύτας ἐξαιρέσεις ὑπομένειν. οὐχ ἅμα δὲ καρποφοροῦσιν αἱ πεῦκαι καὶ δαδοφοροῦσι. καρποφοροῦσι μὲν γὰρ οὖσαι νέαι, δαδοφοροῦσι δὲ ὕστερον πολλῷ πρεσβύτεραι γινόμεναι.

Τὴν δὲ πίτταν καίουσι τόνδε τὸν τρόπον. ὅταν κατασκευάσωσιν ὁμαλῆ τόπον, ὥσπερ ἅλω ποιήσαντες, ἔχουσαν εἰς τὸ μέσον συρροήν, καὶ ταύτην ἐδαφίσωσι, κατασχίσαντες τοὺς κορμοὺς συντιθέασι, παραπλησίαν σύνθεσιν τῇ τῶν ἀνθρακευόντων, πλὴν οὐκ ἔμβοθρον, ἀλλὰ τὰς σχίζας ὀρθὰς πρὸς ἀλλήλας, ὥστε

λοῦ χώραν ἀγαθήν. ἴδιον δὲ αὐτοῦ λέγεται πρὸς τὰ ἄλλα τὰ σιτώδη σπέρματα, καὶ ἡ παρ' ἐνίων τὴν βλάστησιν ἑκατέρων τῶν σπερμάτων. διὸ καὶ οἱ βουλόμενοι τελέως φθεῖραι (δύσφθαρτον γὰρ δὴ φύσει τυγχάνει) τὰς ἀρούρας αὐλίασιν ἀσπόρους ἤδη δύο ἔτη. καὶ ὅταν αὖ ἐκβλαστήσῃ, τὰ πρόβατα ἀφιᾶσι πολλάκις, ἕως ἂν ἐκνεμηθῶσι. καὶ αὕτη γίνεται φθορὰ παντελής, ἅμα δὲ τοῦτο μαρτυρεῖ καὶ τὴν παρὰ μέρος βλάστησιν.

ΘΕΟΦΡΑΣΤΟΥ ΠΕΡΙ ΦΥΤΩΝ
ΙΣΤΟΡΙΑΣ ΤΟ Ι.

ΗΥΓΡΟΤΗΣ ἡ οἰκεία τῶν φυτῶν, ἣν δὴ καλοῦσί τινες ὀπὸν ὀνόματι κοινῷ προσαγορεύοντες, δύναμιν δὲ ἔχει δηλονότι τῇ καθ' αὑτὴν ἑκάστη. χυμὸς δὲ ταῖς μὲν μᾶλλον, ταῖς δ' ἧττον ἀκολουθεῖ· ταῖς δ' ὅλως οὐκ ἂν δόξειεν. οὕτως ἀδρανὴς καὶ ὑδαρής † τίς ἐστι. πλείστη μὲν οὖν ὑπάρχει πᾶσι περὶ τὴν βλάστησιν· ἰσχυροτάτη δὲ μάλιστα, ἐκφαίνεται τῇ ἑαυτῶν φύσει, ὅταν ἤδη παύσηται καὶ βλαστάνοντα καὶ καρπογονοῦντα. συμβαίνει δὲ ἐνίοις τῶν φυτῶν, καὶ χρόας ἰδίας ἔχειν· τοῖς μὲν λευκάς, οἷον τοῖς ὀπώδεσι· τοῖς δ' αἱματώδεις, οἷον τῇ κολυτερέᾳ, καὶ τῇ ἀβρακτυλίδι καλουμένῃ ἀκάνθῃ· τοῖς δὲ χλωρόν, τοῖς δ' ἐν ἄλλαις χρόαις. ἔνδηλα δὲ μᾶλλον ταῦτα τοῖς ἐπετείοις, καὶ ἐν τοῖς ἐπετειοκαύλοις, ἢ τοῖς δενδρώδεσι. ἡ δ' ὑγρότης, τῶν μὲν πάχος ἔχει μόνον, ὥσπερ τῶν ὀπωδῶν· τῶν δὲ καὶ δακρυώδης γίνεται, καθάπερ ἐλάτης, πεύκης, τερμίνθου, πίτυος, ἀμυγδαλῆς, κεράσου, πρίνης, ἀρκεύθου, κέδρου, πτελέας, τῆς ἀκάνθης τῆς αἰγυπτίας. καὶ γὰρ αὕτη φέρει κόμμι, πλὴν οὐκ ἐκ τοῦ φλοιοῦ, ἀλλ' ἐν τῷ ἀγγείῳ. ἔτι δὲ ἀφ' ὧν ὁ λίβανος, καὶ ἡ σμύρνα· δάκρυα γὰρ καὶ ταῦτα. καὶ τὸ βάλσαμον, καὶ χαλβάνη, καὶ ἄτι τοιοῦτον ἕτερον, οἷον φασὶ τὴν ἄκανθαν τὴν ἰνδικήν, ἀφ' ἧς γίνεται τὸ ὅμοιον τῇ σμύρνῃ. συνίσταται δὲ καὶ ἤδη τῆς χίνου, καὶ ἤδη τῆς ἀκάνθης τῆς ἰξίνης καλουμένης, ἐξ ὧν ἡ μαστίχη. ἅπαντα δὲ ταῦτα εὔοσμα, καὶ σχεδὸν ὅσα πιότητα τινὰ ἔχει, καὶ λίπος· ὅσα δὲ ἀλιπῆ, ταῦτα δ' ἄοσμα, καθάπερ τὸ κόμμι, καὶ τὸ τῆς ἀμυγδαλῆς. ἔχει δὲ δάκρυον καὶ ἡ ἰξία, ἡ ἐν κρήτῃ, καὶ ἡ ῥαγδάκανθα καλουμένη. ταύτην δὲ πρότερον ᾤοντο μόνον ἐν κρήτῃ φύεσθαι· νῦν δὲ φανερὰ καὶ ἐν ἀχαΐδι τῆς πελοποννήσου, καὶ ἄλλοθι, καὶ τῆς ἀσίας περὶ μόλδαν. καὶ τούτων μὲν πάντων ἐν τε τοῖς καυλοῖς καὶ τοῖς στελέχεσι καὶ τοῖς ἀκρέμοσι τὸ δάκρυον. ἐνίων δ' ἐν ταῖς ῥίζαις, ὥσπερ τοῦ ἱπποσελίνου, καὶ τῆς σκαμμωνίας, καὶ τῶν ἄλλων πολλῶν φαρμακωδῶν. τῶν δὲ καὶ ἐν τῷ καυλῷ καὶ ἐν τῇ ῥίζῃ. καὶ γὰρ τὸν καυλὸν ὀπίζουσι, καὶ ἐνίων τὰς ῥίζας, ὥσπερ καὶ τοῦ σιλφίου. τὸ μὲν οὖν τοῦ ἱπποσελίνου, παρόμοιον τῇ σμύρνῃ. καί τινες ἀκούσαντες ὡς ἐν τῷ δένδρῳ ἡ σμύρνη, ἡγοῦνται βλαστάνειν ἐν αὐτοῖς ἱπποσέλινον. φυτεύονται γάρ, ὥσπερ ἐλέχθη, καὶ ἀεὶ δακρύει τὸ ἱπποσέλινον, ἢ καθάπερ ἡ σκαμμωνία, καὶ ἄλλα. τὸ δὲ τοῦ σιλφίου δριμύ, καθάπερ αὐτὸ τὸ σίλφιον. ὁ γὰρ ὀπὸς καλούμενος τοῦ σιλφίου, δάκρυόν ἐστιν. ἡ δὲ σκαμμωνία, καὶ εἴ τι ἄλλο τοιοῦτον, ὥσπερ ἐλέχθη, φαρμακώδεις ἔχει τὰς δυνάμεις. πάντων δὲ τῶν εἰρημένων, τὰ μὲν αὐτομάτως συνίσταται, τὰ δὲ ἀπ' ἀνατομῆς, τὰ δ' ἀμφοτέρωθεν. τέμνουσι δὲ δηλονότι τὰ χρήσιμα, καὶ τὰ μᾶλλον. ἐπεὶ γοῦν τὸ γε τῆς ἀμυγδαλῆς, οὐδεμία χρεία δακρύου· διὸ καὶ ἀφέλκουσι. πλὴν ἐκεῖνό γε φανερόν, οἷς ὧν αὐτόματος ἡ πῆξις, τούτων πλείων ἡ ἐπιρροὴ τῆς ὑγρότητος. οὐ τὴν αὐτὴν δ' ὥραν ἁπάντων αἱ ἐντομαί, καὶ ἡ πῆξις. ἀλλὰ τὸ μὲν τῆς ἀμπέλου μάλιστα συνίστασθαί φασιν, ἐὰν μικρὸν πρὸ τῆς βλαστήσεως τμηθῇ. τὸ δὲ μετοπώρου, καὶ ἀρχομένου τοῦ χειμῶνος, ἧττον. καί τοι πρός γε καρποτοκίαν καὶ ὡραιότητα, ταῖς δὲ πλείσταις αὐτοῦ. Τῆς δὲ τερμίνθου καὶ τῆς πεύκης, καὶ † ἡ εἰ τινων ἄλλων ῥητίνη γίνεται, μετὰ τὴν βλάστησιν. τὸ δ' ὅλον, οὐκ ἐπέτειος ἡ τούτων, ἀλλ' ὡς πλείω χρόνον ἡ ἐντομή. τὸν δὲ λιβανωτόν, καὶ τὴν σμύρναν, ὑπὸ κύνα φασί, καὶ ταῖς θερμοτάταις ἡμέραις ἐντέμνειν. ὡσαύτως δὲ καὶ τὸ ἐν συρίᾳ βάλσαμον. ἀκριβεστέρα δὲ καὶ ἐλάττων καὶ ἡ τούτων ἐντομή· καὶ γὰρ ἡ συρροὴ τῆς ὑγρότητος ἐλάττων. ὧν δὲ καὶ ὁ καυλὸς ἐκτέμνεται, καὶ ἡ ῥίζα, τούτων ὁ καυλὸς πρότερον, ὥσπερ καὶ τοῦ σιλφίου. καλοῦσι δὲ τῶν ὀπῶν τούτων, τὸν μὲν καυλίαν, τὸν δὲ ῥιζίαν. καὶ ἐστι βελτίων ὁ ῥιζίας· καθαρὸς γάρ, καὶ διαφανής, καὶ ξηρότερος. ὁ δὲ καυλίας ὑγρότερος,

περ ἐν τοῖς λελευκωμένοις. σκώληκες δὲ γίνονται καὶ ἐν τοῖς ὀσπρίοις, καὶ ἐν τοῖς λαθύροις, καὶ τοῖς πίσοις, ὅταν ὑγρανθῶσι καὶ θερμημερίαι γίνωνται, καθάπερ ἐν τοῖς ἐρεβίνθοις αἱ κάμπαι. τὰ δὲ ἐξαναλώσαντα τὰς τροφὰς ἀπόλλυνται, καὶ ἐν τοῖς χλωροῖς, καὶ ἐν τοῖς καρποῖς οἷον σῦκα ἴπες, καὶ οἱ ἐν τοῖς κυάμοις ἐγγινόμενοι, καὶ ἐν τοῖς ἄλλοις· ὥσπερ καὶ ἐν τοῖς δένδρεσι καὶ ἐν τοῖς ξύλοις ἐλέχθη· πλὴν τῶν κεράσων καλουμένων. πρὸς ἅπαντα δὲ ταῦτα μεγάλως διαφέρουσιν αἱ χῶραι, οὐκ ἀλόγως. ὁ γὰρ ἀὴρ εὐθὺς διάφορος τῷ θερμὸς ἢ ψυχρὸς εἶναι, ἢ ὑγρὸς ἢ ξηρός. οὗτος δὲ κύριος ὅλων. διὸ καὶ ἐν αἷς ἐνίοτε γίνεσθαι, οὐκ ἀεὶ γίνονται. τῶν δὲ σπερμάτων οὐχ ἡ αὐτὴ δύναμις ἐστὶν, οὔτε τὴν βλάστησιν, καὶ εἰς θησαυρισμόν. ἔνια μὲν γὰρ βλαστάνει καὶ τελειοῦται τάχιστα, καὶ θησαυρίζεται κράτιστα· καθάπερ ἔλυμος, καὶ κέγχρος. ἔνια δὲ βλαστάνει μὲν, οὐ ταχέως δέ. καθάπερ ὁ κύαμος, καὶ μᾶλλον ὁ τρέμιθος. ταχὺ δ' ἡ ἀφάκη, καὶ ὁ δόλιχος. κρείττων δὲ πυρὸς θᾶττον δὲ καὶ ὁ κονιορτώδης† καὶ ὁ κονιορτός. καὶ ὁ ἐν τοῖς κονιορτοῖς ἐν ἅπασιν, οἷον κονιάταις ἢ ἀκονιάταις ✶ γίνεται διαφθειρομένοις ἴδια ζῷα, καθάπερ ἐλέχθη, πλὴν ἐρεβίνθου· μόνος γὰρ οὗτος οὐ ζῳογονεῖ. καὶ συνεχόμενος μὲν ὡς ὁ σκώληξ. κοπτομένοις δὲ, καθάπερ ἴδιον. πάντων δὲ μάλιστα διαμένουσιν ἐρέβινθος καὶ ὄροβος. τούτων δὲ ἔτι μᾶλλον ὁ θέρμος· ἀλλ' ἔοικεν οὗτος ὥσπερ ἄγριον. διαφέρει δέ, ὡς εἴρηται, χώρα χώρας, καὶ ἀὴρ ἀέρος, εἰς τὸ κόπτεσθαι, καὶ μή, τὰ σπέρματα. ἐν Ἀπολλωνίᾳ γοῦν τῇ περὶ τὸν Ἰόνιον, οὐκ ἐσθίεσθαί φασιν ὅλως κύαμον. διὸ καὶ εἰς θησαυρισμὸν ἀποτίθεσθαι. ἀποκεῖται δὲ καὶ περὶ Κύζικον ἔτη πλείω. μέγα δὲ πρὸς διαμονὴν, καὶ τὸ ξηρὰ θερίζειν· ἐλαττῶν γὰρ ἡ ὑγρότης. θερίζουσι δ' εὐχυλότερα τὰ μὲν χεδροπὰ, πρὸς τὸ μᾶλλον καὶ ξηρὸν συμβαίνει· ταχὺ γὰρ καταρρεῖ, καὶ αὐανθέντα θρύπτεται. † τὰς δὲ κριθὰς, καὶ γένος τὴν κριθὴν,

ἢ ὁ ἀκονιορτός

σὺ δὲ πυρὸς

διὰ τὸ βέλτιον εἰς τὰ ἄλφιτα γίνεσθαι, μὴ ἀπεξηραμμένας. διὸ καὶ εἰς θημοὺς συντιθέασι καὶ πυροὺς καὶ κριθὰς, καὶ δοκοῦσιν ἀδρύνεσθαι ἐν θημῷ μᾶλλον ἡλίκως στερεῶν οὐκ ἐσθίονται δὲ σῖτος· ὁ ταννυθεὶς περιφυεῖ· ἀέριος δὲ μάλιστα διαμένει ὁ πυρός· ἔτι δὲ μᾶλλον ὁ θερμὸς θέρμος, οἱ δὲ γὰρ θερίζουσι τοῦτον τὸν τρόπον ✶ ὅλως γίνεσθαι, διὰ τὸ ἐκ πολλῶν διεζευγμένον, καὶ ἀπόλλυσθαι τὸ σπέρμα.

11 Πρὸς ἔκφυσιν δὲ, καὶ τὴν ἄλλην σωτηρίαν, ἄριστα δοκεῖ τὰ ἐνιαύσια· τὰ δὲ δίετα, χείρω· καὶ τὰ τρίετα. τὰ δ' ὑπερτείνοντα, σχεδὸν ἄγονα, πρὸς δὲ τὴν σίτησιν ἀρκοῦντα. βίος γὰρ ἐστιν ἑκάστοις ὡρισμένος εἰς γονὴν, καί τοι καὶ ταῦτα παραλλάττει ταῖς δυνάμεσι, διὰ τοὺς τόπους, ἐν οἷς ἂν θησαυρίζωνται. τῆς γοῦν Καππαδοκίας ἐν χωρίῳ τινὶ τῶν καλουμένων Πέτρας, καὶ τετταράκοντα ἔτη διαμένειν φασὶ, γόνιμα δὲ καὶ χρήσιμα πρὸς σπόρον, εἰς ἑξήκοντα ἢ ἑβδομήκοντα. τὸ γὰρ ὅλον οὐ κόπτεσθαι τὰ δὲ ἱμάτια, καὶ τὴν ἄλλην γάζαν κόπτεσθαι. τὸ γὰρ χωρίον ἄλλως τε ὑψηλὸν εἶναι, καὶ εὔπνουν, καὶ ἔναυρον ἀεὶ, καὶ ἐπὶ ἀνατολὰς ἔχειν καὶ δύσεως καὶ μεσημβρίας. φασὶ δὲ καὶ ἐν Μηδίᾳ, καὶ ταῖς ἄλλαις ὑψηλαῖς χώραις, διαμένειν θησαυριζόμενα πολὺν χρόνον. ἐρέβινθον δὲ, καὶ θέρμον, καὶ ὄροβον, καὶ κέγχρον, καὶ τὰ τοιαῦτα, δηλονότι πολλῷ πλείω τούτων· ὥσπερ καὶ ἐν τοῖς περὶ τὴν Ἑλλάδα τόποις. ἀλλὰ ταῦτα μὲν, ὥσπερ εἴρηται, τῶν σπερμάτων ἴδια. δοκεῖ δὲ καὶ γῆ τις εἶναι πρὸς φύλαξιν, ἣ διαπλαττομένη συντηρεῖ τὸν πυρὸν, ὥσπερ ἥ τε ἐν Ὀλύνθῳ καὶ ἐν Κηρίνθῳ τῆς Εὐβοίας. ποιεῖ δὲ χείρω μὲν εἰς τὴν σίτησιν, ἀδρότερον δὲ τῇ προσόψει. παρατάττουσι δὲ χοίνικα εἰς τὸν μέδιμνον. πυρωθέντα δὲ πάντα τὰ σπέρματα ἀπόλλυνται, καὶ ἀβλαστῆ γίνεται. καί τοι περί γε Βαβυλῶνά φασι, τὰς κριθὰς καὶ τοὺς πυροὺς ἐπὶ τῆς ἅλω πυροῦν, ὥσπερ τὰ φρυγόμενα. ἀλλὰ δῆλον, ὅτι διαφορά τις ἐστὶ τῆς θερμότητος, ἢ ἁπλῶς ὧδε θερμασία γίνεται, καὶ ἡ πύρωσις. καὶ τὰ μὲν τοιαῦτα σχεδὸν ὥσπερ ἀκόλουθος δόξαιεν ἂν εἶναι πάντων, ἢ τῶν πλείστων. ἔνια δὲ ἔχει τινὰ ἰδιότητα, ἢ τῶν δοκούντων ὥσπερ ἀγρίων εἶναι κατὰ τὴν γένεσιν καὶ ἔκφυσιν, ὥσπερ ὁ θέρμος, καὶ ὁ αἰγίλωψ. ὁ μὲν γὰρ θέρμος, καίπερ ἰσχυρότατος ὢν, ὅμως ἐὰν μὴ εὐθὺς ἅλω καταβληθῇ, κακοφυὴς γίνεται, καθάπερ ἐλέχθη. καὶ τὸ ὅλον δὲ οὐκ ἐθέλει κρύπτεσθαι τῇ γῇ. διὸ καὶ οὐχ ὑποσπείροντες σπείρουσι πολλάκις δὲ, κἂν εἰς ὕλην ἢ βοτάνην ἐπιπέσῃ, διωσάμενος ταύτην, συνάπτει τὴν ῥίζαν τῇ γῇ, καὶ βλαστάνει. χώραν δὲ ὕφαμμον ζητεῖ, καὶ φαύλην μᾶλλον. τὸ δὲ ὅλον, οὐκ ἐθέλει φύεσθαι τῇ διειργασμένῃ. ὁ δὲ αἰγίλωψ ἀνάπαλιν· ἐν γὰρ τῇ γεωργουμένῃ κάλλιον. καὶ ἐν ὀλιγαχοῦ δὲ, πρότερον ἀβλαστὴς ὢν, ἐὰν γεωργηθῇ, βλαστάνει, καὶ γίνεται πολύς. καὶ ὅλως δὲ ἐν ἄλλαις χώραις

λαῖ χώραν

αἴρα, τὸ αἱμόδωρον, μονόκαυλον, οὐκ ἀπεμφερὲς τοῦ καυλοῦ, πλὴν βραχύτερόν τε πολύ, καὶ ἄνωθέν τι κεφαλῶδες ἔχει, ῥίζαν δὲ ὑποστρόγγυλον. ὅλον δ' ἕτερον ἀφανίζεται πρὸς τὸ βύκιρας. γίνεται δὲ ταῦτα ἐν ταῖς λεπταῖς, οὐκ ἐν ταῖς πιείραις· ὥσπερ καὶ τῆς Εὐβοίας ἐν τῷ Ληλάντῳ μὲν οὐ γίνεται· περὶ δὲ τὸ Κήρινθον, καὶ εἴ τις ἄλλος τοιοῦτος τόπος. ταῦτα μὲν οὖν κοινὰ πλειόνων ὄντα, κατατυγχάνει μᾶλλον ἐν τοῖς εἰρημένοις διὰ τὴν ἀσθένειαν. Τὸ δὲ τεράμον καὶ ἀτεράμον, λέγεται μὲν ἐπὶ τῶν ὀσπρίων μόνον. οὐκ ἄλογον δὲ καὶ ἐπὶ τῶν σιτωδῶν παραπλήσιον, ἢ καὶ τοιοῦτό τι συμβαίνειν· ἀλλὰ διὰ τὸ μὴ τῇ αὐτῇ τῶν χρείαν, οὐχ ὁμοίως ἐμφανές. ἐπεὶ οὐδ' ἐπὶ τῶν ὀσπρίων ὁμοίως, ἀλλὰ μάλιστα ἐπὶ τοῦ κυάμου λέγεται καὶ φακοῦ. ἅτ' οὖν καὶ μάλιστα παχέων, ἅτε καὶ διὰ τῆς χρείας φανερωτέρων. γίνεται γοῦν πλεῖον. πολλαχοῦ γὰρ τόποι τινές εἰσιν, οἱ μὲν φέρουσι τεράμονα, καὶ ἄλλοι πάλιν ἀτεράμονα. τὸ δὲ ὡς ἐπίπαν, οἱ λεπτόγεω μᾶλλον τεράμονα, καὶ ἀὴρ κατάστασίς τις ποιεῖ τὴν τοιαύτην παραλλαγήν. σημεῖον δὲ, ὅτι ταῦτα τὰ χωρία, καὶ ὁμοίως ἐργασθέντα, φέρει ποτὲ μὲν τεράμονα. περὶ Φιλίππους δὲ ὁ κύαμος λεγόμενος, ἐὰν ὑπὸ ποδήματος ἐγχωρίου ληφθῇ, τεράμων ὤν, ἀτεράμων γίνεται. ταῦτα μὲν οὖν μικρά, διὸ πολλαχοῦ τῶν δὲ τῶν χωρίων ἔνια συνεργεῖ, καὶ ὁμοίως κατειργασμένα, καὶ οὐδεμίαν ἔχοντα περὶ τὴν γῆν διαφοράν, τὰ μὲν τεράμονα, τὰ δ' ἀτεράμονα φέρει· καὶ φύσει μόνον αὔλακος διοριζούσης. καρπίζεται τὴν γῆν μάλιστα πυρός, εἶτα κριθή· διὸ καὶ ὁ μὲν ἀσθενῆ ζητεῖ χώραν, ἡ δὲ κριθὴ δύναται ἐν ταῖς ψαφαρωτέραις ἐκφέρειν. τῶν δὲ χεδροπῶν μάλιστα ἐρέβινθος, καίπερ ἐλάχιστον χρόνον ἐν τῇ γῇ μένων. ὁ δὲ κύαμος, ὥσπερ ἐλέχθη, καὶ ἄλλως οὐ βαρύ, καὶ ἔτι κοπρίζειν δοκεῖ τὴν γῆν, διὰ μανότητα καὶ εὐδιαψίαν. διὸ καὶ οἱ περὶ Μακεδονίαν καὶ Θετταλίαν, ὅταν ἀνθῶσιν, ἀναστρέφουσι τὰς ἀρούρας. τῶν δὲ ὁμοιοπύρων καὶ ὁμοιοκρίθων, οἷον ζειᾶς, τίφης, ὀλύρας, βρόμου, αἰγίλωπος, ἰσχυρότερον καὶ μάλιστα καρπίζεσθαι ἡ ζειά. καὶ γὰρ πολύρριζον, καὶ βαθύρριζον, καὶ πολυκάλαμον· ὁ δὲ καρπὸς κουφότερος, καὶ προσφιλὴς πᾶσι τοῖς ζώοις. τῶν δὲ ἄλλων ὁ βρόμος πολύρριζος· καὶ γὰρ οὗτος πολυκάλαμος. ἡ δὲ ὀλύρα, μαλακώτερον καὶ ἀσθενέστερον τούτων. ἡ δὲ τίφη, πάντων κουφότατον· καὶ γὰρ καὶ μονοκάλαμον. διὸ καὶ χώραν ζητεῖ λεπτήν, οὐχ ὥσπερ ἡ ζειὰ πίειραν καὶ ἀγαθήν. ἔστι δὲ δύο ταῦτα καὶ ὁμοιότατα τοῖς πυροῖς, ὅτ' αἰγίλωψ καὶ ὁ βρόμος· ὥσπερ ἄγρια ἄττα καὶ ἀνήμερα. ἐκκαρπίζει δὲ σφόδρα καὶ ὁ αἰγίλωψ τὴν γῆν, καὶ ἔστι πολύρριζον καὶ πολυκάλαμον. ἡ δὲ αἶρα παντελῶς ἀπηγριωμένη. τῶν δὲ ἐν τοῖς θερινοῖς ἀρότοις, τὸ σήσαμον δοκεῖ χαλεπώτατον εἶναι τῇ γῇ, καὶ μάλιστα καρπίζεσθαι, καὶ πολυκαλαμώτερον, καὶ παχυκαλαμώτερον, καὶ πολυρριζότερον εἶναι χρέα. διαφέρει δὲ πάντα πρὸς τὴν γῆν κουφότερα, καὶ πρὸς τὴν ἡμετέραν τροφήν. ἔνια γὰρ ἐναντίως, ὥσπερ τὰ χεδροπά, καὶ οἱ κέγχροι· καὶ τὰ πρὸς ἡμᾶς δὲ, ὥσπερ ἐλέχθη, τι, καὶ τὰ ἄλλα ζῷα. Τῶν δὲ σπερμάτων, τὰ μὲν κοινὰ πάντων ἐστίν, οἷον ἐρυσίβη· τὰ δὲ ἴδια τινῶν, οἷον ὁ σφακελισμὸς τοῦ ἐρεβίνθου, καὶ τὸ ὑπὸ καμπῶν κατεσθίεσθαι καὶ ὑπὸ ψύλλων θηρίων. ἔνια δὲ καὶ ψώρας καὶ ἄλμας, καθάπερ τὸ κύμινον. τὰ δὲ ἐπιγινόμενα ζῷα, ἐὰν μὴ ἐξ αὐτῶν, ἀλλ' ἐκ τῶν ἔξωθεν, οὐχ ὁμοίως βλάπτει. ἐπιγίνεται γὰρ ἡ μὲν † κανθαρὶς ἐν τοῖς πυροῖς, τὸ δὲ φαλάγγιον ἐν ὀρόβοις, ἄλλα δ' ἐν ἄλλοις. ἐρυσίβαι δὲ ὡς ἁπλῶς εἰπεῖν, εἰς τὰ σιτώδη μᾶλλον τῶν ὀσπρίων. αὐτῶν δὲ τούτων ἡ κριθὴ μᾶλλον, ἢ πυρός. καὶ τῶν κριθῶν ἑτέρα ἑτέρων. μάλιστα δὲ ὡς εἰπεῖν, ἡ ἀχιλληΐς. διαφέρει δὲ καὶ ἡ τῶν χωρίων θέσις, καὶ ἡ φύσις. οὐ μικρὸν γὰρ προσήνεμα καὶ μετέωρα, οὐκ ἐρυσιβοῦται, ἢ ἧττον· ἀλλὰ τὰ ἔγκοιλα, καὶ ἄπνοα. γίνεται δὲ ἡ ἐρυσίβη, πανσελήνοις μάλιστα. ἀπόλλυται δὲ καὶ ὑπὸ τῶν πνευμάτων, καὶ πυρὸς καὶ κριθή, ὅταν ἢ ἀνθοῦντα ληφθῇ, ἢ ἄρτι ἀπηνθηκότα καὶ ἀσθενῆ· μᾶλλον † καὶ κριθή. πολλάκις δ' ἤδη ἐν τῷ ἁδρύνεσθαι * *, ἐὰν μεγάλα καὶ πλείω χρόνον ἐπιγίνηται. ξηραίνει γάρ, καὶ ἀφανίζει, ὃ καλοῦσί τινες ἐξανεμοῦσθαι. διαπόλλυσι δὲ καὶ ἥλιος ὁ ἐπίφιλος ἄμφω, καὶ μᾶλλον πυρὸν ἢ κριθήν, ὥστε μάλιστ' ἐπίδηλον ἐπὶ τὸν στάχυν τῶν ὄψει, ὄντα κενόν. τὸν δὲ πυρὸν ἐκβλύνουσι καὶ οἱ σκώληκες, οἱ μὲν εὐθὺς κατεσθίοντες φυόμενον, τὰς ῥίζας· οἱ δὲ, ὅταν αὐχμῶντες ἐκλυθῆναι μὴ δύνωνται. τότε γὰρ ἐγγινόμενος ὁ σκώληξ, ἐσθίει τὸν ἐκπνιγόμενον κάλαμον· ἐσθίει δὲ ἄχρι τοῦ στάχυος, εἶτ' ἐξαναλώσας ἀπόλλυται. καὶ ἐὰν μὲν ὅλον ἐκφάγῃ, τελέως αὐτὸς ὁ πυρός· ἐὰν δὲ ἐπὶ θάτερα τὸ καλάμου, καὶ ἐκβιάζεται τὴν ἀπόχυσιν, τότε μὲν οὖν τὸ στάχυος, θάτερον δὲ ὑγιές. γίνεται δὲ οὐ πανταχοῦ τὸ τοιοῦτο τῶν πυρῶν, οἷον ἐν Θετταλίᾳ· ἀλλὰ περὶ χώρας τινάς, ὥσπερ ἐν τῇ Λιβύῃ, καὶ τῆς Εὐβοίας ὥσ-

σι μὲν δίς, τὸ δὲ τρίτον τὰ πρόβατα ἐπαυλίζωσιν. οὕτω γὰρ φύει τὸν καυλόν· εἰ δὲ μή, φυλλομανεῖ. γίνεται δὲ μὴ καλῶς ἐργασαμένοις, πεντηκοντάχοα· τοῖς δὲ ἐπιμελῶς, ἑκατοντάχοα. ἡ δὲ ἐργασία, τὸ ὡς πλεῖστον χρόνον ἐμμένειν τὸ ὕδωρ, ὅπως ὕλην ποιήσῃ πολλήν. πίειραν γὰρ οὖσαν καὶ πυκνὴν τὴν γῆν, δεῖ ποιῆσαι μανήν. ὕλην δὲ οὐ φέρει καὶ πίων, ὥσπερ ἐν Αἰγύπτῳ. τὰ μὲν οὖν τοιαῦτα χώρας ἀρετῆς. φύεται δὲ καὶ ἀπὸ τῶν ῥιζῶν πυρός, καὶ κριθή, πολλαχοῦ τῷ ὑστέρῳ ἔτει. αὐτοετὴς δὲ καὶ ἀπὸ τῶν εἰς κρᾶσιν κειρομένων, ἐστὶν καλάμη παραβλαστάνοντος. ὡσαύτως δὲ κἂν ὑπὸ χειμῶνος ἐκ παγῇ· παραβλαστάνει γάρ, ὑδάτων ἐπιγινομένων. ὁ δὲ στάχυς εὐτελὴς καὶ μικρὸς ἀπὸ τῶν τοιούτων. βλαστάνουσι δὲ περὶ ὑστέρῳ ἔτει καὶ ἀπὸ τῶν κατεπατημένων, καὶ συμπατημένων, ὥστε μηδὲν εἶναι δῆλον, ὡς ἐπ᾽ ἄν· οἷον ὅταν διέλθῃ στρατόπεδον, καὶ οἱ στάχυες μικροί, καὶ τούτους οὐ καλοῦσιν ἄρνας. τὸ δὲ χιλοσπᾶν οὐδὲν δύναται ποιεῖν τὸ ποιεῖν, ἢ οὐχ ὁμοίως, ὡς αἱ βλαστήσεις τοσαυταχῶς.

8 Πρὸς αὔξησιν δέ, καὶ τροφὴν μέγιστα μὲν ἡ τοῦ ἀέρος κρᾶσις συμβάλλεται· καὶ ὅλως, ἡ τοῦ ἔτους κατάστασις. εὐκαίρων γὰρ ὑδάτων, καὶ εὐδίων, καὶ χειμώνων γινομένων, ἅπαντα εὔφορα καὶ πολύκαρπα, κἂν ἐν ἁλμώδεσι καὶ λεπτογείοις ᾖ. διὸ καὶ παροιμιαζόμενοι λέγουσιν, οὐ κακῶς, ὅτι ἔτος φέρει, οὐχὶ ἄρουρα. μέγα κ. δὲ καὶ αἱ χῶραι διαφέρουσιν. οὐ μόνον τῷ πίειραι καὶ λεπταὶ καὶ ἔπομβροι καὶ αὐχμώδεις, ἀλλὰ καὶ τῷ ἀέρι τῷ περιέχοντι, καὶ τοῖς πνεύμασιν. ἔνιαι γὰρ οὖσαι λεπταὶ καὶ φαῦλαι, τελεσφοροῦσι, διὰ τὸ πρὸς τὰ πνεύματα τὰ πόντια κεῖσθαι καλῶς. ἄλλαι δὲ ἄλλοις εὐθετοῦντα, καθάπερ πολλάκις εἴρηται. ταῖς μὲν γὰρ τὰ ζεφυρινά, ταῖς δὲ τὰ βόρεια, ταῖς δὲ τὰ νότια. συμβάλλεται δὲ καὶ οὐ μικρὰ ἡ ἐργασία, καὶ μάλισθ᾽ ἡ τοῦ σπόρου. κατεργασθεῖσα γάρ, ῥᾳδίως ἐκφέρει. καὶ ἡ κόπρος δὲ μεγάλα βοηθεῖ, τῷ διαθερμαίνειν καὶ συμπέττειν. περιέχει γὰρ τὰ κοπριζόμενα τῶν ἀκόπρων καὶ εἴκοσιν ἡμέρας, ἅπασι δὲ οὐ συμφέρει. καὶ χρήσιμος οὐ μόνον τοῖς περὶ τὸν σῖτον, ἀλλὰ καὶ τοῖς ἄλλοις, πλὴν πηγείᾳ· ταύτην δὲ φθείρειν φασὶν ἐπιβαλλομένην. ἀπόλλυσι δὲ καὶ ἡ πορίς, ἐπικοιμωμένων τῶν προβάτων. ὡς δέ τινες λέγουσι, καὶ ἡ μηδική, διὰ τὴν κόπρον, καὶ τὸ οὖρον. τῶν δὲ σπερμάτων ἕκαστα καὶ πρὸς τὴν τῆς ὥρας φύσιν ἁρμόττει, καὶ ὅλως γένη πρὸς γένος, καὶ ἐν αὐτοῖς τοῖς ὁμογενέσιν, αὖ διὰ περὶ ταῦτα διαιρεῖν. μεταβάλλει δὲ τὰ ξενικὰ τῶν σπερμάτων, μάλιστα μὲν ἐν τρισὶν ἔτεσιν, εἰς τὰ ἐπιχώρια· συμφέρει δ᾽ ἐκ τῶν ἀλεεινῶν εἰς τὰ μακρὸν ἧττον ἀλεεινά, καὶ ἐκ τῶν ψυχρῶν ἀνάλογον ποιεῖσθαι τὴν μεταβολήν. τὰ δ᾽ ἐκ τῶν δυσχειμερινῶν, ἐν τοῖς πρωΐοις ἐστὶν ἀπόκειται· ὥστ᾽ ἂν αὐχμὸς φθείρεσθαι, ἐὰν μὴ ὄψιον ὕδωρ σχῶσι. διὰ τοῦτο καὶ εὐλαβητέον φασί, τὸ μίσγειν τὰ ξενικὰ τοῖς ἐπιχωρίοις, ἐὰν μὴ ᾖ ὁμοίως. ἔστι ἀσύμφωνα τῇ ὥρᾳ περὶ τὸν σπόρον, καὶ περὶ τὴν γένεσιν, ὥστε καὶ ἐργασίας ἑτέρας δεῖται. ταῦτα τῆς γῆς διαφοράς, καὶ τὰς τῶν σπερμάτων δυνάμεις, καὶ ἔτι τὰς ἑκάστων ὥρας. ὅταν δὲ εὐετηρία γένηται, καὶ πολυχοώτερα τὰ σπέρματα γίνεται. ἀβλίνουσι δ᾽ οὖν αἱ κριθαὶ τὰ πλεῖστα ποιοῦσι τὰ ἄλφιτα (κριθοφόρος γὰρ ἀρίστη) τοῦτο δὲ οὐχ ὅταν πλεῖσται γένωνται, ἀλλ᾽ ὅταν λάβωσι τὴν κρᾶσιν. ἐν δὲ τῇ Φωκίδι περὶ Ἐλάτειαν, οἱ πυροὶ καὶ αἱ κριθαί. καὶ παρ᾽ ἄλλοις ἄλλα, πρὸς ἅπερ εὐφυὴς ἑκάστη. βελτίω μὲν οὖν καὶ χείρω τὰ σπέρματα, καὶ διὰ τὴν ἐργασίαν, καὶ διὰ τὴν γῆν γίνεται. καὶ γὰρ ἀπαγριοῦται, καὶ ἡμεροῦται, καθάπερ τὰ δένδρα, καὶ ὅλως μεταβάλλει τὴν χώραν, ὥσπερ περὶ τὸ δένδρον εὐθὺς ἔοικε πρὸς τὸ χεῖρον. γένος δ᾽ ὅλον ἐξαλλάττειν εἰς ἕτερον, οὐδὲν ἕτερον ἄλλο πέφυκε, πλὴν τίφη καὶ ζειά, καθάπερ εἴπομεν ἐν τοῖς πρώτοις λόγοις. καὶ ἡ αἶρα δ᾽ ἐκ τοῦ πυροῦ καὶ κριθῶν διαφθειρομένων. ἢ εἰ μὴ τοῦτο, ἀλλὰ φιλεῖ γε μάλιστα ἐν τοῖς πυροῖς γίνεσθαι, καθάπερ καὶ ὁ μελάμπυρος ὁ Ποντικός, καὶ τὸ τῶν βολβῶν σπέρμα, καὶ ἄλλα δὲ ἐν ἄλλοις τῶν σπερμάτων, ἐπεὶ καὶ ὁ αἰγίλωψ δοκεῖ μᾶλλον ἐν ταῖς κριθαῖς. ἐν δὲ τοῖς † ἀφάκοις ἄφακος, τὸ βραχὺ καὶ σκληρόν. ἐν δὲ ταῖς ἀφάκαις ὁ πελεκῖνος, ὅμοιον τῇ ὄψει τῷ πελέκει. ἴδιον δὲ καθ᾽ ἕκαστόν ἐστι, τὸ συναποτρεφόμενον καὶ συναναμιγνύμενον, εἴτε διὰ τὰς χώρας (ὅπερ οὐκ ἄλογον) εἴτε δι᾽ ἄλλην αἰτίαν. ἔνια δὲ καὶ φανερῶς ἐστι κοινὰ πλειόνων· ἀλλὰ διὰ τὸ μάλιστα ἐν τούτοις ἀθροεῖν, ἴδια τούτων φαίνεται. καθάπερ ἡ ὀροβάγχη τῶν ὀρόβων, καὶ ἡ ἀπαρίνη τῶν φακῶν. ἀλλ᾽ ἡ μὲν μάλιστα ἐπικρατεῖ τῶν ὀρόβων διὰ τὴν ἀσθένειαν, ἡ δὲ ἀπαρίνη μάλιστα ἐν τοῖς φακοῖς εὐτροφεῖ. τρόπον δέ τινα, ^ παραπλήσιόν ἐστι τῇ ὀροβάγχῃ, ἐπιβάλλειν καὶ κατέχειν ὅλον ὥσπερ πλεκτάνην· ἀγχόνη γάρ ἐστι πως, ὅθεν καὶ τὸ ὄνομα εἴληφε. τὸ δ᾽ ὑποφυόμενον εὐθὺς ἐκ τῆς ῥίζης τῷ κυμίνῳ, καὶ περὶ κυ-

κίνῳ, τὸ

Margin notes: τοῖς φακοῖς (at †) — καὶ (at ^)

λυσιτελὲς δέ τι λέγεταί τις λόγος, ὡς ὅτι μὲν πλεῖον, ὅτι δὲ ἔλαττον ἡ αὐτὴ δέχεται χώρα· καὶ οἰνίζονται τὸ πλεῖον, ὡς οὐκ ἀγαθόν· πάντων γὰρ οὐδείς φασι τῆς γῆς. οὗτος μὲν οὖν ἴσως ἰδιώτερος λόγος. εἰ δέ τις πρὸς τὰ σπέρματα θεωροίη, καὶ μάλιστά γε πρὸς αὐτοὺς τοὺς τόπους, ἅμα τῇ ἐλάφρᾳ καὶ τὴν θέσιν ἀναθεωρῶν, τήν γε πρὸς τὰ πνεύματα καὶ τὸν ἥλιον, οἰκειότερον ἀναλαμβάνει τὰς διαφοράς. ἀνάλογον δὲ ἔχει καὶ ἡ κόπρισις πρὸς τὰς χώρας. νειὸς δὲ ἀμείνων ἡ χειμερινός, τῆς ἐαρινῆς. ἐνιαχοῦ δὲ οὐ ξυμφέρει, βαθείας δὲ ἀροῦν, ὥσπερ καὶ ἐν Συρίᾳ· διὸ μικροῖς ἀρότροις χρῶνται. παρ' ἄλλοις δέ, τὸ λίαν ἐργάζεσθαι βλάπτει· καθάπερ ἐν Σικελίᾳ· διὸ καὶ τῶν ξένων, ὡς ἔοικε, πολλοὶ διαμαρτάνουσι. ταῦτα μὲν πρὸς τὰς χώρας. διαιροῦσι δὲ καὶ τὰ σπέρματα, ποῖα ποίοις πρόσφορα. ἐν γὰρ ταῖς χειμεριναῖς πυρὸν μᾶλλον, ἢ κριθήν· καὶ ὅλως σῖτον, ἢ χεδροπά· καὶ ὅλως ἐν ταῖς χέρσοις, καὶ διὰ χρόνου κεκινημέναις. καὶ γὰρ αὗται πυρὸν φέρουσι μᾶλλον, ἢ κριθήν. δέχεται δὲ καὶ ἐπομβρείαν μᾶλλον πυρός, ἢ κριθή· καὶ ἐν ταῖς ἀκόπροις φέρει μᾶλλον· ὡσαύτως δὲ καὶ αὐτῶν τῶν πυρῶν, ποῖος τῇ ποίᾳ πρόσφορος· οἷον ἀγαθῇ, καὶ πίειρᾳ, καὶ ψαφαρᾷ, καὶ λεπτῇ, ταῖς ἄλλαις ὁμοίως. ὕδωρ δέ, ὅταν μὲν χλοηφορῇ καὶ κυήσῃ πλεῖον, ἅπασι ξυμφέρει. ἀνθοῦσι δὲ πυροῖς μὲν καὶ κριθαῖς, καὶ τοῖς σιτώδεσι, βλαβερόν· ἀπόλλυσι γάρ. ἀσπρίοις δ' ἀβλαβές, πλὴν ἐρεβίνθων· τούτοις δ' ἐπικλύσας τὴν ἅλμην, ἀπόλλυσι σφακελίζοντας, καὶ ὑπὸ καμπῶν κατεσθιομένους. ἰσχυρότερος δὲ ὁ μέλας ἐρέβινθος, καὶ ὁ λευκός, τοῦ πυροῦ. συμφέρει δέ φασιν, ἐν τοῖς ἐφύδροις τόποις ὅτε σπείρεται αὐτόν. κύαμος δὲ ἀνθῶν μάλιστα, φιλεῖ βρέχεσθαι. διὸ καὶ οὐκ ἐθέλουσιν ὀψιασπορεῖν, ὥσπερ εἴπομεν, ὅτι πολὺ ἀνθεῖ. μετὰ δὲ τὴν ἀπάνθησιν, ὀλίγου πάμπαν ὕδατος δεῖσθαι. συνάγει γὰρ ἡ πλάδησις. ἀλλ' ὅταν ἁδρυνθῇ, καὶ βλάπτειν δοκεῖ τὰ σιτώδη, καὶ κριθὴν δὲ πυροῦ μᾶλλον. ἐν Αἰγύπτῳ δέ, καὶ Βαβυλῶνι, καὶ Βάκτροις, ὅπου μὴ ὕεται ἡ χώρα, ἢ σπανίως, αἱ δρόσοι τὸ ὅλον ἐκτρέφουσιν· ἐπεὶ καὶ οἱ περὶ Κυρήνην, καὶ Εὐεσπερίδας τόποι καιριώτατα δὲ πᾶσιν, ὡς ἁπλῶς εἰπεῖν, τὰ οὐράνια· διὸ καὶ ἡ Σικελία πολύσιτος. πολλὰ γὰρ τοῦ ἦρος καὶ μαλακὰ γίνεται· τοῦ δὲ χειμῶνος, ὀλίγα. ζητεῖ δὲ ἡ μὲν λεπτόγεως, πολλὰ καὶ μικρά· ἡ δὲ πίειρα, καὶ πλῆθος μὲν ἐνεγκεῖν δύναται, καὶ εὐδρίαν. πρὸς δὲ τὰς χώρας εὐδρίαν, πάντα πνεύματα καὶ αὖραι δοκοῦσι ξυμφέρειν. ἄλλα δὲ περὶ ἄλλας τοιαῦτα, καθάπερ καὶ πρότερον εἴρηται. ὡς δὲ τὸ πᾶν εἰπεῖν, μᾶλλον αὐχμός, ἢ ἐπομβρία ξυμφέρει τῷ σίτῳ. οἱ γὰρ ὄμβροι καὶ ἄλλως ἐναντίοι, καὶ πολλάκις αὐτὰ τὰ σπέρματα διαφθείρουσιν. εἰ δὲ μή, πλῆθός γε ποιοῦσι βοτάνης, ὥστε καταπνίγεσθαι καὶ ἀτροφεῖν. τῶν μὲν οὖν ἄλλων σπερμάτων οὐδὲν εἰς ἄλλο τι φύσει μεταβάλλον ἀναγράφομεν, πυρὸν δὲ καὶ κριθὴν εἰς αἶραν φασί, καὶ μᾶλλον τὸν πυρόν. γίνεσθαι δὲ τοῦτ' ἐν ταῖς ἐπομβρίαις, καὶ μάλιστα ἐν τοῖς ἐνύδροις καὶ ἐμβροχοῖς χωρίοις. ὅτι δὲ οὐκ ἔστιν ἠρινὸν ἡ αἶρα, καθάπερ ἡ ἄλλη πόα, ἐκ τεκμηρίων, αἰτιᾶται γάρ τινες τὸ λέγειν, ἐκεῖθεν δῆλον. εὐθὺς γὰρ τοῦ χειμῶνος φανερὰ γίνεται πεφυκυῖα. καὶ διαφέρει πολλοῖς· ἔχει γὰρ τὸ φύλλον στενόν, καὶ δασύ, καὶ λιπαρόν. καὶ τούτων ἰδιώτατον τὸ λιπαρόν· ἡ γὰρ δασύτης, καὶ τοῦ τῆς αἰγίλωπος ἐπιδέχεται τὸ ἦρος. ὥστε μὲν ἴδιον τούτων. καὶ ἔτι τοῦ λαιοῦ· καὶ γὰρ ἐκ τούτου φασὶ γίνεσθαι τὴν αἶραν. τῶν δὲ ἐρεβίνθων πρὸς τὰ ἄλλα χεδροπά, τό τε περὶ τὴν ἄνθησιν λεχθέν, καὶ τὸ τάχιστα πλεονακαρπεῖν, ἰσχυρότατον ὄν, καὶ ξυλωδέστατον· καὶ τὸ ὅλον μὴ ποιεῖν νεὸν καρπόν, τήν γε πόαν διαπολλύουσι, μάλιστα δὲ καὶ τάχιστα τὸν τρίβολον. ἄλλως δέ, οὐδὲ ἡ τυχοῦσα δύναται φέρειν αὐτό, ἀλλὰ μελάγγειόν τινα δεῖ καὶ πίειραν εἶναι. τῶν δὲ ἄλλων καλλίστη νειὸς ἐπὶ τοῦ κυάμου, καίπερ πυκνοσπορουμένου, καὶ πολὺν καρπὸν φέροντος. τὰ δὲ ἐν τοῖς θερινοῖς ἀρότροις ὀλίγου δεῖ πάντα. φασὶ δὲ καὶ τὰ ναμαλαῖα συμφέρειν μᾶλλον αὐτοῖς, τὸ ἐκ Διός. μελίνοι δέ, καὶ κέγχροι, ἐλάττονος ὕδατος. ἐὰν γὰρ ἔχωσι πλεῖον, φυλλοβολοῦσιν. ἰσχυρότερος δὲ ὁ κέγχρος, αἱ δὲ μελίνοι γλυκύτεραι, αἱ καὶ ἀθηρέστεραι. σήσαμον δὲ οὐδεὶς ἐσθίει χλωρόν, οὐδὲ θέρμον. αἱ δὲ μὴ ἐρύσιμον, μηδὲ ὅρμινον, σκληρότερον καὶ ταῦτα, αἱ πικρά. ἔστι δὲ τὸ μὲν ἐρύσιμον ὅμοιον σησάμῳ, καὶ λιπαρὸν ἔχει. τὸ δὲ ὅρμινον, κυμινῶδες, μέλαν· σπείρεται δὲ ἅμα καὶ τὸ σήσαμον. περὶ μὲν οὖν τούτων σκεπτέον. ἐν δὲ ταῖς ἀγαθαῖς χώραις πρὸς τὸ μὴ φυλλομανεῖν, ἐπινέμουσι καὶ ἐπικείρουσι τὸν σῖτον, ὥσπερ καὶ ἐν Θετταλίᾳ. συμβαίνει δ' ἂν μὲν ἐπινέμωσιν ὁποσάκισοῦν, μικρὸν ἀλλοιοῦσθαι τὸν καρπόν· ἂν δὲ ἐπικείρωσιν, ἅπαξ μόνον δεῖσθαι τὸν πυρόν, καὶ γίνεσθαι μακρόν, καὶ οὐχ ἁδρόν, ὃν καλοῦσι καμακίαν· καὶ οὐκ ἀποκαθίστασθαι πάλιν σπειρόμενον, ὥσπερ μὲν οὖν ἐπὶ τοὺς πυροὺς συμβαῖνον, θετταλοὶ λέγουσιν. ἐν Βαβυλῶνι δὲ ἀεί, καὶ ὥσπερ τεταγμένως, ἐπινέμουσι μὲν

λεπτὸν, καὶ βραχὺν, οὐχ ὥσπερ τὸν βίμηνον κοῦφον· διὸ καὶ τοῖς οἰκέταις παρέχειν· καὶ γὰρ οὐδὲ
πίτυρον ἔχειν πολύ. ἀπανιώτατος μὲν οὖν καὶ τάχιστος εἰς τελείωσιν οὗτος. εἰσὶ δὲ καὶ λιμνο-
ζινις, οἵπερ καὶ ἐκ Σικελίας ἐκομίσθησαν εἰς Ἀχαΐαν· ὀλιγόχοοι δὲ, καὶ ὀλιγόγονοι, καὶ κοῦφοι κατὰ
τὴν προσφορὰν, καὶ ἡδεῖς. καὶ ἄλλοι δέ τινες οἱ περὶ Εὔβοιαν εἰσὶ, καὶ μάλιστα ἐν τῇ Καρυστίᾳ.
τρίμηνοι δὲ πολλοὶ, καὶ πανταχοῦ κοῦφοι· οὗτοι καὶ ὀλιγόχοοι, καὶ μονοκάλαμοι κατὰ τὴν ἔκφυσιν,
καὶ τὸ ὅλον ἀσθενεῖς. κουφότατος μὲν οὖν, ὡς ἁπλῶς εἰπεῖν, πυρὸς ὁ ποντικός· βαρύτερος δὲ τῶν
εἰς τὴν Ἑλλάδα παραγινομένων, ὁ σικελός. τούτου δ' ἔτι βαρύτερος ὁ Βοιωτός. σημεῖον δὲ λέ-
γουσιν, ὅτι οἱ μὲν ἀθληταὶ ἐν τῇ Βοιωτίᾳ τρία ἡμιχοίνικα μόλις ἀναλίσκουσιν· Ἀθήναζε δὲ ὅ-
ταν ἔλθωσι, πέντε ἡμιχοίνικα ῥᾳδίως. κοῦφος δὲ, καὶ ἐν τῇ Λακωνικῇ. τούτων μὲν οὖν ἐν ταῖς
χώραις καὶ τοῖς ἀέρι τὸ αἴτιον. ἐπεὶ καὶ περὶ τὴν Ἀσίαν πόῤῥω Βάκτρων, ἐν μέν τινι τόπῳ οὕτως
ἁδρὸν εἶναί φασι τὸν σῖτον, ὥστε πυρῆνος ἐλαίας μέγεθος λαμβάνειν. ἐν δὲ τοῖς πισεύβις κα-
λουμένοις, οὕτως ἰσχυρὸν, ὥστ' εἴ τις πλεῖον προσενέγκοιτο, διαῤῥήγνυσθαι· καὶ τῶν Μακεδόνων
πολλοὺς τοῦτο παθεῖν. ἄτοπον δὲ, καὶ ἀνομολογούμενον πρὸς τὴν τῶν τριμήνων κουφότητα, τὸ
περὶ τοὺς ποντικοὺς συμβαῖνον· εἰσὶ γὰρ οἱ μὲν σκληροὶ, θερινοί· οἱ δὲ μαλακοὶ, χειμερινοί. πολὺ
λοι 5 γὰρ διαφέρει τῇ κουφότητι ὁ μαλακός. Ὁμοίως δὲ καὶ δύο ἀρότους, ὡς ἔοικε, παντὸς τοῦ
σίτου ποιοῦνται, τὸν μὲν χειμερινὸν, τὸν δὲ θερινὸν, ἐν ᾧ καὶ τὰ ὄσπρια καταβάλλουσι. εἰσὶ δὲ
καὶ οἱ μὲν καθαροὶ αἰρῶν, ὥσπερ ὁ ποντικὸς, καὶ ὁ αἰγύπτιος· καθαρὸς δὲ ἐπιεικῶς καὶ ὁ σικε-
λὸς, καὶ μάλιστα ὁ ἀκραγαντῖνος οὐκ αἰρώδης. ὁ δὲ σικελὸς, ἴδιον ἔχει τὸ μελάμπυρον καλού-
μενον, ὃ ἐστὶν ἀβλαβὲς, καὶ οὐχ ὥσπερ αἶρα βαρὺ καὶ κεφαλαλγές. ἀλλὰ τὰ μὲν τοιαῦτα,
καθάπερ ἐλέχθη, ταῖς χώραις ἀναθετέον, καὶ ὅσον ἐπιβάλλει τοῖς γένεσιν. Ἐν δὲ τοῖς ὀ-
σπρίοις οὐχ ὁμοίως ἔστι λαβεῖν τὰς τοιαύτας διαφοράς, εἴτ' οὖν διὰ τὸ μὴ ἐξετάζειν ὁμοίως, εἴτε
καὶ διὰ τὸ μονοειδέστερα τυγχάνειν. ἔξω γὰρ ἐρεβίνθου, καὶ φακοῦ, καὶ ἐπ' ὀλίγον κυάμου, καὶ ὀ-
+ ὁ ποιοῦσιν ρόβου, καθόσον ἡ τῶν χρωμάτων καὶ τῶν χυλῶν διαφορὰ, τῶν τε ἄλλων †οἱ ποιοῦσιν ἰδίας. οἱ δὲ
ἐρέβινθοι, καὶ τοῖς μεγέθεσι, καὶ τοῖς χυλοῖς, καὶ τοῖς χρώμασι, καὶ ταῖς μορφαῖς διαφέρουσιν,
οἷον κριοὶ ὀροβιαῖοι * ἀνὰ μέσον. ἔστι πᾶσι δὲ τὰ λευκὰ γλυκύτερα· καὶ γὰρ ὁ ὄροβος, καὶ
φακὸς, καὶ ἐρέβινθος, καὶ κύαμος, καὶ σήσαμον. ἔστι γὰρ καὶ σήσαμον λευκόν. ἀλλὰ μᾶλλον ἐν
+ ἰλλόβα τοῖς βίοις δεῖ ποιεῖν ἔστι τὰς διαφοράς, οἷον ἔστι πάντα τὰ †ἑλλίβορα. τὰ μὲν αὐτῶν διάφρα-
κτα, καὶ ὥσπερ συμψαύοντα τυγχάνει, καθάπερ ὄροβος, πισός, καὶ σχεδὸν τὰ πλεῖστα· τὰ
δὲ λοιπὰ περιφραγμένα, καθάπερ θέρμος, ἔτι δὲ μᾶλλον καὶ ἰδίως τὸ σήσαμον· καὶ τὰ μὲν μα-
κρόλοβα, τὰ δὲ στρογγυλόλοβα, καθάπερ ἐρέβινθος. ἀνάλογον δὲ ἀκολουθεῖ καὶ τὰ πλήθη τῶν
σπερμάτων· ἐλάττω γὰρ ἐν τοῖς μικροῖς, ὥσπερ ἔν τε τῷ τῶν ἐρεβίνθων, καὶ ἐν τῷ τῶν φακῶν·
καὶ παραπλήσιαι δὲ ἴσως αἱ τοιαῦται, καὶ ἃς ἔστι τῶν σιτηρῶν ἐλέγομεν περὶ τῶν σταχύων καὶ αὐ-
τῶν τῶν καρπῶν. ἐπεὶ καὶ οἱ καλούμενοι λοβοὶ, σχεδὸν ἀκόλουθοι τοῖς σπέρμασίν εἰσιν· οἱ μὲν ὑ-
ποπλατεῖς, ὥσπερ οἱ τοῦ φακοῦ, καὶ τοῦ ἀφάκης· οἱ δὲ κυλινδροειδεῖς μᾶλλον, ὡς οἱ τῶν ὀρόβων. τῶν
πισῶν γὰρ τὰ σπέρματα ἐκπεπιέσθαι τοιαῦτα τοῖς σχήμασιν. ἀλλὰ τὰς μὲν τοιαύτας διαφορὰς
πολλὰς ἄν τις εὕροι καθ' ἕκαστον· ὧν αἱ μὲν κοιναὶ πᾶσιν, αἱ δὲ ἴδιαι κατὰ γένος. ἔτι δὲ πάν-
τα προσπέφυκε τοῖς λοβοῖς, καὶ ἔχει καθάπερ ἀρχὴν τινὰ, τὰ μὲν περιέχουσαν, ὥσπερ ὁ κύα-
μος, καὶ ὁ ἐρέβινθος· τὰ δὲ καὶ ἔγκοιλον, ὥσπερ θέρμος, καὶ ἄλλ' ἄττα· τὰ δὲ, οὕτω μὲν οὐ φανερὰν
ἐλάττω δὲ, καὶ ὥσπερ ἀποσημαίνουσαν μόνον· δῆλον μὲν ἀπὸ τῆς ὄψεως, ἐξ ἧς καὶ ὅταν σπαρῇ
βλαστάνει καὶ ῥιζοῦται, καθάπερ ἐλέχθη. κατ' ἀρχὰς δὲ καὶ αὐτὰ ῥίπτεται, προσηρτημένα τοῖς
λοβοῖς, μέχρι οὗ ἂν τελειωθῇ· φανερὸν δὲ ἔστι καὶ ἐκ τῶν νῦν, καὶ ἐκ τῶν προειρημένων. περὶ
6 μὲν οὖν τῶν κατὰ τὰς διαφορὰς, ἅλις. Σπείρειν δὲ ξυμφέρει πάντα, μάλιστα μὲν ἐν
+ ἀρότοις τοῖς †ἀρότροις. οὐ μὴν ἀλλὰ καὶ ἐν ξηρᾷ τινὲς καταβάλλουσι, καὶ οὐχ ἥκιστα πυρὸς καὶ κρι-
θὰς, ὡς μάλιστα αὐταρκεῖν δυναμένα, ὅπου μὴ ὄρνισιν ἢ ἄλλοις θηρίοις ἐπιλυπὴς ἡ χώρα. δο-
κεῖ γὰρ ὡς ἔστι πάνθ' ὁ * πρῶτος ταῖς ἡμιβρόχοις. ἀπόλλυται γὰρ καὶ ἐκγαλακτοῦται τὰ
σπέρματα, καὶ ἅμα ξυμβαίνει πόαν ἀναφύεσθαι πολλήν. μετὰ δὲ τὴν σπορὰν ὕδωρ ἐπι-
γίνεσθαι πᾶσι ξυμφέρει, πλὴν ὅσα δυσβλαστῆ γίνεται μᾶλλον, ὥσπερ ὅτι κύαμος ἰδία-
κει. καὶ τὸν θερινὸν, σήσαμον, καὶ κύμινον, καὶ ἐρύσιμον. πυκνοσπορεῖν δὲ, καὶ μανοσπορεῖν, καὶ πρὸς
τὰς χώρας βλέποντα χρή· πλεῖον γὰρ ἡ πίειρα καὶ ἀγαθὴ δύναται φέρειν, ἢ ὑφαλμυρά τε καὶ
λεπτῆς.

ὠς. τὰ δὲ ὑπογειόκαυλα, καθάπερ ὦχρος, πισός, λάθυρος. ὁ δὲ δόλιχος, ἐὰν παρακαταπήξῃ τις ξύλα μακρὰ, ἀναβαίνει, καὶ γίνεται κάρπιμος· εἰ δὲ μή, φαῦλος, καὶ ἐρυσιβώδης. μόνος δὲ μάλιστα τῶν χεδροπῶν ὀρθόκαυλος ὁ κύαμος. ἔχει δὲ καὶ τὰ ἄνθη διαφορὰν, † καὶ τῇ θέσει. πρῶτον μὲν ὥσπερ χρόαν ἐν τοῖς καθόλου διείλομεν, ὅτι τὰ μὲν χνοώδη, καθάπερ πως καὶ πάντες τῶν χυλῶν ὄντες· τὰ δὲ φυλλώδη, καθάπερ τῶν χεδροπῶν, καὶ τῶν πλείστων κολοβά· τὰ γὰρ πολλὰ κολοβανθῆ. χνοώδης δὲ καὶ τὸ τοῦ κέγχρου, καὶ μελίνης· τὸ δὲ σισάμου, καὶ τοῦ ἐρυσίμου, φυλλῶδες. καὶ ὅτι δὴ τὰ μὲν ἔχει περὶ αὐτὸν τὸν καρπὸν, οἷον τὰ σιτώδη καὶ κεγχρώδη περὶ τὸν στάχυν· τὰ δὲ χεδροπὰ, ἐξ αὐτοῦ πως τὸ ἄνθος, ἢ ἀπό τινος τῆς αὐτοῦ ἀρχῆς γίνεται. καὶ τὴν ἄνθησιν ὅτι τὰ μὲν ἀθρόαν, τὰ δὲ κατὰ μέρος ποιεῖται· καὶ τἄλλα δὲ τὰ παραπλήσια τούτοις. ὁμοίως δὲ καὶ τὰ περὶ τὸν καρπόν· ἔστι τὰ μὲν ἔχει στάχυν, τὰ δὲ χεδροπὰ λοβόν, τὰ δὲ κεγχρώδη φόβην, ἣν ἔνιοι καλαμώδη ἀπόφυσιν, φόβην. τὸ δὲ ὅλον, τὰ μὲν ἀγγειόσπερμα, τὰ δὲ ὑμενόσπερμα, τὰ δὲ γυμνόσπερμα. καὶ ἔτι τὰ μὲν ἀκρόκαρπα, τὰ δὲ πλαγιόκαρπα, καὶ ὅσα δὴ ἄλλα ταύτης ἔχεται τῆς θεωρίας. ὅλως δὲ, πολυκαρπότερα καὶ πολυχούστερα τὰ χεδροπά. τούτων δὲ ἔτι μᾶλλον τὰ θερινὰ, κέγχρος, καὶ σήσαμον· αὐτῶν δὲ τῶν χεδροπῶν μάλιστα φακός. ἁπλῶς δὲ, τὰ μικροσπερμότερα μᾶλλον, ὡς εἰπεῖν. ὥσπερ καὶ τῶν λαχανωδῶν κύμινον, ἁπάντων ὄντων πολυσπέρμων. ἰσχυρότερα δὲ πρὸς μὲν τὸν χειμῶνα, καὶ ὅλως τὰ τὸν ἀέρος, τὰ σιτηρά· πρὸς δὲ τὴν τροφὴν, τὰ χεδροπά. τάχα δὲ τοῦτό γε ἡμῖν, τοῖς ἄλλοις ἀνάπαλιν.

4 Τὰ μὲν οὖν ὅλα γένη τοιαύτας ἔχει διαφοράς, τὰ μὴ ὁμογενῆ. τὰ δὲ ὁμογενῆ, δηλονότι περὶ τὴν τῶν μερῶν ἀνωμαλίαν· οἷον τῶν σιτωδῶν, πυρὸς † κριθῆς, στεφανοφυλλότερον, καὶ λειοκαυλότερον, καὶ πυκνότερον, καὶ γλισχρότερον ἔχει τὸν καυλὸν, καὶ δυσκλαστότερον. ἅμα δὲ καὶ ὁ μὲν ἐν χιτῶσι πολλοῖς, ἡ δὲ γυμνή· μάλιστα γὰρ δὴ γυμνοσπέρματον ἡ κριθή. πολύλοβον δὲ καὶ ἡ τίφη, καὶ ἡ ὄλυρα, καὶ πάντα τὰ τοιαῦτα· καὶ μάλιστα πάντων, ὡς εἰπεῖν, ὁ βρόμος. ἔστι δὲ καὶ ὑψηλότερον ὁ κάλαμος τοῦ πυροῦ, καὶ τῆς κριθῆς· καὶ τὸν στάχυν ἀπηρτημένον ἔχει τοῦ φύλλου μᾶλλον ὁ πυρός. ἴδιον δὲ καὶ τὸ ἄχυρον τὸ κρίθινον τοῦ πυρίνου· ἐγχυλότερον γὰρ, καὶ μαλακώτερον. διαφέρει δὲ ἡ κριθὴ καὶ τούτῳ τῶν πυρῶν· ἡ μὲν γὰρ στιχώδης, ὁ δὲ πυρὸς ἄστοιχος, καὶ πανταχόθεν ὁμαλής. τῷ μὲν ὅλῳ γένει πρὸς γένος, αὗταί τινές εἰσι διαφοραί. καθ᾽ ἑκάτερον δὲ τούτων πάλιν, οἷον πυρῶν καὶ κριθῶν, πολλὰ γένη, καὶ τοῖς καρποῖς αὐτοῖς διαφέροντα, καὶ τοῖς στάχυσι, καὶ ταῖς ἄλλαις μορφαῖς, καὶ ἔτι ταῖς δυνάμεσι, καὶ τοῖς πάθεσι. τῶν μὲν κριθῶν αἱ μέν εἰσι δίστιχοι, αἱ δὲ τρίστιχοι, αἱ δὲ τετράστιχοι καὶ πεντάστιχοι, πλεῖσται καὶ ἑξάστιχοι· καὶ γὰρ τοιοῦτό τι γένος ἐστί. πυκνότεραι δὲ ἀεὶ περὶ τὴν θέσιν, ὡς εἴπομεν, αἱ πολυστιχότεραι. διαφορὰ δὲ μεγάλη καὶ τὸ παραβλαστικήν τε εἶναι, καθάπερ ἀπομένη τῆς ἰνδικῆς. οἱ στάχυες δὲ τῶν μὲν μεγάλοι καὶ μανότεροι τῆς κριθῆς, τῶν δὲ ἐλάττους καὶ πυκνότεροι· καὶ ἀπέχοντες δὲ τῶν φύλλων, τῶν μὲν πολύ, τῶν δὲ μικρόν, ὥσπερ τῆς ἀχιλληΐου καλουμένης. καὶ αὐτῶν δὲ τῶν κριθῶν αἱ μὲν στρογγυλότεραι καὶ ἐλάττους, αἱ δὲ προμηκέστεραι καὶ μείζους, καὶ μανότεραι περὶ τὸν στάχυν. ἔτι δὲ αἱ μὲν λευκαί, αἱ δὲ ὑποπορφυρίζουσαι, αἵπερ καὶ πολυαλφιτοι δοκοῦσιν εἶναι, καὶ πρὸς τοὺς χειμῶνας δὲ καὶ τὰ πνεύματα καὶ ὅλως τὸν ἀέρα τῶν λευκῶν ἰσχυρότεραι. πολλὰ δὲ γένη καὶ τῶν πυρῶν εὐθὺς ὄντων, ἀπὸ τῶν χωρῶν ἔχοντα τὰς ἐπωνυμίας· οἷον λιβυκοί, πόντιοι, θρᾷκες, ἀσσύριοι, αἰγύπτιοι, σικελοί· διαφέροντες δὲ καὶ ταῖς χροιαῖς, καὶ τοῖς μεγέθεσι, καὶ τοῖς εἴδεσι, καὶ ταῖς ἰδιότησιν. ἔχουσι δὲ ἐν ταῖς δυνάμεσι ταῖς τε ἄλλαις, καὶ μάλιστα ταῖς πρὸς τὴν σίτησιν τινὰς, καὶ ἀπ᾽ ἄλλων τὰς προσηγορίας, οἷον καγχρυδίας, στλεγγίς, ἀλεξάνδρειος. ὧν ἁπάντων ἐν τοῖς εἰρημένοις τὰς διαφορὰς ληπτέον. οὐχ ἥκιστα δὲ οἰκεῖον, εἴ τις λαμβάνοι τὰς διαίτας· οἷον εἰσὶν οἱ μὲν πρώϊοι, οἱ δὲ ὄψιοι καὶ διαξεῖς, καὶ πολύχοοι· οἱ δὲ καὶ ὀλίγοχοι καὶ μεγαλοστάχυες, οἱ δὲ μικροστάχυες· καὶ οἱ μὲν ἐν καλυπτῆρι πολλῷ χρόνον, οἱ δ᾽ ὀλίγον ἔχοντες, ὥσπερ ὁ λιβυκός· καὶ κάλαμον οἱ μὲν λεπτὸν, οἱ δὲ παχὺν· καὶ ὅσα ὁ λιβυκὸς ἔχει, παχὺν δὲ ὁ καγχρυδίας. ἔτι δὲ, χιτῶνας οἱ μὲν ὀλίγους, οἱ δὲ πολλοὺς, ὥσπερ ὁ θρᾴκιος. καὶ ὁ μὲν μονοκάλαμος, ὁ δὲ πολυκάλαμος, καὶ μᾶλλον δὲ καὶ ἧττον. ὁμοίως δὲ καὶ ἔτι παραπλήσιον τούτοις, ἢ τοῖς πρότερον εἰρημένοις, κατὰ τὰς δυνάμεις· αἱ γὰρ τοιαῦται φυσικώτεραι δόξαιεν ἂν εἶναι τῶν διαφορῶν. ἐν αἷς καὶ τὸ τῶν τριμήνων, καὶ τῶν διμήνων, καὶ εἴ τι γένος ἐν ἐλάττοσιν ἡμέραις τελειοῦται, καθάπερ φασὶν εἶναι περὶ τὴν Εὔβοιαν, τετταράκοντα ἡμέραις ἐκ τῆς σπορᾶς ἀδρύνεται καὶ τέλος ἔχειν· εἶναι δ᾽ ἰσχυρὸν σφόδρα, καὶ βαρύν

ὥστε λαβεῖν τῇ ῥιζώσει βάθος πρὸ χειμῶνος. πρωϊαίτερον δὲ καὶ ὁ θέρμος· ἀεὶ τὸν ἄλλον γάρ φασι δεῖν καταβάλλειν εὐθύς. ὀψιαίτερα δὲ τούτων αὐτῶν, ὅσα διαφέρει τοῖς γένεσιν· οἷον πυρῶν τε γρίος, καὶ κριθῶν, ὃ καλοῦσι ῥίγανον, διὰ τὸ ἐν τοσούτῳ τελειοῦσθαι. καὶ τῶν χεδροπῶν τὰ ῥιάδα, φακός, ἀφάκη, πισός. ἐν ἀμφοτέραις δὲ ταῖς ὥραις, τῶν χεδροπῶν, καθάπερ ὄροβος, ἐρέβινθος. οἱ δὲ καὶ τὸν κύαμον ὀψὲ σπείρουσιν, ἐὰν ὑστερίσωσι τοῦ πρώτου ἀρότου. ἁπλῶς δὲ πρωϊ σπείρουσι τὰ μὲν διὰ ἰσχὺν, ὡς οὐ δυνάμενα φέρειν τοὺς χειμῶνας· τὰ δὲ δι' ἀσθένειαν, ὅπως προλάβωσι ταῖς ῥίζαις τῇ αὐξήσει. δύο μὲν οὖν αὗται. τρίτη δὲ τῶν θερινῶν, ἐν ᾗ ἄπομεν, ἐν ᾗ κέγχρος σπείρεται, καὶ μέλινος, καὶ σήσαμον, ἔτι δ' ἐρύσιμον, καὶ ὅρμινον. χρόνοι μὲν οὖν ἑκάστων οὗτοι. βλαστάνει δὲ τὰ μὲν θᾶττον, τὰ δὲ βραδύτερον. καὶ κριθὴ μὲν καὶ πυρὸς, ἑβδομαῖα μάλιστα· προτερεῖ δὲ ἡ κριθὴ μᾶλλον. τὰ δ' ὄσπρια τεταρταῖα, ἢ πεμπταῖα, πλὴν κυάμου. κύαμος δὲ, καὶ τῶν σπαρτῶν ἐν πλείοσιν· ἐνιαχοῦ δὲ καὶ περὶ πεντεκαιδεκαταῖος, ὅτε δὲ καὶ εἰκοσταῖος. δυσφυέστατον γὰρ τοῦτο πάντων. ἐὰν δὲ δὴ καὶ σπαρέντος ἐπιπλεῖον ὕδωρ ἐπιγένηται, καὶ παντελῶς. ἐν δὲ τοῖς ἐαρινοῖς ἀρότοις θᾶττον ἡ ἔκφυσις διὰ τὴν ὥραν, σκεπτέον. χρὴ δὲ τὰς ἀναβλαστήσεις, καὶ τὰς διαφύσεις ταύτας, ὡς ἐπὶ τὸ πᾶν διαλαβεῖν. ἐνιόθι γὰρ ἐνιαχοῦ, καὶ ἐν ἐλάττοσιν ἡμέραις, καθάπερ ἐν Αἰγύπτῳ· τριταῖον γάρ φασι, καὶ τεταρταῖον ἀνατέλλειν. παρ' ἄλλοις δὲ, ἐν πλείοσι τῶν εἰρημένων. ὅπερ καὶ οὐκ ἄλογον, ὅταν καὶ χώρα καὶ ἀὴρ διαφέρῃ. καὶ πρωϊαίτερον ἢ ὀψιαίτερον ἀρόσαι, καὶ τὰ ἐπιγενόμενα ἂν ὅμοια τυγχάνῃ. ἡ μὲν γὰρ μανὴ καὶ κούφη καὶ εὔκαρπος οὖσα, ταχὺ καὶ ῥᾳδίως ἀναδίδωσιν· ἡ δὲ γλίσχρα, καὶ βαρεῖα, βραδέως· ἡ δὲ τοῖς τόποις αὐχμωδεστέρα, βραδέως. ἐὰν δὲ αὖ χειμῶνες ἐπιγένωνται, καὶ αὐχμοί, καὶ εὐδίαι, καὶ πάλιν ὕδατα. καὶ γὰρ ἐν τούτοις πολὺ παραλλάττουσιν. ὡσαύτως δὲ καὶ ἐὰν ἡ γῆ ὡς προειργασμένη, καὶ κόπρον ἔχουσα τυγχάνῃ· καὶ ἐὰν μηδὲν τούτων. ἐπεὶ καὶ περὶ τοῦ πρωϊαιτέραν ἕκαστα, καὶ ὀψιαιτέραν, αἱ χῶραι διαφέρουσιν. ἐνίοις δὲ καὶ περὶ τὴν Ἑλλάδα πάντα πρωϊαιτέρων εἰώθασι, διὰ ψυχρότητα τῆς χώρας, ὥσπερ οἱ Φωκεῖς, ὅπως ἂν οἱ χειμῶνες μὴ νήπια καταλαμβάνωσι.

Βλαστάνει δὲ τὰ μὲν ἐκ τοῦ αὐτοῦ τήν τε ῥίζαν ἀφιέντα, καὶ τὸ φύλλον· τὰ δὲ, ἑκάτερον δ' ἑκατέρου τοῦ ἄκρου. πυρὸς μὲν οὖν, καὶ κριθὴ, καὶ τίφη, καὶ ὅλως ὅσα σιτώδη, πάντα δ' ἑκατέρου. πάντα ἐν τῷ κατὰ στάχυν πέφυκεν, ἐκ μὲν τοῦ κάτω τοῦ παχέος τὴν ῥίζαν, ἐκ δὲ τοῦ ἄνω τὸν βλαστόν. ἓν δὲ ἐκ καὶ συνεχὲς γίνεται τὸ ἀμφοῖν, τῆς τε ῥίζης καὶ τοῦ καυλοῦ. κύαμος δὲ, καὶ τὰ ἄλλα χεδροπὰ, οὐχ ὁμοίως· ἀλλ' ἐκ τοῦ αὐτοῦ τὴν ῥίζαν, καὶ τὸν καυλόν, καθὸ καὶ ἡ πρόσφυσις αὐτοῦ ἐστι πρὸς τὸν λοβόν, ἐν ᾧ καὶ ἔχουσιν οἷον ἀρχήν τινα φανεράν. ἐπ' ἐνίων δὲ καὶ αἰδοιώδης φαίνεται, καθάπερ ἐπὶ τῶν κυάμων, καὶ τῶν ἐρεβίνθων, καὶ μάλιστα τῶν θέρμων. ἐκ τούτου γὰρ ἡ μὲν ῥίζα κάτω, τὸ δὲ φύλλον καὶ ὁ καυλὸς ἄνω χωρεῖ. ταύτῃ μὲν οὖν πῃ διαφέρει. τῇ δὲ ὁμοίως ἔχει, περὶ πᾶν γε ἐπὶ τῇ προσφύσει τοῦ λοβοῦ καὶ τοῦ στάχυος ἀφιέναι τὴν ῥίζαν, καὶ μὴ καθάπερ ἐν τοῖς δενδρικοῖς ῥισὶν ἀνάπαλιν, οἷον ἀμυγδάλῃ, καρύῳ, βαλάνῳ, τοῖς τοιούτοις. ἐν ἅπασι δὲ ἡ ῥίζα μικρῷ πρότερον ἐκφύεται τοῦ καυλοῦ. συμβαίνει δὲ ἐπί γε τοῖς σιτώδεσιν, ὥστε τὸν μὲν βλαστὸν ἐν αὐτῷ τῷ σπέρματι βλαστάνειν πρῶτον· αὐξανομένου δὲ, διΐστασθαι τὰ σπέρματα. πάντα γάρ πως καὶ ταῦτα διαμερῆ. τὰ δὲ χεδροπὰ φανερῶς πάντα δίθυρα, καὶ συνθετά, τὴν δὲ ῥίζαν εὐθὺς ἔξω προωθεῖσθαι. ἐν δὲ τοῖς χεδροποῖς, διὰ τὸ καθ' αὑτὰ εἶναι, τοῦτο μὲν οὐ συμβαίνει. προτερεῖ δὲ ἡ ῥίζα μικρόν. γ
ἀναφύεται δὲ ἡ μὲν κριθὴ, καὶ ὁ πυρὸς, μονόφυλλα· ὁ δὲ πισὸς, καὶ ὁ κύαμος, καὶ ὁ ἐρέβινθος, πολύφυλλα. ῥίζαν δὲ ἔχει τὰ μὲν χεδροπὰ πάντα ξυλώδη, καὶ μίαν· ἀπὸ δὲ ταύτης καὶ ἀποφύσεις λεπτάς. βαθυρριζότατον δὲ, ὡς εἰπεῖν, τούτων ὁ ἐρέβινθος. ἐνίοτε δὲ καὶ [illegible]. ἀλλ' ὁ πυρὸς, καὶ ἡ κριθὴ, καὶ τὰ ἄλλα τὰ σιτώδη, πολύρριζα καὶ λεπτόρριζα· διὸ καὶ τὰ ῥαβδώδη πολύκλαδα, καὶ πολύκαυλα πάντα τὰ τοιαῦτα. σχεδὸν δὲ καὶ ἐναντίωσίς τις ἑκατέρων ἐστί. τὰ μὲν γὰρ χεδροπὰ, μονόρριζά εἰσι, πολλὰς ἄνωθεν ἀπὸ τοῦ καυλοῦ ἀποφύσεις ἔχοντα, πλὴν κυάμου· τὰ δὲ σιτηρὰ, πολύρριζα. πολλοὺς γὰρ ἀνίησι βλαστούς· ἀπαραβλαστεῖ δὲ οὗτοι, πλὴν εἴ τι γένος πυρῶν τοιοῦτο, ὃς καλοῦσι σιταρίας καὶ κριθαρίας. τὸν μὲν οὖν χειμῶνα ἐν τῇ χλόῃ μένει τὰ σιτώδη. διαγελάσης δὲ τῆς ὥρας, καυλὸν ἀφίησιν ἐκ τοῦ μέσου, καὶ γονατοῦται. συμβαίνει δὲ εὐθὺς ἐν τῷ τρίτῳ γόνατι, τοῖς δὲ ἐν τῷ τετάρτῳ, καὶ τὸν στάχυν ἔχειν, ἀλλ' οὐ φανερὸν ἐν τῷ ὄγκῳ. εἰσὶ δὲ ἐν τῷ ὅλῳ καλάμῳ πλείω τούτων, ὥστε σχεδὸν ἅμα τῷ καλαμοῦσθαι συνίστασθαι μικρὸν ὕστερον. ἀλλ' οὐ πρότερον φανερὸς γίνεται, πρὶν ἂν προαυξηθεὶς ἐν τῷ κάλυκι γένηται· τότε δὲ

ἐφηλόν. ὡς δὲ οἴονταί τινες, καὶ πρὸς στραγγουρίαν τὸ τριχομανὲς ποιεῖν. ἔχειν δὲ τὸν καυλὸν ὅμοιον τῷ ἀδιάντῳ τῷ μέλανι, φύλλα δὲ μικρὰ σφόδρα καὶ πυκνά, καὶ πεφυκότα κατ' ἀντικρὺ ἀλλήλων. ῥίζα δ' οὐχ ὕπεστι. χωρία δὲ φιλεῖ σκιερά. τῶν δὲ κατὰ μέρος ἀνθούντων, ἴδιον τὸ περὶ τὸ ἀνθεμον. ἐπὶ τῶν μὲν ἄλλων πάντων ἴδιον, τὸ κάτω πρῶτον ἀπανθεῖν· τότε δὲ τὰ ἄνω. τυγχάνει δ' αὐτοῦ τὸ μὲν κύκλῳ τὸ λευκὸν ἄνθος, τὸ δ' ἐν τῷ μέσῳ τὸ χλωρόν· καὶ καρπὸς ὃς ἐκπίπτει, καθάπερ τοῖς ἀκανθώδεσι, καταλιπὼν τὴν πρόσφυσιν κενήν. ἄνθη δ' αὐτοῦ πλείω.

14 Ἴδιον δὲ καὶ τὸ περὶ τὴν ἀπαρίνην, ἣ καὶ τῶν ἱματίων ἀντέχεται διὰ τὴν τραχύτητα, καὶ ἔτι δυσαφαίρετον. ἐν τούτῳ γὰρ ἐγγίνεται τῷ τραχεῖ τὸ ἄνθος, οὐ προϊόν, οὐδ' ἐκφαῖνον, ἀλλ' ἐν ἑαυτῷ πεττόμενον, καὶ σπερμογονοῦν· ὥστε παρόμοιον εἶναι τὸ συμβαῖνον, ὥσπερ ἐπὶ τῶν γαλέων καὶ κερκύδων. ἐκεῖνά τε γὰρ ἐν ἑαυτοῖς ὠοτοκήσαντα ζῳογονεῖ· καὶ αὕτη τὸ ἄνθος ἐν ἑαυτῇ κατέχουσα, καὶ πέττουσα, καρποτοκεῖ. ὅσα δὲ τὰς ἀνθήσεις βλαστάνουσιν, ἀπολαβόντα τοῖς ἀγρίοις, οἷον τὸ ἡλιοτρόπιον καλούμενον, καὶ ὁ σκόλυμος, (ἅμα γὰρ ταῖς τροπαῖς καὶ οὗτος) ἔτι δὲ τὸ χελιδόνιον (καὶ γὰρ τοῦτο ἅμα τῇ χελιδονίᾳ ἀνθεῖ) ταῦτα δὲ δόξειεν ἂν τὸ μὲν φυσικὸν ἔχειν τῆς αἰτίας, τὸ δὲ συμπτωματικόν. πολλὰ δὲ τοιαῦτά ἐστι καὶ ἐν ἑτέροις ἴδια. διὸ καὶ ἡ τοῦ ἀειζώου φύσις, τὸ διαμένειν ὑγρὸν ἀεὶ καὶ χλωρόν, φύλλον σαρκῶδες ἔχον, καὶ λεῖον, καὶ προμηκές. φύεται δ' ἐπὶ τοῖς ἀλοπεδίοις τοῖς ἐπὶ τῶν τοίχων αὐχμηροῖς, καὶ οὐχ ἥκιστα ἐπὶ τῶν κεράμων, ὅταν ἐπιφύηται γῆς τι ἀμμώδους συῤῥοή. πολλὰ δ' ἄν τις ἴσως λάβοι καὶ ἕτερα περιττά. χρὴ δέ, ὥσπερ πολλάκις εἴρηται, τὰς ἰδιότητας θεωρεῖν, καὶ τὰς διαφορὰς πρὸς τὰ ἄλλα. τὰ μὲν γὰρ πλείοσιν ἰδίαις ἐστί, καὶ σχεδὸν οἷον ὁμωνύμοις, ὥσπερ ὁ λωτός· τούτου γὰρ εἴδη πολλά, διαφέροντα καὶ φύλλοις, καὶ καυλοῖς, καὶ ἄνθεσι καὶ καρποῖς· ἐν οἷς καὶ ὁ μελίλωτος καλούμενος, καὶ δυνάμει διεστᾶσι κατὰ τὴν προσφοράν· ἔτι τε τῷ μὴ τοὺς αὐτοὺς τόπους ζητεῖν. ὁμοίως δὲ καὶ ἕτερα πλείω. τὰ δὲ ἐν ἐλάττοσιν, ὥσπερ ὁ στρύχνος, ὁμωνυμίᾳ τινὶ παντελῶς εἰλημμένος. ὁ μὲν γὰρ ἐδώδιμος, καὶ ὥσπερ ἥμερον καρπὸν ἔχων ῥαγώδη· ἕτεροι δὲ δύο εἰσίν, ὧν ὁ μὲν ὕπνον, ὁ δὲ μανίαν ἐμποιεῖν δύναται· πλείων δ' ἐπιδοθείς, καὶ κτείνει. ὁμοίως δὲ τοῦτο καὶ ἐφ' ἑτέρων ἐστὶ λαβεῖν, ἃ πολλὴν ἔχει διάστασιν. περὶ μὲν οὖν τῶν ἄλλων τῶν ποωδῶν, ἱκανῶς εἴρηται. περὶ δὲ σίτου, καὶ τῶν σιτωδῶν, μετὰ ταῦτα λεκτέον. τοῦτο γὰρ ἦν καταλοιπὸν ἦν.

ΘΕΟΦΡΑΣΤΟΥ ΠΕΡΙ ΦΥΤΩΝ ἹΣΤΟΡΊΑΣ ΤΟ Θ'.

Ἰστέον δὲ τὸ ὄγδοον τῶν Θεοφράστου περὶ φυτῶν βιβλίων, ἐν ᾧ μὲν ἀδιόρθωτον περὶ φυτῶν ἱστορίας ἀναγέγραπται. κατὰ δ' Ἕρμιππον, περὶ φρυγανικῶν καὶ ποωδῶν.

Περὶ μὲν οὖν τῶν ἄλλων τῶν ποωδῶν ἱκανῶς εἴρηται. περὶ δὲ σίτου, καὶ τῶν σιτωδῶν, λέγωμεν ὁμοίως τοῖς πρότερον· τοῦτο γὰρ κατελείπετο ὂν τῶν ποωδῶν. δύο δ' αὐτῶν γένη τὰ μέγιστα τυγχάνει. τὰ μὲν γὰρ σιτώδη, οἷον πυροί, κριθαί, τίφαι, ζειαί, τὰ ἄλλα τὰ ὁμοιόπυρα, ἃ ὁμοιόκριθα· τὰ δὲ χεδροπά, οἷον κύαμος, ἐρέβινθος, πισός, καὶ ὅλως τὰ ὄσπρια προσαγορευόμενα. τρίτον δὲ παρ' αὐτά, κέγχρος, ἔλυμος, σήσαμον, καὶ ἁπλῶς τὰ ἐν τοῖς θερινοῖς ἀρότοις ἀνώνυμα κοινῇ προσηγορίᾳ. ἔτι δὲ αἱ μὲν γενέσεις αὐτῶν, μία καὶ ἁπλῆ· φύεται γὰρ ἀπὸ σπέρματος, ἐὰν μή τι σπάνιον καὶ ὀλίγον ἀπὸ τῆς ῥίζης. ὧραι δὲ τῶν σπόρων τῶν πλείστων δύο. πρώτη δὲ καὶ μάλιστα, ἡ περὶ πλειάδων δύσιν· ἧς καὶ Ἡσίοδος ἀκολουθεῖ, καὶ σχεδὸν οἱ πλεῖστοι. διὸ καὶ καλοῦσί τινες αὐτὴν ἄροτον. ἄλλη δέ, ἀρχομένου τοῦ ἦρος, μετὰ τὰς τροπὰς τοῦ χειμῶνος. οὐ τῶν αὐτῶν δὲ ἑκατέρα· τὰ μὲν γὰρ αὐτῶν φιλεῖ πρωϊσπορεῖσθαι, τὰ δὲ ὀψέ· διὰ τὸ μὴ δύνασθαι φέρειν τοὺς χειμῶνας· τὰ δὲ πρὸς ἀμφοτέρας τὰς ὥρας οὐ κακῶς ἔχει, καὶ πρὸς χειμῶνα καὶ πρὸς ἔαρ. πρωΐσπορα μὲν οὖν ἐστι, πυρός, κριθή, καὶ τούτων ἡ κριθὴ πρωϊσπορώτερον· ἔτι δὲ ζειά, τίφη, ὀλύρα, καὶ εἴ τι ἕτερον ὁμοιόπυρον· ἁπάντων γὰρ σχεδὸν ὁ αὐτὸς χρόνος τῆς σπορᾶς. τῶν δέ γε χεδροπῶν μάλιστα, ὡς εἰπεῖν, κύαμος, καὶ κέγχρος· ταῦτα γὰρ διὰ τὴν ἀσθένειαν

προλαβεῖν

ῥίζιον. μέγιστον δὲ πάντων, ὁ ἀσφόδελος. ὁ γὰρ ἀνθέρικος, μέγιστος. ὁ δὲ τῶν πράσων, ἐλάττων μὲν, σκληρότερος δὲ, τὸ δὲ ὅλον ἀνθερικῶδες. ἔστι δὲ καὶ πολύκαρπος ὁ ἀσφόδελος, καὶ ὁ καρπὸς αὐτοῦ ξυλώδης, τῇ μὲν μορφῇ τρίγωνος, τῷ δὲ χρώματι μέλας. γίνεται δὲ ἐν τῷ στρογγύλῳ τῷ ὑποκάτω τοῦ ἄνθους. ἐκπίπτων δὲ τοῦ θέρους, ὅταν τοῦτο διαχάνῃ, τὴν αὔανσιν ποιεῖται πρὸς μέρος, ὥσπερ καὶ ἐπὶ τῆς σκύλλης. ἄρχεται δὲ πρῶτον ἀπὸ τῶν κάτωθεν. ἐν δὲ τῷ ἀνθερίκῳ συνίσταται σκώληξ, ὃς εἰς ἄλλο μεταβάλλει ζῷον πτηνὸν, ἀνθηνώδης· εἶθ' ὅταν ὁ ἀνθέρικος αὐανθῇ, διαδίδων ἐκπέτεται. δοκεῖ δὲ ἴδιον ἔχειν πρὸς τὰ ἄλλα τὰ λεγόμενα· διότι στερεὸν, ἀναφύσας ἄνωθεν ἔχει. πολλὰ δὲ εἰς τροφὴν παρέχεται χρήσιμα. καὶ γὰρ ὁ ἀνθέρικος ἐδώδιμος στεβόμενος, καὶ τὸ σπέρμα φρυγόμενον. πάντων δὲ μάλιστα ἡ ῥίζα κοπτομένη μετὰ σύκων, καὶ πλείστην ὄνησιν ἔχει, καθ' Ἡσίοδον. ἅπαντα μὲν οὖν φιλόζωα τὰ κεφαλόῤῥιζα, μάλιστα δὲ ἡ σκύλλα· καὶ γὰρ κρεμαμένη ζῇ, καὶ πλεῖστον γε χρόνον διαμένει. δύναται δὲ καὶ τὰ θησαυριζόμενα σώζειν, ὥσπερ τὴν ῥόαν, ἐκπηγνυμένης τοῦ μίσχου. καὶ τῶν φυτευομένων δ' ἔνια βλαστάνει θᾶττον ἐν αὐτῇ. λέγεται δὲ καὶ πρὸ τῶν θυρῶν τῆς εἰσόδου φυτευθεῖσαν, ἀλεξιτήριον εἶναι τῶν ἐπιφερομένων δηλήσεων. πάντα δὲ ταῦτα ἀθρόα φύεται, καθάπερ καὶ τὰ κρόμμυα, καὶ τὰ σκόροδα. παραβλαστάνουσι γὰρ ἀπὸ τῆς ῥίζης. ἔνια δὲ ἀπὸ τοῦ σπέρματος φανερῶς· οἷον ὅ τε ἀνθέρικος, καὶ τὸ λείριον, καὶ τὸ φασγάνιον, καὶ ὁ βολβὸς· ἀλλ' ἴδιον ἐπὶ τῶν βολβῶν λέγεται, τὸ μὴ ἀπὸ πάντων βλαστάνειν ἅμα τῶν σπερμάτων, ἀλλὰ τῶν μὲν αὐθετές, τῶν δὲ εἰς νέωτα· καθάπερ τὴν σίλφιόν φασι, καὶ τὸν λωτόν. τοῦτο μὲν οὖν εἴπερ ἀληθὲς, κοινὸν ἑτέρων. κοινὸν δὲ ἴσως καὶ τὸ μᾶλλον λέγεσθαι, πλὴν οὐ πολλῶν. θαυμαστὸν δὲ ἐπὶ πάντων, ὅπερ ἐπί τε τῆς σκύλλης καὶ τοῦ ναρκίσσου συμβαίνει· τῶν μὲν γὰρ ἄλλων, καὶ τῶν ἐξ ἀρχῆς φυτευομένων, καὶ τῶν βλαστανόντων, καθ' ὥραν τὸ φύλλον ἀνατέλλει πρῶτον, εἶθ' ὕστερον ὁ καυλός· ἐπὶ δὲ τούτων, ὁ καυλὸς πρότερον. τοῦ ναρκίσσου δὲ, ὁ τοῦ ἄνθους μόνον ἀναπαύει πρότερον τὸ ἄνθος· τῆς δὲ σκύλλης καθ' αὑτὸν εἰς ὕστερον, ἐπὶ τούτῳ τὸ ἄνθος ἀνίσχον προσπαθήμενον. ποιεῖται δὲ τὰς ἀνθήσεις τρεῖς· ὧν ἡ μὲν πρώτη, δοκεῖ σημαίνειν τὸν πρῶτον ἄροτον· ἡ δὲ δευτέρα, τὸν μέσον· ἡ δὲ τρίτη, τὸν ἔσχατον. ὅσαι γὰρ αὗται γίνονται, καὶ οἱ ἄροτοι σχεδὸν οὕτως ἐκβαίνουσιν. ὅταν δὲ οὕτως ἀπογηράσῃ, τότε ἡ τῶν φύλλων βλάστησις πολλαῖς ἡμέραις ὕστερον. ὡσαύτως δὲ καὶ ἐπὶ τοῦ ναρκίσσου· πλὴν ὅτι καυλὸν ἕτερον ἔχει παρὰ τὸν τοῦ ἄνθους, ὥσπερ εἴπομεν. ὅτι καρπὸν φανερόν· ἀλλὰ καὶ αὐτὸ τὸ ἄνθος ἅμα τῷ καυλῷ καταφθίνει. καὶ ὅταν ἀπανθῇ, τότε τὰ φύλλα ἀνατέλλει. πρὸς μὲν οὖν τὰ ἄλλα, ταῦτα συνέμφω ταῦτα ἴδια. πρὸς δὲ τὰ προανθοῦντα τῶν φύλλων καὶ τῶν καυλῶν, ὅπερ δοκεῖ ποιεῖν τὸ † τίφυον, καὶ ἕτερα τῶν ἀνθινῶν· ἔτι τε τῶν δένδρων ἡ ἀμυγδάλη μάλιστα, ἢ μόνον· ὅτι ταῦτα μὲν ἅμα τῷ ἄνθει προφαίνει τὸ φύλλον † ὄλυθος κατόπιν, ὥστε καὶ διαζητεῖσθαι περὶ τούτων. περὶ δὲ τούτων οἷον ἀφ' ἑτέρας ἀρχῆς φαίνεται. καὶ διὰ τὸ πλῆθος τῶν ἡμερῶν, καὶ διὰ τὸ μὴ πρότερον βλαστάνειν, πρὶν τὸ μὲν τὸ ἄνθος, τὸ δὲ καὶ ὁ καυλὸς ὅλος ἀπογηράσῃ. ἡ δὲ βλάστησις, πρότερα μὲν τῆς σκύλλης, ὕστερα δὲ ναρκίσσου. πολὺ δὲ καὶ τὸ φύλλον † οὕτως ἀφίησι, καὶ ἔστιν ἡ ῥίζα αὐτοῦ ἡ μικρὰ, καὶ ἡ μεγάλη, προσεμφερὴς κατὰ τὸ σχῆμα τῷ βολβῷ, πλὴν οὐδὲ πυρώδης. ταῦτα μὲν οὖν ἔχει σκέψιν. Τῶν δὲ βολβῶν ὅτι πλείω γένη, φανερόν. καὶ γὰρ τῷ μεγέθει, 13 καὶ τῇ χρόᾳ, καὶ τοῖς σχήμασι διαφέρουσι, καὶ τοῖς χυλοῖς. ἐνιαχοῦ γὰρ οὕτω γλυκεῖς, ὥστε καὶ ὠμοὺς ἐσθίεσθαι, καθάπερ ἐν Χερρονήσῳ τῇ Ταυρικῇ. μεγίστη δὲ ἡ ἰδιωτάτη διαφορὰ τοῦ ἐριοφόρου. ἔστι γὰρ τι γένος τοιοῦτον, ὃ φύεται μὲν αἰγιαλοῖς. ἔχει δὲ τὸ ἔριον ὑπὸ τοὺς πρώτους χιτῶνας, ὥστε ἀνὰ μέσον εἶναι τοῦ τε ἐδωδίμου τοῦ ἐντὸς, καὶ τοῦ ἔξω. ὑφαίνεται δὲ ἐξ αὐτοῦ καὶ πόδια, καὶ ἄλλα ἱμάτια. διὸ καὶ ἐριώδης ἐστὶν, καὶ οὐχ ὥσπερ τὸ ἐν Ἰνδοῖς τριχῶδες. πλείω δὲ καὶ τὰ βολβώδη, καὶ ἐλάττω ταῦτα δὲ καθάπερ τὸ λευκόϊον, καὶ βολβίνη, καὶ ὁ σπτίον, καὶ κνὶξ, καὶ τρόπον τινὰ τὸ σισυρίγχιον. βολβώδη δὲ ταῦτα, ὅτι στρογγύλα ταῖς ῥίζαις· ἐπεὶ τοῖς τε χρώμασι λευκὰ, καὶ οὐ λεπυρώδη. ἴδιον δὲ τοῦ σισυριγχίου, τὸ τῆς ῥίζης αὐξάνεσθαι τὸ κάτω πρότερον, ὃ καλοῦσι χείμαδρα. τοῦ δὲ ἔαρος ὑποφαίνοντος, τοῦτο μὲν ταπεινοῦσθαι· τὸ δὲ ἄνω τὸ ἐδώδιμον αὐξάνεσθαι. καὶ τὰ μὲν τοιαύτας ἔχει τὰς διαφοράς. ἴδια δὲ καὶ ταῦτα ἐν τοῖς ποώδεσιν, τό, τε ἐπὶ τοῦ ἀδιάντου συμβαῖνον· οὐδὲ γὰρ ὑγραίνεται τὸ φύλλον βρεχόμενον, οὐδ' ἐπιδέδεται ἐστὶ διὰ τὸ τὴν νοτίαν ἀπομένειν· ὅθεν καὶ ἡ προσηγορία. γίνεται δ' αὐτοῦ δύο, τὸ μὲν λευκὸν, τὸ δὲ μέλαν. χρήσιμα δὲ ἀμφότερα πρὸς ἔκφυσιν κεφαλῆς τριχῶν, ἐν ἐλαίῳ τριβόμενα. φύεσθαι δὲ μάλιστα πρὸς τὰ ὑ-

ἐν τούτοις περὶ τὰς διαφοράς, ἐν οἷς γίνονται, καὶ πῶς, λεκτέον ἤδη τὰς καθ' ἕκαστον ἱστορίας. μι * ὅσα καὶ περὶ τὴν ἰδίαν ἑκάστου φύσιν. λέγω δὲ, οἷον τὰ σταχυώδη, καὶ τὰ σκανδικώδη, καὶ μονοφυᾶ, ἰσὶν ὅτω καὶ εἴ τι ἕτερον † καὶ τῶν κοινὸν περὶ πάντων λαβεῖν, ὅ τῇ αἰσθήσει γνώριμον τοῖς φύλλοις, ἢ ἄνθεσιν, ἢ ῥίζαις, ἢ καρποῖς. ἐκ γὰρ τῶν φανερῶν ὁ μερισμός, ὥσπερ καὶ τῶν ῥιζῶν. σταχυώδη μὲν οὖν ἐστιν, ὅ, τι ἀχυρώδη ὑπὸ * μόνος τελέως ἔχων ἰδίας ἐν ἑαυτῷ· καὶ ὁ ἀλωπέκουρος, καὶ ὁ στελεφοῦρος, ὃν ἔνιοι δὲ ἀρνόγλωσσον, τὸν δὲ ὄρτυξ καλοῦμεν. παρόμοιον δὲ τούτῳ τρόπον τινὰ καὶ ἡ θρυαλλίς. ἁπλᾶ δὲ, καὶ μονοειδῆ τρόπον τινὰ ταῦτα, καὶ στάχυν οὐκ ὀξὺν οὐδ' ἀθερώδη ἔχοντα. ὁ δὲ ἀλωπέκουρος, μαλακὸν χνοωδέστερον, ὅτι καὶ ὅμοιον ταῖς τῶν ἀλωπέκων οὐραῖς, ὅθεν καὶ τοὔνομα μετείληφεν. ὅμοιος δὲ τούτῳ καὶ ὁ στελεφοῦρος, πλὴν οὐχ ὥσπερ ἐκεῖνος ἀνθεῖ κατὰ μέρος, ἀλλὰ δι' ὅλου τοῦ στάχυος, ὥσπερ ὁ πυρός. αἱ δὲ ἀνθήσεις ἀμφοῖν χνοώδεις, καθάπερ καὶ τοῦ σίτου. παρόμοιον δὲ τῇ ὅλῃ μορφῇ τῷ πυρῷ, πλὴν πλατυφυλλότερον. ὡσαύτως δὲ τούτοις καὶ τὰ ἄλλα τὰ σταχυώδη λεκτέον.

ταῖς ῥίζαις Τὰ δὲ κιχοριώδη, πάντα μὲν ἐπιγειόφυλλα καὶ ῥιζόφυλλα. βλαστάνει δὲ μετὰ πλειάδα, πλὴν τῆς ἀπάπου. τοῖς δὲ καυλοῖς καὶ † αἱ ῥίζαι μεγάλας ἔχουσι διαφοράς. οἱ μὲν γὰρ τῶν ἄλλων ἁπλούστεροι καὶ θαλλῖται, ὁ δὲ τοῦ κιχορίου μέγας, καὶ παραφύσεις ἔχων πολλάς. ἔτι δὲ γλίσχρος, καὶ δυσδιαίρετος· διὸ καὶ δεσμοῖς χρῶνται. παραβλαστικὸν δὲ καὶ τῇ ῥίζῃ, καὶ ἄλλως μακρόρριζον. διὸ καὶ δυσώλεθρον. ὅταν γὰρ ἐκλαχανίσωνται, πάλιν τὴν ὑπόλοιπον ἀρχὴν λαμβάνει γινόμενον. συμβαίνει δὲ καὶ παρανθεῖν κατὰ μέρος ἄλλο καὶ ἄλλο, καὶ τοῦτ' ἄχρι τοῦ μετοπώρου, σκληρὸν δ' οὕτως ἐστὶ τοῦ καυλοῦ. φέρει δὲ καὶ λοβόν, ἐν ᾧ τὸ σπέρμα πρὸς ὑποχυλεῖς τὰ ἄκρα τῶν καυλῶν. ἡ δὲ † ὑποχοίρησις, λειοτέρα, καὶ ἡμερωτέρα τῇ προσόψει, καὶ γλυκυτέρα· καὶ οὐχ ὥσπερ ἡ χονδρίλη, ἀλλὰ τὸ ὅλον οὐκ ἐδώδιμος· αὕτη γὰρ ἄβρωτος, καὶ ἐν τῇ ῥίζῃ δριμὺν ὀπὸν ἔχει, καὶ πολύν. ἄβρωτος δὲ, καὶ πικρὰ ἡ ἀφάκη· πρωϊανθεῖς δὲ, καὶ ταχὺ γηράσκει, καὶ ἀποπαπποῦται, εἶτ' ἄλλο φύεται πάλιν, καὶ ἄλλο· καὶ τοῦτο παρ' ὅλον ποιεῖ τὸν χειμῶνα, καὶ τὸ ἔαρ ἄχρι τοῦ θέρους· τὸ δὲ ἄνθος μηλινοειδές. ὡσαύτως δὲ καὶ ἡ πικρίς· καὶ γὰρ αὕτη τῷ ἦρι ἀνθεῖ, καὶ παραπλήσια δι' ὅλου τοῦ χειμῶνος, καὶ τοῦ θέρους παρανθεῖ· τῇ γεύσει δὲ πικρά, διὸ καὶ τοὔνομα ἔλαβε. ταῦτα μὲν οὖν ἐν ταύταις ταῖς διαφοραῖς. παραστέον δὲ, ὡς ἐλέχθη, καὶ τῶν ἄλλων λαμβάνειν ὁμοίως. πολὺ δέ τι γένος ἐστὶ καὶ τὸ στρογγυλόρριζον, ἢ κεφαλόρριζον· ἃ καὶ πρὸς τὰ ἄλλα, καθὰ καὶ τὰς διαφορὰς ἔχει, ῥίζαις τε καὶ φύλλοις καὶ καυλοῖς καὶ ταῖς ἄλλαις μορφαῖς. τῶν γὰρ ῥιζῶν, ὥσπερ εἴρηται πρότερον, αἱ μὲν λεπυρώδεις, αἱ δὲ σαρκώδεις· καὶ αἱ μὲν ἔχουσαι φλοιόν, αἱ δ' ἄφλοιοι· ἔτι δὲ αἱ μὲν στρογγύλαι, αἱ δὲ προμήκεις· καὶ αἱ μὲν ἐδώδιμοι, αἱ δὲ ἄβρωτοι. ἐδώδιμος μὲν γὰρ οὐ μόνον βολβοί, καὶ τὰ ὅμοια τούτοις, ἀλλὰ καὶ ἡ τοῦ ἀσφοδέλου ῥίζα, καὶ ἡ τῆς σκίλλης, πλὴν οὐ πάσης, ἀλλὰ τῆς ἐπιμενιδείας καλουμένης, ἢ ἀπὸ τῆς χρήσεως ἔχει τὴν προσηγορίαν. αὕτη δὲ στενοφυλλοτέρα τε καὶ λειοτέρα τῶν λοιπῶν ἐστιν. ἐδώδιμος δὲ καὶ ἡ τοῦ ἄρου, καὶ αὐτή, καὶ τὰ φύλλα προσαφεψηθέντα ἐν ὄξει, καὶ ἔστιν ἡδέα τι καὶ πρὸς τὰ ῥήγματα ἀγαθά, πρὸς δὲ τὴν αὔξησιν αὐτῆς, ὅταν ἀποφυλλάσωσιν· ἔχει δὲ μέγα σφόδρα τὸ φύλλον· ὃ ἀνορύξαντες, στρέφουσιν ὅπως ἂν μηδὲν βλαστάνῃ, ἀλλὰ πᾶσαν ἕλκῃ τὴν τροφὴν εἰς ἑαυτήν· ὃ καὶ ἐπὶ τῶν βολβῶν τινὲς ποιοῦσι συντιθέντες. ἡ δὲ τοῦ δρακοντίου (καλοῦσι γὰρ καὶ δρακόντιον ἄρον, διὰ τὸ τὸν καυλὸν ἔχειν τινὰ ποικιλίαν) ἄβρωτος καὶ φαρμακώδης. ἀλλ' ἡ τοῦ φασγανίου καλουμένης, γλυκεῖα τε ἑψηθεῖσα, καὶ τριφθεῖσα μιγνυμένη τῷ ἀλεύρῳ, ποιεῖ τὸν ἄρτον γλυκὺν καὶ ἀσινῆ. στρογγύλη δὲ ἐστί, καὶ ἄφλοιος, καὶ παραφύσεις ἔχουσα μικράς, ὥσπερ τὸ γήθυον. πολλὰς δὲ ὑφίσχουσι ταῖς σκολοπίαις. χαίρει γάρ, καὶ συλλέγει τὸ ζῷον. ἡ δὲ τοῦ θρυσίου, τῇ μὲν γεύσει πικρά· τριβομένη δὲ, κοιλίαν ὑποκαθαίρει. φαρμακώδεις δέ τινές εἰσι καὶ ἕτεραι. πολλῶν δὲ οὐ τι φαρμακώδεις, ὅτι ἐδώδιμοι. καὶ αὗται μὲν ἐν ταῖς ῥίζαις αἱ διαφοραί.

δια-

12 Κατὰ δὲ τὰ φύλλα, τοῖς τε μεγέθεσι, καὶ τοῖς σχήμασιν, ὁ μὲν ἀσφόδελος μακρόν, καὶ στενώτερον, καὶ ὑπόγλισχρον ἔχει τὸ φύλλον· ἡ δὲ σκίλλα, πλατὺ καὶ εὐδιαίρετον· τὸ δὲ φάσγανον, ὑπὸ τινων δὲ καλούμενον ξίφος, ἦεις ξιφοειδές· ὅθεν ἔχει καὶ τοὔνομα. ἡ δὲ † ἶρις, καλαμωδέστερον. τὸ δὲ τοῦ ἄρου, πρὸς τῷ πλατύτατον τοῦ καὶ ἔγκοιλον καὶ σικυῶδές ἐστιν. ὁ δὲ νάρκισσος, στενόν, καὶ πολύ, καὶ λιπαρόν. βολβὸς δὲ, καὶ τὰ βολβώδη, παντελῶς στενά. καὶ τοῦ κρόκου δέ τι, στενότερον. καυλὸν δὲ, τὰ μὲν οὐκ ἔχει τὸ ὅλον, οὐκ ἄνθος, ὥσπερ τὸ ἄρον τὸ ἐδώδιμον· τὰ δὲ, τὸν τοῦ ἄνθους μόνον, ὥσπερ ὁ νάρκισσος, καὶ ὁ κρόκος. ἔνια δὲ ἔχει, καθάπερ ἡ σκίλλα, καὶ ὁ βολβός, καὶ τὰ βολβώδη, καὶ ἡ ἶρις, καὶ τὸ ξίφιον.

βλαστήσαντα πρότερον, τὰ δὲ πλεῖστον τὰ φύλλα ἔχει σχεδὸν ἐν τῇ ἀρχῇ μέγιστα γίνονται, καὶ μάλιστα ἐδώδιμα. τὰ δ' ἐκ τῶν δένδρων πρόσθεν ἵνα καυλόν. διαφέρουσι δὲ καὶ τοῖς ἄνθεσι πολύ. ἐν μὲν γὰρ τοῖς δένδροις τά γε πλεῖστα λευκά, τὰ δὲ μικρὸν ὑποπορφυρίζοντα, τὰ δὲ ποώδη καὶ χλοώδη. ἐκ χρωσμένων δὲ ἀνθικῶν πολλαὶ καὶ παντοδαπαὶ χροιαί, καὶ δίχροαι, καὶ μεμιγμέναι, καὶ εὔοσμοι δὴ καὶ ἄοσμοι. καὶ ἔνια τὰ μὲν δένδρα τὴν ἄνθην ἀθρόαν ποιεῖται· τούτων δ' ἔνια κατὰ μέρος, ὥσπερ ἐλέχθη καὶ περὶ τοῦ ὠκίμου· διὸ καὶ πολὺν χρόνον ἀνθεῖ, καθάπερ ἄλλα τε πολλά, καὶ τὸ ἡλιοτρόπιον, καὶ τὸ κιχόριον. πολλαὶ δὲ καὶ τῶν ῥιζῶν διαφοραί, καὶ τρόπον τινὰ τούτων φανερώτεραι. εἰσὶ γὰρ αἱ μὲν ξυλώδεις, αἱ δὲ σαρκώδεις, καὶ ἰνώδεις· ὥσπερ καὶ τῶν ἡμέρων. καθάπερ αἵ τε τοῦ σίτου, καὶ τῶν πόας τῶν πλείστων. αὐτῶν δὲ τούτων ἑκάσται πλείστας ἔχουσι διαφοράς· χρώμασιν, ὀσμαῖς, χυλοῖς, μεγέθεσιν. αἱ μὲν γὰρ λευκαί, αἱ δὲ μέλαιναι, αἱ δ' ἐρυθραί· καθάπερ ἥ τε τῆς ἀγχούσης, καὶ τοῦ ἐρυθροδάνου. αἱ δ' ὥσπερ ξανθαί, καὶ ξυλοειδεῖς, καὶ γλυκεῖαι δέ, καὶ πικραί, καὶ δριμεῖαι· καὶ εὐώδεις, καὶ κακώδεις· καὶ ἔνιαι φαρμακώδεις, ὡς ἐν ἄλλοις εἴρηται. διαφοραὶ δὲ καὶ τῶν σαρκωδῶν· αἱ μὲν γὰρ στρογγύλαι, αἱ δὲ προμήκεις, καὶ βαλανώδεις, ὥσπερ ἀσφοδέλου καὶ κρόκου. καὶ αἱ μὲν λεπυριώδεις, ὥσπερ ἡ τοῦ βολβοῦ, καὶ τῆς σκίλλης, καὶ ὅσαι βολβώδεις· καὶ κρομμύου δὲ καὶ γηθύου, καὶ ὅσα τούτοις ὅμοια. αἱ δὲ ὁμαλεῖς, καὶ ψαθυραί, καὶ μαλακαὶ διόλου, καὶ ὥσπερ ἄφλοιοι· καθάπερ τοῦ ἄρου. αἱ δὲ καὶ φλοιὸν ἔχουσι πρὸς τῇ σαρκί, καθάπερ ἡ τῆς κυκλαμίνου, καὶ τῶν γογγυλίδων. οὐχ ἅπασαι δὲ εὐώδεις, ἢ γλυκεῖαι, ἢ εὔοσμοι, ἢ ἐδώδιμοι· οὐδ' αἱ πικραὶ ἄβρωτοι· ἀλλ' ὅσαι ἀβλαβεῖς εἰσι τῷ σώματι, μετὰ τὴν προσφοράν. ἔνιαι γὰρ γλυκεῖαι μέν, θανάσιμοι δέ, καὶ νοσώδεις. αἱ δέ, πικραὶ μέν, ἢ κακώδεις, ὠφέλιμοι δέ. τὸν αὐτὸν δὲ τρόπον καὶ φύλλα, καὶ καυλοί· καθάπερ τοῦ ἀψινθίου, καὶ τοῦ κανταυρίου. διαφοραὶ δὲ καὶ κατὰ τὴν βλάστησιν, καὶ κατὰ τὴν ἄνθησιν· οἷον ἀρχομένου χειμῶνος, καὶ μεσοῦντος· καὶ πάλιν ἦρος, ἢ θέρους, ἢ μετοπώρου. καὶ περὶ τῶν καρπῶν δὲ ὁμοίως, τὰ βρωτὰ εἴτε, καὶ καυλὸς εἴτε, καὶ φύλλα, καὶ σπέρματα, καὶ ῥίζας· καὶ ἐν αὐτοῖς τούτοις κατὰ τοὺς χυλούς· οἷον ὀξύτητι, καὶ γλυκύτητι, καὶ αὐστηρότητι, καὶ ταῖς ἄλλαις ταῖς τοιαύταις, ἁπλῶς τε καὶ κατὰ τὸ μᾶλλον. τὰς μὲν οὖν διαφορὰς ἐν τούτοις ληπτέον.

Διῃρημένων δὲ περὶ τὰς ὥρας ἑκάστων, πρός τε τὰς βλαστήσεις, καὶ περὶ τὰς ἀνθήσεις καὶ τελειώσεις τῶν καρπῶν, οὐδὲν αὖ βλαστεῖ καὶ πρὸ τῆς οἰκείας ὥρας, οὔτε τῶν ῥιζοφυῶν, οὔτε τῶν σπερμάτων, οὔτε τῶν σπερμοφυῶν, ἀλλ' ἕκαστον ἀναμένει τὴν οἰκείαν, οὐδ' ὑπὸ τῶν ὑδάτων οὐδὲν πάσχον. ἔνια γὰρ † θερμὰ κομιδῇ καὶ τῇ ἀνθήσει, καὶ τῇ βλαστήσει· καθάπερ ὅ, τε σκόλυμος, καὶ ὁ σίκυος ἄγριος· ὥσπερ καὶ περὶ τῶν φρυγανικῶν ἐλέχθη, περὶ κονύζης τε καὶ καππάριδος, καὶ τῶν ἄλλων. οὐδὲν γὰρ οὐδὲ ἐκείνων ἀνθεῖ καὶ βλαστάνει πρὸ τῆς οἰκείας ὥρας. διὸ καὶ ταύτῃ δόξαιεν ἂν διαφέρειν τῶν δένδρων. τῶν μὲν γὰρ ἅμα πως πάντων ἐγγὺς ἡ βλάστησις. εἰ δὲ μή, περὶ μίαν γε ὥραν, ὡς εἰπεῖν. τούτων δέ, ἐν πολλαῖς, μᾶλλον δὲ ἐν ἁπάσαις ἡ βλάστησις· καὶ ἔτι μᾶλλον ἡ ἄνθησις. ὥστε εἴ τις ἐθέλει κατανοεῖν, σχεδὸν συνεχὴς γίνεται καθόλου ἐνιαυτοῦ καὶ ἡ βλάστησις καὶ ἡ ἄνθησις· ἀεὶ γὰρ ἕτερον ἐξ ἑτέρου διαδεχόμενον, πάσας ἀναλαμβάνει τὰς ὥρας. φιον, μετὰ τὴν ἀφάκην, ἔστιν † ἡ ἀνεμωνία, καὶ ὁ ἠριγέρων, καὶ τὰ ἄλλα χειμερινά· μετὰ δὲ ταῦτα, τὰ ἠρινά, καὶ μετοπωρινά. πολλὰ δέ, ὥσπερ ἐλέχθη, καὶ τῶν περὶ μέρος ἀνθέων ἐπιτείνεται ταῖς ὥραις. ἔνια γὰρ οὕτως ἀνθεῖ, καθάπερ ἥ τε ἀφάκη, καὶ ὁ ὀνοκίχλης, καὶ τὸ κιχώριον, καὶ τὸ ἀρνόγλωσσον, καὶ ἄλλα· ὅσα δὲ τὴν συνέχειαν, καὶ τὴν παρακατάληψιν τὴν ὑπ' ἀλλήλων, οὐ φαίνεται ῥᾴδιον ἐν ἐνίοις, οὐδ' ὁρίσαι, ποῖα πρῶτα βλαστάνει, καὶ ὅλως ποῖα πρωὶ βλαστάνει, καὶ ποῖα ὀψιβλαστεῖ, ἵνα ζῇ· καὶ αὐτῶν τε τούτων τὰς γενέσεις καὶ τὰς ὥρας, ὅταν τελεωθέντων τῶν καρπῶν, πάλιν ἄλλας ἀρχὰς ἐνιστῶντες τῆς γενέσεως· ὅπερ μάλιστα δοκεῖ συμβαίνειν μετ' ἰσημερίαν μετοπωρινήν. τότε γὰρ ἤδη τὰ σπέρματα πλεῖστα τετελείωται, καὶ τῶν δενδρικῶν καρπῶν οἱ πολλοί, καὶ ἅμα μεταβολή τις αὐτῶν τούτων προσγίνεται καὶ τῆς ὥρας. ὅσα δὲ ἀτελῆ καὶ ἄπεπτα παρακαταλαμβάνεται, τούτοις περὶ λόγον ἐκ περιόδου καὶ ἡ βλάστησις γίνεται, καὶ ἡ ἄνθησις, καὶ ἡ τελείωσις. διὸ συμβαίνει τὰ μὲν ὑπὸ τροπὰς ἀνθεῖν, τὰ δ' ὑπὸ κύνα, τὰ δὲ μετὰ ἀρκτοῦρον καὶ ἰσημερίαν μετοπωρινήν. ἀλλὰ ταῦτα μὲν ἔοικε κοινοτέραν ἔχειν σκέψιν, εἰς ἀφορισμὸν ἀρχῆς. ὅτι δὲ αἱ διαφοραὶ πλείους, ἢ οὐκ ἐλάττους, ἐν τούτοις φανερόν. ἐπεὶ καὶ ἀείφυλλα τῶν τοιούτων ἐστὶν ἔνια, καθάπερ † τὸ ἡλιοτρόπιον, καὶ τὸ ἀδίαντον. ἀφωρισμένων

αὐδ' ὥ- κενταυρίου φρυώτιδ, καὶ θερινά τὸ λευκόιον καὶ ἡ ὁ ἀνεμωνία -νον τὸ πολὺ καὶ τὸ

7 γὰρ φύλλον ἔχει περιόμενον. τούτων μὲν οὖν ἐν τοῖς εἰρημένοις αἱ διαφοραί. Τῶν δὲ ἀγρίων
λεγομένων μετὰ ταῦτα ῥητέον. καὶ ὅλως ἐγγὺς ποιοῦσί τινες, ὃ μὴ τυγχάνει θεραπείας. καλοῦμεν
γὰρ λάχανα, τὰ πρὸς τὴν ἡμετέραν χρείαν· ἐν δὲ τῷ καθόλου, κἀκεῖνα περιέχεται. διὸ καὶ περὶ
ἐκείνων λεκτέον. λάχανα μὲν δὴ τὰ τοιαῦτα καλεῖται, κιχόρη, ἀφάκη, ἀνδρύαλα, ὑπο-
χοιρίς, ἠριγέρων· καὶ ὅλως, ὅσα κιχοριώδη ταῦτα, διὰ τὴν ὁμοιότητα τοῦ φύλλου· πάντα γὰρ
προσεμφερῆ ἔχει τῷ κιχορίῳ· πάλιν καυκαλίς, φυθυσινόν, ἡδύοσμον. οἱ δὲ μυρία ἄλλα, †κα-
λοῦσιν, ὃ τὴν μὲν ῥίζαν ἔχει μακρὰν καὶ γλυκεῖαν, τὰ δὲ φύλλα τῷ κρόκῳ ὅμοια, πλὴν μακρό-
τερα· τὸν καυλὸν δὲ βραχύν, ἐφ' οὗ τὴν κάλυκα μεγάλην, καὶ ἐξ ἄκρου μέγαν τὸν παππὸν
πολιόν, ἀφ' οὗ καλεῖται τραγοπώγων. ὁμοίως δὲ καὶ ἄλλα †τοιαῦτα τὰς μὲν ἰδίας ἔχει, τὰς δὲ
χυλὸς ἐδωδίμους, ἢ ὠμούς, ἢ ἑφθούς. ἔνια γὰρ δὴ ἔτι πυρώσεως, ὥσπερ μαλάχη, καὶ τεῦτλις,
καὶ τὸ λάπαθον, καὶ ἡ ἀναλύφη, καὶ τὸ ἀνδράχνιον. τὸν δὲ τρόχνον καὶ ὠμὸν ἐσθίουσιν, ὃ καὶ δύσπε-
πτον ἴσως πρότερον. καὶ ἕτερα δὲ πλείω τούτων ἐν οἷς καὶ παροιμιαζόμενός ἐστι διὰ πικρότητα
κόρχορος, ἔχων τὸ φύλλον ὠκιμῶδες. πάντων δέ, τὰ μὲν ἐπέτεια, τὰ δὲ ἐπετειόκαυλα τυγ-
χάνει. τὰ μὲν γὰρ ἐξαυαίνονται, ὧν δὲ διαμένουσιν εἰς πλείω χρόνον αἱ ῥίζαι. σχεδὸν δὲ οὐκ ἐ-
λάττον τὰ τοιαῦτά ἐστι. φύεται δὲ τὰ μὲν καὶ ἐκ τῶν ῥιζῶν, καὶ ἀπὸ τοῦ σπέρματος. τὰ δὲ ἕτερα
8 μόνον ἐκ σπέρματος, εἰ μή τι καὶ αὐτόματον. Ἡ δὲ βλάστησις καὶ τούτων δέ, καὶ τῶν ἄλλων,
τῶν μὲν ἅμα τοῖς πρώτοις εὐθὺς ἐστὶ μετ' ἰσημερίαν, οἷον ἀφάκης, καὶ τοῦ πολυκώνυος, καὶ ἣν
καλοῦσί τινες βότρυσιν, †περὶ μετὰ πλειάδα, καθάπερ καὶ κιχορεία, καὶ σχεδὸν τῶν ἄλλων τῶν κι-
χοριωδῶν. καὶ τὰ μὲν εὐθὺς ἅμα τῇ βλαστήσει τὸ ἄνθος ἀφίησι, καθάπερ ἡ ἀφία· τὰ δὲ ὕστε-
ρον οὐ πολύ, καθάπερ ἡ ἀνεμώνη. τὰ δὲ ἅμα περὶ ἦρι καὶ ἐκκαυλεῖ καὶ ἀνθεῖ, καθάπερ τὸ κιχό-
ριον, καὶ τὰ κιχοριώδη, καὶ τῶν ἀκανθικῶν ὅσα λαχανώδη. Διαφορὰ δὲ τῶν ἀνθῶν πολλά, τε-
θὲ ἃς ἐν τοῖς πρότερον εἴρηται· σχεδὸν γὰρ ἐστὶ κοινὸν ἁπάντων. ἔνια δὲ καὶ ὅλως αὐχμεῖ, καθά-
περ καὶ τὸ ἐπίμετρον. συμβαίνει δέ, οἷς ἅμα τῷ καρπῷ τὸ ἄνθος ἀφίησι, ταχεῖαν εἶναι τὴν
ἀπάνθησιν. πλὴν ἡ μέν, ἐκγηράσαντος πάλιν τοῦ πρώτου, πάλιν ἄλλο καὶ ἄλλο παραφύει, καὶ
σχεδὸν ποιεῖ παρ' ὅλον τὸν χειμῶνα καὶ τὸ ἔαρ ἄχρι τοῦ θέρους. πολὺν δὲ χρόνον καὶ ὁ ἠριγέρων· τὰ δὲ
ἄλλα οὐ ποιεῖ τοῦτο, καθάπερ οὐδὲ ὁ κρόκος. ἔτι ὁ θύσμος, οὐδ' ὁ λεύκιος, οὐδ' ὁ ἀκανθώδης. ἔστι
δὲ †θύσμοι. κοινὴ δὲ διαφορὰ πάντων τῶν ποωδῶν ἡ τοιάδε· τὰ μὲν γάρ ἐστιν ὀρθόκαυλα,
καὶ εὐθυόκαυλα, τὰ δὲ ἐπιγειόκαυλα· καθάπερ μαλάχη, σκάνδιξ, σίκυος ἄγριος. τὸ δὲ ἡ-
λιοτρόπιον, ἔτι μᾶλλον (ὡς ἁπλῶς) τούτων· ὥσπερ καὶ ἐν τοῖς ἀκανθώδεσιν ἐστί, τρίβολος, καὶ
ἡ κάππαρις, καὶ ἄλλα πλείω· καὶ γὰρ ἐκείνων ἡ διαφορὰ πλείων. ἔνια δὲ περιελικόκαυλα. μὴ
ἔχοντα δὲ οὗ προσπέσωσιν, ἐπιγειόκαυλα καθάπερ ἡ πιτύη, καὶ ἡ περιώνη. καὶ ἁπλῶς, ὧν ὁ
καυλὸς λεπτὸς καὶ μαλακός, καὶ μακρός· διὸ καὶ φύονται ταῦτα ὡς ἐπὶ τὸ πᾶν ἐν ἄλλοις. κοι-
νὴ δὲ καὶ αὕτη ἡ διαφορὰ πάντων, οὐ μόνον τῶν ποωδῶν καὶ φρυγανικῶν, ἀλλὰ καὶ τῶν θαμνω-
δῶν. καὶ γὰρ ἡ ἕλιξ, καὶ ἔτι μᾶλλον ἡ σμίλαξ, περιελικόκαυλον. ἔτι δὲ καὶ τῶν ποωδῶν, τὰ μὲν γὰρ
πολύκαυλα, τὰ δὲ μονόκαυλα. καὶ τῶν μονοκαύλων, τὰ μὲν ἀπαράβλαστα περὶ τὸν καυλόν, τὰ
δὲ παραβλαστικά· καθάπερ καὶ ἐν τοῖς ἡμέροις, ἔτι ῥαφανίς, καὶ ἄλλ' ἄττα. πολύκαυλα δέ, ὡς
ἁπλῶς εἰπεῖν, τὰ ἐπιγειόκαυλα. μονόκαυλα δὲ καὶ ὀλιγόκαυλα, τὰ ὀρθόκαυλα. τούτων δὲ
ἀπαράβλαστα τὰ λειόκαυλα, κρόμμυον, πράσον, σκόροδον, ὥσπερ καὶ ἐν τοῖς ἡμέροις ὑπάρ-
9 χει. Διαφορὰ δέ τις καὶ ἥδε τῶν ποωδῶν ἐστι· τὰ μὲν ἐπιγειόφυλλα, τὰ δ' ἐπικαυλό-
φυλλα· τυγχάνει δὲ ἀμφοτέρων. ἐπιγειόφυλλα μέν, κορωνόπους, ἄνθεμον, ἄγχουσα, πόα, ἀνεμώ-
νη, ἀφύλλανθες, ἀπηγία, ἀρνόγλωσσον, ἀπάτο. καὶ ἐπικαυλόφυλλα δέ, κερκίς, ἄνθεμον τὸ
φυλλῶδες, λωτόν, λευκόϊον. ἀμφοτέρως δέ, τὸ κιχόριον. καὶ γὰρ ἐπὶ τῶν καυλῶν ἅμα ταῖς
ἐκφύσεσι ταῖς ἀκρεμονικαῖς, ἐκφύεται καὶ ἄνθος· καὶ τῶν φυλλακάνθων ἔνια, πλὴν ἀκανθώδεσι
κομιδῆ, καθάπερ ὁ σόγχος. ἔστι δὲ καὶ τὰ μὲν ἄκαρπα, τὰ δὲ κάρπιμα. καὶ ὅλως τῶν ποωδῶν
τὰ μὲν ἔχει τὸ φύλλον ἀφιᾶσι, τὰ δὲ καυλὸν ἔχει καὶ ἄνθος, καρπὸν δὲ οὔ. τὰ δὲ καὶ καρ-
πόν, ὥσπερ τὴν πλείστην φύσιν· εἰ μὴ καὶ ἄνευ τοῦ ἄνθους καρποφορεῖ, ὥσπερ ἐπὶ τῶν δέν-
δρων. διαφέρει δὲ καὶ τὰ φύλλα σχεδὸν οὐκ ἐλάττοσιν, ἀλλὰ πλείοσι διαφοραῖς, ἢ τὰ τῶν δέν-
δρων· καὶ πρὸς αὐτὰ δὲ ἐκεῖνα διαφορὰς ἔχει. μεγίστην μέν, ὡς εἰπεῖν, ὅτι τὰ μὲν ἐκ μίσχου
προσπέφυκε, τὰ δὲ αὐτὰ μὲν ὡς ἁπλῶς, τὰ δὲ καυλικῷ τινι προσφύσει. καὶ τῶν μὲν ἐν τῇ
βλα-

ἐν οἷς καὶ τρα-
γοπώγονα
καλοῦσιν
† τοιαῦτας μὲν

τῶν δὲ

θύσμοι

σμίχου

ἢ πρὸς ἑαυτήν, ὅπως μὴ καταψύχηται. τὸ δὲ ὤκιμον, καὶ μεσημβρίας· καὶ γὰρ διαβλαστάνειν θᾶττόν φασι, θερμῷ τὸ πρῶτον ἀρδευόμενον. τὸ δὲ πολὺ λίαν ὕδωρ δοκεῖ συμφέρειν ἄλλως τε, καὶ ἐὰν μὴ ἔχῃ κόπρον· πολλάκις γὰρ πεινῆν τὰ λάχανά φασι, καὶ ταῦτα γνωρίζειν τοὺς ἐμπείρους τὴν κοπρείαν. μεταφυτευόμενα δὲ πάντα, βελτίω καὶ μείζω γίνεται· καὶ γὰρ τὰ τῶν πράσων μεγέθη, καὶ τὰ τῶν ῥαφανίδων, ἐκ μεταφυτείας. μάλιστα δὲ μεταφυτεύουσι πρὸς τοὺς σπερματικούς. καὶ τὰ μὲν ἄλλα ἑπόμενα, οἷον γήθυον, πράσον, ῥάφανος, σίκυος· σέλινον, γογγυλίς, θρίδαξ, γλήχων. ἅπαντα δὲ διαξέστερα καὶ μείζω πηγνυμένων τῶν σπερμάτων, ἢ σπειρομένων. θηρία δὲ γίνεται ταῖς μὲν ῥαφανῖσι, ψύλλαι· τῇ δὲ ῥαφάνῳ, κάμπαι, καὶ σκώληκες· καὶ ἐν τῇ θριδακίνῃ, καὶ ἐν τοῖς πράσοις, καὶ ἐν ἄλλοις πλείοσιν, αἱ πρασοκουρίδες. ταῦτα μὲν οὖν ἡ κράσις ἀθροισθεῖσα ἀπόλλυσι. καὶ ὅταν κόπρος ἀθρόα τις κατατεθῇ, φιλόκοπρον τὸ θηρίον ἀναδύεται, καὶ ἐν αὐτῇ κοιμᾶται ἐν τῇ κόπρῳ. διὸ δὴ ῥᾴδιον θηρεύειν· ἄλλως δ' οὐκ ἔστι. ταῖς δὲ ῥαφανῖσι πρὸς τὰς ψύλλας, † πρὸς τὸ ἐπισπείρειν ὀρόβους. πρὸς δὲ τὸ μὴ γίνεσθαι ψύλλας, οὔ φασιν εἶναι φάρμακον οὐδέν. ὑπὸ δὲ τὸ ἄστρον, ὤκιμον μὲν λευκαίνεται, κορίαννον δὲ † ἅλμαι. τὰ μὲν οὖν συμβαίνοντα διὰ τοῦτον, θεωρητέον. τῶν δὲ σπερμάτων, τὰ μὲν ἐστὶν ἰσχυρότερα, τὰ δὲ ἀσθενέστερα πρὸς διαμονήν. ἰσχυρότερα μέν, οἷον κορίαννον, τεῦτλιον, πράσον, κάρδαμον, νᾶπυ, εὔζωμον, θύμβρα, ἄλλως τὰ δριμέα πάντα. ἀσθενέστερα δέ, γήθυον· τοῦτο γὰρ οὐκ ἐθέλει μένειν. ἀνδράφαξυς, ὤκιμον, κολοκύντη, σίκυον, ἁπλῶς τὰ θερινὰ τῶν χειμερινῶν μᾶλλον. διαμένει δὲ οὐδὲν πλέον τετραετίας, ὥστε † δεῖ χρήσιμον εἶναι πρὸς τοὺς σπόρους. ἀλλὰ διετῆ μὲν βελτίω, διὰ δὲ τριῶν οὐδὲν χεῖρον. τὸ δὲ ὑπέργηρον ἤδη χεῖρον. πρὸς δὲ τὴν μαγειρικὴν χρείαν τὰ πλείω διαμένει· πλὴν ἀσθενέστερα πάντα ἀναγκαῖον εἶναι, διὰ τὴν ἀναπνοήν, καὶ τὴν κώλυσιν. φθορὰ δὲ μάλιστα μὲν ὑπὸ τῶν θηρίων. γίνεται γὰρ ἐν ἅπασι καὶ τοῖς δριμέσιν, ἥκιστα δὲ ἐν τῷ σικυῶνι. οὐ μὴν ἀλλὰ καὶ ἐξικμαζόμενα, πικρὰ γίνεται τῇ γεύσει· διὸ καὶ πρὸς τὴν χρείαν χείρω. καὶ περὶ μὲν τῶν σπερμάτων, καὶ ἁπλῶς τῶν κηπευομένων, ἱκανῶς εἰρήσθω. περὶ δὲ τῶν ἀγρίων, καὶ τῶν καλουμένων ἀγριαίων, πειρατέον ὁμοίως εἰπεῖν. τυγχάνει δὲ τὰ μὲν ὁμώνυμα τοῖς εἰρημένοις· ἅπαντα γάρ ἐστι τὰ γένη ταῦτα καὶ ἄγρια. καὶ σχεδόν τά γε πολλά, παραπλησίαν ἔχοντα τὴν ὄψιν τοῖς ἡμέροις, πλὴν τοῖς γε φύλλοις ἐλάττω ταῦτα, καὶ βραχύτερα, καὶ τοῖς καυλοῖς. καὶ μάλιστα τοῖς χυλοῖς δριμύτερα, καὶ ἰσχυρότερα· καθάπερ ἥ τε θύμβρα, καὶ ἡ ὀρίγανος, ἥ τε ῥάφανος, καὶ τὸ πήγανον. ἐπεὶ καὶ τὸ λάπαθον ἄγριον, καίπερ εὐστομώτερον τοῦ ἡμέρου, τὸν δὲ χυλὸν ὅμως ὀξύτερον ἔχει, καὶ τούτῳ μάλιστα διαφέρει. πάντα δὲ καὶ ξηρότερα τῶν ἡμέρων, καὶ ἴσως αὐτῷ τούτῳ ταῦτα πολλὰ καὶ δριμύτερα καὶ ἰσχυρότερα. ἰδίως δὲ ἡ ῥάφανος ἔχει παρὰ τὰ ἄλλα τοὺς καυλοὺς περιφερεστέρους, καὶ λειοτέρους, τῆς ἡμέρου· καὶ τὴν τοῦ φύλλου πρόσθεσιν ἐκείνη μὲν ἔχει πλατεῖαν, αὕτη δὲ περιφερεστέραν, καὶ αὐτὸ δὲ τὸ φύλλον ἀγωνιώτερον· ἐπεί τοι γε ἄλλα βραχύτερον καὶ τοῖς καυλοῖς, καὶ τοῖς φύλλοις. ἡ δὲ γογγυλὶς καὶ τὴν ῥίζαν ἔχει μακράν, καὶ ῥαφανιδώδη, καὶ τὸν καυλὸν βραχύν. θριδακίνη δέ, τό τε φύλλον βραχύτερον τῆς ἡμέρου, καὶ τελειούμενον ἀκανθοῦται, καὶ τὸν καυλὸν ὁμοίως· τὸν ὀπὸν δὲ δριμύν, καὶ φαρμακώδη. φύεται δ' ἐν ταῖς ἀρούραις, ὀπίζουσι δὲ αὐτὴν ὑπὸ πυραμητόν, καί φασι καθαίρειν ὕδρωπα, καὶ ἀχλὺν ἀπ' ὀφθαλμῶν ἀπάγειν, καὶ ἄργεμα ἀφαιρεῖν ἐν γάλακτι γυναικείῳ. τὸ δὲ ἱπποσέλινον, καὶ ἐλειοσέλινον, καὶ ὀρεοσέλινον, καὶ πρὸς ἑαυτὰ διαφορὰν ἔχει, καὶ πρὸς τὸ ἥμερον. τὸ μὲν γὰρ ἐλειοσέλινον, τὸ παρὰ τοὺς ὀχετοὺς καὶ ἐν τοῖς ἕλεσι φυόμενον, μανόφυλλόν τε καὶ οὐ δασὺ γίνεται, προσεμφερὲς δέ πως τῷ σελίνῳ καὶ τῇ ὀσμῇ, καὶ τῷ χυλῷ, καὶ τῷ σχήματι. τὸ δὲ ἱπποσέλινον, φύλλον μὲν ἐμφερὲς τῷ ἐλειοσελίνῳ, δασὺ δὲ καὶ μεγαλόκαυλον, καὶ τὴν ῥίζαν ὥσπερ ῥαφανὶς ἔχει τὸ πάχος μέλαιναν· μέλας δὲ καὶ ὁ καρπός, μέγεθος δὲ μεῖζον ὀρόβου· χρήσιμα δὲ ἄμφω φασὶ πρὸς στραγγουρίαν εἶναι, ἐν οἴνῳ γλυκεῖ λευκῷ, καὶ τοῖς λιθιῶσι. φύεται δὲ ὅμως πανταχοῦ. γίνεται δὲ καὶ τὸ δάκρυον ἐξ αὐτοῦ, ὅμοιον τῇ μύρρᾳ. οἱ δέ φασιν ὅλως μύρραν. τὸ δὲ ὀρεοσέλινον, μείζους ἔτι διαφορὰς ἔχει. τὸ μὲν γὰρ φύλλον ἔοικε κωνείῳ, ῥίζα δὲ λεπτή. τὸν δὲ καυλὸν ἔχει καθάπερ ἄνηθον, πλὴν ἐλάττω. δίδοασι δὲ τοῦτον ἐν οἴνῳ αὐστηρῷ, τῶν γυναικείων χάριν. ἔνια δὲ ὅλως ἀσύμβλητα τοῖς εἰρημένοις ἐστί, κατά γε τοὺς χυλοὺς καὶ τὰς δυνάμεις· ὥσπερ σίκυος ὅ τε ἄγριος, καὶ ὁ ἥμερος. ἀλλ' ἐκ τῆς προσόψεως ἔχει τὴν ὁμοιότητα, καθάπερ καὶ ἐν τοῖς στεφανώμασιν ἡ ἰωνία· τὸ

πρόσφορον

ἁλμᾶται 6

ὅτι

ἅμα

ὑφαιρούμενος βελτίων· οἱ δ᾽ ἕτεροι, ἀνυδρότεροι. Διαφέρει δὲ γένει καὶ τὰ κρόμμυα, καὶ τὰ σκόροδα. πλείω δὲ τὰ τῶν κρομμύων γένη, οἷον τὰ κατὰ τὰς χώρας ἐπικαλούμενα, Σαρδιανά, Κνίδια, Σαμοθρᾴκια, καὶ πάλιν τὰ σητάνια, καὶ σχιστά, ἀσκαλώνια. φύσεως δὲ τὰ μὲν σητάνια μικρά, γλυκέα δὲ εὖ μάλα· τὰ δὲ σχιστά, καὶ ἀσκαλώνια, καὶ ταῖς θεραπείαις διαφέροντα. καὶ δῆλον ὅτι τῇ φύσει γὰρ σχιστόν· τοῦ μὲν χειμῶνος μετὰ τῆς κόμης ἀργόν, ἅμα δὲ τῷ ἦρι τὰ φύλλα περιαιροῦσι τὰ ἔξω, καὶ τὰ ἄλλα θεραπεύουσι. περιαιρεθέντων δὲ τῶν φύλλων, τὰ ἕτερα βλαστάνει, καὶ ἅμα κάτω σχίζεται· διὸ καλοῦσι σχιστά. οἱ δὲ καὶ ὅλως φασὶ πάντων δεῖν, ὅπως ἡ δύναμις εἰς τὰ κάτω, καὶ μὴ εἰς ὁρμὴν φυῇ. τῶν δὲ ἀσκαλωνίων ἰδία τις ἡ φύσις· μόνα γὰρ σχιστά, καὶ ὥσπερ †ἄγονα ἀπὸ τῆς ῥίζης· ἔτι δὲ οὐδ᾽ αὐτοῖς αὔξει, καὶ αὐτὰ δοκεῖ. διὸ καὶ οὐ φυτεύουσιν, ἀλλὰ σπείρουσιν αὐτά. καὶ σπείρουσιν ὀψὲ πρὸς τὸ ἔαρ· εἶθ᾽ ὅταν βλαστήσῃ, μεταφυτεύουσι. τελειοῦται δὲ τοῖς ἄλλοις ταχέως, ὥσθ᾽ ἅμα τοῖς ἄλλοις ἢ καὶ πρότερον ἐξαιρεῖσθαι. πολὺν δὲ χρόνον ἐαθέντα ἐν τῇ γῇ, σήπεται. φυτευθέντα δέ, καυλὸν ἀφίησι, καὶ σπέρμα φύει μόνον· εἶτα καμοῦται, καὶ ἀπόλλυται. τούτων μὲν οὖν τοιαύτη τις ἡ φύσις. διαφέρει δὲ γένει καὶ τοῖς χρώμασιν. †ἐν νήσῳ γὰρ τὰ μὲν ἄλλα ὅμοια τοῖς λευκοῖς, λευκὰ δὲ σφόδρα τῇ χροιᾷ· φέρειν δέ φασιν ὅμοια τοῖς Σαρδιανοῖς. ἰδιωτάτη δὲ ἡ φύσις ἡ τοῦ κρητικοῦ, παραπλήσια δὲ τρόπον τινὰ τοῖς ἀσκαλωνίοις, εἰ μὴ ἄρα καὶ ἡ αὐτή. ἐν Κρήτῃ γάρ τι γένος, ὃ σπειρόμενον μὲν ῥίζαν ποιεῖ, φυτευόμενον δὲ καυλὸν καὶ σπέρμα· κεφαλὴν δὲ οὐκ ἔχει, γλυκὺ δὲ τῷ χυμῷ. τοῦτο γὰρ οἷον ἀνάπαλιν ἔχει τοῖς ἄλλοις. ἅπαντα γὰρ καὶ φυτευόμενα, καὶ βελτίω καὶ θᾶττον περιγίνεται. πάντα δὲ φύεται μετ᾽ ἀρκτοῦρον, ἔτι θερμῆς οὔσης τῆς γῆς, ὅπως τὰ ὕδατα πεφυτευμένα καταλαμβάνῃ. καὶ ὅλα δὲ φύεταί τι, καὶ διατεμνόμενα κατὰ τὴν κεφαλήν. οὐχ ὅμοιαι δὲ αἱ ἐκβλαστήσεις· ἀλλ᾽ ἐκ μὲν τοῦ κάτω γίνεται κρόμμυον, ἐκ δὲ τοῦ ἄνω χλόη μόνον, ὀρθὸν δὲ διατμηθὲν ὅλως, ἀβλαστές ἐστι. Τὸ δὲ γήτειον καλούμενον, ἀκέφαλόν τι, καὶ ὥσπερ αὐχένα μακρὸν ἔχον· ὅθεν καὶ ἡ βλάστησις ἄνω, καὶ ἀποκείρεται πολλάκις, ὥσπερ τὸ πράσον. διὸ καὶ σπείρουσιν αὐτό, καὶ οὐ φυτεύουσι. τὰ μὲν οὖν κρόμμυα σχεδὸν ταύτας ἔχει τὰς ἰδέας. Τὸ δὲ σκόροδον, φυτεύεται μὲν μικρὸν πρὸ τροπῶν, ἢ μετὰ τροπάς, διαιρούμενον κατὰ γέλγιν. διαφορὰ δ᾽ ἐστὶν αὐτῶν, ὅτι τὸ ὄψιμον πρὸς τὰ πρώϊα· γένος γάρ τι τυγχάνει τοιοῦτον, ὅθεν ἑξήκοντα ἡμέραις τελειοῦται, καὶ μεγέθει καὶ μικρότητι. καὶ τῷ μεγέθει γένος τι διαφέρον ἐστί· μάλιστα δὲ τὸ κύπριον καλούμενον τοιοῦτον, ὅπερ οὐχ ἕψουσιν, ἀλλὰ πρὸς τοὺς μυττωτοὺς χρῶνται· καὶ ἐν τῇ τρίψει, θαυμαστὸν ποιεῖ τὸν ὄγκον ἐκπνευματούμενον. καὶ ἔτι τῷ μὴ ἔχειν ἔνια τὰς †γέλγεις. ἡ δὲ γλυκύτης, καὶ ἡ δυσωδία, καὶ ἡ ἁδρότης, σχεδὸν παρὰ τὰς ὥρας γίνεται, καὶ τὰς θεραπείας· ὥσπερ καὶ τῶν ἄλλων. τελειοῦται δὲ καὶ ἀπὸ σπέρματος, ἀλλὰ βραδέως. τῷ πρώτῳ γὰρ ἔτει κεφαλὴν ἡλίκην πράσου λαμβάνει· τῷ δ᾽ ὕστερον, γελγίζεται· καὶ τῷ τρίτῳ, τέλειον γίνεται. καὶ οὐδὲν χεῖρον. ἀλλ᾽ ἔνιοί γε καὶ κάλλιόν φασι τοῦ φυτευτοῦ. τῆς δὲ ῥίζης ἡ γένεσις οὐχ ὁμοία. τοῦ τε σκορόδου, ὅταν ἀνοιγῶσιν αἱ γέλγεις, κυρτοῦται πάλιν· καὶ ἐνταῦθα αὐξηθεῖσα, διαιρεῖται πάλιν εἰς τὰς γέλγεις· καὶ ἐξ ἑνὸς πολλὰ γίνεται τῷ τελειοῦσθαι τὴν κεφαλήν. τὸ δὲ κρόμμυον, εὐθὺς ἐκ τῆς ῥίζης ἄλλο καὶ ἄλλο παραφύει, καθάπερ καὶ βολβοί, καὶ σκίλλα, καὶ πάντα τὰ τοιαῦτα. καὶ γὰρ τὰ κρόμμυα, καὶ τὰ σκόροδα, μὴ ἀναιρουμένων, ἀλλ᾽ ἐώντων, πολλὰ γίνεται. φέρει δέ φασι καὶ τὸ σκόροδον ἀπὸ τοῦ σφύεγγος, * σκόροδα, καὶ τὰ κρόμμυα.

Περὶ μὲν οὖν τῶν γενῶν ἱκανῶς εἰρήσθω. Φίλυδρα δὲ πάντα τὰ ἄλλα λάχανα, καὶ φιλόκοπρα, πλὴν πηγάνου· τοῦτο δὲ ἥκιστα φιλόκοπρον. τὰ χειμερινὰ δὲ οὐχ ἧττον τῶν θερινῶν, καὶ τὰ ἐπίκηρα τῶν ἰσχυρῶν. κόπρον δὲ μάλιστα ἐπαινοῦσι τὴν συρματίτην· τὴν δὲ τῶν ὑποζυγίων μοχθηράν, διὰ τὸ μάλιστα ἐξικμάζεσθαι. ζητοῦσι δὲ τὴν κόπρον ἅμα τῷ σπόρῳ μάλιστα συναναμιχθεῖσαν· οἱ δὲ καὶ σπείροντες ἐπιβάλλουσι. χαίρει δὲ καὶ τῇ ἀνθρωπίνῃ ὠμῇ, πρὸς τὴν χύλωσιν. φιλυδρότερα δὲ τὰ χειμερινὰ τῶν θερινῶν, καὶ τὰ ἀσθενῆ τῶν ἰσχυρῶν· ἔτι δὲ τὰ πλείστα δεόμενα τροφῆς, φίλυδρα· καὶ τὸ κρόμμυον, καὶ τὸ γήθυον. καί τι φασί τινες οὐ ζητεῖν, ἐὰν τὸ πρῶτον ἐγγένηται δὶς ἢ τρίς. τῶν δὲ ὑδάτων ἄριστα τὰ πότιμα, καὶ τὰ ψυχρά· χείριστα δέ, τὰ ἁλμυρά, καὶ δυσμενῆ. διὸ καὶ ἐκ τῶν ὀχετῶν ἥκιστα· συμπαραφέρει γὰρ σπέρματα πόας. ἀγαθὰ δὲ τὰ ἐκ Διός· ταῦτα γὰρ δοκεῖ καὶ φθείρειν τὰ θηρία γινόμενα γόνιμα, κατεσθίοντα. φασὶ δέ τινες, ὅτι τοῖς σικύοις συμφέρειν, ὅτι δὶς κρομμύοις. ἀρδεύουσι δὲ τὰ μὲν ἄλλα πρωΐ,

ἢ τοῖς

ἢ πρὸς ἑσπέραν, ὅπως μὴ καταψύχηται. τὸ δὲ ὤκιμον, καὶ μεσημβρίας· καὶ γὰρ διαβλαστάνειν θᾶττόν φασι, θερμῷ τὸ πρῶτον ἀρδευόμενον. τὸ δὲ πολὺ λίαν ὕδωρ δοκεῖ συμφέρειν ἄλλως τε, καὶ ἐὰν μὴ ἔχῃ κόπρον· πολλάκις γὰρ πεινῆν τὰ λάχανά φασι, καὶ τοῦτο γνωρίζειν τοὺς ἐμπείρους τῶν κηπουρῶν. μεταφυτευόμενα δὲ πάντα, βελτίω καὶ μείζω γίνεται· καὶ γὰρ τὰ τῶν πράσων μεγέθη, καὶ τὰ τῶν ῥαφανίδων, ἐκ μεταφυτείας. μάλιστα δὲ μεταφυτεύουσι πρὸς τοὺς σπερματικούς. καὶ τὰ μὲν ἄλλα ὑπομένει, οἷον γήθυον, πράσον, ῥάφανος, σίκυος, σέλινον, γογγυλίς, θρίδαξ, γλήχων. ἅπαντα δὲ διαξίστερα καὶ μείζω πηγνυμένων τῶν σπερμάτων, ἢ σπειρομένων. θηρία δὲ γίνεται ταῖς μὲν ῥαφανῖσι, ψύλλαι· τῇ δὲ ῥαφάνῳ, κάμπαι, καὶ σκώληκες· καὶ ἐν τῇ θριδακίνῃ, καὶ ἐν τοῖς πράσοις, καὶ ἐν ἄλλοις πλείοσιν, αἱ πρασοκουρίδες. ταῦτα μὲν οὖν ἡ κρᾶσις ἀθροισθεῖσα ἀπόλλυσι. ἢ ὅταν κόπρος ἀθρόα τις καταλειφθῇ, φιλόπονον τὸ θηρίον κυλινδεῖται, καὶ ἐν αἷς κοιμᾶται ἐν τῇ κόπρῳ. διὸ δὴ ῥᾴδιον θηρεύειν· ἄλλως δ᾽ οὐκ ἔστι. ταῖς δὲ ῥαφανῖσι πρὸς τὰς ψύλλας, † πρὸς [πρόσφορον] τὸ ὑποσπείρειν ὄροβον. πρὸς δὲ τὸ μὴ γίνεσθαι ψύλλας, οὔ φασιν εἶναι φάρμακον οὐδέν. ὑπὸ δὲ τὸ ἄστρον, ὤκιμον μὲν λευκαίνεται, κορίαννον δὲ † ἅλμαι [ἁλμᾶται 6]. τὰ μὲν οὖν συμβαίνοντα διὰ τούτων, θεωρητέον. Τῶν δὲ σπερμάτων τὰ μὲν ἐστὶν ἰσχυρότερα, τὰ δὲ ἀσθενέστερα πρὸς διαμονήν. ἰσχυρότερα μὲν, οἷον κορίαννον, τεῦτλον, πράσον, κάρδαμον, νᾶπυ, εὔζωμον, θύμβρα, ἄλλως τὰ δριμέα πάντα. ἀσθενέστερα δὲ, γήθυον· τοῦτο γὰρ οὐκ ἐθέλει μένειν. ἀνδράφαξυς, ὤκιμον, κολοκύντη, σίκυον, ἁπλῶς τὰ θερινὰ τῶν χειμερινῶν μᾶλλον. διαμένει δὲ οὐδὲν πλέον τετραετοῦς, ὥστε † ἐστὶ [ἔτι] χρήσιμον εἶναι πρὸς τοὺς σπόρους. ἀλλὰ διέτη μὲν βελτίω, διὰ δὲ τριῶν οὐδὲν χείρω. τὸ δ᾽ ὑπὲρ ταῦτα ἤδη χεῖρον. πρὸς δὲ τὴν μαγειρικὴν χρείαν τῶν πλέον διαμένει· πλὴν ἀσθενέστερα πάντα ἀναγκαῖον εἶναι, διὰ τὴν ἀναπνοήν, καὶ τὴν κώλυσιν. φθορὰ δὲ μάλιστα μὲν ὑπὸ τῶν θηρίων. γίνεται γὰρ ἐν ἅπασι καὶ τοῖς δριμέσιν, ἥκιστα δὲ ἐν τῷ σικυῷ. οὐ μὴν ἀλλὰ καὶ ἐξικμαζόμενα, πικρὰ γίνεται τῇ γεύσει· διὸ καὶ πρὸς τὴν χρείαν χείρω. καὶ περὶ μὲν τῶν σπερμάτων, καὶ ἁπλῶς τῶν κηπευομένων, ἱκανῶς εἰρήσθω. περὶ δὲ τῶν ἀγρίων, καὶ τῶν καλουμένων ἀρουραίων, πειρατέον ὁμοίως εἰπεῖν. τυγχάνει δὲ τὰ μὲν ὁμώνυμα τοῖς εἰρημένοις· ἅπαντα γὰρ ἐστὶ τὰ γένη ταῦτα καὶ ἄγρια. καὶ σχεδὸν τάγε πολλά, παραπλησίαν ἔχοντα τὴν ὄψιν τοῖς ἡμέροις, πλὴν τοῖς γε φύλλοις ἐλάττω ταῦτα, καὶ τραχύτερα. καὶ τοῖς καυλοῖς. καὶ μάλιστα τοῖς χυλοῖς δριμύτερα, καὶ ἰσχυρότερα· καθάπερ ἥ τε θύμβρα, καὶ ἡ ὀρίγανος, ἥ τε ῥάφανος, καὶ τὸ πήγανον. ἐπεὶ καὶ τὸ λάπαθον ἄγριον, καίπερ δυστομώτερον τοῦ ἡμέρου, τὸν δὲ χυλὸν ὅμως ὀξύτερον ἔχει, καὶ τούτῳ μάλιστα διαφέρει. πάντα δὲ καὶ ξηρότερα τῶν ἡμέρων, καὶ ἴσως αὐτῷ τούτῳ τάγε πολλὰ καὶ δριμύτερα καὶ ἰσχυρότερα. ἰδίως δὲ ἡ ῥάφανος ἔχει παρὰ τὰ ἄλλα τοὺς καυλοὺς περιφερεστέρους, καὶ λειοτέρους, τοῦ ἡμέρου· καὶ τὴν τοῦ φύλλου πρόσθεσιν ἐκείνη μὲν ἔχει πλατεῖαν, αὕτη δὲ περιφερεστέραν, καὶ αὐτὸ δὲ τὸ φύλλον ἀγωνιώτερον· ἐπεὶ τάγε ἄλλα τραχύτερον καὶ τοῖς καυλοῖς, καὶ τοῖς φύλλοις. ἡ δὲ γογγυλὶς καὶ τὴν ῥίζαν ἔχει μακράν, καὶ ῥαφανιδώδη, καὶ τὸν καυλὸν βραχύν. θριδακίνη δὲ, τό τε φύλλον βραχύτερον τοῦ ἡμέρου, καὶ τελειούμενον ἀκανθοῦται, καὶ τὸν καυλὸν ὁμοίως· τὸν ὀπὸν δὲ δριμύν, καὶ φαρμακώδη. φύεται δ᾽ ἐν ταῖς ἀρούραις, ὀπίζουσι δὲ αὐτὴν ὑπὸ πυραμητόν, καί φασι καθαίρειν ὕδρωπα, καὶ ἀχλὺν ἀπ᾽ ὀφθαλμῶν ἀπάγειν, καὶ ἄργεμα ἀφαιρεῖν ἐν γάλακτι γυναικείῳ. τὸ δ᾽ ἱπποσέλινον, καὶ ἐλειοσέλινον, καὶ ὀρεοσέλινον, καὶ πρὸς ἑαυτὰ διαφορὰν ἔχει, καὶ πρὸς τὸ ἥμερον. τὸ μὲν γὰρ ἐλειοσέλινον, τὸ παρὰ τοὺς ὀχετοὺς καὶ ἐν τοῖς ἕλεσι φυόμενον, μανόφυλλόν τε καὶ οὐ δασὺ γίνεται, προσεμφερὲς δέ πως τῷ σελίνῳ καὶ τῇ ὀσμῇ, καὶ τῷ χυλῷ, καὶ τῷ σχήματι. τὸ δ᾽ ἱπποσέλινον, φύλλον μὲν ἐμφερὲς τῷ ἐλειοσελίνῳ, δασὺ δὲ καὶ μεγαλόκαυλον, καὶ τὴν ῥίζαν ὥσπερ ῥαφανὶς ἔχει τὸ πάχος μέλαιναν· μέλας δὲ καὶ ὁ καρπός, μέγεθος δὲ μεῖζον ὀρόβου· χρήσιμα δὲ ἄμφω φασὶ πρὸς στραγγουρίαν εἶναι, ἐν οἴνῳ γλυκεῖ λευκῷ, καὶ τοῖς λιθιῶσι. φύεται δὲ ὅμως πανταχοῦ. γίνεται δὲ καὶ τὸ δάκρυον ἐξ αὐτοῦ, ὅμοιον τῇ μύρρᾳ. οἱ δέ φασιν ὅλως μύρραν. τὸ δὲ ὀρεοσέλινον, μείζους ἔτι διαφορὰς ἔχει. τὸ μὲν γὰρ φύλλον ἔοικε κωνείῳ, ῥίζα δὲ λεπτή. τὸν δὲ καυλὸν ἔχει καθάπερ ἄνηθον, πλὴν ἐλάττω. δεδώκασι δὲ τοῦτον ἐν οἴνῳ αὐστηρῷ, τῶν γυναικείων χάριν. ἔνια δὲ ὅλως ἀσύμβλητα τοῖς εἰρημένοις ἐστί, κατά γε τοὺς χυλοὺς καὶ τὰς δυνάμεις· ὥσπερ σίκυος ὅ τε ἄγριος, καὶ ὁ ἥμερος. ἀλλ᾽ ἐκ τῆς προσόψεως ἔχει τὴν ὁμοιότητα, καθάπερ καὶ ἐν τοῖς στεφανώμασιν ἡ ἰωνία· τὸ

ὑδρευόμενον βέλτιον· οἱ δ' ἕτεροι, κἂν ἄνυδροι ὦσι. Διαφέρει δὲ γένη καὶ τὰ κρόμμυα, καὶ τὰ σκόροδα. πλείω δὲ τὰ τῶν κρομμύων γένη, οἷον τὰ κατὰ τὰς χώρας ἐπικαλούμενα, Σάρδια, Κνίδια, Σαμοθρᾴκια· καὶ πάλιν τὰ σητάνια, καὶ σχιστά, ἀσκαλώνια. τούτων δὲ τὰ μὲν σητάνια μικρά, γλυκέα δὲ εὖ μάλα· τὰ δὲ σχιστά, καὶ ἀσκαλώνια, καὶ ταῖς θεραπείαις διαφέροντα. καὶ δῆλον ὅτι τῇ φύσει γὰρ σχιστόν· τοῦ μὲν χειμῶνος ἐῶσι κομᾶν ἀργόν, ἅμα δὲ τῷ ἦρι τὰ φύλλα περιλέγουσι τὰ ἔξω, καὶ τὰ ἄλλα θεραπεύουσι. περιαιρεθέντων δὲ τῶν φύλλων, τὰ ἕτερα βλαστάνει, καὶ ἅμα κάτω σχίζεται· διὸ καλοῦσι σχιστά. οἱ δὲ καὶ ὅλως φασὶ πάντων δεῖν, ὅπως ἡ δύναμις εἰς τὰ κάτω, καὶ μὴ ἀποσπερμοφυῇ. τῶν δὲ ἀσκαλωνίων ἰδία τις ἡ φύσις· μόνα γὰρ σχιστά, καὶ ὥσπερ † ἄγονα ἐκ τῆς ῥίζης. ἔτι δὲ ἐν αὐτοῖς οὐκ αὔξει, καὶ αὐτὰ ἀπόδοτα. διὸ καὶ οὐ φυτεύουσιν, ἀλλὰ ἀπαίρουσιν αὐτά. καὶ ἀπαίρουσιν εὐθὺς πρὸς τὸ ἔαρ· εἶθ' ὅταν βλαστήσῃ, μεταφυτεύουσι. πλατύνεται δὲ τοῖς ἄλλοις ταχέως, ὥσθ' ἅμα τοῖς ἄλλοις ἢ καὶ πρότερον ἐξαιρεῖσθαι. πολὺν δὲ χρόνον ἐαθέντα ἐν τῇ γῇ, σήπεται. φυτευθέντα δέ, καυλὸν ἀφίησι, καὶ σπέρμα φύει μόνον· ἔπειτα καυθῇ, καὶ ἀναιρεῖται. τούτων μὲν οὖν τοιαύτη τις ἡ φύσις. Διαφέρει δὲ ἔνια καὶ τοῖς χρώμασιν. † ἐν Ἴσσῳ γὰρ τὰ μὲν ἄλλα ὅμοια τοῖς λοιποῖς, λευκὰ δὲ σφόδρα τῇ χροιᾷ· φέρειν δέ φασιν ὅμοια τοῖς Σαρδιανοῖς. ἰδιωτάτη δὲ ἡ φύσις ἡ τῶν Κρητικῶν· παραπλήσια δὲ τρόπον τινὰ τοῖς ἀσκαλωνίοις, εἰ μὴ ἄρα καὶ ἡ αὐτή. ἐν Κρήτῃ γάρ τι γένος, ὃ σπειρόμενον μὲν ῥίζαν ποιεῖ, φυτευόμενον δὲ καυλὸν καὶ σπέρμα· κεφαλὴν δὲ οὐκ ἔχει, γλυκὺ δὲ τῷ χυμῷ. τοῦτο γὰρ οἷον ἀνάπαλιν ἔχει τοῖς ἄλλοις. ἅπαντα γὰρ καὶ σπειρόμενα, καὶ βελτίω καὶ θᾶττον παραγίνεται. πάντα δὲ φύεται μετ' ἀρκτοῦρον, ἔτι θερμῆς οὔσης τῆς γῆς, ὅπως τὰ ὕδατα προφυτευθέντα καταλαμβάνῃ. καὶ ὅλα δὲ φύεταί τι, καὶ διατεμνόμενα παρὰ τὴν κεφαλήν. οὐχ ὅμοιαι δὲ αἱ ἐκβλαστήσεις· ἀλλ' ἐκ μὲν τοῦ κάτω γίνεται κρόμμυον, ἐκ δὲ τοῦ ἄνω χλόη μόνον. ὀρθὸν δὲ διατμηθὲν ὅλως, ἀβλαστές ἐστι. τὸ δὲ γήτειον καλούμενον, ἀκέφαλόν τι, καὶ ὥσπερ αὐχένα μακρὸν ἔχον· ὅθεν καὶ ἡ βλάστησις ἄνω, καὶ ἐπικείρεται πολλάκις, ὥσπερ τὸ πράσον. διὸ καὶ σπείρουσιν αὐτό, καὶ οὐ φυτεύουσι. τὰ μὲν οὖν κρόμμυα σχεδὸν ταύτας ἔχει τὰς ἰδέας. Τὸ δὲ σκόροδον, φυτεύεται μὲν μικρὸν πρὸ τροπῶν, ἢ μετὰ τροπάς, διαφέρον κατὰ γένη. διαφορὰ δὲ οὐκ αὐτῶν, ὅτι τὸ ἐντίμιον πρὸς τὰ πρώϊα· γένος γάρ τι τυγχάνει τοιοῦτον, ὅθεν ἐξήκοντα ἡμέραις τελειοῦται, καὶ μεγέθει καὶ μικρότητι. καὶ τῷ μεγέθει γένος τὸ διαφέρον ἐστί· μάλιστα δὲ τὸ Κύπριον καλούμενον τοιοῦτον, ὅπερ οὐχ ἑψοῦσιν, ἀλλὰ πρὸς τὰς μυττωτὰς χρῶνται· καὶ ἐν τῷ τρίβεσθαι, θαυμαστὸν ποιεῖ τὸν ὄγκον ἐκπνευματούμενον. καὶ ἔτι τὸ μὴ ἔχειν ἔνια τὰς † γέλγεις. ἡ δὲ γλυκύτης, καὶ ἡ εὐωδία, καὶ ἡ ἁδρότης, σχεδὸν παρὰ τὰς ὥρας γίνεται, καὶ τὰς θεραπείας· ὥσπερ καὶ τῶν ἄλλων. πλείστη δὲ καὶ ἐκ σπέρματος, ἀλλὰ βραδέως. τῷ πρώτῳ γὰρ ἔτει κεφαλὴν ἡλίκην πράσου λαμβάνει· τῷ δ' ὕστερον, γελγιδοῦται· καὶ τῷ τρίτῳ, τέλειον γίνεται. καὶ οὐδὲν χεῖρον. ἀλλ' ἔνιοί γε καὶ κάλλιόν φασι τοῦ φυτευτοῦ. τῆς δὲ ῥίζης ἡ γένεσις οὐχ ὁμοία, τοῦ τε σκορόδου, ὅταν ἀναγένηται ἡ γελγίς, κυητίσκεται ἐν αὐτῇ, καὶ ἐνταῦθα αὐξηθεῖσα, διαιρεῖται πάλιν εἰς τὰς γέλγεις· καὶ ἐξ ἑνὸς πολλὰ γίνεται τῷ πλῆθος τῆς κεφαλῆς. τὸ δὲ κρόμμυον, οὐδὲν ἐκ τῆς ῥίζης ἄλλο καὶ ἄλλο παραφύει, καθάπερ καὶ βολβοί, καὶ σκίλλα, καὶ πάντα τὰ τοιαῦτα. καὶ γὰρ τὰ κρόμμυα, καὶ τὰ σκόροδα, μὴ ἀναιρουμένων, ἀλλ' ἐώντων, πολλὰ γίνεται. φέρει δέ φασι καὶ τὸ σκόροδον ὑπὸ τὸν σφόνδυλον, * σκόροδα, καὶ τὰ κρόμμυα. περὶ μὲν οὖν τῶν γενῶν ἱκανῶς εἰρήσθω.

Φίλυδρα δὲ πάντα τὰ ἄλλα λάχανα, καὶ φιλόκοπρα, πλὴν πηγάνου· τοῦτο δὲ ἥκιστα φιλόκοπρον. τὰ χειμερινὰ δὲ οὐχ ἧττον τῶν θερινῶν, καὶ τὰ ἐπίκαιρα τῶν ἰσχυρῶν. κόπρον δὲ μάλιστα ἐπαινοῦσι τὴν συρματίτην· τὴν δὲ τῶν ὑποζυγίων μοχθηράν, διὰ τὸ μάλιστα ἐξικμάζεσθαι. ζητοῦσι δὲ τὴν κόπρον ἅμα τῷ σπέρματι μάλιστα συναναμιχθεῖσαν· οἱ δὲ καὶ σπείροντες ἐπιβάλλουσι. χρῶνται δὲ καὶ τῷ ἀνθρωπίνῳ ὀμῷ, πρὸς τὴν χύλωσιν. φιλυδρότερα δὲ τὰ χειμερινὰ τῶν θερινῶν, καὶ τὰ ἀσθενῆ τῶν ἰσχυρῶν· ἔτι δὲ τὰ πλείστης δεόμενα τροφῆς. φίλυδρα καὶ τὸ κρόμμυον, καὶ τὸ γήθυον. καί τινές φασί τινες οὐ ζητεῖν, ἐὰν τὸ πρῶτον ἐγχέηται δὶς ἢ τρίς. τῶν δὲ ὑδάτων ἄριστα τὰ πότιμα, καὶ τὰ ψυχρά· χείριστα δέ, τὰ ἁλμυρά, καὶ δυσμενῆ. διὸ καὶ ἐκ τῶν ὀχετῶν εὔχεται· συμπαραφέρει γὰρ σπέρματα πόας. ἀγαθὰ δὲ τὰ ἐκ Διός· ταῦτα γὰρ δοκεῖ καὶ φθείρειν τὰ θηρία γινόμενα γόνιμα, κατεσθίοντα. φασὶ δέ τινες, ὅτι τοῖς σικύοις συμφέρειν, ὅτι τοῖς κρομμύοις. καὶ δεύουσι δὲ τὰ μὲν ἄλλα πρωΐ,

ἢ πρὸς

ἄγονα

Gaza, apud ipsum

γέλγεις

ζῃ δὲ τὸ ὤκιμον, πράσον, κεκομμένον. τὰ δὲ πλαγιόκαρπα μᾶλλον· οἷον ῥαφανὶς, γογγυλὶς, καὶ τὰ τοιαῦτα. τὰ δὲ ἀμφοτέρως· οἷον βλῖτον, ἀνδράφαξυς· ἀμφότερα γὰρ ταῦτα καὶ ἐκ τοῦ πλαγίου. καὶ τότε πλεῖστον εὐθὺς περὶ ἕκαστον ὄζον προσκεχυμένον, ἔχει τὸ σπέρμα βοτρυῶδες. τὰ δὲ ἐκ παλαιοτέρων σπερμάτων, θᾶττον ἐκκαυλεῖ. τάχιστα δὲ, τὰ ἐκ τῶν ἀκμαζόντων. ἔστι γάρ τις ἀκμὴ καὶ τούτων. ἀνάλογον δὲ καὶ τὸ κάλλος ἀκολουθεῖ τῶν * ἐπὶ τὰ ἄλλα τὴν αὐτὴν ἔχουσι θεραπείαν. δοκεῖ δὲ καὶ εἰς τὸ ἀθρόον αὐτὸ θεμένον, κάλλιον γίνεσθαι, καὶ βλαστάνειν. οὕτω γὰρ τὸ τοῦ πράσου, καὶ τὸ τοῦ σελίνου τιθέασιν, ἀποδήσαντες εἰς ὀθόνιον· καὶ γίνονται μεγάλαι. συμβάλλεται δὲ καὶ ὁ τόπος πρὸς αὔξησιν. κελεύουσι γοῦν, ὅταν τις μεταφυτεύῃ τὰ σέλινα, πάτταλον καταπηγνύειν, ὀλίγον αὖ βέλτιον ποιεῖν τὸ σέλινον. τιθέασι δὲ καὶ τὴν ἐν τῷ ὀθονίῳ πάτταλον, καταπηξάντα, καὶ πλήσαντα κόπρου καὶ γῆς. φύεται δὲ καὶ τοῖς σχήμασιν ἐξομοιοῦται καὶ τοῖς τόποις. ἡ γὰρ σικύα, ὁμοιοσχήμων γίνεται ἐν ᾧ ἂν τεθῇ, * λαμβάνει κατὰ τοὺς χυμοὺς ἔνια προθεραπευθέντα τῶν σπερμάτων· οἷον τὸ τῆς σικύας, ἐὰν ἐν γάλακτι βρέξαντες σπείρωσιν. ἀλλὰ τοιαῦτα ἴσως οἰκειότερα τῆς θεραπείας.

γένη δὲ τῶν μὲν ἐστὶ πλείω, τῶν δὲ οὐκ ἔστιν· οἷον ὠκίμου, λαπάθου, 4
βλίτου, καρδάμου, εὐζώμου, ἀνδραφάξυος, κοριάννου, ἀνήθου, πηγάνου. τούτων γὰρ οὔ φασιν εἶναι * τῶν δὲ ἔστι, ῥαφανίδος, ῥαφάνου, τευτλίου, σικύου, κολοκύντης, κυμίνου, σκορόδου, θριδακίνης. διαφέρουσι δὲ τοῖς τε φύλλοις, καὶ ταῖς ῥίζαις, καὶ τοῖς χρώμασι, καὶ τοῖς χυλοῖς, καὶ τοῖς ἄλλοις τοῖς τοιούτοις· οἷον τῆς ῥαφανίδος * τὴν κορινθίαν, κλεωναίαν, λειοθασίαν, βοιωτίαν. εὐαξεστάτην δὲ τὴν κορινθίαν, ἣ καὶ τὴν ῥίζαν ἔχει γυμνήν· ὠθεῖσθαι γὰρ εἰς τὸ ἄνω, καὶ οὐχ ὡς αἱ ἄλλαι κάτω. τὴν δὲ λειοθασίαν, ἣν ἔνιοι καλοῦσι θρακίαν, ἰσχυροτάτην πρὸς τοὺς χειμῶνας. τὴν δὲ βοιωτίαν, γλυκυτάτην, καὶ τῷ σχήματι στρογγύλην, οὐχ ὥσπερ τὴν κλεωναίαν μακράν. ὅσων δ' αὖ λεῖα τὰ φύλλα, γλυκύτεραι, καὶ ἡδίους· ὅσων δ' αὖ τραχέα, δριμύτεραι. γένος δέ τι παρὰ ταῦτά ἐστιν, ὃ ἔχει τὸ φύλλον εὐζώμῳ ὅμοιον. ῥαφανίδος μὲν οὖν ταῦτα. γογγυλίδος δὲ οἱ μὲν φασὶν εἶναι, οἱ δ' οὔ φασιν, ἀλλὰ καὶ τῷ ἄρρενι καὶ τῇ θηλείᾳ διαφέρειν. γίνεσθαι δὲ ἐκ τοῦ αὐτοῦ σπέρματος ἀμφοτέρας. πρὸς δὲ τὸ ἀρρενοῦσθαι, πυκνοῦσθαι δεῖ μανάς. ἐὰν γὰρ πυκναὶ, πάσας ἀπαρρενοῦσθαι. τὸν αὐτὸν δὲ τρόπον, κἂν ἐν γῇ μοχθηρᾷ σπαρῶσι· διὸ καὶ τοὺς σπερματισμοὺς μεταφέροντες, φυτεύουσι τὰς ἐκφύσεις καὶ πλατείας. ἔστι δὲ καὶ τὸ σπέρμα τῇ ὄψει τὸ χεῖρον καὶ βέλτιον φανερόν· τὸ μὲν γὰρ χρηστῆς λεπτόν, τὸ δὲ μοχθηρᾶς ἁδρόν. χειμαζομένη δὲ χαίρει καὶ αὐτὴ, καὶ ἡ ῥαφανίς. οἴονται γὰρ ἅμα γλυκαίνεσθαί τε, καὶ τὴν αὔξησιν εἰς τὴν ῥίζαν τρέπεσθαι, καὶ οὐκ εἰς τὰ φύλλα. τοῖς νοτίοις, καὶ ταῖς εὐδίαις, ἐκκαυλεῖ ταχύ. τούτων μὲν οὖν λόγῳ δοκοῦσι τῆς ὁμοιώσεως ἐν ἀμφοῖν εἶναι τὰς διαφοράς. τῆς δὲ ῥαφάνου τριχῆ διῃρημένης, οὐλοφύλλου τε, καὶ λειοφύλλου, καὶ τρίτης τῆς ἀγρίας, ἣ τὸ μὲν φύλλον ἔχει λεῖον, μικρὸν δὲ καὶ περιφερὲς, πολύκλαδος καὶ πολύφυλλος, ἔτι δὲ χυλὸν ἔχουσα δριμὺν καὶ φαρμακώδη· διὸ καὶ πρὸς τὰς κοιλίας αὐτῇ χρῶνται οἱ ἰατροί. ὁμοίως δὲ καὶ ἐν ἐκείνοις εἶναι δοκοῦσι διαφοραὶ καθ' ἑτέραν· ἐπεὶ ἄσπερμόν τι γένος αὐτῶν ἐστιν, ἢ κακόσπερμον. τὸ δὲ ὅλον, ἡ οὔλη τῆς λείας εὐχυλοτέρα, καὶ μεγαλοφυλλοτέρα. εὐχυλότερον δὲ καὶ τῶν τευτλίων τὸ λευκὸν τοῦ μέλανος, καὶ ὀλιγοσπερμότερον, ὃ καλοῦσί τινες σικελικόν. ὡσαύτως δὲ καὶ τῆς θριδακίνης· ἡ γὰρ λευκὴ γλυκυτέρα, καὶ ἁπαλωτέρα. γένη δὲ αὐτῆς ἐστιν ἄλλα τρία· τό, τε πλατύκαυλον, καὶ στρογγυλόκαυλον, καὶ τρίτον τὸ λακωνικόν. αὕτη δὲ τὸ μὲν φύλλον ἔχει σκολυμῶδες, ὀρθὴ δὲ καὶ εὐαξὴς, καὶ ἀπαράβλαστος ἐκ τοῦ καυλοῦ. τῶν δὲ πλατειῶν οὕτω τινὲς πλατύκαυλοι γίνονται, ὥστ' ἐνίους φασὶ καὶ θύραις χρῆσθαι κηπωρικαῖς. τὸ δὲ ἀπαλὸν σφόδρα, καὶ μικρόφυλλον, καὶ λευκοκαυλότερον, ἔοικεν ἀγρίᾳ. τῶν δὲ σελίνων, καὶ ἐν τοῖς φύλλοις, καὶ ἐν τοῖς καυλοῖς αἱ διαφοραί. τὸ μὲν γὰρ πυκνὸν, καὶ οὖλον, καὶ δασὺ τὸ φύλλον ἔχει· τὰ δὲ μανότερον καὶ πλατύτερον, καυλὸν δὲ μείζω. τούτων δὲ πάλιν τὰ μὲν λευκόκαυλα, τὰ δὲ πορφυρόκαυλα, ἢ ποικιλόκαυλα. τὸ δὲ ὅλον, ἅπαν τὸ τοιοῦτον ἐμφερέστερον τῷ ἀγρίῳ. σικύου δὲ, καὶ κολοκύντης, τοῦ μὲν εἶναί φασι γένη, τῆς δὲ οὐκ εἶναι καθάπερ τῆς ῥαφανίδος, καὶ τῆς γογγυλίδος. ἀλλ' ἐν τῷ αὐτῷ γένει, τὰς μὲν βελτίους, τὰς δὲ χείρους. τοῦ δὲ σικύου τρία, λακωνικὸν, σκυταλίαν, βοιώτιον, τούτων δὲ ὁ μὲν λακωνικὸς,

ὑδρευόμενος

διαμένουσι γοῦν ἐπαλληλοῦσαι ἄχρι διέρσεως, καὶ αὔξησιν λαμβάνουσιν· ὅπερ ποιοῦσι τινὲς ἐπὶ τῶν
δὲ τῆς ἐκπορθῆς. οὐ βλαστάνουσι δέ, οὐδ' ἀφιᾶσι φύλλον, οὐδ' εἰσὶν ἄφυλλοι τῇ ἐπιτεταγμένῃ
γλῶ. ἴδιον δὲ τοῦτο καὶ ἐπὶ τῶν ἄλλων ἐστί. τά τε πλεῖστα τῶν λαχανωδῶν, μονόρριζα, τῇ παχείᾳ
ἐπὶ βολβοῦ ῥίζῃ. καὶ γὰρ ὅσα παραφύει τὰς ἰσοπαχεῖς ταύτας, ὥσπερ σέλινον καὶ τεύτλιον,
ἀπό γε μέν τινος ὧδε ἡ παράφυσίς ἐστι, καὶ οὐκ εὐθὺς ἐκ τῆς ἀρχῆς ἡ σχίσις· εἰς δὲ ταύτην τὴν μίαν,
ἡ ἀπ' αὐτῆς τε καὶ γε ἀποφυάδες, καὶ μικρὰ καὶ τῆς ῥαφανίδος καὶ γε γογγυλίδος. καὶ αὗται μὲν
διό φασι φανερὰς διὰ τὴν χρείαν. ἡ δὲ τοῦ τευτλίου μία μὲν μακρά, καὶ παχεῖα, καὶ ὀρθή, καθά-
περ ἡ τῆς ῥαφανίδος· ἀποφύσεις δὲ ἔχει παχείας, ὁτὲ μὲν δύο, ὁτὲ δὲ καὶ τρεῖς, ὁτὲ δὲ καὶ μίαν.
ταῖς δὲ ✱ μὲν ἐκ τούτων. σαρκώδης δὲ ἡ ῥίζα, καὶ τῇ γεύσει γλυκεῖα, καὶ ἡδεῖα· διὸ καὶ ὠμὴν
ἐσθίουσί τινες. ὁ δὲ φλοιὸς οὐ παχύς, οὐδὲ ἀφαιρετός, ὥσπερ ὁ τῶν ῥαφανίδων, ἀλλὰ μᾶλλον
οἷον ὁ τῶν ἱπποσελίνων. ὡσαύτως δὲ καὶ ἡ τῆς ἀνδράφαξυος, μία μὲν εἰς βάθος, ἐκ ταύτης δὲ
ἄλλαι. μονορριζότατον δὲ τούτων πάντων τὸ λάπαθον· οὐ γὰρ ἔχει παχείας ἀποφύσεις, ἀλλὰ
λεπτάς τὰς λεπτάς. βαθυρριζότατον δὲ πάντων· ἔχει γὰρ μεῖζον βάθος ἡμιποδίου. τὸ δ' ἄγριον, βρα-
χυτέραν, πολύκαυλον δέ, καὶ πολύκλαδον· καὶ ἡ ὅλη μορφὴ τελειωθεῖσα, παραπλησία τῇ τοῦ
τευτλίου. πολυχρονιώτερον δὲ καὶ τῆς ἀγρίας, καὶ ὅλως δὲ πάντων τῶν λαχάνων, ὡς εἰπεῖν· δια-
μένει γὰρ ὁποσονοῦν χρόνον, ὥς φασιν· ἔχει δὲ σαρκώδη τὴν σάρκα, καὶ ἔνικμον. διὸ καὶ ἐξαιρε-
θεῖσα, ζῇ πολὺν χρόνον. τὸ δὲ ὤκιμον, μίαν μὲν τὴν παχεῖαν, τὴν ἐπὶ βάθος. τὰς δ' ἄλλας τὰς
ἐκ πλαγίου, λεπτάς, ἐπιεικῶς εὐμήκεις. ἔνια δὲ οὐκ ἔχει τὴν μίαν τὴν ὀρθήν, οἷον τὸ βλίτον.
3 ἀλλ' εὐθὺς πολλὰς ἐξ ἄκρου, καὶ εὐπαχεῖς, καὶ μακροτέρας τῆς ἀνδραφάξυος. Τῶν δὲ ῥιζῶν
ξυλωδέσταται πασῶν αἱ τοῦ ὠκίμου καθάπερ καὶ ὁ καυλός. ἡ γὰρ τοῦ βλίτου, καὶ γε ἀνδραφά-
ξυος, καὶ τῶν τοιούτων, ἧττον ξυλώδεις. εἰσὶ γάρ, ὡς ἁπλῶς εἰπεῖν, τῶν μὲν σαρκώδεις, αἱ δὲ
ξυλώδεις· οἷον ἡ τοῦ τευτλίου, καὶ τοῦ σελίνου, καὶ ἱπποσελίνου, καὶ λαπάθου, καὶ ῥαφανίδος, καὶ
γογγυλίδος, καὶ πάντων μάλιστα τῆς κεφαλοβαροῦ· οὐδὲ γὰρ ἀναξηραινόμενα σκληρύνονται
τελέως. ξυλώδεις δέ, ὥσπερ αἱ τοῦ ὠκίμου, καὶ βλίτου, καὶ ἀνδραφάξυος, καὶ εὐζώμου, καὶ ἀνήθου,
πολυκαύλων καὶ λαπάθου, καὶ κοριάννου, καὶ ἁπλῶς τῶν † ῥοκαύλων. ἔχει γὰρ δὴ καὶ ἄνηθον, καὶ τὸ κορίαν-
νον, τὰ μονόρριζα, ξυλώδη τε τὴν ῥίζαν. καὶ οὐ μακράν, οὐδὲ τὰς λεπτὰς ἀποφυάδας ἔχου-
σαν πολλάς. πολύκαυλα δὲ ἄμφω, καὶ πολύοζα. διὸ καὶ οὐκ ἐπὶ λόγον οὐδ' ἡ τούτων τὸ ἄνω
πρὸς τὸ κάτω. βραχύρριζα δὲ τὰ τοιαῦτά ἐστιν· οἷον θρίδαξ, ἀνδράχνη, τῇ ὀρθῇ, καὶ ταῖς ἐ-
✱ ἡ δὲ θρίδαξ, ὥσπερ οὐκ ἔχει τὰς τοιαύτας ἀποφύσεις, ἀλλὰ μόνον τὰς λεπτάς. καὶ μάλιστα
δὴ μονόρριζον, ὡς εἰπεῖν. ἁπλῶς δὲ πάντα τὰ θερινά, βραχύρριζα. καὶ γὰρ ὁ σίκυος, καὶ ἡ
κολοκύντη, καὶ ἡ σικύα, καὶ διὰ τὴν ὥραν, καὶ ἴσως ἔτι μᾶλλον διὰ τὴν φύσιν, ὥσπερ συνηκο-
λούθηκε τῇ ὥρᾳ. ἡ δὲ μεταφυτευομένη θρίδαξ, βραχυτέραν ἔχει τὴν ῥίζαν τῆς σπαρείσης· παρα-
βλαστάνει γὰρ ἐκ τοῦ πλαγίου μᾶλλον. βραχυτέρα δὲ καὶ ἡ ἀγρία τῆς ἡμέρου, καὶ ἐκ τοῦ ἄνω. τὰ δὲ πο-
λυκαυλότερα. ἀνθεῖ δὲ τὰ μὲν ἄλλων ἅπαξ ἀθρόον. τὸ δὲ ὤκιμον ἐπὶ μέρος κάτωθεν πρῶτον· εἶθ'
ὅταν ταῦτα ἀπανθήσῃ, τὰ ἄνω. διὸ καὶ πολυχρόνιόν φασι τὴν ἄνθησιν. καθάπερ κύαμος, καὶ τῆς πόας
τὸ ἡλιοτρόπιον καλούμενον, καὶ ἄλλα δὲ τῶν ἀγρίων. ἀνθεῖ δὲ καὶ ὁ σίκυος καλούμενος· καὶ γὰρ ἐπιβλα-
στάνων τούτῳ τι συμβαίνει. τὰ δὲ ἄνθη τῶν μὲν ἔκλευκα, τῶν δὲ μηλινοειδῆ, τῶν δὲ μικρὸν ὑποπορ-
ἐρυθρὸν φυρίζοντα. † ὤχρον δ' οὐθέν. τὰ δὲ σπέρματα διαφέρει καὶ τοῖς σχήμασι· τὰ μὲν γὰρ πλεῖστα
στρογγύλα, τὰ δὲ προμήκη, τὰ δ' αὖ πλατέα καὶ φυλλώδη, καθάπερ τὰ τῆς ἀνδραφάξυος·
ὅμοια γὰρ τῷ τοῦ σιλφίου. τὰ δὲ στενά, καὶ γραμμώδη, καθάπερ τοῦ κυμίνου. καὶ τοῖς χρώμασιν ὁμοίως
ἐλλιποσπέρματα τὰ μὲν μέλανα, τὰ δὲ ξυλώδη, τὰ δὲ λευκότερα. πάντα δὲ † ἐλεβοσπέρματα, ἢ γυμνοσπέρμα-
τα, ἢ ἐμφλοιοσπέρματα, ἢ παπποσπέρματα. ῥαφανὶς μὲν γάρ, καὶ νᾶπυ, καὶ γογγυλίς, ἐλε-
βοσπέρματα· κορίαννον δέ, καὶ μάραθον, καὶ ἄνηθον, καὶ κύμινον, γυμνοσπέρματα. βλίτον δέ, καὶ
τεύτλιον, καὶ ἀνδράφαξυς, καὶ ὤκιμον, ἐμφλοιοσπέρματα. θριδακίνη δέ, παπποσπέρματον.
πάντα δὲ πολύκαρπα, καὶ πολυβλαστῆ. πολυκαρπότερον δὲ τὸ κύμινον. ἴδιον δέ, καὶ ὃ λέγου-
σι ἐπὶ τούτου· φασὶ γάρ, δεῖν καταρᾶσθαί τε καὶ βλασφημεῖν σπείροντας, εἰ μέλλει καλὸν ἔσε-
σθαι, καὶ πολύ. δυσξήραντα δὲ πάντα μέν, ὡς εἰπεῖν, πλὴν τοῦ κυμίνου· οὐχ ὡς σῖτος, καὶ ἅπαξ
ἀδρυνθῇ, ταχὺ ξηραίνεται, καὶ ἀποπίπτει. δυσξηραντότερα δέ, τὰ ἐμφλοιοσπέρματα. καὶ τούτων ✱
καὶ προαφαιροῦντες αὐτὰ ξηραίνουσιν, ἅπαντα δὲ πολύχοα, καὶ πολυσπέρματα. πολυκαρπότα-

τον

ἡ βλάστησις. διαφέρει δὲ ταῦτα κατὰ τοὺς ἀρότους †ἕκαστον· προδιαίτερον γὰρ ἐν ταῖς εὐδίαις ἑκάστου
καὶ δυσχερέσιν. ὡς γὰρ ἁπλῶς εἰπεῖν, ἐν πλείοσι δεῖ τὰς αἰτίας ὑπολαβεῖν τῶν τοιούτων, ἔν τε
τοῖς σπέρμασιν αὐτοῖς, καὶ ἐν τῇ χώρᾳ, καὶ τῷ ἀέρι, καὶ ταῖς ὥραις αἷς ἕκαστα σπείρουσι καὶ χει-
μώνων καὶ εὐδιῶν. ἀλλὰ τοῦτο μὲν σκεπτέον, ἐφ' ὧν τι παραλλάττουσιν οἱ χρόνοι, καὶ ἐφ' ὧν οὔ.
καὶ γὰρ τὴν ῥαφανίδα φασί τινες τριταίαν, καὶ θέρους καὶ χειμῶνος. τὸ δὲ τελευταῖον, ὥσπερ
εἴρηται, παραλλάττει κατὰ τὰς ὥρας. χρόνοι δὲ οὗτοι τῆς βλαστήσεώς εἰσι, καὶ λέγονται, καθ' ἕκα-
στον. διαφέρει γὰρ πρὸς τὸ θᾶττον καὶ βραδύτερον, καὶ ἡ τῶν σπερμάτων παλαιότης. τὰ μὲν
γὰρ ἐκ νέων παραγίνεται θᾶττον, οἷον πράσον, γήθυον, σίκυος, κολοκύντη. ἔνιοι δὲ καὶ προβρέ-
χουσι τὸ μὲν σίκυον, πρὸς τὸ θᾶττον, ἢ ἐν γάλακτι, ἢ ἐν ὕδατι. τὰ δὲ ἐκ παλαιῶν, οἷον σέλι-
νον, τεύτλιον, κάρδαμον, θύμβρα, κορίαννον, ὀρίγανον· ἅπερ μὴ φυτεύεται, οὐ τὸ ἐκ τῶν νέων,
καθάπερ εἴπομεν. ἴδιον δὲ φασὶν ἐπὶ τοῦ τευτλίου συμβαίνειν· οὐ γὰρ διαφύεσθαι πᾶν εὐθὺς,
ἀλλ' ὕστερον πολλῷ τῷ δευτέρῳ ἔτει, καὶ τῷ τρίτῳ. διὸ καὶ ἐκ πολλοῦ σπέρματος ὀλίγον ἐκβλα-
στάνειν. ἕκαστον δὲ τῶν σπερμάτων, ἐὰν αὐδρωθέντα ἀκπίσῃ, διαμένει πρὸς τὴν ὥραν τὴν
ἑαυτοῦ, καὶ οὐ πρότερον ἐκβλαστάνει. καὶ κατὰ λόγον δή· καὶ γὰρ ἐπὶ τῶν ἀγρίων ὁρῶμεν συμβαῖνον,
ἐὰν μὴ φθαρῇ. αἱ δὲ τελειώσεις τῶν καρπῶν ἁπάντων ἐγγίνονται τοῦ θέρους. πρότερον δὲ καὶ
θᾶττον, ὡς ἁπλῶς εἰπεῖν, †πρότερον τῶν σπαρέντων. διαφέρει γὰρ καὶ ἡ ὥρα. τὰ γὰρ ἐν ταῖς τῶν πρότερον
θερμημερίαις σπαρέντα, θᾶττον ἐκκαυλεῖ, καὶ ἐκσπερματοῦται· καθάπερ ῥαφανὶς, γογγυλίς.
ἔνια δὲ καὶ οὐκ ἐνιαύσια φέρει τὸν καρπὸν, ἀλλὰ δίετα· καθάπερ σέλινον, πράσιον, γήθυον.
ἃ καὶ διαμένει χρόνον πλείονα. καὶ οὐκ ἔστιν ἐπέτεια· τὰ γὰρ πολλὰ τούτων, ἅμα τῇ τελειώσει
τῶν σπερμάτων αὐαίνεται. πάντα δὲ, ὡς εἰπεῖν, ὅσα ἐκκαυλεῖ καὶ τελεοῖ τὸν καρπὸν, ἀκροτε-
λεύτην κατὰ τὸ σχῆμα, τῶν παραβλαστήσεων ἐκ τοῦ καυλοῦ ἔχειν ἀκρεμονικάς, πλὴν ὅσα μονόκαυλα,
καθάπερ πράσιον, καὶ γήθυον, καὶ κρόμμυον, καὶ σκόροδον. φιλύδρα δὲ, φιλόκοπρα πάν- καὶ
τα· μᾶλλον δὲ τὰ ἀσθενέστερα, καὶ πλείονος ἐπιμελείας δεόμενα, τὰ δὲ καὶ τροφῆς. Φύεται 2
δὲ πάντα ἀπὸ τοῦ σπέρματος· ἔνια δὲ καὶ ἀπὸ παρασπάδος, καὶ κλωνὸς, καὶ ῥίζης. ἀπὸ μὲν πα-
ρασπάδος, ἡ ῥάφανος· ἀεὶ γάρ τι καὶ ῥιζῶδες προσλαβεῖν. ἀπὸ δὲ τῶν βλαστῶν, πήγανον, ὀρί-
γανος, ὤκιμον· ἀποφυτεύουσι γὰρ καὶ τοῦτο, ὅταν σπιθαμιαῖον ἢ μεῖζον γένηται, τεμόν-
τες εἰς τὸ ἥμισυ. ἀπὸ ῥίζης δὲ, σκόροδον, καὶ κρόμμυον, καὶ βολβὸς, καὶ ἄρον. καὶ ἁπλῶς, τὰ
τοιαῦτα τῶν κεφαλορρίζων. φύεται δὲ καὶ ἐνίων αἱ ῥίζαι διαμένουσιν ἐπὶ πλείονα χρόνον, ἐπε-
τειοκαύλων ὄντων. ὅτι δὲ ἀπὸ τοῦ σπέρματος πάντα βλαστάνει, φανερόν. καὶ γὰρ τὸ πήγα-
νον, ὅπερ οὔ φασί τινες, ἀλλὰ βραδέως· διὸ καὶ ἀποφυτεύουσιν. ὅσα δ' ἀπὸ ῥίζης φύεται, τού-
των ἡ μὲν ῥίζα χρόνιος, αὐτὰ δὲ ἐπετειόκαυλα. διὸ καὶ παραβλαστάνουσιν αἱ ῥίζαι τῶν τοιούτων,
καὶ γίνονται πλείους, οὐ μόνον ἐν τοῖς ἡμέροις καὶ κηπευομένοις, ἀλλὰ καὶ ἐν τοῖς ἀγρίοις, ὥσ-
περ εἴπομεν· οἷον βολβοῖς, γηθύοις, σκίλλαις, καὶ τοῖς ἄλλοις. παραβλαστάνει δὲ ἔνια καὶ
τῶν μὴ κεφαλορρίζων, χρονιωτέρων δέ· οἷον σέλινον, καὶ τεύτλιον· ἀφιᾶσι γὰρ ῥίζας, ἀφ' ὧν
φύονται φύλλα καὶ καυλοί. παραβλαστάνει δὲ καὶ γήθυον, καὶ πράσιον· καὶ παραφύει κά-
τωθεν οἷον βολβώδη τινὰ κεφαλὴν, ἐξ ἧς ἡ βλάστησις γίνεται τῶν φύλλων· αὐανθέντος δὲ
τοῦ καυλοῦ, καὶ τοῦ σπέρματος ἀφαιρεθέντος. ἀλλὰ †μὴ διὰ τὸ χρησίμας εἶναι τὰς διὰ τὸ μὴ
τούτων κεφαλὰς, οὐ συλλέγουσι μὲν εἰς ξηρασίαν· διὸ καὶ οὐ φυτεύουσι. τάχα δὲ ταῦτα καὶ
ὁμογενῆ, καὶ σύνεγγυς πως τῇ τοῦ κρομμύου φύσει. διὸ καὶ οὐ θαυμαστόν. ἀλλ' ὅμως καὶ ἐπὶ
πάντων καὶ ἡμέρων καὶ ἀγρίων, ὅσα χρονιώτερα μέν ἐστιν, ἐπιγειότερα δὲ, τούτων αἱ ῥίζαι
ἐπιβλαστάνουσιν, ὥσπερ καὶ ἐπὶ τῶν φρυγανικῶν, καὶ τῶν θαμνωδῶν. ἀλλ' ἐπὶ τῶν κρομμύων, καὶ
σκορόδων, καὶ βολβῶν, καὶ ὥσπερ ἀριθμός τις γίνεται τούτων. ἡ δὲ γένεσις, ὥσπερ εἴρηται,
τριχῶς ἐστιν· ἀπὸ σπέρματος μὲν, πάντων· ἀπὸ δὲ καυλοῦ καὶ ῥίζης, τῶν εἰρημένων· τῶν δὲ καυλῶν
κολουσθέντων, πάντων μὲν (ὡς εἰπεῖν) βλαστάνει, πλὴν τῶν ἀκαύλων. ἐμφανέστατα δ' ὥσπερ
καὶ εἰς χρείαν, ὤκιμον, θρίδαξ, ῥάφανος. καὶ τῆς μὲν θρίδακος †ἰδίως φασὶ τοὺς παλιβλάστους τῶν ἡδίους
καυλούς. τοῦ γὰρ πρώτου ὀπώδη καὶ πικρὸν εἶναι, ὡς ὕπεπτον. οἱ δὲ τὸ ἐναντίον, ὀπωδεστέρους τού-
τους, ἀλλ' ἕως ἂν ὦσιν ἁπαλοὶ, φαίνεσθαι γλυκυτέρους. ἀλλ' ἐπὶ τῆς ῥαφανίδος τοῦτο ὁμολογούμενον, ὡς
ἡ πάλιν βλαστήσει, ἡδίων, ἀφαιρεθέντων τι τῶν φύλλων πρὸ τοῦ διακαυλίσαι. διαμένουσι
δὲ αἱ ῥίζαι πλειόνων· ἀλλ' αἱ μὲν βλαστάνουσι πάλιν, αἱ δὲ οὔ. ῥαφανὶς οὖν, καὶ γογγυλὶς,

δια-

ποιεῖ χρόνος, οὐδ' ἔστιν ἀνανθὲς· ἀλλὰ καὶ ὁ χειμὼν ἔχει, καίπερ ἄγονος δοκῶν εἶναι, διὰ τὴν κατάψυξιν, τῶν μετοπωρινῶν μεταλαμβανόντων. ἐὰν δὲ δὴ καὶ μαλακὸς ᾖ, πολλῷ μᾶλλον. ἁπλῶς γὰρ πάντα τὰ πολλὰ, καὶ ἐπεκτείνεται τὰς οἰκείας ὥρας· κἂν ὁ τόπος εὔδιος ᾖ, μᾶλλον. διὸ καὶ συνεχῆ γίνεται. χρόνοι μὲν οὖν οὗτοι, καὶ ὧραι, περὶ τὰς γενέσεις. βίος δὲ, ἰωνίας μὲν τῆς λευκῆς, ἔτη μάλιστα τρία. γηράσκουσα δὲ ἐλαττοῦται, καὶ ἀεὶ λευκότερα φέρει. ῥοδωνίας δὲ πέντε, τὰ πρὸς τὴν ἀκμὴν, καὶ ἐπικομμένης δηλονότι, μὴ δ' ἐπιτεμνομένης. χείρω δὲ καὶ ταύτης τὰ ῥόδα, γηρασκούσης. πρὸς δυσοσμίαν δὲ καὶ ῥόδων, καὶ ἴων, καὶ τῶν ἄλλων ἀνθῶν, μέγιστον ὁ τόπος συμβάλλεται, καὶ ὁ ἀὴρ, πρὸς ἕκαστον † οἰκείως. ἐν Αἰγύπτῳ γὰρ τὰ μὲν πάντα ἄλλα † εὔοσμα καὶ ἀνανθῆ, καὶ ἀρώματα· αἱ δὲ μυρρίναι, θαυμασταὶ τῇ εὐοσμίᾳ. προτερεῖν δέ φασι τῶν ἐνταῦθα καὶ ῥόδα, καὶ ἴα, καὶ τὰ ἄλλα ἄνθη, καὶ διαμένειν· καὶ διαμένειν πλείω τῶν παρ' ἡμῖν, οὐκ ἐλάττω χρόνον τούτου. δοκεῖ δὲ πρὸς εὐοσμίαν διαφέρειν, ὥσπερ ἐλέχθη, καὶ ὁ ἐνιαυτὸς, τοιοῦτος ἢ τοῖος γινόμενος, οὐ μόνον ἐπομβρίαις καὶ αὐχμοῖς, ἀλλὰ καὶ τῷ † καιρὸν ἵνα γίνεσθαι καὶ ὕδατα, καὶ πνεύματα, καὶ ἁπλῶς τὰς τοῦ ἀέρος μεταβολάς. τὰ δὲ ἐν τοῖς ὄρεσιν, ὡς ἁπλῶς εἰπεῖν, καὶ ῥόδα, καὶ ἴα, καὶ τὰ ἄλλα ἄνθη, τῇ ὀσμῇ πολλῷ χείρω γίνεσθαι. καὶ περὶ μὲν τῶν στεφανωματικῶν, καὶ ἁπλῶς τῶν φρυγανικῶν, σχεδὸν ἐν τούτοις καὶ τοῖς ὁμοίοις εἴρηται ἡ ἱστορία.

μη
\+ εἰκαῖος
ἄοσμα
\+ κατὰ καιρὸν

ΘΕΟΦΡΑΣΤΟΥ ΠΕΡΙ ΦΥΤΩΝ
ἹΣΤΟΡΊΑΣ ΤῸ Ἠ.

ἙΠΌΜΕΝΟΝ δὲ τοῖς εἰρημένοις, περὶ τῶν ποωδῶν εἰπεῖν· ταῦτα γάρ ἐστι λοιπὸν τῶν ἐξ ἀρχῆς διαιρεθέντων γενῶν, ἐν ᾧ συμπεριλαμβάνονταί πως καὶ τὰ λαχανηρὰ, καὶ τὸ σιτῶδες, καὶ πρῶτον περὶ τῶν λαχανωδῶν λεκτέον, ἀρξαμένοις ἀπὸ τῶν ἡμέρων· ἐπεὶ γνώριμα μᾶλλον τυγχάνει τῶν ἀγρίων. εἰσὶ δὲ ῥοαὶ † αὗται πάντων τῶν κηπευομένων, ἐν αἷς ἕκαστα σπείρουσι, διαιροῦντες ταῖς ὥραις· μία μὲν οὖν ὁ χειμερινός, ἄλλος τε ὁ θερινός, τρίτος δὲ ὁ μεταξὺ τούτων μεθ' ἡλίου τροπὰς χειμερινάς. καλοῦσι δ' οὕτως, οὐ πρὸς τὴν σπορὰν βλέποντες, ἀλλὰ πρὸς τὴν γένεσιν, καὶ τὴν χρείαν ἑκάστου. ἐπεὶ ἥγε σπορὰ σχεδὸν ἐν τοῖς ἐναντίοις γίνεται. τοῦ χειμερινοῦ μὲν γὰρ ἀρχὴ μετὰ τροπὰς χειμερινάς· τοῦ δὲ μεταγειτνιῶνος μηνός, ἐν ᾧ σπείρουσι ῥάφανον, ῥαφανίδα, γογγυλίδα, καὶ τὰ καλούμενα ἐπίσπορα. ταῦτα δ' ἐστὶ, τεῦτλον, θριδακίνη, εὔζωμον, λάπαθον, νᾶπυ, κορίαννον, ἄνηθον, κάρδαμον. καλοῦσι δὲ πρῶτον τοῦτον τὸν ἄροτον. τὸν δὲ δεύτερον πάλιν μεθ' ἡλίου τροπὰς, τὸν γαμηλιῶνος μηνός· ἐν ᾧ σπείρουσι καὶ φυτεύουσι πράσον, σέλινον, γήθυον, † ἀνδράφαξιν. τὸν τρίτον δὲ, ὃν καλοῦσι † θέρει, τὸν μουνιχιῶνος· ἐν τούτῳ δὲ σπείρεται σίκυος, κολοκύνθη, βλίτον, ὤκιμον, ἀνδράχνη, θύμβρον. ποιοῦνται δὲ πλείους ἀρότους τῶν ὁμοίων, καθ' ἑκάστην ὥραν· οἷον ῥαφανίδος, ὠκίμου, τῶν ἄλλων. πᾶσι δὲ σπείρεται τοῖς ἀρότοις τὰ ἐπίσπορα. διαφύεται δὲ οὐκ ἐν ἴσοις πάντα χρόνοις, ἀλλὰ τὰ μὲν θᾶττον, τὰ δὲ βραδύτερον, ὅσα δυσφυῆ. τάχιστα μὲν οὖν, ὤκιμον καὶ βλίτον, καὶ εὔζωμον· καὶ τῶν χειμερινῶν, ῥαφανίς. τριταῖα γὰρ, ὡς εἰπεῖν. θριδακίναι δὲ, τεταρταῖαι, ἢ πεμπταῖαι. σίκυος δὲ, καὶ κολοκύνθη, περὶ τὰς πέντε, ἢ ἕξ, οἱ δέ φασιν ἑπτά. πρότερον δὲ καὶ θᾶττον ὁ σίκυος. ἀνδράχνη δ' ἐν πλείοσι τούτων. ἄνηθον δὲ τεταρταῖον. κάρδαμον δὲ καὶ νᾶπυ, πεμπταῖα. τεῦτλον δὲ, θέρους μὲν ἑκταῖον, χειμῶνος δὲ δεκαταῖον. ἀνδράφαξυς δὲ ὀγδοαία, ῥάφανος δὲ δεκαταία, πράσον δὲ καὶ γήθυον οὐκ ἐν ἴσοις· ἀλλὰ τὸ μὲν ἐννεακαιδεκαταῖον, ἐνίοτε δ' εἰκοσαῖον· γήθυον δὲ δεκαταῖον, ἢ δωδεκαταῖον. κορίαννον δὲ, δυσφυές· οὐ γὰρ ἐθέλει βλαστάνειν τὸ νέον, ἐὰν μὴ ἐλιχθῇ. θύμβρα δὲ, καὶ ὀρίγανος, ἐν πλείοσιν ἢ τριάκοντα. δυσφυέστατον δὲ πάντων τὸ σέλινον· τεσσαρακοσταῖον γάρ φασιν, οἱ τὰ συντομώτερα λέγοντες· οἱ δὲ πεντηκοσταῖον. καὶ τοῦτο περὶ πάντας τοὺς ἀρότους· ἐπισπείρουσι γάρ τινες αὐτὸ πᾶσιν. ὅλως δὲ, ὅσα περὶ πλείους χώρας σπείρεται, τοῦτ' οὐθὲν θᾶττόν γε πολλὰ γίνεσθαι τοῦ θέρους. καὶ θαυμαστόν· εἰ καὶ μηθὲν ἡ ὥρα συμβάλλεται, καὶ ὁ ἀὴρ, πρὸς τὸ θᾶττον. ἐὰν δὲ μοχθηρὰ, καὶ ψυχρὰ, καὶ τῷ ἀέρι περιεσκεπὴς, βραδύτερον. ἐπεὶ καὶ χειμῶνος ἢ εὐδίου περιγινομένων τοῖς ἀρότοις, ὅτε μὲν βραδύτερον, ὅτε δὲ θᾶττον ἡ βλαστ-

ἄροτοι
ἀνδράφαξυν
\+ θερινόν

δὲ αὐθεῖ, καὶ σπερμοφορεῖ· δοκεῖ δὲ οὐ πάντα, διὰ τὸ μὴ φανερὸν εἶναι τὸν καρπόν. ἐπεὶ καὶ τὸ ἄνθος ἐνίων, ἀμαυρόν· ἄλλα δὲ βραδέως καὶ χαλεπωτέρως περιγίνεσθαι τῇ φυτείᾳ. χρῶνται δὲ μᾶλλον, ὥσπερ ἐλέχθη, καὶ κατ' ἀρχάς. καίτοι διατείνονταί τινες ὡς οὐκ ἐχόντων καρπόν. αὐτοὶ γὰρ ξηραίνει πολλάκις, καὶ ἀκριβοῦται, καὶ σπεῖραι οὐδέποτε βλαστεῖν, οὔτε ἕρπυλλον, οὔτε ἑλένιον, οὔτε σισύμβριον, οὔτε μίνθον (πεπειρᾶσθαι γὰρ καὶ ταύτης) ἀλλ' ὅμως ἐκεῖνο ἀληθέστερον. οὔτε πεπειρᾶσθαι φάσκοντες, καὶ τοῦτον ἀσίν. ἔτι τῶν ἀγρίων φύσις ἐπιμαρτυρεῖ· καὶ γὰρ ἕρπυλλός ἐστιν ἄγριος, ὃν κομίζοντες ἐκ τῶν ὀρῶν φυτεύουσι, καὶ ἐν Σικυῶνι καὶ Ἀθήνησιν ἐκ τοῦ Ὑμηττοῦ. πρὸς ἄλλοις δὲ, ὅλως ὄρη πλήρη, καὶ τόποι· καθάπερ ἐν τῇ Θρᾴκῃ. καὶ σισύμβριον δὲ, καὶ τἆλλα, δριμυτέραν ἔχοντα τὴν ὀσμήν. ἕρπυλλος δὲ ἐνίοις καὶ παντελῶς θυμώδης. † ἄδηλον ὅτι πάντα τὴν γένεσιν † λαμβάνει. ἀβρότονον δὲ μᾶλλον † ἀπὸ σπέρματος βλαστάνει ἢ ἀπὸ ῥίζης καὶ παρασπάδος. χαλεπῶς δὲ καὶ ἀπὸ σπέρματος, περιμισγόμενον ἐν ὀστράκοις· ὥσπερ οἱ Ἀδώνιδος κῆποι, † τοῦ θέρους· δύσριγον γὰρ σφόδρα, καὶ ὅλως ἐπίκηρον, ὅπου καὶ ὁ ἥλιος σφόδρα λάμπει. ἐμβιῶσαν δὲ, καὶ αὐξηθὲν μέγα καὶ ἰσχυρὸν καὶ δενδρῶδες, ὥσπερ τὸ πήγανον· πλὴν ξυλωδέστερον πολὺ τούτου, καὶ ξηρότερον, καὶ αὐχμωδέστερον. ὁ δὲ ἀμάρακος, ἀμφοτέρως φύεται, καὶ ἀπὸ παρασπάδος, καὶ ἀπὸ σπέρματος. πολύσπερμον δὲ, καὶ τὸ σπέρμα εὔοσμον· ὀσμὴ μαλακωτέρα. δύναται δὲ καὶ μεταφυτεύεσθαι. πολύσπερμον δὲ καὶ τὸ ἀβρότονον, καὶ οὐκ ἄοσμον. τοῦτο δὲ ῥίζας μὲν ἔχει ὀρθὰς, καὶ ἐπὶ βάθος· ἔστι γὰρ ὥσπερ μονόρριζον τῇ παχείᾳ, τὰς δὲ ἄλλας ἐπ' αὐτῇ. ὁ δὲ ἀμάρακος, καὶ ὁ ἕρπυλλος, καὶ τὸ σισύμβριον, καὶ τὸ ἑλένιον, ἐπιπολῆς καὶ πολυσχιδεῖς καὶ ταρρώδεις· ξυλώδεις δὲ πᾶσαι. πολὺ δὲ μᾶλλον ἡ τοῦ ἀβροτόνου, καὶ διὰ τὸ μέγεθος, καὶ τῇ ξηρότητι. τοῦ δὲ ἑρπύλλου, ἴδιος ἡ αὔξησις ἡ τῶν βλαστῶν. δύναται γὰρ ἐφ' ὅσονοῦν προϊέναι κατὰ μῆκος, χάρακα λαβὼν, ἢ πρὸς αἱμασιὰν φυτευθεὶς, ἢ κάτω καθιέμενος, εὐαυξέστατος δὲ εἰς φρέαρ. ἄδηλον δὲ τοῦ μὲν ἡμέρου λαβεῖν, οὐκ ἔστι καθάπερ ἐλέχθη· τοῦ δὲ ἀγρίου φασὶν εἶναι. τοῦτον γὰρ ἐν τοῖς ὄρεσι, τὸν μὲν θυμβρώδη τινὰ καὶ δριμύτατον, τὸν δὲ εὔοσμον εἶναι καὶ μαλακώτερον. ὥρα δὲ τῆς φυτείας πλεῖστον μετόπωρον, ἐν ᾧ σπεύδουσιν ὡς πρῶτα φυτεύειν. οὐ μὴν ἀλλ' ἔνια καὶ τοῦ ἦρος φυτεύουσιν. ἅπαντα φιλοίκια, καὶ φίλυδρα, καὶ φιλόκοπρα μάλιστα. αὐχμὸν δὲ δέχεται, καὶ ὅλως ὀλιγοϋδρότατος ὁ ἕρπυλλος. κόπρῳ δὲ χαίρει, μάλιστα δὲ καὶ τῇ τῶν λοφούρων. φασὶ δὲ καὶ μεταφυτεύειν δεῖν πολλάκις· καλλίω γάρ. τὸ δὲ σισύμβριον, ὥσπερ ἐλέχθη καὶ ἐξίσταται, μὴ καταφυτευόμενον. τῶν δὲ ἀνθῶν † τὸ μὲν πρῶτον ἐκφαίνεται τὸ λευκόϊον, ὅπου μὲν ὁ ἀὴρ μαλακώτερος, εὐθὺς τοῦ χειμῶνος· ὅπου δὲ σκληρότερος, ὕστερον. ἐνιαχοῦ τοῦ ἦρος. ἅμα δὲ τούτῳ ἴον, ἢ † μικρότερον * ὕστερον καὶ τὸ φλόγινον καλούμενον, τὸ ἄγριον. ταῦτα γὰρ, ὧν οἱ στεφανηπλόκοι χρῶνται, πολὺ ἐκτρέχει τῶν ἄλλων. μετὰ δὲ ταῦτα ὁ νάρκισσος, καὶ τὸ λείριον, καὶ τὸ τοῦ βολβοῦ κώδιον· ἐμπλέκουσι γὰρ ἔνιοι καὶ τοῦτο εἰς τοὺς στεφάνους. ἐπὶ δὲ τούτοις ἡ οἰνάνθη, καὶ τὸ μελάνιον· καὶ τῶν ἀγρίων, ὅ τε ἑλειόχρυσος, καὶ τῆς ἀνεμώνης ἡ λειμωνία καλουμένη, καὶ τὸ ξίφιον, καὶ ὑάκινθος, καὶ χρυσὸν ὅσοις ἄλλοις χρῶνται τῶν ὀρείων. τὸ δὲ ῥόδον ὑστερεῖ τούτων, καὶ τελευταῖον μὲν φαίνεται, πρῶτον δὲ ἐκλείπει τῶν ἐαρινῶν· ὀλιγοχρόνιος γὰρ ἡ ἄνθησις. ὀλιγοχρόνια γὰρ καὶ τῶν ἀγρίων τὰ λοιπὰ, πλὴν τῆς ὑακίνθου, καὶ τῆς ἀγρίας καὶ τῆς σπαρτῆς· αὕτη δὲ διαμένει, καὶ τὸ λευκόϊον· καὶ ἔτι μᾶλλον τὸ φλόγινον. τὸ δὲ διὰ μελάνιον, ὥσπερ εἴρηται, δι' ἐνιαυτοῦ, θεραπείας τυγχάνον. ὡσαύτως δὲ καὶ ἡ οἰνάνθη· καὶ γὰρ τοῦτο ἀνθικὸν μὲν, ποώδης δὲ τὴν φύσιν. ἐάν τις ἀκρονίζῃ καὶ ἀφαιρῇ τὸ ἄνθος, καὶ μὴ ἐᾷ σπερματοῦσθαι, καὶ ὅτι τόπον εὔηλον ἔχει. τὸ δὲ ἄνθος βοτρυῶδες, καὶ λευκὸν, καθάπερ τῶν ἀγρίων. ταῦτα μὲν οὖν ὥσπερ ἐαρινὰ φαίνεται. τὰ δὲ θερινὰ μᾶλλον, ἥ τε λυχνὶς, καὶ τὸ Διὸς ἄνθος, καὶ τὸ κρίνον, καὶ τὸ ἴφυον, καὶ ὁ ἀμάρακος ὁ φρύγιος, ἔτι δὲ ὁ πόθος καλούμενος, οὗτος δὲ διττός· ὁ μὲν ἔχων τὸ ἄνθος ὅμοιον τῇ ὑακίνθῳ, ὁ δὲ ἕτερος ἄχρους, λευκὸς, ᾧ χρῶνται περί τε τὰς ταφάς, καὶ χρονιώτερος οὗτος. ἀνθεῖ δὲ καὶ ἡ † ἶρις τοῦ θέρους· καὶ τὸ στρουθίον καλούμενον, τῇ ὄψει καλὸν τὸ ἄνθος, † εὔοσμον δὲ μετοπώρου. τὸ δὲ λείριον τὸ ἕτερον, καὶ ὁ κρόκος ὁ ὀρεινός † εὔοσμος καὶ ὁ ἥμερος· εὐθὺς γὰρ ἀνθοῦσι τοῖς πρώτοις ὕδασι. χρῶνται δὲ καὶ τῶν ἀγρίων περὶ τὸν τῆς ὀξυακάνθου καρπὸν, καὶ περὶ ἄνθει περὶ τὸν μάλακος. καὶ τοῖς μὲν ἄρχεις οὕτως ἑκάστων ἡ γένεσις, ὡς δ' ἁπλῶς εἰπεῖν, οὐδεὶς διαλείπει-

φύσις δύοσμος· οἷον ἑρπύλλου, ἐλενίου, σισυμβρίου, τῶν ἄλλων· ἄμφω δὲ φρυγανικά. καὶ ἐκείνων
τῶν ἀνθικῶν πολλὰ ἡ φύσις φρυγανώδης. ἡ μὲν ἐπέτειος ἐστὶ μόνον, ἡ δὲ πολυχρονιωτέρα,
πλὴν τῆς ἰωνίας τῆς μελαίνης· αὕτη γὰρ ἀκλώνιστος, ἀλλὰ προσριζόφυλλος, καὶ ἄφυλλος. ὥς
δέ τινές φασι, καὶ δυναμένη δι᾽ ὅλου φέρειν τὸ ἄνθος, ἐὰν τρόπον τινὰ θεραπεύηται. ταῦτα μὲν
ἴδιον ἂν ἔχοι. τῶν δὲ ἄλλων μᾶλλον τῶν πάντων αἱ μὲν ὅλαι μορφαὶ σχεδὸν πᾶσαι φανεραί.
ναι εἰ δέ τινας ἄλλας ἰδιότητας ἔχουσι, ταύτας λεκτέον· ὅτι τὰ μὲν ἁπλᾶ δοκεῖ τοῖς εἴδεσιν εἶναι,
τὰ δὲ ἔχειν διαφοράς. ἁπλᾶ μὲν, οἷον τὰ ξυλώδη· καθάπερ ἕρπυλλος, σισύμβριον, ἐλένιον·
+ καὶ τὰ μὲν πλὴν εἰ τὰ μὲν ἄγρια, τὰ δ᾽ ἥμερα † καὶ εὔοσμα, τὰ δὲ ἀοσμότερα εἴη. τούτων δὲ καὶ αἱ θε-
ραπεῖαι, καὶ αἱ χῶραι διάφοροι, καὶ ἀέρες. φύσει δὲ τῶν ἀνθῶν, * οἷον τὸ μελάνιον· οὐ γὰρ ἔχειν
δοκεῖ ταύτην διαφοράν, ὥσπερ τὸ λευκόν· ἐμφανὴς γὰρ ἡ τούτων χροιά, διαλλάττουσα. καὶ ἔτι
δὲ μᾶλλον ἡ τῶν κρίνων· εἴπερ δὴ, καθάπερ φασίν, ἔνια καὶ πορφυρᾶ ἐστι. τῶν δὲ ῥόδων πολλαὶ
διαφοραί, πλήθει τε φύλλων, καὶ ὀλιγότητι, καὶ τραχύτητι, καὶ λειότητι, καὶ χροιᾷ, καὶ εὐοσμίᾳ.
τὰ μὲν γάρ ἐστι πεντάφυλλα, τὰ δὲ δωδεκάφυλλα, καὶ εἰκοσάφυλλα· τὰ δ᾽ ἔτι πολλῷ
πλείω ὑπεραίροντα τούτων. ἔνια γὰρ εἶναί φασιν, ἃ καὶ καλοῦσιν ἑκατοντάφυλλα· πλεῖστα
δὲ τὰ τοιαῦτά ἐστι περὶ Φιλίππους. οὗτοι γὰρ λαμβάνοντες ἐκ τοῦ Παγγαίου, φυτεύουσιν· ἐκεῖ γὰρ
γίνεται πολλά. σμικρὰ δὲ σφόδρα τὰ ἐντός· ἡ γὰρ ἔκφυσις αὐτῶν οὕτως, ὥστε εἶναι τὰ μὲν ἐκ-
τός, τὰ δ᾽ ἐντός. οὐκ εὔοσμα δὲ, οὐδὲ μεγάλα τοῖς μεγέθεσιν. ἐν δὲ τοῖς μεγάλοις εὐώδη μᾶλλον,
ὧν βραχὺ τὸ κάτω. τὸ δὲ ὅλον, ὥσπερ ἐλέχθη, καὶ ἡ εὐοσμία καὶ ἡ εὔχροια, παρὰ τοὺς τόπους ἐστίν.
ἐπεὶ καὶ τὰ ἐν γῇ τοιαῦτα γινόμενα, ποιεῖ τινα παραλλαγὴν εὐοσμίας καὶ ἀοσμίας. εὐοσμό-
τατα δὲ τὰ ἐν Κυρήνῃ. διὸ καὶ τὸ μύρον ἥδιστον. ἁπλῶς δὲ, καὶ τῶν ἴων, καὶ τῶν ἄλλων ἀνθῶν,
ἄκρατοι μάλιστα δ᾽ ἐκεῖναι αἱ ὀσμαὶ, διαφέροντος δὴ τοῦ κρόκου· πλεῖστον γὰρ οὗτος δοκεῖ πα-
ραλλάττειν. φύεται μὲν οὖν ἡ ῥοδωνία καὶ ἐκ τοῦ σπέρματος· ἔχει δὲ ὑπὸ τὸ ἄνθος ἐν τῷ μήλῳ
χνοῶ καρπώδης, ἢ ἀνθώδης, ἔχων δέ τινα χνοῦν, ὥστε ἐγγὺς εἶναι τῶν πρώτων σπερμάτων. οὐ μὴν ἀλ-
λὰ διὰ τὸ βραδέως παραγίνεσθαι κατακόπτοντες, ὡς ἐλέχθη, τὸν καυλὸν φυτεύουσιν. ἀποκαιο-
μένη δὲ, καὶ ἀποτεμνομένη, βέλτιον φέρει τὸ ἄνθος· ἐωμένη γὰρ ἐξαύξεται, καὶ ἐκλοχμοῦται.
δεῖ δὲ καταφυτεύειν πολλάκις· καὶ γὰρ οὕτω φασὶ κάλλιον γίνεσθαι τὸ ῥόδον. αἱ δ᾽ ἄγριαι,
τραχύτεραι καὶ ταῖς ῥάβδοις καὶ τοῖς φύλλοις. ἔτι δὲ τὸ ἄνθος ἀχρούστερον, καὶ ἀοσμότερον ἔχουσι,
καὶ ἔλαττον. τὸ δὲ ἴον τὸ μέλαν τοῦ λευκοῦ διαφέρει, κατά τε τἄλλα, καὶ κατ᾽ αὐτὴν τὴν ἰω-
νίαν· ἔστι πλατύφυλλος, καὶ ἐγγειόφυλλος, καὶ σαρκόφυλλός ἐστι, πολλὴν ἔχουσα ῥίζαν. τὰ δ᾽
λευκά, τῇ μὲν χροιᾷ τὴν εἰρημένην ἔχει διαφοράν· μονόκαυλα δ᾽ ἐστὶν, ὡς ἐπίπαν· δίκαυλα
δὲ σπανίως. τάχα δὲ ταύτην χώρας καὶ ἀέρος διαφοράν. καθ᾽ ἕκαστον δὲ καυλὸν, ὅτε μὲν ἓν κρί-
νον, ὅτε δὲ πλείω γίνεται· βλαστάνει γὰρ τὸ ἄκρον. σπανιώτερα δὲ ταῦτα. ῥίζαν δ᾽ ἔχει πολ-
λὴν, σαρκώδη, καὶ στρογγύλην. ὁ δὲ καρπὸς ἀφαιρούμενος, ἐκβλαστάνει, καὶ ἀποδίδωσι τὸ κρί-
νον, πλὴν ἔλαττον. ποιεῖ δέ τινα καὶ δακρυώδη συστροφήν· ἣν καὶ φυτεύουσιν, ὥσπερ εἴπο-
μεν. ὁ δὲ νάρκισσος, ἢ τὸ λείριον (οἱ μὲν γὰρ τοῦτο, οἱ δ᾽ ἐκεῖνο καλοῦσι) τὸ μὲν ἐπὶ τῇ γῇ φύλ-
+ ἀσφοδε- λον † ἀσφαλώδες ἔχει, πλατύτερον δὲ πολὺ, καθάπερ ἡ κρινωνία. τὸν δὲ καυλὸν ἄφυλ-
λώδη λον μὲν, ποώδη δὲ, καὶ ἐπ᾽ ἄκρου τὸ ἄνθος, καὶ ἐν ὑμένι τινὶ καθάπερ ἐν ἀγγείῳ † μέσον δὲ
μέγαν μάλα, καὶ μέλανα τῇ χροιᾷ, χάμαζε δὲ προμήκη. οὗτος δὲ ἐκπίπτων ποιεῖ βλάστησιν αὐτό-
ματον· οὐ μὴν ἀλλὰ καὶ συλλέγοντες φυτεύουσι. καὶ τὴν ῥίζαν φυτεύουσιν. ἔχει ῥίζαν σαρκώ-
δη, στρογγύλην, μεγάλην· ὄψιον δὲ σφόδρα. μετὰ γὰρ ἀρκτοῦρον ἡ ἄνθησις, καὶ περὶ ἰσημε-
+ κρόκος ρίαν. ὁ δὲ † καρπός, ποώδης μὲν τῇ φύσει, καθάπερ καὶ ταῦτα, πλὴν φύλλον στενόν· σχεδὸν
γὰρ ὥσπερ τριχόφυλλόν ἐστιν. ὀψιανθὴς δὲ σφόδρα, καὶ ὀψιβλαστής, ἢ πρωϊανθής, ὁποτέρως
ἂν λαμβάνῃ τὴν ὥραν. πλεῖστα γὰρ ἀνθεῖ, καὶ ὀλίγας ἡμέρας. εὐθὺς δ᾽ ἅμα τῷ φύλλῳ καὶ ἄν- τὸ
θος ὠθεῖ· δοκεῖ δὲ καὶ πρότερον. ῥίζα δὲ πολλή, καὶ σαρκώδης, καὶ τὸ ὅλον δίζωον. φιλεῖ δὲ
καὶ πατεῖσθαι· καὶ γίνεται κάλλιον, κατατριβομένης κάτω τῆς ῥίζης. διὸ καὶ παρὰ τὰς ὁδοὺς,
καὶ ἐν τοῖς κροτητοῖς, κάλλιστος. ἡ δὲ φυτεία ἀπὸ ῥίζης. ταῦτα μὲν οὖν οὕτω γεννᾶται. τὰ δ᾽
ἄλλα ἄνθη, τὰ προειρημένα, πάντα σπείρεται· οἷον ἰωνία, Διὸς ἄνθος, ἴφυον, φλόξ, ἡμεροκα- ον
τὰ 7 λὶς· καὶ γὰρ αὐτά, καὶ αἱ ῥίζαι ξυλώδεις. Σπείρεται δὲ καὶ ἡ οἰνάνθη· καὶ γὰρ καὶ ταύτης αὐ-
τόθεν. τὰ μὲν οὖν ἀκανθικὰ σχεδὸν ἐν τούτοις, καὶ τοῖς ὁμοίοις λεκτέον. τὰ δ᾽ ἕτερα, ταῖς γε

μὲν

φύεται καὶ ἀπὸ τοῦ σπέρματος, καὶ ἀπὸ τῆς ῥίζης, ὥστε βραχύ τινα γίνεσθαι τὸν ἀνὰ μέσον χρόνον τῆς ἐκφύσεώς τε καὶ τῆς τοῦ σπέρματος πλειώσεως. τοῦ σκολύμου δὲ οὐχ ὅτι τοῦτο μόνον ἴδιον, ὅτι τὴν ῥίζαν ἐδώδιμον ἔχει καὶ ἑφθὴν καὶ ὠμήν, ἀλλὰ καὶ ὅτι † τὰς * ἀρίστην ὅταν ἀνθῇ, καὶ ὅτι σκληρυνομένη ἀφίησιν ὀπόν. ἴδιον δὲ καὶ τὸ τῆς ἀνθήσεως· ἐπεὶ περὶ τροπὰς ταύτην ἀρίστην
σαρκώδης δὲ καὶ ἐδώδιμος ὁ τοῦ ὄγκου. ἡ δὲ κύνησις οὐκ ἀκανθώδης, ἀλλὰ πολυμάκης αὐτοῦ. καὶ τοῦτ' ἴδιον μόνον ἔχει τῶν φυλλακάνθων αὐτεστραμμένως, ἢ ὁ χαμαιλέων. ὁ μὲν γὰρ, ἀφυλλάκανθος ὤν, † κακανίζει. γηράσκων δὲ τὸ ἄνθος ἐκπέπτωκεν, καθάπερ τὸ τῆς δάφνης, καὶ τὸ τῆς μυῤῥίνης, καὶ ὅσα παραπλήσια τούτοις. † παρακολουθεῖν μέχρι τοῦ θέρους, τὸ μὲν κυανοῦν, τὸ δὲ κύανον, τὸ δὲ σπέρματος μὲν μικρὰν ἰκμάδα καὶ μέτριον ἔχον. ξυραινόμενον δὲ τὸ φύλλον διαχεῖται, καὶ οὐκ ἔτι κεντεῖ. ἡ ἰξίνη δὲ φύεται μὲν οὐ πολλαχοῦ, ῥιζόφυλλον δέ ἐστιν. ἐκ δὲ τῆς ῥίζης μέσης ὁ σπερματικὸς ἄκανθος ἐπιπέφυκεν, ὥσπερ μῆλον, εὖ μάλα περικεκρυμμένον ὑπὸ τῶν φύλλων. ὅτος δὲ ὑπὸ τοῦ ἄκρου φέρει τὸ δάκρυον εὔοσμον, καὶ τοῦτό ἐστιν ἡ ἀκανθίνη καὶ ἡ μαστίχη. ταῦτα μὲν οὖν καὶ τὰ τοιαῦτα πανταχοῦ σχεδόν ἐστιν. ἡ δὲ κάκτος καλουμένη, περὶ σικελίαν μόνον ἐν τῇ ἑλλάδι δὲ οὐκ ἔστιν. ἴδιον δὲ παρὰ τὰ ἄλλα τὸ φυτόν. ἀφίησι γὰρ εὐθὺς ἀπὸ τῆς ῥίζης καυλοὺς ἐπιγείους· τὸ δὲ φύλλον ἔχει καὶ ἀκανθῶδες. καλοῦσι δὲ τοὺς καυλοὺς, τούτους ἐδώδιμοι δέ εἰσι περιλεπόμενοι, μικρὸν ἐπίπικροι· καὶ θησαυρίζουσιν αὐτοὺς ἐν ἅλμῃ. ἕτερον δὲ καυλὸν ὀρθὸν ἀφίησιν, ὃν καλοῦσι πτέρνικα. γίνεται δὲ καὶ οὗτος ἐδώδιμος, πλὴν ἀθησαύριστος. τὸ δὲ περικάρπιον, ἐν ᾧ τὸ σπέρμα, τὴν μὲν μορφὴν ἀκανθῶδες. ἀφαιρεθέντων δὲ τῶν † παππαδῶν σπερματίων, ἐδώδιμον καὶ τοῦτο, καὶ ἐμφερὲς τῷ τοῦ φοίνικος ἐγκεφάλῳ. καλοῦσι δὲ αὐτὸν σκαλίαν. τὰ μὲν οὖν φυλλάκανθα σχεδὸν ἐν τοιαύταις διαφοραῖς. τὰ δὲ καὶ παρὰ τὴν ἄκανθαν ἔχοντα φύλλον, οἷον τὰ τοιαῦτα· φλεώς, ὀνωνίς, πάντα δ' ὅσα, τρίβολος, ἱππόφυον, μυάκανθός τε σφόδρα † καὶ τὸ φύλλον ἔχει σαρκῶδες, πολυσχιδὲς δὲ, καὶ πολύρριζον οὐ μὴν κατὰ βάθους γε τὰς ῥίζας ἔχον. βλαστάνει δὲ ἅμα πλειάδι, καὶ τοῖς πρώτοις ἀρότροις. † καὶ ἀφίησι τότε τὸ φύλλον· οὐ γάρ ἐστιν ἐπέτειον, ἀλλὰ χρονιώτερον. τὸ δὲ τῆς καππάρεως ἴδιον, ὥσπερ ἐλέχθη, παρὰ ταῦτα· καὶ γὰρ τὸ φύλλον ἐπακανθίζον ἔχει, καὶ τὸν καυλὸν οὐχ ὥσπερ † ὄφιος καὶ ἱππόφεως αὐτάκανθα τοῖς φύλλοις· μονόρριζον δὲ, καὶ ἐπίγειον, καὶ χαμαίκαυλον. βλαστάνει δὲ καὶ ἀνθεῖ τοῦ θέρους, ὃ διαμένει τὸ φύλλον χλωρὸν ἄχρι πλειάδος. χαίρει δὲ ὑφάμμοις καὶ λεπτογέοις χωρίοις. λέγεται δὲ, ὡς ἐν τοῖς ἐργασίμοις οὐ θέλει φύεσθαι· καίτοι περὶ τὰ ἄστη, καὶ ἐν θυηλείοις τόποις φυομένη, καὶ οὐχ ὥσπερ σίλφιον ἐν ὀρεινοῖς. τοῦτο μὲν οὐ πάντως ἀληθές. ὁ δὲ τρίβολος ἴδιον ἔχει, διότι περικαρπάκανθός ἐστι. δύο δὲ αὐτοῦ γένη· τὸ μὲν γὰρ ἔχει φύλλον ἐρεβινθῶδες, ἕτερος δὲ φυλλάκανθος. καὶ ἐπίγειοι δὲ ἄμφω, καὶ πολλαχοῦ σχεδὸν σχιζόμενοι. ὀψιβλαστὴς δὲ μᾶλλον ὁ φυλλάκανθος, περιφυὴς τὰς αὐλάς. τὸ δὲ σπέρμα τοῦ μὲν τραχέος, σησαμῶδες. τοῦ δὲ ὀψίου, στρογγύλον, ἐπίμηλον ἐν λοβῷ. καὶ τὰ μὲν ὥσπερ αὐτόφυλλα καὶ ἄκανθα ἔχοντα, σχεδὸν ἐν τούτοις.

ἡ δ' † ἀνωνίς ἐστι προσάκανθον, ἐπίστιχον δὲ φύλλον ἔχει, πηγανῶδες, παραπεφυκὸς παρ' ὅλον τὸν καυλόν, ὥσπερ στέφανον τὴν ὅλην εἶναι μορφὴν διαλαμβανομένην ὑπ' ἀλλήλων. κολλοβοάκανθος δὲ, καὶ ἐλλοβοάκανθος δυσαφαίρετος. φύεται δ' ἐν τῇ γλίσχρᾳ καὶ γεώδει, καὶ μάλιστα ἐν τῇ σπορίμῳ καὶ γεωργουμένῃ· διὸ καὶ πολέμιον τοῖς γεωργοῖς. καὶ ἔτι δυσώλεθρος· ὅταν γὰρ λάβῃ χώρας βάθος, ὠθεῖ τὰ κάτω εὐθύς. καὶ καθ' ἕκαστον ἔτος ἀποφύσας ἀφιεμένη εἰς τὰ πλάγια, πάλιν εἰς τὸ ἕτερον ὠθεῖται κάτω. σκεδάζεται μὲν οὖν οὕτως ὅλη. ὅταν δὲ βραχέως γίνεται τῆς γῆς καὶ ἀπόλλυται ῥᾷον. ἐὰν δὲ μικρὸν ὑπολειφθῇ, ἀπὸ τούτου πάλιν βλαστάνει. ἄρχεται δὲ τῆς βλαστήσεως θέρους· τελευτᾷ δὲ μετοπώρου. τὰ μὲν οὖν ἄγρια τῶν φρυγανικῶν ἐκ τούτων θεωρείσθω.

6 Τὰ δὲ ἥμερα, βραχεῖαν τινὰ ἔχει θεωρίαν, εἴπερ ἐν τοῖς στεφανωτικοῖς ἐστι. τὰ δὲ καθόλου ῥητέον περὶ στεφανωμάτων εἰπεῖν, ὅπως ἅπαν περιληφθῇ τὸ γένος. ἡ γὰρ στεφανωματικὴ φύσις ἰδίαν τινὰ ἔχει τάξιν. ἐπιμιγνυμένη δὲ, τὰ μὲν τοῖς φρυγανικοῖς, τὰ δὲ τοῖς ποώδεσι· διὸ καὶ κἀκεῖνα συμπεριληπτέον, ἐπιμιμνησκομένους ὡς ἂν ᾖ ὁ καιρός, ἀρξαμένους πρῶτον ἀπὸ τῶν φρυγανικῶν. ἀρχὴ δὲ ἡ τούτων διαίρεσις ἡ κατὰ τὴν χρείαν. τῶν μὲν γὰρ τὸ ἄνθος χρήσιμον μόνον· καὶ τούτων τὸ μὲν εὔοσμον, ὥσπερ ἴον· τὸ δὲ ἄνοσμον, ὥσπερ διὸς ἄνθος, φλόξ. τῶν δὲ καὶ οἱ κλῶνες, καὶ τὰ φύλλα, καὶ ὅλως ἡ πᾶσα

ταύτην ἀρίστην — ἀκαρνίζει — παρακολουθεῖν — κάκτους — ἅλμῃ — παππωδῶν — φλεὼς μὲν — οὐκ ἀφίησι — ὁ φλεώς — συγγείλοις — ὀνωνίς

τὸ δὲ φύλλον τῷ χρώματι χρυσοειδές ἐστι. φυτευτικὸν δέ, καὶ καθαίρεσθαι τὰ πρόβατα τὸ φύλλον ἐσθίοντα. φασὶ γὰρ καὶ τοῦ ἦρος καὶ τοῦ χειμῶνος εἰς ὄρος ἀφικνεῖσθαι. νέμεσθαι δὲ τοῦτό τε, καὶ ἕτερον ὅμοιον ἀβροτόνῳ. θερμαντικὰ δ' ἄμφω δοκεῖ εἶναι· καὶ καθαίρειν μὲν οὐ ποιεῖν, ἀναξηραίνειν δέ, καὶ συμπέττειν. ἐὰν δὲ τι νοσοῦν, ἢ κακῶς ἔχον εἰσέλθῃ πρόβατον, ὑγιάζεσθαι ταχέως, ἢ ἀποθνήσκειν· ὡς δ' ἐπὶ τὸ πολὺ σώζεσθαι μᾶλλον. ταῦτα μὲν ὁποτέρως ἔχει, σκεπτέον. ἡ δὲ καλουμένη μαγύδαρις, ἑτέρα ἐστὶ τοῦ σιλφίου, μανοτέρα τε καὶ ἧττον δριμύ, καὶ τὸν ὀπὸν οὐκ ἔχει. διάδηλον δ' ἐστὶ καὶ τῇ ὄψει καὶ τοῖς ἐμπύροις. γίνεται δὲ περὶ Συρίαν, καὶ οὐκ ἐν Κυρήνῃ· φασὶ δὲ καὶ ἐν τῷ Παρνασίῳ ὄρει πολλήν. φύει δὲ σίλφιον ὃ καλοῦσιν. εἰ δὲ φεύγει τὴν ἐργασίαν, ὥσπερ τὸ σίλφιον, σκεπτέον· ὡσαύτως δὲ, καὶ εἴ τι ὅμοιον ἢ παραπλήσιον ἔχει, φύλλα τε περὶ, καὶ καυλὸν καὶ εἰ ὅλως ἀφίησί τι δάκρυον. τὴν μὲν οὖν ναρθηκώδη φύσιν ἐν τοῖς τοιούτοις θεωρητέον.

τῶν δ' ἀκανθικῶν, ἑπόμενον γάρ ἐστιν εἰπεῖν, ἐπεὶ δὲ διῄρηται, τὸ μὲν ἀκανθῶδες ὅλως, τὸ δὲ φυλλάκανθον, ὑπὲρ ἑκατέρου χωρὶς λεκτέον· καὶ πρῶτον δὲ περὶ τῶν καὶ παρὰ τὴν ἄκανθαν ἐχόντων φύλλον. ὥσπερ ὅ, τε φλεὼς, καὶ ὁ τρίβολος, καὶ ἡ κάππαρις, ἴδιον ἔχει τὸ μὴ μόνον τὴν ἐκ τῶν καυλῶν ἄκανθαν ἔχειν, ἀλλὰ καὶ τὸ φύλλον ἐπακανθίζον. τῶν δὲ διῃρημένων εἰδῶν, πλεῖστον μὲν ἐστι τὸ φυλλάκανθον· ἐλάχιστον δὲ, ὡς εἰπεῖν, τὸ ἀκανθῶδες ὅλως. βραχὺ γάρ τι πάμπαν ἐστὶν, ὥσπερ ἐλέχθη. καὶ χαλεπὸν οὐ ῥᾴδιον λαβεῖν πλήν τε τὸν ἀσπάραγον, καὶ τὸν σκορπίον· ἀμφότερα δὲ ταῦτα ἀνθεῖ μετὰ ἰσημερίαν φθινοπωρινήν. ὁ μὲν γὰρ σκορπίος ἐν τῷ σαρκώδει τῷ ἐπανιόντι τὸ ὑπὸ τὸ ἄκρον τῆς ἀκάνθης ἔχον τὸ ἄνθος, ἐξ ἀρχῆς μὲν λευκὸν, ὕστερον δὲ ὑποπορφυρίζον. ὁ δὲ ἀσφάραγος ἐκφύει παρὰ τὰς ἀκάνθας κορυμβῶδες μικρόν, ἐκ τούτου δ' ἐστὶ τὸ ἄνθος μικρόν. ὁ δὲ σκορπίος μονόῤῥιζον, καὶ βραχύῤῥιζον, καὶ βαθύῤῥιζον. ὁ δὲ ἀσφάραγος, βαθύῤῥιζόν τε οὐ μάλα καὶ πολύῤῥιζον, πυκναῖς ταῖς ῥίζαις, ὥστε τὸ ἄνω συνεχὲς εἶναι αὐτοῦ, ἀφ' οὗ καὶ αἱ βλαστήσεις αὐτοῦ τῶν καυλῶν. ἀναβλαστάνει δὲ ὁ καυλὸς ἐκ τῆς ἀσφαραγίας τοῦ ἦρος, καὶ ἐδώδιμός ἐστιν· εἶθ' οὕτως ἀποβραχύνεται, καὶ ἐξακανθοῦται προϊούσης τῆς ὥρας. ἡ δὲ ἔκφυσις οὐκ ἐκ τούτου μόνον, ἀλλὰ καὶ ἐκ τῶν προτέρων. οὐ γὰρ ἐπετειόκαυλόν ἐστιν. τὰ μὲν οὖν ὅλως ἀκανθώδη, τοιαύτην τινὰ ἔχει φύσιν. τῶν δὲ φυλλακάνθων τὸ πλεῖστον γένος, ὡς εἰπεῖν, † ἀκανθῶδες τυγχάνει. λέγω δὲ τὸ ἀκανθῶδες, ὅτι τὸ κύημα, καὶ ἐν ᾧ τὸ ἄνθος, ἢ καὶ ὁ καρπὸς, † ἄκανος ἢ ἀκανθῶδες, πάντων ἐστί. διαφορὰν δὲ ἔχει ἐν ἑαυτῷ καὶ μέγεθος, καὶ σχήματι τῷ χρώματι καὶ πλήθει καὶ ὀλιγότητι τῶν ἀκανθῶν, καὶ τῶν ἄλλων· ἔξω γὰρ ὀλίγων πάνυ, καθάπερ τοῦ στροβίου τε, καὶ τοῦ σόγκου, καὶ εἴ τινων ἑτέρων, τὰ λοιπὰ πάντα ὡς εἰπεῖν τοιαύτην ἔχει φύσιν· ἐπεὶ καὶ ὁ κνῆκος τήν γε φύσιν ἀκανθώδη ἔχει· τὸ δὲ σπερματικὸν οὐχ ὅμοιον. ἀλλὰ τά γε τοιαῦτα πάντων, οἷον ἄκορνα, λευκάκανθα, χάλκειος, κνῆκος, πολυάκανθος, ἀτρακτυλὶς, ὀνόπυξος, ἰξίνη, χαμαιλέων· πλὴν οὗτος οὐ φυλλάκανθος· σκόλυμος, ἠλυλειμωνία, φυλλάκανθα, καὶ τὰ ἄλλα· πλείω γάρ ἐστι. διαφέρουσι δ' ἀλλήλων πρὸς τοῖς εἰρημένοις, τῷ τὰ μὲν πολύκαυλα εἶναι, καὶ ἀποφύσεις ἔχειν, ὥσπερ ὁ κνῆκος· ἔνια δὲ ἄνωθεν ἔχειν ἐξ ἄκρου, καθάπερ τὸ φύτρος· καὶ τὰ μὲν εὐθὺς τοῖς πρώτοις ὕδασι βλαστάνει· τὰ δὲ ὕστερον. ἔνια δὲ καὶ τοῦ θέρους ὥσπερ ἡ τετραλιξ ὑπό τινων καλουμένη, καὶ ἡ ἰξίνη· καὶ ἡ τῶν ἀνθῶν ὁμοίως. ἐπανθεῖ γὰρ ὁ σκόλυμος καὶ ἀνθεῖ πολὺν χρόνον. διαφοραὶ δὲ τῶν μὲν † ἀκανθῶν οὐκ εἰσί. τοῦ κνήκου δ' εἰσίν· ὁ μὲν γὰρ ἄγριος, ὁ δ' ἥμερος. τοῦ δ' ἀγρίου δύο εἴδη· τὸ μὲν προσεμφερὲς σφόδρα τῷ ἡμέρῳ, πλὴν εὐθυκαυλότερον· διὸ καὶ ἀτρακτυλίδα φασὶ τῶν ἀρχαίων ἐχρῶντο γυναικῶν· καρπὸν δὲ ἔχει μέλανα, καὶ μέγαν, καὶ πικρόν. ὁ δ' ἕτερος, δασὺς, καὶ τοὺς καυλοὺς ἔχει ἐπιγειώδεις, ὥστε τρόπον τινὰ ἐπιγειόκαυλος γίνεται· διὰ γὰρ μαλακότητα τοῦ φύλλου † καταπλίνεσθαι πρὸς τὰς ἀρούρας. καρπὸν δὲ ἔχει μικρὸν, ἐρύγανος. σπερματώδεις πᾶσαι· πλὴν μείζους καὶ πυκνοτέρας ἄγριαι. ἰδίαν δὲ ἔχει πρὸς τὰ ἄλλα ἄγρια· τὰ μὲν γὰρ σκληρότερα καὶ ἀκανθωδέστερα τῶν ἡμέρων, αὕτη δὲ μαλακωτέρα καὶ λειοτέρα. ἡ δ' ἄκορνα προσεμφερὴς ὡς ἁπλῶς εἰπεῖν, κατὰ τὴν πρόσοψιν τῷ κνήκῳ τῷ ἡμέρῳ· χρῶμα δ' ἐπίξανθον ἔχει, καὶ λιπαρόν.

ἀτρακτυλὶς δέ τις καλεῖται, καὶ λευκοτέρα τούτων· ἴδιον δὲ ἔχει τὸ φύλλον, ὅτι ἀφαιρούμενον καὶ τῇ σαρκὶ προσφερόμενον, αἱματώδη ποιεῖ τὸν χυλόν. διὸ καὶ φόνον ἔνιοι καλοῦσι τὴν ἄκανθαν ταύτην. ἔχει δὲ τὴν ὀσμὴν δεινὴν, καὶ φονώδη. ὀψὲ δὲ, καὶ τελειοῖ τὸν καρπὸν πρὸς τὸ μετόπωρον. τὸ δ' ὅλον, ὡς ἁπλῶς εἰπεῖν, ἅπασα ἡ ἀκανθικὴ φύσις, ὀψίκαρπος, ἅπαντα δὲ ταῦτα

φύεται

τοῦ ἄῤῥενος, ἡ δὲ τῆς θηλείας δριμυτέρα· διὸ καὶ πρὸς τὰ θηρία χρησίμη. ταῦτα μὲν οὖν καὶ τὰ τοιαῦτα, ὥσπερ διαφέροντα. πάλιν δὲ ἄλλα μονόκαυλα τυγχάνοντα, καὶ τῶν πρότερον εἰρημένων καὶ ἕτερα παρὰ ταῦτα. πλείω γάρ ἐστι. τὸ δὲ ναρθηκῶδες (γένος γὰρ καὶ τοῦτο τῶν φρυγανικῶν) πολλὰς παραλλαγὰς ἰδίας· ἐν οἷς πρῶτον ὑπὲρ τοῦ κοινοῦ πᾶσι λεκτέον, ὑπέρ τε νάρθηκός τε καὶ ναρθηκίας· ἔστι δὲ τὸ αὐτὸ γένος ἀμφοῖν, διαφέρον δὲ κατὰ μέγεθος· ἔστι καὶ ἕτερον, ὥσπερ ἔνιοί φασιν. ἀλλ' οὖν φανερὰ φύσις ἀμφοῖν ὁμοία, πλὴν κατὰ τὸ μέγεθος. ὁ μὲν γὰρ νάρθηξ γίνεται μέγας σφόδρα, ἡ δὲ ναρθηκία μικρά. μονόκαυλα δ' ἄμφω, καὶ γονατώδη· ἀφ' ὧν τά τε φύλλα βλαστάνει, καὶ καυλοί τινες μικροί. βλαστάνει δὲ παραλλὰξ τὰ φύλλα. λέγω δὲ παραλλάξ, ὅτι οὐκ ἐκ τοῦ αὐτοῦ μέρους τῶν γονάτων, ἀλλ' ἐναλλάξ· περιειληφότα δὲ τὸν καυλὸν ἄνωθεν πολὺ, καθάπερ τὰ τῶν καλάμων. πλὴν ἐγκεκλιμένα ταῦτα μᾶλλον, διά τε τὴν μαλακότητα, καὶ τὸ μέγεθος. μέγα γὰρ τὸ φύλλον, καὶ μαλακὸν, καὶ πολυσχιδὲς, ὥστε εἶναι τριχῶδες. ἔχει δὲ μέγιστα τὰ κάτω πρὸς τῇ γῇ, καὶ ἀεὶ κατὰ λόγον. ἄνθος δὲ μηλινοειδὲς, ἀμαυρόκαρπον δὲ, παρόμοιον τῷ ἀνήθῳ, πλὴν μεῖζον. ἐξ ἄκρου δὲ σχίζεται, καὶ ἔχει τινὰς οὐ μεγάλους καυλούς· ἐνταῦθα δὲ τό τε ἄνθος, καὶ ὁ καρπός. ἔχει δὲ καὶ ἄνθος καρπὸν, καὶ ἐν τοῖς παρακαυλίζουσι διόλου καθάπερ τὸ ἄνηθον. ἐπετειόκαυλον δὲ, καὶ ἡ βλάστησις τοῦ ἦρος, πρῶτον μὲν τῶν φύλλων, εἶτα τοῦ καυλοῦ, καθάπερ τῶν ἄλλων. ῥίζαν δὲ ἔχει βαθεῖαν. ἔστι δὲ μονόῤῥιζον. ὁ μὲν οὖν νάρθηξ τοιοῦτος. τῶν δ' ἄλλων τὰ μὲν ὁμοιότερον τούτῳ τὸν καυλὸν ἔχει, καθάπερ ὁ μανδραγόρας, καὶ τὸ κώνειον, καὶ ὁ ἐλλέβορος, καὶ ὁ ἀνθέρικος. τὰ δ' οἷον ἀκανθόκαυλα τυγχάνει, καθάπερ μάραθρον, μυόφονον, τὰ ὅμοια τούτοις. ἴδιος δὲ ὁ καρπὸς τοῦ μανδραγόρου, ὢν μέλας τε καὶ ῥαγώδης, καὶ οἰνώδης εἶναι τὸν χυμόν. μέγισται δὲ καὶ ἰδιαίταται φύσεις, ἥ τε τοῦ σιλφίου, καὶ ἡ τοῦ παπύρου τοῦ ἐν Αἰγύπτῳ· ναρθηκώδη γὰρ καὶ ταῦτά ἐστιν. ὑπὲρ οὖν τοῦ μὲν παπύρου πρότερον εἴπομεν, ἐν τοῖς ἐνύδροις.

Ὑπὲρ δὲ τοῦ σιλφίου νῦν λεκτέον. τὸ δὲ σίλφιον ἔχει ῥίζαν μὲν πολλὴν καὶ παχεῖαν, τὸν δὲ καυλὸν ἀλίγκιον νάρθηκι· σχεδὸν δὲ καὶ τὸ πάχος παραπλήσιον. τὸ δὲ †φαῦλον, ὃ καλοῦσι μάσπετον, ὅμοιον τῷ σελίνῳ. σπέρμα δ' ἔχει πλατὺ, φυλλῶδες, οἷον τὸ λεγόμενον φύλλον. ἐπετειόκαυλον δ' ἐστὶν, ὥσπερ ὁ νάρθηξ. ἅμα μὲν οὖν τῷ ἦρι τὸ μάσπετον τοῦτο ἀφίησιν, ὃ καθαίρει τὰ πρόβατα, καὶ παχύνει σφόδρα, καὶ τὰ κρέα θαυμαστὰ ποιεῖ τῇ ἡδονῇ. μετὰ δὲ ταῦτα καυλὸν, ἐσθίεται πάντα τρόπον, ἑφθὸν, ὀπτόν. καθαίρειν δὲ καὶ τοῦτό φασι τὰ σώματα, τετταράκοντα ἡμέραις. ὀπὸν δὲ διττὸν ἔχει· τὸν μὲν ἀπὸ τοῦ καυλοῦ, τὸν δὲ ἀπὸ τῆς ῥίζης. διὸ καλοῦσι τὸν μὲν καυλίαν, τὸν δὲ ῥιζίαν. ἡ δὲ ῥίζα τὸν φλοιὸν ἔχει μέλανα, καὶ τοῦτον περιαιροῦσιν. ἔστι δὲ ὥσπερ μέτρα τῶν ῥιζοτομιῶν αὐτοῖς, ἐξ ὧν ὁπόσον ἂν δοκῇ συμφέρειν τεμνόμενοι πρὸς τὰς τομὰς, καὶ τὸ ὑπάρχον τέμνουσιν. οὐκ ἔξεστι γὰρ οὔτε παρατέμνειν, οὔτε πλεῖον τῶν τεταγμένων· καὶ γὰρ διαφθείρεται καὶ σήπεται τὸ ἀργὸν, ἐὰν χρονίζῃ. κατεργάζονται δὲ ἄγοντες εἰς τὸν Πειραιᾶ τόνδε τὸν τρόπον. ὅταν βάλωσιν εἰς ἀγγεῖα, καὶ ἄλευρα μίξωσι, σείουσι χρόνον συχνὸν, ὅθεν καὶ τὸ χρῶμα λαμβάνει. καὶ ἐργασθὲν, ἄσηπτον ἤδη διαμένει. τὰ μὲν οὖν κατὰ τὴν ἐργασίαν καὶ τομὴν, οὕτως ἔχει. τόπον δὲ πολὺν ἐπέχει τῆς Λιβύης, πλείω γάρ φασιν ἢ τετρακισχιλίας. τὰ πλεῖστα δὲ γίνεσθαι περὶ τὴν Σύρτιν, ἀπὸ τῶν Εὐεσπερίδων. ἴδιον δὲ τὸ φεύγειν τὴν ἐργαζομένην. καὶ διὰ συνεργαζομένης, καὶ ἀεὶ συνημμένης, ἐξαναχωρεῖν, ὡς οὐ δεομένην δηλονότι θεραπείας, ἀλλ' οὖσαν ἀγρίαν. φασὶ δὲ οἱ Κυρηναῖοι, φανῆναι τὸ σίλφιον ἔτεσι πρότερον, ἢ αὐτοὶ τὴν πόλιν ᾤκησαν, ἑπτά. οἰκοῦσι δὲ μάλιστα περὶ τριακόσια, εἰς Σιμωνίδην ἄρχοντα Ἀθήνησιν. οἱ μὲν οὖν οὕτω λέγουσιν. οἱ δὲ τοῦ σιλφίου τὴν ῥίζαν φασὶ γίνεσθαι πηχυαίαν, ἢ μικρῷ μείζονα. ταύτην δὲ ἔχειν ἄνωθεν τὴν †μέσον κεφαλήν. ὃ καὶ μετεωρότατόν ἐστι, καὶ σχεδὸν ὑπὲρ γῆς, ἐξ ἧς δὴ φύεσθαι, καλεῖσθαι δὲ γάλα· μετὰ ταῦτα δὲ τὸν καυλόν. ἐκ δὲ τούτου μαγύδαριν, καὶ τὸ καλούμενον φύλλον· τοῦτο δ' εἶναι σπέρμα. καὶ ὅταν νότος λαμπρὸς πνεύσῃ μετὰ κύνα, διαῤῥίπτεσθαι, ἐξ ὧν φύεσθαι τὸ σίλφιον. ἐν αὐτῷ δὲ ἔτει τήν τε ῥίζαν γίνεσθαι, καὶ τὸν καυλόν. οὐδὲν δὲ τοῦτο ἴδιον· καὶ γὰρ τῶν ἄλλων. ἀλλὰ μὴ τοῦτο λέγουσιν, ὅτι εὐθὺς φύεται μετὰ τὴν ἔκλειψιν. καὶ τοῦτο ἴδιον, καὶ διάφορον τοῖς πρότερον· ὅτι φασὶ δεῖν ὀρύττειν ἐπέτειον. ἐὰν δὲ ἐάσῃ, φέρειν πᾶν τὸ σπέρμα, καὶ τὸν καυλόν. χείρω δὲ γίνεσθαι καὶ ταῦτα, καὶ τὴν ῥίζαν. ὀρυττομένας δὲ, βελτίους γίνεσθαι διὰ τὸ μεταβάλλεσθαι τὴν γῆν. ἐναντίον δὲ τοῦτο, τῷ φεύγειν τὴν ἐργασίαν. ἐσθίεσθαι καὶ τὰς ῥίζας προσφάτους, κατατεμνομένας εἰς ὄξος.

κασον γένος, καὶ τοῖς ὅλοις ἄλλοις, ἃ δεῖ διαιρεῖν. μεγίστην δ' ἄν τις λάβοι διαφορὰν τῶν ὅλων γενῶν, ὅτι τὰ μὲν ἀκάνθα, τὰ δὲ ἀκανθώδη τυγχάνει. πάλιν δ' ἐν ἑκατέρῳ τούτων πολλαὶ διαφοραὶ γενῶν καὶ εἰδῶν, ὑπὲρ ὧν καθ' ἑκάτερα πειρατέον εἰπεῖν. τῶν ἀκανθικῶν δὴ, τὰ μὲν ἁπλῶς εἰσιν ἄκανθαι, καθάπερ ἀσπάραγος καὶ σκορπίος· οὐδὲ γὰρ ἔχουσι φύλλον οὐδὲν παρὰ τὴν ἄκανθαν. τὰ δὲ φυλλάκανθα, καθάπερ ἄκανος, ἠρύγγιον, κνῆκος. ταῦτα γὰρ καὶ τὰ τοιαῦτα ἐπὶ τῶν φύλλων ἔχει τὴν ἄκανθαν· διὸ καὶ φυλλάκανθα καλοῦσι. τὰ δὲ καὶ παρὰ τὴν τὸ ἄκανθαν, ἕτερον ἔχει φύλλον· ὥσπερ ἡ ὄνωνις, καὶ ὁ τρίβολος, καὶ ὁ φλεώς, ὃ δή τινες καλοῦσι στοιβήν. ὁ δὲ ῥίκολος καὶ ἡ περδικαρπία φυλλάκανθά ἐστιν· ἔχει γὰρ ἀκάνθας ἐν τοῖς περικαρπίοις. διὸ καὶ τοῦτο ἴδιον πρὸς ἅπαντα, ὡς εἰπεῖν. ἐπεὶ περὶ ἀκανθώδη πολλὰ καὶ τῶν δένδρων καὶ τῶν θαμνωδῶν ἐστιν· οἷον ἀχράς, ῥόα, παλίουρος, βάτος, ῥοδωνία, κάππαρις. ἐν μὲν τοῖς ἀκανθικοῖς ταύτας ἄν τις, ὡς εἰπεῖν τύπῳ, λάβοι τὰς διαφοράς. ἐν δὲ τοῖς ἀκάνθοις οὐκ τὴν ἔστιν ὅλως διαλαβεῖν τοῖς γένεσιν. ἡ γὰρ τῶν φύλλων ἀνωμαλία, μεγέθει καὶ μικρότητι καὶ σχήμασιν ἄπειρος, καὶ ἀσαφής. ἀλλὰ δεῖ πειρᾶσθαι κατ' ἄλλον τρόπον διαιρεῖν. πλείω δ' ἐστὶ τὰ γένη τὰ τούτων, καὶ διαφορὰς ἔχοντα μεγάλας· οἷον κνεωρός, μάλινθρον, ἐρυθρόδανον, σμυρία, κνίωρον, ὀρίγανον, θύμβρας, σφακός, ἐλελίσφακος, πράσιον, κόνυζα, μελισσόφυλλον, ἕτερα τοιαῦτα. καὶ τὰ τούτοις ὅμοια, ἔτι τὰ ναρθηκώδη καὶ κοιλόκαυλα· καθάπερ μάραθον, μυόφονον ἱππομάραθρον, ναρθηκία, νάρθηξ· καὶ τὸ καλούμενον ὑπό τινων † μυόφονον· καὶ ὅσα ὅμοια τούτοις. ἅπαντα γὰρ ἄν τις καὶ ταῦτα, καὶ ὅλως ἔτι ναρθηκώδη ἐστί, τῆς φρυγανικῆς φύσεως θείη. ἄλλαι δὲ καὶ διαφοραὶ καθ' ἕκαστον τῶν εἰρημένων εἰσί, τῶν μὲν φανερώτεραι, τῶν δὲ ἀφανέστεραι.

2 Καὶ γὰρ κνεώρου δύο γένη διαιροῦσι, τὸ μὲν ἄρρεν, τὸ δὲ θῆλυ· τῷ τὸ μὲν μεῖζον, καὶ σκληρότερον, λιπαρώτερον τὸ † λιμπαρώτερον ἔχειν, καὶ τὸ ἄνθος ὑποπορφυρίζον. ἄμφω δ' ὅμοια τοῖς ἀγρίοις, πλὴν ἐλάττω καὶ ἄοσμα. δύο δὲ ἄλλα καὶ τοῦ κνεώρου· ὁ μὲν γὰρ λευκός, ὁ δὲ μέλας. ἔχει δ' ὁ μὲν λευκὸς τὸ φύλλον δερματῶδες, πρόμηκες, ὁμοιόσχημον τρόπον τινὰ τῇ ἐλαίᾳ, ὁ δὲ μέλας, οἷον ἡ μυρίκη σαρκῶδες. ἐπίγαιος δὲ μᾶλλον ὁ λευκός· ἔστι δὲ εὐώδης. ὁ δὲ μέλας, δύσοσμος. τὴν δὲ ῥίζαν τὴν εἰς βάθος, ἄμφω μεγάλην ἔχουσι, καὶ τοὺς ἀκρέμονας πολλοὺς καὶ παχεῖς, καὶ ξυλώδεις ἀπ' αὐτῆς τῆς γῆς, ἢ μικρὸν ἄνω σχιζομένους. ξυλωδεστέραν δὲ, γλίσχρον δὲ σφόδρα· διὸ καὶ χρῶνται πρὸς τὸ καταδεῖν, καὶ περιλαμβάνειν, ὥσπερ τῷ οἰσύῳ. βλαστάνει δὲ καὶ ἀνθεῖ μετ' ἰσημερίαν μετοπωρινήν, καὶ ἀνθεῖ πολὺν χρόνον. καὶ τῆς ὀριγάνου δὲ ἡ μὲν μέλαινα ἄκαρπος, ἡ δὲ λευκὴ κάρπιμος· καὶ θύμον τὸ μὲν λευκόν, τὸ δὲ μέλαν. ἀνθεῖ δὲ σφόδρα, περὶ τροπὰς καὶ γὰρ ἀνθεῖ θερινάς· ἀφ' οὗ καὶ ἡ μέλιττα λαμβάνει τὸ μέλι. καὶ τῶν τό φασιν οἱ μελιττουργοὶ δῆλον εἶναι, πότερον εὐμελιτήσουσιν, ἢ οὔ. ἄλλως γὰρ ἀπανθήσαντος, οὐκ εὐμελιτεῖ. βλάπτει δὲ, καὶ ἀπόλλυσι τὴν ἄνθησιν, ἐὰν ὕδωρ ἐπιγένηται. σπέρμα δὲ κάρπιμον, ἡ μὲν θύμβρα, καὶ ἔτι μᾶλλον ἡ ὀρίγανος ἔχει φανερόν. τοῦ θύμου δ' οὐκ ἔστι λαβεῖν, ἀλλ' ἐν τῷ ἄνθει πως ἀναμέμικται. σπείρουσι γὰρ τοῦτο, καὶ ἀναβλαστάνει. ζητοῦσι δὲ καὶ λαμβάνουσιν οἱ ἐξάγειν ἀθήνηθεν βουλόμενοι τὸ γένος. ἴδιον δὲ ἔχει καὶ πρὸς ταῦτα, καὶ χωρὶς ἢ πρὸς τὰ ἄλλα. καὶ περὶ τοὺς τόπους· οὐ γάρ φασι δύνασθαι φύεσθαι καὶ λαμβάνειν, ὅπου μὴ ἀναπνοὴ διικνεῖται ἡ ἀπὸ τῆς θαλάσσης. διὸ οὐδ' ἐν Ἀρκαδίᾳ γίνεται· θύμβρα δέ τι καὶ ὀρίγανον. καί τοι τοιαῦτα πολλά, καὶ πολλαχοῦ. παραπλήσιον οὖν τὸ συμβαῖνον τοῦτο καὶ ἐπὶ τῆς ἐλαίας. οὐδὲ γὰρ οὐδ' ἐκεῖνο δοκεῖ τριακοσίων σταδίων ἀπὸ θαλάσσης ἐπάνω φύεσθαι. σφάκος δὲ, καὶ ἐλελίσφακος διαφέρουσιν, ὡς αὖ τὸ μὲν ἥμερον, τὸ δὲ ἄγριον. λειότερον γὰρ τὸ φύλλον τῆς σφάκου, καὶ ἔλαττον, καὶ ἧττον αὐχμηρότερον. τὸ δὲ τοῦ ἐλελισφάκου, βαρύτερον. δύο δὲ γένη καὶ τοῦ πρασίου. τὸ μὲν γὰρ ἔχει ποῶδες τὸ φύλλον, καὶ μᾶλλον ὑποκεχαραγμένον· ἔτι δὲ τὰς ἐντομὰς ἐντόμους, ἐνδιάλλας σφόδρα, καὶ βαθείας· ᾧ καὶ οἱ φαρμακοπῶλαι χρῶνται πρὸς ἔνια. τὸ δὲ ἕτερον στρογγυλώτερον, καὶ αὐχμῶδες σφόδρα, καθάπερ τοῦ σφάκου, καὶ τὰς ἐντομὰς ἀμαυροτέρας ἔχον, καὶ κονύζης ὑποκεχαραγμένον ἧττον. † κονύζης δὲ τὸ μὲν ἄρρεν, τὸ δὲ θῆλυ. διαφορὰς δὲ ἔχει, καθάπερ τὰ ἄλλα τὰ οὕτω διαιρούμενα. τὸ μὲν γὰρ θῆλυ λεπτοφυλλότερον, καὶ ξυνεστηκὸς μᾶλλον, καὶ τὸ ὅλον ἔλαττον· τὸ δὲ ἄρρεν, μεῖζόν τε καὶ παχυκαυλότερον, καὶ πολυκλωνότερον, καὶ τὸ φύλλον μεῖζον καὶ λιπαρώτερον ἔχον· ἔτι δὲ τὸ ἄνθος λαμπρότερον. καρποφορεῖ δὲ ἄμφω· τὸ δὲ ὅλον ὀψιβλαστεῖ, καὶ ὀψιανθεῖ, περὶ ἀρκτοῦρον, καὶ μετ' ἀρκτοῦρον λαμβάνει. βαρεῖα δὲ ἡ ὀσμὴ

τοῦ

νία. δεῖ γὰρ ὡς πυκνότατα θεῖναι πρὸς τὴν κατάπληξιν. ὅταν δὲ περιαλείψωσι τὴν κάμινον, ἐξοπτῶσι, παρακεντοῦντες ὀβελίσκοις. εἰς μὲν τὴν ἀνθρακείαν τὰ τοιαῦτα ζητοῦσι. δύσκαπνα δὲ ξύλα ὑγρὰ μὲν ὅλως τὰ ὑγρά, καὶ τὰ χλωρὰ διὰ τοῦτο δύσκαπνα. λέγω δὲ ὑγρά, τὰ ἔλεια· οἷον πλάτανον, ἰτέαν, λεύκην, αἴγειρον. ἐπεὶ καὶ ἡ ἄμπελος, ὅτι ὑγρά, δύσκαπνος. ἐκ δὲ τῆς ἰδίας φύσεως, ὁ φοῖνιξ· ὃν δὴ καὶ μάλιστά τινες ὑπολάβωσι δύσκαπνον. ὅθεν καὶ Χαιρήμων ἐποίησε,

Τὸν δυσκαπνοτάτου φοίνικος ἐκ γῆς ῥιζοφοιτήτους φλέβας.

δριμύτατος δὲ ὁ καπνὸς συκῆς, καὶ ἐρινεοῦ, καὶ εἴ τι ἄλλο ὀπῶδες. αἰτία δὲ ἡ ὑγρότης. φλοϊσθέντα δέ, καὶ ἀποβρεχθέντα ἐν ὕδατι ἐπιρρύτῳ, καὶ μετὰ ταῦτα ξηρανθέντα, πάντων ἀκαπνότατα, καὶ φλόγα μαλακωτάτην ἀφίησιν· ἅτε καὶ τῆς οἰκείας ὑγρότητος ἐξῃρημένης. δριμεῖα δὲ καὶ ἡ τέφρα, καὶ ἡ κονία ἡ ἀπ' αὐτῶν. μάλιστα δέ φασι τὴν ἐκ τῆς ἀμυγδάλης· πρὸς δὲ τὰς καμινείας, καὶ τὰς ἄλλας τέχνας, ἄλλοις ἄλλα χρήσιμα. † ἐμπορεύονται δὲ ἄριστα συκῆ καὶ ἐλαία. συκῆ μέν, ὅτι γλίσχρον τι καὶ μανόν, ὥστε ἕλκει τε καὶ οὐ δίεισιν· ἐλαία δέ, ὅτι πυκνόν, καὶ λιπαρόν. πυρεῖα μέν, γίνεται δὲ ἐκ πολλῶν· ἄριστα δὲ (ὥς φησι Μενέστωρ) ἐκ κισσοῦ· τάχιστα γὰρ καὶ πλεῖστον ἐκκαπνεῖ. πυρεῖα δέ, φασιν, ἄριστον μὲν ἐκ τῆς ἀθραγένης καλουμένης ὑπό τινων. τοῦτο δέ ἐστι τὸ δένδρον ὅμοιον τῇ ἀμπέλῳ, καὶ τῇ οἰνάνθῃ τῇ ἀγρίᾳ. ὥσπερ ἐκεῖνα, καὶ τοῦτο ἀναβαίνει πρὸς τὰ δένδρα. δεῖ δὲ τὴν ἐσχάραν ἐκ τούτων ποιεῖν, τὸ δὲ τρύπανον ἐκ δάφνης. οὐ γὰρ ἐκ τοῦ αὐτοῦ τὸ ποιοῦν καὶ πάσχον, ἀλλ' ἕτερον δεῖ εἶναι κατὰ φύσιν· καὶ τὸ μὲν δεῖ παθητικὸν εἶναι, τὸ δὲ ποιητικόν. οὐ μὴν ἀλλὰ καὶ ἐκ τοῦ αὐτοῦ ἐγγίνεται· καὶ ὥς γέ τινες ὑπολαμβάνουσιν, οὐδὲν διαφέρει. ἀγαθὰ δὲ καὶ ἐκ ῥάμνου· ποιεῖ δὲ τοῦτο καὶ τὴν ἐσχάραν χρηστήν. πρὸς γὰρ τῷ ξηρὰν καὶ ἄχυμον εἶναι, δεῖ καὶ μανοτέραν, ἵν' ἡ τρῖψις ἰσχύῃ. τὸ δὲ τρύπανον, ἀπαθέστερον· διὸ τὸ τῆς δάφνης ἀπαθέστερον ἐργάζεται τῇ δριμύτητι. γίνεται γὰρ ἐκ ῥάμνου, καὶ πρίνου, καὶ φιλύρας, καὶ σχεδὸν ἐκ τῶν πλείστων, πλὴν ἐλαίας· ὃ καὶ δοκεῖ ἄτοπον εἶναι· καὶ γὰρ σκληρότερον, καὶ λιπαρὸν ἡ ἐλαία. τοῦτο μὲν οὖν ἀσύμμετρον ἔχει δηλονότι τὴν ὑγρότητα πρὸς τὴν πύρωσιν. πάντα δὲ τὰ πυρεῖα, βορείοις μὲν θᾶττον, καὶ μᾶλλον ἐξάπτεται, νοτίοις δὲ ἧττον· καὶ ἐν μὲν τοῖς μετεώροις μᾶλλον, ἐν δὲ τοῖς κοίλοις ἧττον. αἴτια δὲ τῶν ξύλων τὰ κάθυγρα, καὶ ἁπλῶς ἂν ἐλαιώδης ἡ ὑγρότης. διὸ καὶ τὰ ἀγάλματά φασιν † ἰολίδιν φαίνεται· ποιοῦσι γὰρ ἐκ τούτων. ὃ δὲ καλοῦσιν ἐλᾶαν τῶν ἀλωβυίας ἐρυθρόν, ὑπὲρ οὗ καὶ ἐκθύονται πρὸς τὸν ἐκατίνης, γίνεται συνεστραμμένης τῆς ὑγρότητος, τῷ σχήματι μὲν στρογγύλης, μέγεθος δὲ ἡλίκον ἄπιος, ἢ καὶ μικρῷ μεῖζον ἢ ἔλαττον. ἐκβλαστάνει δὲ μάλιστα τὰ ἐλάϊνα, καὶ ἀργὰ κείμενα, καὶ ἐργαζόμενα πολλάκις, ἐὰν ἰκμάδα λαμβάνῃ, καὶ ἔχῃ τόπον νοτερόν· ὥσπερ ἤδη τις στροφεὺς τῆς θύρας ἐβλάστησε, καὶ ὡς † κυλίκιον πλίνθινον τεθὲν τῷ κήπῳ πηλός.

ΘΕΟΦΡΑΣΤΟΥ ΠΕΡΙ ΦΥΤΩΝ
ἹΣΤΟΡΊΑΣ ΤῸ Ζ.

ΠΕΡῚ μὲν οὖν δένδρων καὶ θάμνων εἴρηται πρότερον· ἑπόμενον δὲ εἰπεῖν περί τε τῶν φρυγανικῶν, καὶ ποιωδῶν, κἂν εἴ τινες ἐν τούτοις ἕτεραι συμπεριλαμβάνονται φύσεις, οἷον ἥ γε σιτηρὰ ποιώδης οὖσα. πρῶτον δὲ λέγωμεν περὶ τῆς φρυγανικῆς· αὕτη γὰρ ἐγγυτέρω τῶν προειρημένων, διὰ τὸ ξυλώδης εἶναι. πανταχοῦ μὲν ἴσως αἰεὶ τὸ ἄγριον τοῦ ἡμέρου πλεῖον· εἰ δὲ μή, περί τε τὴν φρυγανικὴν οὐσίαν· ὀλίγον γὰρ τὸ ἥμερον αὐτῆς. ὅπερ σχεδὸν ἐν τοῖς στεφανωτικοῖς ἐστιν· οἷον ῥοδωνιά, ἰωνιά, Διὸς ἄνθος, ἀμάρακος, ἀμβροσιαλίς· ἔτι δὲ ἕρπυλλος, σισύμβριον, ἐλένιον, ἀβρότονον. ἅπαντα γὰρ ταῦτα ξυλώδη, καὶ μικρόφυλλα, διὸ καὶ φρυγανικά. καὶ ἔτι τῶν λαχανηρῶν δ' ὁμοίως· οἷον ῥάφανος, πήγανον, καὶ ὅσα παραπλήσια τούτοις ἐστίν· ὑπὲρ ὧν οὐχ ἧττον ἴσως ἁρμόττει κατὰ τὴν οἰκείαν προσηγορίαν εἰπεῖν, ὅταν περὶ στεφανωμάτων καὶ λαχάνων ποιώμεθα μνείαν. νῦν δὲ πρῶτον περὶ τῶν ἀγρίων λέγωμεν, ἔστιν αὐτῶν ὅλα καὶ μέρη πλείω, καὶ τοῖς καθ' ἕ-

βακτηρίας. φύει δὲ καὶ δάφνη· τὰς γὰρ γεροντικὰς, καὶ ῥάβδους ταύτης ποιοῦσιν. ἰτέα δὲ, πρός τε τὰς ἀσπίδας, καὶ τὰς κίστας, καὶ τὰ κανᾶ, καὶ τἆλλα. περιαναλαβεῖν δὲ δεῖ καὶ τῶν ἄλλων ἕκαστον ὁμοίως.

9 Διῄρηνται δὲ καὶ πρὸς τὰ τεχνικὰ τῶν ὀργάνων ἕκαστα κατὰ τὰς χρείας· οἷον, σφυρίον μὲν, καὶ τερέτριον, ἄριστα μὲν γίνεται κοτίνου. χρῶνται δὲ καὶ πυξίνοις, καὶ μελιΐνοις, καὶ πτελεΐνοις. τὰς δὲ μεγάλας σφύρας, πιτυΐνας ποιοῦσιν. ὁμοίως δὲ καὶ τῶν ἄλλων ἕκαστον ἔχει τινὰ τάξιν. καὶ ταῦτα μὲν αἱ χρεῖαι διαιροῦσιν. ἑκάστη δὲ τῆς ὕλης, ὥσπερ καὶ πρότερον ἐλέχθη, διαφέρει κατὰ τοὺς τόπους. φύεται μὲν γὰρ λωτὸς, ἔνθα δὲ κέδρος γίνεται θαυμαστὴ, καθάπερ καὶ περὶ Συρίαν. ἐν Συρίᾳ γὰρ, ἔν τε τοῖς ὄρεσι, διαφέροντα γίνεται τὰ δένδρα τῆς κέδρου, καὶ τῷ ὕψει καὶ τῷ πάχει. τηλικαῦτα γάρ ἐστιν, ὥστ' ἔνια μὲν μὴ δύνασθαι τρεῖς ἄνδρας περιλαμβάνειν· τοῖς δὲ παραδείσοις ἔτι καὶ μείζω, καὶ καλλίω. φαίνεται δὲ, ἐάν τις ἐᾷ, καὶ μὴ τέμνῃ, τόπον οἰκεῖον ἕκαστον ἔχον, γίνεσθαι θαυμαστὸν τῷ μήκει καὶ πάχει. ἐν Κύπρῳ γοῦν οὐκ ἔτεμνον οἱ βασιλεῖς, ἅμα δὲ καὶ διὰ τὸ δυσκόμιστον εἶναι. μῆκος μὲν ἦν τῶν εἰς τὴν ἑνδεκήρη τὴν Δημητρίου τμηθέντων, τρισκαιδεκαόργυιον. αὐτὰ δὲ τὰ ξύλα τῷ μήκει θαυμαστὰ, καὶ ἄοζα, καὶ λεῖα. μέγιστα δὲ καὶ παρὰ πολὺ τὰ ἐν τῇ † Κύρνῳ φασὶν εἶναι. τῶν γὰρ ἐν τῇ Λατίνῃ καλῶν γινομένων ὑπερβολῇ, καὶ τῶν ἐλατίνων καὶ τῶν πευκίνων, μείζω γὰρ ταῦτα καὶ καλλίω τῶν Ἰταλικῶν, οὐδὲν γὰρ εἶναι πρὸς τὰ ἐν τῇ Κύρνῳ. πλεῦσαι γάρ ποτε τοὺς Ῥωμαίους, βουλομένους κατασκευάσασθαι † πλοῖον, ἐν τῇ νήσῳ, πέντε καὶ εἴκοσι ναυσί, καὶ τηλικοῦτον εἶναι τὸ μέγεθος τῶν δένδρων, ὥστε τοὺς πλέοντας εἰς κόλπους τινὰς καὶ λιμένας διαρρῆξαι τοῖς ἱστοῖς ὑπὸ τὸν πύκνον, καὶ ὅλως πᾶσαν τὴν νῆσον δασεῖαν καὶ ὥσπερ ἠγριωμένην τῇ ὕλῃ· διὸ καὶ ἀποστῆναι τὴν πόλιν οἰκίζειν. διαβάντας δέ τινας ἀποτεμέσθαι παμπολὺ πλῆθος ἐκ τόπου βραχέος, ὥστε τηλικαύτην ποιῆσαι σχεδίαν, ἣ ἐχρήσατο πεντήκοντα ἱστίοις. οὐ μὴν ἀλλὰ διαπεσεῖν αὐτὴν ἐν τῷ πελάγει. Κύρνος μὲν οὖν εἴτε διὰ τὴν ἄνεσιν, εἴτε καὶ τὸ ἔδαφος καὶ τὸν ἀέρα, πολὺ διαφέρει τῶν ἄλλων. ἡ δὲ τῶν Λατίνων ἔφυδρος πᾶσα· καὶ ἡ μὲν πεδεινὴ δάφνην ἔχει καὶ μυρρίνην, καὶ ὀξύην θαυμαστήν. τηλικαῦτα γὰρ τὰ μήκη τέμνουσιν, ὥστ' εἶναι διὰ παντὸς τῶν Τυρρηνίδων ὑπὸ τὴν τρόπιν. ἡ δὲ ὀρεινὴ, πεύκην καὶ ἐλάτην. τὸ δὲ Κιρκαῖον καλούμενον, εἶναι μὲν ἄκραν ὑψηλὴν, δασεῖαν δὲ σφόδρα, καὶ ἔχειν δρῦν καὶ δάφνην πολλὴν, καὶ μυρρίνην. λέγειν δὲ τοὺς ἐγχωρίους, ὡς ἐνταῦθα ἡ Κίρκη κατοικεῖ, καὶ δεικνύναι τὸν τοῦ Ἐλπήνορος τάφον, ἐξ οὗ φύονται μυρρίναι, καθάπερ αἱ στεφανωτίδες, τῶν ἄλλων ὄντων μεγάλων μυρρίνων. * τὸν δὲ τόπον εἶναι [illegible] θέσιν. καὶ πρότερον μὲν οὖν νῆσον εἶναι τὸ Κιρκαῖον· νῦν δὲ ὑπὸ ποταμῶν τινων προσκεχῶσθαι, καὶ εἶναι ἠϊόνα. τῆς δὲ νήσου τὸ μέγεθος, περὶ ὀγδοήκοντα σταδίους. καὶ τὰ μὲν τῶν τόπων ἴδια πολλὴν ἔχει διαφορὰν, ὥσπερ εἴρηται πολλάκις.

10 Τὸ δὲ πρὸς τὴν πύρωσιν πῶς ἑκάστη τῆς ὕλης ἔχει, λεκτέον ὁμοίως, καὶ πειρατέον λαβεῖν. ἄνθρακες μὲν οὖν ἄριστοι γίνονται τῶν πυκνοτάτων, οἷον ἀρίας, δρυὸς, κομάρου· στερεώτατοι γάρ· ὥστε πλεῖστον χρόνον ἀντέχουσι, καὶ μάλιστα ἰσχύουσι. διὸ καὶ ἐν τοῖς ἀργυρείοις τούτοις χρῶνται πρὸς τὴν πρώτην τούτων ὄπτησιν. χείριστοι δὲ τούτων οἱ δρύϊνοι· γεωδέστατοι γάρ. χείρους δὲ καὶ οἱ τῶν πρεσβυτέρων, τῶν νέων, καὶ μάλιστα οἱ τῶν γεράνδρύων, διὰ τοῦτο· ξηρότατοι γάρ. διὸ καὶ πηδῶσι καιόμενοι. δεῖ δὲ ἔνικμον εἶναι. βέλτιστοι δὲ, οἱ τῶν ἐν ἀκμῇ, καὶ μάλιστα οἱ τῶν κολάβων· συμμέτρως γὰρ τῷ πυκνῷ, καὶ γεώδει, καὶ τῷ ὑγρῷ. βελτίους δὲ οἱ τῶν εὐηλίων καὶ ξηρῶν καὶ πρὸς βορέαν, ἢ οἱ ἐκ τῶν παλισκίων καὶ ὑγρῶν καὶ πρὸς νότον· καὶ οἱ ἐν ἀκμαιοτέρας ὕλης, πυκνῆς· ὑγροτέρα γὰρ ἡ πυκνή. καὶ ὅλως ὅσα ἢ φύσει, ἢ διὰ τὸν τόπον πυκνότερα, ξηρότερα, δὴ ἁπάντων βέλτιον διὰ τὴν αὐτὴν αἰτίαν. χρεία δὲ ἄλλων ἄλλη. πρὸς ἔνια γὰρ ζητοῦσι τοὺς μαλακοὺς, † οἷς ἐν τοῖς σιδηρείοις, τοὺς τῆς καρύας τῆς εὐβοϊκῆς, ὅταν ἤδη κεκαυμένος ᾖ· καὶ ἐν τοῖς ἀργυρείοις, τοὺς πιτυΐνους. χρῶνται δὲ καὶ αἱ τέχναι τούτοις. ζητοῦσι δὲ καὶ οἱ χαλκεῖς τοὺς πευκίνους, μᾶλλον ἢ δρυΐνους, καί τοι † διαθρίσεροι· ἀλλ' εἰς τὴν φύσησιν ἀμείνους, ὡς ἧσσον καταμαραινόμενοι. ἔστι δὲ ἡ φλὸξ ὀξυτέρα τούτων· τὸ δὲ ὅλον ὀξυτέρα φλὸξ καὶ ἡ τούτων, καὶ τῶν ξύλων ἡ τῶν μανῶν καὶ κούφων, καὶ ἡ τῶν αὔων. ἡ δὲ ἐκ τῶν πυκνῶν καὶ χλωρῶν, νωθροτέρα καὶ παχυτέρα. πασῶν δὲ ὀξυτάτη, ἐκ τῶν ὑλημάτων· ἄνθρακες δὲ οὐ γίνονται, διὰ τὸ μὴ ἔχειν τὸ σωματῶδες. τέμνουσι δὲ, καὶ ἐκζητοῦσιν εἰς τὰς ἀνθρακιὰς τὰ εὐθέα, καὶ τὰ νέα·

τραχέως· καὶ εὐθὺς ὁ ἀὴρ ἀναθερμαινόμενος ἀνακλίδωσι. πάλιν δὲ τὰ λεῖα καὶ ξηρά, διὰ τὴν σκληρότητα, δυσάπειστα· καθάπερ ὄστρακον συμβαίνει τρίβειν. διὸ καὶ τρυπῶντες, ἐπιβρέχουσιν. εὐπελεκητότερα δὲ, καὶ εὐτορνότερα, καὶ εὐξοώτερα, τὰ χλωρά. προσκάθηται γὰρ τὸ τορνευτήριον μᾶλλον, καὶ οὐκ ἀποπηδᾷ. καὶ ἡ πελέκησις διὰ τὴν μαλακωτέραν ῥᾴων, καὶ ἡ ξέσις ὁμοίως· καὶ ἔτι λειοτέρα. ἰσχυρότατον δὲ καὶ ἡ κρανία· τῶν δὲ ἄλλων οὐχ ἥκιστα ἡ πτελέα· διὸ καὶ τοὺς στροφέας, ὥσπερ ἐλέχθη, ταῖς θύραις πτελεΐνους ποιοῦσιν. ὑγρότατον δὲ μελία, καὶ ὀξύη. καὶ γὰρ τὰ κλινάρια τὰ ἐνδιδόντα, ἐκ τούτων. ὅλως δὲ, πρὸς ποῖα τῆς ὕλης ἑκάστη χρησίμη, καὶ ποία ναυπηγήσιμος, καὶ οἰκοδομική (πλείστη γὰρ αὕτη χρεία καὶ ἐν μεγίστοις) πειρατέον εἰπεῖν, ἀφορίζοντα καθ' ἕκαστον τὸ χρήσιμον. ἐλάτη μὲν οὖν, καὶ πεύκη, καὶ κέδρος (ὡς ἁπλῶς εἰπεῖν) ναυπηγήσιμα. τὰς μὲν γὰρ τριήρεις, καὶ τὰ μακρὰ πλοῖα, ἐλάτινα ποιοῦσι, διὰ κουφότητα· τὰ δὲ στρογγύλα, πεύκινα, διὰ τὸ ἀσαπές. ἔνιοι δὲ καὶ τὰς τριήρεις, διὰ τὸ μὴ εὐπορεῖν ἐλάτης. οἱ δὲ περὶ Συρίαν, καὶ Φοινίκην, ἐκ κέδρου. σπανίζουσι γὰρ πεύκης. οἱ δ' ἐν Κύπρῳ, πίτυος· ταύτην γὰρ ἡ νῆσος ἔχει. καὶ δοκεῖ κρείττων εἶναι τῆς πεύκης. καὶ τὰ μὲν ἄλλα ἐκ τούτων. τὴν δὲ τρόπιν, τριήρεσι μὲν δρυΐνην, ἵνα ἀντέχῃ πρὸς τὰς νεωλκίας. ταῖς δ' ὁλκάσι, πευκίνην. ὑποτιθέασι δ' ἔτι καὶ δρυΐνην, ἐπὰν νεωλκῶσι· ταῖς δ' ἐλάττοσιν ὀξύην. καὶ ὅλως ἐκ τούτου τὸ χέλυσμα. οὐχ ἅπτεται δὲ οὐδὲ περὶ τὴν κόλλησιν ὁμοίως, τὸ δρύϊνον τῶν πευκίνων καὶ ἐλατίνων. τὰ μὲν γὰρ πυκνά, τὰ δὲ μανά· καὶ τὰ μὲν ὅμοια, τὰ δὲ οὔ. δεῖ δὲ ὁμοιοπαθῆ εἶναι, τὰ μέλλοντα συμφύεσθαι, καὶ μὴ ἐναντία, καθάπερ εἰ λίθον καὶ ξύλον. ἡ δὲ τορνεία τοῖς μὲν πλοίοις γίνεται συκαμίνου, μελίας, πτελέας, πλατάνου. γλισχρότητα γὰρ ἔχειν δεῖ, καὶ ἰσχύν. χειρίστη δὲ ἡ τῆς πλατάνου· ταχὺ γὰρ σήπεται. ταῖς δὲ τριήρεσιν ἔνιοι καὶ πιτυΐνας ποιοῦσι, διὰ τὸ ἐλαφρόν. τὸ δὲ στερίωμα πρὸς ὃ, τὸ † χέλωμα, καὶ τὰς ἐπωτίδας, μελίας, καὶ συκαμίνου, καὶ πτελέας· ἰσχυρὰ γὰρ δεῖ ταῦτ' εἶναι. ναυπηγήσιμος μὲν οὖν ὕλη σχεδὸν αὕτη. οἰκοδομικὴ δὲ πολλῷ πλείων, ἐλάτη τε, καὶ πεύκη, καὶ κέδρος, καὶ ἄρκευθος· ἁπλῶς δὲ, ὡς εἰπεῖν, πᾶσα χρησίμη, πλὴν εἴ τις ἀσθενὴς παμπάν. οὐκ εἰς ταυτὸ γὰρ πᾶσαι, καθάπερ οὐδ' ἐπὶ τῆς ναυπηγίας. αἱ δ' ἄλλαι πρὸς τὰ ἴδια τῶν τεχνῶν, οἷον σκεύη καὶ ὄργανα, καὶ εἴ τι τοιοῦτον ἕτερον. πρὸς πλεῖστα δὲ σχεδὸν ἡ ἐλάτη παρέχεται χρείαν· καὶ γὰρ πρὸς τοὺς πίνακας τοὺς γραφομένους. τεκτονικὴ μὲν οὖν ἡ παλαιοτάτη ἡ κρατίστη, ἐὰν ᾖ ἀσαπής. εὐθετεῖ γὰρ, ὡς εἰπεῖν, πᾶσι χρῆσθαι· ναυπηγικὴ δὲ ἡ ἐνικμοτέρα, διὰ τὴν κάμψιν, ἀναγκαῖον. ἐπεὶ πρός γε τὴν κόλλησιν ἡ ξηροτέρα συμφέρει. ἵσταται γὰρ καὶ νῦν τὰ ναυπηγούμενα, καὶ ὅταν συμπιῇ καθελκυσθέντα, συμμύει καὶ στέγει. πλὴν ἐάν γε παντάπασιν ἐξικμασθῇ. τότε δὲ οὐ δέχεται κόλλησιν, ἢ οὐχ ὁμοίως. δεῖ δὲ καθ' ἕκαστον λαμβάνειν, εἰς ποῖα χρήσιμός ἐστιν. ἐλάτη μὲν οὖν καὶ πεύκη, καθάπερ εἴρηται, καὶ πρὸς ναυπηγίαν, καὶ πρὸς οἰκοδομίαν, καὶ ἔτι πρὸς ἄλλα τῶν ἔργων· εἰς πλείω δὲ ἡ ἐλάτη. πίτυϊ δὲ χρῶνται μὲν εἰς ἄμφω, καὶ οὐχ ἧττον εἰς ναυπηγίαν· οὐ μὴν ἀλλὰ ταχὺ διασήπεται. δρῦς δὲ, πρὸς οἰκοδομίαν, καὶ πρὸς ναυπηγίαν, ἔτι δὲ πρὸς τὰ κατὰ γῆς κατορυττόμενα. φιλύρα δὲ, πρὸς τὰ σανιδώματα τῶν μακρῶν πλοίων, καὶ πρὸς κιβώτια, καὶ πρὸς τὴν τῶν μέτρων κατασκευήν. ἔχει δὲ καὶ τὸν φλοιὸν χρήσιμον, πρός τε τὰς κίστας (ποιοῦσι γὰρ ἐξ αὐτῆς, σφένδαμνός τε, καὶ ζυγία, πρὸς κλινοπηγίαν) καὶ πρὸς τὰ ζυγὰ τῶν λοφόρων· καὶ ὅλως πρὸς τὰ πολυτελῆ τῶν ἔργων. μίλος δὲ, εἰς ἐγκολλήματα κιβωτοῖς καὶ ὑποβάθροις, καὶ ὅλως τοῖς τοιούτοις. πρῖνος δὲ, πρὸς ἄξονάς τε, καὶ μονοστρόφους ἁμάξας, καὶ * ὀξυγαλύρας καὶ ψαλτηρίοις. ὀξύα δὲ πρὸς ἁμαξοπηγίαν, καὶ διφροπηγίαν τὴν εὐτελῆ. πτελέα δὲ πρὸς θυροπηγίαν, καὶ γαλεάγρας. χρῶνται δὲ καὶ εἰς τὰ ἁμαξικὰ μετρίως. πύξος δὲ εἰς ἄξονάς τε ταῖς ἁμάξαις, καὶ εἰς ἔλυμα τοῖς ἀρότροις. εὐδράχνη δὲ ταῖς γυναιξὶν, εἰς τὰ περὶ τοὺς ἱστούς. ἄρκευθος δὲ εἰς τεκτονίας, καὶ εἰς τὰ ὑπαίθρια, καὶ εἰς τὰ κατορυττόμενα κατὰ γῆς, διὰ τὸ ἀσαπές. ὡσαύτως δὲ καὶ ἡ εὐβοϊκὴ καρύα, καὶ πρός γε τὴν κατόρυξιν ἔτι μᾶλλον ἁπασῶν. πύξῳ δὲ χρῶνται μὲν πρὸς ἔνια. οὐ μὴν ἀλλ' ἥ γε ἐν τῷ Ὀλύμπῳ γινομένη, διὰ τὸ βραχεῖά τε εἶναι καὶ ὀζώδης, ἀχρεῖος· τερμίνθῳ δὲ, οὐδὲν χρῶνται· πλὴν τῷ καρπῷ, καὶ τῇ ῥητίνῃ. ἡ δὲ φιλύκη, πλὴν εἰς προβάσεις. ἀεὶ γὰρ ἐστὶ δασεῖα. τῇ δὲ ἀφάρκῃ, εἰς χάρακάς τε, καὶ τὸ καίειν, καλάθροις δὲ καὶ † μυΐα, πρὸς

βακτη

καὶ

χέλυσμα

ἢ τὰ σχοίνια καὶ πρὸς

μία

μᾶλλον τῶν — ἐξ ἀχάλου — ἥκιστα γάρ — ἡ δὲ

ὄντως. τὰ δὲ μοχθηρὰ σιδήρια δύναται τέμνειν τὰ σκληρὰ † τῶν μαλακῶν. ἀνίησι γὰρ ἐν τοῖς μαλακοῖς, ὥσπερ ἐλέχθη περὶ τῆς φιλύρας· ἀποξύνει δὲ μάλιστα τοῦτο. διὸ καὶ οἱ σκυτοτόμοι ποιοῦνται τοὺς πίνακας † ἀχάλου. μήτραν δὲ πάντα μὲν ἔχειν φασὶν οἱ τέκτονες· φανερὰν δ' εἶναι μάλιστα ἐν τῇ ἐλάτῃ. φαίνεσθαι γὰρ οἷον φλοιώδη τινὰ τὴν σύνθεσιν αὐτῆς τῶν κύκλων· ἐν ἐλαίᾳ δὲ, καὶ πύξῳ, καὶ τοῖς τοιούτοις, οὐχ ὁμοίως. διὸ καὶ οὔ φασί τινες ἔχειν τῇ δυνάμει πύξον καὶ ἐλάτην· † μάλιστα γὰρ ἕλκεσθαι ταῦτα τῶν ξύλων. ἔστι δὲ τὸ ἕλκεσθαι, τὸ συμπεριίστασθαι κινουμένης τῆς μήτρας. ζῇ γὰρ, ὡς ἔοικεν, ἐπὶ χρόνον πολύν, διὸ πανταχόθεν μὲν ἅμα, μάλιστα δ' ἐκ τῶν γομφωμάτων ἐξαιροῦσιν, ὅπως ἀστραβῆ, καὶ διὰ τοῦτο σχίζουσιν. ἄτοπον δ' ἂν δόξειεν, ὅτι ἐν μὲν τοῖς ξύλοις τοῖς στρογγύλοις, ἄλυπος ἡ μήτρα, καὶ ἀκίνητος· ἐν δὲ τοῖς διαπρισθεῖσιν, ἐὰν μὴ ὅλως ἐξαιρεθῇ, κινεῖ καὶ διαστρέφει. μᾶλλον γὰρ εἰκὸς, γυμνωθεῖσαν ἀποθνήσκειν. ὅμως δὲ οἵ γε ἱστοὶ, καὶ αἱ κεραῖαι, ἐξαιρεθείσης ἀχρεῖοι. αἴτιον δ' ἴσως τοῦ συμβεβηκότος, ὅτι χιτῶνας ἔχει ἄλλους. ἰσχυρότατον δὲ, καὶ λεπτότατον, τὸν ἔσχατον. ξηρότατον γὰρ, καὶ τοὺς ἄλλους, ἀνάλογον. ὅταν οὖν σχισθῇ, περιαιρεῖται τὰ ξηρότατα. † ἡ δὲ μήτρα διὰ τὸ ξηρὸν, σκιπτικόν. διαστρέφει δὲ ἑλκομένη τὰ ξύλα, καὶ ἐν τοῖς σχιστοῖς καὶ πριστοῖς, ὅταν μὴ ὡς δεῖ πρίωσι. δεῖ γὰρ ὀρθὴν τὴν πρίσιν εἶναι, καὶ μὴ πλαγίαν· οἷον, οὔσης τῆς μήτρας ἐφ' ἧς τὸ α, καὶ μὴ παρὰ τὴν β γ τέμνειν, ἀλλὰ παρὰ τὴν β δ. φθείρεσθαι γὰρ οὕτω φασίν. ἱκανὸς δὲ

ἔχει — ἐκπιλήκωσι

7 ζῆν. ὅτι δὲ πᾶν ξύλον ἔχει μήτραν, ἐκ τούτων οἴονται. Φανερὸν γάρ ἐστι, καὶ τὰ δοκοῦντα πάντ' ἔχειν, οἷον πύξον, λωτὸν, πρῖνον. σημεῖον δὲ· τοὺς γὰρ στρόφιγγας τῶν θυρῶν τῶν πολυτελῶν, ποιοῦσι μὲν ἐκ τούτων. συγγράφονται δὲ οἱ ἀρχιτέκτονες οὕτως ἐκ μήτρας. τοῦτο δὲ αὐτὸ σημεῖον, καὶ ὅτι πᾶσα μήτρα ἑλκτικὴ, καὶ αἱ τῶν σκληροτάτων, ἃς δή τινες καρδίας καλοῦσι. πάντως δὲ, ὡς ἁπλῶς, ξύλου σκληροτάτη, μανοτάτη ἡ μήτρα, καὶ αὐτῆς τῆς ἐλάτης. μανοτάτη μὲν οὖν, ὅτι τὰς ἶνας ἔχει καὶ διὰ πολλοῦ· καὶ τὸ σαρκῶδες τὸ ἀνὰ μέσον, πολύ. σκληροτάτη δὲ, ὅτι καὶ αἱ ἶνες σκληρόταται, καὶ τὸ σαρκῶδες. διὸ καὶ οἱ ἀρχιτέκτονες συγγράφονται παραιρεῖν τὰ πρὸς τὴν μήτραν, ὅπως λάβωσι τοῦ ξύλου τὸ πυκνότατον καὶ μαλακώτατον. τῶν δὲ ξύλων, τὰ μὲν σχιστὰ, τὰ δὲ πιλητικὰ, τὰ δὲ στρογγύλα. σχιστὰ μὲν, ὅσα διαιροῦντες κατὰ τὸ μέσον πρίζουσι· πιλητικὰ δὲ, ὅσων † ἐκπιλήκωσι τὰ ἔξω· στρογγύλα δὲ δηλονότι, τὰ ὅλως ἄψαυστα. τούτων δὲ τὰ σχιστὰ μὲν, ὅλως ἀρραγῆ, διὰ τὸ γυμνωθεῖσαν τὴν μήτραν ξηραίνεσθαι, καὶ ἀποθνήσκειν· τὰ δὲ πιλητικὰ, καὶ τὰ στρογγύ-

ἢ ῥήγνυται, μᾶλλον δὲ πολὺ καὶ στρογγύλα

λα, διὰ τὸ ἐναπειλῆφθαι τὴν μήτραν. οὐδὲν γὰρ ὅ,τι τῶν ἁπάντων οὐ ῥήγνυται. τοῖς δὲ λωτίνοις, καὶ τοῖς ἄλλοις, οἷς εἰς τοὺς στρόφιγγας χρῶνται πρὸς τὸ μὴ ῥήγνυσθαι, βόλβιτον περιπλάττουσιν, ὅπως ἀναξηραίνηται, καὶ διαπνευσθῇ κατὰ μικρὸν ἡ ἐκ τῆς μήτρας ὑγρότης. ἡ μὲν οὖν μήτρα τοιαύτην ἔχει δύναμιν. Βάρος δὲ ἐγγυᾶν, ἰσχυρὰ καὶ ἡ ἐλάτη, καὶ ἡ πεύκη, ἀπλαγῆ τιθέμεναι· οὐδὲν γὰρ ἐνδιδόασιν, ὥσπερ ἡ δρῦς, καὶ τὰ γεώδη· ἀλλ' ἀντωθοῦσι. σημεῖον δὲ, ὅτι οὐδέποτε ῥήγνυνται, καθάπερ ἐλαία καὶ δρῦς· ἀλλὰ πρότερον σήπονται, καὶ ἄλλως ἀπαυδῶσιν. ἰσχυρὸν δὲ καὶ ὁ φοῖνιξ. ἀνάπαλιν γὰρ καὶ ἡ κάμψις, ἢ τοῖς ἄλλοις γίνεται. τὰ μὲν γὰρ εἰς τὰ κάτω κάμπτεται, ὁ δὲ φοῖνιξ εἰς τὰ ἄνω. φασὶ δὲ καὶ τὴν πεύκην καὶ τὴν ἐλάτην ἀντωθεῖν. τὸ δὲ τῆς εὐβοϊκῆς καρύας (γίνεται γὰρ μέγα, καὶ χρῶνται πρὸς τὴν ἐρέψιν) ὅταν μέλλῃ ῥήγνυσθαι, ψόφοις, ὥστε προαισθάνεσθαι πρότερον· ὅπερ καὶ ἐν Ἀντάνδρῳ συνέπεσεν ἐν τῷ βαλανείῳ, καὶ πάντες ἐξεπήδησαν. ἰσχυρὸν δὲ τὸ τῆς συκῆς, πλὴν εἰς ὀρθόν. ἡ δὲ ἐλάτη μάλιστα, ὡς εἰπεῖν, ἰσχυρόν. πρὸς δὲ τὰς τῶν τεκτόνων χρείας, ἐχέκολλον μάλιστα ἡ ἐλάτη, διὰ τὴν μανότητα, καὶ τὴν εὐθυπορίαν. οὐδὲ γὰρ ὅλως οὐδὲ ῥήγνυσθαί φασιν, ἐὰν δὲ κολληθῇ. εὐτορνότατον δὲ φιλύκη, καὶ ἡ λευκότης ὥσπερ ἡ τῆς κηλάστρου. τῶν δ' ἄλλων ἡ φιλύρα. τὸ γὰρ ὅλον εὔεργον, ὥσπερ ἐλέχθη, διὰ μαλακότητα. εὐκαμπτα δὲ, ὡς μὲν ἁπλῶς εἰπεῖν, ὅσα γλίσχρα· διαφόρως δὲ δοκεῖ συκάμινος, καὶ ἐρινεός. διὸ καὶ τὰ ἴκρια, καὶ τὰς στεφάνας, καὶ ὅλως ὅσα περὶ τὸν κόσμον, ἐκ τούτων ποιοῦσιν.

8 Εὔπριστα δὲ, καὶ εὔσχιστα, τὰ ἐνικμότερα τῶν πάμπαν ξηρῶν. τὰ μὲν γὰρ παύονται, τὰ δὲ ἵστανται. τὰ δὲ χλωρὰ λίαν, συμμύει, καὶ ἐνδέχεται ἐν τοῖς ὀδοῦσι τὰ πρίσματα, καὶ ἐμπλάττει. διὸ καὶ παραλλάττουσιν ἀλλήλων τοὺς ὀδόντας, ἵνα ἐξάγηται. ἔστι δὲ καὶ δυστρυπητότερα, λίαν

ξηρῶν

χλωρά. βραδέως γὰρ ἀναφορεῖται τὰ ἐκτρυπήματα, διὰ τὸ βαρέα εἶναι. τῶν δὲ † ξηρῶν ταχέως·

κόττῳ τι λευκότερον. φύσει μὲν οὖν ἅμα καὶ σκληρὰ καὶ βαρέα, καθάπερ πύξος, καὶ δρῦς. ἔστι δὲ κραῦρα, καὶ τῇ σκληρότητι σκληρότατα, ταῦτ᾽ οὐκ ἔχει βάρος. ἅπαντα δὲ τὰ ἄγρια τῶν ἡμέρων, καὶ τὰ ἄρρενα τῶν θηλειῶν, πυκνότερά τε καὶ σκληρότερα καὶ βαρύτερα, καὶ τὸ ὅλον ἰσχυρότερα· καθάπερ καὶ πρότερον εἴπομεν. ὡς δὲ αὕτως τὸ πᾶν, καὶ τὰ ἀκαρπότερα τῶν καρπίμων, καὶ τὰ χείρω τῶν καλλικαρποτέρων· εἰ μή πού τι καρπιμώτερον τὸ ἄρρεν, ὥσπερ ἄλλα τέ φασι, καὶ τὴν κυπάριττον καὶ τὴν κρανίαν. ἀλλὰ τῶν γε ἀμπέλων φανερῶς αἱ ὀλιγοκαρπότεραι, καὶ πυκνοφθαλμότεραι, καὶ στερεώτεραι· καὶ μηλέων δὲ, καὶ τῶν ἄλλων ἡμέρων. ἀσαπῆ δὲ φύσει, κυπάριττος, κέδρος, ἔβενος, λωτὸς, πύξος, ἐλαία, κότινος, πεύκη ἔνδαδος, ἀρία, δρῦς, καρύα εὐβοϊκή. τούτων δὲ χρονιώτατα δοκεῖ τὰ κυπαρίττινα εἶναι. τὰ γοῦν ἐν Ἐφέσῳ, ἐξ ὧν αἱ θύραι τοῦ νεὼ τοῦ νῦν, τεθησαυρισμέναι τέτταρας ἔκειντο γενεάς. μόνα δὲ καὶ στιλβηδόνα δέχεται· διὸ καὶ τὰ σπουδαζόμενα τῶν ἔργων, ἐκ τούτων ποιοῦσι. τῶν δὲ ἄλλων ἀσαπέστατον, μετὰ τὰ κυπαρίττινα καὶ τὰ θυώδη, τὸ συκάμινον εἶναί φασι, καὶ ἰσχυρὸν ἅμα, καὶ εὔεργον τὸ ξύλον, καὶ παλαιούμενον μέλαν ὥσπερ λωτός. ἔτι δὲ ἄλλο πρὸς ἄλλο, καὶ ἐν ἄλλοις ἀσαπές· οἷον, πτελέα μὲν ἐν τῷ ἀέρι, δρῦς δὲ κατορυττομένη, καὶ ἐν ὕδατι καταβρεχομένη· δοκεῖ γὰρ ὅλως ἀσαπὲς εἶναι. διὸ καὶ εἰς τοὺς ποταμοὺς, καὶ εἰς τὰς λίμνας ἐκ τούτου ναυπηγοῦσιν. ἐν δὲ τῇ θαλάττῃ σήπεται. τὰ δὲ ἄλλα διαμένει μᾶλλον, ὥσπερ καὶ εὔλογον, ταριχευόμενα τῇ ἅλμῃ. δοκεῖ δὲ † καὶ ἡ ὀξύη πρὸς τὸ ὕδωρ ἀσαπὴς εἶναι, καὶ βελτίων γίνεσθαι βρεχομένη. καὶ ἡ καρύα δὲ ἡ εὐβοϊκὴ, ἀσαπής. φασὶ δὲ καὶ τῆς πεύκης ἐλάτης μᾶλλον ὑπὸ τερηδόνος ἐσθίεσθαι. τὴν μὲν γὰρ εἶναι ξηρὰν, τὴν δὲ πεύκην ἔχειν γλυκύτητα, καὶ ὅσῳ ἐνδαδωτέρα, μᾶλλον. πάντα δ᾽ ἐσθίεσθαι τερηδόνι, πλὴν κοτίνου καὶ ἐλαίας· τὰ δὲ οὔ, διὰ τὴν πικρότητα τερηδόνων, θρίπες. ἐσθίεται δὲ τὰ μὲν ἐν τῇ θαλάττῃ σηπόμενα, ὑπὸ τερηδόνος· τὰ δ᾽ ἐν τῇ γῇ, ὑπὸ σκωλήκων καὶ θριπῶν. οὐ γὰρ γίνεται τερηδὼν, ἀλλ᾽ ἢ ἐν τῇ θαλάττῃ. ἔστι δὲ ἡ τερηδὼν τῷ μὲν μεγέθει μικρὸν, κεφαλὴν δ᾽ ἔχει μεγάλην, καὶ ὀδόντας. οἱ δὲ θρῖπες ὅμοιοι τοῖς σκώληξιν, ὑφ᾽ ὧν τετραίνεται κατὰ μικρὸν τὰ ξύλα. καὶ ἔστι ταῦτα εὐΐατα· πιττοκοπηθέντα γὰρ, ὅταν εἰς τὴν θάλατταν ἑλκυσθῇ, στέγει. τὰ δὲ ὑπὸ τῶν τερηδόνων ἀνίατα. τῶν δὲ σκωλήκων τῶν ἐν τοῖς ξύλοις, οἱ μὲν εἰσὶν ἐκ τῆς οἰκείας σήψεως, οἱ δ᾽ ἐκ τικτόντων ἑτέρων. ἐντίκτει γὰρ, ὥσπερ καὶ τοῖς δένδροις, ὁ κεράστης καλούμενος, ὅταν τετρήνῃ καὶ κοιλάνῃ περιστραφεὶς, ὥσπερ οἱ μύχουροι. φεύγει δὲ τά τε ὀσμώδη, καὶ πικρὰ, καὶ σκληρὰ, διὰ τὸ μὴ δύνασθαι τετραίνειν, καθάπερ τὴν πύξον. φασὶ δὲ καὶ τὴν ἐλάτην φλοϊσθεῖσαν ὑπὸ τὴν βλάστησιν, ἀσαπῆ διαμένειν ἐν τῷ ὕδατι. φανερὸν δὲ γίνεσθαι ἐν † φενεῷ τῆς ἀρκαδίας, ὅτε αὐτοῖς ἐλιμνώθη τὸ πεδίον, βραχθέντος τοῦ βερέθρου. τότε γὰρ τὰς γεφύρας ποιοῦντες ἐλατίνας, καὶ ὅταν ἐπαναβαίνῃ τὸ ὕδωρ, ἄλλην καὶ ἄλλην ἐφιστάντες, ὡς ἐξέρρηξε, καὶ ἀπῆλθε, πάντα εὑρεθῆναι τὰ ξύλα ἀσαπῆ. τοῦτο μὲν οὖν ἐκ συμπτώματος.

6 Ἐν Τύλῳ δὲ τῇ νήσῳ τῇ περὶ τὴν Ἀραβίαν, εἶναί τί φασι ξύλον, ἐξ οὗ τὰ πλοῖα ναυπηγοῦνται· τοῦτο δὲ ἐν μὲν τῇ θαλάττῃ σχεδὸν ἄσηπτον εἶναι. διαμένειν γὰρ ἔτη πλείω ἢ διακόσια, καταβυθιζόμενον· ἐὰν δὲ ἔξω, χρόνιον μὲν, θᾶττον δὲ σήπεται. θαυμαστὸν δὲ καὶ ἕτερον λέγουσιν, οὐδὲν πρὸς τὴν σῆψιν. εἶναι γάρ τι δένδρον, ἐξ οὗ τὰς βακτηρίας τέμνεσθαι, καὶ γίνεσθαι καλὰς σφόδρα. ποικιλίαν δέ τινα ἐχούσας, ὁμοίαν τῷ τοῦ τίγριος δέρματι. βαρὺ δὲ σφόδρα τὸ ξύλον τοῦτο· ὅταν δέ τις ῥίψῃ πρὸς στερεώτερον τόπον, † καταγίνεσθαι, καθάπερ τὰ κεράμια. καὶ τὸ τῆς μυρίκης δὲ ξύλον, οὐχ ὥσπερ ἐνταῦθα ἀσθενὲς, ἀλλ᾽ ἰσχυρὸν, ὥσπερ πρίνινον, ἢ καὶ ἄλλο τι τῶν ἰσχυρῶν. τοῦτο μὲν οὖν ἅμα μηνύει χώρας τε, καὶ ἀέρος διαφορὰς καὶ δυνάμεις. τῶν δὲ ὁμογενῶν ξύλων, οἷον δρυΐνων, πευκίνων, ὅταν ταριχεύωνται (ταριχεύουσι γὰρ) οὐκ ἐν ἴσῳ βάθει πάντα δύοντες τῆς θαλάττης, ἀλλὰ τὰ μὲν πρὸς αὐτῇ τῇ γῇ, τὰ δὲ μικρὸν ἀνωτέρω, τὰ δ᾽ ἐν πλείονι βάθει. πάντων δὲ τὰ πρὸς τὴν ῥίζαν θᾶττον δύνται καθ᾽ ὕδατος, καὶ ἐπινεῖ μᾶλλον. ἔστι δὲ καὶ τὰ μὲν εὔεργα τῶν ξύλων, τὰ δὲ δύσεργα. εὔεργα μὲν, τὰ μαλακὰ, καὶ πάντων μάλιστα φιλύρα· δύσεργα δὲ, καὶ τὰ σκληρὰ, καὶ τὰ ὀζώδη, καὶ οὔλας ἔχοντα συστροφάς. δυσεργότατα δὲ, ἀρία καὶ δρῦς· ὡς δὲ κατὰ μέρος, ὁ τῆς πεύκης ὄζος, καὶ τῆς ἐλάτης. ἀεὶ δὲ τῶν ὁμογενῶν τὸ μαλακώτερον τοῦ σκληροτέρου κρεῖττον· σαρκωδέστερον γάρ. καὶ εὐθὺς συνορῶσι τὰς σανίδας οἱ τέκτονες οὕτως.

καὶ ἡ φηγὸς, καὶ ἡ ὀξύη &c.

κερμασί, ὅθεν ἐν κοτίνῳ, ὃ ἀνετέθη τὸ πρόσωπον ἐγκαταληφθέντος. τοῦτο δὲ ἔτι μικρὸν τὸ λοιπόν. πολλαχοῦ δὲ καὶ ἄλλοθι γίνεται πλείονα τοιαῦτα. καὶ ταῦτα μὲν, ὥσπερ εἴρηται, κοινὰ πλειόνων.

4 Κατὰ δὲ τὰς ἰδίας ἑκάστου φύσεις αἱ τοιαῦταί εἰσι διαφοραί· οἷον πυκνότης, μανότης, βαρύτης, κουφότης, σκληρότης, μαλακότης· ὡσαύτως δὲ, καὶ εἴ τις ἄλλη τοιαύτη. κοιναὶ δὲ ὁμοίως αὗται, καὶ τῶν ἡμέρων καὶ τῶν ἀγρίων, ὥστε περὶ πάντων λεκτέον. πυκνότατα μὲν οὖν δοκεῖ καὶ βαρύτατα, πύξος εἶναι, καὶ ἐβένη· οὐδὲ γὰρ οὐδ' ἐπὶ τοῦ ὕδατος ταῦτ' ἐπινεῖ. καὶ ἡ μὲν πύξος, ὅλη· τῆς δὲ ἐβένου, ἡ μήτρα, ἐν ᾗ καὶ ἡ τοῦ χρώματός ἐστι μελανία. τῶν δ' ἄλλων ὁ λωτός. πυκνὸν δὲ καὶ ἡ τῆς δρυὸς μήτρα, ἣν καλοῦσι μελάνδρυον. καὶ ἔτι μᾶλλον, ἡ τοῦ κυτίσου. προσομοία γὰρ αὕτη δοκεῖ τῇ ἐβένῳ εἶναι. μέλαν δὲ σφόδρα καὶ πυκνὸν τὸ τῆς τερμίνθου. τοῦ γοῦν συρίαν μελάντερόν φασιν εἶναι τῆς ἐβένου· ἐκ τούτου γὰρ καὶ τὰς λαβὰς τῶν ἐγχειριδίων ποιεῖσθαι, τορνεύεσθαι δὲ ἐξ αὐτῶν καὶ κύλικας θηρικλείους, ὥστε μηδ' ἂν ἕνα διαγνῶναι πρὸς τὰς κεραμίας. λαμβάνειν δὲ τὸ ἐγκάρδιον, δεῖν δὲ ἀλείφειν τὸ ξύλον. οὕτω γὰρ γίνεσθαι καὶ κάλλιον καὶ μελάντερον. ἔστι δὲ καὶ ἄλλο τι δένδρον, ὃ ἅμα τῇ μελανίᾳ καὶ ποικιλίαν τινὰ ἔχει ὑπέρυθρον, ὥστε εἶναι τὴν ὄψιν ὡς ἂν ἐβένου ποικίλης· ποιεῖσθαι δ' ἐξ αὐτῶν καὶ κλίνας, καὶ δίφρους, καὶ τὰ ἄλλα σπουδαζόμενα. τὸ δένδρον δὲ μέγα σφόδρα καὶ καλλίφυλλον εἶναι, ὅμοιον ταῖς ἀπίοις. ταῦτα μὲν οὖν ἅμα τῇ μελανίᾳ, καὶ πυκνότητα ἔχει. πυκνὸν δὲ καὶ ἡ σφένδαμνος, καὶ ἡ ζυγία, καὶ ὅλως πάντα τὰ ὕλα· καὶ ἡ ἐλαία δὲ, καὶ ὁ κότινος. ἀλλὰ καὶ εὔθραυστα. μανὰ δὲ, τῶν μὲν ἀγρίων καὶ ἐρεψίμων, τὰ ἐλάτινα μάλιστα· τῶν δ' ἄλλων τὰ ἄκτινα, καὶ τὰ σύκινα, καὶ τὰ τῆς μηλέας, καὶ τὰ τῆς δάφνης. σκληρότατα δὲ, τὰ δρύϊνα, καὶ τὰ ζύγια, καὶ τὰ τῆς ἀρίας· καὶ γὰρ † ἀρβείθουσι ταῦτα πρὸς τὴν τρύπησιν, μαλάξεως χάριν. μαλακὰ δὲ καθόλου μὲν, τὰ μανὰ καὶ τὰ χαῦνα· τῶν δὲ ἐρεψίμων μάλιστα φιλύρα. δοκεῖ δὲ καὶ θερμότατον εἶναι τοῦτο· σημεῖον δὲ, ὅτι μάλιστα ἀμβλύνει τὰ σιδήρια· τὴν γὰρ βαφὴν ἀνίησι, διὰ τὴν θερμότητα. θερμὸν δὲ καὶ κιττὸς, καὶ δάφνη, καὶ ὅλως ἐξ ὧν τὰ πυρεῖα γίνεται. Μενέστωρ δέ φησι, καὶ συκάμινον. ψυχρότατα δὲ τὰ ἔνυδρα, καὶ ὑδατώδη. καὶ γλίσχρα δὲ τά τε ἰτέϊνα, καὶ ἀμπέλινα· διὸ καὶ τὰς ἀσπίδας ἐκ τούτων ποιοῦσι· συμμύει γὰρ πληγέντα. κουφότερον δὲ τὸ τῆς ἰτέας· μανότερον γάρ. διὸ καὶ τούτῳ μᾶλλον χρῶνται. τὸ δὲ τῆς πλατάνου γλισχρότητα μὲν ἔχει· φύσει δὲ ὑγρότερον ἐστί. καὶ τὸ τῆς πτελέας. σημεῖον δὲ, ἐπὶ τὰ τῶν ξύλων, ὅταν ὀρθὰ σταθῇ, πολὺ ὕδωρ ἀφίησι. τὸ δὲ τῆς συκαμίνου, πυκνὸν ἅμα καὶ γλίσχρον. ἔστι δὲ καὶ ἀστραβέστατον τὸ τῆς πτελέας· διὸ καὶ τοὺς στροφεῖς τῶν θυρῶν ποιοῦσι πτελεΐνους. ἐὰν γὰρ οὗτοι μένωσι, καὶ αἱ θύραι μένουσιν ἀστραβεῖς· εἰ δὲ μή, διαστρέφονται. ποιοῦσι δὲ αὐτοὺς, ἔμπαλιν τιθέντες τὰ ξύλα, τό, τε ἀπὸ τῆς ῥίζης, καὶ τὸ ἀπὸ τοῦ φύλλου τὸ ἄνω. ἐναρμοσθέντα γὰρ ἀλλήλοις, ἑκάτερον κωλύει πρὸς τὴν ὁρμὴν ἐναντίως ἔχον. εἰ δὲ ἑκάτερον κατὰ φύσιν, ἐπ' ἄμφω ἡ ῥοπή, κἀνταῦθα πάντως ἂν ἡ φορά. τὰς δὲ θύρας οὐκ εὐθὺς συντελοῦσιν, ἀλλὰ πήξαντες ἀφιᾶσι, κἄπειτα ὕστερον. οἱ δὲ περὶ τρίτον ἔτει συνετέλεσαν, ἐὰν μᾶλλον σπουδάζωσι. τοῦ μὲν γὰρ θέρους ἀναξηραινόμενα διίστανται, τοῦ δὲ χειμῶνος συμμύουσιν. αἴτιον δ' ὅτι τῆς ἐλάτης τὰ μανὰ καὶ σαρκώδη, ἕλκει τὸν ἀέρα ἔνικμον ὄντα. ὁ δὲ φοῖνιξ, κοῦφος καὶ εὔεργος, καὶ μαλακός, ὥσπερ ὁ φελλός. βελτίων δὲ τοῦ φελλοῦ, ὅτι γλίσχρος· ἐκεῖνο δὲ θραυστόν. διὰ τοῦτο τὰ εἴδωλα νῦν ἐκ τοῦ φοίνικος ποιοῦσι, τοῦτο δὲ ὡς φαῦλον ἀφείκασι. τὰς ἶνας δὲ οὐ δι' ὅλου ἔχει, οὐδ' εὐθὺ πολὺ καὶ μακράς, οὐδ' ὡσαύτως τῇ θέσει ἐγκαμπίας πάσας, ἀλλὰ παντοδαπάς. ἀναξηραίνεται δὲ καὶ λεαινόμενον, καὶ πριόμενον τὸ ξύλον.

5 Τὸ δὲ θύον, οἱ δὲ θύαν καλοῦσι, παρ' Ἄμμωνί τε γίνεται, καὶ ἐν τῇ Κυρηναίᾳ, τὴν μὲν μορφὴν ὅμοιον κυπαρίττῳ, καὶ τοῖς κλάδοις καὶ τοῖς φύλλοις καὶ τῷ στελέχει καὶ τῷ καρπῷ· μᾶλλον δ' ὥσπερ κυπάρισσον ἀγρίαν. πολὺ μὲν, καὶ ὅπου νῦν ἡ πόλις ἐστί, καὶ ἔτι διαμνημονεύουσιν ὀροφάς τινας τῶν ἀρχαίων οὔσας. ἀσαπὲς γὰρ ὅλως τὸ ξύλον. οὐλότατον δὲ τὴν ῥίζαν ἐστί, καὶ ἐκ ταύτης τὰ σπουδαιότατα ποιεῖται τῶν ἔργων. τὰ δὲ ἀγάλματα γλύφουσιν ἐκ τῶν κέδρων, κυπαρίττου, λωτοῦ, πύξου· τὰ δὲ ἐλάττω, καὶ ἐκ τῶν ἐλαΐνων ῥιζῶν. ἀρραγεῖς γὰρ αὗται, καὶ ὁμαλῶς πως σαρκώδεις. ταῦτα μὲν οὖν ἰδιότητά τινα τόπων καὶ φύσεως καὶ χρείας ἀποδηλοῖ. Βαρέα δὲ καὶ κοῦφα, δῆλον ὡς τῇ πυκνότητι, καὶ μανότητι, καὶ ὑγρότητι, καὶ ξηρότητι, καὶ τῷ γλισχρῷ, καὶ σκληρότητι, καὶ μαλα-

κότη-

τοῦ ἡλίου. καὶ ὄζος ὅλας, ὅτι παραβλάστησις, οὔτε πάχος γίνεται. μετὰ δὲ ταῦτα εἰς βάθος, καὶ πάχος. ὥστ' αἱ τῶν ὄζων ἐκφύσεις καὶ παραβλαστήσεις. ταῦτα μὲν οὖν ἴδια τῆς ἐλάτης. τὰ δὲ κοινὰ καὶ πεύκης καὶ ἐλάτης, καὶ τῶν ἐλατῶν καὶ ἄλλων ἔστι γὰρ ἡ μὲν τετράοζος, ἡ δὲ δίοζος. καλοῦσι δὲ τετραόζους μὲν, ὅσαις ἐφ' ἑκάτερα τῆς ἐντεριώνης δύο κτηδόνες εἰσὶν, ἐναντίαν ἔχουσαι τὴν φύσιν· ἔπειτα † καθ' ἑτέραν τὴν κτηδόνα ποιοῦνται τὴν πελέκησιν, ἐναντίας τὰς πληγὰς κατὰ κτηδόνα φέροντες, ὅταν ἐφ' ἑκάτερα τῆς ἐντεριώνης ἡ πελέκησις ἀναστρέφῃ. τοῦτο γὰρ δὴ ἀνάγκης συμβαίνει, διὰ τὴν φύσιν τῶν κτηδόνων. τὰς δὲ τοιαύτας ἐλάτας καὶ πεύκας, τετραόζους καλοῦσιν. εἰσὶ δὲ καὶ πρὸς τὰς ἐργασίας αὗται κάλλισται· πυκνότατα γὰρ ἔχουσι τὰ ξύλα καὶ τὰς αἰγίδας αὗται. φύουσι δέ. αἱ δίοζοι δὲ, κτηδόνα μὲν ἔχουσι μίαν ἐφ' ἑκάτερα τῆς ἐντεριώνης, ταύτας δὲ ἐναντίας ἀλλήλαις, ὥστε καὶ τὴν πελέκησιν εἶναι διπλῆν· μίαν δὲ καθ' ἑκατέραν κτηδόνα ταῖς πληγαῖς ἐναντίαις. ἁπλούστατα μὲν οὖν ταῦτά φασιν ἔχειν τὰ ξύλα· χείριστα δὲ πρὸς τὰς ἐργασίας, διαστρέφεται γὰρ μάλιστα. μονοζόους δὲ καλοῦσι, τὰς ἐχούσας μίαν μόνον κτηδόνα. τὴν δὲ πελέκησιν αὐτῶν γίνεσθαι τὴν αὐτὴν, ἐφ' ἑκάτερα τῆς ἐντεριώνης. φασὶ δὲ μανότατα μὲν ἔχειν τῇ φύσει τὰ ξύλα· ταῦτα δὲ πρὸς τὰς διαστροφὰς ἀσφαλέστατα. διαφορὰς δὲ ἔχουσι τοῖς φλοιοῖς, καθ' ἃς γνωρίζουσιν, ἰδόντες εὐθὺς τὸ δένδρον πεφυκὸς ποῖόν τί ἐστι. τῶν μὲν γὰρ εὐκτηδόνων, καὶ ἀστραβῶν, καὶ ὁ φλοιὸς λεῖος καὶ ὀρθός· τῶν δ' ἐναντίων, τραχύς τε καὶ διεστραμμένος. ὁμοίως καὶ ἐπὶ τῶν λοιπῶν. ἀλλ' ἔστι τετράοζα μὲν ὀλίγα, μονόζοα δὲ πλείω τῶν ἄλλων. ἅπασα δὲ ἡ ὕλη μείζων, καὶ ὀρθοτέρα καὶ ἀστραβεστέρα καὶ στριφνοτέρα, καὶ ὅλως καλλίων καὶ πλείων, ἡ ἐν τοῖς προσβορείοις, ὥσπερ καὶ πρότερον ἐλέχθη. καὶ αὐτοῦ τοῦ δένδρου δὲ τὰ πρὸς βορρᾶν, πυκνότερα καὶ νεανικώτερα. ὅσα δὲ ὑπὸ παραβορρᾶ ἢ ἐν περιπνοίᾳ, ταῦτα στρέφει καὶ παραλύει τὰ μικρὰ ὁ βορέας, ὥστε εἶναι περιεστραμμένην αὐτῶν τὴν μήτραν, καὶ οὐ κατ' ὀρθόν. ἔστι δ' ὅλα μὲν τὰ τοιαῦτα, ἰσχυρά· τμηθέντα δὲ ἀσθενῆ, διὰ τὸ πολλὰς ἔχειν παραλλαγάς. καλοῦσι δὲ οἱ τέκτονες ἐπίτονα, ταῦτα, διὰ τὸ πρὸς τὴν χρείαν οὕτω τέμνειν. 3 Ὅλως δὲ χείρω τὰ ἐκ τῶν ἐφύδρων, καὶ εὐσκιῶν, καὶ πελασκίων, καὶ τῶν συνηρεφῶν, καὶ πρὸς τὴν τεκτονικὴν χρείαν καὶ πρὸς τὴν πυρευτικήν. αἱ μὲν οὖν τοιαῦται διαφοραὶ πρὸς τοὺς τόπους εἰσὶν αὐτῶν τῶν ὁμογενῶν. ὡς δὲ ἁπλῶς εἰπεῖν· διαιροῦσι γάρ τινες κατὰ τὰς χώρας, καὶ φασὶν ἀρίστην μὲν εἶναι τῆς ὕλης πρὸς τὴν τεκτονικὴν χρείαν, τὴν εἰς τὴν Ἑλλάδα παραγινομένην, τὴν μακεδονικήν· λεία τε γάρ ἐστι, καὶ ἀστραβὴς, καὶ ἔχουσα τὴν πίτταν. δευτέραν δὲ, τὴν ποντικήν· τρίτην δὲ, τὴν ἀπὸ τοῦ ῥυνδακοῦ· τετάρτην δὲ, τὴν αἰνιανικήν· χειρίστην δὲ, τήν τε παρνασσιακὴν καὶ τὴν εὐβοϊκήν· καὶ γὰρ ὀζώδεις, καὶ τραχείας, καὶ ταχὺ σήπεσθαι. περὶ δὲ τῆς ἀρκαδικῆς σκεπτέον. ἰσχυρότατα δὲ τῶν ξύλων ἐστὶ, τὰ ἄοζα καὶ λεῖα· καὶ τῇ ὄψει δὲ ταῦτα καὶ μάλιστα ὀζώδη γίνεται τὰ † κακοτροφηθέντα, καὶ ἤ τοι χειμῶνι πιεσθέντα, ἢ καὶ ἄλλῳ τινὶ τοιούτῳ. τὸ γὰρ ὅλον, τὴν πολυοζίαν εἶναι ἐν δένδρῳ δυστροφίας. ὅταν δὲ κακοτροφήσαντα ἀναλάβῃ πάλιν, καὶ εὐθενήσῃ, συμβαίνει καταπίνεσθαι τοὺς ὄζους ὑπὸ τῆς περιφύσεως. εὐτροφοῦν γὰρ καὶ αὐξανόμενον ἀναλαμβάνει· καὶ πολλάκις ἔξωθεν μὲν λεῖον τὸ ξύλον, διαιρούμενον δὲ ὀζῶδες ἐφάνη. διὸ καὶ σκοποῦνται τῶν χιτῶν τὰς μήτρας. ἐὰν γὰρ αὗται ἔχωσιν ὄζους, ὀζώδη καὶ τὰ ἐκτὸς καὶ φανεροί. γίνονται δὲ καὶ αἱ σπεῖραι διὰ χειμῶνας τε καὶ κακοτροφίαν. σπείρας δὲ καλοῦσιν, ὅταν ἡ εὐτραφὴς ἐν αὐτῇ μείζων, καὶ κύκλους περιεχομένη πλείους· οὐθ' ὥσπερ ὁ ὄζος ἁπλῶς, οὐθ' ὡς ἡ ἐλότης ἡ ἐν αὐτῷ τῷ ξύλῳ. δι' ὅλου γάρ πως αὕτη καὶ ὁμαλίζουσα. χαλεπώτερον δὲ τοῦτο πολὺ, καὶ δυσεργότερον τῶν ὄζων. ἔοικε δὲ παραπλησίως, καὶ ὡς ἐν τοῖς λίθοις ἐγγίνεσθαι τὰ καλούμενα κέντρα. ὅτι δὲ ἡ περίφυσις καταλαμβάνει τοὺς ὄζους, φανερώτατον δὴ αὐτῶν τῆς αἰσθήσεως· οὐ μὴν ἀλλὰ καὶ ἐκ τῶν ἄλλων τῶν ὁμοίων. πολλάκις γὰρ αὐτοῦ τοῦ δένδρου μέρος τι, αὐτοῦ συνελήφθη ὑπὸ θατέρου συμφυοῦς γενομένου. καὶ ἐάν τις ἐγκλεισθῇ λίθον εἰς τὸ δένδρον, ἢ καὶ ἄλλο τι τοιοῦτο, κατακρύπτεται περιληφθὲν ὑπὸ τῆς περιφύσεως. ὅπερ καὶ περὶ τὸν κότινον συνέβη τὸν ἐν Μεγάροις τὸν ἐν τῇ ἀγορᾷ· ὃν καὶ ἐκκοπέντος, λόγιον ἦν ἁλῶναι καὶ διαρπασθῆναι τὴν πόλιν. ὅπερ ἐγένετο Δημήτριος. ἐν τούτῳ γὰρ διασχιζομένῳ κνημῖδας εὑρέθησαν, καὶ ἄλλ' ἄττα τῶν ἀττικῶν

ΘΕΟΦΡΑΣΤΟΥ ΠΕΡΙ ΦΥΤΩΝ

ἹΣΤΟΡΊΑΣ ΤῸ Ε.

Περὶ δὲ ὕλης ποία τέ ἐστιν ἑκάστου, καὶ πότε ὡραία τέμνεσθαι, καὶ πρὸς ποῖα τῶν ἔργων χρησίμη, καὶ ποία δύσεργος ἢ εὔεργος, καὶ εἴ τι ἄλλο τῶν τοιαύτης ἱστορίας ἔχεται, πειρατέον ὁμοίως εἰπεῖν. ὡραῖα δὲ τέμνεσθαι ξύλα, τὰ μὲν στρογγύλα, καὶ ὅσα πρὸς φλοισμόν, ὅταν βλαστάνῃ· τότε γὰρ εὐπεριαίρετος ὁ φλοιός, ὃ δὴ καλοῦσι † λοπίαν, διὰ τὴν ὑγρότητα τὴν ὑπογινομένην αὐτῷ. μετὰ δὲ ταῦτα δυσπεριαίρετος, καὶ τὸ ξύλον μέλαν γίνεται, καὶ δυσειδές. τὰ δὲ τετράγωνα, μετὰ † τὸν λοπητόν. ἀφαιρεῖται γὰρ ἡ πελέκησις τὴν δυσειδίαν. ὅλως δὲ καὶ πρὸς ἰσχὺν, ὡραιότατα, οὐ μόνον πεπαυμένου τῆς βλαστήσεως, ἀλλ' ἔτι μᾶλλον ἐκπεπανθέντος τοῦ καρποῦ. ἀλλὰ διὰ τὸν φλοισμὸν ἀώρως ὥσπερ ὡραίως συμβαίνει γίνεσθαι τοῖς στρογγύλοις· ὥστε ἐναντίαι αἱ ὧραι, κατὰ τὸ συμβεβηκός. εὐχρούστερα δὲ τὰ ἐλάτινα γίνεται κατὰ τὸν πρῶτον λοπητόν. ἐπεὶ δὲ μάλιστα μόνον περιαιρεῖσθαι τὸν φλοιὸν ἐλάτης, † πίτυος, ταῦτα μὲν τέμνεται τοῦ ἦρος· τότε γὰρ ἡ βλάστησις. τὰ δὲ ἄλλα, ὁτὲ μὲν μετὰ πυροτομίαν, ὁτὲ δὲ μετὰ τρυγητὸν καὶ ἀρκτοῦρον· οἷον ἀρία, πτελέα, σφένδαμνος, μελία, ζυγία, ὀξύα, φιλύρα, * πηγόσιν τε καὶ ὅλως ὅσα ὀρύττεται. δρῦς δὲ, ὀψιαίτατα, καὶ περὶ χειμῶνα, μετὰ τὸ μετόπωρον. ἐὰν δὲ ὑπὸ τὸν λοπητὸν τμηθῇ, σήπεται τάχιστα, ὡς ἔπος εἰπεῖν, ἐάν τε ἔμφλοιος, ἐάν τε ἄφλοιος· καὶ μάλιστα μὲν τὰ ἐν τῷ πρώτῳ λοπητῷ, δεύτερα δὲ τὰ ἐν τῷ δευτέρῳ, τρίτα δὲ τὰ ἐν τῷ τρίτῳ. τὰ δὲ μετὰ τὴν πέπανσιν τοῦ καρποῦ, ἄβρωτα διαμένει, κἂν ἀλόπιστα ᾖ· πλὴν ὑπὸ τὸν φλοιὸν ὑποδυόμενοι σκώληκες, ὥσπερ ἐγγράφουσι τὸ στέλεχος, οἷς καὶ σφραγῖσι χρῶνταί τινες. ὡραῖον δὲ τμηθὲν τὸ δρύϊνον, ἄσηπτόν τε καὶ ἀθριπήδεστον γίνεται, καὶ σκληρὸν καὶ πυκνόν, ὥσπερ κέρας. πᾶν γὰρ ὅμοιόν ἐστιν ἐγκαρδίῳ, πλὴν τότε τὸ ἁλιφλοίας, καὶ τότε φαῦλον. συμβαίνει δὲ καὶ τοὐναντίον, ὅταν τε περὶ τὴν βλάστησιν τέμνωνται, καὶ ὅταν μετὰ τοὺς καρπούς. τότε μὲν ἀναξηραίνεται τὰ στελέχη, καὶ οὐ παραβλαστάνει τὰ δένδρα· μετὰ δὲ τοὺς καρπούς, παραβλαστάνει. δυστομώτερα δὲ διὰ τὴν σκληρότητα, καὶ ταύτην τὴν ὥραν. κελεύουσι δὲ καὶ διχομηνίας τῆς σελήνης τέμνειν, ὡς σκληροτέρων καὶ ἀσαπεστέρων γινομένων. ἐπεὶ δὲ αἱ πέψεις τῶν καρπῶν παραλλάττουσι, δῆλον ὅτι καὶ αἱ ἀκμαὶ πρὸς τὴν τομὴν παραλλάττουσιν. ἀεὶ γὰρ ὀψιαίτεραι τῶν ὀψικαρποτέρων. διὸ καὶ πειρῶνταί τινες δεῖξαι καθ' ἕκαστον· οἷον † λεύκην μὲν καὶ ἐλάτην, ὅταν ἐπιλυγνῶσιν. ἔτι δὲ ὀξύαν, καὶ φιλύραν, καὶ σφένδαμνον, καὶ ζυγίαν, περὶ ὀπώρας. δρῦν δὲ, ὥσπερ εἴρηται, μετὰ τὸ φθινόπωρον. φασὶ δέ τινες καὶ τὴν ὡραίαν εἶναι τοῦ ἦρος, ὅταν γε ἔχῃ τὴν καλουμένην κάχρυν· καὶ τὴν πίτυν, ὅταν ὁ βότρυς αὐτῆς ἀνθῇ. ποῖα μὲν οὖν ὡραῖα καθ' ἕκαστον χρόνον, οὕτω διαιροῦνται. πάντων δὲ δῆλον ὅτι βελτίω τὰ τῶν ἀκμαζόντων δένδρων, ἢ τῶν νέων κομιδῇ, καὶ γεγηρακότων· τὰ μὲν γὰρ ὑδατώδη, τὰ δὲ γεώδη. πλείστας δὲ χρείας καὶ μεγίστας ἡ ἐλάτη καὶ ἡ πεύκη παρέχονται, καὶ αὗται κάλλιστα καὶ μέγιστα τῶν ξύλων ἔχει.

2 Διαφέρουσι δὲ ἀλλήλων ἐν πολλοῖς. ἡ μὲν γὰρ πεύκη, σαρκωδεστέρα τε καὶ ὀλιγόϊνος· ἡ δὲ ἐλάτη, καὶ πολύϊνος καὶ ἄσαρκος. ὥστε ἐναντίως ἑκάτερον ἔχει τὴν μορφήν· τὰς μὲν γὰρ ἶνας ἰσχυράς, τὴν δὲ σάρκα μαλακὴν καὶ μανήν. διὸ τὸ μὲν βαρύ, τὸ δὲ κοῦφον· ἔνδαδον γάρ, τὸ δὲ ἄδαδον, ἣ καὶ λευκότερον. ἔχει δὲ καὶ ὄζους πλείους μὲν ἡ πεύκη, σκληροτέρους δὲ ἡ ἐλάτη πολλῷ, μᾶλλον δὲ καὶ σκληροτάτους πάντων, ἀμφοῖν δὲ πυκνούς, καὶ κερατώδεις, καὶ τῷ χρώματι ξανθούς, καὶ δαδώδεις. ὅταν δὲ τμηθῶσι, ῥεῖ καὶ ἐκ τῶν τῆς ἐλάτης καὶ ἐκ τῶν τῆς πεύκης ἐπὶ πολὺν χρόνον ὑγρότης, καὶ μᾶλλον ἐκ τῶν τῆς ἐλάτης. ἔστι δὲ καὶ πολύλοπον ἡ ἐλάτη, καθάπερ τὸ κρόμμυον. ἀεὶ γὰρ ἔχει τινὰ ὑποκάτω τοῦ φαινομένου, καὶ ἐκ τοιούτων ἡ ὅλη. διὸ καὶ τὰς κώπας ξύοντες, ἀφαιρεῖν πειρῶνται καθ' ἕνα καὶ ὁμαλῶς. ἐὰν γὰρ οὕτως ἀφαιρῶσιν, ἰσχυρὸς ὁ κωπεών· ἐὰν δὲ παραλλάξωσι, καὶ μὴ περὶ πάντα ὁμοίως, εὐθρυής. πληγὴ γὰρ οὕτως, ἐκείνως δὲ ἀφαίρεσις. ἔστι δὲ καὶ μακρότατον ἡ ἐλάτη, καὶ ὀρθοφυέστατον· διὸ καὶ τὰς κεραίας, καὶ τοὺς ἱστοὺς ἐκ ταύτης ποιοῦσιν. ἔχει δὲ καὶ τὰς φλέβας καὶ τὰς ἶνας εὐθυγενεστάτας πάντων. αὔξεται καὶ πρῶτον εἰς μῆκος, ἄχρις οὗ ἐφίκηται

τῷ

λη, καὶ ἡ φιλύρας (δι᾽ ὃ τὰ χοινίκια) καὶ μαλάχης τῆς ἐλαττόνος· ἀλλ᾽ οὐχ ὁ κύριος, οὐδ᾽ ὁ πρῶτος, ἀλλ᾽ ὁ ἐπιπολῆς, ὃς καὶ αὐτόματος φύεται ἀποπίπτει, διὰ τὴν ἀποφυομένην θάτερον. καὶ γὰρ † φυλλοῤῥοΐα μία τοῦ δένδρου τοῦτον· ὥσπερ καὶ † ἡ ἀνδράχλος καὶ ἡ πλάτανος. ὡς δέ τινες οἴονται, πάλιν ὑποφύεται νέος· ὁ δ᾽ ἔξωθεν, ἀποξηραίνεται, καὶ ῥήγνυται, καὶ αὐτόματος ἀποπίπτει πολλῶν, ἀλλ᾽ οὐχ ὁμοίως ἐπίδηλος. φθείρονται μὲν οὖν, ὡς οἴονται, πάντα περιαιρεθέντα· διαφορὰ δὲ τῷ θᾶττον, καὶ βραδύτερον, καὶ μᾶλλον καὶ ἧττον. ἔνια γὰρ πλείω χρόνον διαμένει, καθάπερ συκαῖ, καὶ φίλυρα, καὶ δρῦς· οἱ δὲ καὶ ζῆν φασι πολὺ ταῦτα, καὶ οὐκ ἀπόλλυσθαι τοῦ φλοιοῦ, οἷον περισθέντα, ἰδίαν τινὰ φύσιν ἔχειν. βοηθεῖν δὲ περιφράττοντες, διαπλάττοντες πηλῷ, καὶ περιδέοντες φλοιοῖς καὶ καλάμοις καὶ τοῖς τοιούτοις, ὅπως μὴ ψύχηται, μηδ᾽ ἀποξηραίνηται. καὶ ἐνίων φασί τινα φῦναι, καθάπερ καὶ ἐν ὠρεαλέᾳ τῇ βραχιανῇ τὰς συκᾶς. δεῖ δὲ ἅμα τῇ τῆς χώρας ἀρετῇ καὶ τῇ τοῦ ἀέρος κράσει, τὰ ἐπιγινόμενα τοιαῦτα εἶναι. χειμώνων γάρ, ἢ καὶ καυμάτων ἐπιγινομένων σφοδρῶν, εὐθὺς ἀπόλλυνται. διαφέρουσι δὲ καὶ αἱ ὧραι. περὶ γὰρ τὴν βλάστησιν ἐλάτας καὶ πεύκης, ὅτε καὶ λέπουσι τῷ θαργηλιῶνος, ἢ σκιῤῥοφοριῶνος, ἄν τις περιέλῃ, παραχρῆμα ἀπόλλυται. τοῦ δὲ χειμῶνος πλείω χρόνον ἀντέχει καὶ ἔτι μᾶλλον τὰ ἰσχυρότατα, καθάπερ πρῖνος, καὶ δρῦς. χρονιωτέρα γὰρ ἡ τούτων φθορά. δεῖ δὲ καὶ τὴν περιαίρεσιν ἔχειν τι πλάτος, πάντων μέν, μάλιστα δὲ τῶν ἰσχυροτάτων, ἐπεὶ ἄν τις ἐπὶ τὸ παντελὲς ποιήσῃ, οὐθὲν ἄτοπον τὸ μὴ ἀπόλλυσθαι. καίτοι φασί τινες, ἐὰν ὁπωσοῦν, συμφθείρεσθαι πάντως. ἀλλ᾽ ἐπὶ τῶν ἀσθενεστέρων τοῦτ᾽ εἰκός. ἔνια γὰρ κἂν μὴ κύκλῳ περιαιρεθῇ, φθείρεσθαι φασίν· ἃ καὶ λυπηρὰν ἔχειν χώραν, καὶ ἄτροφον. αὕτη μὲν δή, καθάπερ εἴρηται, κοινὴ φθορὰ πάντων.

Ἣν † δὲ καλοῦσιν ἐπικοπήν, τοῦ δένδρου μόνον πεύκης, ἐλάτης, πίτυος, φοίνικος· οἱ δὲ καὶ κέδρον, καὶ κυπάριττον φασί. ταῦτα γὰρ ἐὰν περιαιρεθῇ τὴν κόμην, καὶ ἄνωθεν ἐπικοπῇ τὸ ἄκρον, φθείρεται πάντα, καὶ οὐ βλαστάνει. καθάπερ οὐδ᾽ ἐπικαυθέντα, ἢ πάντα, ἢ ἔνια. τὰ δ᾽ ἄλλα πάντα καὶ περικοπέντα βλαστάνει, καὶ ἔνια καὶ κάλλιω γίνεται, καθάπερ ἡ ἐλαία. διαφθείρεται δὲ τὰ πολλά, κἂν σχισθῇ τὸ στέλεχος. οὐδὲν γὰρ ὑπομένειν δοκεῖ, πλὴν ἀμπέλου, καὶ συκῆς, καὶ ῥοιᾶς, καὶ μηλέας. ἔνια δὲ κἂν ἑλκωθῇ καὶ μείζονι, καὶ βαθυτέρᾳ, ἀπόλλυται· τὰ δ᾽ οὐδὲν πάσχει. καθάπερ ἡ πεύκη, δαδευομένη· καὶ δι᾽ ὧν δὴ τὰς ῥητίνας συλλέγουσιν, οἷον ἐλάτας, τερμίνθους. καὶ γὰρ διὰ τούτων εἰς βάθος ἡ τρῶσις καὶ ἕλκωσις· καὶ γὰρ ἐξ ἀφόρων φορὰ γίνονται, καὶ ἐξ ὀλιγοφόρων πολύφοροι. τὰ δὲ καὶ πελεκισθέντα ὑπομένει, καὶ ὀρθά, καὶ πεσόντα ὑπὸ τοῦ πνεύματος, ὥστε πάλιν ἀνίστασθαι καὶ ζῆν, καὶ βλαστάνειν· οἷον ἰτέα, καὶ πλάτανος· ὅπερ συνέβη καὶ ἐν Ἀντάνδρῳ, καὶ ἐν Φιλίπποις. ἐκπεσούσης γάρ, ὡς ἀπέκοψαν τοὺς ἀκρέμονας, καὶ ἐπελέκησαν, ἀνέφυ νύκτωρ πλάτανος, κουφισθεῖσα τοῦ βάρους, καὶ ἀνεβίω, καὶ ὁ φλοιὸς περιέφυ πάλιν. περιεπελεκημένη δ᾽ ἐτύγχανεν ἐκ τῶν δύο μερῶν. ἦν δὲ τὸ δένδρον μέγα, μῆκος μὲν μεῖζον ἢ δεκάπηχυ, πάχος, ὥστε μὴ ῥᾳδίως ἂν περιλαβεῖν τέτταρας ἄνδρας. ἡ δὲ ἐν Φιλίπποις ἰτέα, περιεκόπη μὲν τοὺς ἀκρέμονας, οὐ μὴν περιεπελεκήθη. μάντις δέ τις ἔπεισεν αὐτούς, θυσίαν τε ποιεῖσθαι, καὶ τηρεῖν τὸ δένδρον, ὡς σημεῖον ἀγαθὸν γεγονός. ἀνέστη δὲ καὶ ἐν Σταγείροις ἐν τῷ μουσείῳ λεύκη τις ἐκπεσοῦσα. τῆς δὲ μήτρας ἐξαιρεθείσης, οὐθὲν (ὡς εἰπεῖν) φθείρεται δένδρον. σημεῖον δ᾽, ὅτι πολλὰ κοῖλα τῶν μεγίστων ἐχόντων δένδρων ἐστίν. οἱ δὲ περὶ Ἀρκαδίαν φασί, μέχρι τῶν ἐξαιρεθῇ τοῦ δένδρου. τελείως δ᾽ ἐξ ἅπαντος ἐξαιρεθείσης, καὶ πεύκην φθείρεσθαι, καὶ ἐλάτην, καὶ ἄλλο πᾶν.

Κοινὴ δὲ φθορὰ πάντων, κἂν αἱ ῥίζαι περικοπῶσιν, ἢ πᾶσαι, ἢ αἱ πλεῖσται, καὶ μέγισται, καὶ κυριώταται τοῦ ζῆν. αὕτη μὲν οὖν ἐξ ἀφαιρέσεως. ἡ δ᾽ ὑπὸ τῆς ἐλαίας, περιθέσει τινὶ μᾶλλον ἢ ἀφαιρέσει. πολέμιον γὰρ δὴ καὶ ὥσπερ πᾶσι † ἔλαιον ἐπιχέουσι τοῖς ὑπολείμμασι τῶν ῥιζῶν. ἰσχύει δὲ μάλιστα τὸ ἔλαιον ἐν τοῖς νέοις, καὶ ἄρτι φυομένοις· ἀσθενέστερα γάρ. διὸ καὶ ἅπτεσθαι κωλύουσι. φθοραὶ δὲ καὶ ὑπ᾽ ἀλλήλων εἰσί, τῷ παραιρεῖσθαι τὰς τροφάς, καὶ ἐν τοῖς ἄλλοις ἐμποδίζειν. χαλεπὸς δὲ καὶ ὁ κιττὸς παραφυόμενος. χαλεπὸν δὲ καὶ ὁ κύτισος· ἐκκλίνει γὰρ πάνθ᾽ ὡς εἰπεῖν. ἰσχυρότερον δὲ τούτου τὸ ἅλιμον· ἀπόλλυσι γὰρ τὸν κύτισον. ἔνια δὲ οὐ φθείρει μέν, χείρω δὲ ποιεῖ ταῖς δυνάμεσι τῶν χυλῶν, καὶ τῶν ὀσμῶν· οἷον ἡ ῥάφανος, καὶ ἡ δάφνη, τὴν ἄμπελον. ὀσφραίνεσθαι γάρ φασι, καὶ ἕλκειν. διὸ καὶ ὅταν ὁ πλησίον βλαστὸς γένηται, πάλιν ἀναστρέφειν, καὶ ἀφορᾶν, ὡς πολεμίας οὔσης τῆς ὀσμῆς. Ἀνδροκύδης γὰρ καὶ παράδειγμα τούτῳ κατεχρήσατο, πρὸς τὴν βοήθειαν τὴν ἀπὸ τῆς ῥαφανῖδος γινομένην πρὸς τὸν οἶνον, ὡς ἐξελαυνούσης τὴν μέθην. φεύγειν γὰρ δεῖ καὶ ζῶσαν τὴν ἄμπελον, τὴν ὀσμήν. αἱ μὲν οὖν φθοραὶ πῶς τε γίνονται, καὶ πόσαι, καὶ ποσαχῶς, φανερὸν ἐκ τῶν προειρημένων.

φυλλοῤ-ῥαγία

† τῆς ἀνδράχνης καὶ πλατάνου.

† δ

νας

τας

20

ἔλαιον γὰρ

γόμενον δὲ, ἐὰν ἐπινεφοῦσί ποτ' ἐφύσῃ, καθάπερ ἐλαίᾳ καὶ ἀμπέλῳ· συναποσήπεται γὰρ ὁ
καρπὸς, διὰ ἀσθένειαν. ἐν Μιλήτῳ δὲ τὰς ἐλαίας, ὅταν ὦσι περὶ τὸ ἀνθεῖν, κάμπαι κατε-
σθίουσιν, αἱ μὲν τὰ φύλλα, αἱ δὲ τὰ ἄνθη, ἕτεραι τῷ γένει, καὶ ψιλοῦσι τὰ δένδρα. γίνον-
ται δὲ, ὅταν ᾖ νότια, καὶ τὰ ἀλεεινά· ἐὰν δὲ ὑπολάβῃ καύματα, ῥήγνυνται. περὶ δὲ τά-
ραντα προφαίνουσι μὲν πολὺν καρπὸν ἀεὶ, ὑπὸ δὲ τὴν ἄνθησιν τὰ πολλ' ἀπόλλυται.
17 τὰ μὲν οὖν τοιαῦτα τῶν τόπων ἴδια. Γίνεται δὲ καὶ ἄλλο νόσημα περὶ τὰς ἐλαίας, † ἀρχί-
† ἀραχνίον χνιον καλούμενον. φύεται γὰρ ὥσπερ, καὶ διαφθείρει τὸν καρπόν. ἐπικάει δὲ καὶ καύματα τι-
να, καὶ ἐλαίαν, καὶ βότρυν, καὶ ἄλλους καρπούς. οἱ δὲ καρποὶ σκωληκοῦνται ἐνίων· οἷον
ἐλαίας, ἀπίου, μηλέας, μεσπίλης, ῥοᾶς. καὶ ὅ γε τῆς ἐλαίας σκώληξ, ἐὰν μὲν ὑπὸ τὸ δέρμα
† κωλύεται δὲ γένηται, διαφθείρει τὸν καρπόν· ἐὰν δὲ τὸν πυρῆνα διαφάγῃ, ὠφελεῖ. † καὶ λύεται δὲ ὑπὸ
τὸ δέρμα εἶν, ὕδατος ἐπ' ἀρκτούρῳ γενομένου. γίνονται δὲ καὶ ἐν τοῖς δρυπεπέσι
σκώληκες, οἵπερ χείρους εἰς τὴν χρῆσιν. ὅλως δὲ καὶ δοκοῦσιν εἶναι σαπροί· διὸ καὶ γίνονται
τοῖς νοτίοις, καὶ μᾶλλον ἐν τοῖς ἐφύδροις. ἐγγίνονται δὲ καὶ κνῖπες ἔν τισι τῶν δένδρων,
ὥσπερ ἐν τῇ δρυῒ καὶ τῇ συκῇ· καὶ δοκοῦσιν ἐκ τῆς ὑγρότητος συνίστασθαι, τῆς ὑπὸ τὸν φλοιὸν
συνισταμένης. αὕτη δὲ ἐστὶ γλυκεῖα γινομένοις. γίνονται δὲ καὶ ἐν λαχάνοις τισίν· ἔνθα δὲ
κάμπαι, διαφθείρουσι δηλονότι τῆς ἀρχῆς. καὶ τὰ μὲν νοσήματα σχεδὸν ταῦτα, καὶ ἐν τού-
τοις ἐστίν. ἔνια δὲ πάλιν τῶν περὶ τὰς ὥρας, καὶ τῶν καθ' αὑτὰ γινομένων ἀναιρεῖν πέφυ-
† καυθμόν κεν, ἃ οὐκ ἄν τις εἴποι νόσους· οἷον λέγω τὴν ἔκπληξιν, καὶ ὃ καλοῦσί τινες † καυθμόν. ἄλ-
λα δὲ τῶν ἑκάστοις πέφυκε πνεύματα ἐπιλαμπίνα, καὶ ἀνακαῦσαι· οἷον ἐν Χαλκίδι τῆς Εὐβοίας,
ὀλυμπίας, ὅταν πνεύσῃ μικρὸν πρὸ τροπῶν, ἢ μετὰ τροπὰς χειμερινὰς, ψυχρὸς ἀποκαίει
γὰρ τὰ δένδρα, καὶ οὕτως αὖα ποιεῖ καὶ ξηρὰ, ὡς οὐδ' ἂν ὑφ' ἡλίου καὶ χρόνου πολλοῦ γένοιτ'
ἄν. διὸ καὶ καλοῦσι καυθμόν. ἐγένετο δὲ πρότερόν τε πολλάκις ἤδη, καὶ ἐπ' Ἀρχίππου δὲ
ἔτη τετταράκοντα, σφοδρός. πονοῦσι δὲ μάλιστα τῶν τόπων οἱ κοῖλοι, καὶ οἱ αὐλῶνες, καὶ
οἱ περὶ τοὺς ποταμούς, καὶ ἁπλῶς οἱ ἀπνευστότατοι. τῶν δένδρων δὲ, μάλιστα συκῆ· δεύτε-
ἐλαίας, ἐλαίας δὲ ρον δὲ † ἐλαίας μᾶλλον ὁ κότινος ἐπόνησεν, ἰσχυρότερος ὤν· ὃ καὶ θαυμαστὸν ἦν. αἱ δὲ ἀμυγ-
δάλαι τὸ πάμπαν ἀπαθεῖς δὲ αἱ μηλέαι, καὶ αἱ ἄπιοι, καὶ αἱ ῥοαὶ ἐγένοντο. διὸ καὶ τοῦτο
ἦν θαυμαστόν. ἀποκαίεται δὲ εὐθὺς ἐκ τοῦ βελτίστου· καὶ ὅλως δὲ μᾶλλον, καὶ πρότερον (ὡς
εἰπεῖν) ἢ ἐκ τῶν κάτω. φανερὸν δὲ γίνεται τὰ μὲν ἅμα περὶ τὴν βλάστησιν· ἡ δὲ ἐλαία
διὰ τὸ ἀείφυλλον, ὕστερον. ὅσαι μὲν οὖν αὖ φυλλοβολήσωσιν, ἀναβιβρώσκονται πάλιν· ὅσαι
δ' αὖ μὴ τελείως, ἀπόλλυνται. τῶν ἐνίοις δέ τινες ἀποκαυθεῖσαι, καὶ τῶν φύλλων αὐανθέν-
των, ἀνεβλάστησαν πάλιν ἄνευ τοῦ ἀποβάλλειν, καὶ τὰ φύλλα ἀνεβίωσεν. ἐνιαχοῦ δὲ καὶ
πολλάκις τοῦτο συμβαίνει, καθάπερ καὶ ἐν Φιλίπποις. τὰ δ' ἐκπληγέντα, ὅταν μὴ τελείως
ἀπόλλυνται, τάχιστα ἀναβλαστάνει· ὥστε εὐθὺς τὴν ἄμπελον καρποφορεῖν, ὥσπερ ἐν Θετ-
ταλίᾳ. ἐν δὲ τῷ Πόντῳ, περὶ Παντικάπαιον, αἱ μὲν ἐκπλήξεις γίνονται διχῶς· ὁτὲ μὲν ὑπὸ στις
ψύχους, ἐὰν χειμέριον ᾖ τὸ ἔτος· ὁτὲ δὲ ὑπὸ πάγων, ἐὰν πολὺν χρόνον διαμένωσί γε. ἀμ-
-νον- φότερα δὲ μάλιστα γίνεται μετὰ τροπὰς, μετὰ τετταράκοντα. γίνονται δὲ οἱ μὲν πάγοι
ταῖς αἰθρίαις· τὰ δὲ ψύχη μάλιστα, ὑφ' ὧν ἡ ἔκπληξις, ὅταν αἰθρίας οὔσης αἱ ῥιπίδες κα-
ταφέρωνται. ταῦτα δ' ἐστὶν ὥσπερ τὰ ξύσματα, πλὴν πλατύτερα, καὶ φερόμενα φανε-
ρά. πνέοντα δὲ, οὐ διαμένει. περὶ δὲ τὴν Θρᾴκην, ἐκπήγνυνται. ἀλλὰ γὰρ αἱ μὲν νόσοι, πό-
σαι τε καὶ ποῖαι, καὶ τίνος γίνονται, καὶ πάλιν αἱ διὰ ὑπερβολὴν χειμῶνος ἢ καυμάτων
οὐ μὴν φθοραὶ, καὶ αἱ διὰ πνευμάτων ψυχρότητα ἢ θερμότητα, διὰ τούτων θεωρείσθωσαν· ἃς
ἐνίας οὐδὲν ἂν κωλύοι καὶ τοῖς ἀγρίοις εἶναι κοινὰς, καὶ κατὰ τὴν ὅλην τῶν δένδρων φθο-
ρὰν, καὶ ἔτι μᾶλλον περὶ τὴν τῶν καρπῶν. ὃ καὶ συμβαῖνον ὁρῶμεν. οὐκ ἀκαρπεῖ γὰρ οὐδ'
ἐκεῖνα πολλάκις· ἀλλ' οὐχ ὁμοίως, οἶμαι, παρατηρεῖται. Λοιπὸν δ' εἰπεῖν, ὅσα
18 παραιρουμένων τινῶν μορίων ἀπόλλυται. κοινὴ μὲν δὴ πᾶσι φθορὰ, τοῦ φλοιοῦ περιαιρε-
θέντος κύκλῳ· πᾶν γὰρ, ὡς εἰπεῖν, οὕτως ἀπόλλυσθαι δοκεῖ, πλὴν ἀνδράχνης. καὶ αὕτη χλω
δὲ, ἐάν τις τὴν σάρκα σφόδρα πιέσῃ, καὶ τὸν μέλλοντα καρπὸν διακόψῃ. πλὴν ἡ σὰρξ φελ-
λοῦ· τοῦτον γάρ φασι καὶ εὐθενεῖν μᾶλλον, περιαιρουμένου δηλονότι τοῦ ἔξω καὶ κάτω
πρὸς τὴν σάρκα· καθάπερ καὶ τῆς ἀνδράχνης. ἐπεὶ καὶ τῆς κεράσου περιαιρεῖται, καὶ τῆς ἀμπέ-
χθος

λῳ

πλῆσαι φρυγάνων, καὶ ἐπαμήσασθαι τὴν γῆν. τούτῳ μὲν οὖν τῷ ἔτει κακῶς φέρειν σφόδρα· τῷ δ' ὑστέρῳ βέλτιον· τῷ δὲ τρίτῳ καὶ τετάρτῳ, καθίστασθαι καὶ φέρειν πολλοὺς καὶ καλοὺς, ὥστε μηδὲν διαφέρειν ἢ ὅτε ἤκμαζεν. ἐπειδὰν δὲ πάλιν ἀποπληγῇ, θάτερον μέρος κατασκάπτειν, καὶ θεραπεύειν ὁμοίως, καὶ οὕτως αἰεὶ διαμένειν. ποιεῖν δὲ τοῦτο μάλιστα δι' ἐτῶν δέκα. διὸ καὶ οὐ κόπτειν οὐδέποτε τοὺς τοῦτο ποιοῦντας, ἀλλ' ἤδη γενεὰς πολλὰς ταῦτα τὰ στελέχη διαμένειν, ὥστε μηδὲ μεμνῆσθαι τοὺς φυτεύσαντας. τοῦτο μὲν οὖν ἴσως τῶν παρειμένων ἀκούοντα δεῖ πιστεύειν. τὰ δὲ μακρόβια καὶ βραχύβια, διὰ τῶν εἰρημένων θεωρητέον.

Νοσήματα δὲ τοῖς μὲν ἀγρίοις † φασὶ ξυμβαίνειν, ὑφ' ὧν ἀναιροῦνται. φαύλως δὲ διατίθεσθαι, καὶ μάλιστα ἀπόλλυσθαι, ὅταν χαλαζοκοπηθῇ, ἢ βλαστάνειν μέλλοντα, ἢ ἀρχόμενα, ἢ ἀνθοῦντα· καὶ ὅταν ἢ πνεῦμα ψυχρὸν ἢ θερμὸν ἐπιγένηται περὶ τούτους τοὺς καιρούς. ὑπὸ δὲ τῶν ὡραίων χειμώνων, οὐδὲ ἂν ὑπερβάλλοντες ὦσιν, οὐδὲν πάσχειν. ἀλλὰ καὶ ξυμφέρειν πᾶσι χειμασθῆναι· μὴ χειμασθέντα γὰρ, κακοβλαστότερα γίνεσθαι. τοῖς δὲ ἡμέροις ἐστὶ πλείω νοσήματα· καὶ τὰ μὲν ὥσπερ κοινὰ πᾶσιν ἢ τοῖς πλείστοις, τὰ δ' ἴδια κατὰ γένη. κοινὰ, οἷον, τό, τε σκωληκοῦσθαι, καὶ ἀστροβολεῖσθαι, καὶ ὁ σφακελισμός. ἅπαντα γὰρ, ὡς εἰπεῖν, καὶ σκώληκας ἔχει, πλὴν τὰ μὲν ἐλάττους, τὰ δὲ πλείους· καθάπερ συκῆ, μηλέα, καὶ ἄπιος. ὡς δὲ ἁπλῶς εἰπεῖν, ἥκιστα σκωληκοῦται τὰ δριμέα, καὶ ὀπώδη, καὶ ἀστροβολεῖται ὡσαύτως. μᾶλλον δὲ τοῖς ἐν ἀκμῇ τοῦτο συμβαίνει· πάντων δὲ μάλιστα τῇ τε συκῇ, καὶ τῇ ἀμπέλῳ. ἡ δ' ἐλαία πρὸς τῷ τοὺς σκώληκας ἔχειν (οἳ δὴ καὶ τὴν συκῆν διαφθείρουσιν ἐντίκτοντες) φύει καὶ ἧλον· οἱ δὲ μύκητα καλοῦσιν, ἔνιοι δὲ λοπάδα. τοῦτο δ' ἐστὶν οἷον * ἧλοι αὐτῶν. διαφθείρονται δ' ἐνίοτε καὶ αἱ νέαι ἐλαῖαι, διὰ τὴν ὑπερβολὴν τῆς πολυκαρπίας. ἡ δὲ ψώρα, καὶ οἱ προσφυόμενοι κοχλίαι, συκῆς εἰσιν. οὐ πανταχοῦ δὲ τοῦτο συμβαίνει ταῖς συκαῖς· ἀλλ' ἔοικε καὶ τὰ νοσήματα γίνεσθαι κατὰ τοὺς τόπους, ὥσπερ τοῖς ζῴοις. ἐπεὶ παρ' ἐνίοις οὐ ψωριῶσι, καθάπερ οὐδὲ περὶ τὴν Αἰνείαν. ἁλίσκεται συκῆ μάλιστα καὶ σφακελισμῷ, καὶ κράδῳ. καλεῖται δὲ σφακελισμὸς μὲν, ὅταν αἱ ῥίζαι μελανθῶσι· κράδος δ' ὅταν οἱ κλάδοι. καὶ γὰρ καλοῦσί τινες κράδας, ὅθεν καὶ τοὔνομα τῇ νόσῳ. ὁ δ' ἐρινεὸς, οὔτε κραδᾷ, οὔτε σφακελίζει, οὔτε ψωριᾷ, οὔτε σκωληκοῦται ταῖς ῥίζαις ὁμοίως· οὐδὲ δὴ τὰ ἐρινεά τινες ἀποβάλλουσιν, οὐδὲ ἐὰν ἔνια φυτεύσωσιν εἰς συκῆν. ἡ δὲ ψώρα μάλιστα γίνεται, ὅταν ὕδωρ ἤδη πλειάδι γένηται μὴ πολύ· ἐὰν δὲ πολὺ, ἀποκλύζεται. συμβαίνει δὲ τότε καὶ τὰ ἐρινεὰ ἀπορρεῖν, καὶ τοὺς ὀλύνθους. τῶν δὲ σκωλήκων τῶν ἐν ταῖς συκαῖς, οἱ μὲν ἐξ † αὐτῶν γίνονται, οἱ δ' ἐντίκτονται ὑπὸ τοῦ καλουμένου κεράστου· πάντες δὲ εἰς κεράστην ἀποκαθίστανται. φθέγγονται δὲ, οἷον τρισμόν. νοσεῖ δὲ συκῆ, καὶ ἐὰν ἐπομβρία γένηται, τά τε πρὸς τὴν ῥίζαν ὥσπερ μαδᾷ· τοῦτο δὲ καλοῦσι λοπάδα. ἡ δ' ἄμπελος τραγᾷ· τοῦτο δὲ μάλιστα αὐτῇ ἐστι πρὸς τὸ ἀστροβολεῖσθαι, ἢ ὅταν ὑπὸ πνευμάτων βλαστοκοπηθῇ, ἢ ὅταν ἡ ἐργασία συμπαθῇ, ἢ τρίτον ὕπτια τμηθῇ. ῥοὰς δὲ γίνεται, ὃ καλοῦσί τινες ψίνεσθαι, ὅταν ἐπινιφθῇ κατὰ τὴν ἀπάνθησιν· ἢ ὅταν κρεατωθῇ. τὸ δὲ πάθος ἐστὶν, ὥστε ἀπορρεῖν τὰς ῥᾶγας, καὶ τὰς ὑπομενούσας εἶναι μικράς. ἔνια δὲ καὶ ῥιγώσαντα νοσεῖ, καθάπερ ἡ ἄμπελος· ἀμβλοῦνται γὰρ οἱ ὀφθαλμοὶ τῆς προτόμου. καὶ πάλιν ὑπερθερμανθέντα· ζητεῖ γὰρ καὶ τούτων τὴν συμμετρίαν, ὥσπερ καὶ τῆς τροφῆς. ὅλως δὲ, πᾶν τὸ παρὰ φύσιν, ἐπικίνδυνον. μεγάλα δὲ ξυμβάλλεται καὶ τὰ τραύματα, καὶ αἱ πληγαὶ τῶν περισκαπτόντων, εἰς τὸ μὴ φέρειν τὰς μεταβολὰς ἢ καυμάτων ἢ χειμώνων. ἀσθενὲς γὰρ ὂν διὰ τὴν ἕλκωσιν, καὶ τὸν πόνον, δυσχερέστατόν ἐστι ταῖς ὑπερβολαῖς. φανερὸν δὲ, ὥς τινες οἴονται, τὰ πλεῖστα τῶν νοσημάτων ἀπὸ πληγῆς γίνεται. καὶ γὰρ τὰ ἀστροβόλητα καλούμενα, καὶ τὰ σφακελίζοντα, διὰ τὸ ἀπὸ ταύτης εἶναι τῶν ῥιζῶν τὸν τόπον. οἴονται δὲ καὶ δύο ταύτας εἶναι μόνας νόσους· οὐ μὴν ἀλλὰ τοῦτό γ' οὐκ ἄγαν ὁμολογούμενόν ἐστι. πάντων † δ' εὐσθενέστατον ἡ μηλέα ἡ ἠρινὴ καὶ τούτων ἡ γλυκεῖα. ἔνιαι δὲ πηρώσεις οὐκ εἰς φθορὰν γίνονταί τινων, ἀλλ' εἰς ἀκαρπίαν· οἷον ἐάν τις τῆς πίτυος ἀφέλῃ τὸ ἄκρον, ἢ τοῦ φοίνικος, ἄκαρπα γίνεσθαι ἄμφω δοκεῖ, καὶ οὐχ ὅλως ἀναιρεῖσθαι. γίνονται δὲ νόσοι καὶ τῶν καρπῶν αὐτῶν, ἐὰν μὴ κατὰ καιρὸν τὰ πνεύματα καὶ τὰ οὐράνια γίνηται. συμβαίνει γὰρ ὅτε μὲν ἀποβάλλειν, γινομένων ἢ μὴ γινομένων ὑδάτων· οἷον τὰς συκᾶς ὅτε χείρους γίνεσθαι, σηπομένας καὶ καταπνιγομένας, ἢ πάλιν ἀναξηραινομένας, κατὰ τὸ δέον. 16

ἰλύι, τὰς μὲν ὠμάς, τὰς δὲ χλωρὰς καθεψημένας. ἡ δὲ κεφαλὴ ὁμοία τῇ τῶν κρομμύων, καὶ τῇ τῶν γητείων, συμπεφυκυῖα πως ἐκ πλειόνων εἰς ταὐτό· καὶ πλατεῖα κάτωθεν, ἔχουσα κάτω λόφον ὑπέρυθρον. συμβαίνει δ᾽ αὖ ἴδιον ἐπὶ τῶν ῥιζῶν † ἐάν· αὐαίνονται κατ᾽ ἐνιαυτόν, καὶ ἡ τῶν ἄνωθεν πάλιν ἡ γένεσις. τῶν μὲν οὖν χοίνων τοιαύτη τις φύσις. ἴδια δὲ καὶ ὁ βάτος, καὶ ὁ παλίουρος, ἔνυδρά πως ὄντα, ἢ πάρυδρα, καθάπερ ἐνιαχοῦ. φανεραὶ δὲ χεδὸν καὶ αἱ τούτων διαφοραί· περὶ ἀμφοῖν γὰρ εἴρηται πρότερον. τῶν δὲ νήσων τῶν πλωτῶν τῶν ἐν ὀρχομενῷ, τὰ μὲν μεγέθη παντοδαπὰ τυγχάνει· τὸ δὲ μέγιστον αὐτῶν, ὅσον ὅλον τριῶν σταδίων τὴν περίμετρον. ἐν αἰγύπτῳ δὲ μεγάλας σφόδρα συνίστασθαι, ὥστε καὶ ὗς ἐν αὐταῖς ἐγγίνεσθαι πολλούς, οὓς καὶ κυνηγετοῦσι διαβαίνοντες. καὶ περὶ μὲν ἐνύδρων ταῦτ᾽ εἰρήσθω.

14 Περὶ δὲ βραχυβιότητος φυτῶν καὶ δένδρων, τῶν μὲν ἐνύδρων ἐπὶ τοσοῦτον ἔχομεν, ὡς δ᾽ αὖ καθόλου λέγοντες, ὅτι βραχυβιώτερα τῶν χερσαίων ἐστί, καθάπερ καὶ τὰ ζῷα. τοὺς δὲ καθ᾽ ἕκαστα βίους ἱστορῆσαι δεῖ τῶν χερσαίων. τὰ μὲν οὖν ἄγρια φασὶν οὐδεμίαν ἔχειν, ὡς ἂν ἀποιεῖν οἱ ὀρεοτύποι, διαφοράν, ἀλλὰ πάντα εἶναι μακρόβια, καὶ οὐθὲν βραχύβιον· αὐτὸ μὲν τοῦτο ἴσως ἀληθὲς λέγοντες (ἅπαντα γὰρ ὑπερτείνει πολὺ τῇ τῶν ἄλλων ζωῇ) οὐ μὴν ἀλλ᾽ ὅμως ἐστὶ τὰ μὲν μᾶλλον, τὰ δ᾽ ἧττον μακρόβια, καθάπερ ἐν τοῖς ἡμέροις. ποῖα δὲ ταῦτα, σκεπτέον. τὰ δὲ ἥμερα, φανερῶς διαφέρει τῷ τὰ μὲν εἶναι μακρόβια, τὰ δὲ βραχύβια. ὡς δ᾽ ἁπλῶς εἰπεῖν, τὰ ἄγρια τῶν ἡμέρων μακροβιώτερα· καὶ ὅλως, τῷ γένει τὰ ἀντιδιῃρημένα καθ᾽ ἕκαστον, οἷον κότινος ἐλαίας, καὶ ἀχρὰς ἀπίου, ἐρινεὸς συκῆς. ἰσχυρότερα γάρ, καὶ πυκνότερα, καὶ ἀγονώτερα τοῖς περικαρπίοις. τῇ δὲ μακροβιότητι μαρτυροῦσιν ἐπί γε ἐνίων καὶ ἡμέρων καὶ ἀγρίων, καὶ αἱ παραδεδομέναι φῆμαι παρὰ τῶν μυθολόγων· ἐλαίαν μὲν γὰρ λέγουσι τὴν ἀθήνησι, φοίνικα δὲ τὸν ἐν δήλῳ, κότινον δὲ τὸν ἐν ὀλυμπίᾳ, ἀφ᾽ οὗ ὁ στέφανος· φηγοὺς δὲ τὰς ἐν ἰλίῳ, τὰς ἐπὶ τοῦ ἴλου μνήματος. τινὲς δέ φασι, καὶ τὴν ἐν δελφοῖς πλάτανον ἀγαμέμνονα φυτεῦσαι, καὶ τὴν ἐν καφύαις τῆς ἀρκαδίας. ταῦτα μὲν οὖν ὅπως ἂν ἔχῃ, τάχ᾽ ἂν ἕτερος εἴη λόγος. ὅτι δ᾽ ἐστὶ μεγάλη διαφορὰ τῶν δένδρων, φανερόν. μακρόβια μὲν γὰρ τά τε εἰρημένα, καὶ ἕτερα πλείω· βραχύβια δέ, τὰ τοιαῦτα ὁμολογουμένως· οἷον, ῥοιά, συκῆ, μηλέα· καὶ τούτων ἡ ἠρινὴ μᾶλλον. καὶ ἡ γλυκεῖα τῆς ὀξείας, ὥσπερ τῶν ῥοιῶν ἡ ἀπύρηνος. βραχύβια δὲ καὶ ἀμπέλων ἔνια γένη, καὶ μάλιστα τὰ πολύκαρπα. δοκεῖ δὲ τὰ πάρυδρα βραχυβιώτερα τῶν ἐν τοῖς ξηροῖς εἶναι· οἷον ἰτέα, λεύκη, ἀκτῆ, αἴγειρος. ἔνια δὲ γηράσκει μὲν καὶ σήπεται ταχέως, παραβλαστάνει δὲ πάλιν ἐκ τῶν αὐτῶν, ὥσπερ καὶ αἱ δάφναι, καὶ μηλέαι, καὶ ῥοαί, καὶ τῶν φιλύδρων τὰ πολλά· περὶ ὧν καὶ σκέψαιτ᾽ ἄν τις, πότερα ταὐτὰ δεῖ λέγειν, ἢ ἕτερα. καὶ καθάπερ εἴ τις τὸ στέλεχος ἀποκόψας, ὥσπερ ποιοῦσιν οἱ γεωργοί, πάλιν ἀναθρέψειε τοὺς βλαστούς, ἀεὶ καὶ εἰ καλῶς ἐκκόψειεν ἄχρι τῶν ῥιζῶν, καὶ ἐπικαύσειεν (καὶ γὰρ δὴ ταῦτα ποιοῦσιν, ὅτε δὲ καὶ ἐπὶ τοῦ αὐτομάτου συμβαίνει) πότερα δὲ τοῦτο ταὐτὸ δεῖ λέγειν, ἢ ἕτερον. ἡ μὲν γὰρ ἀεὶ τὰ μέρη τὰς αὐξήσεις καὶ φθίσεις φαίνεται παραλλάττουσα, καὶ ἔτι τὰς διαδοχὰς τὰς ὑπ᾽ αὐτῶν, ταύτῃ μὲν ἂν δόξειεν ταὐτὸν εἶναι. τί γὰρ ἂν ἐπὶ τούτων ἢ ἐκείνων διαφέροι; ᾗ δ᾽ ὥσπερ οὐσία καὶ φύσις τοῦ δένδρου, μάλιστ᾽ ἂν φαίνοιτο τὸ στέλεχος, ὅταν μεταλλάττῃ τοῦτο, κἂν τὸ ὅλον ἕτερον ὑπολάβοι τις. εἰ μὴ ἄρα διὰ τὸ ἐκ τῶν αὐτῶν ἀρχῶν εἶναι, αὐτὸ θετέον. καίτοι πολλὰ καὶ συμβαίνει, καὶ τὰς ῥίζας ἑτέρας εἶναι, καὶ μεταβάλλειν τῶν μὲν σαπεισῶν, τῶν δ᾽ ἐξ ἀρχῆς βλαστανουσῶν. ἐπεὶ ὥς γέ τινές φασι τὰς ἀμπέλους μακροβιωτάτους εἶναι, τῷ μὴ φύειν ἑτέρας, ἀλλ᾽ ἐξ αὐτοῦ ἀεὶ συναναπληροῦσθαι, γελοῖον ἂν ἴσως δικαιοτάτη σύγκρισις, ἐὰν † μένῃ τὸ στέλεχος. αὕτη γὰρ οἷον ὑπόθεσις καὶ φύσις δένδρου. τοῦτο μὲν οὖν ὁποτέρως ποτὲ λεκτέον, οὐδὲν ἂν διενέγκαι πρὸς τὰ νῦν.

15 Τάχα δ᾽ ἂν εἴη μακροβιώτατον, τὸ πάντως δυνάμενον αὐταρκεῖν· ὥσπερ ἡ ἐλαία, καὶ τῷ στελέχει, καὶ τῇ παραβλαστήσει, καὶ τῷ δυσωλέθρους ἔχειν τὰς ῥίζας. δοκεῖ δὲ ὁ βίος τῆς γε μιᾶς εἶναι, καθ᾽ ὃν στέλεχος ἤδη τὴν ἀρχὴν τεθὲν μέτρον, ἀναμετρεῖν τὸν χρόνον μάλιστα περὶ ἔτη διακόσια. εἰ δ᾽ ὥσπερ ἐπὶ τῶν ἀμπέλων λέγουσί τινες, ὡς περιαιρουμένων τῶν ῥιζῶν κατὰ μέρος, δύναται διαμένειν τὸ στέλεχος, καὶ ἡ ὅλη φύσις ὁμοία καὶ ὁμοιοφόρος ὁποσονοῦν χρόνον, μακροβιώτατον ἂν εἴη πάντων. φασὶ δὲ δεῖν οὕτω ποιεῖν, ὅταν ἤδη δοκῇ καταφθείρεσθαι, κλήματά τε ἐπιβάλλειν, καὶ καρποῦσθαι ἐνιαυτόν· μετὰ δὲ ταῦτα κατασκάψαντα ἐπὶ θάτερα τῆς ἀμπέλου, περικαθᾶραι πάσας τὰς ῥίζας· εἶτ᾽ ἐμπλή-

δέ, καθ' ὃν ἡ πλατεῖα καλαμεία καταφαίνεται· ἔστι δ' οὗτος ποταμός, ῥέων ἐκ Λεβαδείας. κάλλιστος δὲ δοκεῖ γίνεσθαι πάντων, περὶ τὴν ὀξεῖαν καλουμένην καμπήν. ὁ δὲ τόπος οὗτός ἐστιν ἐμβολὴ τοῦ Κηφισοῦ. γειτνιᾷ δ' αὐτῷ πεδίον εὔγειον, ὃ προσαγορεύουσιν ἱππίαν. πρόσβορρος δὲ τόπος ἄλλος τῆς ὀξείας καμπῆς ἐστίν, ὃν καλοῦσι Βουδορίαν. φύεσθαι δέ φασι καὶ περὶ ταύτην εὐγενῆ τὸν κάλαμον. τὸ δ' ὅλον, οὗ ἂν ᾖ βαθύγειον καὶ εὔγειον χωρίον, καὶ ἰλυῶδες, καὶ ὁ Κηφισὸς ἀναμίγνυται, καὶ πρὸς τούτοις βάθυσμα τῆς λίμνης, κάλλιστον γίνεσθαι κάλαμον. περὶ γὰρ τὴν Βουδορίαν, ταῦτα πάντα ὑπάρχει. ὅτι δὲ ὁ Κηφισὸς μεγάλην ἔχει ῥοπὴν εἰς τὸ ποιεῖν καλὸν κάλαμον, σημεῖον ἔχουσι· καθ' ὃν γὰρ τόπον ὁ μέλας καλούμενος ἐμβάλλει, βαθείας οὔσης τῆς λίμνης, καὶ τοῦ ἐδάφους εὐγείου καὶ ὑλώδους, ἢ ὅλως μὴ φύεσθαι, ἢ φαῦλον. ἡ μὲν οὖν γένεσις, καὶ φύσις τοῦ αὐλητικοῦ, καὶ ἡ κατεργασία, καὶ τίνας ἔχει διαφορὰς πρὸς τοὺς ἄλλους, ἱκανῶς εἰρήσθω.

[margin: λὸν] [margin: † ὀξεῖαν καμπὴν ἢ τὴν]

Γένη δ' οὐ ταῦτα μόνον, ἀλλὰ πλείω τοῦ καλάμου τυγχάνει, φανερὰς ἔχοντα τῇ αἰσθήσει διαφοράς. ὁ μὲν γὰρ πυκνὸς καὶ τῇ σαρκὶ καὶ τοῖς γόνασιν, ὁ δὲ μανὸς καὶ ὀλιγογόνατος. καὶ ὁ μὲν κοῖλος, ὃν καλοῦσί τινες σύριγγα· οὐδὲν γάρ, ὡς εἰπεῖν, ἔχει ξύλου καὶ σαρκός· ὁ δὲ στερεός, καὶ συμπλήρης μικροῦ. καὶ ὁ μὲν βραχύς, ὁ δὲ εὐαυξὴς καὶ ὑψηλὸς καὶ παχύς· ὁ δὲ λεπτὸς καὶ πολύφυλλος, ὁ δὲ ὀλιγόφυλλος καὶ μονόφυλλος. ὅλως δὲ πολλαί τινές εἰσι διαφοραὶ κατὰ τὰς φύσεις, καὶ τὰς χρείας. ἕκαστος γὰρ πρὸς ἕκαστα χρήσιμος. ὀνόμασι δ' † ἄλλοις προσαγορεύουσι. κοινότατον δέ πως ὁ δόναξ, ὃν καὶ λοχμωδέστατόν γε φασὶν εἶναι, καὶ μάλιστα φύεσθαι παρὰ τοὺς ποταμοὺς καὶ τὰς λίμνας. διαφέρειν δ' ὅμως παντὸς καλάμου πολύ, τόν τε ἐν τῷ ξηρῷ, καὶ τὸν ἐν τοῖς ὕδασι φυόμενον. ἴδιος δὲ καὶ ὁ τοξικός, ὃν δὴ Κρητικόν τινες καλοῦσιν· ὀλιγογόνατος † δέ, σαρκωδέστερος δὲ πάντων, καὶ μάλιστα κάμψιν δεχόμενος, καὶ ὅλως ἄγεσθαι δυνάμενος, ὡς ἂν θέλῃ τις, θερμαινόμενος. ἔχουσι δέ, ὥσπερ ἐλέχθη, καὶ κατὰ τὰ φύλλα μεγάλας διαφοράς, οὐ πλήθει καὶ μεγέθει μόνον, ἀλλὰ καὶ χροιᾷ· ποικίλος γὰρ ὁ λακωνικὸς καλούμενος. ἔτι δὲ αὐτῇ τῇ θέσει, καὶ προσφύσει· κάτωθεν γὰρ ἔνιοι πλεῖστα φέρουσι τῶν φύλλων, αὐτὸς δὲ ὥσπερ ἐκ θάμνου πέφυκε. σχεδὸν δέ τινές φασι, καὶ τῶν λιμναίων ταύτην εἶναι τὴν διαφοράν, πολύφυλλον καὶ ὀλιγόφυλλον, καὶ παρόμοιον ἔχειν τρόπον τινὰ τὸ φύλλον ἐπὶ τοῦ κυπαίρου, καὶ φλεῶ, καὶ βρύου, καὶ βουτόμου. σκέψασθαι δὲ τοῦτο. γένος δέ τι καλάμου φύεται καὶ ἐπίγειον· οὐκ εἰς ὀρθόν, ἀλλ' ἐπὶ γῆς ἀφίησι τὸν καυλόν, ὥσπερ ἡ ἄγρωστις, καὶ οὕτω ποιεῖται τὴν αὔξησιν. ἔστι δὲ ὁ μὲν ἄρρην στερεός, ὁ δὲ θῆλυς κοῖλος. διαιροῦσι γὰρ καὶ τοῦτον τῷ ἄρρενι καὶ θήλει. φύονται δ' ἐξ ἑνὸς πυθμένος πολλοί, καὶ ἡ λοχμώδης· τὸ δὲ φύλλον οὐ μακρόν, ἀλλ' ὅμοιον τῇ ἰτέᾳ· ἐπὶ μεγέθει μεγάλοι, καὶ εὐπαγεῖς, ὥστε ἀκοντίοις χρῆσθαι. φύονται δὲ οὗτοι περὶ τὸν Ἀκασίνην ποταμόν. ἅπας δὲ κάλαμος ῥίζωτος· καὶ τεμνόμενος, καὶ ἐπικαιόμενος, κάλλιον βλαστάνει. ἔτι δὲ παχύρριζος, καὶ πολύρριζος· διὸ καὶ δυσώλεθρος. ἡ δὲ ῥίζα γονατώδης, ὥσπερ ἡ τῆς ἀγρώστιδος. πλὴν οὐ † παντὸς ὁμοίως. ἀλλὰ περὶ μὲν καλάμου ἱκανῶς εἰρήσθω.

[margin: ἔχον] [margin: γὲ] [margin: ἄλλοι ἄλλως] [margin: μὲν] [margin: πάντως]

13 Κατάλοιπον δέ, ἅπερ, ὡς ἂν ἐκ τοῦ γένους τούτου, περὶ σχοίνου· καὶ γὰρ καὶ τοῦτο τῶν ἐνύδρων θετέον. ἔστι δὲ αὐτοῦ τρία εἴδη, καθάπερ τινὲς διαιροῦσιν· ὅ, τε ὀξὺς καὶ ἄκαρπος, ὃν δὴ καλοῦσιν ἄρρενα· καὶ ὁ κάρπιμος, ὃν μελαγκρανισμόν καλοῦμεν, διὰ τὸ μέλανα τὸν καρπὸν ἔχειν· παχύτερος δὲ οὗτος, καὶ σαρκωδέστερος. καὶ τρίτος, τῷ μεγέθει καὶ τῇ παχύτητι καὶ εὐσαρκίᾳ διαφέρων, ὁ καλούμενος ὁλόσχοινος. ἡ μὲν οὖν μελαγκρανίς, αὐτὸς καθ' αὐτόν· ὁ δ' ὀξύς, καὶ ὁλόσχοινος, ἐκ τοῦ αὐτοῦ φύονται, ὃ καὶ ἄτοπον φαίνεται, καὶ θαυμαστὸν ἐνιδεῖν, ὅλης κοσμηθείσης τῆς σχοινίας. οἱ πολλοὶ γὰρ ἦσαν ἄκαρποι, πεφυκότες ἐκ τοῦ αὐτοῦ· κάρπιμοι δὲ ὀλίγοι. τοῦτο μὲν οὖν ἐπισκεπτέον. ἐλάττους γὰρ ὅλως οἱ καρποί. πρὸς γὰρ τὰ πλέγματα χρησιμώτερος ὁ ὁλόσχοινος, διὰ τὸ σαρκῶδες καὶ μαλακόν. πέρισσα δ' ὅλως ὁ κάρπιμος, ἐξ αὐτοῦ τοῦ γραμμώδους ἐξοιδήσας, κάτω ἐκτίκτει καθάπερ ᾠά. πρὸς μὲν γὰρ ἀρχῇ γραμμώδεις ἔχει τοὺς περικαρπίους μίσχους, ἐφ' ὧν ἄκρων παραπλησίως τὰς τῶν ἀγγείων ἔχει στρογγυλότητας, διαχαλάσας. ἐν τούτοις δὲ τὸ σπερμάτιον ἀκιδῶδές ἐστι, μέλαν, ἑκάστῳ προσεμφερὲς ἐπὶ τῆς ἀστερίσκης· πλὴν ἀμαυρότερον. ῥίζαν δ' ἔχει μακράν, καὶ παχυτέραν πολὺ τοῦ χαμαί. αὐτὴ δὲ αὐαίνεται καθ' ἕκαστον ἐνιαυτόν, εἶθ' ἑτέρα πάλιν ἐκ τῆς κεφαλῆς τῆς σχοίνου καθίεται. τοῦτο δὲ καὶ ἐν τῷ ἔργῳ φανερὸν

[margin: -μα] [margin: τὰ]

βατοῦσιν. καλλίω δὲ καὶ μείζω τῶν ἐν ἀμφοῖν φυομένων ἀεὶ τὰ ἐν τῷ ὕδατι γίνεσθαί φασι.
φύεσθαι δ' ἔνια τούτων καὶ ἐπὶ τῶν πλοάδων· οἷον τὸ κύπειρον, καὶ τὸ βούτομον, καὶ τὸ φλεώς,
τοῦ ὥστε πάντα τὰ μέρη ταῦτα κατέχειν. ἐδώδιμα δ' ἐστὶ τῶν ἐν τῇ λίμνῃ τάδε· ἡ μὲν σίδη, καὶ
αὐτὴ, καὶ τὰ φύλλα, τοῖς προβάτοις· ὁ δὲ βλαστὸς, τοῖς ὑσίν· ὁ δὲ καρπὸς, τοῖς ἀνθρώποις. τοῦ
δὲ φλεὼ, καὶ τῆς τίφης, καὶ τοῦ βουτόμου, τὸ πρὸς ταῖς ῥίζαις ἁπαλὸν, ὃ μάλιστα ἐσθίει τὰ παι-
δία. ῥίζα δ' ἐδώδιμος ἡ τοῦ φλεὼ μόνη τοῖς βοσκήμασιν. ὅταν δὲ αὐχμὸς ᾖ, καὶ μὴ γίνη-
ται τὸ ὑπὲρ κεφαλὴν ὕδωρ, ἅπαντα αὐχμεῖ τὰ ἐν τῇ λίμνῃ· μάλιστα δὲ ὁ κάλαμος, ὑπὲρ οὗ
12 καὶ λοιπὸν εἰπεῖν. ὑπὲρ γὰρ τῶν ἄλλων χεδὸν εἴρηται. Τοῦ δὴ καλάμου δύο φασὶν εἶναι
γένη· τόν τε αὐλητικὸν, καὶ τὸν ἕτερον. ἓν γὰρ εἶναι τὸ γένος τοῦ ἑτέρου, διαφέρειν δὲ ἀλλήλων
ἰσχύϊ, καὶ λεπτότητι, καὶ ἀσθενείᾳ. καλοῦσι δὲ τὸν μὲν ἰσχυρὸν καὶ παχὺν, χαρακίαν· τὸν δ'
ἕτερον, πλόκιμον. φύεσθαι δὲ τὸν μὲν πλόκιμον ἐπὶ τῶν πλοάδων, τὸν δὲ χαρακίαν ἐπὶ τοῖς
κώμυσι. κώμυθας δὲ καλοῦσιν, οὗ ἂν ᾖ συνηθροισμένος κάλαμος, καὶ συμπεπλεγμένος
ταῖς ῥίζαις. τοῦτο δὲ γίνεται, καθ' οὓς ἂν τόπους τῆς λίμνης εὔγειον ἢ χωρίον. γίνεσθαι δέ ποτε
τὸν χαρακίαν καὶ ὁ αὐλητικὸς, μακρότερον μὲν τοῦ ἄλλου χαρακίου, σκωληκόβρωτον δέ. τοῦ-
τον μὲν οὖν ταύτας λέγουσι τὰς διαφοράς. περὶ δὲ τοῦ αὐλητικοῦ, τὴν μὲν φύεσθαι δι' ἐνναε-
τηρίδος, ὥσπερ τινὲς φασί· καὶ ταύτην εἶναι τὴν τάξιν, οὐκ ἀληθές. ἀλλὰ τὸ μὲν ὅλον αὐξη-
θείσης γίνεται τῆς λίμνης. ὅτι δὲ τοῦτο δοκεῖ συμβαίνειν ἐν τοῖς πρότερον χρόνοις, μάλιστα δι'
ἐνναετηρίδος, καὶ τὴν γένεσιν τοῦ καλάμου ταύτην ἐποίουν, τὸ συμβεβηκὸς ὡς τάξιν λαμ-
βάνοντες. γίνεται δ' ὅταν ἐπομβρίας γενομένης διαμείνῃ τὸ ὕδωρ διετῆ τοὐλάχιστον ἄν,
πλείω καὶ καλλίω. τοῦτο δὲ μάλιστα μνημονεύουσι, γεγονότος τῶν ὑδρῶν χρόνων, ὅτε συνέ-
βη τὰ περὶ Χαιρώνειαν. πρὸ τούτου γὰρ ἔφασαν ἔτι πλεῖον βαθυνθῆναι τὴν λίμνην· μετὰ δὲ
ταῦτα ὕστερον ὡς ὁ λοιμὸς ἐγένετο σφοδρὸς, πληθῦναι μὲν αὐτὴν· οὐ μένοντος δὲ τοῦ ὕδα-
ὅτω γίνεσθαι τος, ἀλλ' ἐκλελοιπότος χειμῶνος, † οὐ γενέσθαι τὸν κάλαμον. φασὶ γὰρ, καὶ δοκεῖ βαθυνο-
μένης τῆς λίμνης μένοντα τὸν ἐπιόντα ἐνιαυτὸν, ἁδρύνεσθαι, καὶ γίνεσθαι τὸν μὲν ἁδρυνθέν-
τα ζευγίτην. ᾧ δ' ἂν μὴ συμπαραμείνῃ τὸ ὕδωρ, βομβυκίαν. τὴν μὲν οὖν γένεσιν, τοιαύτην.
διαφέρει δὲ τῶν ἄλλων καλάμων, ὡς καθόλου λαβεῖν, εὐτροφίᾳ τινὶ τῆς φύσεως· εὐπαθέστερος
γὰρ ἐστὶ, καὶ εὐσαρκότερος, καὶ ὅλως δὲ θῆλυς τῇ προσόψει. καὶ γὰρ τὸ φύλλον πλατύτερον
ἔχει, καὶ λευκότερον· τὴν δὲ ἀνθήλην ἐλάττω τῶν ἄλλων. τινὰς δὲ ὅλως οὐκ ἔχειν, οὓς καὶ προ-
σαγορεύουσιν εὐνούχους, ἐξ ὧν ἄριστα μέν φασί τινες γίνεσθαι τὰ ζεύγη. κατορθοῦν δὲ ὀλίγα
παρὰ τὴν ἐργασίαν. τὴν δὲ τομὴν ὡραίαν εἶναι, πρὸ Ἀντιγενίδου μὲν, ἡνίκ' ηὔλουν ἀπλάστως,
ὑπ' ἀρκτοῦρον, Βοηδρομιῶνος μηνός. τὸν γὰρ οὕτω τμηθέντα, συχνοῖς μὲν ἔτεσιν ὕστερον γί-
νεσθαι χρήσιμον, καὶ προκαταυλήσεως δεῖσθαι πολλῆς. συμμύειν δὲ τὸ στόμα τῶν γλωττῶν,
ἰω ὃ πρὸς τὴν διαβοείαν εἶναι χρήσιμον. ἐπεὶ δὲ εἰς τὴν πλάσιν μετέβησαν, ἡ τομὴ μετεκινήθη.
τέμνουσι γὰρ δὴ νῦν τοῦ σκιρροφοριῶνος καὶ ἑκατομβαιῶνος, ὡς περὶ τὰς τροπὰς μικρὸν,
ἢ ὑπὸ τροπάς. γίνεσθαι δέ φασιν τριενῆ τε χρήσιμον, καὶ καταυλήσεως βραχείας δεῖσθαι
καὶ κατασπάσματα τὰς γλώττας ἔχειν. τοῦτο δὲ ἀναγκαῖον τοῖς μετὰ πλάσματος αὐλοῦσι.
τοῦ μὲν οὖν ζευγίτου ταύτας εἶναι τὰς ὥρας τῆς τομῆς. ἡ δ' ἐργασία γίνεται τὸν αὐτὸν τρό-
πον· ὅταν συλλέξωσι, τιθέασιν ὑπαίθριον τοῦ χειμῶνος ἐν τῷ λέμματι. τοῦ δ' ἦρος περι-
καθάραντες, καὶ ἐκτρίψαντες, εἰς τὸν ἥλιον ἔθεσαν. τοῦ θέρους δὲ, μετὰ ταῦτα συντεμόν-
τες εἰς τὰ μεσογόνια, πάλιν ὑπαίθριον τιθέασι χρόνον τινά· προσλείπουσι δὲ τῷ μεσογονα-
τίῳ τὸ πρὸς τοὺς βλαστοὺς γόνυ. τὰ δὲ μήκη τὰ τούτων οὐ γίνεται διπαλαιστοῦ ἐλάττω. βέλτι-
στα μὲν οὖν εἶναι, τῶν μεσογονίων πρὸς τὴν ζευγοποιίαν ὅλου τοῦ καλάμου τὰ μέσα. μαλακώτα-
ἴχει τα δὲ ἔχει ζεύγη, τὰ πρὸς τοὺς βλαστούς· σκληρότατα δὲ, τὰ πρὸς τῇ ῥίζῃ. συμφωνεῖν δὲ τὰς
γλώττας τὰς ἐκ τοῦ αὐτοῦ μεσογονατίου, τὰ δὲ ἄλλα οὐ συμφωνεῖν. καὶ τὴν μὲν πρὸς τῇ ῥίζῃ
ἀριστερὰν εἶναι, τὴν δὲ πρὸς τοὺς βλαστοὺς δεξιάν. τμηθέντος δὲ δίχα τοῦ μεσογονατίου, τὸ στόμα τῆς
γλώττης ἑκατέρας γίνεται κατὰ τὴν τοῦ καλάμου τομήν. ἐὰν δὲ ἄλλον τινὰ τρόπον ἐργασθῶ-
σιν αἱ γλῶτται, ταύτας οὐ πάνυ συμφωνεῖν. ἡ μὲν οὖν ἐργασία, τοιαύτη. φύεται δὲ πλεῖ-
κηφισοῦ στος μὲν μεταξὺ τοῦ † κηφισοῦ, καὶ τοῦ μέλανος· οὗτος δὲ ὁ τόπος προσαγορεύεται πελεκα-
νία, τούτου δ' εἰσὶν ἄττα, χύτροι καλούμενοι, βαθύσματα τῆς λίμνης, ἐν οἷς κάλλιστόν φασι. γίνεσθαι
δὲ,

ἀριθμῷ πλείω· καὶ γὰρ τρία, καὶ τέτταρα. μέγιστον δ' ἀεὶ, τὸ πλησιέστερον τῆς ῥίζης, εἶτα τὰ μετὰ τοῦτο, καὶ τὰ ἄλλα κατὰ λόγον. τὸ δὲ παραβλάστημα ἐστὶν ὥσπερ καυλὸς ἄλλος, λεπτότερος μὲν τοῦ πρώτου, τὰ δὲ φύλλα καὶ τὸν καρπὸν ἔχων ὁμοίως. ὁ δὲ καρπὸς μέλας, καὶ σκληρὸς σφόδρα. ῥίζαν δὲ ἡλίκην καὶ ποίαν ἔχει, σκεπτέον. ἡ μὲν οὖν φύσις, τοιαύτη. φύεται μέν τοι ἀεὶ τοῦ καρποῦ πίπτοντος, καὶ ἀφίησι βλαστὸν τοῦ ἦρος. φασὶ δ' οἱ μὲν εἶναι ἐπέτειον, οἱ δὲ διαμένειν τὴν μὲν ῥίζαν εἰς χρόνον· ἐξ ἧς καὶ τὴν βλάστησιν εἶναι τοῦ καυλοῦ. τοῦτο μὲν οὖν σκεπτέον. ἴδιον δὲ παρὰ τῶν ἄλλων, τὸ τῶν παραφυομένων ἐκ τοῦ καυλοῦ τριχωδῶν. ὅτι γὰρ φύλλα ταῦτα, ὅτι καυλός. ἔπειτα τό γε τῆς παραβλαστήσεως, κοινὸν καλάμῳ καὶ ἄλλοις. τὰ μὲν οὖν ἴδια θεωρητέον ἰδίως δηλονότι· τὰ δὲ, κοινῶς. διαιρεῖν δὲ χρὴ καὶ κατὰ τόπους· οἷον, εἰ τὰ μὲν ἕλεια, τὰ δὲ λιμναῖα, τὰ δὲ ποτάμια μᾶλλον, ἢ καὶ κοινὰ πάντων τῶν τόπων. διαιρεῖν δὲ, ποῖα ταῦτα ἐν τῷ ὑγρῷ καὶ τῷ ξηρῷ φύεται, καὶ ποῖα ἐν τῷ ὑγρῷ μόνον· ὡς δ' ἁπλῶς εἰπεῖν, κοινότατα τὰ προειρημένα πρότερον. ἐν οὖν τῇ λίμνῃ τῇ περὶ ὀρχομενὸν τάδ' ἐστί· τὰ φυόμενα δένδρα καὶ ὑλήματα, ἰτέα, † ἐλαίαγνος, σίδη, κάλαμος, ὅ, τε αὐλητικὸς καὶ ὁ ἕτερος, κύπειρος, φλεὼς, τίφη· ἔτι γε μὴν † μίνανθος, καὶ καλούμενον ἴπνον. ὃ γὰρ προσαγορεύουσι λέμνα, τοῦτο πλεῖον τὸ καθ' ὕδατός ἐστι. τούτων δὲ τὰ μὲν ἄλλα γνώριμα· ἡ δὲ ἐλαίαγνος, καὶ ἡ σίδη, καὶ ἡ μίνανθος, καὶ ἡ ἰκάμη, καὶ τὸ ἴπνον, ἴσως μὲν φύεται καὶ ἑτέρωθι, προσαγορεύεται δὲ ἄλλοις ὀνόμασι. λεκτέον δὲ περὶ αὐτῶν. ἔστι δὲ ἡ μὲν ἐλαίαγνος, φυτὸν θαμνῶδες, καὶ παρόμοιον τοῖς † ἄλλοις· φύλλον δὲ ἔχει τῷ μὲν σχήματι παραπλήσιον, μαλακὸν δὲ, ὥσπερ αἱ μηλέαι, καὶ χνοῶδες. ἄνθος δὲ τῷ τῆς λεύκης ὅμοιον, ἔλαττον. καρπὸν δὲ οὐδένα φέρει. φύεται δὲ ὁ πλεῖστος μὲν ἐπὶ τῶν πλοάδων νήσων. εἰσὶ γάρ τινες καὶ ἐνταῦθα πλοάδες, ὥσπερ ἐν αἰγύπτῳ περὶ τὰ ἕλη, καὶ ἐν θεσπρωτίδι, καὶ ἐν ἄλλαις λίμναις· ἐλάττων δὲ καθ' ὕδατος. ἡ μὲν οὖν ἐλαίαγνος τοιοῦτον. ἡ δὲ σίδη, τὴν μὲν μορφὴν ἐστὶν ὁμοία τῇ μήκωνι· καὶ γὰρ τὸ ἄνω κυτινῶδες τοιοῦτον ἔχει, πλὴν μεῖζον, ὡς κατὰ λόγον. μεγέθει δὲ ὅλος ὁ ὄγκος, ἡλίκον μῆλον. ἔστι δ' οὐ γυμνὸν. ἀλλὰ ὑμένες περὶ αὐτὴν λευκοί· καὶ ἐπὶ τούτοις ἔξωθεν φύλλα ποώδη, παραπλήσια τοῖς τῶν ῥόδων, ὅταν ἐν κάλυξιν ὦσι, τέτταρα τὸν ἀριθμόν. ἀνοιχθεῖσα δὲ, τοὺς κόκκους ἐρυθροὺς μὲν ἔχει, τῷ σχήματι δ' οὐχ ὁμοίους ταῖς ῥόαις, ἀλλὰ περιφερεῖς. μικροὺς δὲ, καὶ οὐ πολλῷ μείζους † κέγχρου. τὸν δὲ χυλὸν ὑδατώδη τινὰ, καθάπερ ὁ τῶν πυρῶν. ἁδρύνονται δὲ τοῦ θέρους. μίσχον δὲ ἔχει μικρόν. τὸ δὲ ἄνθος ὅμοιον ῥόδου κάλυκι, μεῖζον δὲ, καὶ σχεδὸν διπλάσιον τῷ μεγέθει. τοῦτο μὲν οὖν, καὶ τὸ φύλλον, ἐπὶ τοῦ ὕδατος· μετὰ δὲ ταῦτα ὅταν ἀπανθήσῃ, καὶ συστῇ τὸ κατακάρπιον, κατακλίνεσθαί φασιν εἰς τὸ ὕδωρ μᾶλλον· τέλος δὲ, συνάπτειν ἐπὶ τῇ γῇ, καὶ τὸν καρπὸν ἐκχεῖν. καρποφορεῖν δὲ τῶν ἐν τῇ λίμνῃ † τοῦτο, καὶ τὸ βούτομον, καὶ τὸν φλεών. ἔστι δὲ τοῦ βουτόμου μέλαινα, τῷ δὲ μεγέθει παραπλήσιον τῷ τῆς σίδης· τοῦ δὲ φλεὼ τὴν καλουμένην † ἀνθήλην, ᾗ χρῶνται πρὸς τὰς κονίας. τοῦτο δ' ἐστὶν οἷον πλακουντῶδές τι μαλακὸν, ἐπίπυρον. ἔτι δὲ καὶ τοῦ φλεὼ, καὶ τοῦ βουτόμου, τὸ μὲν θῆλυ ἄκαρπον. χρήσιμον δὲ πρὸς τὰ † πλόκανα· τὸ δὲ ἄρρεν ἀχρεῖον. περὶ δὲ τῆς ἴκμης, καὶ τοῦ † μινυάνθους, καὶ τοῦ ἴπνου σκεπτέον. ἰδιώτατον δὲ τούτων ἐστὶν ἡ τίφη, καὶ † τὸ ἄφυλλον εἶναι, καὶ τῷ μὴ πολύρριζον τοῖς ἄλλοις ὁμοίως. ἐπεὶ τἆλλα οὐχ ἧττον εἰς τὰ κάτω τὴν ὁρμὴν ἔχει, καὶ τὴν δύναμιν. μάλιστα δὲ τὸ κύπειρον, ὥσπερ καὶ ἡ ἄγρωστις. διὸ καὶ δυσώλεθρα καὶ ταῦτα, καὶ ὅλον ἅπαν τὸ γένος τὸ τοιοῦτον. ἡ δὲ ῥίζα τοῦ κυπείρου πολύ τι τῶν ἄλλων παραλλάττει τῇ ἀνωμαλίᾳ, τῷ τὸ μὲν εἶναι παχύ τι καὶ σαρκῶδες αὐτῆς, τὸ δὲ λεπτὸν καὶ ξυλῶδες. καὶ τῇ βλαστήσει, καὶ τῇ γενέσει· φύεται γὰρ ἀεὶ τοῦ πρεμνώδους ἑτέρα λεπτὴ, κατὰ τὸ πλάγιον· εἶτ' ἐν ταύτῃ συνίσταται πάλιν τὸ σαρκῶδες, ἀφ' οὗ ὁ καυλὸς, ἐν ᾧ καὶ ὁ βλαστός. ἀφίησι δὲ καὶ εἰς βάθος τὸν αὐτὸν τρόπον ῥίζας· διὸ καὶ πάντων μάλιστα δυσώλεθρον, καὶ ἔργον ἐξελεῖν. σχεδὸν δὲ παραπλησίως φύεται ἡ ἄγρωστις ἐκ τῶν γονάτων· αἱ γὰρ ῥίζαι γονατώδεις, ἐξ ἑκάστου δὲ ἀφίησιν ἀνάβλαστον καὶ κάτωθεν ῥίζαν. ὡσαύτως δὲ καὶ ἡ ἄκανθα καινώδης· ἀλλ' οὐ καλαμώδης, οὐδὲ γονατώδης ἡ ῥίζα ταύτης. ταῦτα μὲν οὖν διὰ τὴν ὁμοιότητα πλείω εἴρηται. φύεται δ' ἐν ἀμφοῖν καὶ ἐν τῇ γῇ καὶ ἐν τῷ ὕδατι ἰτέα, κάλαμος ὁ αὐλητικὸς, κύπειρον, τίφη, φλεὼς, βούτομος. ἐν δὲ τῷ ὕδατι μόνον σίδη. περὶ γὰρ τῆς τίφης ἀμφισ-

βητο

ἐλαία, ἄγνος, † μινάνθος, ἰκάμη, καὶ τὸ καλ. † ἄγνοις

κέγχρου

τρία, τοῦτο μὲν, καὶ † αὐθήλην, Gaz. anthellam. † πλόκαμα. μινυάνθους, † τῷ

ὀπτῶσι. καὶ οἱ περὶ τὰ ἕλη, τούτῳ σίτῳ χρῶνται. φύεται μὲν οὖν καὶ πολὺς αὐτόματος. οὐ μὴν ἀλλὰ καταβάλλουσιν ἐν πηλῷ, ἀχυρώσαντες εὖ μάλα, πρὸς τὸ κατενεχθῆναί γε καὶ μεῖναι καὶ διαφθαρῆναι. καὶ οὕτω κατασκευάζουσι τοὺς κυαμῶνας. ἂν δ' ἅπαξ ἀντιλάβηται, μένει διὰ τέλους. ἰσχυρὰ γὰρ ἡ ῥίζα, καὶ οὐ πόρρω τῆς τῶν καλάμων, πλὴν ἐπακανθίζουσα, διὸ καὶ ὁ κροκόδειλος φεύγει, μὴ προσκόψῃ τῷ ὀφθαλμῷ, τῷ μὴ ὀξὺ καθορᾶν. γίνεται δὲ οὗτος καὶ ἐν συρίᾳ, καὶ περὶ κιλικίαν· ἀλλ' οὐκ ἐκπέττουσιν αἱ χῶραι. καὶ περὶ τορώνην τῆς χαλκιδικῆς, ἐν λίμνῃ τινὶ μετρίᾳ τῷ μεγέθει, καὶ αὕτη πέττει, καὶ τελειοῖ, καὶ τελειοκαρπεῖ. ὁ δὲ λωτὸς καλούμενος, φύεται μὲν ὁ πλεῖστος ἐν τοῖς πεδίοις, ὅταν ἡ χώρα κατακλυσθῇ. τούτου δὲ ἡ μὲν τοῦ καυλοῦ φύσις, ὁμοία τῇ τοῦ κυάμου· καὶ οἱ πέτασοι δὲ, ὡσαύτως, πλὴν ἐλάττους καὶ λεπτότεροι. ὑποφύεται δ' ὁμοίως ὁ λωτὸς τῷ τοῦ κυάμου. τὸ ἄνθος αὐτοῦ λευκὸν, ἐμφερὲς τῇ στενότητι τῶν φύλλων τοῖς τῶν κρίνων· πολλὰ δὲ, καὶ πυκνὰ ἐπαλλήλους φύεται. ταῦτα δ' ὅταν μὲν ὁ ἥλιος συμμύῃ, συγκαλύπτει τὴν κωδίαν· ἅμα δὲ τῇ ἀνατολῇ διοίγεται, καὶ ὑπὲρ τοῦ ὕδατος γίνεται. τοῦτο δὲ ποιεῖ, μέχρις ἂν ἡ κωδία ἐκτελεωθῇ, καὶ τὰ ἄνθη περιρρυῇ. τῆς δὲ κωδίας τὸ μέγεθος, ἡλίκον μήκωνος τῆς μεγίστης· καὶ διέζωσται ταῖς κατατομαῖς, τὸν αὐτὸν τρόπον τῇ μήκωνι· πλὴν πυκνότερος ἐν ταύταις ὁ καρπός. ἔστι δὲ παρόμοιος τῷ κέγχρῳ. ἐν δὲ τῷ εὐφράτῃ τὴν κωδίαν φασὶ, καὶ τὰ ἄνθη δύνειν, καὶ ὑποκαταβαίνειν τῆς ὥρας μέχρι μέσων νυκτῶν, καὶ τῷ βάθει πόρρω· οὐδὲ γὰρ καθιέντα τὴν χεῖρα λαβεῖν εἶναι. μετὰ δὲ ταῦτα ὅταν ὄρθρος ᾖ, πάλιν ἐπανιέναι· καὶ πρὸς ἡμέραν ἔτι μᾶλλον ἅμα τῷ ἡλίῳ φανερὸν ὑπὲρ τοῦ ὕδατος, καὶ ἀνοίγειν τὸ ἄνθος. ἀνοιχθέντος δὲ ἔτι, ἀναβαίνειν. συχνὸν δὲ τὸ ὑπεραῖρον εἶναι τὸ ὕδωρ. τὰς δὲ κωδίας ταύτας οἱ αἰγύπτιοι συνθέντες εἰς τὸ αὐτὸ, σήπουσιν· ἐπὰν δὲ σαπῇ κέλυφος, ἐν τῷ ποταμῷ κλύζοντες, ἐξαιροῦσι τὸν καρπόν. ξηράναντες δὲ, καὶ ὀπτήσαντες, ἄρτους ποιοῦσι· καὶ τούτῳ χρῶνται σιτίῳ. ἡ δὲ ῥίζα τοῦ λωτοῦ καλεῖται μὲν κόρσιον· ἔστι δὲ στρογγύλη τὸ μέγεθος, ἡλίκον

κασταναϊκῷ

μῆλον κυδώνιον. φλοιὸς δὲ περίκειται περὶ αὐτὴν μέλας, ἐμφερὴς τῷ † κασταναϊκῷ καρύῳ. τὸ δὲ ἐντὸς, λευκόν· ἑψόμενον δὲ, καὶ ὀπτώμενον, γίνεται λεκιθῶδες, ἡδὺ δὲ ἐν τῇ προσφορᾷ. ἐσθίεται δὲ καὶ ὠμόν· ἄριστον δ' ἐν τοῖς ὕδασιν αὐτὰ ὠμά. καὶ τὰ μὲν ἐν τοῖς ὕδασι, σχεδὸν ταῦτά ἐστιν. ἐν δὲ τοῖς ἀμμώδεσι χωρίοις, ἃ ἔστιν οὐ πόρρω τοῦ ποταμοῦ, φύεται κατὰ γῆς ὃ καλεῖται μαλιναθάλλη, στρογγύλον τῷ σχήματι, μέγεθος δὲ ἡλίκον μέσπιλον, ἀπύρηνον δὲ, ἄφλοιον· φύλλα δὲ ἀφίησιν ἀπ' αὐτοῦ, ὅμοια κυπείρῳ. ταῦτα συνάγοντες οἱ κατὰ τὴν χώραν, ἕψουσιν ἐν βρύτῳ τῷ ἀπὸ τῶν κριθῶν, καὶ γίνεται γλυκέα σφόδρα· χρῶνται δὲ πάντες ὥσπερ τραγήμασι. τοῖς δὲ βουσὶ καὶ τοῖς προβάτοις ἅπαντα μὲν τὰ φυόμενα ἐδώδιμά ἐστιν· ἐν δέ τι γένος ἐν ταῖς λίμναις καὶ τοῖς ἕλεσι φύεται διάφορον, ὃ καὶ χλωρὸν νέμονται, καὶ ξηραίνοντες παρέχουσι κατὰ χειμῶνα τοῖς βουσὶν, ὅταν ἐργάζωνται· καὶ τὰ σώματα ἔχουσιν εὐσιτοῦντα, λαμβάνοντες οὐθέν. ἔστι καὶ ἄλλο παραφυόμενον αὐτόματον ἐν τῷ σίτῳ. τοῦτο δὲ, ὅταν ὁ σῖτος ᾖ καθαρὸς, ὑποπτίσαντες, καταβάλλουσι τοῦ χειμῶνος ὑγρὰν τὴν γῆν. βλαστήσαντος δὲ, τεμόντες καὶ ξηράναντες, παρέχουσι καὶ τοῦτο βουσὶ καὶ ἵπποις καὶ τοῖς ὑποζυγίοις, σὺν τῷ καρπῷ τῷ ἐπιγινομένῳ. ὁ δὲ καρπὸς, μέγεθος μὲν ἡλίκον σήσαμον· στρογγύλος δὲ, καὶ τῷ χρώματι χλωρός· ἀγαθὸς δὲ διαφερόντως. ἐν αἰγύπτῳ

11 μὲν οὖν τὰ πάντα σχεδὸν ταῦτα ἄν τις λάβοι. ἔοικασι δὲ τῶν ποταμῶν ἕκαστος ἴδιόν τι φέρειν, ὥσπερ καὶ τῶν χερσαίων. ἐπεὶ οὐδ' ὁ τρίβολος ἐν ἅπασιν, οὐδὲ πανταχοῦ φύεται, ἀλλ' ἐν τοῖς ἑλώδεσι τῶν ποταμῶν. ἐν μεγίστῳ δὲ βάθει πεντάπηχυ, ἢ μικρῷ μείζονι, καθάπερ οἱ περὶ τὸν στρύμονα. σχεδὸν δ' ἐν τοσούτῳ καὶ ὁ κάλαμος, καὶ τὰ ἄλλα. ὑπερέχει δὲ οὐθὲν αὐτοῦ, πλὴν αὐτὰ τὰ φύλλα, ὥσπερ ἐπινέοντα, καὶ κρύπτοντα τὸν τρίβολον. ὁ δὲ τρίβολος αὐτὸς ἐν τῷ ὕδατι νεύει εἰς βυθόν. τὸ δὲ φύλλον ἐστὶ πλατὺ, προσεμφερὲς τῷ τῆς πτελέας. μίσχον δὲ ἔχει, σφόδρα μακρόν. ὁ δὲ καυλὸς ἐξ ἄκρου παχύτατος, ὅθεν τὰ φύλλα, καὶ ὁ καρπός. τὰ δὲ κάτω λεπτότερος ἀεὶ, μέχρι τῆς ῥίζης. ἔχει δὲ ἀποπεφυκότα ἀπ' αὐτοῦ τριχώδη, τὰ μὲν πλεῖστα παράλληλα, τὰ δὲ καὶ παραλλάττοντα κάτωθεν ἀπὸ τῆς ῥίζης μεγάλα· τὰ δὲ ἄνω, ἀεὶ ἐλάττω προϊοῦσιν, ὥστε τὰ τελευταῖα μικρὰ πάμπαν εἶναι· καὶ τὴν διαφορὰν μεγάλην τὴν ἀπὸ τῆς ῥίζης πρὸς τὸν καρπόν. καὶ παραβλα-

στήματα

φσαῦτά ἐστιν. Ὑπὲρ δὲ τῶν ἐν τοῖς ποταμοῖς, καὶ ἐν τοῖς ἕλεσι, καὶ ταῖς λίμναις, μετὰ ταῦτα λεκτέον. τρία δ' ἐστὶν εἴδη τῶν ἐν τούτοις· τὰ μὲν δένδρα, τὰ δ' ὥσπερ ποώδη, τὰ δὲ λοχμώδη. λέγω δὲ ποώδη μὲν, οἷον τὸ σέλινον, τὸ ἕλειον, καὶ ὅσα ἄλλα τοιαῦτα, λοχμώδη δὲ, κάλαμον, κύπειρον, φλεὼ, σχοῖνον. βούτομον ἅπερ σχεδὸν κοινὰ πάντων τῶν ποταμῶν, καὶ τῶν τοιούτων τόπων ἐστίν. ἐνιαχοῦ δὲ καὶ βάτοι, καὶ παλίουροι, καὶ τὰ ἄλλα. δένδρα δὲ, καθάπερ ἰτέα, λεύκη, πλάτανος. τὰ μὲν, ὥστε τοῦ κατακρύπτεσθαι· τὰ δὲ, ὥστε μικρὸν ὑπερέχειν. τῶν δὲ αἱ μὲν ῥίζαι καὶ μικρὸν τοῦ στελέχους ἐν τῷ ὑγρῷ, τὸ δὲ ἄλλο πᾶν σῶμα ἔξω. τοῦτο γὰρ καὶ ἰτέα, καὶ κλήθρα, καὶ πλατάνῳ, καὶ φιλύρα, καὶ πᾶσι τοῖς φιλύδροις συμβαίνει· σχεδὸν δὲ καὶ ταῦτα κοινὰ πάντων τῶν ποταμῶν ἐστιν. ἐπεὶ καὶ ἐν τῷ νείλῳ πέφυκεν, οὐ μὴν πολλή γε ἡ πλάτανος, ἀλλὰ σπανιωτέρα ἔτι ταύτης, ἡ λεύκη. πλείστη δὲ μελία, καὶ βουμέλιος. τῶν γοῦν ἐν αἰγύπτῳ φυομένων, τὸ μὲν ὅλον πολὺ πλῆθός ἐστιν εἰς τὸ ἀριθμήσασθαι καθ' ἕκαστον. οὐ μὴν ἀλλ' ὥστε ἁπλῶς εἰπεῖν, ἅπαντα ἐδώδιμα, καὶ χυλοὺς ἔχοντα γλυκεῖς. διαφέρειν δὲ δοκεῖ τῇ γλυκύτητι, καὶ τῷ πρόσφιμα μάλιστα εἶναι, τρία ταῦτα· ὅ, τε πάπυρος, καὶ τὸ καλούμενον σάρι, καὶ τρίτον ὃ μναάσιον καλοῦσι. φύεται δὲ ὁ πάπυρος οὐκ ἐν βάθει τοῦ ὕδατος, ἀλλ' ὅσον ἐν δύο πήχεσιν· ἐνιαχοῦ δὲ καὶ ἐλάττονι. πάχος μὲν οὖν τῆς ῥίζης, καρπὸς ἀνδρὸς εὐρώστου· μῆκος δὲ, ὑπὲρ δέκα πήχεις. φύεται δὲ ὑπὲρ τῆς γῆς αὐτῆς, πλαγίας ῥίζας εἰς τὸν πηλὸν καθιεῖσα, λεπτὰς καὶ πυκνάς· ἄνω δὲ, τοὺς παπύρους καλουμένους, τριγώνους. μέγεθος ὡς τετραπήχεις, κόμην ἔχοντας ἀχρείαν, ἀσθενῆ· καρπὸν δὲ ὅλως οὐδένα. τούτους δ' ἀναδίδωσι κατὰ πολλὰ μέρη. χρῶνται δὲ ταῖς μὲν ῥίζαις ἀντὶ ξύλων, οὐ μόνον τῷ κάειν, ἀλλὰ καὶ τῷ σκεύη ἄλλα ποιεῖν ἐξ αὐτοῦ παντοδαπά. πολὺ γὰρ ἔχει τὸ ξύλον, καὶ καλόν. αὐτὸς δὲ ὁ πάπυρος πρὸς πλεῖστα χρήσιμος· καὶ γὰρ πλοῖα ποιοῦσιν ἐξ αὐτοῦ· καὶ ἐκ τῆς βίβλου ἱστία τε πλέκουσι, καὶ ψιάθους, καὶ ἐσθῆτάς τινας, καὶ στρωμνὰς, καὶ σχοινία τε καὶ ἕτερα πλείω. καὶ ἐμφανέστατα δὴ τοῖς ἔξω τὰ βιβλία. μάλιστα δὲ καὶ πλείστη βοήθεια πρὸς τὴν τροφὴν ἀπ' αὐτοῦ γίνεται. μασῶνται γὰρ ἅπαντες οἱ ἐν τῇ χώρᾳ πάπυρον, καὶ ὠμὸν καὶ ἑφθὸν καὶ ὀπτόν· καὶ τὸν μὲν χυλὸν καταπίνουσι. τὸ δὲ μάσημα ἐκβάλλουσιν. ὁ μὲν οὖν πάπυρος τοιοῦτός τε, καὶ τοιαύτας παρέχεται τὰς χρείας. γίνεται δὲ ἐν συρίᾳ, περὶ τὴν λίμνην, ἐν ᾗ καὶ ὁ κάλαμος ὁ εὐώδης· ὅθεν καὶ Ἀντίγονος εἰς τὰς ναῦς ἐποιεῖτο τὰ σχοινία. Τὸ δὲ σάρι, φύεται μὲν ἐν τῷ ὕδατι, περὶ τὰ ἕλη καὶ τὰ πεδία, ἐπειδὰν ὁ ποταμὸς ἀπέλθῃ, ῥίζαν δὲ ἔχει σκληρὰν, καὶ συνεστραμμένην, καὶ ἐξ αὐτῆς φύεται τὰ σάρια καλούμενα. ταῦτα δὲ, μῆκος μὲν εἰς δύο πήχεις, πάχος δὲ ἡλίκον ὁ δάκτυλος ὁ μέγας τῆς χειρός. τρίγωνον δὲ τοῦτο, καθάπερ ὁ πάπυρος· καὶ κόμην ἔχον παραπλήσιον. μασώμενοι δὲ, ἐκβάλλουσι καὶ τοῦτο τὸ μάσημα. τῇ ῥίζῃ δὲ οἱ σιδηρουργοὶ χρῶνται. τὸν γὰρ ἄνθρακα ποιεῖ χρηστόν, διὰ τὸ σκληρὸν εἶναι τὸ ξύλον. τὸ δὲ † μναάσιον ποῶδές ἐστιν. ὥστε οὐδεμίαν παρέχεται χρείαν, πλὴν εἰς τροφήν. καὶ τὰ μὲν γλυκύτητι διαφέροντα, ταῦτά ἐστι. φύεται δὲ καὶ ἕτερον ἐν τοῖς ἕλεσι καὶ ταῖς λίμναις, ὃ οὐ συνάπτει τῇ γῇ, τὴν μὲν φύσιν ὅμοιον τοῖς κρίνοις, πολυφυλλότερον δὲ, καὶ παράλληλα τὰ φύλλα καθάπερ ἐν διστιχίᾳ. χρῶμα δὲ χλωρὸν ἔχει σφόδρα. χρῶνται δὲ οἱ ἰατροὶ πρός τε τὰ γυναικεῖα αὐτῷ, καὶ πρὸς τὰ κατάγματα. σημαίνει δὲ ὥσπερ καὶ ἀποφορεῖσθαι. ἕτερα δὲ ἀπ' αὐτῶν τὰ πλεῖα· ταῦτα δὲ γίνεται ἐν τῷ ποταμῷ, εἰ μὴ ὁ ῥοῦς ἐξέφερεν. 10 Ὁ δὲ κύαμος φύεται μὲν ἐν τοῖς ἕλεσι καὶ ταῖς λίμναις. καυλὸς δὲ αὐτοῦ μῆκος μὲν ὁ μακρότατος, εἰς τέτταρας πήχεις· πάχος δὲ δακτυλιαῖος· ὅμοιος δὲ καλάμῳ μαλακῷ ἀγονάτῳ. διαφύσεις δὲ ἐνδοθεν ἔχει διόλου διειλημμένας, ὁμοίας τοῖς κηρίοις. ἐπὶ τούτῳ δὲ ἡ κωδύα, παρόμοια † σφηκίῳ περιφερεῖ. καὶ ἐν ἑκάστῳ τῶν κυττάρων κύαμος, μικρὸν ὑπεραίρων αὐτῆς. πλῆθος δὲ οἱ πλεῖστοι τριάκοντα. τὸ δὲ ἄνθος διπλάσιον ἢ μήκωνος. χρῶμα δὲ ὅμοιον ῥόδῳ, κατακορές. ἐπάνω δὲ τοῦ ὕδατος ἡ κωδύα. παραφύεται δὲ φύλλα μεγάλα παρ' ἕκαστον τῶν κυάμων· ὧν καὶ τὰ μεγέθη πίλῳ θετταλικῷ, τὸν αὐτὸν ἔχοντα καυλὸν τῷ τῶν κυάμων. συντρίψαντι δὲ ἕκαστον τῶν κυάμων, φανερόν ἐστι τὸ πικρὸν συνεστραμμένον, ἐξ οὗ γίνεται ὁ πίλος. τὰ μὲν οὖν περὶ τὸν καρπὸν, τοιαῦτα. ἡ δὲ ῥίζα παχυτέρα τοῦ καλάμου τοῦ παχυτάτου, καὶ διαφύσεις ὁμοίως ἔχουσα τῷ καυλῷ. ἐσθίουσι δ' αὐτὴν καὶ ὠμὴν, καὶ ἑφθὴν, καὶ ὀπτήν.

πρὸ

μνάσιον

σφαιρίῳ

δρα ἀγαθόν. ὅταν δὲ ὕδατα πλείω γένηται, μύκητες φύονται πρὸς τῇ θαλάττῃ κατά τινα τόπον, οἳ ἀπολιθοῦνται ὑπὸ τοῦ ἡλίου. ἡ δὲ θάλαττα θηριώδης· φαλαίνας δ' ἔχει τοὺς καρχαρίας, ὥστε μὴ εἶναι κολυμβῆσαι. ἐν δὲ τῷ κόλπῳ τῷ καλουμένῳ Ἡρώων, ἐφ' ὃν καταβαίνουσιν οἱ ἐξ Αἰγύπτου, φύεται μὲν δάφνη τε καὶ ἐλαία καὶ θύμον, οὐ μὴν χλωρά γε, ἀλλὰ λιθοειδῆ τὰ ὑπερέχοντα τῆς θαλάττης, ὅμοια δὲ καὶ τοῖς φύλλοις καὶ τοῖς βλαστοῖς τοῖς χλωροῖς. ἐν δὲ τῷ θύμῳ, καὶ τὸ τοῦ ἄνθους χρῶμα διάδηλον, ὡς ἂν μήπω τελέως ἐξηνθηκός. μήκη δὲ τῶν δενδρυφίων, ὅσον εἰς τρεῖς πήχεις. οἱ δὲ, ὅτε ἀνάπλους ἦν τῶν ἐξ Ἰνδοῦ ἀποσταλέντων ὑπ' Ἀλεξάνδρου, τὰ ἐν τῇ θαλάττῃ φυόμενα μέχρις οὗ ἂν ᾖ ἐν τῷ ὑγρῷ, χρῶμά φασιν ἔχειν ὅμοιον τοῖς φυκίοις· ὁπόταν δ' ἐξενεχθέντα τεθῇ πρὸς τὸν ἥλιον, ἐν ὀλίγῳ χρόνῳ ἐξομοιοῦσθαι τῷ ἁλί. φύεσθαι δὲ καὶ σχοίνους λιθίνους παρ' αὐτὴν τὴν θάλατταν, οὓς οὐδ' εἷς ἂν διαγνοίη τῇ ὄψει πρὸς τοὺς ἀληθινούς. θαυμασιώτερον δὲ τούτου λέγουσι· φύεσθαι γὰρ δενδρύφι' ἄττα, τὸ μὲν χρῶμα ἔχοντα ὅμοιον κέρατι βοός, τοῖς δὲ ὄζοις τραχέα, καὶ ἐπ' ἄκρου πυρρά. ταῦτα δὲ θραύεσθαι μὲν, εἰ συγκλάοι τις. ἐκ δὲ τούτων πῦρ ἐμβαλλόμενα, καθάπερ τὸν σίδηρον, διάπυρα γενόμενα· πάλιν ὅταν ἀποψύχηται, καθίστασθαι, καὶ τὴν αὐτὴν χρόαν λαμβάνειν. ἐν δὲ ταῖς νήσοις ταῖς ὑπὸ τῆς πλημμυρίδος καταλαμβανομέναις, δένδρα μεγάλα πεφυκέναι, ἡλίκαι πλάτανοι. συμβαίνειν δὲ, ὅθ' ἡ πλημμυρὶς ἐπέλθοι, τὰ μὲν ἄλλα κατακρύπτεσθαι ὅλα· τῶν δὲ μεγίστων ὑπερέχειν τοὺς κλάδους, ἐξ ὧν τὰ πρυμνήσια ἀνάπτειν· εἶθ' ὅτε πάλιν ἄμπωτις γίνοιτο, ἐκ τῶν ῥιζῶν. ἔχειν δὲ τὰ δένδρα φύλλον μὲν ὅμοιον τῇ δάφνῃ, ἄνθος δὲ τοῖς † οἴοις καὶ τῷ χρώματι καὶ τῇ ὀσμῇ· καρπὸν δ' ἡλίκον ἐλαία, καὶ τοῦτον εὐώδη σφόδρα. καὶ τὰ μὲν φύλλα οὐκ ἀποβάλλειν· τὸ δὲ ἄνθος καὶ τὸν καρπὸν ἅμα τῷ φθινοπώρῳ γίνεσθαι, τὸ δὲ ἔαρος ἀπορρεῖν. ἄλλα δ' ἐν αὐτῇ τῇ θαλάττῃ πεφυκέναι, ἀείφυλλα μὲν, τὸν δὲ καρπὸν ὅμοιον ἔχειν τοῖς θέρμοις. περὶ δὲ τὴν Περσίδα τὴν κατὰ Καρμανίαν, καθ' ἣν ἡ πλημμυρὶς γίνεται, δένδρα ἐστὶν εὐμεγέθη, ὅμοια τῇ ἀνδράχνῃ καὶ τῇ μορφῇ καὶ τοῖς φύλλοις. καρπὸν δὲ ἔχει πολὺν, ὅμοιον τῷ χρώματι ταῖς ἀμυγδάλαις ἔξωθεν. τὸ δὲ ἐντὸς συνελίττεται, καθάπερ συνηρτημένον πᾶσιν. ὑποβέβρωται δὲ ταῦτα τὰ δένδρα πάντα κατὰ μέσον ὑπὸ τῆς θαλάττης, καὶ ἕστηκεν ὑπὸ τῶν ῥιζῶν, ὥσπερ πολύπους. ὅταν γὰρ ἡ ἄμπωτις γένηται, θεωρεῖν ἔστιν. ὕδωρ δὲ † ὅλως ἐν τῷ τόπῳ. καταλείπονται γὰρ τινὲς διώρυχες, δι' ὧν διαπλέουσιν· αὗται δ' εἰσὶ θαλάττης. ὃ καὶ δῆλον οἴονταί τινες, ὡς τρέφονται ταύτῃ, καὶ οὐ τῷ ὕδατι· πλὴν εἴ τι ταῖς ῥίζαις ἐκ τῆς γῆς ἕλκονται. εὔλογον δὲ, καὶ τοῦθ' ἁλμυρὸν εἶναι· καὶ γὰρ οὐδὲ κατὰ βάθους αἱ ῥίζαι. τὸ δ' ὅλον, ἓν τὸ γένος εἶναι τῶν δ' ἐν τῇ θαλάττῃ φυομένων, καὶ τῶν ἐν τῇ γῇ ὑπὸ τῆς πλημμυρίδος καταλαμβανομένων· καὶ τὰ μὲν ἐν τῇ θαλάττῃ μικρὰ καὶ † φυκώδη, φυόμενα δ' ἐν τῇ γῇ μεγάλα καὶ χλωρὰ καὶ ἄνθοσμον ἔχοντα, καρπὸν δ' οἷον θέρμος.

9 Ἐν Τύλῳ δὲ τῇ νήσῳ (κεῖται δ' αὕτη ἐν τῷ Ἀραβικῷ κόλπῳ) τὰ μὲν πρὸς ἕω τοσοῦτον πλῆθος εἶναί φασι δένδρων, ὅτ' ἐκβαίνει ἡ πλημμυρὶς, ὥστ' ἀπωχυρῶσθαι. πάντα δὲ ταῦτα μεγέθη μὲν ἔχειν ἡλίκα συκῆ· τὸ δὲ ἄνθος ὑπερβάλλον τῇ εὐωδίᾳ. καρπὸν δὲ ἄβρωτον, ὅμοιον τῇ ὄψει τοῦ θέρμου. φέρειν δὲ τὴν νῆσον καὶ τὰ δένδρα, καὶ τὰ ἐριοφόρα πολλά. ταῦτα δὲ φύλλον μὲν ἔχειν ὅμοιον τῇ ἀμπέλῳ, πλὴν μικρόν· καρπὸν δὲ οὐδένα φέρειν. ἐν ᾧ δὲ τὸ ἔριον, ἡλίκον μῆλον ἐαρινὸν συμμεμυκός. ὅταν δὲ ὡραῖον ᾖ, ἐκπετάννυσθαι, καὶ ἐξαίρειν τὸ ἔριον, ἐξ οὗ τὰς σινδόνας ὑφαίνουσι, τὰς μὲν εὐτελεῖς, τὰς δὲ πολυτελεστάτας. γίνεται δὲ τοῦτο καὶ ἐν Ἰνδοῖς, ὥσπερ ἐλέχθη, καὶ ἐν Ἀραβίᾳ. εἶναι δὲ καὶ ἄλλα δένδρα τὸ ἄνθος ἔχοντα ὅμοιον τῷ λευκοΐῳ, πλείονα ἄοσμον τῷ μεγέθει, τετραπλάσιον τῶν ἴων. καὶ ἕτερόν τι δένδρον πολύφυλλον, ὥσπερ τὸ ῥόδον. τοῦτο δὲ τὴν μὲν νύκτα συμμύειν, ἅμα δὲ τῷ ἡλίῳ ἀνιόντι διοίγνυσθαι, μεσημβρίας δὲ τελέως διαπλοῦσθαι· πάλιν δὲ τῆς δείλης συνάγεσθαι, καὶ κατὰ μικρὸν τὴν νύκτα συμμύειν. λέγειν δὲ καὶ τοὺς ἐγχωρίους, ὅτι καθεύδει. γίνεσθαι δὲ καὶ τοὺς φοίνικας ἐν νήσῳ, καὶ ἀμπέλους, καὶ τἄλλα ἀκρόδρυα, καὶ συκᾶς, αἳ † φυλλορροοῦσιν. ὕδωρ δὲ οὐράνιον γίνεσθαι μὲν, οὐ μὴν χρῆσθαί γε πρὸς τοὺς καρπούς· ἀλλ' εἶναι κρήνας μὲν ἐν τῇ νήσῳ πολλὰς, ἀφ' ὧν πάντα βρέχειν, ἃ καὶ συμφέρει μᾶλλον τῷ σίτῳ, καὶ τοῖς δένδροις. διὸ καὶ ὅταν ὕσῃ, τοῦτ' ἐπαφιέναι, καθαπερεὶ οἱ κατακλύζοντες ἐκεῖνο. καὶ τὰ μὲν ἐν τῇ ἔξω θαλάσσῃ δένδρα, τά γε νῦν ἠκριβωμένα, σχεδὸν

τοσαῦ-

τὴν ἔσω θάλατταν, ὑπὲρ ῥοῦ τοῦ ἔξωθεν· καλοῦσι δὲ αὐτὸ πράσον. ἐν ταύτῃ δὲ, ἐν ἴσοι τόποις ὥστ᾽ ἐπάνω τοῦ ὀμφαλοῦ. λέγεται δὲ ἐνιαύσιον εἶναι, καὶ φύεσθαι μὲν τοῦ ἦρος λήγοντος, ἀκμάζειν δὲ τοῦ θέρους, τοῦ μετοπώρου δὲ φθίνειν· περὶ δὲ τὸν χειμῶνα ἀπόλλυσθαι, καὶ ἐκπίπτειν. ἅπαντα δὲ καὶ ἄλλα τὰ φυόμενα, χείρω καὶ ἀμαυρότερα γίνεσθαι τοῦ χειμῶνος. ταῦτα μὲν οὖν οἷον πρόσγεια, περί γε τὴν θάλατταν. τὸ δὲ πόντιον φῦκος, ὃ οἱ σπογγεῖς ἀνακολυμβῶσι πελάγιον, καὶ ἐν Κρήτῃ δὲ φύεται πρὸς τῇ γῇ ἐπὶ τῶν πετρῶν πλεῖστον καὶ κάλλιστον, ᾧ βάπτουσιν οὐ μόνον τὰς ταινίας, ἀλλὰ καὶ ἔρια καὶ ἱμάτια. καὶ ἕως ἂν ᾖ πρόσφατος ἡ βαφὴ, πολὺ καλλίων ἡ χρόα τῆς πορφύρας. γίνεται δὲ καὶ ἐν τῷ περὶ βορρᾶν, καὶ πλεῖον καὶ καλὸν, ὥσπερ αἱ σπογγιαὶ, καὶ ἄλλα τοιαῦτα. ἄλλο γάρ ἐστιν ὅμοιον τῇ ἀγρώστει· καὶ γὰρ τὸ φύλλον παραπλήσιον ἔχει, καὶ τὴν ῥίζαν γονατώδη, καὶ περιφυκυῖαν πλαγίαν, ὥσπερ τῆς ἀγρώστιδος. ἔχει δὲ καὶ καυλὸν καλαμώδη, καθάπερ ἡ ἄγρωστις· μεγέθει δὲ ἔλαττον πολὺ τοῦ φύκους. ἄλλο δὲ βότρυον, ὃ φύλλον ἔχει ποώδη τῇ χρόᾳ, πλατὺ δὲ, καὶ οὐκ ἀνόμοιον ταῖς θριδακίναις· πλὴν † χρυσωδέστερον, καὶ ὥσπερ συνεσπασμένον. καυλὸν δὲ οὐκ ἔχει, ἀλλ᾽ ἐκ μιᾶς ἀρχῆς πλείω τὰ τοιαῦτα, καὶ πάλιν ἀπ᾽ ἄλλης. φύεται δὲ ἐπὶ τῶν λίθων τὰ τοιαῦτα πρὸς τῇ γῇ, καὶ τῶν ὀστρακῶν. καὶ τὰ μὲν ἐλάττω σχεδὸν ταῦτ᾽ ἐστίν. ἡ δὲ δρῦς καὶ ἡ ἐλάτη, πρόσγειοι μὲν ἄμφω· φύονται δ᾽ ἐπὶ λίθοις καὶ ὀστράκοις, ῥίζας μὲν οὐκ ἔχουσαι, προσπεφυκυῖαι δὲ ὥσπερ αἱ λεπάδες· ἀμφότεραι μὲν οἷον σαρκόφυλλα· προμηκέστερον δὲ τὸ φύλλον παχὺ, καὶ παχύτερον τῆς ἐλάτης· πολὺ δὲ, καὶ οὐκ ἀνόμοιον τοῖς τῶν ὀσπρείων λοβοῖς· κοῖλον δ᾽ ἔνδοθεν, καὶ οὐδὲν ἔχον ἐν αὑτοῖς. τὸ δὲ τῆς δρυὸς, λεπτὸν, καὶ μυρικωδέστερον. χρῶμα δ᾽ ἐπιπόρφυρον ἀμφοῖν. ἡ δ᾽ ὅλη μορφὴ τῆς μὲν ἐλάτης, ὀρθὴ, καὶ αὐτῆς, καὶ τῶν ἀκρεμόνων. τῆς δὲ δρυὸς σκολιωτέρα, καὶ μᾶλλον ἔχουσα πλάτος. γίνεται δὲ ἄμφω καὶ πολύκαυλα· καὶ μονοκαυλότερον δὲ ἡ ἐλάτη. τὰς δὲ ἀκρεμονικὰς καὶ ἀποφύσεις, ἡ ἐλάτη μὲν μακρὰς ἔχει, καὶ εὐθείας, καὶ μανάς· ἡ δὲ δρῦς βραχυτέρας, καὶ σκολιωτέρας, καὶ πυκνοτέρας. τὸ δ᾽ ὅλον μέγεθος ἀμφοτέρων, ὡς πυγωνιαῖον, ἢ μικρὸν ὑπεραῖρον· μεῖζον δὲ, ὡς ἁπλῶς εἰπεῖν, τὸ τῆς ἐλάτης. χρήσιμος δὲ ἡ δρῦς εἰς βαφὴν ἐρίων ταῖς γυναιξίν. ἐπὶ μὲν τῶν ἀκρεμόνων προσηρτημένα τῶν ὀστρακοδέρμων ζώων ἔνια, καὶ κάτω δὲ πρὸς αὐτῷ τῷ καυλῷ περιπεφυκότων τινῶν ὅλων, ἐν τούτοις δεδυκότες οἱ ὄνιννοι, καὶ ἄλλ᾽ ἄττα, καὶ τὸ ὅμοιον πολύποδι. ταῦτα μὲν οὖν πρόσγεια, καὶ ῥᾴδια θεωρηθῆναι. φασὶ δέ τινες καὶ ἄλλην δρῦν εἶναι ποντίαν, ἣ καὶ καρπὸν φέρει· καὶ ἡ βάλανος αὐτῆς χρησίμη. τοὺς δὲ σκινθοὺς, καὶ κολυμβητὰς λέγειν, ὅτι καὶ ἕτεραι μεγάλαι τινὲς τοῖς μεγέθεσιν εἶησαν. ἡ δὲ ἄμπελος ἀμφοτέρως γίνεται· καὶ γὰρ πρὸς τῇ γῇ, καὶ πόντιαι. μείζω δ᾽ ἔχει καὶ τὰ φύλλα, καὶ τὰ κλήματα, καὶ τὸν καρπὸν ἡ ποντία. ἡ δὲ συκῆ ἄφυλλος μὲν, τῷ μεγέθει δ᾽ οὐ μεγάλη. χρῶμα δὲ τοῦ φλοιοῦ φοινικοῦν. ὁ δὲ φοῖνιξ ἐστὶ μὲν πόντιον, βραχυέλιχον σφόδρα. καὶ σχεδὸν εὐθεῖαι αἱ ἐκφύσεις τῶν ῥάβδων, κάτωθεν, οὐ κύκλωθεν αὐτοῦ, καθάπερ τῶν ῥάβδων οἱ ἀπηρτημένοι· ἀλλ᾽ ὡς ἂν ἐν πλάτει περὶ μίαν συνεχῶς, ἐνιαχοῦ δὲ καὶ ἐπαλλάττουσαι. τῶν δὲ ῥάβδων ἡ τῶν ἐκφύσεων τούτων, ὁμοία τρόπον τινὰ ἡ φύσις, τοῖς τῶν ἀκανθῶν φύλλοις τῶν ἀκανικῶν· οἷον σόγκοις, καὶ τοῖς τοιούτοις. πλὴν ὀρθαὶ, οὐχ ὥσπερ ἐκεῖνα, καὶ περικεκλασμέναι, καὶ τὸ φύλλον ἔχουσαι διαβεβρωμένον ὑπὸ τῆς ἅλμης. ἐπεὶ ὑπέρ γε διέλου ἅπαν τὸν μέσον γε καυλὸν, καὶ ἡ ἄλλη ὄψις παραπλησία. τὸ δὲ χρῶμα τούτων καὶ τῶν καυλῶν καὶ ὅλου τοῦ φυτοῦ, ἐξερυθρόν τι σφόδρα, καὶ φοινικοῦν. καὶ τὰ μὲν ἐν τῇδε τῇ θαλάττῃ, τοσαῦτά ἐστιν. ἡ γὰρ σπογγιὰ, καὶ αἱ πλύσιαι καλούμεναι, καὶ εἴ τι τοιοῦτον, ἑτέραν ἔχει φύσιν. ἐν δὲ τῇ ἔξω τῇ περὶ ἡρακλέους στήλας, τό τε πράσον (ὥσπερ ἐρρήθη) φύεται, καὶ τὰ ἀπολιθούμενα ταῦτα· οἷον θύμα, καὶ τὰ δαφνοειδῆ, καὶ τὰ ἄλλα. Τῆς 8
δὲ ἐρυθρᾶς καλουμένης, ἐν ἀραβίᾳ, μικρὸν ἐπάνω κόλπου, ἐν μὲν τῇ γῇ δένδρον οὐδὲν φύεται, πλὴν τῆς ἀκάνθης τῆς διψάδος καλουμένης· σπανία δὲ καὶ αὕτη διὰ τὰ καύματα, καὶ διὰ τὴν ἀνυδρίαν. οὐχ ὕει γὰρ, ἀλλ᾽ ἢ δι᾽ ἐτῶν τεττάρων, ἢ πέντε· καὶ τότε λάβρως, καὶ ἐπ᾽ ὀλίγον χρόνον. ἐν δὲ τῇ θαλάττῃ φύεται· καὶ καλοῦσιν αὐτὰ, δάφνην καὶ ἐλαίαν. ἔστι δὲ ἡ μὲν δάφνη ὁμοία τῇ ἐρείκῃ· ἡ δὲ ἐλαία τῷ φύλλῳ. καρπὸν δὲ ἔχει ἡ ἐλαία, παραπλήσιον ταῖς ἐλαίαις. ἀφίησι δὲ καὶ δάκρυον, ἐξ οὗ οἱ ἰατροὶ φάρμακον ἔναιμον συντιθέασιν· ὃ γίνεται σφό-

μακράν, ἢ

ξυσιωδέστερον, rugosius

πρά-

δε — δὲ λευκὴ φασὶ πλεῖστον. πολλὰ δὲ καὶ ἐν τῇ ἀρκαδίᾳ, καὶ ἐν τῇ λακεδαιμονικῇ· φαρμακώδεις γὰρ αὗται. τῶν δὲ δένδρων οὐδὲν ἐν ταύταις, πλὴν ἰτέας ἐν τῇ ἰλλυρίδι, καὶ περὶ τὴν ἀδρίαν· αὕτη δὲ χρηστὴ, καὶ πολὺ διαφέρουσα τῶν ἄλλων. ἀλλ' ἐν τοῖς ἀλεεινοῖς, καὶ τοῖς πρὸς μεσημβρίαν, ὥσπερ αὐτὰ κείμενα τὰ δένδρα. ἔχουσι δὲ καὶ τὴν κυπάριττον οἱ ἀλεεινοὶ μᾶλλον, ὥσπερ κρήτη, λυκία, ῥόδος. κέδρον δὲ, καὶ τὰ θρᾴκια ὄρη, καὶ τὰ φρύγια. τῶν δὲ ἡμέρων ἥκιστά φασιν ἐν τοῖς ψυχροῖς ὑπομένειν δάφνην, καὶ μυῤῥίνην. καὶ τούτων δὲ ἧττον † ἔτι τὴν μυῤῥίνην. σημεῖον δὲ λέγουσιν, ὅτι ἐν τῷ ὀλύμπῳ δάφνη μὲν πολλὴ, μυῤῥίνος δὲ ὅλως οὐκ ἔστιν. ἐν δὲ τῷ πόντῳ περὶ παντικάπαιον, οὐδέτερον, καίπερ σπουδαζόντων καὶ πάντα μηχανωμένων πρὸς τὰς ἱερωσύνας. συκαῖ δὲ πολλαὶ, καὶ ῥοαὶ εὐμεγέθεις· καὶ ῥοιαὶ δὲ περιστεγαζόμεναι. ἄπιοι δὲ καὶ μηλέαι, καὶ παντοδαπώταται, καὶ χρυσαὶ αὗται δ' ἐαριναί, πλὴν εἰ ἄρα ὄψιαι. τῶν δὲ ἀγρίων ὕλας, ἔστι δρῦς, φιλύρα, μελία, καὶ ὅσα τοιαῦτα· πεύκη δὲ, καὶ ἐλάτη, καὶ πίτυς, οὐκ ἔστιν, οὐδ' ὅλως οὐδὲν ἔνδαδον. ὑγρὰ δὲ αὕτη, καὶ χείρων πολὺ τῆς σινωπικῆς. ὥστε οὐδὲ πολὺ χρῶνται αὐτῇ, πλὴν πρὸς τὰ ὑπαίθρια. ταῦτα μὲν οὖν περὶ τὸν πόντον, ἢ ἐν ἐνίοις τόποις αὐτοῦ. ἐν δὲ τῇ προποντίδι γίνεται καὶ μυῤῥίνος, καὶ δάφνη πολλαχοῦ ἐν τοῖς ὄρεσιν. ἴσως δ' ἔνια ἕκαστον τῶν τόπων ἴδια θετέον. ἕκαστοι γὰρ ἔχουσι τὰ διαφέροντα, ὥσπερ εἴρηται, περὶ τὰς ὕλας, οὐ μόνον τῷ βελτίω καὶ χείρω τὴν αὐτὴν ἔχειν, ἀλλὰ καὶ τῷ φέρειν· οἷον ὁ μὲν τμῶλος ἔχει, καὶ ὁ μυσινὸς ὄλυμπος, πολὺ τὸ κάρυον, καὶ τὴν διὸς βάλανον, ἔτι δὲ καὶ ἄμπελον, καὶ μηλέαν, καὶ ῥόαν. ἡ δὲ ἴδη τὰ μὲν οὐκ ἔχει τούτων, τὰ δὲ σπάνια. περὶ δὲ μακεδονίαν, καὶ τὸν πιερικὸν ὄλυμπον, τὰ μὲν ἔστι, τὰ δ' οὐκ ἔστι τούτων. ἐν δὲ τῇ εὐβοίᾳ, καὶ περὶ τὴν μαγνησίαν, τὰ μὲν εὐβοϊκὰ πολλά. τῶν δὲ ἄλλων οὐθὲν οὐδὲ δὴ περὶ τὸ πήλιον, οὐδὲ τὰ ἄλλα τὰ ἐνταῦθα ὄρη. βραχὺς δὲ ὁ τόπος ἐκεῖ, καὶ

περὶ — † ὅλως τὴν ναυπηγήσιμον ὕλην. τῆς μὲν γὰρ εὐρώπης δοκεῖ τὰ περὶ τὴν μακεδονίαν, καὶ ὅσα τῆς θρᾴκης, καὶ περὶ ἰταλίαν, τῆς δὲ ἀσίας, τά τε ἐν κιλικίᾳ, καὶ τὰ ἐν σινώπῃ καὶ ἀμισῷ, ἔτι δὲ ὁ μύσιος ὄλυμπος, καὶ ἡ ἴδη, πλὴν οὐ πολύ· ἡ γὰρ συρία κέδρον ἔχει, καὶ ταύτῃ χρῶνται πρὸς τὰς τριήρεις. ἀλλὰ καὶ τὰ φίλυδρα, καὶ τὰ παραποτάμια τοῦθ' ὁμοίως.

Ἐν μὲν γὰρ τῷ ἀδρίᾳ πλάτανον οὔ φασιν εἶναι, πλὴν περὶ τὸ διομήδους ἱερόν· σπανίαν δὲ καὶ ἐν ἰταλίᾳ πάσῃ, καίτοι πολλοὶ καὶ μεγάλοι ποταμοὶ παρ' ἀμφοῖν. ἀλλ' οὐκ

ῥηγίῳ — ἔοικε φέρειν ὁ τόπος. ἐν † ῥη τῷ γοῦν, ἃς διονύσιος πρεσβύτερος ὁ τύραννος ἐφύτευσεν ἐν τῷ παραδείσῳ, αἳ εἰσὶ νῦν ἐν τῷ γυμνασίῳ, φιλοτιμηθεὶς, οὐδὲ δύνανται λαβεῖν μέγεθος. ἔνιοι δὲ πλείστην ἔχουσι πλάτανον· οἱ δὲ πτελέαν, καὶ ἰτέαν· οἱ δὲ μυρίκην, ὥσπερ ὁ αἷμος. ὥστε τὰ μὲν τοιαῦτα, καθάπερ ἐλέχθη, τῶν τόπων ἴδια θετέον, ὁμοίως ἔν τε τοῖς ἀγρίοις καὶ τοῖς ἡμέροις. οὐ μὴν ἀλλὰ τάχα ἂν εἴη καὶ τούτων ἐπί τινων, ὥστε διακοσμηθέντων δύνασθαι τὴν χώραν φέρειν· ὃ καὶ νῦν ξυμβαῖνον ὁρῶμεν, καὶ ἐπὶ ζώων ἐνίων, καὶ φυτῶν. μεγίστη δὲ διαφορὰ αὕτη τῆς φύσεως τῶν δένδρων, καὶ ἁπλῶς τῶν ὑλημάτων ὑποληπτέον, ἣ καὶ πρότερόν γε εἴπομεν, ὅτι τὰ μὲν ἔγγεια, τὰ δ' ἔνυδρα τυγχάνει, καθάπερ τῶν ζώων καὶ τῶν φυτῶν. οὐ μόνον ἐν τοῖς ἕλεσι, καὶ ταῖς λίμναις, καὶ τοῖς ποταμοῖς, ἀλλὰ καὶ ἐν τῇ θαλάττῃ φύεται ὑλήματα ἔνια, ἔν τε τῇ ἔξω καὶ τῇ περὶ ἡμᾶς, καὶ δένδρα. ἐν μὲν γὰρ τῇ περὶ ἡμᾶς μικρὰ πάντα φαινόμενα, καὶ οὐδὲν ὑπερέχον (ὡς εἰπεῖν) τῆς ἐλάττης. ἐν ἐκείνῃ δὲ, καὶ τὰ τοιαῦτα, καὶ ὑπερέχοντα, καὶ ἕτερα δὲ μείζω δένδρα. τὰ μὲν οὖν περὶ ἡμᾶς, ἔστι τάδε φανερώτατα τὰ μὲν καὶ κοινότατα καὶ ἰδιώτατα, τοὺς τόπους. ἐλάτη, συκῆ,

* δρῦς, ἄμπελος, φοῖνιξ. τούτων δὲ τὰ μὲν πρόσγεια, τὰ δὲ πόντια, τὰ δ' ἀμφοτέρων τῶν τόπων κοινά. καὶ τὰ μὲν πολυειδῆ, καθάπερ ὁ φῦκος· τὰ δὲ μίαν ἰδέαν ἔχοντα. τοῦ γὰρ φύκους, τὸ μὲν ἔστι πλατύφυλλον, ταινιοειδὲς, χρῶμα ποῶδες ἔχον, ὃ δὴ καὶ πράσον καλοῦσί τινες, οἱ δὲ ζωστῆρα. ῥίζαν δὲ ἔχει δασεῖαν ἔξωθεν, ἔσωθεν δὲ λεπύρεια· μακρὰν δὲ ἱκανῶς, καὶ εὐπαχῆ, παρομοίαν τοῖς κρομμυογητείοις. τὸ δὲ τριχόφυλλον, ὥσπερ τὸ μάραθρον, οὐ ποῶδες, οὐδὲ ἔξωχρον, οὐδὲ ἔχον καυλὸν, ἀλλ' ὀρθόν πως ἐν αὑτῷ. φύεται δὲ τοῦτο ἐπὶ τῶν ὀστράκων, καὶ ἐπὶ τῶν λίθων· οὐχ ὥσπερ θάτερον, πρὸς τῇ γῇ. πρόσγεια δ' ἄμφω. καὶ τὸ μὲν τριχόφυλλον πρὸς αὐτῇ τῇ γῇ, πολλάκις δὲ ὥσπερ ἐπικλύζεται μόνον ὑπὸ τῆς θαλάττης· θάτερον δὲ ἀνωτέρω. γίνεται δὲ ἐν μὲν τῇ ἔξω, τῇ περὶ ἡρακλέας στήλας, θαυμαστὸν καὶ τὸ μέγεθος, ὥς φασι· καὶ τὸ πλάτος μεῖζον, ὡς παλαιστιαῖον. φέρεται δὲ τοῦτο εἰς — φαίν

τὴν

τος. σχεδὸν γὰρ, ὥς γέ τινές φασιν, οὐδὲν ὅλως τῶν δένδρων, οὐδὲ τῶν ὑλημάτων, οὐδὲ τῶν ποωδῶν, ὅμοιόν ἐστι τοῖς ἐν τῇ ἑλλάδι, πλὴν ὀλίγων. ἴδιον δὲ καὶ ἡ ἐβένη τῆς χώρας ταύτης. ταύτης δὲ δύο γένη· τὸ μὲν εὔξυλον καὶ καλόν, τὸ δὲ φαῦλον· σπάνιον δὲ τὸ καλόν. θάτερον δὲ πολύ. τὴν δὲ χρόαν οὐ θησαυριζομένην λαμβάνει, τὴν εὔχρων, ἀλλ' εὐθὺς τῇ φύσει. ἔστι δὲ τὸ δένδρον θαμνῶδες, ὥσπερ ὁ † κύτισος. φασὶ δ' εἶναι καὶ τέρμινθον, οἱ δ' ὅμοιον τῇ τερμίνθῳ· ὃ τὸ μὲν φύλλον καὶ τοὺς κλῶνας καὶ τἄλλα πάντα ὅμοια ἔχει τῇ τερμίνθῳ· τὸν δὲ καρπὸν διάφορον· ὅμοιον γὰρ ταῖς ἀμυγδάλαις. εἶναι γὰρ καὶ ἐν Βάκτροις τὴν τέρμινθον ταύτην, καὶ κάρυα φέρειν, ἡλίκα τὰ ἀμύγδαλα, διὰ τὸ μὴ μεγάλα, καὶ τῇ ὄψει δὲ παρόμοια, καὶ ἡ ἡδονὴ κρείττω τῶν ἀμυγδάλων· διὸ καὶ χρῶνται τοὺς ἐκεῖ μᾶλλον. ἐξ οὗ δὲ τὰ ἱμάτια ποιοῦσι, τὸ μὲν φύλλον ὅμοιον ἔχει τῇ συκαμίνῳ, τὸ δὲ ὅλον φυτὸν τοῖς κυνοσβάτοις ὅμοιον. φυτεύουσι δὲ ἐν τοῖς πεδίοις αὐτὸ κατ' ὄρχους. διὸ καὶ πόρρωθεν ἀφορῶσιν ἄμπελοι φαίνονται. ἔχει δὲ καὶ φοίνικας ἔνια μέρη πολλούς. καὶ ταῦτα μὲν ἐν δένδρου φύσει. φέρει δὲ καὶ σπέρματα ἴδια, τὰ μὲν τοῖς χεδροποῖς ὅμοια, τὰ δὲ τοῖς πυροῖς καὶ ταῖς κριθαῖς. ἐρέβινθος μὲν γὰρ,, καὶ φακός, καὶ τἄλλα τὰ παρ' ἡμῖν, οὐκ ἔστιν. ἕτερα δ' ἐστὶν, ὥστε παραπλήσια ποιεῖν τὰ ἑψήματα, καὶ μὴ διαγινώσκειν (ὥς φασιν) ἂν μή τις ἀκούσῃ. κριθαὶ δὲ, καὶ πυροὶ, καὶ ἄλλ' ὅ,τι γένος ἀγρίων κριθῶν, ἐξ οὗ καὶ ἄρτοι ἡδεῖς, καὶ χόνδρος καλός. ταύτας οἱ ἵπποι † ἐσθίοντες τὸ πρῶτον διεφθείροντο, κατὰ μικρὸν δὲ ἐθισθέντες ἐν ἀχύροις οὐδὲν ἔπασχον. μάλιστα δὲ σπείρουσι τὸ καλούμενον ὄρυζον, ἐξ οὗ τὸ ἕψημα. τοῦτο δὲ ὅμοιον τῇ ζειᾷ· καὶ περιπτισθὲν, οἷον χόνδρος. εὔπεπτον δὲ, τὴν ὄψιν πεφυκὸς ὅμοιον ταῖς αἴραις, καὶ τὸν πολὺν χρόνον ἐν ὕδασι. ἀνέρχεται δὲ οὐκ εἰς στάχυν, ἀλλ' οἷον φόβην, ὥσπερ ὁ κέγχρος, καὶ ὁ ἔλυμος. ἄλλο δὲ, ὃ καλοῦσιν οἱ ἕλληνες φακόν· τοῦτο δ' ὅμοιον μὲν τῇ ὄψει, καὶ τὸ βούκερας. θερίζεται δὲ καὶ περὶ πλειάδος δύσιν. διαφορὰ δὲ καὶ αὐτῇ τῇ χώρᾳ, τὸ τὴν μὲν φέρειν ἔνια, τὴν δὲ μὴ φέρειν. ἡ γὰρ ὀρεινὴ καὶ ἄμπελον ἔχει, καὶ ἐλαίαν, καὶ τὰ ἄλλα ἀκρόδρυα, πλὴν † ἄρπον τὴν ἐλαίαν, σχεδὸν δὲ καὶ τὴν φύσιν ὥσπερ μεταξὺ κοτίνου καὶ ἐλαίας. ἔστι δὲ τῇ ὅλῃ μορφῇ καὶ τὸ φύλλον τοῦ μὲν πλατύτερον, τοῦ δὲ στενώτερον. ταῦτα μὲν οὖν περὶ τὴν ἰνδικήν. ἐν δὲ τῇ ἀρείᾳ χώρᾳ καλουμένῃ ἄκανθά ἐστιν, ἐφ' ἧς γίνεται δάκρυον, ὅμοιον τῇ σμύρνῃ καὶ τῇ ὄψει καὶ τῇ ὀσμῇ. τοῦτο δ' ὅταν ἐπιλάμψῃ ὁ ἥλιος, καταρρεῖ. πολλὰ δὲ καὶ ἄλλα παρὰ τὰ ἐνταῦθα, καὶ ἐν τῇ χώρᾳ, καὶ ἐν τοῖς ποταμοῖς γίνεται. ἐν ἑτέροις δὲ τόποις ἐστὶν ἄκανθα λευκὴ τρίοζος, ἐξ ἧς καὶ σκυτάλια καὶ βακτηρίας ποιοῦσιν· ὀπώδης δὲ, καὶ μανή. ταύτην δὲ καλοῦσιν ἡρακλείαν. ἄλλο δὲ ὕλη, μέγεθος μὲν ἡλίκον ῥάφανος· τὸ δὲ φύλλον ὅμοιον δάφνῃ, καὶ τῷ μεγέθει, καὶ τῇ μορφῇ. τοῦτο δ' ἄν † τι φάγοι, ἐναποθνήσκει. διὸ καὶ ὅπου ἵπποι, τούτους ἐφύλαττον διὰ χειρῶν. ἐν δὲ τῇ γεδρωσίᾳ χώρᾳ πεφυκέναι φασὶν ἓν μὲν, ὅμοιον τῇ δάφνῃ φύλλον ἔχον, οὗ τὰ ὑποζύγια καὶ ὅ,τι ἂν φάγοι, μικρὸν ἐπισχόντα διαφθείρεσθαι. παραπλησίως, διατιθέμενα καὶ σπώμενα, ὁμοίως τοῖς ἐπιλήπτοις. ἕτερον δὲ ἄκανθάν τινα εἶναι· ταύτην φύλλον μὲν οὐδὲν ἔχειν, πεφυκέναι δ' ἐκ μιᾶς ῥίζης· ἐφ' ἑκάστῳ δὲ τῶν ὄζων, ἄκανθαν ἔχειν ὀξεῖαν σφόδρα. καὶ τούτων δὲ καταγνυμένων, ἢ προστριβομένων, ὀπὸν ἐκρεῖν πολὺν, ὃς ἀποτυφλοῖ τὰ ἄλλα ζῷα πάντα, καὶ πρὸς τοὺς ἀνθρώπους * τις αὐτοῖς. ἐν δὲ τόποις τισὶ πεφυκέναι τινὰ βοτάνην, ἐφ' ἣν συνειλημμένους ὄφεις εἶναι μικροὺς σφόδρα· τούτοις δ' ἄν τις ἐμβὰς πλησίον, θνήσκειν. ἀποπνίγεσθαι δὲ καὶ ἀπὸ τῶν φοινίκων τῶν ὠμῶν, ἄν τις φάγοι. καὶ τοῦτο ὕστερον κατανοηθῆναι. τοιαῦται μὲν οὖν δυνάμεις καὶ ζῴων καὶ φυτῶν, ἴσως καὶ παρ' ἄλλοις εἰσί.

6 Περιττότερα δὲ τῶν φυομένων, καὶ πλεῖστον ἐξηλλαγμένα πρὸς τἄλλα, τὰ εὔοσμα, τὰ περὶ ἀραβίαν καὶ συρίαν καὶ ἰνδούς· οἷον ὅ,τε λιβανωτὸς, καὶ ἡ σμύρνα, καὶ ἡ κασία, καὶ τὸ ὀποβάλσαμον, καὶ τὸ ὀποκινάμωμον, καὶ ὅσα ἄλλα τοιαῦτα, περὶ ὧν ἐν ἄλλοις εἴρηται διὰ πλειόνων. ἐν μὲν οὖν τοῖς πρὸς ἕω τε καὶ μεσημβρίαν, καὶ ταῦτ' ἴδια, καὶ ἕτερα δὲ πλείω τούτων ἐστίν. ἐν δὲ τοῖς πρὸς ἄρκτον, οὐχ ὁμοίως. οὐδὲν γὰρ ὅ,τι ἄξιον λόγου λέγεται, παρὰ τὰ κοινὰ τῶν δένδρων, ἃ καὶ φιλόψυχα τυγχάνει, καὶ ἔστι καὶ παρ' ἡμῖν· οἷον πεύκη, δρῦς, ἐλάτη, πύξος, διὸς βάλανος, φίλυρα, καὶ τἄλλα δὲ τὰ τοιαῦτα. σχεδὸν γὰρ οὐδὲν ἕτερον παρὰ ταῦτά ἐστιν. ἀλλὰ μᾶλλον τῶν ἄλλων ὑλημάτων ἔνια, τοὺς ψυχροὺς ἐζήτει τόπους· καθάπερ κενταύριον, ἀψίνθιον. ἔτι δὲ φαρμακώδη ταῖς ῥίζαις, καὶ τοῖς ὀποῖς· οἷον ἐλλέβορος, ἐλατήριον, σκαμμωνία, σχεδὸν πάντα τὰ ῥιζοτομούμενα. τὰ μὲν γὰρ τῷ πόντῳ καὶ τῇ θρᾴκῃ γίνεται· τὰ δὲ περὶ τὴν οἴτην, καὶ τὸν παρνασὸν, καὶ τὸ πήλιον, καὶ τὴν ὄσσαν, καὶ τὸ περθέριον· καὶ ἐν τούτοις

καὶ τῶν τοιούτων, φανερὸν ὅτι ἄποτα. τοὺς δὲ λίβυας λέγειν, ὅτι τὸν ὕον ἐσθίειν ταῦτα· † ἀεὶ καὶ τῶν ἀμμῶν γίνεται πολύπουν, καὶ μέλαν, συναιρούμενον εἰς ἑαυτό. ὕδωρ δὲ πολλοῦ γίνεσθαι σφόδρα, καὶ ὑγρὸν τὴν φύσιν εἶναι. δρόσον δὲ ἀεὶ ἐν τῇ μὴ ὑομένῃ πολλήν· ὥστε δῆλον ὅτι τὸν μὲν φοίνικα, καὶ εἴ τι ἄλλο φύεται ἐν ἀνύδροις, τό, τε ἐκ τῆς γῆς ἀνιὸν ἐκτρέφει, καὶ πρὸς τούτοις ἡ δρόσος. ἱκανὴ γάρ, ὥστε τὰ μεγέθη καὶ τὴν φύσιν αὐτῶν ξηρὰν οὖσαν, ἐκ τοιούτων συνεστηκέναι, καὶ δένδρα μὲν πλεῖστα καὶ ἰδιώτατα. περὶ δὲ τοῦ σιλφίου λεκτέον ὕστερον, ποῖόν τι τὴν φύσιν. ἐν δὲ τῇ ἀσίᾳ, τῶν ἑκάστοις ἴδια ἄλλα τυγχάνει. τὰ μὲν γὰρ φέρουσιν αἱ χῶραι, τὰ δ' οὐ φύουσιν· οἷον κιττὸν καὶ ἐλάτην οὔ φασιν εἶναι τῆς ἀσίας, ἐν τοῖς ἄνω τῆς συρίας, ἀπὸ θαλάττης πενθ' ἡμερῶν· ἀλλὰ ἐν ἰνδοῖς φανῆναι, καὶ τῷ ὄρει τῷ μηρῷ καλουμένῳ, ὅθεν δὴ καὶ τὸν Διόνυσον εἶναι μυθολογοῦσι. διὸ καὶ ὁ Ἀλέξανδρος ἐξ ἰνδίας ποτὲ ἀπιὼν ἐστεφανωμένος * εἶτα μὴ εἶναι καὶ αὐτὸς καὶ ἡ στρατιά. τῶν δὲ ἄλλων ἐν μηδίᾳ μόνον· περιλαμβάνειν γὰρ αὐτὴ δοκεῖ, καὶ συνάπτειν πῶς τῷ πόντῳ. καίτοι γε φιλοτιμηθῆναι μάλιστα Ἅρπαλον ἐν τοῖς παραδείσοις τοῖς περὶ Βαβυλῶνα φυτεύοντα πολλάκις, καὶ πραγματευόμενον· ἀλλ' οὐδὲν ἐποίει πλέον. οὐ γὰρ ἐδύνατο ζῆν, ὥσπερ τ' ἄλλα τὰ ἐκ τῆς Ἑλλάδος. τοῦτο μὲν † οὖν δέχεται ἡ χώρα διὰ τὴν τοῦ ἀέρος κρᾶσιν. ἀναγκαίως δὲ δέχεται καὶ πύξον, καὶ φιλύραν· καὶ γὰρ περὶ ταῦτα πονοῦσιν οἱ ἐν τοῖς παραδείσοις. ἕτερα δὲ ἴδια φέρει καὶ δένδρα, καὶ ὑλήματα. καὶ ἔοικεν ὅλως ὁ τόπος ὁ πρὸς ἀνατολὰς καὶ μεσημβρίαν, ὥσπερ καὶ ζῷα, καὶ φυτὰ φέρειν ἴδια παρὰ τοὺς ἄλλους· οἷον ἥ, τε μηδία χώρα, καὶ περσίς, ἄλλα τε ἔχει πλείω, καὶ τὸ μῆλον τὸ μηδικὸν καὶ τὸ περσικὸν καλούμενον. ἔχει δὲ τὸ δένδρον τοῦτο φύλλον μὲν ὅμοιον καὶ σχεδὸν ἴσον τῷ τῆς ἀνδράχνης· ἀκάνθας δέ, οἵας ἄπιος, ἢ ὀξυάκανθος· λείας δέ, καὶ ὀξείας σφόδρα, καὶ ἰσχυράς. τὸ δὲ μῆλον οὐκ ἐσθίεται μέν, εὔοσμον δὲ πάνυ, καὶ τὸ φύλλον τοῦ δένδρου. κἂν εἰς ἱμάτια τεθῇ τὸ μῆλον, ἄκοπα διατηρεῖ. χρήσιμον δέ, ἐπειδὰν τύχῃ πεπωκώς τις φάρμακον, ἢ πρὸς στόματος εὐωδίαν. ἐὰν γὰρ περιεψήσας ἐν τῷ ζωμῷ, ἢ ἐν ἄλλῳ τινί, τὸ ἔσωθεν τοῦ μήλου ἐκπίσῃ εἰς τὸ στόμα, καὶ καταροφήσῃ, ποιεῖ τὴν ὀσμὴν ἡδεῖαν. σπείρεται δὲ τοῦ ἦρος εἰς πρασιὰς ἐξαιρεθὲν τὸ σπέρμα, καὶ εἰργασμένας ἐπιμελῶς· εἶτα ἀρδεύεται διὰ τετάρτης ἢ πέμπτης ἡμέρας. ὅταν δὲ ἁδρὸν ᾖ τι, διαφυτεύεται πάλιν τοῦ ἔαρος εἰς χωρίον μαλακὸν καὶ ἔφυδρον, καὶ οὐ λίαν λεπτόν· φιλεῖ γὰρ τοιαῦτα. φέρει δὲ τὰ μῆλα πᾶσαν ὥραν· τὰ μὲν γὰρ ἀφῄρηται, τὰ δὲ ἀνθεῖ, τὰ δὲ ἐκπέττει. τῶν δὲ ἀνθῶν ὅσα, ὥσπερ εἴπομεν, ἔχει καθάπερ ἠλακάτην ἐκ μέσου τιν' ἐξέχουσαν, ταῦτά ἐστι γόνιμα· ὅσα δὲ μή, ἄγονα. σπείρεται δὲ καὶ εἰς ὄστρακα διατετρημένα, καθάπερ οἱ φοίνικες. τοῦτο μὲν οὖν, ὥσπερ εἴρηται, περὶ τὴν περσίδα καὶ τὴν μηδίαν ἐστίν.

5 Ἡ δὲ ἰνδικὴ χώρα τήν τε καλουμένην ἔχει συκῆν, ἣ καθίησιν ἐκ τῶν κλάδων τὰς ῥίζας, ἀν' ἕκαστον ἔτος, ὥσπερ εἴρηται πρότερον· ἀφίησι δὲ οὐκ ἐκ τῶν νέων, ἀλλ' ἐκ τῶν ἔνων, καὶ ἔτι παλαιοτέρων. αὗται δὲ συνάπτουσαι τῇ γῇ, ποιοῦσιν ὥσπερ δρύφακτον κύκλῳ περὶ τὸ δένδρον, ὥστε γίνεσθαι καθάπερ σκηνήν, αἷς δὴ καὶ εἰώθασι διατρίβειν. εἰσὶ δὲ αἱ ῥίζαι φυόμεναι διάδηλοι πρὸς τοὺς βλαστούς· λευκότεραι γάρ, καὶ δασεῖαι, καὶ σκολιαί, καὶ ἄφυλλοι. ἔχει δὲ τὴν ἄνω κόμην πολλήν, καὶ τὸ ὅλον δένδρον εὔκυκλον, καὶ τῷ μεγέθει μέγα σφόδρα· καὶ γὰρ ἐπὶ δύο στάδια ποιεῖν φασι τὴν σκιάν. καὶ τὸ πάχος τοῦ στελέχους ἔνια πλειόνων ἢ ἑξήκοντα βημάτων, τὰ δὲ πολλὰ τετταράκοντα. τὸ δέ γε φύλλον οὐκ ἔλαττον ἔχει πέλτης. καρπὸν δὲ σφόδρα μικρόν, ἡλίκον ἐρέβινθος, ὅμοιον δὲ σύκῳ· διὸ καὶ ἐκάλουν αὐτὸ οἱ Ἕλληνες συκῆν. ὀλίγον δὲ θαυμαστῶς τὸν καρπόν, οὐχ ὅτι πρὸς τὸ τοῦ δένδρου μέγεθος, ἀλλὰ καὶ τὸ ὅλον. φύεται δὲ τὸ δένδρον περὶ τὸν ἀκεσίνην ποταμόν. ἔστι δὲ καὶ ἕτερον δένδρον, καὶ τῷ μεγέθει μέγα, καὶ ἡδύκαρπον θαυμαστῶς, καὶ μεγαλόκαρπον· καὶ χρῶνται τροφῇ τῶν ἰνδῶν οἱ σοφοί, καὶ ἀπεχόμενοι. ἕτερον δέ, οὗ τὸ φύλλον τὴν μὲν μορφὴν πρόμηκες, τοῖς τῶν στρουθῶν πτεροῖς ὅμοιον, ἃ παρατίθενται παρὰ τὰ κράνη· μῆκος δὲ ὡς διπηχυαῖον. ἄλλο τέ ἐστιν, οὗ ὁ καρπὸς μακρός, καὶ οὐκ εὐθύς, ἀλλὰ σκολιός· ἐσθιόμενος δέ, γλυκύς. οὗτος ἐν τῇ κοιλίᾳ δηγμὸν ποιεῖ καὶ δυσεντερίαν. διὸ καὶ ὁ Ἀλέξανδρος ἀπεκήρυξε, μὴ ἐσθίειν. ἔστι δὲ ἕτερον, οὗ ὁ καρπὸς ὅμοιος τοῖς κερωνίοις. καὶ ἕτερα δὲ πλείω, καὶ διαφέροντα τῶν ἐν τοῖς Ἑλληνικοῖς, ἀλλ' ἀνώνυμα. θαυμαστὸν δ' οὐδὲν τῆς ἰδιότητος.

δέ τι δένδρον ἡ κοκκυμηλέα. μέγα μὲν τῷ μεγέθει, καὶ τὴν φύσιν ὅμοιον ταῖς μεσπίλοις, καὶ τὸ μέγεθος παραπλήσιον· πλὴν ἔχον τὸν πυρῆνα στρογγύλον. ἄρχεται δὲ ἀνθεῖν μηνὸς πυανεψιῶνος· τὸν δὲ καρπὸν πεπαίνει περὶ ἡλίου τροπὰς χειμερινάς. φύλλον δ' ἀείφυλλον. οἱ δὲ περὶ τὴν θηβαΐδα κατοικοῦντες, διὰ τὴν ἀφθονίαν τοῦ δένδρου ξηραίνουσι τὸν καρπόν, καὶ τοὺς πυρῆνας ἐξαιροῦντες, κόπτουσι καὶ ποιοῦσι παλάθας. ἴδιον δὲ ἴδιόν τι φυτὸν περὶ Μέμφιν, ὃ καὶ φύλλα καὶ βλαστὸς καὶ τὴν ὅλην μορφὴν ἔχει οὐ τὸ ἴδιον, ἀλλ' εἰς τὸ συμβαῖνον περὶ αὐτὸ πάθος. ἡ μὲν γὰρ πρόσοψις ἀκανθώδης ἐστὶν αὐτοῦ, καὶ τὸ φύλλον παρόμοιον ταῖς πτερίσιν. ὅταν δέ τις ἅψηται τῶν κλωνίων, ὥσπερ ἀφαυαινόμενα τὰ φύλλα συμπίπτειν φασίν, εἶτα μετά τινα χρόνον ἀναβιώσκεσθαι πάλιν, καὶ θάλλειν. καὶ τὰ μὲν ἴδια τῆς χώρας, ὡσανεὶ δένδρα τις ἢ θάμνους εἴποι· τὰ γὰρ ἐπιφανέστερα ταῦτ' ἐστί. περὶ γὰρ τῶν ἐν τῷ ποταμῷ καὶ τοῖς ἕλεσιν, ὕστερον ἐροῦμεν, ὅταν καὶ περὶ τῶν ἄλλων τῶν ἐνύδρων. ἅπαντα δὲ ἐν τῇ χώρᾳ τὰ δένδρα τὰ τοιαῦτα μεγάλα καὶ τοῖς μήκεσι καὶ τοῖς πάχεσιν· ἐν γοῦν Μέμφει τηλικοῦτον δένδρον εἶναι λέγεται τὸ πάχος, ὃ τρεῖς ἄνδρες οὐ δύνανται περιλαμβάνειν. ἔστι δὲ καὶ τμηθὲν τὸ ξύλον καλόν· πυκνόν τε γὰρ σφόδρα, καὶ τῷ χρώματι λωτειδές. ἐν Λιβύῃ δὲ ὁ λωτὸς πλεῖστος, καὶ κάλλιστος, καὶ ὁ παλίουρος. καὶ ἔν τισι μέρεσι, τῇ τε Νασαμωνικῇ, καὶ παρ' Ἄμμωνι, καὶ ἄλλοις, ὁ φοῖνιξ· ἐν δὲ τῇ Κυρηναίᾳ κυπάρισσος, ἐλαῖαι δὲ κάλλισται, καὶ ἔλαιον πλεῖστον. ἰδιώτατον δὲ πάντων τὸ σίλφιον· ἔτι καὶ κόπρον πολλὴν ἡ χώρα φέρει, καὶ εὔοσμον. -ερον

Ἔστι δὲ τοῦ λωτοῦ τὸ μὲν ἴδιον γένος τὸ μέγεθος, ἡλίκον ἄπιος, 4 ἢ μικρὸν ἔλαττον. φύλλον δέ, ἐντομὰς ἔχον, καὶ πρινῶδες. τὸ μὲν ξύλον, μέλαν. γένη δὲ αὐτοῦ πλείω, διαφορὰς ἔχοντα τοῖς καρποῖς· ὁ δὲ καρπός, ἡλίκος κύαμος. πεπαίνεται δὲ ὥσπερ οἱ βότρυες, μεταβάλλων τὰς χροιάς· φύεται δὲ καθάπερ τὰ μύρτα, παράλληλα. πυκνὸς ἐπὶ τῶν βλαστῶν· ἐσθιόμενος δὲ ἐν τοῖς λωτοφάγοις καλουμένοις, γλυκύς, ἡδὺς καὶ ἀσινής, καὶ ἔτι πρὸς τὴν κοιλίαν ἀγαθόν. ἡδίων δὲ ὁ ἀπύρηνος· ἔστι γὰρ καὶ τοιοῦτον γένος. ποιοῦσι δὲ καὶ οἶνον ἐξ αὐτοῦ. πολὺ δὲ τὸ δένδρον, καὶ πολύκαρπον. τὸ γοῦν Ὀφέλλου στρατόπεδον, ἡνίκα ἐβάδιζεν εἰς Καρχηδόνα, καὶ τούτῳ φασὶ πλείους ἡμέρας ἀπολειπόντων τῶν ἐπιτηδείων χρῆσθαι. ἔστι μὲν οὖν ἐν τῇ νήσῳ τῇ Λωτοφαγίᾳ φαρίδι καλουμένῃ, πολύς· αὕτη δὲ ἀπόκειται, καὶ ἀπέχει μικρόν. οὐ μὴν οὐδὲν μόνον ἐνταῦθα μόνον, ἀλλὰ πολλῷ πλείων ἐν τῇ ἠπείρῳ· πλεῖστον γὰρ ὅλως ἐν τῇ Λιβύῃ, καθάπερ εἴρηται, οὗτος, καὶ ὁ παλίουρος ἐστίν. ἐν γὰρ Εὐεσπερίσι, τούτοις εἰς καῦσιν χρῶνται. διαφέρει δὲ οὗτος ὁ λωτός, τοῦ παρὰ τοῖς λωτοφάγοις. καυσίμως

Ὁ δὲ παλίουρος θαμνωδέστερος τοῦ λωτοῦ. φύλλον δὲ παρόμοιον ἔχει τῷ ἐνταῦθα, τὸν δὲ καρπὸν διάφορον. οὐ γὰρ πλατύν, ἀλλὰ στρογγύλον, καὶ ἐρυθρόν· μέγεθος δὲ ἡλίκον τὰς κέδρους, ἢ μικρῷ μεῖζον. πυρῆνα δὲ ἔχει οὐ συνεσθιόμενον, καθάπερ ταῖς ῥοαῖς· ἡδὺν δὲ τὸν καρπόν. καὶ ἐάν τις οἶνον ἐπιχέῃ, καὶ αὐτὸν ἡδίω γίνεσθαί φασι, καὶ τὸν οἶνον ἡδίω ποιεῖν. φύεται δὲ τὸ τοῦ λωτοῦ δένδρον θαμνῶδες εἶναι, καὶ πολύκλαδον, τῷ στελέχει δὲ εὐπαχές· τὸν δὲ καρπὸν μετὰ τὸ κάρυον ἔχειν· τὰ δὲ ἐκτὸς οὐ σαρκώδη, ἀλλὰ δερματώδεστερον· ἐσθιόμενον δέ, οὐχ οὕτω γλυκύ, ὡς εὔστομον· καὶ τὸν οἶνον ὃν ἐξ αὐτοῦ ποιοῦσιν, οὐ διαμένειν, ἀλλ' ἢ δύο ἢ τρεῖς ἡμέρας, εἶτ' ὀξύνεσθαι. ἡδίω μὲν οὖν τὸν καρπὸν ἐν τοῖς λωτοφάγοις, ξύλον δὲ κάλλιστον τὸ ἐν Κυρηναίᾳ. θερμοτέραν δὲ εἶναι τὴν χώραν τῶν λωτοφάγων. τοῦ δὲ ξύλου τὴν ῥίζαν εἶναι μελαντέραν μὲν πολύ, πυκνὴν δὲ ἧττον, καὶ εἰς ἐλάττω χρησίμην· εἰς γὰρ τὰ ἐγχειρίδια, καὶ τὰ ἐπικολλήματα χρῆσθαι. τῷ δὲ ξύλῳ δὲ εἴς τε τοὺς αὐτούς, καὶ εἰς ἄλλα πλείω.

Ἐν δὲ τῇ μὴ ὑομένῃ τῆς Λιβύης, ἄλλα τε πλείω φύεσθαι, καὶ φοίνικας μεγάλους καὶ καλούς. οὐ μὴν ἀλλ' ὅπου μὲν φοῖνιξ, ἁλμυρώδη τε εἶναι, καὶ ἔφυδρον τὸν τόπον· οὐδὲ ἐν πολλῷ βάθει σφόδρα, καὶ ἡδύ, ἔνθα δὲ ἁλμυρὸν πλησίον ὄντων ἀλλήλοις. ὅπου τε τὰ ἄλλα φύονται, καὶ ξηρὸν καὶ ἄνυδρον. ἐνιαχοῦ δὲ καὶ τὰ φρέατα εἶναι ἑκατὸν ὀργυιῶν, ὥστε ὑποζυγίοις ἐκ τροχιλιᾶς ἀνιμᾶν, διὸ καὶ θαυμαστόν, πῶς ποτε ὠρύχθη τηλικαῦτα βάθη. τὸ δ' οὖν τῶν ὑδάτων τῶν ὑπὸ τοὺς φοίνικας, καὶ ἐν Ἄμμωνος εἶναι· διαφορὰν δὲ ἔχον τὴν εἰρημένην. φύεσθαι δὲ ἐν τῇ μὴ ὑομένῃ τὸ † θάμνον πολύ, καὶ ἄλλα ἴδια τε καὶ πλείω γίνεσθαι ἐνταῦθα· καὶ πόαν, καὶ δορκάδα, καὶ στρουθόν, καὶ ἕτερα τῶν θηρίων. ἀλλὰ ταῦτα μὲν ἄδηλον, εἰ ἐκπορίζει τις πιόμενα· διὰ γὰρ τὸ τάχος δύναται καὶ ταχὺ παραγίνεσθαι. ἄλλως τε καὶ δι' ἡμερῶν τινῶν πίνουσι, καθάπερ καὶ τὰ ἥμερα παρὰ τρίτην ἢ τετάρτην ποτίζονται ταῦτα. τὰ δὲ τῶν ζώων, οἷον ὄφεων, σαυρῶν, θύμον † ἢ μακράν

μέγεθος ἡλίκον κοκκύμηλον. ταύτῃ δὲ παραπλησία καὶ ἣν οἱ ἴωνες κεφανίαν καλοῦσιν. ἐκ δὲ
στελέχους γὰρ καὶ αὕτη φέρει τὸν πλεῖστον καρπόν· ἀπὸ δὲ τῶν ἀπηρτημένων, ὥσπερ εἴπομεν,
ὀλίγον. ὁ δὲ καρπὸς ἴδιος, ὃν καλοῦσί τινες αἰγύπτιον σῦκον, διημαρτηκότες· οὐ γίνεται
γὰρ ὅλως περὶ αἴγυπτον, ἀλλὰ περὶ συρίαν, ἐν ἰωνίᾳ δὲ, περὶ κνίδον καὶ ῥόδον. ἄφυλλον
δὲ, καὶ ἄνθος λευκὸν ἔχει. καὶ ἔτι βαρύτατον. μὴ μετακινεῖζον δὲ σφόδρα, καὶ ὅλως ἐκ τῶν κά-
τω παραβλαστητικόν. ἄνωθεν δὲ ὑποξηραινόμενον. ἔχει δὲ ἅμα καὶ τὸν ἕνον καὶ τὸν νέον καρ-
πόν. ἀφαιρουμένου γὰρ θατέρου μετὰ κυνὸς, καὶ ὁ ἕτερος εὐθὺς φανερὸς κυούμενος· κύει γὰρ
ὥσπερ βότρυς ὁμοσχήμων, ἅτ' αὐξηθεὶς αὐτῷ περὶ ἀρκτοῦρον καὶ ἰσημερίαν· ἀλλὰ τοῦτο δια-
διαμένει τὸν χειμῶνα μέχρι κυνός. ἡ μὲν οὖν ὁμοιότης, ὅτι στελεχόκαρπα καὶ ταῦτα· διαφοραὶ
δ' αἱ εἰρημέναι πρὸς τὴν συκάμινον. ἐν αἰγύπτῳ δ' ἐστὶν ἕτερον, περσέα καλούμενον, τῷ
μὲν προσόψει μέγα καὶ καλόν, παραπλήσιον δὲ μάλιστα τῇ ἀπίῳ καὶ φύλλοις, καὶ ἄνθεσι, καὶ
ἀκρέμοσι, καὶ τῷ ὅλῳ σχήματι· πλὴν τὸ μὲν ἀείφυλλον, τὸ δὲ φυλλοβόλον. καρπὸν δὲ φέρει
πολύν. καὶ πᾶσαν ὥραν πεπαίνει. περικαταλαμβάνει γὰρ ὁ νέος ἀεὶ τὸν ἕνον. πέττεται δὲ ὑπὸ
τοὺς ἐτησίας. τὸν δὲ ἄλλον ὠμότερον ἀφαιροῦσι, καὶ τιθέασι. ἔστι δὲ μέγεθος ἡλίκον ἄπιος, τῷ
σχήματι δὲ πρόμακρος, ἀμυγδαλώδης· χρῶμα δὲ αὐτοῦ ποῶδες. ἔχει δὲ ἐντὸς κάρυον,
ὥσπερ τὸ κοκκύμηλον, πλὴν ἔλαττον πολύ, καὶ μαλακώτερον· τὴν δὲ σάρκα γλυκεῖαν σφό-
δρα, καὶ ἡδεῖαν, καὶ εὔπεπτον. οὐδὲν γὰρ ἐνοχλεῖ, πολὺ προσενεγκαμένοις. εὔριζον δὲ τὸ
δένδρον καὶ μήκει, καὶ πάχει, καὶ πλήθει πολύ. ἔχει δὲ καὶ ξύλον ἰσχυρόν, καὶ καλὸν τῇ ὄψει
μέλαν. ὥσπερ ὁ λωτός· ἐξ οὗ καὶ τὰ ἀγάλματα, καὶ τὰ κλινίδια, καὶ τραπέζια, καὶ τὰ ἄλ-
λα τὰ τοιαῦτα ποιοῦσιν. ἡ δὲ βάλανος ἔχει μὲν τὴν προσηγορίαν ἀπὸ τοῦ καρποῦ· φύλλον
δ' αὐτῇ παραπλήσιον τῷ τῆς μυρρίνης, πλὴν προμηκέστερον. ἔστι δὲ τὸ δένδρον ἀπαθὲς μὲν,
καὶ εὐμέγεθες· οὐκ εὐφυὲς δὲ, ἀλλὰ διεστραμμένον. τοῦ καρποῦ δὲ τοῖς κελύφεσι χρῶνται οἱ
μυρεψοί, κόπτοντες· εὐώδεις γὰρ ἔχει· τὸν δὲ καρπὸν αὐτοῦ ἀχρεῖον. ἔστι δὲ καὶ τῷ μεγέθει καὶ
τῇ ὄψει παραπλήσιον τῷ τῆς καππάρεως· ξύλον δὲ ἰσχυρόν, καὶ εἰς ἄλλα τε χρήσιμον, καὶ εἰς τὰς
ναυπηγίας. τὸ δὲ καλούμενον κουκιόφορον, ἐστὶν ὅμοιον τῷ φοίνικι. τὴν δὲ ὁμοιότητα ἔχει τό
στέλεχος, καὶ τὰ φύλλα. διαφέρει δὲ, ὅτι ὁ μὲν φοῖνιξ μονοφυὴς καὶ ἁπλοῦν ἐστί, τοῦτο δὲ προ-
σαυξηθὲν σχίζεται καὶ γίνεται δικρόν· εἶτα πάλιν ἑκάτερον τούτων ὁμοίως. ἔτι δὲ τὰς ῥά-
βδους βραχείας ἔχει, καὶ οὐ πολλάς. χρῶνται δὲ τῷ φλοιῷ καθάπερ τῷ φοίνικι, πρὸς τὰ πλέ-
γματα. καρπὸν δὲ ἴδιον ἔχει πολὺ διαφέροντα καὶ μεγέθει, καὶ χρώματι, καὶ κυλῷ. μέγε- χυ
θος μὲν γὰρ ἔχει χειλὸν χειροπληθές· στρογγύλον δὲ, καὶ οὐ προμήκη, χρῶμα δὲ ὑπόξανθον· χυ-
λὸν δὲ γλυκὺν, καὶ εὔστομον· οὐκ ἀθρόον δὲ ὥσπερ ὁ φοῖνιξ, ἀλλὰ κεχωρισμένον καθ' ἕνα.
πυρῆνα δὲ μέγαν, καὶ σφόδρα σκληρόν, ἐξ οὗ τοὺς κρίκους τορνεύουσι, τοὺς εἰς τοὺς στρωμα-
τεῖς τοὺς διαποικίλους. διαφέρει δὲ πολὺ τὸ ξύλον τοῦ φοίνικος· τὸ μὲν γὰρ μανόν, καὶ ἰνῶ-
δες, καὶ χλωρόν· τὸ δὲ πυκνόν, καὶ βαρύ, καὶ σαρκῶδες. καὶ διατμηθὲν, ὅλον σφόδρα καὶ
σκληρὸν ἐστί. καὶ οἵ γε δὴ πέρσαι πάνυ ἐτίμων αὐτόν, καὶ ἐκ τούτου τῶν κλινῶν ἐποιοῦν-
3 το τοὺς πόδας. Ἡ δὲ † α, καλεῖται μὲν διὰ τὸ ἀκανθῶδες ὅλον τὸ δένδρον εἶναι, πλὴν τοῦ -δες
† Nimirũ legend. ἡ δ' ἄκανθος, &c. στελέχους· καὶ γὰρ ἐπὶ τῶν βλαστῶν καὶ ἐπὶ τῶν φύλλων ἔχει, μέγεθος δὲ μέγα· καὶ γὰρ δωδε-
κάπηχυς. ἐξ αὐτῶν ὀρόφιμος ὕλη τέμνεται. διττὸν δὲ τὸ γένος αὐτῆς. ἡ μὲν γὰρ ἐστι λευκή,
ἡ δὲ μέλαινα· καὶ ἡ μὲν λευκὴ ἀσθενής τε καὶ εὔσηπτος, ἡ δὲ μέλαινα ἰσχυροτέρα τε καὶ ἄση-
πτος· διὸ καὶ ἐν ταῖς ναυπηγίαις χρῶνται πρὸς τὰ ἐγκοίλια αὐτῇ. τὸ δένδρον δὲ οὐκ ἄγαν
ὀρθοφυές. ὁ δὲ καρπὸς ἔλλοβος, καθάπερ τῶν χεδροπῶν, ᾧ χρῶνται οἱ ἐγχώριοι πρὸς τὰ δέρμα-
τα ἀντὶ κηκίδος. τὸ δ' ἄνθος καὶ τῇ ὄψει καλόν, ὥστε καὶ στεφάνους ποιεῖν ἐξ αὐτοῦ· καὶ φαρμακῶ-
δες, διὸ καὶ συλλέγουσιν οἱ ἰατροί. γίνεται δὲ ἐκ ταύτης καὶ τὸ κόμμι· καὶ ῥεῖ, καὶ πληγείσης, καὶ αὐ-
χίσεως τόματον ἄνευ † χάσεως. ὅταν δὲ κοπῇ μετὰ τρίτον ἔτος εὐθὺς ἀναβεβλάστηκε. πολὺ δὲ τὸ
δένδρον ἐστί, καὶ δρυμὸς μέγας περὶ τὸν θηβαϊκὸν νομόν, ὅπου καὶ δρῦς, καὶ ἡ περσέα πλεῖσ-
τη, καὶ ἡ ἐλαία (καὶ γὰρ ἡ ἐλαία περὶ τοῦτον τὸν τόπον ἐστί) ὑπὸ ποταμῶν μὲν οὐκ ἀρδευομένη
(πλεῖον γὰρ ἢ τριακόσια στάδια ἀπέχει) ναματιαίοις δ' ὕδασιν· εἰσὶ γὰρ κρῆναι πολλαί. τὸ
δ' ἔλαιον οὐδὲν χεῖρον τοῦ ἐνθάδε, πλὴν κακωδέστερον, διὰ τὸ σπανίοις τοῖς ἁλσὶ χρῆσθαι τῇ φύ-
σει. τὸ δὲ ξύλον τοῦ δένδρου καὶ σκληρόν, καὶ παραπλήσιον, τεμνόμενον τῇ χρόᾳ τῷ λωτίνῳ. ἄλλο
δὲ τι

γοῦν περὶ τὴν κρηναίαν καλουμένην, τόπος δή τις ὑψηλὸς καὶ ἄπνους, εἰς ὃν οὐδέποθ' ὅλως ἥλιον ἐμβάλλειν φασίν· ἐν τούτῳ δὲ πολὺ διαφέρουσιν αἱ ἐλάται καὶ τῷ μήκει, καὶ τῷ πάχει. οὐ μὴν ὁμοίως γε πυκναί, οὐδ' ὡραῖαι· ἀλλ' ἥκιστα καθάπερ αἱ πεῦκαι, αἱ ἐν τοῖς παλισκίοις. διὸ καὶ πρὸς τὰ πολυτελῆ τῶν ἔργων, οἷον θυρώματα, καὶ εἴ τι ἄλλο σπουδαῖον, οὐ χρῶνται ταύταις· ἀλλὰ πρὸς τὰς ναυπηγίας μᾶλλον, καὶ τὰς οἰκοδομίας. καὶ γὰρ δοκοὶ κάλλισται καὶ σανίδες καὶ ἀκρίμαια αἱ ἐκ τούτων, ἔτι δὲ ἱστοὶ τῷ μήκει διαφέροντες· ἀλλ' οὐχ ὁμοίως ἰσχυροί, τοῖς ἐκ τῶν προσηλίων· ἀλλὰ τῇ βραχύτητι πυκνότεροί τε ἐκείνων, καὶ ἰσχυρότεροι γίνονται. χαίρει δὲ σφόδρα καὶ ἡ † μίλακς τοῖς παλισκίοις, καὶ ἡ πτελέα, καὶ θραύπαλος. περὶ δὲ τὰς κορυφὰς τῶν ὀρέων, καὶ τοὺς ψυχροὺς τόπους, † θεία μὲν φύεται εἰς ὕψος. ἐλάτη δὲ καὶ ἄρκευθος φύεται μέν, οὐκ εἰς ὕψος δέ· καθάπερ καὶ περὶ τὴν ἄκραν Κυλλήνην. φύεται δὲ καὶ ἡ κήλαστρος ἐπὶ τῶν ἄκρων, καὶ χειμεριωτάτων. ταῦτα μὲν οὖν ἄν τις θείη φιλόψυχρα. τὰ δ' ἄλλα πάντα, ὡς εἰπεῖν, μᾶλλον χαίρει τοῖς προσηλίοις. οὐ μὴν ἀλλὰ καὶ τοῦτο συμβαίνει κατὰ τὴν χώραν οἰκείαν ἑκάστῳ τῶν δένδρων. ἐν Κρήτῃ γοῦν φασιν ἐν τοῖς Ἰδαίοις ὄρεσι, καὶ ἐν τοῖς Λευκοῖς καλουμένοις, ἐπὶ τῶν ἄκρων, ὅθεν οὐδέποτε ἐκλείπει χιών, κυπάριττον εἶναι· πλείστη γὰρ αὕτη τῆς ὕλης, καὶ ὅλως ἐν τῇ νήσῳ καὶ ἐν τοῖς ὄρεσιν. ἔστι δέ, ὥσπερ καὶ πρότερον εἴρηται, καὶ τῶν ἀγρίων καὶ τῶν ἡμέρων τὰ μὲν ὀρεινά, τὰ δὲ πεδεινὰ μᾶλλον. ἀναλογία δὲ καὶ ἐν αὐτοῖς τοῖς ὄρεσι, τὰ μὲν ἐν τοῖς ὑποκάτω, τὰ δὲ περὶ τὰς κορυφάς, ὥστε καὶ καλλίω γίνεται καὶ εὐθενεῖ. πανταχοῦ δὲ καὶ πάσης τῆς ὕλης πρὸς βορρᾶν τὰ ξύλα πυκνότερα καὶ καλλίω φέρει, καὶ ἁπλῶς καλλίω. καὶ ὅλως δὲ πλείω ἐν τοῖς προσβορείοις φύεται, αὐξάνεται δὲ καὶ ἐπιδιδόασι τὰ πυκνὰ μὴ ὄντα μᾶλλον εἰς μῆκος· διὸ καὶ ἄοζα, καὶ εὐθέα, καὶ ὀρθοφυῆ γίνεται· καὶ κωπεῶνες ἐκ τούτων κάλλιστοι. μᾶλλον δὲ εἰς βάθος καὶ πάχος· διὸ καὶ σκολιώτερα καὶ ὀζωδέστερα, καὶ τὸ ὅλον στερεώτερα καὶ πυκνότερα φύεται. σχεδὸν δὲ τὰς αὐτὰς ἔχει διαφορὰς τούτοις καὶ ἐν τοῖς παλισκίοις, καὶ ἐν τοῖς εὐηλίοις, καὶ ἐν τοῖς εὐπνόοις. ὀζωδέστερα γάρ, καὶ βραχύτερα, καὶ ἧττον εὐθέα τὰ ἐν τοῖς εὐηλίοις ἢ τοῖς προσηνέμοις. ὅτι δὲ ἕκαστον ζητεῖ καὶ χώραν οἰκείαν, καὶ κρᾶσιν ἀέρος, φανερόν, τῷ τὰ μὲν φέρειν ἐνίους τόπους, τὰ δὲ μὴ φέρειν, μήτε αὐτὰ γινόμενα, μήτε φυτευόμενα ῥαδίως· ἐὰν δὲ καὶ ἀντιλαβῆται, μὴ καρποφορεῖν, ὥσπερ ἐπὶ τοῦ φοίνικος ἐλέχθη, καὶ τῆς αἰγυπτίας συκαμίνου, καὶ ἄλλως. εἰσὶ γὰρ πλείω, καὶ ἐν πλείοσι χώραις, τὰ μὲν ὅλως φυτευόμενα, αὐξάνει δὲ καὶ ἄκαρπα, καὶ τὸ ὅλον φαῦλα· περὶ ὧν ἴσως λεκτέον, ἐφ' ὅσον ἔχομεν ἱστορίας.

Ἐν Αἰγύπτῳ γὰρ δὴ ἔνια δένδρα πλείω, ἥ τε συκάμινος, καὶ ἡ περσέα καλουμένη, καὶ ἡ βάλανος, καὶ ἡ ἄκανθα, καὶ ἕτερ' ἄττα. ἔστι δὲ ἡ μὲν συκάμινος παραπλησία πως τῇ ἐνταῦθα συκαμίνῳ· καὶ γὰρ τὸ φύλλον ἔχει, καὶ τὸ μέγεθος, καὶ τὴν ὅλην πρόσοψιν. τὸν δὲ καρπὸν ἰδίως φέρει παρὰ τὰ ἄλλα, καθάπερ ἐλέχθη καὶ ἐν τοῖς κατ' ἀρχάς· οὐ γὰρ ἐκ τῶν βλαστῶν, οὐδ' ἀπὸ τῶν ἀκρεμόνων, ἀλλ' ἐκ τοῦ στελέχους, μέγεθος μὲν ἡλίκον σῦκον, καὶ τῇ ὄψει δὲ παραπλήσιον, τῷ χυλῷ δὲ καὶ τῇ γλυκύτητι τοῖς ὀλύνθοις, πλὴν γλυκύτερον πολύ, καὶ κεγχραμίδας ὅλως οὐκ ἔχοντα, πλῆθος δὲ πολύ. καὶ πέττειν οὐ δύναται, ἂν μὴ ἐπικνισθῇ, ἀλλ' ἔχοντες ὄνυχας σιδηρᾶς, ἐπικνίζουσιν. ἃ δ' ἂν ἐπικνισθῇ, τεταρταῖα πέττεται. τούτων δ' ἀφαιρεθέντων, πάλιν ἄλλα φύεται, καὶ ἐκ τοῦ αὐτοῦ τόπου μηδὲν παραλλάσσοντα. καὶ τοῦθ' οἱ μὲν τρίς, οἱ δὲ πλεονάκις φασὶ γίνεσθαι. πολύοπον δὲ τὸ δένδρον σφόδρα ἐστί, καὶ τὸ ξύλον αὐτοῦ εἰς πολλὰ χρήσιμον. ἴδιον δὲ ἔχειν δοκεῖ παρὰ τὰ ἄλλα, μηδὲν γὰρ ἔχειν εὐθὺς χλωρόν. αὐαίνεται δὲ εἰς βυθόν. εἰς βόθυνον δὲ ἐμβάλλουσι, καὶ εἰς τὰς λίμνας εὐθύς, καὶ ταριχεύουσι· βρεχόμενον δ' ἐν τῷ βυθῷ, ξηραίνεται. καὶ ὅταν τελείως ξηρὸν γένηται, τότε ἀναφέρεται καὶ ἐπινεῖ. καὶ δοκεῖ καλῶς τότε τεταριχεῦσθαι· γίνεται γὰρ κοῦφον, καὶ μανόν. ἡ μὲν οὖν συκάμινος ἔχει ταύτας τὰς ἰδιότητας.

Ἔοικε δὲ παραπλησία τις ἡ φύσις εἶναι καὶ τῆς ἐν Κρήτῃ καλουμένης κυπρίας συκῆς. καὶ γὰρ ἐκείνη φέρει τὸν καρπὸν ἐκ τοῦ στελέχους, καὶ ἐκ τῶν παχυτάτων ἀκρεμόνων· πλὴν ὅτι βλαστόν τινα ἀφίησι μικρόν, ἄφυλλον, ὥσπερ ῥιζίον· πρόσω δὲ ὁ καρπός. τὸ δὲ στέλεχος μέγα, καὶ παρόμοιον τῇ λεύκῃ, φύλλον δὲ τῇ πτελέᾳ. πεπαίνει δὲ τέτταρας καρπούς, ὅσαι περ αὐτοῦ καὶ αἱ βλαστήσεις. οὐδ' ἓν δὲ πεπαίνει, μὴ ἐπιτμηθέντος τοῦ ἐρινοῦ, καὶ ἐκρυέντος τοῦ ὀποῦ. ἡ δὲ γλυκύτης, προσεμφερὴς τῷ σύκῳ, καὶ ἔσωθεν τοῖς ἐρινοῖς.

διαυξιστάτη διαφέρουσι. † διαξιστάτη δὲ ἡ ποάδης, καὶ τῶν πλεῖστον παραλλάττει. φανερὰν δ' εἶναί φασι τὴν
ἀρρενοθηλύτητα, οὐ μόνον τοῖς φύλλοις, ὅτι μείζω καὶ πλατύτερα ἔχει, ἀλλὰ καὶ τοῖς βλαστοῖς·
εὐθὺς γὰρ ὀρθοὺς ἔχει, καὶ οὐχ ὥσπερ κατακεκαμμένη καὶ διὰ τὴν λεπτότητα καὶ διὰ τὸ μῆκος.
ἀνδράχνη τῇ δὲ λευκῇ ὅλως, καὶ βραχύτεροι καὶ παχύτεροι ὁ καὶ λευκὸς, ὅταν ἄρχηται † ἀνδράχνην ἔχει, μὴ καὶ ὁ
ἔχει τείνοντα ἤδη καὶ ὀρθὸν τὸν βλαστόν. πολύρριζος μὲν οὖν ἅπας κιττὸς, καὶ πυκνόρριζος, συνε-
καί στραμμένος· ταῖς ῥίζαις δὲ ξυλώδεσι, καὶ παχείαις, καὶ οὐκ ἄγαν βαθυρρίζοις. καὶ μάλιστα δ'
ὁ μέλας, καὶ τοῦ λευκοῦ ὁ τραχύτατος καὶ ἀγριώτατος. διὸ καὶ χαλεπὸς παραφύεσθαι πᾶσι τοῖς
δένδροις. ἀπόλλυσι γὰρ πάντα, καὶ ἀφαυαίνει, παραιρούμενος τὴν τροφήν. λαμβάνει δὲ μά-
λιστα πάχος οὗτος, καὶ ἀποδενδροῦται, καὶ γίνεται αὐτὸ καθ' αὑτὸ κιττὸς δένδρον. ὡς δ' ἐπὶ
Forte ἐπαλλόκαυλον, aut potius ἐπαυλόκαυλον τὸ πλεῖστον ἀεὶ πρὸς ἕτερον φιλεῖ, καὶ ζητεῖ· καὶ ὥσπερ † ἐπαυλόκαυλόν ἐστιν. ἔχει δ' εὐθὺς καὶ
ἐκ φύσεώς τι τοιοῦτον. καὶ γὰρ τῶν βλαστῶν ἀφίησιν ἀεὶ ῥίζας ἀνὰ μέσον τῶν φύλλων, αἷς ὥσπερ
ἐνδύεται τοῖς δένδροις καὶ τοῖς τείχεσιν, οἷον ἐξεπίτηδες πεποιημένας ὑπὸ τῆς φύσεως.
διὸ καὶ ἐξαιρούμενος τὴν ὑγρότητα, καὶ ἕλκων ἀφαυαίνει· καὶ ἐὰν ὑποκοπῇ κάτωθεν,
δύναται διαμένειν καὶ ζῆν. ἔχει δὲ καὶ ἑτέραν διαφορὰν περὶ τὸν καρπὸν οὐ μικράν. ὁ μὲν γὰρ
ἐπίγλυκύς ἐστιν, ὁ δὲ σφόδρα πικρὸς, καὶ τοῦ λευκοῦ καὶ τοῦ μέλανος· σημεῖον δ' ὅτι τὸν μὲν
ἐσθίουσιν οἱ ὄρνιθες, τὸν δ' οὔ. τὰ μὲν οὖν περὶ τὸν κιττὸν, οὕτως ἔχει. ἡ δὲ σμίλαξ, ἐστὶ μὲν
ἐπαυλόκαρπον· ὁ δὲ καρπὸς ἀκανθώδης, καὶ ὥσπερ ὀρθόκανθον. τὸ δὲ φύλλον, κιττῶδες, μι-
κρὸν ἀγώνιον, κατὰ τὴν μίσχου πρόσφυσιν νοτηρόν. ἴδιον δ' ὅτι τὴν τε διὰ μέσου ταύτην
ἴδιον ὥσπερ ῥάχιν λεπτὴν ἔχει, καὶ τὰς σημεῖας διαλείψεις οὐκ ἀπὸ ταύτης ὥσπερ τὰ τῶν ἄλλων, ἀλ-
τῶν λὰ περὶ αὐτὴν περιφορεῖς, ἠγμένας ἀπὸ τῆς προσφύσεως τοῦ μίσχου τοῦ φύλλου· παρὰ δὲ τὸν καυ-
λὸν τὸν ἄτονον, τὰ παρὰ τὰς διαλείψεις τὰς φυλλικὰς, ἐκ τῶν αὐτῶν μίσχων τοῖς φύλλοις παρα-
πέφυκεν ἴουλος λεπτὸς, καὶ ἑλικτός. ἄνθος δὲ λευκὸν, καὶ εὐῶδες, λειρινόν. τὸν δὲ καρπὸν ἔχει
παρεμφερῆ τῷ στρύχνῳ, καὶ τῷ μηλώθρῳ, καὶ μάλιστα τῇ καλουμένῃ σταφυλῇ ἀγρίᾳ. κατα-
κρέμασται δ' οἱ βότρυες, κιττοῦ τρόπον. παρεγγίζει δὲ ὡς πρὸς τὴν σταφυλήν· ἀπὸ γὰρ ἑνὸς ση-
αἱ ῥαγικαὶ μείου οἱ μίσχοι † ὀραγικοί. ὁ δὲ καρπὸς ἐρυθρὸς, ἔχων πυρῆνας τὸ μὲν ἐπίπαν δύο, ἐν τοῖς μεί-
ζοσι δὲ τρεῖς, ἐν δὲ τοῖς μικροῖς ἕνα. σκληρὸς δ' ὁ πυρὴν σφόδρα, καὶ τῷ χρώματι μέλας
ἴδιον ἔξωθεν. ἰδίαν δὲ τῶν βοτρύων, ὅτι ἐκ πλαγίων τε τῶν καυλῶν παραθεωρεῖσθαι. καὶ κατ' ἄκρον
ὁ μέγιστος βότρυς τὸν καυλὸν, ὥσπερ ἐπὶ τῆς ῥάμνου καὶ τῆς βάτου. ἔστι δὲ δῆλον, ὡς καὶ ἀκρό-
καρπον, καὶ πλαγιοκαλαιόκαρπον. τὸ δ' συνώνυμον προσαγορευόμενον δένδρον, φύεται
μὲν ἄλλοθί τε, καὶ τῆς Λέσβου ἐν τῷ ὄρει τῷ ὀρκυνίῳ, ὃ δὴ ὄνος καλεῖται. ἔστι δὲ ἁλίκον ῥόα, καὶ
ἣ τὸ φύλλον ἔχει ῥοῶδες, μεῖζον δὲ † ἡ χαμαιδάφνη, καὶ μαλακὸν ὥσπερ ἡ ῥόα. ἡ δὲ βλάστη-
σις ἄρχεται μὲν περὶ τὸν ποσειδεῶνα· ἀνθεῖ δὲ τοῦ ἦρος. τὸ δ' ἄνθος ὅμοιον τῇ χρόᾳ
τοῦ λευκοῦ ἴου. ὄζει δὲ δεινὸν, ὥσπερ φόνου. ὁ δὲ καρπὸς ἐμφερὴς τὴν μορφὴν μετὰ τοῦ κε-
λύφους, τῷ τῆς σησάμης λοβῷ· ἐνδοθεν δὲ στριφνὸν, πλὴν διῃρημένον κατὰ τὴν τετραστιχίαν. τοῦτον
ἐσθιόμενον ἀπὸ τῶν προβάτων, ἀποκτείνει καὶ τὸ φύλλον, καὶ ὁ καρπός. καὶ μάλιστα τὰς αἶγας,
ἐὰν μὴ καθάρσεως τύχῃ. καθαιρεῖται δὲ αὐόχῳ. περὶ μὲν οὖν δένδρων καὶ θάμνων εἴρηται·
ἐν δὲ τοῖς ἑξῆς περὶ τῶν λειπομένων λεκτέον.

ΘΕΟΦΡΑΣΤΟΥ ΠΕΡΙ ΦΥΤΩΝ

ἹΣΤΟΡΊΑΣ ΤῸ Δ΄.

Αἱ μὲν οὖν διαφοραὶ τῶν ὁμογενῶν τεθεώρηνται πρότερον. ἅπαντα δ'
ἐν τοῖς οἰκείοις τόποις καλλίω γίνεται, καὶ μᾶλλον εὐθενεῖ. καὶ πρὸς
τοῖς ἀγρίοις εἰσὶν ἑκάστοις οἰκεῖοι, καθάπερ τοῖς ἡμέροις. τὰ μὲν γὰρ
φιλεῖ τοὺς ἐφύδρους καὶ ἑλώδεις, οἷον αἴγειρος, λεύκη, ἰτέα, καὶ ὅλως
τὰ παρὰ τοὺς ποταμοὺς φυόμενα· τὰ δὲ τοὺς εὐσκεπεῖς, καὶ εὐηλίους·
τὰ δὲ μᾶλλον τοὺς παλισκίους. πεύκη μὲν γὰρ ἐν τοῖς προσηλίοις
καλλίστη καὶ μεγίστη φύεται· ἐν δὲ τοῖς παλισκίοις ὅλως οὐ φύεται.
ἐλάτη δὲ ἀνάπαλιν, ἐν τοῖς παλισκίοις καλλίστη, τοῖς δ' εὐηλίοις οὐχ ὁμοίως. ἐν Ἀρκαδίᾳ

γοῦν

κερας καλαμίνθας. ἔστι δὲ θαμνῶδες, ῥαβδίοις μικροῖς. γίνονται δὲ οἱ κλάδοι ὡς πυγωνιαῖοι, πρὸς οἷς ῥᾶγες εἰσὶν ἐκ πλαγίου μέλαιναι, τὸ μέγεθος, ἡλίκος κύαμος, γλυκεῖαι. ἔχουσι δὲ ἐν αὐτοῖς γιγαρτῶδές τι, μαλακόν· φύλλον στρογγύλον, ἀσχιδὲς, μικρόν· ἔχει δὲ καὶ τ' ἄλλα σχεδὸν ἔνια φύσεις τινὰς ἰδίας, τὰ μὲν δένδρων, τὰ δὲ θάμνων, τὰ δ' ἄλλων ὑλημάτων. ἀλλὰ γὰρ περὶ μὲν τῆς ἰδιότητος ἔρχεται πολλάκις, οἷα γίνεται καθ' ἑκάστους τόπους. ἡ δὲ ἐν αὐτοῖς τοῖς ὁμογενέσιν ἡ διαφορὰ, καθάπερ ἡ τῶν δένδρων καὶ τῶν θάμνων, ὁμοίως ἐστὶ καὶ τῶν ἄλλων (ὥσπερ εἴρηται) τῶν πλείστων, ὥσπερ καὶ ῥάμνου, καὶ παλιούρου, καὶ ἴσου, καὶ ῥοῦ, καὶ κιττοῦ, καὶ βάτου, καὶ ἑτέρων πολλῶν. ῥάμνος τε γὰρ ἡ μέν ἐστι μέλαινα, ἡ δὲ λευκή· καὶ ὁ καρπὸς διάφορος· ἀκανθοφορεῖ δ' ἄμφω. τοῦ τε ἴσου τὸ μὲν λευκόν, τὸ δὲ μέλαν. καὶ τὸ ἄνθος ἑκατέρου καὶ ὁ καρπὸς κατὰ λόγον. ὁ μὲν λευκὸς, ὁ δὲ μέλας· φύεται δὲ καὶ ὥσπερ ἀνὰ μέσον ἐν τὸ ἄνθος, ὑποπορφυρίζει· καὶ ἔτι οἰνωπόν, ἔτι ἐκλευκόν ἐστιν, ὥσπερ κρίνον. ἔχει δὲ καὶ τὰ φύλλα λεπτότερα καὶ λειότερα, καὶ τὰς ῥάβδους, τὸ λευκόν. ὅ, τε παλίουρος ἔχει διαφοράς. ἅπαντα δὲ ταῦτα καρποφόρα. καὶ ὅγε παλίουρος ἐν λοβῷ τινι τὸν καρπὸν ἔχει, καθάπερ τὸ φύλλον, ἐν ᾧ τρία ἢ τέτταρα γίνεται· χρῶνται δὲ αὐτῷ πρὸς τὰς βῆχας οἱ ἰατροί, κόπτοντες. ἔχει γὰρ τινα γλισχρότητα, καὶ λίπος, ὥσπερ τὸ τοῦ λίνου σπέρμα. φύεται δὲ καὶ ἐπὶ τοῖς ἐφύδροις, καὶ ἐν τοῖς ξηροῖς, ὥσπερ ὁ βάτος· οὐχ ἧττον δὲ ἐστι τὸ δένδρον πάρυδρον· φυλλοβόλον δέ, καὶ οὐχ ὥσπερ ἡ ῥάμνος ἀείφυλλον.

18 ἔτι δὲ καὶ τοῦ βάτου πλείω γένη, μεγίστην δ' ἔχοντες διαφοράν. ὅτι ὁ μὲν ὀρθοφυὴς, καὶ ὕψος ἔχων· ὁ δ' ἐπὶ τῆς γῆς, καὶ εὐθὺς κάτω νεύων· καὶ ὅταν συνάψῃ τῇ γῇ, ῥιζούμενος πάλιν, ὃν δὴ καλοῦσί τινες χαμαίβατον. τὸ δὲ κυνόσβατον, τὸν καρπὸν ὑπέρυθρον ἔχει, καὶ παραπλήσιον τῷ τῆς ῥόας. ἔστι δὲ δένδρου καὶ θάμνου μεταξὺ καὶ παρόμοιον ταῖς ῥόαις, τὸ δὲ φύλλον ἀγνῶδες. τῆς δὲ ῥοῦ τὸ μὲν ἄρρεν, τὸ δὲ θῆλυ καλοῦσι, τῷ τὸ μὲν ἄκαρπον εἶναι, τὸ δὲ κάρπιμον. οὐκ ἔχει δὲ οὐδὲ τὰς ῥάβδους ὑψηλὰς, οὐδὲ παχείας· φύλλον δὲ ὅμοιον πτελέᾳ, πλὴν μικρόν, καὶ προμηκέστερον, καὶ ἐπίδασυ. τῶν δὲ κλωνίων τῶν νέων ἐξ ἴσου τὰ φύλλα εἰς δύο· κατάλληλα δὲ ἐκ τῶν πλαγίων, ὥστε στοιχεῖν. βάπτουσι δὲ τούτῳ καὶ οἱ σκυτοδέψαι τὰ λευκὰ δέρματα. ἄνθος λευκόν, βοτρυῶδες. τῷ σχήματι δὲ τὸ ὁλοσχερὲς, ὥστ' ὄγγας ἔχον, ὥσπερ καὶ ὁ βότρυς. ἀπανθήσαντος δέ, ὁ καρπὸς ἅμα τῇ σταφυλῇ ἐρυθραίνεται, καὶ γίνονται οἷον φακοὶ λεπτοὶ συγκείμενοι. βοτρυῶδες δὲ τὸ σχῆμα καὶ τούτων. ἔχει δὲ τὸ φαρμακῶδες τοῦτο, ὃ καλεῖται ῥοῦς, ἐν αὐτῷ ὀστῶδες, ὃ καὶ τῆς ῥοῦ διηθημένης ἔχει πολλάκις. ῥίζα δ' ἐπιπόλαιος, καὶ μονοφυὴς, ὥστε ἀναρπᾶσθαι ῥᾳδίως ὁλόρριζα. τὸ δὲ ξύλον ἐντεριώνην, -κάμ- ἄφθαρτον δὲ κοπτόμενον. ἐν πᾶσι δὲ γίνεται τοῖς τόποις, εὐθηνεῖ δὲ μάλιστα ἐν ταῖς ἀργιλώδεσι. πολυειδὴς δὲ ὁ κιττός. καὶ γὰρ † ἐπίγειος, ὁ δὲ εἰς ὕψος αἰρόμενος. καὶ τῶν ἐν ὕψει ὁ μὲν πλείω γένη. τρία δ' οὖν φαίνεται τὰ μέγιστα· ὅ, τε λευκὸς, καὶ ὁ μέλας, καὶ τρίτον ἡ ἕλιξ. εἴδη δὲ ἑκάστου τούτων, πλείω· λευκὸς γὰρ, ὁ μὲν περὶ καρπὸν μόνον, ὁ δὲ καὶ τοῖς φύλλοις ἐστί. πάλιν δὲ τῶν λευκοκάρπων μόνον, ὁ μὲν ἁδρὸν καὶ πυκνὸν καὶ συνεστηκότα τὸν καρπὸν ἔχει, καθάπερ εἰς σφαῖραν, ὃν δὴ καλοῦσί τινες κορυμβίαν, οἱ δὲ Ἀθήνησιν ἀχαρνικὸν ἀρδευόμενον· ὁ δὲ ἐλάττων διακεχυμένος, ὥσπερ καὶ ὁ μέλας· ἔχει δὲ καὶ ὁ μέλας διαφοράς, ἀλλ' οὐχ ὁμοίως φανεράς. ἡ δὲ δὴ ἕλιξ ἐν μεγίσταις διαφοραῖς· καὶ γὰρ τοῖς φύλλοις πλεῖστον διαφέρει, τῇ τε μικρότητι, καὶ περὶ † γωνιοειδῆ, καὶ εὐρυθμότερα εἶναι· γωνιοειδῆ τὰ δὲ τοῦ κιττοῦ, περιφερέστερα καὶ ἁπλᾶ· καὶ περὶ μῆκος τῶν κλημάτων, καὶ ἔτι περὶ ἄκαρπος εἶναι. διατείνονται γάρ τινες, περὶ μὴ ἀποκιττοῦσθαι τῇ φύσει τὴν ἕλικα, ἀλλὰ τῇ ἐκ τοῦ κιττοῦ τελειουμένην. εἰ δὲ πᾶς ἀποκιττοῦται, καθάπερ τινές φασιν, ἡλικίας ἂν εἴη καὶ διαθέσεως, οὐκ εἴδους ἡ διαφορά· καθάπερ καὶ τῆς ἀπίου πρὸς τὴν ἀχράδα. πλὴν τό γε φύλλον καὶ ταύτης πολὺ διαφέρει πρὸς τὸν κιττόν· σπάνιον δὲ τοῦτο, καὶ ἐν ὀλίγοις ἐστίν, ὥστε παλαιούμενον μεταβάλλειν, ὥσπερ ἐπὶ τῆς λεύκης καὶ τοῦ κρότωνος. εἴδη δ' ἐστὶ πλείω τῆς ἕλικος, ὡς μὲν τὰ προφανέστατα καὶ μέγιστα λαβεῖν τρία· ἥ τε χλοερὰ καὶ ποώδης, ἥπερ καὶ πλείστη· καὶ ἑτέρα ἡ λευκή, καὶ τρίτη ἡ ποικίλη, ἣν δὴ καλοῦσί τινες θρᾳκίαν. ἑκάστη δὲ τούτων δοκεῖ διαφέρειν. καὶ γὰρ τῆς χλοώδους ἡ μὲν λεπτοτέρα, καὶ μακροφυλλοτέρα, καὶ ἔτι πυκνοφυλλοτέρα· ἡ δ' ἧττον πάντα ταῦτ' ἔχουσα. καὶ τῆς ποικίλης, ἡ μὲν μείζων, ἡ δ' ἐλάττων τὸ φύλλον, καὶ τῇ ποικιλίᾳ διαφέρουσα. ὡσαύτως δὲ καὶ τῷ μεγέθει καὶ τῇ χροιᾷ

δια-

σκληρότερον δὲ καὶ πυκνότερον τῆς δρυός. καὶ τὸ χρῶμα φλοιωδέστερος τοῦ ξύλου, λευκότερον μὲν τοῦ πρίνου, οἰνωπότερον δὲ τῆς δρυός. τὰ δὲ φύλλα παρόμοια μὲν ἀμφοῖν ἔχει· δὲ μείζω μὲν ἢ ὡς πρῖνος, ἐλάττω δὲ ἢ ὡς δρῦς. καὶ τὸν καρπὸν τοῦ μὲν πρίνου κατὰ μέγεθος ἐλάττω, ταῖς ἐλαχίσταις δὲ βαλάνοις ἴσον· καὶ γλυκύτερον μὲν τοῦ πρίνου, πικρότερον δὲ τῆς δρυός. καλοῦσι δέ τινες τὸν μὲν τοῦ πρίνου καὶ τὸν ταύτης καρπὸν, ἄκυλον· τὸν δὲ τῆς δρυὸς, βάλανον. μήτραν δὲ ἔχει φανερώτερον ἢ ὁ πρῖνος. καὶ ἡ μὲν φελλόδρυς τοιαύτην τινὰ ἔχει φύσιν. ἡ δὲ κόμαρος, ἡ τὸ μιμαίκυλον φέρουσα τὸ ἐδώδιμον, ἐστὶ μὲν οὐκ ἄγαν μέγα· τὸν δὲ φλοιὸν ἔχει λεπτὸν μὲν, παρόμοιον δὲ μυρίκῃ· τὸ δὲ φύλλον, μεταξὺ πρίνου καὶ δάφνης. ἀνθεῖ δὲ τοῦ Πυανεψιῶνος. τὰ δὲ ἄνθη πέφυκεν ἐκ μιᾶς κρεμάστρας, ἐπ' ἄκρων βοτρυδόν· τὴν δὲ μορφὴν ἕκαστόν ἐστιν ὅμοιον μύρτῳ προμήκει, καὶ τὸ μέγεθος δὲ τηλικοῦτον. ἄφυλλον δὲ, καὶ κοῖλον, ὥσπερ ᾠὸν ἐκκεκολαμμένον· τὸ στόμα δ' ἀνεῳγμένον. ὅταν δ' ἀπανθήσῃ, καὶ ἡ πρόσφυσις τετρύπηται. τὸ δ' ἀπανθῆσαν λεπτὸν, ὥσπερ σφόνδυλος περὶ ἄτρακτον, ἢ κάδερνος δωρικός. ὁ δὲ καρπὸς ἐνιαυτῷ πεπαίνεται, ὥσθ' ἅμα συμβαίνει τοῦτον τ' ἔχειν, καὶ τὸν ἕτερον ἀνθεῖν. παρόμοιον δὲ τὸ φύλλον καὶ ἡ ἀνδράχνη ἔχει τῷ κομάρῳ· μέγεθος δ' οὐκ ἄγαν μέγα. τὸν δὲ φλοιὸν λευκὸν ἔχει, καὶ περιῤῥηγνύμενον. καρπὸν δὲ ἔχει ὅμοιον τῷ κομάρῳ. ὅμοιον δ' ἐστὶ τούτοις τὸ φύλλον καὶ τῆς κοκκυμηλέας, τὸ δὲ δένδρον μικρόν. ἴδιον δὲ ἔχει καὶ τὸ ἐκπαπποῦσθαι τὸν καρπόν· ὥσπερ γὰρ οὐδ' ἐφ' ἑνὸς ἀκηκόαμεν ἄλλου δένδρου. ταῦτα μὲν οὖν κοινότερα πλείοσι χώραις καὶ τόποις, ἔνια δ' ἰδιώτερα· καθάπερ καὶ ὁ φελλὸς, ὃς γίνεται μὲν ἐν Τυῤῥηνίᾳ. τὸ δὲ δένδρον ἐστὶ στελεχῶδες μὲν, καὶ ὀλιγόκλαδον· εὐμηκὲς δ' ἐπιεικῶς, καὶ εὐαυξές· ξύλον ἰσχυρόν· τὸν δὲ φλοιὸν παχὺν σφόδρα, καὶ καταῤῥηγνύμενον, ὥσπερ ὁ τῆς πίτυος, πλὴν κατὰ μείζω. τὸ δὲ φύλλον ὅμοιον ταῖς μελίαις, παχὺ, προμηκέστερον, οὐκ ἀείφυλλον, ἀλλὰ φυλλοβολοῦν. καρπὸν δὲ ἀεὶ φέρει βαλανηφόρον, ὅμοιον τῇ ἀγρίᾳ. περιαιροῦσι δὲ τὸν φλοιὸν, καί φασι δεῖν πάντα ἀφαιρεῖν· ἐὰν δὲ μὴ, χεῖρον γίνεται τὸ δένδρον. ἀναπληροῦται δὲ πάλιν σχεδὸν ἐν τρισὶν ἔτεσιν.

17 Ἴδιον δὲ καὶ ἡ κολουτέα περὶ Λιπάραν, δένδρον μὲν εὐμέγεθες, τὸν δὲ καρπὸν φέρει ἐν λοβοῖς ἡλίκον φακὸν, ὃς πιαίνει τὰ πρόβατα θαυμαστῶς. φύεται δὲ ἐκ σπέρματος, καὶ ἐκ τῆς τῶν προβάτων κόπρου μάλιστα. ὥρα δὲ τῆς φυτείας, ἅμα ἀρκτούρῳ δυομένῳ. δεῖ δὲ φυτεύειν προβρέχοντας, ὅταν ἤδη διαφύηται ἐν τῷ ὕδατι. φύλλον δ' ἔχει παρόμοιον τήλῃ. βλαστάνει δὲ τὸ πρῶτον μονοφυὲς, ἐπὶ ἔτη μάλιστα τρία, ἐν οἷς καὶ τὰς βακτηρίας τέμνουσι· δοκοῦσι γὰρ εἶναι καλαί. καὶ ἐάν τις κολούσῃ, ἀποθνήσκει· καὶ γὰρ ἀπαράβλαστόν ἐστιν. εἶτα σχίζεται, καὶ ἀποδενδροῦται περὶ τὸ τέταρτον ἔτος. ἡ δὲ περὶ τὴν Ἴδην, ἣν καλοῦσι κολυτέαν, ἕτερον εἶδός ἐστι· θαμνῶδες δὲ, καὶ ὀζῶδες, καὶ πολυμάσχαλον· σπάνιον δὲ, οὐ πολύ. ἔχει δὲ φύλλον δαφνοειδὲς, πλατυφύλλου δάφνης· πλὴν στρογγυλότερον καὶ μεῖζον, ὡς δ' ὅμοιον φαίνεσθαι τῷ τῆς πτελέας, προμηκέστερον δὲ, τὴν χρόαν ἐπὶ θάτερα χλωρὸν, ὄπισθεν δὲ ἐπιλευκαῖνον, καὶ πολύϊνον, ἐκ τῶν ὄπισθεν ταῖς λεπταῖς ὥσπερ ταῖς ῥίζαις, καὶ μεταξὺ τῶν πλευροειδῶν ἐκ μέσου κατατεινουσῶν. φλοιὸν δ' οὐ λίαν, ἀλλ' οἷον τὸν τῆς ἀμπέλου. τὸ δὲ ξύλον σκληρὸν, καὶ πυκνόν. ῥίζας δὲ ἐπιπολαίους, καὶ λεπτὰς, καὶ μανὰς, ὅλας δ' ἐνίοτε, καὶ ξανθὰς σφόδρα. καρπὸν δ' οὐκ ἔχειν φασὶν, οὐδὲ ἄνθος. τὴν δὲ κορυνώδη κάχρυν, καὶ τοὺς ὀφθαλμοὺς τοὺς περὶ τὰ φύλλα λείους σφόδρα, καὶ λιπαροὺς, καὶ λευκούς· τῷ σχήματι δὲ καχρυώδεις. ἀποκοπεὶς δὲ, καὶ ἐπικαυθεὶς, παραφύεται καὶ ἀναβλαστάνει. ἴδια δὲ καὶ τάδε περὶ τὴν Ἴδην ἐστίν· οἷον, ἡ τε ἀλεξάνδρεια καλουμένη δάφνη, καὶ συκῆ τις, καὶ ἄμπελος. τῆς μὲν οὖν δάφνης ἐν τούτῳ τὸ ἴδιον, ὅτι ἐπιφυλλόκαρπόν ἐστιν, ὥσπερ καὶ ἡ κεντρομυῤῥίνη. ἀμφότεραι γὰρ τὸν καρπὸν ἔχουσιν ἐκ τῆς ῥάχεως τοῦ φύλλου. ἡ δὲ συκῆ, θαμνῶδες μὲν, καὶ οὐχ ὑψηλὸν, πάχος δ' ἔχει, ὥστε καὶ πηχυαῖον εἶναι τὴν περίμετρον. τὸ δὲ ξύλον ἐπεστραμμένον, γλίσχρον, κάτωθεν μὲν λεῖον καὶ ἄνοζον, ἄνωθεν δὲ περίκομον. χρῶμα δὲ καὶ φύλλου καὶ φλοιοῦ, πελιόν. τὸ δὲ σχῆμα τοῦ φύλλου, ὅμοιον τῷ τῆς φιλύρας, καὶ μαλακὸν δὲ, καὶ πλατὺ, καὶ τὸ μέγεθος παραπλήσιον, ὡς ἄνθος μεσπιλῶδες. καὶ ἀνθεῖ ἅμα τῇ μεσπίλῃ. ὁ δὲ καρπὸς, ὃν καλοῦσι σῦκον, ἐρυθρὸς ἡλίκος ἐλαίας, πλὴν στρογγυλώτερος· ἐσθιόμενος δὲ, μεσπιλώδης. ῥίζας δὲ ἔχει παχείας, ὡς ἂν συκῆς ἡμέρου, καὶ γλίσχρας. ἄσαπὲς δὲ ἐστι τὸ δένδρον. καὶ καρδίαν ἔχει στερεὰν, οὐκ ἐντεριώνην. ἡ δὲ ἄμπελος φύεται μὲν περὶ ἴδας, περὶ δὲ τὰς φαλά-

κρας

ρεῖς· ἔτι δὲ περὶ μὲν τὸ στελεχῶδες, ἀλλὰ θαμνῶδες ὄν, ῥάβδους ἄνευ μασχαλῶν, καὶ ἀνόζους μακρὰς δέ, καὶ παχείας ἐνίας. οὐ μὴν ἀλλὰ καὶ δενδροῦται. διαφορὰν δ' ἔχει, τῷ τὸν καρπὸν ἀποδεδωκέναι βελτίω, καὶ μεῖζον τὸ φύλλον· κεχαραγμένον δ' ἀμφοῖν, ὁμοιότατον τῷ τῆς κλήθρας, πλὴν πλατύτερον, καὶ αὐτὸ τὸ δένδρον μεῖζον. καρπιμώτερον δὲ καὶ αἰεὶ γίνεται, κατακοπτομένων τὰς ῥάβδους. γένη δὲ δύο, ἀμφοῖν. αἱ μὲν γὰρ στρογγύλον, αἱ δὲ πρόμακρον φέρουσι τὸ κάρυον. ἐκλευκότερον δὲ τῶν ἡμέρων, καὶ καλλικαρπεῖ, μάλιστα δ' ἐν τοῖς ἐφύδροις. ἐξημεροῦται δὲ τὰ ἄγρια μεταφυτευόμενα. φλοιὸν δ' ἔχει πλεῖον ἐπιπόλαιον, λεπτόν, λιπαρόν, ἰδίως στιγμὰς λευκὰς ἔχοντα ἐν αὐτῷ. τὸ δὲ ξύλον σφόδρα γλίσχρον, ὥστε καὶ τὰ λεπτὰ πάνυ ῥαβδία περιλοπίσαντες, κανᾶ ποιοῦσι, καὶ τὰ παχέα δὲ κατεξύσαντες. ἔχει δὲ καὶ ἐντεριώνην λεπτήν, ξανθήν, ἣ κοιλαίνεται. ἴδιον δ' αὐτῶν τὸ περὶ τὸν ἴουλον, ὥσπερ εἴπομεν. τῆς δὲ τερμίνθου, τὸ μὲν ἄρρεν, τὸ δὲ θῆλυ. τὸ μὲν οὖν ἄρρεν, ἄκαρπον, διὸ καὶ καλοῦσιν ἄρρεν· τῶν δὲ θηλειῶν, ἡ μὲν ἐρυθρὸν εὐθὺς φέρει τὸν καρπόν, ἡλίκον φακόν, καὶ ἄπεπτον· ἡ δὲ χλωρὸν ἐνεγκοῦσα, μετὰ ταῦτα ἐρυθραίνει· καὶ ἅμα τῇ ἀμπέλῳ πεπαίνουσα, τὸ ἔσχατον ποιεῖ μέλανα, μέγεθος ἡλίκον κύαμον, ῥητινώδη δέ, καὶ θυμώδη ἐσθόμενον. ἔστι δὲ τὸ δένδρον περὶ μὲν τὴν ἴδην καὶ τὴν μακεδονίαν βραχύ, θαμνῶδες, ἐστραμμένον· περὶ δὲ δαμασκὸν τῆς συρίας, μέγα, καὶ πολύ, καὶ καλόν. ὄρος γάρ τι φασὶν εἶναι παμμέγιστον τερμίνθων· ἄλλο δὲ οὐδὲν πεφυκέναι. ξύλον δ' ἔχει γλίσχρον, καὶ ῥίζας ἰσχυρὰς κατὰ βάθους. καὶ τὸ ὅλον ἀνώλεθρον. ἄνθος δὲ ὅμοιον τῷ τῆς ἐλαίας. τῷ χρώματι δ' ἐρυθρὸν φύλλον. περιφύει μίσχον πλείω, δαφνοειδῆ, κατὰ συζυγίαν, ὥσπερ καὶ τὸ τῆς οἴης, καὶ τὸ ἐξ ἄκρου περιττόν· πλὴν ἀγωνιώτερον τῆς οἴης, καὶ δαφνοειδέστερον δὲ κύκλῳ, καὶ λιπαρὸν ἅμα ἅπαν τῷ καρπῷ. φέρει δὲ καὶ † κορυώδη τινὰ κοῖλα, καθάπερ ἡ πτελέα· ἐν οἷς θηρίδια ἐγγίνεται κωνωποειδῆ. ἐγγίνεται δ' ἔτι ῥητινῶδες ἐν τούτοις, καὶ γλίσχρον. οὐ μὴν ἐντεῦθέν γε ἡ ῥητίνη συλλέγεται, ἀλλ' ἀπὸ τοῦ ξύλου. ὁ δὲ καρπὸς οὐκ ἀφίησι ῥητίνης πλῆθος, ἀλλὰ προσίσχεται μὲν ταῖς χερσί. κἂν μὴ πλυθῇ μετὰ τὴν συλλογήν, συνέχεται. πλυνόμενος δέ, ὁ μὲν λευκός, καὶ ἄπεπτος, † ἐπιπλέει· ὁ δὲ μέλας ὑφίσταται. ἡ δὲ πύξος μεγέθει μὲν οὐ μεγάλη. τὸ δὲ φύλλον ὅμοιον ἔχει μυρρίνῳ. φύεται δ' ἐν τοῖς ψυχροῖς τόποις, καὶ τραχέσι· καὶ γὰρ τὰ κύτωρα τοιοῦτον, οὗ ἡ πλείστη γίνεται. ψυχρὸς δὲ ὁ ὄλυμπος ὁ μακεδονικός· καὶ γὰρ ἐνταῦθα γίνονται, πλὴν οὐ μεγάλαι. μέγισται δὲ καὶ κάλλισται ἐν κυρνῷ. καὶ γὰρ εὐμήκεις, καὶ πάχος ἔχουσαι πολὺ παρὰ τὰς ἄλλας. διὸ καὶ τὸ μέλι οὐχ ἡδὺ ὄζον τῆς πύξου. πλῆθος δὲ πολύ. κράταιγος δ' ὄξυν, οἱ δὲ κραταιγόνα καλοῦσιν. ἔχει δὲ τὸ μὲν φύλλον ὅμοιον μεσπίλῃ, πεταλόν, πλὴν μεῖζον ἐκείνου. καὶ πλατύτερον, καὶ προμηκέστερον· τὸν δὲ χαραγμὸν οὐκ ἔχον, ὥσπερ κἀκεῖνο. γίνεται δὲ τὸ δένδρον οὔτε μέγα λίαν, οὔτε παχύ. τὸ δὲ ξύλον, ποικίλον, ἰσχυρόν, ξανθόν. ἔχει δὲ φλοιὸν λεῖον, οἷον μεσπίλη· μονόρριζον δ' εἰς βάθος, ὡς ἐπὶ τὸ πολύ. καρπὸν δ' ἔχει στρογγύλον, ἡλίκον ὁ κότινος. πεπαινόμενος δέ, ξανθὸς γίνεται, καὶ ὑπομελαίνεται· κατὰ δὲ τὴν γεῦσιν, καὶ τὸν χυλόν, μεσπιλώδης. διόπερ οἷον ἀγρία δόξειεν ἂν εἶναι, μονοειδὴς δέ, καὶ οὐκ ἔχον διαφοράς. ὁ δὲ πρῖνος φύλλον μὲν ἔχει δρυῶδες, ἔλαττον δέ, ἐπακανθίζον. τὸν δὲ φλοιόν, λειότερον δρυός. αὐτὸ δὲ τὸ δένδρον μέγα, καθάπερ ἡ δρῦς, ἐὰν ἔχει τόπον καὶ ἔδαφος. ξύλον δὲ πυκνόν, καὶ ἰσχυρόν, βαθύρριζον δ' ἐπιεικῶς, καὶ πολύρριζον. καρπὸν δ' ἔχει βαλανώδη· μικρὰ δ' ἡ βάλανος. περικαταλαμβάνει δ' ὁ νέος τὸν ἔνον· ὀψὲ γὰρ πεπαίνει. διὸ καὶ διφορεῖν τινές φασι. φέρει δὲ καὶ παρὰ τὴν βάλανον, κόκκον τινὰ φοινικοῦν. ἔχει δὲ καὶ ἰξίαν, καὶ ὑφέαρ. ὥστ' ἐνίοτε συμβαίνει, τέτταρας ἅμα καρποὺς ἔχειν αὐτόν· δύο μὲν τοὺς ἑαυτοῦ, δύο δ' ἄλλους, τόν τε τῆς ἰξίας καὶ τὸν τοῦ ὑφέαρος. καὶ τὴν μὲν ἰξίαν φέρει ἐκ τῶν πρὸς βορρᾶν, τὸ δὲ ὑφέαρ ἐκ τῶν πρὸς μεσημβρίαν. οἱ δὲ περὶ ἀρκαδίαν, δένδρον τι σμίλακα καλοῦσιν, ὃ ἐστὶν ὅμοιον τῷ πρίνῳ. τὰ δὲ φύλλα οὐκ ἀκανθώδη ἔχει, ἀλλ' ἁπαλώτερα, καὶ βαθύτερα, καὶ διαφορὰς ἔχοντα πλείους. οὐδὲ τὸ ξύλον ὥσπερ ἐκεῖνο στερεόν, καὶ πυκνόν, ἀλλὰ μαλακὸν ἐν ταῖς ἐργασίαις. ὃ δὲ καλοῦσιν οἱ ἀρκάδες φελλόδρυν, τοιάνδε ἔχει τὴν φύσιν· ὡς μὲν ἁπλῶς εἰπεῖν, ἀνὰ μέσον πρίνου καὶ δρυός ἐστι. καὶ ἔνιοί γε ὑπολαμβάνουσιν, εἶναι θῆλυν πρῖνον· διὸ καὶ ὅπου μὴ φύεται πρῖνος, τούτῳ χρῶνται πρὸς τὰς ἁμάξας, καὶ τὰ τοιαῦτα· καθάπερ οἱ περὶ λακεδαίμονα, καὶ ἠλείαν. καλοῦσι δ' οἵ γε δωριεῖς καὶ † ἀρίαν τὸ δένδρον. ἔστι δὲ μαλακώτερον καὶ μανότερον τοῦ πρίνου,

σκλη-

χος τῇ γῇ παρεσπαρμένον, ὅλον περικεφαλαίας. φλοιὸς δὲ λεῖος, λιπαρὸς, καὶ παχύς. τὸ δὲ ξύλον χαῦνον, καὶ κοῦφον, ξηρανθὲν, ἐντεριώνην δ' ἔχον μαλακήν· ὥστε διόλου κοιλαίνεσθαι τὰς ῥάβδους. ἐξ ὧν καὶ τὰς βακτηρίας ποιοῦσι τὰς κούφας. ξηρανθὲν δὲ, ἰσχυρόν· καὶ ἀγνύει, ἐὰν βρέχηται, καθ' ἃ λελεπισμένον, λεπίζεται δὲ αὐτόματον, ξηραινόμενον. ῥίζας δὲ ἔχει μετεώρους, οὐ πολλὰς δ' οὐδὲ μεγάλας. φύλλον δὲ τὸ μὲν καθ' ἕκαστον μαλακόν, προμηκές, ὡς τὸ τῆς πλατυφύλλου δάφνης· μεῖζον δὲ, καὶ πλατύτερον, καὶ περιφερέστερον ἐκ μέσου καὶ κάτωθεν· τὸ δ' ἄκρον, εἰς ὀξὺ μᾶλλον συνῆκον· κύκλῳ δ' ἔχον περιερρηγμένον· τὸ
φυαμίχου δὲ ὅλον περὶ † ἓν ἄμισχον, παχὺ, καὶ ἰνῶδες, ὡς ἂν κλωνίον. τὰ μὲν ἔνθεν, τὰ δὲ ἔνθεν, κατὰ γόνυ καὶ συζυγίαν πεφύκασι τῶν φύλλων, διέχοντα ἀπ' ἀλλήλων· ἓν δὲ ἐξ ἄκρου τοῦ μίσχου. ὑπέρυθρα τὰ φύλλα ὑπολεύκως, καὶ χαῦνα, καὶ σαρκώδη. φυλλορροεῖ δὲ τοῦτο ὅλον· διόπερ φύλλον ἄν τις εἴποι τὸ ὅλον. ἔχουσι δὲ καὶ οἱ κλάδοι οἱ νέοι γονατώδη τινά. τὸ δὲ ἄνθος λευκὸν, ἐκ μικρῶν λευκῶν πολλῶν, ἐπὶ τῇ τοῦ μίσχου σχίσει κειμένων. εὐωδίαν δ' ἔχει λειριώδη, ἐπεὶ βαρεῖαν. ἔχει δὲ καὶ τὸν καρπὸν ὁμοίως πρὸς ἑνὶ μίσχῳ παχεῖ, βοτρυώδη. γίνεται δὲ καὶ πεπαινόμενος μέλας. ὠμὸς δὲ ὢν, ὀμφακώδης. μεγέθει δὲ, μικρῷ μείζων ὀρόβου. τὴν ὑγρασίαν δὲ, οἰνώδη τῇ ὄψει. καὶ τὰς * χεῖρας δὲ πιαίνει. ἀναβλαστεῖ δὲ καὶ τὰς κεφαλάς. ἔχει δὲ καὶ τὰ ἐντὸς σησαμοειδῆ τῇ ὄψει. Πάρυδρον δὲ καὶ ἡ ἰτέα, καὶ πολυειδές· ἡ μὲν μέλαινα καλουμένη, τῷ τὸν φλοιὸν ἔχειν μέλανα, καὶ φοινικοῦν· ἡ δὲ λευκὴ, τῷ λευκόν. καλλίους δ' ἔχει τὰς ῥάβδους, καὶ χρησιμωτέρας εἰς τὸ πλέκειν, ἡ μέλαινα· ἡ δὲ λευκὴ καὶ θραυστοτέρας. ἔστι δὲ καὶ τῆς μελαίνης καὶ τῆς λευκῆς ἴδιον γένος μικρὸν, καὶ οὐκ ἔχον αὔξησιν εἰς ὕψος· ὥσπερ καὶ ἐπ' ἄλλων ἐστὶ δένδρων, οἷον κέδρου, φοίνικος. καλοῦσι δὲ οἱ περὶ Ἀρκαδίαν οὐκ ἰτέαν, ἀλλὰ ἑλίκην, τὸ δένδρον. οἴονται δ' ὥσπερ ἐλέχθη, καὶ καρπὸν ἔχειν αὐτὴν γόνιμον. — πω — ἔνιοι

14 Ἔστι δὲ καὶ τῆς πτελέας δύο γένη. καὶ τὸ μὲν ὀρειπτελέα καλεῖται, τὸ δὲ πτελέα. διαφέρει δὲ τῷ θαμνωδέστερον εἶναι τὴν πτελέαν, εὐαυξέστερον δὲ τὴν ὀρειπτελέαν. φύλλον δὲ ἄσχιστον, περικεχαραγμένον ἡσυχῇ, προμηκέστερον δὲ τοῦ τῆς ἀπίου· τραχὺ δὲ, καὶ οὐ λεῖον. μέγα δὲ τὸ δένδρον καὶ τῷ ὕψει, καὶ τῷ μεγέθει. πολὺ δ' οὐκ ἔστι περὶ τὴν Ἴδην, ἀλλὰ σπάνιον. τόπον δὲ ἔφυδρον φιλεῖ. τὸ ξύλον ξανθὸν, καὶ ἰσχυρὸν, καὶ εὔινον, καὶ ἀσχερόν· ἅπαντα γὰρ καρδία. χρῶνται δ' αὐτῷ καὶ πρὸς θυρώματα πολυτελῆ. καὶ χλωρὸν μὲν εὔτομον· ξηρὸν δὲ, δύστομον. ἄκαρπον δὲ νομίζουσιν· ἀλλ' ἐν ταῖς κωρύκοισι, τὸ κόμμι, καὶ θηρί' ἄττα κωνωποειδῆ φέρει. τὰς δὲ κάχρυς ἰδίας ἔχει, τοῦ μετοπώρου πολλὰς καὶ μικρὰς καὶ μελαίνας, ἐν δὲ ταῖς ἄλλαις
ἄγαις † χώραις οὐκ ἐπεσκέπτετο. ἡ δὲ λεύκη, καὶ ἡ αἴγειρος, μονοειδεῖς. ὀρθοφυῆ δὲ ἄμφω, πλὴν μακρότερον καὶ λειότερον ἡ αἴγειρος. τὸ δὲ σχῆμα τῶν φύλλων, παρόμοιον· ὅμοιον δὲ καὶ τὸ ξύλον τεμνόμενον, τῇ λευκότητι. οὐδέτερον δὲ τούτων οὐδὲ ἄνθος ἔχειν δοκεῖ. ἡ κερκὶς δὲ παρόμοιον τῇ λεύκῃ, καὶ τῷ μεγέθει, καὶ τῷ τοὺς κλάδους ὑπολεύκους ἔχειν. τὸ δὲ φύλλον κιττῶδες μὲν, ἀγώνιον δὲ ἐκ τοῦ ἄλλου· τὴν δὲ μίαν προμήκη, καὶ εἰς ὀξὺ συνῆκον. τῷ δὲ χρώματι σχεδὸν ὅμοιον, τὸ ὕπτιον καὶ τὸ πρανές. μίσχῳ δὲ προσηρτημένον μακρῷ, καὶ λεπτῷ. διὸ καὶ οὐκ ὀρθὸν, ἀλλ' ἐγκεκλιμένον. φλοιὸν δὲ τραχύτερον τῆς λεύκης, καὶ μᾶλλον
† ἄκαρπον ὑπόλεπρον, ὥσπερ ὁ τῆς ἀχράδος. † εὔκαρπον δὲ μονογενὲς καὶ ἡ κλήθρα. φύσει δὲ ὀρθοφυὲς, ξύλον δ' ἔχον μαλακὸν, καὶ ἐντεριώνην μαλακήν, ὥστε δι' ὅλου κοιλαίνεσθαι τὰς λεπτὰς ῥάβδους. φύλλον δὲ ὅμοιον ἀπίῳ, πλὴν μεῖζον, καὶ ἰνωδέστερον. τραχύφλοιον δὲ, καὶ ὁ φλοιὸς ἔσωθεν ἐρυθρός· διὸ καὶ βάπτει τὰ δέρματα. ῥίζας δὲ ἐπιπολαίους, ὀλίγον δάφνης. φύεται δὲ ἐν τοῖς ἐφύδροις, ἄλλοθι δ' οὐδαμοῦ. σημύδα δὲ, τὸ μὲν φύλλον ἔχει ὅμοιον τῇ καλουμένῃ καρύᾳ, πλὴν μικρῷ στενότερον· τὸν φλοιὸν δὲ ποικίλον. ξύλον δὲ ἐλαφρὸν, χρήσιμον δὲ εἰς βακτηρίας μόνον, εἰς ἄλλο δὲ οὐδέν. ἡ δὲ κολυτέα, ἔχει τὸ μὲν φύλλον ἐγγύθεν τοῦ τῆς ἰτέας, πολύοζον δὲ, καὶ πολύφυλλον· καὶ τὸ δένδρον ὅλως μέγα. τὸν δὲ καρπὸν ἔλλοβον, καθάπερ τὰ χεδροπὰ, λοβοῖς γὰρ πλατέσι, καὶ οὐ στενοῖς. καὶ τὸ σπέρμα τὸ ἐνὸν, μικρὸν, καὶ οὐ μέγα· σκληρὸν δὲ μετρίως,
ἔχον οὐκ ἄγαν· οὐδὲ πολύκαρπον, ὡς κατὰ μέγεθος. σπάνιον δὲ τὸ ἐν λοβοῖς † ἔχειν τὸν καρπόν· ὀλίγα γὰρ τοιαῦτα τῶν δένδρων.

15 Ἡ δὲ ἡρακλεωτικὴ καρύα (φύσει γὰρ καὶ τοῦτ' ἄγριον) τῷ τε μηδὲν μηδὲ πολὺ χεῖρον γίνεσθαι τῶν ἡμέρων τὸν καρπὸν, καὶ τῷ δύνασθαι χειμῶνας ὑποφέρειν, καὶ τῷ πολὺ φύεσθαι κατὰ τὰ ὄρη, καὶ πολύκαρπον ἐν ταῖς φοραῖς·

φύεται δὲ καὶ ἐκ σπέρματος, καὶ ἐκ παρασπάδος. νόσημα δὲ αὐτῷ ἐστὶν, ὥστε γηράσκοντα σκωληκόβρωτα γίνεσθαι. καὶ οἱ σκώληκες μεγάλοι, καὶ ἴδιοι ἢ οἱ ἐκ τῶν δένδρων τῶν ἄλλων. Τῆς δὲ οὔης δύο γένη ποιοῦσι· τὸ μὲν δὴ καρποφόρον θῆλυ, τὸ δὲ ἄῤῥεν ἄκαρπον. οὐ μὴν ἀλλὰ διαφέρουσι τοῖς καρποῖς, τῷ τὰς μὲν στρογγύλον, τὰς δὲ προμήκη, τὰς δὲ ᾠοειδῆ φέρειν. διαφέρουσι δὲ καὶ τοῖς χυλοῖς· ὡς γὰρ ἐπὶ τὸ πᾶν εὐωδέστερα καὶ γλυκύτερα τὰ στρογγύλα· τὰ δ' ᾠοειδῆ πολλάκις ἐστὶν ὀξεῖα, καὶ ἧττον εὐώδη. φύλλον δ' ἀμφοῖν, τὸ μὲν μῆκος μακρόν, ἰνῶδες. περιφύκασι δὲ στοιχηδὸν ἐκ τῶν πλαγίων πτερυγοειδῶν, ὡς ἑνὸς ὄντος τοῦ ὅλου, λοβοὺς δὲ ἔχοντος ἐσχισμένους ἕως τῆς ἰνός· πλὴν διεστᾶσιν ἀπ' αὐτῶν ὑπὸ συχνοῦ τοῦ κατὰ μέρος. φυλλοβολεῖ δὲ οὐ κατὰ μέρος, ἀλλ' ὅλον ἅμα τὸ πτερυγῶδες. ἀεὶ δὲ πρὸς μὲν τὰ παλαιότερα καὶ βραχύτερα, ἐλάττους. πάντων δ' ἐπ' ἄκρων τὸ τοῦ μίσχου φύλλον περιττόν, ὥστε καὶ πάντ' εἶναι περιττά. τῷ δὲ σχήματι δαφνοειδῆ, τῆς λεπτοφύλλου· πλὴν χαραγμὸν ἔχοντα, καὶ βραχύτερον· καὶ οὐκ εἰς ὀξὺ τὸ ἄκρον συνῆκον, ἀλλ' εἰς περιφερέστερον. ἄνθος δὲ ἔχει βοτρυῶδες, ἀπὸ μιᾶς κορύνης, καὶ πολλῶν μικρῶν καὶ λευκῶν συγκείμενον. καὶ ὁ καρπός, ὅταν εὐκαρπῇ, βοτρυώδης. πολλὰ γὰρ ἀπὸ τῆς αὐτῆς κορύνης, ὥστ' εἶναι καθάπερ κηρίον. σκωληκόβρωτος μὲν ἐπὶ τοῦ δένδρου, ὁ καρπὸς ἄπεπτος ὤν, ἔτι γίνεται μᾶλλον τῶν μεσπίλων καὶ ἀπίων καὶ ἀχράδων, καίτοι πολὺ στρυφνότατος. γίνεται δὲ καὶ αὐτὸ τὸ δένδρον σκωληκόβρωτον, καὶ οὕτως αὐαίνεται γηράσκον. καὶ ὁ σκώληξ ἴδιος, ἐρυθρός, δασύς. καρποφορεῖ δ' ἐπιεικῶς νέα· τριετὲς γὰρ εὐθὺς φέρει. τοῦ μετοπώρου δ' ὅταν ἀποβάλλῃ τὸ φύλλον, εὐθὺς ἔχει τὴν κορυνώδη κορύνην, λιπαρὰν καὶ ἐποιδοῦσαν, ὡς ἂν ἤδη βλαστικήν. καὶ διαμένει τὸν χειμῶνα. αὐάκανθον δὲ ἐστὶ καὶ ἡ οἴη, καὶ ἡ μεσπίλη. φλοιὸν δ' ἔχει λεῖον, ὑπολίπαρον, ὥσπερ τὰ νεαρὰ δένδρα. τῇ δὲ χρόᾳ ξανθὸν ὑπολευκαίνοντα· τὰ δὲ γεραίτερα τραχὺν, καὶ μέλανα. τὸ δὲ δένδρον εὐμέγεθες, ὀρθοφυές, εὔρυθμον τῇ κόμῃ. σχεδὸν γὰρ ὡς ἐπὶ τὸ πολὺ στρογγυλοειδὲς σχῆμα λαμβάνει κατὰ τὴν κόμην, ἐὰν μή τις ἐμποδίσῃ. τὸ δὲ ξύλον, στερεόν, πυκνόν, ἰσχυρόν. ῥίζας δὲ οὐ πολλὰς μὲν, οὐδὲ κατὰ βάθος· ἰσχυρὰς δὲ, καὶ παχείας, καὶ ἀνωλέθρους ἔχει. φύεται δὲ καὶ ἐκ ῥίζης, καὶ ἐκ παρασπάδος, καὶ ἐκ σπέρματος. τόπον δὲ ζητεῖ ψυχρόν, ἔνικμον. φιλόζωον δ' ἐν τούτῳ, καὶ δυσώλεθρον. οὐ μὴν ἀλλὰ καὶ φύεται ἐν τοῖς ὄρεσιν.

13 Ἴδιον δὲ τῇ φύσει δένδρον ὁ κέρασός ἐστι· μεγέθει μὲν μέγα· καὶ γὰρ εἰς τέτταρας καὶ εἴκοσι πήχεις. ἔστι δ' ὀρθοφυὲς σφόδρα, πάχος δὲ, ὥστε καὶ δίπηχυν τὴν περίμετρον ἐκ τῆς ῥίζης ἔχειν. φύλλον δ' ὅμοιον τῷ τῆς μεσπίλης, σκληρὸν δὲ σφόδρα, καὶ πλατύτερον· ὥστε τῇ χρόᾳ πόῤῥωθεν φανερὸν εἶναι τὸ δένδρον. φλοιὸν δὲ τῇ λειότητι, καὶ τῇ χρόᾳ, καὶ τὸ πάχος, ὅμοιον φιλύρᾳ· διὸ καὶ τὰς κίστας ἐξ αὐτῶν ποιοῦσιν, ὡς καὶ ἐκ τῶν τῆς φιλύρας. περιπέφυκε δὲ οὕτως, οὔτε ὀρθοφυής, οὔτε κύκλῳ κατ' ἴσον, ἀλλ' ἑλικοειδὴς περιείληφε, κάτωθεν ἄνω προσάγων, ὥσπερ ἡ διαγραφὴ τῶν φύλλων. καὶ λεπιζόμενον, οὕτως ἐκδέρεται. ἐκεῖνος δὲ ἐπίτομος γίνεται, καὶ οὐ δύναται μέρος αὐτοῦ τι τὸν αὐτὸν τρόπον ἀφαιρεῖσθαι, κατὰ πάχος σχιζόμενον λεπτόν, ὡς ἂν φύλλον. τὸ δὲ λοιπὸν πειρωμένων τε δύναται, καὶ σώζειν τὸ δένδρον, ὡσαύτως περιπεφυκός. περιαιρουμένου δὲ ὅταν λοιπῆς τοῦ φλοιοῦ, συνακραίνει καὶ τότε τὴν ὑγρότητα. καὶ ὅταν ὁ ἔξω χιτὼν περιαιρεθῇ μόνον, ὁ ὑπολειπὼς ἐπιμελαίνεταί πως μυξώδει ὑγρασίᾳ, καὶ πάλιν ὑποφύεται κατὰ δεύτερον ἔτει χιτὼν ἄλλος ἀντ' ἐκείνου, πλὴν λεπτότερος. πέφυκε καὶ τὸ ξύλον ὅμοιον ταῖς ἰσὶ, κατὰ φλοιὸν στρεπτὸν ἐλιττόμενον. καὶ αἱ ῥάβδοι φύονται τὸν αὐτὸν τρόπον εὐθύς. τοὺς ὄζους δὲ αὐξανομένους συμβαίνει, τοὺς μὲν κατὰ ἀεὶ ἀπόλλυσθαι, τοὺς δ' ἄνω αὔξειν. τὸ δ' ὅλον, οὐ πολύοζον τὸ δένδρον, ἀλλ' ἀνοζότερον πολὺ τῆς αἰγείρου. πολύῤῥιζον δὲ, καὶ ἐπιπολαιόῤῥιζον, οὐκ ἄγαν δὲ παχύῤῥιζον. ἡ δὲ στροφὴ, καὶ τῆς ῥίζης καὶ τοῦ φλοιοῦ τοῦ περὶ αὐτήν, ἡ αὐτή. ἄνθος δὲ λευκόν, ἀπίῳ καὶ μεσπίλῃ ὅμοιον, ἐκ μικρῶν ἀνθῶν ξυγκείμενον, κηρῶδες. ὁ δὲ καρπὸς ἐρυθρός, ὅμοιος διοσπύρῳ τῷ σχήματι. τὸ δὲ μέγεθος, ἡλίκος κύαμος. πλὴν τοῦ διοσπύρου μὲν ὁ πυρὴν σκληρός, τοῦ δὲ κεράσου μαλακός. φύεται δ' ὅπου καὶ ἡ φιλύρα· τὸ δ' ὅλον, ὅπου ποταμοί, καὶ ἔνυδρα.

Φύεται δὲ καὶ ἡ ἀκτῆ μάλιστα παρ' ὕδωρ, καὶ ἐν τοῖς σκιεροῖς, οὐ μὴν ἀλλὰ καὶ ἐν τοῖς φυτοῖς θαμνώδεις ῥάβδους ἐπετείους, αὐξανομένας μέχρι τῆς φυλλοῤῥοίας εἰς μῆκος, εἶτα μετὰ ταῦτα εἰς πάχος. τὸ δὲ ὕψος τῶν ῥάβδων οὐ μέγα λίαν, ἀλλὰ καὶ μάλιστα ἑξάπηχυ, τῶν δὲ ἡλίκων πά-

μὲν λεῖα περὶ τὰ Βαβύλωνα μάλιστα, καὶ ἔφυδρα· ἡ δὲ τραχεῖα, καὶ περὶ τὰ ξηρὰ, καὶ πετρώδη. φύσει δὲ καλοῦσι τὴν μὲν μελίαν, τὴν δὲ βουμελίαν, ὥσπερ οἱ περὶ μακεδονίαν. μείζων δὲ, καὶ μακροτέρα ἡ βουμελία· διὸ καὶ ἧττον ὅλον. φύσει δὲ τὸ μὲν πεδεινὸν καὶ λεῖον, τὸ δὲ ὀρεινὸν καὶ τραχύ. ἔστι δὲ ἡ μὲν ἐν τοῖς ὄρεσι φυομένη, δύσχρους, καὶ λεῖα, καὶ στερεὰ, καὶ γλίσχρα· ἡ δ' ἐν τῷ πεδίῳ, ἄχρους, καὶ μανὴ, καὶ τραχεῖα. τὸ δ' ὅλον, ὡς εἰπεῖν, τὰ δένδρα, ὅσα καὶ ἐν τῷ πεδίῳ καὶ ἐν τῷ ὄρει φύεται, τὰ μὲν ὀρεινὰ δύσχροά τε καὶ στερεὰ, καὶ λευκὰ γίνεται, καθάπερ † ὀξυπτελέα, καὶ τἆλλα· τὰ δὲ πεδεινὰ, μανότερα, καὶ ἀχρούστερα, καὶ χείρω πλὴν ἀπίου, καὶ μηλέας, καὶ ἀχράδος, ὡς οἱ περὶ τὸν ὄλυμπον φασί. ταῦτα δ' ἐν τῷ πεδίῳ κρείττω, καὶ τῷ καρπῷ καὶ τοῖς ξύλοις. ἐν μὲν γὰρ τῷ ὄρει τραχεῖς, καὶ ἀκανθώδεις, καὶ ὀζώδεις εἰσίν· ἐν δὲ τῷ πεδίῳ λειότεραι, καὶ μείζους, καὶ τὸν καρπὸν ἔχουσι γλυκύτερον καὶ σαρκωδέστερον. μεγέθει δὲ αἰεὶ μείζω τὰ πεδεινά.

ὀξύη, πτελέα

12 Κρανείας δὲ τὸ μὲν ἄρρεν, τὸ δὲ θῆλυ, ἣν δὴ καὶ θηλυκρανείαν καλοῦσιν· ἔχουσι δὲ φύλλον μὲν ἀμυγδάλῃ ὅμοιον, πλὴν λιπαρώτερον, καὶ παχύτερον· φλοιὸν δ' ἰνώδη, λεπτόν· τὸ δὲ στέλεχος, οὐ παχὺ λίαν. ἀλλὰ παραφύει ῥάβδους, ὥσπερ ὁ ἄγνος, ἐλάττους ἡ θηλυκρανεία, καὶ θαμνωδεστέρα ἐστί. τοὺς δὲ ὄζους ὁμοίως ἔχουσιν ἄμφω τῷ ἄγνῳ, καὶ κατὰ δύο, καὶ κατ' ἀλλήλους. τὸ δὲ ξύλον, τὸ μὲν τῆς κρανείας ἀκάρδιον, καὶ στερεὸν ὅλον, ὅμοιον κέρατι τὴν πυκνότητα καὶ τὴν ἰσχύν. τὸ δὲ τῆς θηλυκρανείας, ἐντεριώνην ἔχον καὶ μαλακώτερον, καὶ κοιλαινόμενον· διὸ καὶ ἀχρεῖον εἰς τὰ ἀκόντια. τὸ δ' ὕψος τοῦ ἄρρενος, δώδεκα μάλιστα πηχῶν, ἡλίκη τῶν σαρισσῶν ἡ μεγίστη. τὸ γὰρ ὅλον στέλεχος, ὕψος οὐκ ἔχει. φασὶ δ' οἱ μὲν ἐν τῇ ἴδῃ τῇ τρωάδι, τὸ μὲν ἄρρεν ἄκαρπον εἶναι, τὸ δὲ θῆλυ κάρπιμον. πυρῆνα δὲ ὁ καρπὸς ἔχει παραπλήσιον ἐλαίᾳ, καὶ ἐσθιόμενος γλυκὺς καὶ εὐώδης. ἄνθος δὲ, ὅμοιον τῷ τῆς ἐλαίας. καὶ ἀπανθεῖ δὲ, καὶ καρποφορεῖ τὸν αὐτὸν τρόπον, τῷ δὲ ἐνίοτε μικρὰ πλείους ἔχειν. σχεδὸν δὲ καὶ τοῖς χρόνοις παραπλησίως. οἱ δ' ἐν μακεδονίᾳ, καρποφορεῖν μὲν ἄμφω φασίν. τὸν δὲ τῆς θηλείας, ἄβρωτον εἶναι. τὰς ῥίζας δ' ὁμοίως ἔχειν τοῖς ἄγνοις ἰσχυρὰς, καὶ ἀνωλέθρους. γίνεται δὲ καὶ περὶ τὰ ἔνυδρα, καὶ οὐκ ἐν τοῖς ξηροῖς. φύεται δὲ ἀπὸ σπέρματος, καὶ ἀπὸ παρασπάδος.

Κέδρον δὲ οἱ μὲν φασὶν εἶναι διττὴν, τὴν μὲν λυκίαν, τὴν δὲ φοινικῆν. οἱ δὲ μονοειδῆ, καθάπερ οἱ ἐν τῇ ἴδῃ. παρόμοιον δὲ τῇ ἀρκεύθῳ. διαφέρει δὲ μάλιστα τῷ φύλλῳ· τὸ μὲν γὰρ τῆς κέδρου σκληρὸν, καὶ ὀξὺ, καὶ ἀκανθῶδες· τὸ δὲ τῆς ἀρκεύθου, μαλακώτερον. δοκεῖ δὲ καὶ ὑψηλοφυέστερον εἶναι ἡ ἄρκευθος. οὐ μὴν ἀλλ' ἔνιοί γε οὐ διαιροῦσι τοῖς ὀνόμασιν, ἀλλ' ἄμφω καλοῦσι κέδρους, πλὴν παρασήμως, κέδρον ὀξύκεδρον. ὀζώδη δ' ἄμφω, καὶ πολυμάσχαλα, καὶ ἐπεστραμμένα ἔχοντα τὰ ξύλα. μᾶλλον δ' ἡ μὲν ἄρκευθος ἔχει μικρὰν, καὶ πυκνὴν, καὶ ὅταν κοπῇ ταχὺ σηπομένην· ἡ δὲ κέδρος τὸ πλεῖστον ἐγκάρδιον, καὶ ἄσηπτον. ἐρυθροκάρδια δ' ἄμφω. καὶ ἡ μὲν τῆς κέδρου εὐώδης, ἡ δὲ τῆς ἑτέρας οὔ. καρπὸς δ' ὁ μὲν τῆς κέδρου ξανθὸς, μύρτου μέγεθος ἔχων, εὐώδης, ἡδὺς ἐσθίεσθαι· ὁ δὲ τῆς ἀρκεύθου τὰ μὲν ἄλλ' ὅμοιος, μέλας δὲ, καὶ στρυφνὸς, καὶ ὥσπερ ἄβρωτος. διαμένει δ' εἰς ἐνιαυτὸν ἐπί, ὅταν ἄλλος ἐπιφυῇ, ὁ περυσινὸς ἀποπίπτει. ὡς δὲ οἱ ἐν ἀρκαδίᾳ λέγουσι, τρεῖς ἅμα καρποὺς ἴσχει, τόν τε περυσινὸν οὔπω πέπονα, καὶ τὸν προπερυσινὸν ἤδη πέπονα καὶ ἐδώδιμον, καὶ τρίτον τὸν νέον ὑποφαίνει. ἔφη δὲ Σάτυρος, καὶ κομίσαι τοὺς ὑλοτόμους αὐτῷ ἀνανθεῖς ἄμφω. τὸν δὲ φλοιὸν ὅμοιον ἐδόκει κυπαρίττῳ, τραχύτερον δέ. ῥίζας δὲ μανὰς ἀμφοτέρους, καὶ ἐπιπολαίους. φύονται δὲ περὶ τὰ † περιώδη καὶ χαμέρεια, καὶ τούτους τοὺς τόπους ζητοῦσι.

πετρώδη — τρό-

Μεσπίλης δ' ἐστὶ τρία γένη, ἀνθηδὼν, σατάνειος, ἀνθηδονοειδὴς, ὡς οἱ περὶ τὴν ἴδην διαιροῦσι. φέρει δὲ ἡ μὲν σατάνειος τὸν καρπὸν μείζω, καὶ λευκότερον, καὶ χαυνότερον, καὶ τοὺς πυρῆνας ἔχοντα μαλακωτέρους. αἱ δ' ἕτεραι, ἐλάττω εἰσί, καὶ εὐωδέστεραι, καὶ στρυφνότεραι, ὥστε δύνασθαι πλείω χρόνον θησαυρίζεσθαι. πυκνότερον δὲ καὶ τὸ ξύλον τούτων, καὶ ξανθότερον· τὰ δ' ἄλλα ὅμοιον. τὸ δ' ἄνθος πᾶσιν ὅμοιον ἀμυγδάλῃ, πλὴν οὐκ ἐρυθρὸν, ὥσπερ ἐκεῖνο, ἀλλ' ἐγχλωρότερον. μεγέθει μέγα τὸ δένδρον, καὶ † περίκομον. φύλλον δὲ, τὸ μὲν ὑπολευκῶδες, καὶ ἐν ἄκρῳ σελινοειδὲς, μείζοσι σχίσμασι, τέτανον, ἰνῶδες, λεπτότερον σελίνου, καὶ περιμηκέστερον, καὶ τὸ ὅλον κατασχίσματα. περικεκαρμένον δὲ ὅλον. μίσχον δ' ἔχει λεπτὸν, μακρόν. περὶ τὴν φυλλοῤῥοεῖν δ' ἐρυθραίνεται σφόδρα. πολύρριζον δὲ τὸ δένδρον, καὶ βαθύρριζον· διὸ καὶ χρόνιον καὶ δυσώλεθρον. καὶ τὸ ξύλον ἔχει πυκνὸν, καὶ στερεὸν, καὶ ἄσηπτον.

πεδίνομον — κο-

φύ-

δὲ ἀεὶ τῆς μέσης πλευροειδοῦς· τῶν ἄλλων εἴδει, καὶ μεγάλην κατατεινουσῶν, καὶ πάχος ἐχουσῶν· ἔτι δὲ ἐρρυτιδωμένα κατὰ τὰς ἶνας, καὶ χαραγμὸν ἔχοντα κύκλῳ λεπτόν· τὸ δὲ ξύλον σκληρὸν, καὶ ἄχρουν, ἔκλευκον. καρπὸν δὲ μικρὸν, πρόμακρον, ὅμοιον κριθῇ, ξανθόν. ῥίζας δὲ ἔχει μετεώρους. ἔνυδρον δὲ, καὶ φαραγγῶδες. λέγεται δὲ, ὡς οὐ δεῖ τὸ δένδρον εἰς οἰκίας εἰσφέρειν· δυσθανατεῖν γάρ φασι, καὶ δυστοκεῖν οὗ ἐὰν ᾖ. ἀν

Τῆς δὲ φιλύρας, ἡ μὲν ἄρρεν ἐστὶν, ἡ δὲ θήλεια. διαφέρουσι δὲ τῇ μορφῇ τῇ ὅλῃ, καὶ τῇ τοῦ ξύλου, καὶ τῷ τὸ μὲν εἶναι κάρπιμον, τὸ δ' ἄκαρπον. τὸ μὲν γὰρ τῆς ἄρρενος ξύλον, ξηρὸν καὶ ξανθὸν, καὶ ὀζωδέστερόν ἐστι, καὶ πυκνότερον· τὸ δὲ τῆς θηλείας, λευκότερον. καὶ ὁ φλοιὸς τῆς μὲν ἄρρενος παχύτερος, καὶ περιαιρεθεὶς ἀκαμπὴς διὰ τὴν σκληρότητα· τῆς δὲ θηλείας λεπτότερος, καὶ εὐκαμπὴς, ἐξ οὗ τὰς κίστας ποιοῦσιν. ἔτι δ' εὐωδέστερον τὸ τῆς θηλείας. καὶ ἡ μὲν ἄκαρπος, καὶ ἀνανθής· ἡ δὲ θήλεια καὶ ἄνθος ἔχει, καὶ καρπόν. τὸ μὲν ἄνθος καλυκῶδες, παρὰ τὸν τοῦ φύλλου μίσχον, καὶ παρὰ τὴν εἰς νέωτα κάχρυν, ἐφ' ἑτέρου μίσχου· χλωρὸν δὲ, ὅταν ᾖ καλυκῶδες· ἐκκαλυπτόμενον δ' ὑπόξανθον. ἡ δὲ ἄνθησις, ἅμα τοῖς ἡμέροις. ὁ δὲ καρπὸς στρογγύλος, πρόμακρος, ἡλίκος κύαμος, ὅμοιος τῷ τοῦ κιττοῦ· γωνίας ἔχων ὁ ἁδρὸς, πέντε, οἷον ἰνῶν ἐξεχουσῶν, καὶ εἰς ὀξὺ συνηγμένων. ὁ δὲ μὴ ἁδρὸς, ἀδιαρθρότερος. διακνιζόμενος δὲ ὁ ἁδρὸς, ἔχει μικρὰ ἄττα καὶ λεπτὰ σπερμάτια, ἡλίκα καὶ ὁ τῆς ἀνδράχνης. τὸ δὲ φύλλον, καὶ ὁ φλοιὸς, ἡδέα καὶ γλυκέα. τῇ δὲ μορφῇ κιττῶδες τὸ φύλλον, πλὴν ἐκ περιαγωγῆς μᾶλλον ἡ περιφέρεια, καὶ τὸ πρὸς τῷ μίσχῳ κυρτότατον. ἀλλὰ κατὰ μέσον καὶ εἰς ὀξύτερον τὴν συναγωγὴν ἔχον, καὶ μακροτέραν. ἔπιλον δὲ κύκλῳ, καὶ κεχαραγμένον. μήτραν δ' ἔχει τὸ ξύλον μικρὰν, καὶ οὐ πολὺ μαλακωτέραν τοῦ ἄλλου. μαλακὸν γὰρ καὶ τὸ ἄλλο ξύλον.

Τῆς δὲ σφενδάμνου, καθάπερ εἴπομεν, δύο γένη ποιοῦσιν· οἱ δὲ, τρία. ἓν μὲν δὴ τὸ κοινῷ προσαγορευόμενον σφένδαμνον, ἕτερον δὲ ζυγίαν, τρίτον δὲ κλινότροχον, ὡς οἱ περὶ Στάγειρα. διαφορὰ δ' ἐστὶ τῆς ζυγίας καὶ τῆς σφενδάμνου, ὅτι ἡ μὲν σφένδαμνος λευκὸν ἔχει τὸ ξύλον, καὶ εὐινότερον· ἡ δὲ ζυγία, ξανθὸν καὶ οὖλον· τὸ δὲ φύλλον εὐμέγεθες ἄμφω, τῇ σχίσει ὅμοιον τῷ τῆς πλατάνου πετάλῳ, λεπτότερον δὲ, καὶ ἀσαρκότερον, καὶ μαλακώτερον, καὶ προμηκέστερον. τὰ δὲ σχίσματα ὅλα εἰς ὀξὺ συνάγοντα· καὶ οὐχ οὕτω μεσοσχιδῆ, ἀλλ' ἀκροσχιδέστερα οὐ πολύ· ἴνας δὲ, ὡς κατὰ μέγεθος. ἔχει δὲ καὶ φλοιὸν μικρῷ τραχύτερον τοῦ τῆς φιλύρας, ὑποπέλιον, παχὺ, καὶ πυκνότερον ἢ ὁ τῆς πίτυος, καὶ δυσκαμπῆ. ῥίζας δ' ὀλίγας, καὶ μετεώρους, καὶ ὅλως σχεδὸν αἱ πλεῖσται. καὶ αἱ ξανθαὶ, καὶ αἱ τῆς λευκῆς. γίνεται δὲ μάλιστα ἐν τοῖς ἐφύδροις, ὡς οἱ περὶ τὴν Ἴδην λέγουσι· καὶ ἔστι σπάνιον. περὶ ἄνθους δὲ οὐκ ᾔδεσαν. τὸν δὲ καρπὸν οὐ λίαν μὲν προμήκη, παρόμοιον δὲ τῷ παλιούρου, πλὴν προμηκέστερον. οἱ δὲ ἐν τῷ Ὀλύμπῳ, τὴν μὲν ζυγίαν ὄρειον μᾶλλον, τὴν δὲ σφένδαμνον καὶ ἐν τοῖς πεδίοις φύεσθαι. εἶναι δὲ τὴν μὲν ἐν τῷ ὄρει φυομένην ξανθὴν, καὶ δίχρουν, καὶ οὔλην, καὶ στερεὰν, ᾗ καὶ πρὸς τὰ πολυτελῆ τῶν ἔργων χρῶνται· τὴν δὲ πεδεινὴν, λευκήν τε, καὶ μανοτέραν, καὶ ἧττον οὔλην. καλοῦσι δ' αὐτὴν ἔνιοι † γλῖνον, οὐ σφένδαμνον. γλεῖνον καὶ τῆς ἄρρενος οὐλότερα τὰ ξύλα, συνεστραμμένα· καὶ ἐν τῷ πεδίῳ ταύτην φύεσθαι μᾶλλον, καὶ βλαστάνειν πρωϊαίτερον.

Ἔστι δὲ καὶ μελίας γένη δύο. τούτων δ' ἡ μὲν ὑψηλὴ, καὶ εὐμήκης ἐστὶ, τὸ ξύλον ἔχουσα λευκὸν, καὶ εὔινον, καὶ μαλακώτερον, καὶ ἀνοζότερον, καὶ οὐλότερον· ἡ δὲ ταπεινοτέρα, καὶ ἧττον εὐαυξὴς, καὶ τραχυτέρα, καὶ σκληροτέρα, καὶ ξανθοτέρα. τὰ δὲ φύλλα τῷ μὲν σχήματι δαφνοειδῆ, πλατυφύλλου δάφνης, εἰς ὀξύτερον δὲ συνηγμένα. χαραγμὸν δὲ ἴνα ἔχοντα κύκλῳ, καὶ ἐπακανθίζοντα. τὸ δ' ὅλον, ὅπερ ἄν τις εἴποι ἄφυλλον, τῷ ἅμα φυλλοφορεῖν ἀφ' ἑνὸς μίσχου, καὶ περὶ μίαν οἷον κατὰ γόνυ συζυγίαν. τὰ φύλλα δὲ καθ' ἕκαστον πέφυκε· συχνὰς δ' ἐχουσῶν τῶν συζυγιῶν, ὁμοίως καὶ ὥσπερ τῆς οἴης. ἔστι δὲ τῶν μὲν τραχέα τὰ γόνατα, καὶ αἱ συζυγίαι τὸ πλῆθος ἐλάττους. τῶν δὲ τῆς λευκῆς, καὶ μακραὶ, καὶ πλείους· καὶ τὰ καθ' ἕκαστον φύλλα μακρότερα, καὶ στενότερα, τὴν δὲ χρόαν πρασώδη. φλοιὸν δὲ λεῖον ἔχει, καὶ † πυρὸν δὲ, καὶ πυκνὸν λεπτὸν, καὶ τῇ χρόᾳ † πυρόν. † πυῤῥόν πυκνόρριζον δὲ, καὶ παχύρριζον, καὶ μετέωρον. καρπὸν δὲ οἱ μὲν περὶ τὴν Ἴδην οὐχ ὑπολαμβάνουσιν ἔχειν, οὐδ' ἄνθος. ἔχει δ' ἐν λοβῷ καρπὸν λεπτὸν, καρυηρὸν, ὡς τῶν ἀμυγδαλῶν, ὑπόπικρον τῇ γεύσει. φέρει δὲ καὶ ἕτερ' ἄττα, οἷον βρύα (καθάπερ ἡ δάφνη) πλὴν στριφνότερα, καὶ ἕκαστον καθ' αὑτὸ σφαιροειδὲς, ὥσπερ τὰ τῆς πλατάνου. τούτων δὲ τὰ μὲν περὶ † τῶν καρπῶν, τὰ δ' ἀπηρτημένα πολύ. καὶ τὰ πλεῖστα οὕτω. φύεται δὲ ἡ τὸν καρπὸν

εἰς λίσβον, ἐμπρησθέντος τῆς πυῤῥαίων ὄρους τῆς πιτυώδους. νόσημα δὲ ταῖς πεύκαις ἴδιόν
τι λέγουσι συμβαίνειν οἱ περὶ τὴν ἴδην, ὡς θ᾽ ὅταν μὴ μόνον τὸ ἐγκάρδιον, ἀλλὰ καὶ τὸ ἔξω τοῦ
στελέχους ἔνδαδον γένηται, τηνικαῦτα ὥσπερ ἀποπνίγεσθαι. τοῦτο δὲ αὐτόματον συμβαίνει. δι-
ευπορίαν τοῦ δένδρου, ὡς ἄν τις εἰκάσειεν· ὅλον γὰρ γίνεται δᾶς. περὶ μὲν οὖν τὴν πεύκην
ἴδιόν τι τοῦτο πάθος. ἐλάτη δ᾽ ἐστὶν ἡ μὲν ἄῤῥην, ἡ δὲ θήλεια. διαφορὰς δὲ ἔχουσι τοῖς φύλ-
λοις· ὀξύτερα γὰρ, καὶ κεντρωδέστερα τῆς ἄῤῥενος, καὶ ἐπεστραμμένα μᾶλλον· διὸ καὶ ἀλσωδέστερον τὴν
ὄψιν φαίνεται τὸ δένδρον ὅλον, καὶ τῷ ξύλῳ· λευκότερον γὰρ, καὶ μαλακώτερον, καὶ εὐεργέστε-
ρον τὸ τῆς θηλείας, καὶ τὸ ὅλον στέλεχος εὐμηκέστερον· τὸ δὲ τῆς ἄῤῥενος ποικιλώτερον, καὶ πα-
χύτερον, καὶ σκληρότερον, καὶ περίμητρον μᾶλλον, ὅλως δὲ φαυλότερον τὴν ὄψιν. ἐν δὲ τῷ κώ-
νῳ τῷ μὲν τοῦ ἄῤῥενος ἔστι κάρυα ὀλίγα ἐπὶ τοῦ ἄκρου, τοῦ δὲ τῆς θηλείας ὅλως οὐδὲν, ὡς οἱ ἐκ
μακεδονίας ἔλεγον. ἔχει δὲ πτέρυγας τὸ φύλλον, καὶ ἐπ᾽ ἔλαττον, ὥστε τὴν ὅλην μορφὴν εἶναι
Cyathis, Gaza. θυλακώδη, καὶ παρόμοιον μάλιστα ταῖς βοιωτίαις † κυανίαις. πυκνὸν δὲ οὕτως, ὥστε μήτε
χιόνα διιέναι, μήθ᾽ ὑετόν. ὅλως δὲ, καὶ τῇ ὄψει τὸ δένδρον καλόν. καὶ γὰρ ἡ βλάστησις ἰδία τις,
ὥσπερ εἴρηται, παρὰ τὰς ἄλλας, καὶ μόνη τάξιν ἔχουσα· τοῦ δὲ μεγέθει καὶ μέγα, καὶ πολὺ
τῆς πεύκης εὐμηκέστερον. διαφέρει δὲ καὶ κατὰ τὸ ξύλον οὐ μικρόν· τὸ μὲν γὰρ τῆς ἐλάτης ἰν-
δῶδες, καὶ μαλακὸν, καὶ κοῦφον· τὸ δὲ τῆς πεύκης δαδῶδες, καὶ βαρὺ, καὶ σαρκωδέστερον.
ὄζους δὲ ἔχει πλείους μὲν ἡ πεύκη, σκληροτέρους δὲ ἡ ἐλάτη· σχεδὸν δὲ πάντων, ὡς εἰπεῖν,
σκληροτέρους· τὸ δὲ ξύλον μαλακώτερον. ὅλως δὲ, οἱ ὄζοι πυκνότατοι, καὶ στερεωτικαὶ μό-
νον διαφανεῖς ἐλάτης καὶ πεύκης, καὶ τῷ χρώματι δαδώδεις· καὶ μάλιστα διάφοροι τοῦ
ξύλου μᾶλλον ἢ τῆς ἐλάτης. ἔχει δὲ ὥσπερ ἡ πεύκη τὴν αἰγίδα, καὶ ἡ ἐλάτη τὸ λευκόν,
λοῦσον καλούμενον, οἷον ἀντίστροφον αἰγίδι, πλὴν τὸ λευκόν. ἡ δ᾽ αἰγὶς εὔχρως, διὰ τὸ ἔν-
δαδον. πυκνὸν δὲ καὶ λευκὸν γίνεται, καὶ καλὸν, καὶ ἐκ τῶν πρεσβυτέρων ὄντων δένδρων· ἀλλὰ
σπάνιον, τὸ χρυσόν· τὸ δὲ τυχὸν, διαψιλές. ἐξ οὗ τὰ τῶν ζωγράφων πινάκια ποιοῦσι, καὶ τὰ γραμ-
ματεῖα τὰ πολλὰ, καὶ ἐσπουδασμένα, καὶ τοῦ βελτίονος. οἱ δὲ περὶ ἀρκαδίαν, ἀμφότερα
καλοῦσιν αἰγίδα, καὶ τὴν τῆς πεύκης, καὶ τὴν τῆς ἐλάτης. καὶ εἶναι πλείω τὴν τῆς πεύκης· ἀλλὰ
ἀγαθὰ ὅλην τε καλλίω τὴν τῆς ἐλάτης. εἶναι γὰρ τῆς μὲν ἐλάτης † ὅλην τε καὶ λείαν, καὶ πυκνήν· τῆς δὲ πεύ-
κης ὀλίγην, τὴν μὲν τι οὐσίαν οὐλοτέραν, καὶ ἰσχυροτέραν, καὶ τὸ ὅλον καλλίω. οὗτοι μὲν
οὖν ἐοίκασι τοῖς ὀνόμασι διαφωνεῖν. ἡ δὲ ἐλάτη ταύτας ἔχει τὰς διαφορὰς πρὸς τὴν πεύ-
κην· καὶ ἔτι περὶ τὴν ἀμφαυξιν, ἣν πρότερον εἴπομεν. ὀξύη δ᾽ οὐκ ἔχει διαφορὰς, ἀλλ᾽ ἔστι
μονογενές· ὀρθοφυὲς δὲ, καὶ λεῖον, καὶ ἄνοζον, καὶ πάχος καὶ ὕψος ἔχον σχεδὸν ἴσον τῇ ἐλά-
τῃ. καὶ τἄλλα δὲ παρόμοιόν τι τὸ δένδρον· ξύλον δὲ εὔχρων, ἰσχυρὸν, εὔινον, καὶ φλοιὸν λεῖον, καὶ
παχύφυλλον, ἀσχιδὲς, προμηκέστερον ἀπίου, καὶ ἐξακανθίζον ἐξ ἄκρου· ῥίζας οὔτε πολ-
λὰς, οὔτε κατὰ βάθος· ὁ δὲ καρπὸς λεῖος, βαλανώδης ἐν ἐχίνῳ, πλὴν οὐκ ἐν ἀκανθώ-
δει καὶ λείῳ, καὶ οὐχ ὡς ἡ διὸς βάλανος ἀκανθώδης· προσεμφερὴς δὲ καὶ κατὰ τὴν γλυκύ-
τητα, καὶ κατὰ τὸν χυλὸν ἐκείνῳ. γίνεται δὲ καὶ ἐν τοῖς ὄρεσι, λευκή τε, καὶ χρήσιμον ἔχει τὸ
ξύτα ξύλον πρὸς πολλά. καὶ γὰρ πρὸς ἁμαξουργίαν, καὶ πρὸς κλινοπηγίαν, καὶ εἰς διφρουρ-
γίαν, καὶ εἰς τραπεζίαν, καὶ εἰς ναυπηγίαν. ἡ δ᾽ ἐν τοῖς πεδίοις μέλαινα, καὶ ἄχρηστος πρὸς
ταῦτα· τὸν δὲ καρπὸν ἔχουσι παραπλήσιον. μονογενὴς δὲ καὶ ἡ μίλος. ὀρθοφυὴς δὲ, καὶ
εὐαυξὴς, καὶ ὁμοία τῇ ἐλάτῃ, πλὴν οὐχ ὑψηλὸν οὕτω, πολυμασχαλον δὲ μᾶλλον. ὅμοιον
δὲ καὶ τὸ φύλλον ἔχει τῇ ἐλάτῃ, καὶ λιπαρώτερον δὲ, καὶ μαλακώτερον. καὶ τὸ ξύλον ἡ μὲν ἐξ
ἀρκαδίας, μέλαν καὶ φοινικοῦν· ἡ δ᾽ ἐκ τῆς ἴδης, ξανθὸν σφόδρα, καὶ ὅμοιον τῇ κέδρῳ. διὸ καὶ
τοὺς πωλοῦντάς φασιν ἐξαπατᾶν, ὡς κέδρον πωλοῦντας. πᾶν γὰρ εἶναι καρδίαν, ὅταν ὁ φλοιὸς
περιαιρεθῇ. ὅμοιον δὲ τὸν φλοιὸν ἔχειν καὶ τῇ τραχύτητι, καὶ τῷ χρώματι, τῇ κέδρῳ. ῥίζας δὲ μικρὰς,
καὶ λεπτὰς, καὶ ἐπιπολαίους. σπάνιον δὲ τὸ δένδρον περὶ τὴν ἴδην. περὶ δὲ μακεδονίαν καὶ ἀρκα-
δίαν, καὶ πολὺν καρπὸν φέρει, στρογγύλον, μικρῷ μείζω κυάμου, καὶ τῷ χρώματι δ᾽ ἐρυθρὸν καὶ
μαλακόν. φασὶ δὲ τὰ μὲν λόφουρα, ἐὰν φάγῃ τῶν φύλλων, ἀποθνήσκειν. τὰ δὲ μηρυκάζοντα, οὐδὲν
πάσχειν. καὶ τὸν καρπὸν ἐσθίουσι καὶ τῶν ἀνθρώπων τινὲς, καὶ ἔστιν ἡδὺς, καὶ ἀσινής. ἔστι δὲ καὶ ὁ ὄστρυς
μονοειδὴς, ἣν καλοῦσί τινες ὀστρύαν, ὁμοφυὲς τῇ ὀξύᾳ, τῇ τε φυτείᾳ καὶ τῷ φλοιῷ. φύλλα δὲ
ἀπιοειδῆ τοῖς σχήμασι, πλὴν προμηκέστερα πολλῷ, καὶ εἰς ὀξὺ συνηγμένα, καὶ μείζω, πολύϊνα

δὲ

διαιροῦσιν. Οἱ δὲ περὶ μακεδονίαν, τέτταρα γένη ποιοῦσιν. ἐτυμόδρυν, ἣ τὰς γλυκείας· πλατύφυλλον, ἣ τὰς πικράς· φηγόν, ἣ τὰς στρογγύλας· ἄσπριν (ταύτην γὰρ οἱ μὲν) ἄκαρπον ὅλως, οἱ δὲ φαῦλον τὸν καρπόν, ὥστε μηδὲν ἐσθίειν ζῷον πλὴν ὗς, καὶ ταύτην ὅταν ἑτέραν μὴ ἔχῃ· καὶ τὰ πολλὰ λαμβάνεσθαι περικεφάλαια. μοχθηρὰ δὲ καὶ τὰ ξύλα, πελεκηθέντα μὲν ὅλως ἀχρεῖα. καταῤῥήγνυνται γάρ, καὶ διαπίπτει. ἀπελέκητα δὲ βελτίω, διὸ καὶ οὕτω χρῶνται. μοχθηρὰ δὲ καὶ εἰς καῦσιν, καὶ εἰς ἀνθρακείαν. ἀχρεῖος γὰρ ὅλως ὁ ἄνθραξ, διὰ τὸ πηδᾶν, καὶ σπινθηρίζειν, πλὴν τοῖς χαλκεῦσι. τούτοις δὲ χρησιμώτερος τῶν ἄλλων, διὰ τὸ ἀποσβέννυσθαι εὐθύς, ὅταν παύσηται φυσώμενος· διὸ ὀλίγος ἀναλίσκεται. τὸ δὲ τῆς ἁλιφλοίου χρήσιμον εἰς τοὺς ἄξονας μόνον, καὶ τὰ τοιαῦτα. δρῦς μὲν οὖν ταύτας ποιοῦσι τὰς ἰδέας. τῶν δὲ ἄλλων ἐλάτης, καὶ σχεδὸν τά γε πλεῖστα διαιροῦσιν ἄῤῥενι καὶ θήλει, καθάπερ εἴρηται, πλὴν ὀλίγων, † ὥς ἐστι καὶ ἡ πεύκη. πεύκης γὰρ τὸ μὲν ἥμερον ποιοῦσι, τὸ δ' ἄγριον. τῆς δ' ἀγρίας δύο γένη· καλοῦσι δὲ τὴν μὲν ἰδαίαν, τὴν δὲ παραλίαν. τούτων δέ, ὀρθοτέρα, καὶ μακροτέρα, καὶ ξύλον ἔχουσα παχύτερον, ἡ ἰδαία· τὸ δὲ φύλλον λεπτότερον, καὶ ἀμαυρότερον, ἡ παραλία, καὶ λειότερον τὸν φλοιόν, καὶ εἰς τὰ δέρματα χρήσιμον· ἡ δ' ἑτέρα, οὔ. καὶ τῶν στροβίλων, ὁ μὲν τῆς παραλίας στρογγύλος τε καὶ διαχάσκων ταχέως, ὁ δὲ τῆς ἰδαίας μακρότερος καὶ χλωρὸς καὶ ἧττον χάσκων, ὡς ἂν ἀγριώτερος. τὸ δὲ ξύλον ἰσχυρότερον, τὸ τῆς παραλίας· δεῖ γὰρ καὶ τὰς τοιαύτας διαφορὰς λαμβάνειν τῶν † ἀγγέων· γνώριμος γὰρ διὰ τὴν χρόαν. ὀζώτερον δὲ καὶ παχύτερον, ὥσπερ ἄπομεν, ἡ ἰδαία. καὶ πρὸς τούτοις, πιττωδέστερον ὅλως τὸ δένδρον. μελαντέρα δέ, καὶ γλυκυτέρα, καὶ λεπτοτέρα, καὶ εὐωδεστέρα, ὅταν ᾖ ὠμή. ἑψηθεῖσα δέ, χείρων ἐκβαίνει, διὰ τὸ πολὺν ἔχειν τὸν ὀρόν. ἐοίκασι δ' ἅπερ οὗτοι διαιροῦσιν ὀνόμασιν ἰδίοις, οἱ ἄλλοι διαιρεῖν τῷ ἄῤῥενι καὶ θήλει. φασὶ δ' οἱ περὶ μακεδονίαν, καὶ ἄκαρπόν τι γένος ὅλως εἶναι πεύκης· καὶ τὸ μὲν ἄῤῥεν βραχύτερόν τε καὶ σκληρότερον, τὸ δὲ θῆλυ εὐμηκέστερον. καὶ τὰ φύλλα λιπαρά, καὶ ἁπαλά, καὶ κεκλιμένα μᾶλλον ἔχειν. ἔστι δὲ τὰ ξύλα τῆς μὲν ἄῤῥενος περιμήτρια καὶ σκληρά, καὶ ἐν ταῖς ἐργασίαις στρεφόμενα· τῆς δὲ θηλείας, εὔεργα, καὶ εὐστραβῆ, καὶ μαλακώτερα. σχεδὸν δὲ κοινή τις ἡ διαφορὰ πάντων τῶν ἀῤῥένων καὶ θηλειῶν, ὡς οἱ ὑλοτόμοι φασίν. ἅπαν γὰρ τὸ ἄῤῥεν τῇ πελεκήσει καὶ βραχύτερον, καὶ ἐπεστραμμένον μᾶλλον, καὶ δυσεργότερον, καὶ τῷ χρώματι μελάντερον· τὸ δὲ θῆλυ, εὐμηκέστερον. ἐπεὶ καὶ τὴν αἰγίδα τὴν καλουμένην, ἡ θήλεια τῆς πεύκης ἔχει· τοῦτο δέ ἐστι τὸ ἐγκάρδιον αὐτῆς. αἴτιον δέ, ὅτι ἀπευκοτέρα, καὶ ἧττον ἔνδαδος, καὶ λειοτέρα, καὶ εὐπλανωτέρα. γίνεται δὲ ἐν τοῖς μέγεθος ἔχουσι τῶν δένδρων, ὅταν ἐκπεσόντα περισαπῇ τὰ λευκά, καὶ τὰ κύκλῳ. τούτων γὰρ περιαιρεθέντων, καὶ καταλειφθείσης τῆς μήτρας, ἐκ ταύτης πελεκᾶται. ἔστι δὲ † εὔχρουν σφόδρα, καὶ λεπτόϊνον· ὃ δὴ οἱ περὶ τὴν ἴδην δαδουργοί, καλοῦσι συκῆν. τὸ δ' ἐπιγινόμενον ἐν ταῖς πεύκαις ἐρυθρότερον τῶν χρωμάτων τῆς δαδός, ἐν τοῖς ἄῤῥεσιν ἐστὶ μᾶλλον· δυσῶδες δὲ τοῦτο, καὶ οὐκ ὄζει δαδός, οὐδὲ καίεται, ἀλλ' ἀποπηδᾷ ἀπὸ τοῦ πυρός. πεύκης μὲν οὖν ταῦτά τε ποιοῦσιν, ἥμερόν τε καὶ ἄγριον καὶ τῆς ἀγρίας ἄῤῥενά τε καὶ θήλειαν, καὶ τρίτην τὴν ἄκαρπον. οἱ δὲ περὶ τὴν ἀρκαδίαν, ὅτι τὴν ἄκαρπον λέγουσιν, ὅτι τὴν ἥμερον, πεύκην· ἀλλὰ πίτυν εἶναί φασι. καὶ γὰρ τὸ στέλεχος ἐμφανέστερον εἶναι τῇ πίτυϊ, καὶ ἔχειν τήν τε λεπτότητα τὸ μέγεθος, καὶ ἐν ταῖς ἐργασίαις αὐτὸ τὸ ξύλον. τὸ γὰρ τῆς πεύκης, καὶ παχύτερον, καὶ λειότερον, καὶ ὑψηλότερον εἶναι. καὶ τὰ φύλλα τὴν μὲν πεύκην ἔχειν πολλά, καὶ λιπαρά, καὶ βαθέα, καὶ κεκλιμένα. τὴν δὲ πίτυν, καὶ τὴν κωνοφόρον ταύτην, ὀλίγα τε καὶ αὐχμωδέστερα, καὶ πεφρικότα μᾶλλον. ἔτι δὲ τὴν πίτυν αὖ ἐμφανεστέραν τῆς πεύκης. καὶ γὰρ τὴν πίτυν ἔχειν ὀλίγην τε καὶ μικράν, ὥσπερ καὶ τὴν κωνοφόρον· τὴν δὲ πεύκην, εὐώδη, καὶ πολλήν. φύεται δὲ ἐν μὲν τῇ ἀρκαδίᾳ ἡ πίτυς ὀλίγη, περὶ δὲ τὴν ἠλείαν πολλή. οὗτοι μὲν οὖν ὅλον τὸ γένος διαμφισβητοῦσιν. ἡ δὲ πίτυς δοκεῖ τῆς πεύκης διαφέρειν, τῷ λιπαρωτέρα τε εἶναι, καὶ λεπτοφυλλοτέρα, καὶ τὸ μέγεθος ἐλάττων, καὶ ἧττον ὀρθοφυής· ἔτι δέ, καὶ τὸν κῶνον ἐλάττω φέρειν, καὶ πεφρικότα μᾶλλον, καὶ τὸ κάρυον πιττωδέστερον. ἄμφω δὲ τριχόφυλλα, καὶ τὰ ξύλα λευκότερα, καὶ ὁμοιότερα τῇ ἐλάτῃ, καὶ τὸ ὅλον ἄπευκα. διαφορὰν δὲ ἔχει μεγάλην πρὸς τὴν πεύκην· πεύκην μὲν γὰρ ἐκκαυθεισῶν τῶν ῥιζῶν οὐκ ἀναβλαστάνειν, τὴν πίτυν δέ φασί τινες ἀναβλαστάνειν, ὥσπερ καὶ

λημμένον, πρόμακρον, σφαιρικόν. ὑπὸ δὲ τοῦ φύλλου φύεται ἐπὶ τὴν ῥάχιν σφαιρίον λευκόν, διαυγές, ὑδατῶδες, ὅταν ἁπαλὸν ᾖ. ὥσπερ δὲ καὶ μύας ἐνίοτε ἐντὸς ἔχει. τελειούμενον δέ, σκληρύνεται, καὶ κηκίδος μικρᾶς λείας τρόπον. ἡ μὲν οὖν δρῦς τοσαῦτα φέρει † παρὰ τὸν καρπόν.

παρὰ

9 Οἱ γὰρ μύκητες ἀπὸ τῶν ῥιζῶν καὶ παρὰ τὰς ῥίζας φυόμενοι, κοινοὶ καὶ ἑτέρων εἰσίν. ὡσαύτως δὲ καὶ ἡ ἰξία· καὶ γὰρ αὕτη φύεται καὶ ἐν ἄλλοις. ἀλλ᾽ οὐδὲν ἧττον, ὥσπερ ἐλέχθη, πλειστοφόρον ἐστίν. εἰ δέ γε δὴ ἡ καθ᾽ Ἡσίοδον φέρει μέλι καὶ μελίττας, ἔτι μᾶλλον. φαίνεται δ᾽ οὖν καὶ ὁ μελιτώδης οὗτος χυλός, ἐκ τοῦ ἀέρος, ἐπὶ ταύτῃ μάλιστα προσίζειν. φασὶ δὲ καὶ ὅταν κατακοπῇ, γίνεται λίτρον ἐξ αὐτῶν. ταῦτα μὲν οὖν ἴδια τῆς δρυός. πάντων δ᾽ ὥσπερ ἐλέχθη τῶν δένδρων, ὡς καθ᾽ ἕκαστον γένος λαβεῖν, διαφοραὶ πλείους εἰσίν. ἡ μὲν κοινὴ πᾶσιν, ᾗ διαιροῦσι τὸ θῆλυ καὶ τὸ ἄῤῥεν. ὧν τὸ μὲν καρποφόρον, τὸ δὲ ἄκαρπον ἐπί τινων· ἐν οἷς δὲ ἄμφω καρποφόρα, τὸ θῆλυ καλλικαρπότερον· πλὴν ὅσοι ταῦτα καλοῦσιν ἄῤῥενα. καλοῦσι γάρ τινες. παραπλησία δ᾽ ἡ τοιαύτη † φορά, καὶ ὡς τὸ ἥμερον διῄρηται πρὸς τὸ ἄγριον. ἑτέρα δὲ κατ᾽ εἶδος αὐτῶν τῶν ὁμογενῶν, ὑπὲρ ὧν ἅμα συνεμφαίνοντας καὶ τὰς ἰδίας μορφὰς τῶν μάλιστα φανερῶν καὶ γνωρίμων. δρυὸς δὲ γένη (ταύτην γὰρ μάλιστα διαιροῦσι, καὶ ἔνιοί γε οὕτως) τὴν μὲν ἥμερον καλοῦσι, τὴν δ᾽ ἀγρίαν· οὐ τῇ γλυκύτητι τοῦ καρποῦ διαιροῦντες, ἐπεὶ γλυκύτατός γε ὁ τῆς φηγοῦ, ταύτην δ᾽ ἀγρίαν ποιοῦσιν· ἀλλὰ διὰ τὸ μᾶλλον ἐν τοῖς ἐργασίμοις φύεσθαι, καὶ τὸ ξύλον ἔχειν λειότερον· τὴν δὲ φηγόν, τραχύ, καὶ ἐν τοῖς ὀρεινοῖς. γένη μὲν οὖν οἱ μὲν τέτταρα ποιοῦσιν, οἱ δὲ πέντε. διαλλάττουσι δ᾽ ἔνια τοῖς ὀνόμασιν· οἷον τὴν τὰς γλυκείας φέρουσαν, οἱ μὲν ἡμερίδα καλοῦντες, οἱ δὲ ἐτυμόδρυν. ὁμοίως δὲ καὶ ἐπ᾽ ἄλλων. ὡς δ᾽ οὖν οἱ περὶ τὴν Ἴδην διαιροῦσι, τάδ᾽ ἐστὶ τὰ εἴδη· ἡμερίς, αἰγίλωψ, πλατύφυλλος, φηγός, ἁλίφλοιος· οἱ δὲ, εὐθύφλοιον καλοῦσι. κάρπιμα μὲν πάντα, γλυκύτατα δὲ τὰ τῆς φηγοῦ, καθάπερ εἴρηται. καὶ δεύτερον τὰ τῆς ἡμερίδος, εἶτα τῆς πλατυφύλλου, καὶ τέταρτον ἡ ἁλίφλοιος· ἔσχατον δὲ καὶ πικρότατον, ἡ αἰγίλωψ. οὐκ ἐν ἅπασι δὲ γλυκεῖαι τοῖς γένεσιν, ἀλλ᾽ ἔνιαι καὶ πικραί, καθάπερ ἡ φηγός. διαφέρουσι δὲ καὶ τοῖς μεγέθεσι, καὶ τοῖς σχήμασι, καὶ τοῖς χρώμασι τῶν βαλάνων. ἴδιον δὲ ἔχουσιν, ἥ τε φηγὸς καὶ ἡ ἁλίφλοιος· ἀμφότεραι γὰρ παραλιθάζουσιν ἐν τοῖς ἄῤῥεσι καλουμένοις, ἐξ ἄκρων τῶν βαλάνων ἑκατέρωθεν· αἱ μὲν πρὸς τῷ κελύφει, αἱ δὲ πρὸς αὐτῇ τῇ σαρκί. διὸ καὶ ἀφαιρεθέντων, ὅμοια γίνεται τοῖς λώμασι τοῖς περὶ τῶν ζώων. διαφέρουσι δὲ καὶ ἐν τοῖς φύλλοις, καὶ τοῖς στελέχεσι, καὶ τοῖς ξύλοις, καὶ τῇ ὅλῃ μορφῇ. ἡ μὲν γὰρ ἡμερὶς οὐκ ὀρθοφυής, οὐδὲ λεία, οὐδὲ μακρά. περίκομος γὰρ ἡ φυτεία, καὶ ἀπεστραμμένη, καὶ πολυμάσχαλος, ὥστε ὀζώδη καὶ πολυμάσχαλον γίνεσθαι. τὸ δὲ ξύλον ἰσχυρὸν μέν, ἀσθενέστερον δὲ τῆς φηγοῦ· τοῦτο γὰρ ἰσχυρότατον, καὶ ἀσαπέστατον. οὐκ ὀρθοφυὴς δὲ οὐδ᾽ αὕτη, ἀλλ᾽ ἧττον ἔτι τῆς ἡμερίδος. τὸ δὲ στέλεχος παχύτατον, ὥστε καὶ τὴν ὅλην βραχεῖαν εἶναι. καὶ γὰρ ἡ φυτεία, περίκομος καὶ ταύτῃ, καὶ οὐκ εἰς ὀρθόν. ἡ δὲ αἰγίλωψ ὀρθοφυεστάτη, καὶ ὑψηλοτάτη, καὶ λειοτάτη, καὶ τὸ ξύλον εἰς μῆκος ἰσχυρότατον. † φύεται δὲ ἐν τοῖς ἐργασίμοις, ἢ σπανίως. ἡ δὲ πλατύφυλλος δεύτερον ὀρθοφυΐᾳ καὶ μήκει· πρὸς δὲ τὴν χρείαν τὴν οἰκοδομικὴν χείριστον, μετὰ τὴν ἁλίφλοιον. φαῦλον δὲ καὶ εἰς τὸ κάειν, καὶ ἀνθρακεύειν, ὥσπερ καὶ τὸ τῆς ἁλιφλοίου· καὶ † θειπαδέστατον μετ᾽ ἐκείνην. ἡ γὰρ ἁλίφλοιος παχὺ μὲν ἔχει τὸ στέλεχος, χαῦνον δέ, καὶ κοῖλον, ἐὰν ἔχῃ πάχος ὡς ἐπὶ πολύ· διὸ καὶ ἀχρεῖον εἰς τὰς οἰκοδομάς. ἔτι δὲ σήπεται τάχιστα· καὶ γὰρ ἔνικμος ἐστὶ τοῦ δένδρου. διὸ καὶ κοίλη γίνεται. φασὶ δέ τινες οὐδ᾽ ἐγκάρδιον εἶναι μόνην. λέγουσιν, ὡς καὶ κεραυνόβλητες αὗται μόναι γίνονται, καίπερ ὕψος οὐκ ἔχουσαι. τῶν αἰολέων τινὲς οὐδὲ πρὸς τὰ ἱερὰ χρῶνται τοῖς ξύλοις. κατὰ μὲν οὖν τὰ ξύλα, καὶ τὰς ὅλας μορφάς, ἐν τούτοις αἱ διαφοραί. κηκῖδας δὲ πάντα φέρει τὰ γένη. μόνη δὲ εἰς τὰ δέρματα χρησίμη ἡ ἡμερίς. ἡ δὲ τῆς αἰγίλωπος, καὶ τῆς πλατυφύλλου, τῇ μὲν ὄψει παρομοία τῇ τῆς ἡμερίδος, πλὴν λειοτέρα· ἀχρεῖον δέ. φέρει δὲ καὶ τὴν ἑτέραν τὴν μέλαιναν, ᾗ τὰ ἔρια βάπτουσιν. ὃ δὲ καλοῦσί τινες φάσκον, ὁμοίως τοῖς βραγχίοις, ἡ αἰγίλωψ μόνη φέρει, πολιὸν καὶ τραχύ· καὶ γὰρ πηχυαῖον κατακρεμαίνεται, καθάπερ τρύγχος ὀθονίου μακρόν. φύεται δὲ ὥσπερ ἐκ τοῦ φλοιοῦ, καὶ οὐκ ἐκ τῆς κορυφῆς, ὅθεν ἡ βάλανος· οὐδ᾽ ἐξ ὀφθαλμοῦ, ἀλλ᾽ ἐκ τοῦ πλαγίου τῶν ἄνωθεν ὄζων ἔχει. ἡ δ᾽ ἁλίφλοιος † ἐπὶ μελίαν ὥσπερ φύει, καὶ βραχύ. οἱ μὲν οὖν ἐκ τῆς Ἴδης, οὕτω δια-

Marginal notes: διαφορὰ — δια — οὐ φύεται — θειπαδέστατον — ἐπὶ μέλαν

τινὰ αὔξησις καὶ ἡ οὕτω. καὶ γὰρ ἕως ἀεὶ τῇ προϊούσῃ τῇ ὑπαρχούσῃ αὐξάνεται, καὶ κολοβοῦσι τὰ φύλλα, καθάπερ ἐν τοῖς ἐπιβοσκομένοις. πλὴν οὗτός γε οὐδ᾽ ἐκ τοῦ πλαγίου παραφύει, καθάπερ ἔνια τῶν χεδροπῶν. αὕτη μὲν οὖν διαφορά τις ἂν εἴη βλαστήσεως ἅμα καὶ αὐξήσεως. βαθύρριζα δὲ οὔ φασί τινες εἶναι τὰ ἄγρια, διὰ τὸ φύεσθαι πάντα ἐκ σπέρματος, οὐκ ἄγαν ὀρθῶς λέγοντες. ἐνδέχεται γάρ, ὅταν ἐμβιώσῃ, πόρρω καθιέναι τὰς ῥίζας. ἐπεὶ καὶ τῶν λαχάνων τὰ πολλὰ τοῦτο ποιεῖ, καίπερ ἀσθενέστερα ὄντα, καὶ ἐν ἀργοῖς φυόμενα τῇ γῇ. βαθυρριζότατον δὲ δοκεῖ τῶν ἀγρίων εἶναι, ἡ πρῖνος. ἐλάτη δὲ, καὶ πεύκη, μετρίως. ἐπιπολαιότατον δὲ, θραύπαλος, καὶ κοκκυμηλέα, καὶ σποδιάς· αὕτη δ᾽ ἐστὶν ὥσπερ ἀγρία κοκκυμηλέα. ταῦτα μὲν οὖν καὶ ὀλιγόρριζα· ὁ δὲ θραύπαλος, πολύρριζον. συμβαίνει δὲ τοῖς ἄλλοις, τοῖς μὴ περὶ βάθος ἔχουσι, καὶ οὐχ ἥκιστα ἐλάτῃ καὶ πεύκῃ, καὶ προρρίζοις ὑπὸ τῶν πνευμάτων ἐκπίπτειν. οἱ μὲν οὖν περὶ ἀρκαδίαν οὕτω λέγουσιν. οἱ δ᾽ ἐκ τῆς ἴδης, βαθυρριζότατον ἐλάτην δρυός, ἀλλ᾽ ἐλάττους ἔχειν, καὶ εὐθυρριζοτέραν εἶναι. βαθυρριζότατον δὲ καὶ τὴν κοκκυμηλέαν, καὶ τὴν ἡρακλεωτικήν. τὰς δὲ ῥίζας λεπτὰς καὶ ἰσχυράς, τὴν ἡρακλεωτικήν· τὴν δὲ κοκκυμηλέαν, πολύρριζον. ἄμφω ἐμβιῶναι δ᾽ ἄγαν, δυσωλεθρον δὲ τὴν κοκκυμηλέαν. ἐπιπολῆς δὲ σφένδαμνον, κατ᾽ ὀλίγον. τὴν δὲ μελίαν, πλείους καὶ εἶναι πυκνόρριζον, καὶ βαθύρριζον. ἐπιπολῆς δὲ καὶ ἄρκευθον, καὶ κέδρον, κλήθρας λεπτάς, καὶ μελίας· ἔτι δ᾽ ὀξύην. καὶ γὰρ τοῦτ᾽ ἐπιπολαιόρριζον, καὶ ὀλιγόρριζον. τὴν δ᾽ οὔαν, ἐπιπολαίους μὲν, ἰσχυρὰς δὲ, καὶ παχείας, καὶ δυσωλέθρους, πλῆθος δὲ μετρίας. βαθύρριζα μὲν οὖν, καὶ οὐ βαθύρριζα, τὰ τοιαῦτά ἐστιν. 8 Ἀποκοπέντος δὲ τοῦ στελέχους, τὰ μὲν ἄλλα πάνθ᾽ ὡς εἰπεῖν παραβλαστάνει, πλὴν ἐὰν αἱ ῥίζαι πρότερον τύχωσι πεπονηκυῖαι. πεύκη δὲ καὶ ἐλάτη τελέως ἐκ ῥιζῶν αὐτοετὲς αὐαίνονται, καὶ ἐὰν τὸ ἄκρον ἀποκοπῇ. συμβαίνει δὲ ἴδιόν τι περὶ τὴν ἐλάτην. ὅταν γὰρ κοπῇ, ἢ † κολουθῇ ὑπὸ πνεύματος, ἢ καὶ ἄλλως πως, περὶ τὸ † πλεῖον τοῦ στελέχους (ἔχει γὰρ μέχρι τινὸς, λεῖον καὶ ἄοζον καὶ ὅμοιον, ἢ καὶ ἡλίκον † πλεῖον) περιφύεται μικρὸν ὑποδεέστερον εἰς ὕψος· καὶ καλοῦσιν οἱ μὲν ἀμφαύξιν, οἱ δὲ ἀμφίφυαν, τῷ μὲν χρώματι μέλαν, τῇ σκληρότητι δ᾽ ὑπερβάλλον, ἐξ οὗ τοὺς κρατῆρας ποιοῦσιν οἱ περὶ ἀρκαδίαν. τὸ δὲ πάχος, οἷον ἐὰν τύχῃ τὸ δένδρον, ὅσῳπερ ἂν ἰσχυρότερον καὶ ἐγχυλότερον, ἢ παχύτερον. συμβαίνει δὲ κἀκεῖνο ἴδιον ἐν αὐτῷ τούτῳ περὶ τὴν ἐλάτην· ὅταν μὲν γάρ τις τοὺς ὄζους ἅπαντας ἀφέλῃ, ἐὰν κόψῃ τὸ ἄκρον, ἀποθνήσκει ταχέως· ὅταν δὲ τὰ κατωτέρω τὸ καταλύον ἀφέλῃ, ζῇ τὸ καταλειπόν, περὶ ὃ δὴ καὶ ἡ ἀμφαύξις φύεται, ζῇ δὲ καὶ δῆλον, ὅτι τὸ ἔγχυλον εἶναι, καὶ χλωρόν· εἴπερ ἀπαραβλαστον. ἀλλὰ γὰρ τοῦτο μὲν ἴδιον τῆς ἐλάτης. φέρει δὲ τὰ μὲν ἄλλα τόν τε καρπὸν τὸν αὐτὸν, καὶ τὰ κατ᾽ ἐνιαυτὸν ἐπιγινόμενα, ταῦτα φύλλον, ἄνθος, βλαστόν· τὰ δὲ, βρύον, ἢ ἕλικα. τὰ δὲ πλείω· καθάπερ ἥ τε πτελέα τόν τε βότρυν, καὶ τὸ θυλακῶδες. τοῦτο καὶ συκῆ, καὶ τὰ ὄρινα τὰ προαποπίπτοντα, καὶ εἴ τινες ἄρα τῶν συκῶν ἐλυνθοφοροῦσιν. ἴσως δὲ τρόπον τινὰ ἄκαρπος οὗτος. ἀλλ᾽ ἡ ἡρακλεωτικὴ καρύα, τὸ ἴουλον· καὶ ἡ πρῖνος, τὸν φοινικοῦν κόκκον· ἡ δὲ δάφνη, τὸ βότρυον. φέρει μὲν καὶ ἡ καρποφόρος εἰ μὴ καὶ πᾶσα, ἀλλὰ καὶ γένος τι αὐτῆς· οὐ μὴν ἀλλὰ πλέον † ἡ ἄκαρπος, ἣν δὴ καὶ ἄρρενα τινὲς καλοῦσιν. ἀλλ᾽ ἡ πεύκη τὸν προαποπίπτοντα κύτταρον. πλεῖστα δὲ πάντων ἡ δρῦς φέρει τὸν καρπόν· οἷον τήν τε κηκίδα τὴν μικράν, καὶ τὴν ἑτέραν τὴν πιττώδη καὶ μέλαιναν. ἔτι δὲ καὶ συκαμινῶδες ἄλλο τῇ μορφῇ, πλὴν σκληρόν, καὶ δυσκάτακτον· σπάνιον δὲ τοῦτο. καὶ ἕτερον, αἰδοιώδη φύσιν ἔχον. τελειούμενος δὲ τις σκληρὸν περὶ τὴν ἐπανάστασιν, καὶ τετρυπημένον, καὶ προσεμφερὲς τρόπον τινὰ τοῦτ᾽ ἔστι καὶ ταύρου κεφαλῇ· περικαταγνύμενον δὲ, ἐντὸς ἔχει πυρῆνα, ἐλαίας εἰρεφυλῶ. φύει δὲ καὶ τὸν ὑπ᾽ ἐνίων καλούμενον πῖλον. τοῦτο δ᾽ ἐστὶ σφαιρίον ἐριῶδες, μαλακόν, περιπυρηνίῳ σκληροτέρῳ περιφυκός, ᾧ χρῶνται πρὸς τοὺς λύχνους· καίεται γὰρ καλῶς, ὥσπερ καὶ ἡ μέλαινα κηκίς. φύει δὲ καὶ ἕτερον σφαιρίον κόμην ἔχον, τὰ μὲν ἄλλα ἀργεῖον, περὶ δὲ τὴν ἐαρινὴν ὥραν ἐπιβαφὲς χυλῷ μελιτηρῷ, καὶ περὶ τὴν ἁφὴν, καὶ περὶ τὴν γεῦσιν. φύει δ᾽ ἐντεριώνης τῶν ῥοπῶν μασχαλίδας, ἕτερον σφαιρίον ἄμισχον, καὶ κοιλόμισχον, ἴδιον, καὶ ποικίλον. τοὺς μὲν γὰρ ἐπανεστηκότας ὀμφαλοὺς ὑπολεύκους, ἢ ἐπιστιγμένους ἔχει μέλανας· τὸ δ᾽ ἀνὰ μέσον, κοκκοβαφὲς, καὶ λαμπρόν· ἀνοιγόμενον δὲ ἐστὶ μέλαν, καὶ ἔπισαπρον. σπάνιον δὲ παραφύει καὶ λιθάριον, κισηροειδὲς ἐπὶ πλεῖον. ἔτι δ᾽ ἄλλο τούτου σπανιώτερον φυλλικόν, συμπεπι-

Margin notes: ζους; καν; καί; κολουθῇ; † λεῖον; † πλεῖον; ἡ ἄκαρπος; τελα

περὶ τὸν σκιρροφοριῶνα λέγοντα. ἐπὶ δὲ ταύτῃ τὴν βλάστησιν, ἐν ᾗ κηκῖδας φύουσι πάσας, καὶ ἡ λευκὴ καὶ ἡ μέλαινα. φύεται δὲ ὡς ἐπὶ τὸ πολὺ νυκτός, ἀθρόως. ἐφ' ἡμέραν δὲ μίαν αὐξηθεῖσα, πλὴν τῆς πιττώδους, ἐὰν ὑπὸ τοῦ καύματος ληφθῇ, ξηραίνεται, καὶ ἀναυξὴς ἐπὶ τὸ μεῖζον· ἐγίνετο γὰρ ἂν μείζων τῷ μεγέθει. διόπερ ἔνιαι αὐτῶν οὐ μεῖζον ἔχουσι κυάμου τὸ μέγεθος. ἡ δὲ μέλαινα, καὶ ἐπὶ πλείους ἡμέρας ἔγχλωρος οὖσα καὶ αὐξάνεται, καὶ λαμβάνουσιν ἔνιαι μέγεθος μήλου. διαλιποῦσαι δὲ μετὰ ταῦτα περὶ πεντεκαίδεκα ἡμέρας, πάλιν τὸ τρίτον ἐπιβάλλεται βλαστοὺς ἑκατομβαιῶνος, ἐλαχίστας ἡμέρας τῶν πρότερον· ἴσως γὰρ ἓξ ἢ ἑπτὰ τὸ πλεῖστον. ἡ δὲ βλάστησις ὁμοία καὶ τὸν αὐτὸν τρόπον. ἐλθουσῶν δὲ τούτων, οὐκ ἔτι εἰς μῆκος, ἀλλ' εἰς πάχος ἡ αὔξησις τρέπεται. πᾶσι μὲν οὖν τοῖς δένδροις αἱ βλαστήσεις φανεραί, μάλιστα δὲ τῇ ἐλάτῃ, καὶ τῇ πεύκῃ, διὰ τὸ στοιχεῖν τὰ γόνατα, καὶ δὴ ἴσους τοὺς ὄζους ἔχειν. ὥρα δὲ καὶ περὶ τὸ τέμνεσθαι τὰ ξύλα τότε, διὰ τὸ λεπεῖν. ἐν γὰρ τοῖς ἄλλοις καιροῖς οὐκ εὐπεριαίρετος ὁ φλοιός· ἀλλὰ καὶ περιαιρεθέντος, μέλαν τὸ ξύλον γίνεται, καὶ τῇ ὄψει χεῖρον. ἐπεὶ καὶ πρός γε τὴν χρείαν οὐδὲν. ἀλλὰ καὶ ἰσχυρότερον, ἐὰν μετὰ τὴν πέπανσιν τῶν καρπῶν τμηθῇ. ταῦτα μὲν ἴδια τῶν προειρημένων καρπῶν.

7 Αἱ δὲ ✱ ἐπὶ νυνὶ καὶ ἀρκτούρου γινόμεναι, μετὰ τὴν ἐαρινήν, σχεδὸν κοιναὶ πάντων. ἐπίδηλοι δὲ μᾶλλον ἐν τοῖς ἡμέροις, καὶ τούτων μάλιστα συκῆ, καὶ ἄμπελος, καὶ ῥοιά, καὶ ὅλως ὅσα εὔτροφα, καὶ ὅπου χώρα τοιαύτη. διὸ καὶ τὴν ἐπ' ἀρκτούρῳ πλείστην φασὶ γίνεσθαι περὶ Θετταλίαν καὶ Μακεδονίαν· ἅμα γὰρ συμβαίνει καὶ τὸ μετόπωρον καλὸν γίνεσθαι, καὶ μακρόν, ὥστε καὶ τὴν μαλακότητα συμβάλλεσθαι τοῦ ἀέρος. ἐπεὶ καὶ ἐν Αἰγύπτῳ διὰ τοῦθ' ὡς εἰπεῖν, ἀεὶ βλαστάνει τὰ δένδρα, ἢ καὶ μικρόν τινα διαλείπει χρόνον. ἀλλὰ τὰ μὲν περὶ τὰς ἐκβλαστήσεις, ὥσπερ εἴρηται, κοινά. τὰ δὲ περὶ τὰς διαλείψεις, ἐπὶ τῶν πρώτως ἄνω τῶν λεχθέντων. ἴδιον δ' ἐνίοις ὑπάρχει καὶ τὸ τῶν καλουμένων κάχρυος, οἷον δὴ τε προειρημένοις· ἔχει γὰρ καὶ ἐλάτη, καὶ πεύκη, καὶ δρῦς, καὶ ἔτι φίλυρα, καὶ καρύα, καὶ διὸς βάλανος, καὶ πίτυς. αὗται δὲ γίνονται δρυὶ μὲν, πρὸ τῆς βλαστήσεως, ὑποφαινούσης τῆς ἐαρινῆς ὥρας· ἔστι δ' ὥσπερ ἡ κύησις † φυλακή, μεταξὺ πίπτουσα τῆς ἐξ ἀρχῆς ἀναλύσεως, καὶ τῆς φυλλικῆς βλαστήσεως. τῇ δ' ἰδιότητι τοῦ μετοπώρου, μετὰ τὴν φυλλοβολίαν, εὐθὺς αἱ ἐπ' αὐτῆς· καὶ ὥσπερ ἐπῳδηκυῖα, καθαπερανεὶ μέλλουσα βλαστάνειν, καὶ διαμένειν τὸν χειμῶνα μέχρι τοῦ ἦρος. ἡ δὲ ἡρακλεωτική, μετὰ τὴν ἐκβολὴν τοῦ καρποῦ, φύεται τὸ βοτρυῶδες, ἡλίκος σκώληξ εὐμεγέθης, ἐξ ἑνὸς μίσχου, πλείω, ἃ καλοῦσί τινες ἰούλους. τούτων ἕκαστον ἐκ μικρῶν σύγκειται μορίων φολιδωτῶν τῇ τάξει, καθάπερ οἱ στρόβιλοι τῆς πεύκης. ὥστε μὴ ἀνόμοιαν εἶναι τὴν ὄψιν στροβίλῳ νέῳ καὶ χλωρῷ, πλὴν προμηκέστερον, καὶ σχεδὸν ἰσοπαχὲς διόλου. τοῦτο δὲ αὔξεται τὸν χειμῶνα, καὶ ἅμα τῷ ἦρι χάσκει· τὰ δὲ φολιδωτὰ, καὶ ξανθὰ γίνεται, καὶ τὸ μῆκος λαμβάνει καὶ τριδάκτυλον. ὅταν δὲ τῷ ἦρι τὸ φύλλον βλαστάνῃ, ταῦτ' ἀποπίπτει, καὶ τὰ τοῦ καρύου καλυκώδη περικάρπια γίνεται, συμπεφυκότα ἐπὶ τοῦ μίσχου τοσαῦτα, ὅσα καὶ ἐπὶ ἄνθη. τούτων δ' ἐν ἑκάστῳ, κάρυον ἕν. περὶ δὲ τῆς φιλύρας ἐπισκεπτέον, καὶ εἴ τι ἄλλο καχρυοφόρον. ἔστι δὲ καὶ τὰ μὲν εὐαυξῆ, τὰ δὲ δυσαυξῆ. εὐαυξῆ μὲν, τά τε πάρυδρα, οἷον πτελέα, πλάτανος, λεύκη, αἴγειρος, ἰτέα· καίτοι περὶ ταύτης ἀμφισβητοῦσί τινες, ὡς δυσαυξοῦς. καὶ τῶν καρποφόρων δὲ, ἐλάτη, πεύκη, δρῦς. δυσαυξέστερον δὲ, μίλος, καὶ † λεύκαρα, φηγός, ἄρκευθος, σφένδαμνον, ὀστρύα, ζυγία, μελία, κλῆθρος, πίτυς, ἀνδράχνη, κρανέα, πύξος, ἀχράς. καρποφορεῖ δὲ εὐθύς, ἐλάτη, πεύκη, πίτυς, κἂν ὁπηλικονοῦν μέγεθος λάβωσιν. ἡ δ' αὔξησις καὶ ἡ βλάστησις τῶν μὲν ἄλλων, ἄτακτος ἐπὶ τοὺς καρποὺς καὶ τοὺς βλαστούς. τῆς δ' ἐλάτης ὡρισμένοι, καὶ συνεχεῖς, καὶ ὕστερον. ὅταν γὰρ ἐκ τοῦ στελέχους τὰ πρῶτα σχισθῇ, πάλιν δὴ ἐκείνου ἡ ἑτέρα σχίζεται τὰ ἴσα, καὶ τὸν αὐτὸν τρόπον· καὶ τοῦτο ἀεὶ ποιεῖ μετὰ πάσας τὰς ἐπιβλαστήσεις. ἐν δὲ τοῖς ἄλλοις οὐδὲ οἱ ὄζοι κατ' ἀλλήλους, πλὴν ἐπί τινων ὀλίγων. ἔχει δὲ καὶ τήνδε διαφορὰν ἡ αὔξησις πάντων κοινή, ἡμέρων τε καὶ ἀγρίων· τὰ μὲν γὰρ ἐκ τοῦ ἄκρου τῶν βλαστῶν καὶ ἐκ τῶν πλαγίων φύεται, καθάπερ ἄπιος, ῥοά, συκῆ, μύρρινος, σχεδὸν τὰ πλεῖστα· τὰ δ' ἐκ τοῦ ἄκρου μὲν οὐκ ἐκφύουσιν, ἐκ δὲ τῶν πλαγίων· καὶ αὐτὸ προωθεῖται τὸ ὑπάρχον, ὥσπερ καὶ τὸ ὅλον στέλεχος, καὶ οἱ ἀκρέμονες. συμβαίνει δ' ἐπὶ τῆς περσικῆς τοῦτο καρύας, καὶ τῆς ἡρακλεωτικῆς, καὶ ἄλλων. ἁπάντων δὲ τῶν τοιούτων εἰς ἓν φύλλον ἀποτελευτῶσιν οἱ βλαστοί· διὸ καὶ εὐλόγως οὐκ ἐπιβλαστάνει καὶ αὐξάνεται, μὴ ἔχοντα ἀρχήν. ὁμοία δὲ τρόπον

τινὰ

[Marginal notes: ἐν- ; Forte φυλλικὴ ; λεύκαρα ; ἄρ- ; ἢ ὁμοίως]

ραν ἀνθεῖν μὲν, ἄκαρπον δὲ εἶναι· τὴν δὲ ἑτέραν οὐκ ἀνθεῖν μὲν, καρπὸν δὲ φέρειν εὐθὺς προφαινόμενον, ὥσπερ καὶ τὰς συκᾶς τὰ ἐρινά. συμβαίνει δ' ὀλίγον, ὥστε ἐπὶ δύο ἔτη τὸν καρπὸν ἔχειν μόνον τοῦτο τὸ δένδρον. ταῦτα μὲν οὖν ἐπισκεπτέον. αἱ δὲ βλαστήσεις τῶν μὲν ἅμα γίνονται καὶ τῶν ἡμέρων, τῶν δὲ μικρὸν ὑπολειπομένων, τῶν δ' ἤδη τι πλέον· ἁπάντων δὲ, κατὰ τὴν ἐαρινὴν ὥραν· ἀλλὰ τῶν καρπῶν ἡ παραλλαγὴ πλείων. ὥσπερ δὲ καὶ πρότερον εἴπομεν, οὐ κατὰ τὰς βλαστήσεις αἱ πεπάνσεις, ἀλλὰ πολὺ διαφέρουσιν. ἐπεὶ καὶ τῶν ὀψικαρποτέρων, ἃ δή τινές φασιν ἐνιαυτοφορεῖν, οἷον ἄρκευθον, καὶ πρῖνον, ὅμως αἱ βλαστήσεις τοῦ ἦρος. αὐτὰ δὲ αὐτῶν τὰ ὁμογενῆ τῷ πρότερον καὶ ὕστερον διαφέρει, κατὰ τοὺς τόπους. πρῶτα μὲν γὰρ βλαστάνει τὰ ἐν τοῖς ἕλεσιν, ὡς οἱ περὶ Μακεδονίαν λέγουσι· δεύτερα δὲ, τὰ ἐν τοῖς πεδίοις· ἔσχατα δὲ, τὰ ἐν τοῖς ὄρεσιν. αὐτῶν δὲ τῶν καθ' ἕκαστα δένδρων, τὰ μὲν συναναβλαστάνει τοῖς ἡμέροις, οἷον ἀνδράχνη, † ἀβάρκη. ἀχρὰς δὲ μικρῷ ὕστερον τῆς ἀπίου. τὰ δὲ καὶ πρὸ ζεφύρου μὲν, καὶ μετὰ πνοὰς εὐθὺς ζεφύρου. καὶ πρὸ ζεφύρου μὲν κρανία, θηλυκρανεία· μετὰ ζέφυρον δὲ, δάφνη, κλήθρα. πρὸ ἰσημερίας δὲ μικρὸν, φιλύρα, ζυγία, φηγὸς, συκῆ. πρωϊβλαστὰ δὲ, καὶ καρύα, καὶ δρῦς, καὶ ἀκτέος· ἔτι δὲ μᾶλλον τὰ ἄκαρπα, τὰ δοκοῦντα ἀλσώδη, λεύκη, πτελέα, ἰτέα, αἴγειρος· πλάτανος δὲ, μικρῷ ὀψιαίτερον τούτων. τὰ δὲ ἄλλως, περιϊσταμένου τοῦ ἦρος· οἷον ἐρινεὸς, φιλύκη, ὀξυάκανθος, παλίουρος, τέρμινθος, καρύα, Διὸς βάλανος. μηλέα δ' ὀψίβλαστος. ὀψιβλαστότατον δὲ σχεδὸν, ἴψος, ἀρία, τετραγωνία, θύεια, μίλος. αἱ μὲν οὖν βλαστήσεις οὕτως ἔχουσιν. αἱ δὲ ἀνθήσεις ἀκολουθοῦσιν, ὡς εἰπεῖν, κατὰ λόγον· οὐ μὴν ἀλλὰ παραλλάττουσι. μᾶλλον δ' ἔτι πλέον ἡ τῶν καρπῶν τελείωσις. κρανία μὲν γὰρ ἐκβάλλουσι περὶ τροπὰς θερινὰς, ἡ πρώϊος σχεδὸν ὥσπερ πρώτη· ἡ ὄψιος, ἣν δή τινες καλοῦσι θηλυκρανείαν, μετ' αὐτὸ τὸ μετόπωρον. ἔστι δὲ ὁ ταύτης καρπὸς ἄβρωτος, καὶ τὸ ξύλον ἀσθενὲς καὶ χαῦνον· τοσαύτη δ' ἡ διαφορὰ περὶ ἄμφω. τέρμινθος δὲ περὶ πυρῶν ἀμητὸν, ἢ καὶ μικρῷ ὀψιαίτερον ἐκβάλλουσι· μηλέα καὶ σφένδαμνος, τοῦ θέρους τὸν καρπόν. κλήθρα δὲ, καὶ καρύα, καὶ ἐσχάδων τι γένος, μετοπώρου. δρῦς δὲ, καὶ Διὸς βάλανος, ὀψιαίτερον ἔτι, περὶ πλειάδος δύσιν. ὡσαύτως δὲ καὶ φιλύκη, καὶ πρῖνος, καὶ παλίουρος, καὶ ὀξυάκανθος, μετὰ πλειάδος δύσιν. ἡ δ' ἀρία, χειμῶνος ἀρχομένου. καὶ μηλέα μὲν, τοῖς πρώτοις ψύχεσιν. ἀχρὰς δὲ ὀψία, χειμῶνος. ἀνδράχνη δὲ, καὶ ἀφάρκη, τὸν μὲν πρῶτον πεπαίνουσιν ἅμα τῷ βότρυϊ περκάζοντι· τὸν δ' ὕστερον, ἀνθοῦντι. δοκεῖ γὰρ ταῦτα δίκαρπα, ἀρχομένου τοῦ χειμῶνος. ἐλάτη γὰρ, καὶ μίλος, ἀνθοῦσι μικρὸν πρὸ ἡλίου τροπῶν. καὶ διά γε ἐλάτης τὸ ἄνθος κόκκινον, καὶ ἄλλως καλόν. τὸν δὲ καρπὸν ἀφιᾶσι, μετὰ δύσιν πλειάδος. πεύκη δὲ, καὶ πίτυς, προτεροῦσι τῇ βλαστήσει μικρὸν, ὅσον πεντεκαίδεκα ἡμέραις. τὸν δὲ καρπὸς ἐκβάλλουσι μετὰ πλειάδα, κατὰ λόγον. ταῦτα μὲν οὖν μετριωτέραν ἔχει. πάντων δὲ πλείστην ἡ ἄρκευθος, καὶ ἡ κήλαστρος, καὶ πρῖνος. ἡ μὲν γὰρ ἄρκευθος ἐνιαύσιον ἔχειν δοκεῖ· περικαταλαμβάνει γὰρ ὁ νέος τὸν περυσινόν. ὡς δὲ ἔνιοί φασιν, οὐδὲ πεπαίνει. διὸ καὶ περιαιροῦσι, καὶ χρόνον τινὰ τηροῦσιν. ἐὰν δὲ ἐπὶ τοῦ δένδρου τις, ἀποξηραίνεται. φασὶ δὲ καὶ τὸν πρῖνον, οἱ περὶ Ἀρκαδίαν, ἐνιαυτῷ πλεῖον. ἅμα γὰρ τὸν ἔνον πεπαίνει, καὶ τὸν νέον ὑποφαίνει. ὥστε δὶς τούτοις συμβαίνει, συνεχῶς τὸν καρπὸν ἔχειν. φασὶ δὲ καὶ τὴν κήλαστρον ὑπὸ τοῦ χειμῶνος ἐκβάλλειν. ὀψίκαρπον δὲ σφόδρα, καὶ φιλύρα, καὶ πύξος. τὸν δὲ καρπὸν ἄβρωτον ἔχει παντὶ ζώῳ φιλύρα, θηλυκρανεία, πύξος. ὀξύκαρπα δὲ, καὶ κιττὸς, καὶ ἄρκευθος, καὶ πεύκη, καὶ ἀνδράχνη. ὡς δὲ οἱ περὶ Ἀρκαδίαν φασὶν, ἔτι τούτων ὀψικαρπότερα. σχεδὸν δὲ πάντων ὀψιαίτερα, γωνία, θύεια, μίλος. αἱ μὲν οὖν τῶν καρπῶν ἐκβολαὶ, καὶ πεπάνσεις, τοιαύτας ἔχουσι διαφορὰς, οὐ μόνον πρὸς τὰ ἥμερα τῶν ἀγρίων, ἀλλὰ καὶ πρὸς ἑαυτά. συμβαίνει δ' ὅταν ἄρξωνται βλαστάνειν, τὰ μὲν ἄλλα συνεχῆ τὴν ἐκβλάστησιν καὶ τὴν αὔξησιν ποιεῖσθαι, πεύκην δὲ καὶ ἐλάτην καὶ δρῦν διαλείπειν, καὶ τρεῖς ὁρμὰς εἶναι, καὶ τρεῖς ἀφιέναι βλαστούς. διὸ καὶ τρισλεποῦ. πᾶν γὰρ δὴ δένδρον, ὅταν βλαστάνῃ, λεπίζει. πρῶτον μὲν ἄκρου ἦρος, εὐθὺς ἱσταμένου τοῦ θαργηλιῶνος· ἐν δὲ τῇ Ἴδῃ περὶ πεντεκαίδεκα μάλιστα ἡμέρας. μετὰ δὲ ταῦτα διαλιπόντα περὶ τριάκοντα, ἢ μικρῷ πλείους, ἐπιβάλλεται πάλιν ἄλλους βλαστούς, ἀπ' ἄκρας τῆς κορυφῆς ἕως τοῦ ἐπὶ τῷ προτέρῳ βλαστοῦ. καὶ τὰ μὲν ἄνω, τὰ δ' εἰς πλάγια κύκλῳ ποιεῖται τὴν βλάστησιν, οἷον γόνυ ποιησάμενα τὴν τοῦ πρώτου βλαστοῦ κορυφὴν, ὥσπερ καὶ ἡ πρώτη βλάστησις ἔχει. γίνεται δὲ τοῦτο

δεῖς, καὶ τοὺς ἀνὰ μέσον λειμῶνας, σχεδὸν ὅσαι διαφοραὶ τῆς γῆς. ἔτι δὲ τοὺς μὲν κοίλους καὶ ἐν-
δίους, τοὺς δὲ μετεώρους καὶ προσηνέμους, ὥστε δύνασθαι παντοῖα, καὶ τὰ ἐν τοῖς πεδίοις, φέρειν.
οὐθὲν δὲ ἄτοπον, οὐδ' εἰ φύσει μὴ οὕτω πάμφορα τὰ ὄρη, ἀλλ' ἰδιωτέρας τινὸς ὕλης, ἢ πάσης,
ἢ τῆς πλείστης· οἷον τὰ ἐν Κρήτῃ τῆς Ἴδης. κυπάριττος γὰρ ἐκεῖ. καὶ γὰρ περὶ Κιλικίαν καὶ Συρίαν,
ἐν οἷς κέδρος. γίνεται δὲ τῆς Συρίας τέρμινθος. αἱ γὰρ διαφοραὶ τῶν χωρῶν τὰ ἰδιώτατα ποιοῦ-
4 σιν. ἀλλ' εἴρηται τὸ ἴδιον ὡς ἐπὶ πᾶν. Ἴδια δὲ τὰ τοιάδε τῶν ὀρεινῶν, ἃ ἐν τοῖς πεδίοις οὐ
φύεται. περί τε Μακεδονίαν, ἐλάτη, πεύκη, πίτυς ἀγρία, φίλυρα, ζυγία, φηγός, πύξος, ἀν-
δράχνη, μίλος, ἄρκευθος, τέρμινθος, ἐρινεός, φιλύκη, ἀφάρκη, καρύα, Διὸς βάλανος, πρῖ-
νος. τὰ δὲ, καὶ ἐν τοῖς πεδίοις· μυρίκη, πτελέα, λεύκη, ἰτέα, αἴγειρος, κρανέα, θηλυκρανέα,
ρῖ †ὀξυάκανθα κλήθρα, δρῦς, λακάρη, ἀχράς, μηλέα, ὀστρύα, κήλαστρον, μελία, παλίουρος, †ὀξυάκαρπα.
ἄκανθος· ἣν ἐν μὲν τῷ ὄρει πεφυκυῖαν ζυγίαν καλοῦσιν, ἐν δὲ τῷ πεδίῳ γλεῖνον· οἱ δ' αὖ διαι-
ροῦσι, καὶ ἕτερον ποιοῦσιν εἶδος σφενδάμνου καὶ ζυγίας. ἅπαντα δὲ ὅσα κοινὰ τῶν ὀρῶν καὶ τῶν πε-
δίων, μείζω μὲν καὶ καλλίω τῇ ὄψει τὰ ἐν τοῖς πεδίοις γίνεται· κρείττω δὲ τῇ τε τῶν ξύλων καὶ
τῶν καρπῶν, τὰ ὀρεινά, πλὴν ἀχράδος καὶ ἀπίου, καὶ μηλέας. αὗται δ' ἐν τοῖς πεδινοῖς κρείτ-
τους, οὐ μόνον ἐν τοῖς καρποῖς, ἀλλὰ καὶ τοῖς ξύλοις· ἐν γὰρ τοῖς ὄρεσι μικραί, ὀζώδεις, καὶ ἀκαν-
θώδεις γίνονται. πάντα δὲ καὶ ἐν τοῖς ὄρεσιν ὅταν ὑπολάβωνται τὸν οἰκεῖον τόπον, καὶ καλλίω
φύεται, καὶ εὐθενεῖ μᾶλλον. ὡς δὲ ἁπλῶς εἰπεῖν, τὰ ἐν τοῖς ὁμαλέσι τῶν ὀρῶν, καὶ μάλιστα· τῶν δὲ ἄλ-
λων, τὰ ἐν τοῖς κάτω, καὶ κοίλοις. τὰ δ' ἐπὶ τῶν ἄκρων, χείριστα· πλὴν εἴ τι τῇ φύσει φιλόψυχρον.
ἔχει δὲ καὶ ταῦτα αὐτῶν διαφοράν, ἐν τοῖς ἀνομοίοις τῶν τόπων, ὑπὲρ οὗ ὕστερον λεκτέον. νῦν δὲ
διαιρετέον ἕκαστα περὶ τὰς διαφορὰς τὰς εἰρημένας. ἀείφυλλα μὲν οὖν ἐστι τῶν ἀγρίων, ἃ καὶ πρό-
ἡ ἐλάτη, τερον ἐλέχθη, πεύκη, πίτυς ἀγρία, πύξος, ἀνδράχνη, μίλος, ἄρκευθος, τέρμινθος, φιλύ-
κη, ἀφάρκη, δάφνη, φελλός, δρῦς, κήλαστρον, ὀξυάκανθος, πρῖνος, μυρίκη. τὰ δὲ ἄλλα πάν-
τα φυλλοβολεῖ, πλὴν εἴ τι περιττὸν ἐνιαχοῦ, καθάπερ ἐλέχθη περὶ τῶν ἐν Κρήτῃ πλατάνου καὶ
δρυός, καὶ εἴ που τόπος τις ὅλως εὔτροφος. κάρπιμα δέ, τὰ μὲν ἄλλα πάντα. περὶ δὲ ἰτέας,
5 καὶ αἰγείρου, καὶ πτελέας, ὥσπερ ἐλέχθη, διαμφισβητοῦσιν ἔνιοι. Τὴν αἴγειρον μόνην ἄκαρ-
πον φασιν, ὥσπερ καὶ οἱ ἐν Ἀρκαδίᾳ. τὰ δὲ ἄλλα πάντα τὰ ἐν τοῖς ὄρεσι καρποφορεῖν. ἐν
Κρήτῃ δὲ, καὶ αἴγειροι κάρπιμοι πλείους εἰσί· μία μὲν ἐν τῷ στομίῳ τοῦ ἄντρου ἐν τῇ Ἴδῃ, ἐν ᾧ τὰ
ἀναθήματα ἀνάκειται· ἄλλη δὲ μικρὰ πλησίον· ἀπωτέρω δὲ μάλιστα δώδεκα σταδίους, περὶ τὴν
κρήνην σαύρου καλουμένην, πολλαί. εἰσὶ δὲ καὶ ἐν τῷ πλησίον ὄρει τῆς Ἴδης, ἐν τῷ Κινδρίῳ καλου-
μένῳ. καὶ περὶ Κρασίαν δὲ, ἐν τοῖς ὄρεσιν. οἱ δὲ μόνον τῶν τοιούτων τὴν πτελέαν κάρπιμον εἶναί φασι,
καθάπερ οἱ περὶ Μακεδονίαν. μεγάλη δὲ διαφορὰ πρὸς καρπὸν καὶ ἀκαρπίαν, καὶ ἡ τῶν τόπων
φύσις· ὥσπερ ἐπί τε τῆς περσέας ἔχει, καὶ τῶν φοινίκων. ἡ μὲν ἐν Αἰγύπτῳ καρποφορεῖ, καὶ εἴ που τῶν
In Rhodo, πλησίον τόπων. †ἐν Ῥόδῳ δέ, μέχρι τοῦ ἀνθεῖν μόνον ἀφικνεῖται. ὁ δὲ φοῖνιξ περὶ μὲν Βαβυλῶνα
Gaz. θαυμαστός, ἐν τῇ Ἑλλάδι δὲ οὐδὲ πεπαίνει· παρ' ἐνίοις δὲ ὅλως οὐδὲ προφαίνει καρπόν. ὁμοίως δὲ
καὶ ἕτερα πλείω τοιαῦτα ἐστίν. ἐπεὶ δὲ καὶ τῶν ἐλαττόνων ποίων καὶ ὑλημάτων, ἐν τῇ αὐτῇ χώρᾳ
καὶ συνόρῳ χώρᾳ, τὰ μὲν κάρπιμα, τὰ δ' ἄκαρπα γίνεται· καθάπερ καὶ τὸ κενταύρειον ἐν τῇ
Ἠλείᾳ, τὸ μὲν ἐν τῇ ὀρεινῇ κάρπιμον, τὸ δ' ἐν τῷ πεδίῳ ἄκαρπον, ἀλλὰ μόνον ἀνθεῖ. τὰ δ'
ἐν τοῖς κοίλοις τόποις, οὐδὲ ἀνθεῖ, πλὴν κακῶς. δοκεῖ δ' οὖν καὶ τῶν ἄλλων τῶν ὁμογενῶν, καὶ ἐν
μιᾷ προσηγορίᾳ, τὸ μὲν ἄκαρπον εἶναι, τὸ δὲ κάρπιμον· οἷον πρῖνος, ὁ μὲν κάρπιμος, ὁ δ' ἄκαρ-
6 πος. καὶ κλήθρα δὲ ὡσαύτως. ἀνθεῖ δὲ ἄμφω. Σχεδὸν δὲ ὅσα καλοῦσιν ἄρρενα τῶν ὁμογενῶν,
ἄκαρπα. τούτων τὰ πολλὰ τὰ μὲν ἀνθεῖν φασι, τὰ δ' ὀλίγον, τὰ δ' ὅλως οὐκ ἀνθεῖν. τὰ δὲ
ἀνάπαλιν, τὰ μὲν ἄρρενα μόνα, καρποφορεῖν. οὐ μὴν ἀλλ' ἀπό γε τῶν ἀνθῶν φύεσθαι τὰ
δένδρα, καθάπερ καὶ ἀπὸ τῶν καρπῶν ὅσα κάρπιμα· καὶ ἐν ἀμφοῖν οὕτως ἐνίοτε πυκνὴν εἶναι
οὐ τὴν ἔκφυσιν, ὥστε τοὺς ὁροτύπους μὴ δύνασθαι διιέναι, μὴ ὁδοποιησαμένους. ἀμφισβητεῖ-
ται δὲ καὶ περὶ τῶν ἀνθῶν ἐνίων, ὥσπερ εἴπομεν. οἱ μὲν γὰρ καὶ δρῦν ἀνθεῖν οἴονται, καὶ τὴν ἡρα-
κλεωτικὴν καρύαν, καὶ Διὸς βάλανον· ἔτι δὲ πεύκην, καὶ πίτυν. οἱ δ' οὐδὲν τούτων, ἀλλὰ τὸν
ἴουλον τὸν ἐν ταῖς καρύαις, καὶ τὸ βρύον τὸ δρύϊνον, καὶ τὸν κύτταρον τὸν πιτύϊνον, ὅμοια
καὶ ἀνάλογον εἶναι τοῖς προαποπίπτουσιν ἐρινεοῖς. οἱ δὲ περὶ Μακεδονίαν, οὐδὲ ταῦτά φασιν ἀν-
θεῖν· ἄρκευθον, ὀξύην, ἀγρίαν, σφένδαμνον. ἔνιοι δὲ τὰς ἀρκεύθους δύο εἶναι· καὶ τὴν μὲν ἑτέ-
ρον

ἤδη ποτὲ πεφυκυῖα πλάτανος ἐν Τριπόλει χαλκῷ. ταύτας τε δὴ τὰς γενέσεις ὑποληπτέον εἶναι τῶν ἀγρίων. καὶ ἔτι τὰς αὐτομάτους, ἃς καὶ οἱ φυσιολόγοι λέγουσιν. Ἀναξαγόρας μὲν τὸν ἀέρα πάντων φάσκων ἔχειν σπέρματα, καὶ ταῦτα συγκαταφερόμενα τῷ ὕδατι γεννᾶν τὰ φυτά· Διογένης δὲ, σηπομένου τοῦ ὕδατος, καὶ μίξιν τινὰ λαμβάνοντος πρὸς τὴν γῆν· Κλείδημος δὲ, συνεστάναι μὲν ἐκ τῶν αὐτῶν τοῖς ζώοις. ὅσῳ δὲ θολερωτέρων καὶ ψυχροτέρων, τοσοῦτον ἀπέχειν τοῦ ζῶα εἶναι. λέγουσι δέ τινες καὶ ἄλλοι περὶ τῆς γενέσεως· ἀλλ' αὕτη μὲν ἀπηρτημένη πώς ἐστι τῆς αἰσθήσεως. ἄλλαι δὲ ὁμολογούμεναι καὶ ἐμφανεῖς, οἷον ὅταν ἔφοδος γένηται ποταμοῦ παρεκβαίνοντος τὸ ῥεῖθρον, ἢ καὶ ὅλως ἑτέρωθι ποιησαμένου. καθάπερ ὁ νέσος ἐν τῇ ἀβδηρίτιδι πολλάκις μεταβαίνει· καὶ ἅμα τῇ μεταβάσει τοσαύτην ὕλην συγγεννᾷ τοῖς τόποις, ὥστε τῷ τρίτῳ ἔτει συνηρεφεῖν. καὶ πάλιν, ὅταν ἐπομβρίαι κατάσχωσι πλείονα χρόνον· καὶ γὰρ ἐν ταύταις βλαστήσεις γίνονται φυτῶν. ἔοικε δὲ ἡ μὲν τῶν ποταμῶν ἔφοδος ἐπάγειν σπέρματα, καὶ καρπούς. καὶ τοὺς ὀχετούς φασι τὰ τῶν ποωδῶν. ἡ δ' ἐπομβρία ταὐτὸ ποιεῖ (συγκαταφέρει γὰρ πολλὰ τῶν σπερμάτων) καὶ ἅμα σῆψίν τινα τῆς γῆς καὶ τοῦ ὕδατος. ἐπεὶ καὶ ἡ μίξις αὐτὴ τῆς αἰγυπτίας γῆς δοκεῖ τινα γεννᾶν ὕλην. ἐνιαχοῦ δὲ, ἂν μόνον ὑπεργάσωνται καὶ κινήσωσιν, εὐθὺς ἀναβλαστάνειν τὰ οἰκεῖα τῆς χώρας· ὥσπερ ἐν Κρήτῃ κυπάριττοι. γίνεται δὲ παραπλήσιόν τι τούτῳ καὶ τοῖς ἐλάττοσιν. ἅμα γὰρ κινουμένοις ἀναβλαστάνει πόα τις ἐν ἑκάστοις. ἐν δὲ τοῖς ἡμιβρόχοις, ἐὰν ὑποσκάψῃ, φαίνεσθαί φασι τρίβολον. αὗται μὲν οὖν ἐν τῇ μεταβολῇ τῆς χώρας εἰσίν, ἔτι καὶ ὑπαρχόντων σπερμάτων, ἔτι καὶ αὐτῆς πως διατιθεμένης. ὅπερ ἴσως οὐκ ἄτοπον, ἐγκατακλειομένου ἅμα τοῦ ὑγροῦ. ἐνιαχοῦ δὲ καὶ ὑδάτων ἐπιγινομένων, ἰδιώτερον ἀνέτειλαι ὕλης πλῆθος. ὥσπερ ἐν Κυρήνῃ πιττώδους τινὸς γενομένου, καὶ παχέος. οὕτω γὰρ ἀνεβλάστησεν ἡ πλησίον ὕλη, πρότερον οὐκ οὖσα. φασὶ δὲ καὶ τὸ σίλφιον οὐκ ὂν πρότερον, ἐκ τοιαύτης τινὸς αἰτίας φανῆναι. τρόποι μὲν οὖν οὗτοι τῆς τοιούτων γενέσεως.

Πάντα δὲ κάρπιμα ἢ ἄκαρπα, καὶ ἄφυλλα ἢ φυλλοβόλα, καὶ ἀνθοῦντα ἢ ἀνανθῆ. κοιναὶ γάρ τινες διαιρέσεις αὗται πάντων εἰσὶν ὁμοίως, ἡμέρων τε καὶ ἀγρίων· ἴδια δὲ πρὸς τὰ ἥμερα τῶν ἀγρίων ὀψικαρπία τε καὶ ἰσχὺς, καὶ πολυκαρπία τῷ προφαίνειν. πεπαίνει τε γὰρ ὀψιαίτερον, καὶ τὸ ὅλον ἀνθεῖ, καὶ βλαστάνει ὡς ἐπὶ τὸ πᾶν, καὶ ἰσχυρότερα τῇ φύσει. καὶ προφαίνει μὲν πλείω καρπὸν, ἐκπέττει δὲ ἧττον. εἰ μὴ πάντα τὰ ἄλλα, καὶ τὰ ὁμογενῆ· οἷον ἐλαίας καὶ ἀπίου, κότινος καὶ ἀχράς. ἅπαντα γὰρ οὕτως, πλὴν εἴ τι σπάνιον· ὥσπερ ἐπὶ τῶν κρανίων, καὶ τῶν οὔων. ταῦτα γὰρ δή φασι, πεπαντότερα καὶ ἡδυτέρα τὰ ἄγρια τῶν ἡμέρων εἶναι· καὶ εἰ δή τι ἄλλο μὴ προσδέχεται γεωργίας, ἢ δένδρον, ἢ καί τι τῶν ἐλαττόνων, οἷον τὸ σίλφιον, καὶ ἡ κάππαρις, καὶ τῶν χεδροπῶν ὁ θέρμος. ἃ καὶ μάλιστ' ἄν τις ἄγρια τὴν φύσιν εἴποι. τὸ γὰρ μὴ προσδεχόμενον ἡμέρωσιν, ὥσπερ ἐν τοῖς ζώοις, τοῦτο ἄγριον τῇ φύσει. καίτοι φησὶν Ἵππων, ἅπαν καὶ ἄγριον καὶ ἥμερον εἶναι. καὶ θεραπευόμενον μὲν, ἥμερον· μὴ θεραπευόμενον δὲ, ἄγριον· τῇ μὲν ὀρθῶς λέγων, τῇ δὲ οὐκ ὀρθῶς. ἐξαμελούμενον μὲν γὰρ ἅπαν, χεῖρον γίνεται, καὶ ἀπαγριοῦται· θεραπευόμενον δὲ, οὐχ ἅπαν βέλτιον, ὥσπερ εἴρηται. ὃ δὴ χωριστέον, καὶ τὰ μὲν ἄγρια, τὰ δ' ἥμερα λεκτέον· ὥσπερ τῶν ζώων τὰ συνανθρωπευόμενα, καὶ τὰ δεχόμενα τιθάσσιον. ἀλλὰ τοῦτο μὲν οὐδὲν ἴσως διαφέρει, ποτέρως ῥητέον. ἅπαν δὲ τὸ ἐξαγριούμενον, τοῖς τε καρποῖς χεῖρον γίνεται, καὶ αὐτὸ βραχύτερον καὶ φύλλοις, καὶ κλωσὶ, καὶ φλοιῷ, καὶ τῇ ὅλῃ μορφῇ. καὶ γὰρ πυκνότερα, καὶ ὀρθότερα, καὶ σκληρότερα, καὶ ταῦτα καὶ ὅλη ἡ φύσις γίνεται, ὡς ἐν τούτοις μάλιστα τῆς διαφορᾶς τῶν ἡμέρων καὶ τῶν ἀγρίων γινομένης. διὸ καὶ ὅσα τῶν ἡμερουμένων τοιαῦτα τυγχάνει, ταῦτα ἄγριά φασιν εἶναι· καθάπερ τὴν πεύκην, καὶ τὴν κυπάριττον, ἢ ὅλως, ἢ τὰ ἄῤῥενα. καὶ τὴν καρύαν δὲ, καὶ τὴν διὸς βάλανον. ἔτι δὲ τῷ φιλόψυχρα, καὶ ὀρεινὰ μᾶλλον εἶναι. καὶ γὰρ τοῦτο λαμβάνεται πρὸς τὴν ἀγριότητα τῶν δένδρων, καὶ ὅλως τῶν φυτῶν, εἴτ' οὖν καθ' αὑτὸ λαμβανόμενον, εἴτε κατὰ συμβεβηκός. ὁ μὲν τῶν ἀγρίων ἀφορισμὸς αὐτὸς οὕτως ἤ τε καὶ ἄλλως ληπτέον, οὐδὲν ἂν ἴσως διοίσει πρὸς τὰ νῦν. ἐκεῖνο δὲ ἀληθὲς, ὡς ἐν τύπῳ καὶ ἁπλῶς γε εἰπεῖν, ὅτι μᾶλλον ὀρεινὰ τὰ ἄγρια, καὶ εὐθενεῖ τὰ πλείω μᾶλλον ἐν τούτοις τοῖς τόποις· ἐὰν μή τις λαμβάνῃ τὰ φίλυδρα, καὶ παραποτάμια, καὶ ἀλσώδη. ταῦτα γὰρ καὶ τὰ τοιαῦτα τυγχάνει πεδεινὰ μᾶλλον. οὐ μὴν ἀλλ' ἔν γε τοῖς μεγάλοις ὄρεσιν, οἷον παρνασσῷ τε, καὶ κυλλήνῃ, καὶ ὀλύμπῳ τῷ πιερικῷ τε καὶ τῷ μυσίῳ, καὶ εἴ πού τι τοιοῦτόν ἐστιν ἕτερον, ἅπαντα φύεται, διὰ τὴν πολυειδίαν τῶν τόπων. ἔχουσι γὰρ λιμνώδεις, καὶ ἐφύγρους, καὶ ξηροὺς, καὶ γεώδεις, καὶ † πεδιώδεις,

φορᾶς. οἱ δὲ ψῆνες ἐκδύονται μὲν ἐκ τοῦ ἐρινοῦ, καθάπερ εἴρηται. γίνονται δὲ ἐκ τῶν κεγχραμίδων. σημεῖον δὲ λέγουσιν, ὅτι ἐπειδὰν ἐκδύωσιν, οὐκ ἔνεισι κεγχραμίδες. ἐκδύονται δὲ οἱ πολλοὶ, ἐγκαταλείποντες ἢ πόδα, ἢ πτερόν. γένος δέ τι καὶ ἕτερόν ἐστι τῶν ψηνῶν, ὃ καλοῦσι κεντρίνας. οὗτοι δ' ἀργοὶ, καθάπερ κηφῆνες. καὶ τοὺς εἰσδυομένους τῶν ἑτέρων, κτείνουσιν. αὐτοὶ δὲ ἐναποθνήσκουσιν. ἐπαινοῦσι δὲ μάλιστα τῶν ἐρινεῶν τὰ μέλανα, τὰ ἐκ τῶν πετρωδῶν χωρίων. πολλὰς γὰρ ἔχει ταῦτα κεγχραμίδας. γινώσκεται δὲ τὸ ἐρινασμένον, τῷ ἐρυθρὸν εἶναι καὶ ποικίλον, καὶ ἰσχυρόν· τὸ δ' ἀνερίναστον, λευκὸν καὶ ἀσθενές. προστιθέασι δὲ τοῖς δεομένοις, ὅταν ὕσῃ. ὅπου δὲ πλεῖστος κονιορτὸς, ἐνταῦθα πλεῖστα καὶ ἰσχυρότατα γίνεται τὰ ἐρινά. φασὶ δὲ ἐρινάζειν καὶ τὸ πόλιον, ὁπόταν αἰγίπυρος ᾖ πολὺς· καὶ τὴν τῆς πτελέας κύπρον. ἐγγίνεται γὰρ καὶ ἐν τούτοις θηρίδιά ἄττα, κνῖπες· οἳ ὅταν ἐν ταῖς συκαῖς γίνωνται, κατεσθίουσι τοὺς ψῆνας. ἄκος δὲ τούτου φασὶν εἶναι, τοὺς καρκίνους περιπερονᾶν· πρὸς γὰρ τούτους τρέπεσθαι τοὺς κνῖπας. ἀλλὰ γὰρ δὴ ταῖς μὲν συκαῖς αὗται βοήθειαι. τοῖς δὲ φοίνιξιν αἱ ἀπὸ τῶν ἀρρένων πρὸς τοὺς θήλεις. οὗτοι γάρ εἰσιν οἱ ἐπιμένειν ποιοῦντες, καὶ ἐκπέττειν· ὃ καλοῦσί τινες ἐκ τῆς ὁμοιότητος, ὀλυνθάζειν. γίνεται δὲ τόνδε τὸν τρόπον· ὅταν ἀνθῇ τὸ ἄρρεν, ἀποτέμνοντες τὴν σπάθην ἀφ' ἧς τὸ ἄνθος, εὐθὺς ὥσπερ ἔχει τόν τε χνοῦν καὶ τὸ ἄνθος καὶ τὸν κονιορτὸν, κατασείουσι κατὰ τοῦ καρποῦ τῆς θηλείας. κἂν τοῦτο πάθῃ, διατηρεῖ, καὶ οὐκ ἀποβάλλει. φαίνεται δ' ἀμφοῖν ἀπὸ τοῦ ἄρρενος τοῖς θήλεσι βοήθειαν γίνεσθαι. θῆλυ γὰρ καλοῦσι τὸ καρποφόρον· ἀλλ' ἡ μὲν οἷον μίξις, ἡ δὲ κατ' ἄλλον τρόπον.

ὅλον θαυμάζειν

ΘΕΟΦΡΑΣΤΟΥ ΠΕΡΙ ΦΥΤΩΝ ΙΣΤΟΡΙΑΣ ΤΟ Γ.

Περὶ δὲ τῶν ἡμέρων δένδρων εἴρηται, λεκτέον ὁμοίως καὶ περὶ τῶν ἀγρίων, εἴ τι ταὐτὸν καὶ ἕτερον ἔχουσι τοῖς ἡμέροις, εἴθ' ὅλως ἴδιον τῆς φύσεως. αἱ μὲν οὖν γενέσεις ἁπλαῖ τινὲς αὐτῶν εἰσι. πάντα γὰρ ἀπὸ σπέρματος, ἢ ἀπὸ ῥίζης φύεται. τοῦτο δὲ οὐχ ὡς οὐκ ἐνδεχόμενον καὶ ἄλλως, ἀλλ' ἴσως διὰ τὸ μὴ πειρᾶσθαι μηδένα μηδὲ φυτεύειν. ἐπιφύοιτο δ' ἂν, εἰ λαμβάνοιεν τόπους ἐπιτηδείους, καὶ θεραπείαν ἁρμόττουσαν, ὥσπερ καὶ νῦν τὰ ἀλσώδη, καὶ ἡ φιλύρα. λέγω δ' οἷον πλάτανον, ἰτέαν, λεύκην, αἴγειρον, πτελέαν. ἅπαντα γὰρ ταῦτα, καὶ τὰ τοιαῦτα, φυτευόμενα βλαστάνει, καὶ τάχιστα καὶ κάλλιστα ἀπὸ τῶν παρασπάδων· καὶ ὥστε μεγάλας οὔσας ἤδη, καὶ ἰδὲ ἐνδένδρους ἄν τις μετατιθείη, διαμένειν. φυτεύονται δὲ τὰ πολλὰ αὐτῶν καὶ καταπηγνύμενα, καθάπερ ἡ λεύκη, καὶ ἡ αἴγειρος. τούτων μὲν οὖν πρὸς τῇ σπερματικῇ, καὶ τῇ ἀπὸ τῶν ῥιζῶν, καὶ αὗται γενέσεις εἰσί. τῶν δ' ἄλλων ἐκεῖναι· πλὴν ὅσα μόνον ἀπὸ σπέρματος φύεται, καθάπερ ἐλάτη, πεύκη, πίτυς. ὅσα δὲ ἔχει σπέρμα καὶ καρπὸν, κἂν ἀπὸ ῥίζης γίνηται, καὶ ἀπὸ τούτων. ἐπεὶ καὶ τὰ δοκοῦντα ἄκαρπα εἶναι, γεννᾶν φασιν· οἷον πτελέαν, ἰτέαν. σημεῖον δὲ λέγουσιν, οὐ μόνον ὅτι φυτεύονται πολλὰ τῶν ῥιζῶν ἀπηρτημένα, καθ' οὓς ἂν ᾖ τόπους, ἀλλὰ καὶ τὰ συμβαίνοντα θεωροῦντες· οἷον ἐν Φενεῷ τῆς Ἀρκαδίας, ὥσπερ ἐξερράγη τὸ συναθροισθὲν ὕδωρ ἐν τῷ πεδίῳ, φραχθέντων τῶν βερέθρων, ὅπου μὲν ἐγγὺς ἦσαν ἰτέαι περιφυκυῖαι τοῦ καταποθέντος τόπου, τῷ ὑστέρῳ ἔτει μετὰ τὴν ἀναξήρανσιν ἐνταῦθα αὖθις ἀναφῦναι φασὶν ἰτέαν· ὅπου δὲ πτελέα, αὖθις πτελέας· καθάπερ καὶ ὅπου πεῦκαι,

σημ-

2 καὶ ἐλάται, πεύκας καὶ ἐλάτας, ὥσπερ μιμουμένων ἐκείνων. Ἀλλὰ τὴν ἰτέαν ταχὺ προκαταβάλλειν, πρὸ τοῦ τελέως ἁδρῦναι καὶ πέψαι τὸν καρπόν. διὸ καὶ τὸν ποιητὴν οὐ κακῶς προσαγορεύειν αὐτὴν ὠλεσίκαρπον. τῆς δὲ πτελέας κἀκείνης μεῖζον † ἐκλαμβάνουσιν. ὅταν γὰρ † ὑπὸ τῶν εἰς τοὺς ἐχομένους τόπους ὁ καρπὸς ἀπενεχθῇ, φύεσθαί φασι. παραπλήσιον δ' ἔοικεν εἶναι τὸ συμβαῖνον, ὃ καὶ ἐπὶ τῶν φρυγανικῶν, καὶ ποωδῶν τινῶν ἐστιν. οὐκ ἐχόντων γὰρ σπέρμα φανερὸν, ἀλλὰ τῶν μὲν οἷον χνοῦν, τῶν δ' ἄνθος, ὥσπερ τὸ θύμον, ὅμως ἀπὸ τούτων βλαστάνουσιν. ἐπεὶ ἥ γε πλάτανος ἔχει φανερῶς, καὶ ἀπὸ τούτου φύεται, τοῦτο δ' ἐξ ἄλλων τε δῆλον. κἀκεῖνο μέγιστον σημεῖον· ὤφθη γὰρ

† σημεῖον ἐκλαμβ.
† ὑπὸ τῶν πνευμάτων
[illegible]

ἤδη

τι δὲ τῷ μᾶλλον, καὶ ἧττον. τὰ μὲν φίλυδρα καὶ φιλόκοπρα, τὰ δ' οὐχ ὁμοίως· οἷον ἡ κυπάριττος, ὥσπερ οὐ φιλόκοπρον, οὐδὲ φίλυδρον, ἀλλὰ καὶ ἀπόλλυσθαί φασιν, ἐάν γε νέαν οὖσαν ἐφυδρεύωσι πολλῷ. ῥοὰ δὲ καὶ ἄμπελος φίλυδρα. συκῆ δέ, ἀβλαστοτέρα μέν, ὑδρευομένη, τὸν δὲ καρπὸν ἴσχει χείρονα· πλὴν τῆς λακωνικῆς. αὕτη δὲ φίλυδρος. διακαθαίρεσθαι δὲ πάντα ζητεῖ. βελτίω μέν, τῶν αὔων ἀφαιρουμένων, ὥσπερ ἀλλοτρίων, ἃ καὶ τὰς αὐξήσεις καὶ τὰς τροφὰς ἐμποδίζει. διὸ καὶ ὅταν ᾖ γεράνδρυον, ὅλως κόπτουσιν· ἡ γὰρ βλάστησις νέα γίνεται τοῦ δένδρου. πλείστης δὲ διακαθάρσεως, φησὶν Ἀνδροτίων δεῖσθαι μύρρινον, καὶ ἐλαίαν. ὅσῳ γὰρ ἂν ἐλάττω καταλίπῃς, ἄμεινον βλαστήσει, καὶ τὸν καρπὸν οἴσει πλείω· πλὴν ἀμπέλου δηλονότι. ταύτης γὰρ ἀναγκαιότερον καὶ πρὸς βλάστησιν, καὶ πρὸς εὐκαρπίαν. ἁπλῶς δὲ καὶ ταύτην καὶ τὴν ἄλλην θεραπείαν, πρὸς τὴν ἰδίαν φύσιν ἑκάστῳ ποιητέον. δεῖσθαι δέ, φησὶν Ἀνδροτίων, καὶ κόπρου δριμυτάτης, καὶ πλείστης ὑδρείας, ὥσπερ καὶ τῆς διακαθάρσεως, ἐλαίαν, καὶ μύρρινον, καὶ ῥοιάν. οὐ γὰρ ἔχειν μήτραν, οὐδὲ νόσημα κατὰ γῆς οὐδέν. ἀλλ' ἐπειδὰν παλαιὸν ᾖ τὸ δένδρον, ἀποτέμνειν δεῖ τοὺς ἀκρέμονας· ἔπειτα τὸ στέλεχος θεραπεύειν, ὥσπερ ἂν ἐξ ἀρχῆς φυτευθέν. εἰ δέ φασι, πολυχρονιώτατον καὶ ἰσχυρότατον μύρρινον εἶναι, καὶ ἐλαίαν. ταῦτα μὲν οὖν ἐπισκέψαιτ' ἄν τις, εἰ καὶ μὴ πάντα, ἀλλὰ περί γε τῆς μήτρας. ἡ δὲ κόπρος ὅτι πᾶσιν ὁμοίως, οὐθ' ἡ αὐτὴ πᾶσιν ἁρμόττει. τὰ μὲν γὰρ δριμείας δεῖται, τὰ δ' ἧττον, τὰ δὲ παντελῶς κούφης. δριμυτάτη δέ, ἡ τοῦ ἀνθρώπου· καθάπερ καὶ Χαρτόδρας, ἀρίστην μὲν οἶμαι ταύτην φασί. δευτέραν δέ, τὴν ὑείαν. τρίτην δέ, αἰγός. τετάρτην δέ, προβάτου. πέμπτην δέ, βοός. ἕκτην δέ, ὄνων. ἡ δὲ συρματίτης, ἄλλη καὶ ἄλλως· ἡ μὲν γὰρ ἀσθενεστέρα ταύτης, ἡ δὲ κρείττων. τὴν δὲ σκαπάνην πᾶσιν οἴονται συμφέρειν, ὥσπερ καὶ τὴν ὄσκαλσιν τοῖς ἐλάττοσιν· εὐτραφέστερα γὰρ γίνεσθαι. τρέφειν δὲ δοκεῖ καὶ ὁ κονιορτὸς ἔνια, καὶ θάλλειν ποιεῖν· οἷον τὸν βότρυν. διὸ καὶ ὑποκονιῶσι πολλάκις. οἱ δὲ καὶ τὰς συκᾶς ὑποσκάπτουσιν, ἔνθα τούτου. μεγαροῖ δὲ καὶ τὰς συκέας, καὶ τὰς κολοκύντας, ὅταν οἱ ἐτησίαι πνεύσωσι, σκάλλοντες κονιορτοῦσι, καὶ οὕτω γλυκυτέρους καὶ ἁπαλωτέρους ποιοῦσιν, οὐχ ὑδρεύοντες. τοῦτο μὲν οὖν ὁμολογούμενον. τὴν δ' ἄμπελον οὔ φασι δεῖν ὑποκονιᾶν, ἢ ὅλως ἅπτεσθαι περκάζοντος τοῦ βότρυος. ἀλλ' ἄπερ, ὅταν ἀκρομελανθῇ. οἱ δέ, τὸ ὅλον μηδὲ τότε, πλὴν οἷον ὑποτίλαι τὴν βοτάνην. ὑπὲρ δὲ τούτων ἀμφισβητοῦσιν. ἐὰν δέ τι μὴ φέρῃ καρπόν, ἀλλ' εἰς βλάστησιν τρέπηται, σχίζουσι τοῦ στελέχους τὸ κατὰ γῆν, καὶ λίθον ἐντιθέασιν ὅπως ἂν ῥαγῇ, καί φασι φέρειν. ὁμοίως δέ, καὶ ἐάν τις τῶν ῥιζῶν ἔνια περιτέμνῃ. διὸ καὶ τῶν ἀμπέλων τοῦτο ποιοῦσιν, ὅταν τρυγῶσι, τὰς ἐπιπολῆς· τῶν δὲ συκῶν πρὸς τῷ περιτέμνειν καὶ τέφραν περιπλάττουσι, καὶ καταχέουσι τὰ στελέχη, καί φασι φέρειν μᾶλλον. ἀμυγδαλῇ δὲ καὶ πάτταλον ἐγκόψαντες σιδηροῦν, ὅταν τετραίνωσιν, ἄλλον ἀντεμβάλλουσι δρύϊνον, καὶ τῇ γῇ κρύπτουσιν· ὃ καλοῦσί τινες κολάζειν, ὡς ὑβρίζον τὸ δένδρον. ταυτὸν δὲ τοῦτο καὶ ἐπὶ τῆς ἀπίου, καὶ ἐπ' ἄλλων τινὲς ποιοῦσιν. ἐν Ἀρκαδίᾳ δὲ καὶ τὴν εὐθύνην καλοῦσι γαίαν· πολὺ γὰρ τὸ δένδρον τοῦτο παρ' αὐτοῖς· καί φασιν, ὅταν πάθῃ τοῦτο, καὶ τὰς μὲν μὴ φερούσας φέρειν, τὰς δὲ μὴ πεττούσας ἐκπέττειν καλῶς. ἀμυγδαλῆν δὲ καὶ ἐκ πικρᾶς γίνεσθαι γλυκεῖαν, ἐάν τις περιορύξας τὸ στέλεχος, καὶ τρυπήσας ὅσον παλαιστιαῖον, πανταχόθεν τὸ ἀπορρέον δάκρυον ἐν τῷ τοῦτο ἐᾷ καταρρεῖν. τοῦτο μὲν οὖν εἴη πρός τε τὸ φέρειν ἅμα, καὶ πρὸς τὸ εὐκαρπεῖν. Ἀποβάλλει δὲ πρὸ 9

τοῦ πέψαι τὸν καρπόν, ἀμυγδαλῆ, μηλέα, ῥόα, ἄπιος· καὶ μάλιστα δὴ πάντων συκῆ, καὶ φοῖνιξ· πρὸς ἃ καὶ τὰς βοηθείας ζητοῦσιν. ὅθεν καὶ ὁ ἐρινασμός. ἐκ γὰρ τῶν ἐκεῖ κρεμαννυμένων, ψῆνες ἐκδυόμενοι κατεσθίουσι καὶ πιαίνουσι τὰς κορυφάς. διαφέρουσι δὲ καὶ χῶραι πρὸς τὰς ἀποβολάς. περὶ γὰρ † ἀτταλίαν οὔ φασιν ἀποβάλλειν· διὸ οὐδ' ἐρινοῦσιν. οὐδ' ἐν τοῖς καταβορείοις, καὶ λεπτογείοις· οἷον ἐν τῷ Φαλύκῳ τῆς Μεγαρίδος. οὐδὲ τῆς Κορινθίας ἔν τισι τόποις. ὡσαύτως δὲ καὶ ἡ τῶν πνευμάτων κατάστασις· βορείοις γὰρ μᾶλλον ἢ νοτίοις ἀποβάλλουσι, κἂν ψυχρότερα καὶ πλείω γίνηται μᾶλλον. ἔτι δ' αὐτῶν τῶν δένδρων ἡ φύσις· τὰ πρῶτα γὰρ ἀποβάλλει, τὰ δ' ὄψια οὐκ ἐκβάλλει· καθάπερ ἡ λακωνική, καὶ αἱ ἄλλαι. διὸ καὶ οὐκ ἐρινάζουσι ταύτας. ταῦτα μὲν οὖν ἔν τε τοῖς τόποις, καὶ τοῖς γένεσι, καὶ τῇ καταστάσει τοῦ ἀέρος ἔχει τὰς δια-

ναι. τούτου δὲ ἐν τῷ κοιλοτάτῳ, πεφυκέναι τοὺς φοίνικας. ταῦτα μὲν οὖν τάχ' ἀμφοτέρως ἂν ἔχοι. ἐπεὶ γὰρ τὰς χώρας, ὥσπερ καὶ αὐτὰ τὰ δένδρα, διαφέρειν καὶ τὰς ἐργασίας, οὐκ ἄτοπον. γένη δὲ τῶν φοινίκων ἐστὶ πλείω. πρῶτον μὲν, καὶ ὥσπερ ἐν μεγίστῃ διαφορᾷ, τὸ μὲν κάρπιμον, τὸ δὲ ἄκαρπον, ἐξ ὧν οἱ περὶ Βαβυλῶνα τάς τε κλίνας καὶ τὰ ἄλλα σκεύη ποιοῦνται. ἔπειτα τῶν καρπίμων οἱ μὲν ἄρρενες, αἱ δὲ θήλειαι. διαφέρουσι δὲ ἀλλήλων, καθὸ ὁ μὲν ἄρρην ἄνθος πρῶτος φέρει ἐπὶ τῆς σπάθης, ἡ δὲ θήλεια καρπὸν εὐθὺ μικρόν. αὐτῶν δὲ τῶν καρπῶν διαφοραὶ πλείους. οἱ μὲν γὰρ ἀπύρηνοι, οἱ δὲ » μαλακοπύρηνοι, καὶ τὰς χροιὰς οἱ μὲν λευκοὶ, οἱ δὲ μέλανες, οἱ δὲ ξανθοί. τὸ δὲ ὅλον, οὐκ ἐλάττω χρώματά φασιν εἶναι τῶν συκῶν, οὐδ' ἁπλῶς τὰ γένη. διαφέρειν δὲ καὶ κατὰ τὰ μεγέθη, καὶ κατὰ τὰ σχήματα. καὶ γὰρ σφαιροειδεῖς ἐνίους, ὥσπερ εἰ μῆλα· καὶ τὰ μεγέθη τηλικούτους, ὡς τέτταρας εἰς τὸν πῆχυν εἶναι. » ἑπτὰ δὲ, καὶ εὐπόδας. ἄλλους δὲ μικροὺς, ἡλίκους ἐρεβίνθους. καὶ τοῖς χυλοῖς δὲ πολὺ διαφέροντας. κράτιστον δὲ καὶ τῶν λευκῶν, καὶ τῶν μελαίνων, τὸ βασιλικὸν καλούμενον γένος, ἐν ἑκατέρῳ καὶ μεγέθει καὶ ἀρετῇ. σπάνια δ' εἶναι ταῦτα λέγουσι· σχεδὸν γὰρ ἐν μόνῳ τῷ Βάτῳ κήπῳ τοῦ παλαιοῦ περὶ Βαβυλῶνα. ἐν Κύπρῳ δὲ ἴδιον τὸ γένος φοινίκων ἐστὶν, ὃ οὐ πεπαίνει τὸν καρπὸν, ἀλλ' ὠμὸς ὢν ἡδὺς σφόδρα καὶ γλυκύς ἐστι· τὴν δὲ γλυκύτητα ἰδίαν ἔχει. ἔνιοι δ' οὐ μόνον διαφέρουσι τοῖς καρποῖς, ἀλλὰ καὶ αὐτῷ τῷ δένδρῳ, κατὰ δὲ τὸ μῆκος, καὶ τὴν ἄλλην μορφήν. οὐ γὰρ μεγάλοι, καὶ μακροὶ, ἀλλὰ βραχεῖς· ἔτι δὲ καρπιμώτεροι τῶν ἄλλων, καὶ καρποφοροῦντες εὐθὺς τριετεῖς. πολλοὶ δὲ καὶ οὗτοι περὶ Κύπρον· εἰσὶ δὲ καὶ περὶ Συρίαν, καὶ περὶ Αἴγυπτον φοίνικες, οἳ φέρουσι τετραετεῖς, καὶ πενταετεῖς, ἀνδρομήκεις ὄντες. ἕτερον δὲ γένος ἐν Κύπρῳ, ὃ καὶ τὸ φύλλον πλατύτερον ἔχει, καὶ τὸν καρπὸν μείζω πολλῷ, καὶ ἰδιόμορφον· μεγέθει μὲν, ἡλίκος ῥοά· τῷ σχήματι δὲ, περιμήκης. οὐκ εὔχυλος δὲ, ὥσπερ ἄλλοι, ἀλλ' ὁμοίως ταῖς ῥίζαις· ὥστε μὴ καταλίχεσθαι, ἀλλὰ διαμασσωμένους ἐκβάλλειν. γένη μὲν οὖν, ὥσπερ εἴρηται, πολλά. θησαυρίζεσθαι δὲ μόνους δύνασθαί φασι τῶν ἐν Συρίᾳ τοὺς ἐν τῷ αὐλῶνι· τοὺς δ' ἐν Αἰγύπτῳ καὶ Κύπρῳ καὶ παρὰ τοῖς ἄλλοις, χλωροὺς ἀναλίσκεσθαι. ἔστι δὲ ὁ φοῖνιξ, ὡς μὲν ἁπλῶς εἰπεῖν, μονοστέλεχες καὶ μονοφυές. οὐ μὴν ἀλλὰ γίνονταί τινες διφυεῖς, ὥσπερ ἐν Αἰγύπτῳ, καθάπερ διηκρόαν ἔχοντες. τὸ δὲ ἀνάστημα τοῦ στελέχους, ἀφ' οὗ ἡ σχίσις, καὶ πεντάπηχυ· πρὸς ἄλληλα δὲ πως ἰσάζοντα. φασὶ δὲ καὶ τοὺς ἐν Κρήτῃ πλείους εἶναι τοὺς διφυεῖς. ἐνίους δὲ καὶ τριφυεῖς. ἐν δὲ τῇ Λαπαίᾳ τινὰ καὶ πεντεκέφαλον. οὐ κακῶς γοῦν ἐν ταῖς εὐτροφωτέραις χώραις γίνεσθαι πλείω τὰ τοιαῦτα, καὶ τὸ ὅλον δὲ τὰ εἴδη πλείω καὶ τὰς διαφοράς. ἄλλο δὲ γένος ἐστὶν, ὅ φασι γίνεσθαι πλεῖστον περὶ τὴν Αἰθιοπίαν, ὃ καλοῦσι κύκας. οὗτοι δὲ θαμνώδεις, οὐχὶ ἓν τὸ στέλεχος ἔχοντες, ἀλλὰ πλείω, καὶ ἐνίοτε συνηρτημένα μέχρι τινὸς ἀσι. τὰς δὲ ῥάβδους οὐ μακρὰς, ἀλλ' ὅσον πηχυαίας μὲν, ἀλλὰ λείας· ἐπὶ δὲ τῶν ἄκρων τὴν κόμην. ἔχουσι δὲ καὶ τὸ φύλλον πλατὺ, καὶ ὥσπερ ἐκ δυοῖν συγκείμενον ἐλαχίστων. καλοὶ δὲ καὶ τῇ ὄψει φαίνονται. τὸν δὲ καρπὸν καὶ τῷ σχήματι καὶ τῷ μεγέθει καὶ τῷ χυλῷ διάφορον ἔχουσι. στρογγυλότερον γὰρ, καὶ μεῖζον, καὶ εὐστομώτερον, ἧττον δὲ γλυκύ. πεπαίνουσι δὲ ἐν τρισὶν ἔτεσιν, ὥστε καρπὸν ἔχειν ἀεὶ καταλαμβάνοντος τοῦ νέου τὸν ἕνον. ποιοῦσι δὲ καὶ ἄρτους ἐξ αὐτῶν. περὶ μὲν οὖν τούτων ἐπισκεπτέον. οἱ δὲ χαμαιρριφεῖς καλούμενοι τῶν φοινίκων, ἕτερόν τι γένος ἐστὶν, ὥσπερ ὁμώνυμον. καὶ γὰρ ἐξαιρεθέντος τοῦ ἐγκεφάλου ζῶσι, καὶ κοπέντος ἀπὸ τῶν ῥιζῶν παραβλαστάνουσι. διαφέρουσι δὲ καὶ τῷ καρπῷ, καὶ τοῖς φύλλοις. πλατὺ γὰρ καὶ μαλακὸν ἔχουσι τὸ φύλλον, διὸ καὶ πλέκουσιν ἐξ αὐτοῦ τάς τε σπυρίδας, καὶ τοὺς φορμούς. πολλοὶ δὲ καὶ ἐν τῇ Κρήτῃ γίνονται, καὶ ἔτι μᾶλλον ἐν Σικελίᾳ. ταῦτα μὲν οὖν ἐπὶ πλεῖον εἴρηται τῆς ὑποθέσεως.

Ἐν δὲ ταῖς τῶν ἄλλων φυτείαις τοὐνάπαλιν τίθεται τὰ φυτευτήρια, καθάπερ τῶν κλημάτων. οἱ μὲν οὐδὲν διαφέρειν φασὶν, ἥκιστα δὲ ἐπὶ τῶν ἀμπέλων. ἔνιοι δὲ ῥοώδεα γίνεσθαι, καὶ σκιάζειν μᾶλλον τὸν καρπὸν, ἔτι δ' ἧττον ἀποβάλλειν τοὺς κοτίνους. συμβαίνειν δὲ ταὐτό φασι καὶ ἐπὶ τῆς συκῆς. οὐ γὰρ ἀποβάλλειν, ἀνάπαλιν φυτευθεῖσαν· ἔτι δ' ἀβαρωτέραν γίνεσθαι. οὐκ ἀποβάλλειν δὲ, οὐδ' ἐάν τις ἀποκλάσῃ φυομένης εὐθὺς τὸν καρπόν. αἱ μὲν οὖν φυτεῖαι καὶ γενέσεις ὃν τρόπον ἔχουσι, σχεδὸν ὡς τύπῳ περιλαβεῖν, εἴρηται. περὶ δὲ τῆς ἐργασίας καὶ τῆς θεραπείας, τὰ μὲν ἔστι κοινὰ, τὰ δὲ ἴδια καθ' ἕκαστον. κοινὰ μὲν, ἥ τε σκαπάνη, καὶ ἡ ὑδρεία, καὶ ἡ κόπρωσις· ἔτι δὲ ἡ διακάθαρσις, καὶ ἡ ἀφαίρεσις τῶν αὔων, διαφέρου-

σι δὲ

καὶ γίνεσθαί φασι καὶ καλλίω ταῦτα τὰ φυτά, μέχρις ἂν ᾖ νέα. παραπλήσια καὶ τῶν ἀμπέλων, ὅταν ἀπὸ τοῦ πασσάλου. προσδοκοποιεῖ γὰρ ὁ πάσσαλος ἐκείνῳ τῷ κλήματι διὰ τὴν ἀσθένειαν. φυτεύουσιν οὕτω καὶ ῥοιάν, καὶ ἄλλα τῶν δένδρων. ἡ συκῆ δὲ ἐὰν ἐν σκίλλῃ φυτευθῇ, θᾶττον παραγίνεται, καὶ ἧττον ὑπὸ σκωλήκων κατεσθίεται. ὅλως δὲ, πᾶν ἐν σκίλλῃ φυτευόμενον, εὐβλαστεῖ, καὶ θᾶττον αὐξάνεται. ὅσα δὲ ἐκ τοῦ στελέχους καὶ διακοπτόμενα φυτεύεται, κάτω τρέποντα τὴν τομὴν δεῖ φυτεύειν· διακόπτειν δὲ μὴ ἐλάττω σπιθαμιαίων, ὥσπερ ἐλέχθη, καὶ τὸν φλοιὸν περιαιρεῖν. φυτεύεται δὲ ἐκ τῶν τοιούτων ὄρχη. βλαστανόντων δ᾽ ἀεὶ προσχωννύειν, ἄχρις οὗ ἂν γένηται ἄρτιον. αὕτη μὲν οὖν τῆς ἐλαίας ἰδία, καὶ τοῦ μυρρίνου· αἱ δ᾽ ἄλλαι κοινότεραι πασῶν. ἄριστον δὲ καὶ ῥιζοῦσθαι, καὶ φυτείας μάλιστα τῆς τυχούσης ἡ συκῆ. φυτεύειν δὲ καὶ ῥοὰς, καὶ μυρρίνους, καὶ δάφνας πυκνὰς κελεύουσι, μὴ πλέον διεστώσας ἢ ἐννέα πόδας. μηλέας δὲ μικρῷ μακρότερον, ἀπίους δὲ καὶ ὄχνας ἔτι μᾶλλον. ἀμυγδαλᾶς δὲ καὶ συκᾶς, πολλῷ πλέον. ὡσαύτως δὲ καὶ τὴν ῥοιάν. ποιεῖσθαι δὲ καὶ πρὸς τόπον τὰς ἀποστάσεις. ἐν γὰρ τοῖς ὀρεινοῖς ἐλάττους, ἢ ἐν τοῖς πεδινοῖς. μέγιστον δὲ, ὡς εἰπεῖν, τὸ τὴν πρόσφορον ἑκάστῳ χώραν ἀποδιδόναι. τότε γὰρ εὐθενεῖ μάλιστα. ὡς δ᾽ ἁπλῶς εἰπεῖν, ἐλαίᾳ μὲν, καὶ συκῇ, καὶ ἀμπέλῳ, τὴν πεδινὴν φασὶν οἰκειοτάτην εἶναι· τοῖς δὲ ἀκροδρύοις, τὰς ὑπωρείας. χρὴ δὲ καὶ ἐν αὐτοῖς τοῖς ὁμογενέσι μὴ ἀγνοεῖν τὰς οἰκείας. ἐν πλείστῃ δὲ, ὡς εἰπεῖν, διαφορᾷ τὰ τῶν ἀμπέλων ἐστίν. ὅσα γάρ ἐστιν εἴδη, τοσαῦτα τινὲς φασὶ καὶ ἀμπέλων εἶναι. φυτευόμενα μὲν οὖν κατὰ φύσιν, ἀγαθὰ γίνεσθαι· παρὰ φύσιν δὲ, ἄκαρπα. ταῦτα μὲν οὖν ὥσπερ κοινὰ πάντων.

3 Τῶν δὲ φοινίκων ἴδιος ἡ φυτεία παρὰ τὰ ἄλλα, καὶ ἡ μετὰ ταῦτα θεραπεία. φυτεύουσι γὰρ πλείους εἰς ταὐτὸ τιθέντες, δύο ἄνω, καὶ δύο κάτω ὑποδοῦντες· πρανεῖς δὲ πάντας. τὴν γὰρ ἔκφυσιν οὐκ ἐκ τοῦ ὑπτίου καὶ † κόλου ποιεῖται, καθάπερ τινές φασιν, ἀλλ᾽ ἐκ τῶν ἄνω. διὸ καὶ ἐν τῇ ὑποζεύξει τῶν ὑποτιθεμένων, οὐ δεῖ περικαλύπτειν τὰς ἀρχάς· ὅθεν καὶ ἐκφύσεις. φανεραὶ δὲ εἰσὶ τοῖς ἐμπείροις. διὰ τοῦτο δ᾽ εἰς τὸ αὐτὸ πλείους τιθέασιν, ὅτι ἀπὸ τοῦ ἑνὸς ἀσθενὴς ἡ φυτεία. τούτων δὲ αἵ τε ῥίζαι πρὸς ἀλλήλας συμπλέκονται, καὶ εὐθὺς αἱ πρῶται βλαστήσεις, ὥστε ἓν γίνεσθαι τὸ στέλεχος. ἡ μὲν οὖν ἀπὸ τῶν καρπῶν φυτεία, τοιαύτη τις. ἡ δὲ ἀφ᾽ αὑτοῦ, ὅταν ἀφέλωσι τὸ ἄνω, ἐν ᾧπερ ὁ ἐγκέφαλος (ἀφαιροῦσι δὲ ὅσον δίπηχυ) σχίσαντες τοῦτο, κατατιθέασι τὸ ὑγρόν. φιλεῖ δὲ χώραν ἀμμώδη· διὸ καὶ ὅπου μὴ τοιαύτη τυγχάνει, περιπάττουσιν ἅλας οἱ γεωργοί. τοῦτο δὲ δεῖ ποιεῖν μὴ περὶ τὰς αὐτὰς ῥίζας, ἀλλ᾽ ἄποθεν ὑπεκστήσαντα περιπλάττειν ὅσον ἡμίεκτον. ὅτι δὲ τοιαύτην ζητεῖ χώραν, κἀκεῖνο ποιοῦνται σημεῖον. πανταχοῦ γὰρ ὅπου πλῆθος φοινίκων, ἀμμώδεις αἱ χῶραι. καὶ γὰρ ἐν Βαβυλῶνί φασιν, ὅπου οἱ φοίνικες πεφύκασι· καὶ ἐν Λιβύῃ δὲ, καὶ ἐν Αἰγύπτῳ, καὶ Φοινίκῃ. καὶ τῆς Συρίας δὲ τῆς κοίλης, ἐν ᾗ οἱ πλεῖστοι τυγχάνουσιν ὄντες, ἐν τρισὶ μόνοις τόποις ἀμμώδεσιν εἶναι τοὺς δυναμένους θησαυρίζεσθαι· τοὺς δ᾽ ἐν τοῖς ἄλλοις, οὐ διαμένειν, ἀλλὰ σήπεσθαι. χλωροὺς δ᾽ ἡδεῖς εἶναι, καταναλίσκεσθαι οὕτω. φιλεῖ δὲ καὶ ὑδρείαν σφόδρα τὸ δένδρον. περὶ δὲ κόπρου διαμφισβητοῦσιν. οἱ μὲν γὰρ οὔ φασι χαίρειν, ἀλλ᾽ ἐναντιώτατον εἶναι. οἱ δὲ, κἀνθάδε καὶ ἐπίδοσιν πολλὴν ποιεῖν. δεῖ δ᾽ ὑδρεύειν εὖ μάλα, ἢ κατὰ τὴν κόπρον, καθάπερ οἱ ἐν Ῥόδῳ. τοῦτο μὲν οὖν ἐπισκεπτέον· ἴσως γὰρ οἱ μὲν οὕτως, οἱ δ᾽ ἐκείνως θεραπεύουσι. καὶ μετὰ τοῦ ὕδατος ὠφέλιμος ἡ κόπρος, ἄνευ δὲ τούτου βλαβερά. ὅταν δὲ ἐνιαύσιος γένηται, μεταφυτεύουσι, καὶ τὴν ἅλμην συμπαραλαμβάνουσι, καὶ πάλιν ὅταν διετής· χαίρουσι γὰρ σφόδρα τῇ μεταφυτείᾳ. μεταφυτεύουσι δὲ οἱ μὲν ἄλλοι τοῦ ἦρος, οἱ δὲ ἐν Βαβυλῶνι περὶ τὸ ἄστρον. καὶ ὅλως οἵ γε πολλοὶ φυτεύουσιν, ὥστε καὶ παραγινομένου καὶ αὐξανομένου θᾶττον. νέα μὲν ὄντα οὐχ ἅπτονται, πλὴν ἀναδοῦσι τὴν κόμην, ὅπως ὀρθοφυῆται, καὶ ῥάβδοι μὴ ἀπορρέωνται. μετὰ δὲ ταῦτα περιτέμνουσιν, ὁπόταν ἁδρὸς ἤδη γένηται, καὶ πάχος ἔχει. ἀπολείπουσι δὲ ὅσον σπιθαμὴν τῶν ῥάβδων. φέρει δὲ, ἕως μὲν ἂν ᾖ νέος, ἀπύρηνον τὸν καρπόν· μετὰ δὲ τοῦτο, πυρηνώδη. ἄλλοι δέ τινες λέγουσιν, ὡς εἴη κατὰ Συρίαν οὐδεμίαν προσάγουσιν ἐργασίαν· ἀλλ᾽ ἰδίᾳ καθαίρουσι, καὶ ὑποβρέχουσιν. ἐπιζητεῖ δὲ μᾶλλον τὸ ναματιαῖον ὕδωρ, ἢ τὸ ἐκ τοῦ Διός. εἶναι δὲ πολὺ τοιοῦτον ἐν τῷ αὐλῶνι, ἐν ᾧ καὶ τὰ φοινικόφυτα τυγχάνει. τὸν αὐλῶνα δὲ τοῦτον λέγειν τοὺς Σύρους, ὅτι διατείνει διὰ τῆς Ἀραβίας μέχρι τῆς Ἐρυθρᾶς θαλάσσης, καὶ πολλοὺς φάσκειν ἐληλυθέ-

Forte κοίλου

καὶ ἡ θάλασσα. ἐν δὲ τῇ Βοιωτίᾳ, καταβρεχθέντων τῶν ὀρύγων ὑπὸ ἀκρίδων, πάλιν ἀνεβλάστησε. τὰ δὲ οἷον ἀπίθανα, ἥκιστα δὲ ἴσως τὰ τοιαῦτα ἄτοπα, διὰ τὸ φανερὰς ἔχειν τὰς αἰτίας. ἀλλὰ μᾶλλον, τὸ μὴ ἐκ τῶν οἰκείων τόπων φέρειν τοὺς καρπούς, ἢ μὴ οἰκείως, μάλιστα δὲ τῆς ὅλης φύσεως γίνεται μεταβολή, καθάπερ ἐλέχθη. περὶ μὲν οὖν τὰ δένδρα τοιαῦταί τινές εἰσι μεταβολαί. Τῶν δὲ ἄλλων, τό, τε σισύμβριον εἰς μίνθην δοκεῖ μεταβάλλειν, ἐὰν μὴ κατέχηται τῇ θεραπείᾳ· διὸ καὶ μεταφυτεύουσι πολλάκις. καὶ ὁ πυρὸς εἰς αἶραν. ταῦτα μὲν οὖν ἐν τοῖς δένδροις αὐτομάτως, εἴπερ γίνεται· τὰ δὲ τοῖς ἐπετείοις, διὰ παρασκευῆς· οἷον ἡ τίφη, καὶ ἡ ζειά, μεταβάλλουσιν εἰς πυρόν, ἐὰν πτισθεῖσαι σπείρωνται· καὶ τοῦτο οὐκ εὐθύς, ἀλλὰ τῷ τρίτῳ ἔτει. σχεδὸν δὲ παραπλήσιον τούτῳ γε, τῷ τὰ σπέρματα κατὰ τὰς χώρας μεταβάλλειν. μεταβάλλει γὰρ καὶ ταῦτα καθ᾿ ἑκάστην ὥραν, καὶ σχεδὸν ἐν τῷ ἴσῳ χρόνῳ καὶ ἡ τίφη. μεταβάλλουσι δὲ καὶ οἱ ἄγριοι πυροί, καὶ αἱ κριθαὶ θεραπευόμεναι καὶ ἐξημερούμεναι, κατὰ τὸν ἴσον χρόνον. καὶ ταῦτα μὲν ἔοικε χώρας τε μεταβολῇ, καὶ θεραπείᾳ γίνεσθαι· καὶ ἔνια ἀμφοτέροις. τὰ δὲ τῇ θεραπείᾳ μόνον· οἷον πρὸς τὸ τὰ ὄσπρια μὴ γίνεσθαι ἀτέραμνα, βρέξαντα κελεύουσιν ἐν νίτρῳ νυκτὶ τῇ ὑστεραίᾳ σπείρειν ἐν ξηρᾷ. φακούς, ὥστε ἁδροὺς γίνεσθαι, φυτεύουσιν ἐμβολον. τοὺς ἐρεβίνθους δέ, ὥστε μεγάλους, αὐτοῖς τοῖς κελύφεσι βρέξαντα σπείρειν. μεταβάλλουσι δὲ καὶ κατὰ τὰς ὥρας τοὺς πόρους, πρὸς κουφότητα· καὶ διὰ ἀλυπίαν· οἷον, ἐάν τις τοὺς ὀρόβους ἐαρινοὺς σπείρῃ, τρισάλυποι γίνονται, καὶ οὐχ ὡς οἱ μετοπωρινοὶ βαρεῖς. γίνεται δὲ καὶ ἐν τοῖς λαχάνοις μεταβολὴ διὰ τὴν θεραπείαν· οἷον, τὸ σέλινον ἐὰν σπαρὲν καταπατηθῇ, καὶ κυλινδρωθῇ, ἀναφύεσθαί φασιν οὖλον. μεταβάλλει δὲ καὶ τὰς χώρας ἐξαλλάττοντα, καθάπερ καὶ τ᾿ ἄλλα. καὶ τὰ μὲν τοιαῦτα κοινὰ πάντων ἐστίν. εἰ δέ τινα κατὰ πήρωσιν, ἢ ἀφαίρεσιν μέρους, δένδρον ἄγονον γίνεται, καθάπερ τὰ ζῶα, σπέρ ὑποσκεπτέον. οὐδὲν γοῦν φανερὸν κατά τι τῆς διαιρέσεως, εἰς τὸ πλεῖον καὶ ἔλαττον φέρειν ὥσπερ κακούμενον, ἀλλ᾿ ἢ ἀπόλλυται τὸ ὅλον, ἢ διαμένοντα
6 καρποφορεῖ. τὸ δὲ γῆρας, κοινή τις φθορὰ πᾶσιν· ἄτοπον δ᾿ ἂν δόξειεν. Μᾶλλον δ᾿ ἐν τοῖς ζώοις αἱ τοιαῦται μεταβολαὶ φυσικαί, καὶ πλείους. καὶ γὰρ κατὰ τὰς ὥρας ἔνια δοκεῖ μεταβάλλειν, ὥσπερ καὶ ὁ ἱέραξ, καὶ ἔποψ, καὶ ἄλλα τῶν ὁμοίων ὀρνέων. καὶ κατὰ τῶν τόπων ἀλλοιώσεις, ὥσπερ ὁ ὕδρος εἰς ἔχιν ξηραινομένων τῶν λιβάδων. φανερώτατα δὲ καὶ κατὰ τὰς γενέσεις ἔνια, καὶ μεταβάλλει διὰ πλειόνων ζώων, οἷον ἐκ κάμπης γίνεται χρυσαλλίς, εἶτ᾿ ἐκ ταύτης ψύ-
7 χη. καὶ ἐπ᾿ ἄλλων δ᾿ ἐστὶ τῶν πλειόνων. οὐδὲν ἴσως ἄτοπον, οὐδ᾿ ὅμοιον τὸ ζητούμενον. Ἀλλ᾿ ἐκεῖνο συμβαίνει περὶ τὰ δένδρα, καὶ ὅλως πᾶσαν τὴν ὕλην, ὥσπερ ἐλέχθη καὶ πρότερον, ὥστε αὐτομάτως μεταβλαστάνειν, μεταβολῆς τινος γινομένης ἐκ τῶν οὐρανίων ὑδάτων. τὰ μὲν οὖν περὶ τὰς γενέσεις καὶ μεταβολάς, ἐκ τούτων θεωρητέον· ἐπεὶ δὲ καὶ αἱ ἐργασίαι καὶ αἱ θεραπεῖαι μεγάλα συμβάλλονται, καὶ ἔτι πρότερον αἱ φυτεῖαι, καὶ ποιοῦσι μεγάλας διαφοράς, λεκτέον καὶ περὶ τούτων· καὶ πρῶτον περὶ τῶν φυτειῶν. αἱ μὲν οὖν ὧραι πρότερον εἴρηνται, καθ᾿ ἃς δεῖ τά τε φυτὰ λαμβάνειν κελεύουσιν ὡς τάχιστα, καὶ ἐξ ὁμοίας γῆς, εἰς ἣν μέλλει φυτεύειν, ἢ χείρονος. τοὺς δὲ βόθρους προορύττειν ὡς πλείστῳ χρόνῳ, καὶ βαθυτέρους ἀεὶ καὶ τοῖς ἐπιπολαιορριζοτέροις. λέγουσι δέ τινες, ὡς οὐδεμία κατωτέρω διικνεῖται τριῶν ἡμιποδίων. διὸ καὶ ἐπιτιμῶσι τοῖς ἐν μείζονι βάθει φυτεύουσιν. οὐκ ἐοίκασι δὲ ὀρθῶς λέγειν ἐπὶ πολλῶν. ἀλλ᾿ ἐὰν μὲν σώματος ὑπολαμβάνηται βάθος, καὶ χώρας τοιαύτης, ἢ καὶ τόπου, πολλῷ μακρότερον ὠθεῖ, τὸ τῇ φύσει βαθύρριζον. πτελέαν δέ τις ἔφη μεταφυτεύων μεμοχλευμένην, μείζω τὴν ῥίζαν ἔχειν ἢ ὀκτάπηχυν, καίπερ οὐχ ὅλης ἐξαιρεθείσης, ἀλλ᾿ ἀπορραγείσης. τὰ δὲ φυτευτήρια, ἐὰν μὲν ἐνδέχηται, ὑπόρριζα· εἰ δὲ μή, δεῖ μᾶλλον ἀπὸ τῶν κάτω ἢ τῶν ἄνω λαμβάνειν, πλὴν ἀμπέλου. καὶ τὰ μὲν ἔχοντα ῥίζας, ὀρθὰ ἐμβάλλειν· τὰ δὲ μὴ ἔχοντα, ὑποβάλλειν τῶν φυτευτηρίων, οἷον σπιθαμήν, ἢ μικρῷ πλεῖον. ἔνιοι δὲ κελεύουσι καὶ τῶν ὑπορρίζων ὑποβάλλειν λίθους. δεῖ δὲ καὶ τὴν θέσιν ὁμοίως, ἥνπερ εἶχον ἔνια τῶν δένδρων τὰ πρὸς βορρᾶν, καὶ τὰ πρὸς ἕω, καὶ τὰ πρὸς μεσημβρίαν. ἔνια δὲ ἐνδέχεται τῶν φυτῶν καὶ παραμοχλεύειν, τὰ μὲν ἐπ᾿ αὐτοῦ τῶν δένδρων, οἷον ἐλαίας, μηλέας, ἀπίους, συκᾶς· τὰ δ᾿ ἀφαιροῦντας, οἷον ἀμπέλους· ταύτης γὰρ οὐχ οἷόν τε ἐπ᾿ αὐτοῦ μοχλεύειν. ἐὰν δὲ μὴ ὑπόρριζα τὰ φυτά, μηδὲ ἀπόπρεμνα, λαμβάνειν καθάπερ τῆς ἐλαίας καὶ συκῆς καὶ τῶν ἄλλων. φυτεύεται δὲ καὶ ἡ συκῆ, ἐάν τις κράδην ταχεῖαν ἀποξύνας σφυρᾷ παίσῃ, ἄχρις οὗ ἂν ἀπολίπῃ μικρὸν ὑπὲρ τῆς γῆς· εἶτ᾿ αὐτῷ ἄμμον βαλὼν ἄνωθεν ἐπιχώσῃ.

καὶ

ἢ σχίσαντα ἐπὶ ξύλον κάτωθεν καὶ λίθον ἐμβάλλοντα φυτεύειν ὁμοίως δὲ ἐλαίας

τοῖς ἡμερωθεῖσι. ἐν δὲ τοῖς ἀγρίοις διαλλάττει πλέον, κατὰ λόγον, ὡς ἰσχυροτέροις. ἐπεὶ θάτερόν τε καὶ ἄτοπον. εἰ δ' ἡ χώρα, καὶ ἐν ἐκείνοις, καὶ ὅλως ἐν τοῖς ἀπὸ σπέρματος μόνον, εἰ μάλιστα τῇ θεραπείᾳ δύναιντο μεταβάλλειν. διαφέρουσι δὲ καὶ τόποι τόπων, καὶ ἀὴρ ἀέρος. ἐνιαχοῦ γὰρ ἐκφέρειν ἡ χώρα δοκεῖ τὰ ὅμοια, καθάπερ καὶ ἐν Φιλίπποις. ἀνάπαλιν ὀλίγα, καὶ ὀλιαχοῦ λαμβάνειν μεταβολήν· ὥστε ἐκ σπέρματος ἀγρίου ποιεῖν ἥμερον, ἢ ἐκ χείρονος ἁπλῶς ποιεῖν βέλτιον. τοῦτο γὰρ ἐπὶ τῶν ῥοιῶν μόνον ἀκηκόαμεν ἐν Αἰγύπτῳ, καὶ ἐν Κιλικίᾳ συμβαίνειν. ἐν Αἰγύπτῳ μὲν γὰρ τὴν ὀξεῖαν καὶ σπαρεῖσαν καὶ φυτευθεῖσαν, γλυκεῖαν γίνεσθαί πως, ἢ οἰνώδη. περὶ δὲ Σόλους τῆς Κιλικίας, παρὰ ποταμὸν Πίναρον, οὗ ἡ μάχη πρὸς Δαρεῖον ἐγένετο, πᾶσαι γίνονται ἀπύρηνοι. εὔλογον δὲ, κἂν εἴ τις τὸν παρ' ἡμῖν φοίνικα φυτεύσειεν ἐν Βαβυλῶνι, κάρπιμόν τε γίνεσθαι καὶ ἐξομοιοῦσθαι τοῖς ἐκεῖ. τὸν αὐτὸν δὲ τρόπον, κἂν εἴ τις ἑτέρα πρὸς ἄλληλον ἔχει καρπόν· οὕτω κρατίστων γὰρ αὕτης τῆς ἐργασίας καὶ τῆς θεραπείας. σημεῖον δὲ, ὅτι μεταφερόμενα τὰ κεῖθεν, ἄκαρπα, τὰ δὲ καὶ ὅλως ἀβλαστῆ γίνεται· μεταβάλλει δὲ καὶ τὴν τροφὴν, καὶ διὰ τὴν ἄλλην ἐπιμέλειαν. οἷον καὶ τὸ ἄγριον ἐξημεροῦται, καὶ αὐτῶν δὲ τῶν ἡμέρων ἔνια καὶ ἀπαγριοῦται τὰ ῥοὰ, καὶ ἀμυγδαλῆ. πλὴν ἐκεῖνο δή τινων, καὶ ἐκ κριθῶν ἀναφυῆναί φασι πυροὺς, καὶ ἐκ πυρῶν κριθάς· καὶ πῶς τοῦ αὐτοῦ πυθμένος ἄμφω. ταῦτα μὲν οὖν ὡς μυθωδέστερα δεῖ δέχεσθαι. μεταβάλλει δ' οὖν τὰ μεταβάλλοντα, τὸν τρόπον τοῦτον αὐτομάτως. ἐξαλλαγῇ δὲ τῆς † ὥρας, ὥσπερ ἐν Αἰγύπτῳ καὶ Κιλικίᾳ περὶ τὴν ῥοιὰν εἴπομεν, οὐδὲ διὰ μίαν θεραπείαν. ὡσαύτως δὲ, καὶ ὅπη τὰ κάρπιμα ἄκαρπα γίνεται· καθάπερ καὶ τὸ περσεῖον τὸ ἐξ Αἰγύπτου, καὶ ὁ φοῖνιξ ἐν τῇ Ἑλλάδι, καὶ εἰ δή τις κομίσειε τῆς ἐν Κρήτῃ λεγομένην αἴγειρον. ἔνιοι δὲ φασὶ καὶ τὴν οἴαν, ἐὰν εἰς † ἑλειινὸν ἔλθῃ σφόδρα τόπον, ἄκαρπον γίνεσθαι. φύσει γὰρ, ψυχρά. εὔλογον δὲ, ἀμφοτέρως συμβαίνειν κατὰ τὰς ἐναντιώσεις. εἴπερ μηδ' ὅλως ἔνια φύεσθαι θέλει, μεταβάλλοντα τοὺς τόπους. καὶ κατὰ μὲν τὰς χώρας αἱ τοιαῦται μεταβολαί. κατὰ δὲ τὰς φυτείας, τὰ ἐκ τῶν σπερμάτων φυτευόμενα, καθάπερ ἐλέχθη. παντοῖαι γὰρ αἱ ἐξαλλαγαὶ καὶ τούτων. τῇ θεραπείᾳ δὲ μεταβάλλει ῥοιὰ, καὶ ἀμυγδαλῆ. ῥοὰ μὲν, κόπρον ὑείαν λαβοῦσα, καὶ ὕδατος πλῆθος ψυχροῦ· ἀμυγδαλῆ δὲ, ὅταν πάτταλόν τις ἐνθῇ, καὶ τὸ δάκρυον ἀφαιρῇ τὸ ἐπιρρέον πλείω χρόνον, καὶ τὴν ἄλλην ἀποδιδῷ θεραπείαν. ὡσαύτως δὲ δηλονότι καὶ ὅσα ἐξημεροῦται τῶν ἀγρίων, ἢ ἐπαγριοῦται τῶν ἡμέρων. τὰ μὲν γὰρ θεραπείᾳ, τὰ δ' ἀθεραπευσίᾳ μεταβάλλει· πλὴν εἴ τις λέγει μηδὲ μεταβολὴν, ἀλλ' ἐπίδοσιν εἰς τὸ βέλτιον ἐστὶν, καὶ χεῖρον. οὐ γὰρ οἷόν τε τὸν κότινον ποιεῖν ἐλαίαν, οὐδὲ τὴν ἀχράδα ποιεῖν ἄπιον, οὐδὲ τὸν ἐρινεὸν συκῆν. ὃ γὰρ ἐπὶ τοῦ κοτίνου φασὶ συμβαίνειν, ὥστε ἂν περικόπτῃς τὴν θαλίαν, ὅλως μεταφυτευθῇ, φέρειν θάλος, μετακίνησίς τις γίνεται μεγάλη. ταῦτα μὲν οὖν ὁποτέρως δεῖ λαβεῖν, οὐθὲν ἂν διαφέροι.

Forté ἡλιινὸν nimis apricū.

Φασὶ δὲ καὶ αὐτομάτην τινὰ γίνεσθαι τῶν τοιούτων μεταβολὴν, ὁτὲ μὲν τῶν καρπῶν, ὁτὲ δὲ καὶ ὅλως αὐτῶν τῶν δένδρων· ἃ καὶ σημεῖα νομίζουσιν οἱ μάντεις. οἷον ῥοιὰν ὀξεῖαν, γλυκεῖαν ἐξενεγκεῖν· καὶ γλυκεῖαν, ὀξεῖαν. καὶ πάλιν ἁπλῶς αὐτὰ δένδρα· ὥστε ἐξ ὀξείας γλυκεῖαν γίνεσθαι, καὶ ἐκ γλυκείας ὀξεῖαν. χεῖρον δὲ καὶ τὸ εἰς γλυκεῖαν μεταβάλλειν, καὶ ἐξ ἐρινεοῦ συκῆν, καὶ ἐκ συκῆς ἐρινεόν· χεῖρον δὲ τὸ ἐκ συκῆς. καὶ ἐξ ἐλαίας κότινον, καὶ ἐκ κοτίνου ἐλαίαν· ἥκιστα δὲ τοῦτο. πάλιν δὲ συκῆν ἐκ λευκῆς μέλαιναν, καὶ ἐκ μελαίνης λευκήν. ὁμοίως δὲ τοῦτο καὶ ἐξ ἀμπέλου. καὶ ταῦτα μὲν ὡς τέρατα, καὶ παρὰ φύσιν λαμβάνουσιν. ὅσα δὲ συνήθη τῶν τοιούτων, οὐδὲ θαυμάζειν ὅλως· οἷον τὸ τὴν καπνίον ἄμπελον καλουμένην, καὶ ἐκ μέλανος γὰρ βότρυος λευκὸν, καὶ ἐκ λευκοῦ μέλαν φέρειν. οὐδὲ γὰρ οἱ μάντεις τὰ τοιαῦτα κρίνουσιν. ἐπεὶ οὐδὲ ἐκεῖνα, παρ' οἷς πέφυκεν ἡ χώρα μεταβάλλειν. ὥσπερ ἐλέχθη περὶ τῶν ῥοιῶν ἐν Αἰγύπτῳ. ἀλλὰ τὸ ἐνταῦθα θαυμαστὸν, διὰ τὸ μίαν μόνον, ἢ δύο, καὶ ταύτας ἐν τῷ παντὶ χρόνῳ σπανίας. ἀλλ' εἴπερ ἐν τῷ παντὶ, μᾶλλον ἐν τοῖς καρποῖς γίνεσθαι τὴν παραλλαγὴν, ἢ ἐν ὅλοις τοῖς δένδροις. ἐπεὶ καὶ τοιαύτη τις ἀταξία γίνεται περὶ τοὺς καρπούς· οἷον ἤδη ποτὲ συκῆ τὰ σῦκα ἔφυσεν ἐκ τοῦ ὄπισθεν τῶν ἐρινεῶν· καὶ ῥοιὰ δὲ, καὶ ἄμπελος, ἐκ τῶν στελεχῶν. καὶ ἄμπελος ἄνευ φύλλων καρπὸν ἀπήνεγκεν. ἐλαία δὲ τὰ μὲν φύλλα ἀπέβαλε, τὸν δὲ καρπὸν ἐξήνεγκεν· ὃ καὶ Θετταλῷ τῷ Πεισιστράτου γενέσθαι λέγεται. συμβαίνει δὲ καὶ διὰ χειμῶνας τοῦτο, καὶ δι' ἄλλας αἰτίας, ἔνια τῶν δοκούντων εἶναι παρὰ λόγον, οὐκ ὄντων δέ· οἷον, ἐλαία ποτ' ἀποκαυθεῖσα τελέως, ἐνεβλάστησεν ὅλη καὶ αὐτή,

μένων, ὡς δυνατὸν λαβεῖν. ὅλως γὰρ ὀλίγα τὰ ἐκ τῶν ἄνω μᾶλλον βλαστάνοντα καὶ γεννώμενα, καθάπερ ἄμπελος ἐκ τῶν κλημάτων. αὕτη γὰρ οὐκ ἐκ τῆς κεφαλῆς, ἀλλ' ἐκ τοῦ κλήματος φύεται. καὶ εἰ δή τι τοιοῦτον ἕτερον, ἢ δένδρον, ἢ φρυγανῶδες· ὥσπερ δοκεῖ τό, τε πήγανον, καὶ ἡ ἰωνία, καὶ τὸ σισύμβριον, καὶ ὁ ἕρπυλλος, καὶ τὸ ἑλένιον. κοινότατος μὲν οὖν ἐστι πᾶσιν, ὅ τε ἐκ τῆς παρασπάδος, καὶ ἐκ σπέρματος. ἅπαντα δέ, ὅσα ἔχει σπέρματα, καὶ ἀπὸ σπέρματος γίνεται. ἀπὸ δὲ παρασπάδος καὶ τὴν δάφνην φασίν, ἐάν τις τὸ ἔρνος περιελὼν φυτεύσῃ. δεῖ δὲ ὑπόρριζον μάλιστά γε τὸ παρασπώμενον, ἢ ὑπόπρεμνον. οὐ μὴν ἀλλὰ καὶ ἄνευ τούτου θέλει βλαστάνειν καὶ ῥοά, καὶ μηλέα ἐαρινή. βλαστάνει δὲ καὶ ἀμυγδάλη φυτευομένη. κατὰ πλείστους δὲ τρόπους, ὡς εἰπεῖν, ἡ ἐλαία βλαστάνει· καὶ γὰρ ἀπὸ τοῦ στελέχους, καὶ ἀπὸ τοῦ πρέμνου κατακοπτομένου, καὶ ἀπὸ τῆς ῥίζης, καὶ ἀπὸ τοῦ ξύλου, καὶ ἀπὸ ῥάβδου, καὶ ἀπὸ χάρακος, ὥσπερ εἴρηται. τῶν δ' ἄλλων, ὁ μύρρινος· καὶ γὰρ οὗτος ἀπὸ τῶν ξύλων καὶ τῶν πρέμνων φύεται. δεῖ δὲ καὶ τούτου καὶ τῆς ἐλαίας τὰ ξύλα διαιρεῖν μὴ ἐλάττω σπιθαμιαίων, καὶ τὸν φλοιὸν μὴ περιαιρεῖν. τὰ μὲν οὖν δένδρα βλαστάνει καὶ γίνεται κατὰ τοὺς εἰρημένους τρόπους. αἱ γὰρ ἐμφυτεῖαι, καὶ οἱ ἐνοφθαλμισμοί, καθάπερ μίξεις τινές εἰσιν, ἢ κατ' ἄλλον τρόπον γενέσεις· περὶ ὧν ὕστερον λεκτέον. Τῶν δὲ φρυγανωδῶν καὶ ποιωδῶν τὰ μὲν πλεῖστα ἀπὸ σπέρματος καὶ ῥίζης, τὰ δὲ καὶ ἀμφοτέρως. ἔνια δὲ καὶ ἀπὸ τῶν βλαστῶν, ὥσπερ εἴρηται. ῥοδωνιὰ δὲ καὶ κρινωνιά, κατακοπέντων τῶν καυλῶν, ὥσπερ καὶ ἡ ἄγρωστις. φύεται δὲ ἡ κρινωνιὰ καὶ ῥοδωνιά, καὶ ὅλου τοῦ καυλοῦ τεθέντος. ἰδιωτάτη δὲ ἡ ἀπὸ δακρύου. καὶ γὰρ οὕτω δοκεῖ τὸ κρίνον φύεσθαι, ὅταν ξηρανθῇ τὸ ἀπορρυέν. φασὶ δὲ καὶ ἀπὸ τοῦ ἱπποσελίνου· καὶ γὰρ τοῦτο ἀφίησι δάκρυον. φύεται δέ τις καὶ κάλαμος, ἐάν τις διατέμνων τὰς ἀλλαγὰς πλαγίας, κατακρύψῃ κόπρῳ καὶ γῇ. ἰδίως δὲ ἀπὸ ῥίζης καὶ φύεσθαι, καὶ τὰ κεφαλόρριζα. τοσαυταχῶς δὲ οὔσης τῆς δυνάμεως, τὰ μὲν πολλὰ τῶν δένδρων, ὥσπερ ἐλέχθη πρότερον, ἐν πλείοσι τρόποις (ὡς φασίν) φύει. ἔνια δὲ ἀπὸ σπέρματος φύεται μόνον, οἷον ἐλάτη, πεύκη, πίτυς, ὅλως πᾶν τὸ κωνοφόρον· ἔτι δὲ φοῖνιξ. πλὴν εἰ ἄρα ἐν Βαβυλῶνι καὶ ἀπὸ τῶν ῥάβδων, ὥς φασί τινες, μολύνειν. κυπάριττος δὲ παρὰ μὲν τοῖς ἄλλοις ἀπὸ σπέρματος· ἐν Κρήτῃ δέ, καὶ ἀπὸ τοῦ στελέχους. οἷον τὸ τῆς ὀρείας, ἐν Τάρρᾳ. περὶ ταύτης γάρ ἐστιν ἡ κειρομένη κυπάριττος. αὕτη δ' ἀπὸ τῆς τομῆς βλαστάνει, πάντα τρόπον τεμνομένη, καὶ ἀπὸ γῆς, καὶ ἀπὸ τοῦ μέσου, καὶ ἀπὸ τῶν ἀνωτέρω. βλαστάνει δὲ καὶ ἐνιαχοῦ ἀπὸ τῶν ῥιζῶν, σπανίως δέ. περὶ δὲ δρυὸς ἀμφισβητοῦσιν. οἱ μὲν γὰρ ἀπὸ σπέρματος φασὶ μόνον· οἱ δὲ καὶ ἀπὸ ῥίζης, γλίσχρως· οἱ δέ, καὶ ἀπ' αὐτοῦ τοῦ στελέχους κοπτομένου. ἀπὸ παρασπάδος δὲ καὶ ῥίζης οὐδὲν φύεσθαι τῶν μὴ παραβλαστανόντων. ἁπάντων δέ, ὅσων πλείους αἱ γενέσεις, ἡ ἀπὸ παρασπάδος, καὶ ἔτι μᾶλλον ἡ ἀπὸ παραφυάδος· ταχίστη δὲ καὶ εὐαλξής, ἐὰν ἀπὸ ῥίζης ἡ παραφυὰς ᾖ. καὶ τὰ μὲν οὕτως, ἢ ὅλως ἀπὸ φυτευτηρίων πεφυτευμένα, πάντα δοκεῖ τοὺς καρποὺς ἐξομοιοῦν. Ὅσα δ' ἀπὸ τοῦ καρποῦ τῶν δυναμένων καὶ οὕτω βλαστάνειν, ἅπαντα ὡς εἰπεῖν χείρω. τὰ δὲ καὶ ὅλως ἐξίσταται τοῦ γένους, οἷον ἄμπελος, μηλέα, συκῆ, ῥοιά, ἄπιος. ἔκ τε γὰρ τῆς κεγχραμίδος οὐδὲν γίνεται γένος ὅλως ἥμερον, ἀλλ' ἢ ἐρινεός, ἢ ἀγρία συκῆ, διαφέρουσα πολλάκις καὶ τῇ χροιᾷ. καὶ γὰρ ἐκ μελαίνης λευκή, καὶ ἐκ λευκῆς μέλαινα γίνεται. ἔκ τε τῆς ἀμπέλου τῆς γενναίας ἀγεννής, καὶ πολλάκις ἕτερον γένος. ὁτὲ δὲ ὅλως οὐδὲν ἥμερον, ἀλλ' ἄγριον ἐνίοτε· καὶ τοιοῦτον, ὥστε μὴ ἐκπέττειν τὸν καρπόν. αἱ δ' ὥστε μηδὲ ἁδρύνειν, ἀλλὰ μέχρι τοῦ ἀνθῆσαι μόνον ἀφικνεῖσθαι. φυτεύονται δὲ καὶ ἐκ τῶν τῆς ἐλαίας πυρήνων ἀγριέλαιος, καὶ ἐκ τῶν τῆς ῥοᾶς κόκκων τῶν γλυκείων ἀγεννής, καὶ ἐκ τῶν ἀπυρήνων σκληρά, πολλάκις δὲ καὶ ὀξεῖα. τὸν αὐτὸν δὲ τρόπον καὶ ἐκ τῶν ἀπίων, καὶ ἐκ τῶν μήλων· ἐκ μὲν τῶν ἀπίων, μοχθηρὰ ἢ ἀχράς· ἐκ δὲ τῶν μήλων, χεῖρόν τι τῷ γένει, καὶ ἐκ γλυκέων ὀξεῖα· καὶ ἐκ στρουθίων, κυδώνιος. χείρων δὲ ἡ ἀμυγδαλῆ, καὶ τῷ χυλῷ, καὶ τῷ σκληρὰ ἐκ μαλακῆς. διὸ καὶ αὐξηθεῖσαν ἐγκεντρίζειν κελεύουσιν· εἰ δὲ μή, τὸ μόσχευμα μεταφυτεύειν πολλάκις. χείρων δὲ καὶ ἡ δρῦς. ἀπὸ γοῦν τῆς † ἐν πύρρᾳ πολλοὶ φυτεύσαντες, οὐκ ἐδύναντο ὁμοίαν ποιεῖν. δάφνην δὲ καὶ μυρρίνην διαφέρειν ποτέ φασιν, ὡς ἐπὶ τὸ πολὺ δ' ἐξίστασθαι, καὶ οὐδὲ τὸ χρῶμα διασώζειν, ἀλλ' ἐξ ἐρυθροῦ καρποῦ γίνεσθαι μέλανα· ὥσπερ καὶ τὴν ἐν Ἀντάνδρῳ. πολλάκις δὲ καὶ τὴν κυπάριττον, ἐκ θηλείας ἄρρενα. μάλιστα δὲ τούτων ὁ φοῖνιξ δοκεῖ διαμένειν, ὥσπερ εἰπεῖν, πλείους τῶν ἀπὸ σπέρματος, καὶ πεύκη ἡ κωνοφόρος, καὶ πίτυς ἡ φθειροποιός. ταῦτα μὲν οὖν ἐν

τοῖς

φοτέρων δέ, καὶ τῶν νέων καὶ τῶν ἕνων, ὥσπερ ἄρα μηλέαι τῶν διαφόρων, ἢ εἴ τι ἄλλο καρπιμον· ἔτι δὲ καὶ ὁ ὄλυνθος ἐκπίπτων, καὶ σῦκα φέρων ἐκ τῶν νέων. ἰδιωτάτη δέ, ἡ ἐκ τοῦ στελέχους ἔκφυσις, ὥσπερ ἐν τῇ αἰγυπτίᾳ συκαμίνῳ· καὶ ταύτην γάρ φασι φέρειν ἐκ τοῦ στελέχους. οἱ δὲ ταύτης μὲν ἐκ τῶν ἀκρεμόνων, ὥσπερ καὶ ἡ κερωνίας· αὕτη γὰρ ἐκ τούτων φέρει, πλὴν οὐ πολύν. καλοῦσι δὲ κερωνίαν, ἀφ' ἧς τὰ σῦκα τὰ αἰγύπτια καλούμενα. ἔτι δὲ καὶ τὰ μὲν ἀκρόκαρπα τῶν δένδρων, καὶ ὅλως τῶν φυτῶν· τὰ δὲ πλαγιόκαρπα, τὰ δ' ἀμφοτέρως. πλείω δ' ἀκρόκαρπα τῶν ἄλλων, ἢ τῶν δένδρων· οἷον τῶν τε σιτηρῶν, τὰ σταχυώδη· καὶ τῶν θαμνωδῶν, ἐρείκη, καὶ † σπαρτία, καὶ ἄγνος, καὶ ἄλλ' ἄττα· καὶ τῶν λαχανωδῶν, τὰ κεφαλόρριζα. σπειραία
τῶν ἀμφοτέρων δέ, καὶ τῶν δένδρων ἔνια, καὶ τῶν λαχανωδῶν· οἷον βλίτον, ἀνδράφαξις, ῥάφανος. ἔτι δὲ καὶ ἐλαία ποιεῖ πως ὥσπερ. καί φασιν, ὅταν ἄκρον ἐνέγκῃ, σημεῖον εὐφορίας εἶν. ἀκρόκαρπος δέ πως καὶ ὁ φοῖνιξ, πλὴν τοῦτό γε καὶ ἀκρόφυλλον, καὶ ἀκρόβλαστον. ὅλως γὰρ ἐν τῷ ἄνω πᾶν τὸ ζωτικόν. τὰς μὲν οὖν περὶ μορφὴν διαφοράς, πειρατέον ἐκ τούτων θεωρεῖν. αἱ δὲ τοιαῦται τῆς ὅλης οὐσίας φαίνονται, διότι τὰ μὲν ἥμερα, τὰ δ' ἄγρια· καὶ τὰ μὲν κάρπιμα, τὰ δ' ἄκαρπα· καὶ ἀείφυλλα, καὶ φυλλοβόλα, καθάπερ ἐλέχθη· τὰ δ' ὅλως ἄφυλλα. καὶ τὰ μὲν ἀνθητικά, τὰ δ' ἀνανθῆ. καὶ πρωϊβλαστῆ δέ, καὶ πρωΐκαρπα· τὰ δὲ ὀψιβλαστῆ, καὶ ὀψίκαρπα. ὡσαύτως δέ, καὶ ὅσα παραπλήσια τούτοις. καὶ τά γε τοιαῦτα ἐν τοῖς μορίοις, ἢ οὐκ ἄνευ τῶν μορίων ἐστίν. ἀλλ' ἐκείνη ἰδιωτάτη καὶ τρόπον τινὰ μεγίστη διάστασις, ἥπερ καὶ ἐπὶ τῶν ζώων, ὅτι τὰ μὲν ἔνυδρα, τὰ δὲ χερσαῖα. καὶ γὰρ τῶν φυτῶν ἐστὶ τὸ τοιοῦτον γένος, ὃ οὐ δύναται φύεσθαι ἐν ὑγρῷ. τὰ δὲ φύεται μέν, οὐχ ὅμοια δέ, ἀλλὰ χείρω. πάντων δὲ τῶν δένδρων, ὡς ἁπλῶς εἰπεῖν, καὶ τῶν φυτῶν, εἴδη πλείω τυγχάνει καθ' ἕκαστον γένος. σχεδὸν γὰρ οὐδέν ἐστιν ἁπλοῦν.

Ἀλλ' ὅσα μὲν ἥμερα καὶ ἄγρια λέγεται, ταύτην ἐμφανεστάτην 14
ἔχει καὶ μεγίστην διαφοράν· οἷον συκῆ, ἐρινεός, ἐλαία, κότινος, ἄπιος, ἀχράς. ὅσα δὲ ἐν ἑκατέρῳ τούτων, τοῖς καρποῖς τε καὶ φύλλοις καὶ ταῖς ἄλλαις μορφαῖς τε καὶ τοῖς μορίοις. ἀλλὰ τῶν μὲν ἀγρίων ἀνώνυμα τὰ πλεῖστα, καὶ ἔμπειροι ὀλίγοι. τῶν δὲ ἡμέρων καὶ ὠνομασμένων, πλείω, καὶ ἡ αἴσθησις κοινοτέρα· λέγω δ' οἷον ἀμπέλου, συκῆς, ῥοᾶς, μηλέας, ἀπίου, δάφνης, μυρρίνης, τῶν ἄλλων. ἡ γὰρ χρῆσις οὖσα κοινή, συνθεωρεῖν ποιεῖ τὰς διαφοράς. ἴδιον δὲ καὶ τοῦτ' ἐφ' ἑκατέρων. τὰ μὲν γὰρ ἄγρια τῷ ἄρρενι καὶ τῷ θήλει, ἢ μόνοις, ἢ μάλιστα διαιροῦσι· τὰ δὲ ἥμερα, πλείοσιν ἰδέαις. ἔστι δὲ τῶν μὲν ῥᾷόν τι λαβεῖν καὶ διαριθμῆσαι τὰ εἴδη, τῶν δὲ χαλεπώτερον, διὰ τὴν πολυχοΐαν. ἀλλὰ δὴ τὰς μὲν τῶν μορίων διαφοράς, καὶ τῶν ἄλλων οὐσιῶν, ἐκ τούτων πειρατέον θεωρεῖν. περὶ δὲ τῶν γενέσεων, μετὰ ταῦτα λεκτέον. τοῦτο γὰρ ὥσπερ ἐφεξῆς τοῖς εἰρημένοις ἐστίν.

ΘΕΟΦΡΑΣΤΟΥ ΠΕΡΙ ΦΥΤΩΝ
ἹΣΤΟΡΙΑΣ ΤΟ Β.

Αἱ γενέσεις τῶν δένδρων, καὶ ὅλως τῶν φυτῶν, ἢ αὐτόμαται, ἢ ἀπὸ σπέρματος, ἢ ἀπὸ ῥίζης, ἢ ἀπὸ παρασπάδος, ἢ ἀπὸ ἀκρέμονος, ἢ ἀπὸ κλωνός, ἢ ἀπ' αὐτοῦ στελέχους ἐστίν· ἢ ἔτι τοῦ ξύλου κατακοπέντος εἰς μικρά, καὶ γὰρ οὕτως ἀναφύεται. τούτων δὲ ἡ μὲν αὐτόματος, πρώτη τις. ἡ δὲ ἀπὸ σπέρματος καὶ ῥίζης, φυσικώταται δόξαιεν ἄν. ὥσπερ γὰρ αὐτόμαται καὶ αὗται· διὸ καὶ τοῖς ἀγρίοις ὑπάρχουσιν. αἱ δὲ ἄλλαι, τέχνης, ἢ προαιρέσεως. ἅπαντα δὲ βλαστάνει κατά τινα τῶν τρόπων τούτων· τὰ δὲ πολλὰ κατὰ πλείους. ἐλαία μὲν γὰρ πάντως φύεται, πλὴν ἀπὸ κλωνός. οὐ γὰρ δύναται καταπηγνυμένη, καθάπερ ἡ συκῆ ἐκ κραδῆς, καὶ ἡ ῥοὰ ἐκ ῥάβδου. καίτοι φασί γέ τινες ἤδη καὶ χάρακος παγέντος, καὶ πρὸς τὴν κύτην συμβιῶσαι, καὶ γενέσθαι δένδρον. ἀλλὰ σπάνιόν τι τὸ τοιοῦτον. θάτερα δέ, τὰ πολλὰ τῆς φύσεως. συκῆ δὲ τοὺς μὲν ἄλλους τρόπους φύεται πάντας· ἀπὸ δὲ τῶν πρέμνων καὶ τοῦ ξύλου οὐ φύεται. μηλέα δέ, καὶ ἄπιος, ἀπὸ τῶν ἀκρεμόνων σπανίως. οὐ μὴν ἀλλὰ τά τε πολλὰ πάνθ' ὡς εἰπεῖν ἐνδέχεσθαι δοκεῖ καὶ ἀπὸ φυτῶν, ἐὰν λεῖα καὶ νέα καὶ εὔξοα ὦσιν. ἀλλὰ φυσικώτεραί πως ἐκεῖναι. τὸ δὲ ἐνδεχό-

ἐίων

ά

δὲ

λιν τὰ φύλλα μᾶλλον, καὶ οἱ κλάδοι, ὥσπερ τῶν στεφανωματικῶν. τῶν δέ, οἱ καρποί. τῶν δ' οὐδέτερον. ἐνίων δ' αἱ ῥίζαι. τῶν δὲ τι μέρος. ὁμοίως δὲ καὶ κατὰ τοὺς χυλούς. τὰ μὲν γὰρ βρωτά, τὰ δ' ἄβρωτα τυγχάνει, καὶ ἐν φύλλοις καὶ περικαρπίοις. ἰδιαίτατον δὲ τὸ ἐπὶ τῆς θελλύρας. ταύτης γὰρ τὰ μὲν φύλλα γλυκέα, καὶ πολλὰ τῶν ζώων ἐσθίει· ὁ δὲ καρπὸς οὐδενὶ βρωτός. ἐπεὶ τό γε ἀνάπαλιν οὐδὲν θαυμαστόν, ὥστε τὰ μὲν φύλλα μὴ ἐσθίεσθαι, τοὺς δὲ καρποὺς οὐ μόνον ὑφ' ἡμῶν, ἀλλὰ καὶ ὑπὸ τῶν ἄλλων ζώων. ἀλλὰ καὶ περὶ τούτου, καὶ τῶν ἄλλων τῶν τοιούτων, ὕστερον πειρατέον θεωρεῖν τὰς αἰτίας.

21 Νῦν δὲ τοσοῦτον ἔστω δῆλον, ὅτι περὶ πάντα τὰ μέρη πλείους εἰσὶ διαφοραὶ πολλαχῶς. ἐπεὶ καὶ τῶν ἀνθῶν τὰ μὲν ἐστὶ χνοώδη, καθάπερ τὸ τῆς ἀμπέλου, καὶ συκαμίνου, καὶ τοῦ κιττοῦ· τὰ δὲ φυλλώδη, καθάπερ ἀμυγδαλῆς, μηλέας, ἀπίου, κοκκυμηλέας. καὶ τὰ μὲν μέγεθος ἔχει· τὸ δὲ τῆς ἐλαίας φυλλῶδες ὄν, ἀμέγεθες. ὁμοίως δὲ καὶ ἐν τοῖς ἐπετείοις καὶ ποώδεσι, τὰ μὲν φυλλώδη, τὰ δὲ χνοώδη. πάντων δὲ τὰ μὲν δίχροα, τὰ δὲ μονόχροα. τὰ μὲν τῶν δένδρων τά γε πολλὰ μονόχροα, καὶ λευκανθῆ. μόνον γάρ, ὡς εἰπεῖν, τὸ τῆς ῥοᾶς φοινικοῦν, καὶ ἀμυγδαλῶν τινῶν ὑπέρυθρον· ἄλλου δ' οὐδενὸς τῶν ἡμέρων οὔτε ἀνθῶδες, οὔτε δίχρουν· ἀλλ' εἴ τινος τῶν ἀγρίων, οἷον τὸ τῆς ἐλάτης· κροκινὸν γὰρ τὸ ταύτης ἄνθος, καὶ ὅσα δή φασιν ἐν τῇ ἔξω θαλάττῃ ῥόδων ἔχειν τὴν χρόαν. ἐν δὲ τοῖς ἐπετείοις σχεδόν, τά γε πλείω τοιαῦτα, καὶ δίχροα καὶ διανθῆ. λέγω δὲ διανθές, ὅτι ἕτερον ἄνθος ἐν τῷ ἄνθει ἔχει κατὰ μέσον, ὥσπερ τὸ ῥόδον, καὶ τὸ κρίνον, καὶ ἴον τὸ μέλαν. ἔνια δὲ καὶ μονόφυλλα φύεται, διαγραφὴν ἔχοντα μόνον τῶν πλειόνων, ὥσπερ τὸ τῆς ἰασιώνης. οὐ γὰρ κεχώρισται ταύτης ἐν τῷ ἄνθει τὸ φύλλον ἕκαστον, οὐδὲ δὴ τοῦ χαρίου τὸ κάτω μέρος, ἀλλὰ ἐκ τῶν ἄκρων ἀποφύσεις γωνιώδεις. σχεδὸν δὲ τὸ τῆς ἐλαίας τοιοῦτόν ἐστι.

22 Διαφέρει δὲ καὶ κατὰ τὴν ἔκφυσιν, καὶ θέσιν. τὰ μὲν γὰρ ἔχει περὶ αὐτὸν τὸν καρπόν, οἷον ἄμπελος, ἐλαία· ἧς καὶ διαπίπτοντα διατετρημένα φαίνεται. καὶ τοῦτο σημεῖον λαμβάνουσιν, εἰ καλῶς ἀπήνθηκεν· ἐὰν γὰρ συγκαυθῇ, ἢ βρεχθῇ, συναποβάλλει τὸν καρπόν, καὶ οὐ τετρημένον γίνεται. σχεδὸν δὲ καὶ τὰ πολλὰ τῶν ἐν μέσῳ τὸ περικάρπιον ἔχει· τάχα δὲ καὶ ἐπ' αὐτοῦ τοῦ περικαρπίου, καθάπερ ῥοά, μηλέα, ἄπιος, κοκκυμηλέα, μύρρινος· καὶ τῶν γε φρυγανικῶν, ῥοδωνιά· καὶ τὰ πολλὰ τῶν στεφανωτικῶν· κάτω γὰρ ὑπὸ τὸ ἄνθος ἔχει τὰ σπέρματα. φανερώτατον δ' ἐπὶ τῆς ῥόδου, διὰ τὸν ὄγκον. ἔνια δὲ καὶ ἐπ' αὐτῶν τῶν σπερμάτων, ὥσπερ ὁ ἄκορος, καὶ ὁ κνῆκος, καὶ πάντα τὰ ἀκανθώδη. καθ' ἕκαστον γὰρ ἔχει τὸ ἄνθος. ὁμοίως δὲ καὶ τῶν ποωδῶν ἔνια, καθάπερ τὸ ἀνθέμιον. ἐν δὲ τοῖς λαχανηροῖς, ὁ προσίνυος, καὶ ἡ κολοκύντη, καὶ ἡ σικύα. πάντα γὰρ ἐπὶ τῶν ἄκρων ἔχει. καὶ περιαυξανομένων, ἐπιμένει τὰ ἄνθη πολὺν χρόνον. ἄλλα δὲ ἰδιωτέρως, οἷον ὁ κιττός, καὶ ἡ συκάμινος· ἐν αὐτοῖς μὲν γὰρ ἔχει τοῖς ὅλοις περικαρπίοις, οὐ μὴν οὔτε ἐπ' ἄκροις, οὔτε περιειληφόσι καθ' ἕκαστον, ἀλλ' ἐν τοῖς ἀνὰ μέσον. εἰ μὴ ἄρα οὐ συνώδηλα, διὰ τὸ χνοῶδες. ἔστι δὲ καὶ ἄκαρπα τῶν ἀνθῶν ἔνια, καθάπερ ἐπὶ τῶν σικύων, ἃ ἐκ τῶν ἄκρων φύεται τοῦ κλήματος. διὸ καὶ ἀφαιροῦσιν αὐτά· κωλύει γὰρ τὴν τοῦ σικύου βλάστησιν. φασὶ δὲ καὶ τῆς μηλέας τῆς μηδικῆς, ὅσα μὲν ἔχει τῶν ἀνθῶν ὥσπερ ἠλακάτην τινὰ πεφυκυῖαν ἐκ μέσου, ταῦτ' εἶναι γόνιμα· ὅσα δὲ μὴ ἔχει, ταῦτ' ἄγονα. εἰ δὲ καὶ ἐπ' ἄλλου τινὸς τοῦτο συμβαίνει τῶν ἀνθοφόρων, ὥστε † ἄσπορον ἄνθος φύειν, εἴτε † κεχωρισμένον, εἴτε μή, σκεπτέον. ἐπεὶ γένη γε ἔνια καὶ ἀμπέλου καὶ ῥοᾶς ἀδυνατεῖ τελεοκαρπεῖν. ἀλλὰ μέχρι τοῦ ἄνθους ἡ γένεσις. γίνεται δὲ καὶ τὸ τῆς ῥοᾶς ἄνθος πολὺ, καὶ πυκνόν· καὶ ὅλος ὁ ὄγκος πλατύς, ὥσπερ ὁ τῶν ῥόδων. κάτωθεν δ' ἕτερος, * δι' ὢν ὡς μικρὸν ὥσπερ ἐκτετραμμένοι κύτινοι ἔχον τὰ ἄνω μυχώδη. φασὶ δέ τινες, καὶ τῶν ὁμοιογενῶν τὰ μὲν ἀνθεῖν, τὰ δ' οὔ· καθάπερ τῶν φοινίκων τὸν μὲν ἄρρενα ἀνθεῖν, τὸν δὲ θῆλυν οὐκ ἀνθεῖν, ἀλλ' εὐθὺς προφαίνειν τὸν καρπόν. τὰ μὲν οὖν τῷ γένει τοιαύτην τὴν διαφορὰν ἔχει, καθάπερ ὅλως ὅσα μὴ δύναται τελεοκαρπεῖν. ἡ δὲ τοῦ ἄνθους φύσις ὅτι πλείους ἔχει διαφοράς, φανερὸν ἐκ τῶν προειρημένων.

23 Διαφέρει δὲ τὰ δένδρα καὶ τοῖς βλαστοῖς κατὰ τὴν καρποτοκίαν. τὰ μὲν γὰρ ἐκ τῶν νέων † βλαστῶν φέρει, τὰ δ' ἐκ τῶν ἕνων, τὰ δ' ἐξ ἀμφοτέρων. ἐκ μὲν τῶν νέων, συκῆ, ἄμπελος. ἐκ δὲ τῶν ἕνων, ἐλαία, ῥοά, μηλέα, ἀμυγδαλῆ, ἄπιος, μύρρινος, καὶ σχεδὸν τὰ τοιαῦτα· πάντα γὰρ ἐκ τῶν ἕνων. ἐὰν δὲ ἄρα τι συμβῇ κυῆσαι, καὶ ἀνθῆσαι (γίνεται γὰρ καὶ τοῦτο ἐνίοις, ὥσπερ καὶ περὶ μυρρίνους, καὶ μάλιστα, ὡς εἰπεῖν, περὶ τὰς βλαστήσεις, τὰς μετ' ἀρκτοῦρον) οὐ δύνανται τελεοῦν, ἀλλ' ἡμιγενῆ φθείρεται. ἐξ ἀμφοτέρων

ἐν πυρῆνι τὸ σαρκῶδες ἔχοντα, καθάπερ ἐλαίας, καὶ δαφνίδες, καὶ ἄλλων· τῶν δὲ ἐν πυρῆνι μόνον, ἢ πυρηνώδη γε, καὶ ὥσπερ ξηρά, καθάπερ τὰ κνικώδη, καὶ κεγχραμιδώδη, καὶ πολλὰ τῶν λαχανηρῶν· ἐμφανέστατα δὲ τὰ τοῦ φοίνικος. οὐδὲ γὰρ κοιλότητα ἔχει ταῦτα οὐδεμίαν, ἀλλ᾽ † ὅλον ἔξωθεν. οὐ μὴν ἀλλ᾽ ὑγρότης δή τις καὶ θερμότης ὑπάρχει δηλονότι καὶ τούτοις, καθάπερ εἴπομεν. ὅπῃ διαφέρουσι δὲ καὶ τῷ, τὰ μὲν ἀθρόα μετ᾽ ἀλλήλων εἶναι, τὰ δὲ διεστῶτα καὶ χωρίς. ὥσπερ τὰ τῆς κολοκύντης, καὶ σικύας· καὶ τῶν δένδρων, ὥσπερ συκῆς, μηλέας. καὶ τῶν ἀθρόων, τὰ μὲν ἔν τινι περιέχεσθαι, καθάπερ τὰ τῆς ῥοᾶς, καὶ τῆς ἀπίου, καὶ μηλέας, καὶ τῆς ἀμπέλου, καὶ συκῆς. τὰ δὲ μετ᾽ ἀλλήλων μὲν εἶναι, μὴ περιέχεσθαι δὲ ὑφ᾽ ἑνός, ὥσπερ τὰ σταχυηρὰ τῶν ἐπετείων· εἰ μή τις θείη τὸν στάχυν, ὡς περιέχον. οὕτω δ᾽ ἔσται καὶ ὁ βότρυς, καὶ τ᾽ ἄλλα τὰ βοτρυώδη· καὶ ταῦτα δὴ φέρει δι᾽ εὐβοσίαν καὶ χώρας ἀρετὴν ἀθρόους τοὺς καρπούς, ὥσπερ ἐν Συρίᾳ φασὶ καὶ ἄλλοθι τὰς ἐλαίας. ἀλλὰ καὶ αὕτη δοκεῖ τις εἶναι διαφορά, τῷ τὰ μὲν ἀφ᾽ ἑνὸς μίσχου καὶ μιᾶς προσφύσεως ἀθρόα γίνεσθαι, καθάπερ ἐπί τε τῶν βοτρυωδῶν καὶ σταχυηρῶν εἴρηται, μὴ περιεχόμενα κοινῷ τινι γίνεσθαι· τὰ δέ, μὴ γίνεσθαι. ἔπει καθ᾽ ἕκαστόν γε λαμβάνοντι τῶν σπερμάτων ἢ τῶν περιεχόντων, ἰδίαν ἀρχὴν ἔχει τῆς προσφύσεως· οἷον ἥ τε * σάρξ, καὶ ἡ ῥοιά· καὶ πάλιν ὁ πυρός, καὶ ἡ κριθή, καὶ ὁ πυρήν. ῥοά ἥκιστα δ᾽ ἂν δόξειεν τὰ τῶν μήλων καὶ τὰ τῶν ἀπίων, ὅποι συμψαύει τε καὶ περιείληπται, καθάπερ ὑμένι τινὶ δερματικῷ, περὶ ὃν τὸ περικάρπιον. ἀλλ᾽ ὅμως καὶ τούτων ἕκαστον, ἰδίαν ἀρχὴν ἔχει καὶ φύσιν. φανερώτατα δέ, τῷ κεχωρίσθαι, τὰ τῆς ῥοιᾶς· ὁ γὰρ πυρὴν ἑκάστου προσπέφυκεν, οὐχ ὥσπερ τῶν συκῶν ἄδηλα, διὰ τὴν ὑγρότητα. καὶ γὰρ ταῦτα ἔχουσι διαφοράν, καίπερ ἀμφότερα περιεχόμενα σαρκώδει τινί, καὶ τῷ τοῦτο περιειληφότι μετὰ τῶν ἄλλων. τὸ μὲν γὰρ περὶ ἕκαστον ἔχει τὴν πυρῆνα, τὸ σαρκῶδες τοῦτο τὸ ὑγρόν. αἱ δὲ κεγχραμίδες ὥσπερ κοινόν τι πᾶσι, καθάπερ καὶ τὸ γίγαρτον, καὶ ὅσα τὸν αὐτὸν ἔχει τρόπον. ἀλλὰ τὰς μὲν τοιαύτας διαφορὰς τάχ᾽ ἄν τις λάβοι πλείους, ὧν δεῖ τὰς κυριωτάτας καὶ μάλιστα τῆς φύσεως μὴ ἀγνοεῖν. αἱ δὲ κατὰ χυλοὺς καὶ τὰ σχήματα καὶ τὰς ὅλας μορφάς, σχεδὸν φανεραὶ πᾶσιν, ὥστε μὴ δεῖσθαι λόγου, πλὴν τοσοῦτον, ὅτι σχῆμα οὐδὲν περικάρπιον εὐθύγραμμον, οὐδὲ γωνίας ἔχει. Τῶν δὲ χυλῶν οἱ μέν εἰσιν † ἰνάδεις, ὥσπερ ἀμπέλου, συκαμίνου, μύρτου· οἱ δὲ ἐλαιώδεις, ὥσπερ ἐλαίας, δάφνης, καρύας, ἀμυγδαλῆς, πεύκης, πίτυος, ἐλάτης· οἱ δὲ μελιτώδεις, οἷον σύκου, φοίνικος, δρυός, βαλάνου· οἱ δὲ δριμεῖς, οἷον ὀριγάνου, θύμβρας, καρδάμου, νάπυος· οἱ δὲ πικροί, ὥσπερ ἀψινθίου, κενταυρίου. 19 οἰνάδεις διαφέρουσι δὲ καὶ ταῖς εὐωδίαις· οἷον ἀννήσου, κέδριδος. ἐνίων δὲ ὑδαρεῖς ἂν δόξειεν, οἷον οἱ τῶν κοκκυμηλίων· οἱ δὲ ὀξεῖς, ὥσπερ ῥοῶν, καὶ ἐνίων μήλων. ἁπάντων δὲ † ἰνώδεις καὶ τοὺς ἐν τούτῳ τῷ γένει θετέον. ἄλλοι δὲ ἐν ἄλλοις εἴδεσιν· ὑπὲρ ὧν ἁπάντων ἀκριβέστερον ἐν τοῖς περὶ χυλῶν ῥητέον, αὐτάς τε τὰς ἰδέας διαριθμουμένους ὁπόσαι, καὶ τὰς πρὸς ἀλλήλους διαφοράς, καὶ τίς ἡ ἑκάστου φύσις καὶ δύναμις. οἰνώδεις ἔχει δὲ καὶ ἡ τῶν δένδρων αὐτῶν ὑγρότης, ὥσπερ ἐλέχθη, διαφορὰ εἴδη. ἡ μὲν γάρ ἐστιν ὀπώδης, ὥσπερ ἡ τῆς συκῆς, καὶ τῆς μήκωνος· ἡ δὲ πιττώδης, οἷον † ἐλαίας, τῆς πεύκης, τῶν κωνοφόρων. ἄλλη δ᾽ ὑδαρής, οἷον ἀμπέλου, ἀπίου, μηλέας· καὶ τῶν λαχανωδῶν δέ, οἷον σικύου, κολοκύντης, θριδακίνης. ἐλάτης αἱ δὲ ἤδη δριμύτητά τινα ἔχουσι, καθάπερ ἡ τοῦ θύμου, καὶ θύμβρας. αἱ δὲ καὶ εὐωδίαν, ὥσπερ αἱ τοῦ σελίνου, ἀνήθου, μαράθου, καὶ τῶν τοιούτων. ὡς δ᾽ ἁπλῶς εἰπεῖν, ἅπασαι κατὰ τὴν ἰδίαν φύσιν ἑκάστου δένδρου, καὶ (ὡς καθόλου εἰπεῖν) φυτοῦ. πᾶν γὰρ ἔχει κρᾶσιν τινὰ καὶ μῖξιν ἰδίαν, † εἴπερ οἰκεία δηλονότι τυγχάνει τοῖς ὑποκειμένοις καρποῖς· ὧν τοῖς πλείστοις συνεμφαίνεταί τις ὁμοιότης, οὐκ ἀκριβὴς, οὐδ᾽ ἐπιφανής· ἀλλ᾽ ἐν τοῖς περικαρπίοις, ἅπερ διὸ μᾶλλον κατεργασίαν λαμβάνει καὶ πέψιν καθαρὰν καὶ εἰλικρινῆ ἡ τοῦ χυλοῦ φύσις. δεῖ γάρ, ὥσπερ τὸ μὲν ὕλην ὑπολαβεῖν, τὸ δὲ εἶδος καὶ μορφήν· ἔχει δὲ αὐτὰ τὰ σπέρματα, καὶ οἱ χιτῶνες οἱ περὶ αὐτά, διαφορὰν τῶν χυλῶν. ὡς δ᾽ ἁπλῶς εἰπεῖν, ἅπαντα τὰ μόρια τῶν δένδρων καὶ τῶν φυτῶν, οἷον ῥίζα, καυλός, ἀκρέμων, φύλλον, καρπός, ἔχει τινὰ οἰκειότητα πρὸς τὴν ὅλην φύσιν· εἰ δὲ παραλλάττει κατά τε τὰς ὀσμάς, καὶ τοὺς χυλούς, ὡς τὰ μὲν εὔοσμα καὶ εὔχυλα, τὰ δὲ ἄοσμα καὶ ἄχυλα παντελῶς εἶναι τῶν τοῦ αὐτοῦ μορίων. ἐνίων γὰρ εὔοσμα τὰ ἄνθη μᾶλλον ἢ τὰ φύλλα· τῶν δὲ ἀνάπα-

παλιούρου, καὶ τὰ τῶν ἄλλων· ἀκανθώδης δὲ ἐκ τῶν ἄκρων, ἐπὶ τὸ τῆς πεύκης, καὶ πίτυος, καὶ ἐλάτης, ἔτι δὲ κέδρου, καὶ κεδρίας· φυλλάκανθον δ' ὅλως ἐν μὲν τοῖς δένδροις οὐκ ἔστιν οὐδέν, ὧν ἡμεῖς ἴσμεν. ἐν δὲ τοῖς ἄλλοις ὑλήμασιν ἐστίν· οἷον ἥ τε ἄκορνα, καὶ ἡ δρυπὶς, καὶ ὁ ἄκανθος, καὶ σχεδὸν ἅπαν τὸ τῶν ἀκανθωδῶν γένος· ὥσπερ γὰρ φύλλον ἐστὶν ἄκανθα πᾶσιν. εἰ δὲ μὴ φύλλα τις ταῦτα θήσει, συμβαίνοι ἂν, ὅλως ἄφυλλα εἶναι· ἐνίοις δὲ ἀκάνθας μὲν εἶναι, φύλλον δὲ ὅλως οὐκ ἔχειν, καθάπερ ὁ ἀσπάραγος. πάλιν δὲ, ὅτι τὰ μὲν ἄμισχα, καθάπερ τὰ τῆς σκίλλης, καὶ τοῦ βολβοῦ· τὰ δὲ ἔχοντα μίσχον. καὶ τὰ μὲν μακρὸν, οἷον ἡ ἄμπελος, καὶ ὁ κιττός· τὰ δὲ βραχὺν, καὶ οἷον † ἐμπεφυκότα, καθάπερ ἐλαία, καὶ οὐχ ὥσπερ ἡ τῆς πλατάνου καὶ τῆς ἀμπέλου προσηρτημένον.

† ἐμπεπτωκότα

διαφορὰ δὲ, καὶ τὸ μὴ ἐκ τῶν αὐτῶν εἶναι τὴν πρόσφυσιν· ἀλλὰ τοῖς μὲν πλείοσιν ἐκ τῶν κλαδῶν, τοῖς δὲ καὶ ἐκ τῶν ἀκρεμόνων. τῆς δρυὸς δὲ, καὶ ἐκ τοῦ στελέχους. τῶν δὲ λαχανωδῶν τοῖς πολλοῖς εὐθὺς ἐκ τῆς ῥίζης, οἷον κρομμύου, σκόρδου, κιχωρίου, ἔτι δὲ ἀσφοδέλου, σκίλλης, βολβοῦ, σισυριγχίου καὶ ὅλως, τῶν βολβωδῶν. καὶ τούτων δὲ, οὐχ ἡ πρώτη μόνον ἔκφυσις, ἀλλὰ καὶ ὅλος ὁ καυλὸς ἄφυλλος. ἐνίων δ' ὅταν γένηται φύλλα, εἰκός· οἷον θριδακίνης, ὠκίμου, σελίνου, καὶ τῶν σιτηρῶν ὁμοίως. ἔχει δ' ἔνια τούτων καὶ τὸν καυλὸν * εἶτ' ἀκανθίζοντα, ὡς ἡ θριδακίνη. καὶ τὰ φύλλα ἀκανθώδη πάντα· καὶ τῶν θαμνωδῶν, καὶ ἔτι δὲ μᾶλλον, οἷον βάτος, παλίουρος. κοινὴ δὲ διαφορὰ πάντων ὁμοίως δένδρων, καὶ τῶν ἄλλων, ὅτι τὰ μὲν πολύφυλλα, τὰ δ' ὀλιγόφυλλα· ὡς δ' ἐπὶ τὸ πᾶν, τὰ πλατύφυλλα, τὰ ὀξύφυλλα, καθάπερ μύρρινος. τὰ δὲ ἄτακτα, καὶ ὡς ἔτυχε, καθάπερ σχεδὸν τὰ πλεῖστα τῶν ἄλλων ἐστίν. ἴδιον δὲ ἐπὶ τῶν λαχανωδῶν, οἷον κρομμύου, γηθύου, τὸ κοιλόφυλλον. ἁπλῶς δὲ αἱ διαφοραὶ τῶν φύλλων, ἢ μεγέθει, ἢ πλήθει, ἢ σχήματι, ἢ πλατύτητι, ἢ κοιλότητι, ἢ στενότητι, ἢ τραχύτητι, ἢ λειότητι· καὶ τῷ παρακανθίζειν, ἢ μή. ἔτι δὲ κατὰ τὴν πρόσφυσιν, ὅθεν, ἢ δι' οὗ· τὸ μὲν ὅθεν, ἀπὸ ῥίζης, ἢ κλάδου, ἢ καυλοῦ, ἢ ἀκρέμονος· τὸ δὲ δι' οὗ, ἢ διὰ μίσχου, ἢ δι' αὐτοῦ. καὶ εἰ δὴ πολλὰ ἐκ τοῦ αὐτοῦ. καὶ ἔνια καρποφόρα, μεταξὺ περιειληφότα τὸν καρπόν· ὥσπερ ἡ ἀλεξανδρεία δάφνη, ἐπιφυλλόκαρπος. αἱ μὲν οὖν διαφοραὶ τῶν φύλλων κοινοτέρως πᾶσαι εἴρηνται, καὶ σχεδόν εἰσιν ἐν τούτοις.

17 Σύγκειται δὲ τὰ μὲν ἐξ ἰνὸς, καὶ φλοιοῦ, καὶ σαρκός· οἷον τὰ τῆς συκῆς, καὶ ἀμπέλου. τὰ δὲ ὥσπερ ἐξ ἰνὸς μόνον· οἷον τοῦ καλάμου, καὶ σίτου. τὸ δὲ ὑγρὸν ἁπάντων κοινόν· ἅπασι γὰρ ἐνυπάρχει καὶ τούτοις, καὶ τοῖς ἄλλοις τοῖς ἐπετείοις, μίσχος, ἄνθος, καρπὸς, εἴ τι ἄλλο. μᾶλλον δὲ, καὶ τοῖς μὴ ἐπετείοις· οὐδὲν γὰρ ἄνευ τούτου. δοκεῖ δὲ καὶ τῶν μίσχων τὸ μὲν ἐξ ἰνῶν μόνον συγκεῖσθαι, + καθάπερ τὰ τοῦ σίτου, καὶ τοῦ καλάμου· τὰ δὲ ἐκ τῶν αὐτῶν, ὥσπερ οἱ καυλοί. τῶν δὲ ἀνθῶν, τὸ μὲν ἐκ φλοιοῦ, καὶ φλεβὸς, καὶ σαρκὸς † μόνον· οἷον τὰ ἐν μέσῳ τῶν αἰρῶν. ὁμοίως δὲ καὶ ἐπὶ τῶν † σαρκῶν. ὁ μὲν γὰρ, ἐκ σαρκὸς καὶ ἰνός· οἱ δὲ, ἐκ σαρκὸς μόνον· οἱ δὲ, καὶ ἐκ δέρματος συγκεῖνται. τὸ δὲ ὑγρὸν ἀκολουθεῖ καὶ τούτοις· ἐκ σαρκὸς μὲν καὶ ἰνὸς, τὸ τῶν κοκκυμήλων, καὶ σικύων· ἐξ ὑγροῦ δὲ καὶ δέρματος, τὸ τῶν συκαμίνων, καὶ τῆς ῥοᾶς. ἄλλοι δὲ κατ' ἄλλον τρόπον μεμερισμένοι. πάντων δὲ, ὡς εἰπεῖν, τὸ μὲν ἔξω φλοιός, τὸ δ' ἐντὸς σάρξ· τῶν δὲ, καὶ πυρήν.

+ τὸ δὲ ἐκ σαρκὸς μόνον

† καρπῶν

18 Ἔσχατον δ' ἐν ἅπασι τὸ σπέρμα. τοῦτο δὲ ἔχον ἐν ἑαυτῷ ὑγρὸν καὶ θερμὸν σύμφυτον· ὧν ἐκλειπόντων, ἄγονα, καθάπερ τὰ ᾠά. καὶ τῶν μὲν εὐθὺς τὸ σπέρμα μετὰ τὸ περιέχον, οἷον φοίνικος, καρύου, ἀμυγδάλης. πλείω δὲ τούτων τὰ ἐμπεριέχοντα, ὡς τὰ τοῦ φοίνικος. τῶν δὲ μεταξὺ, σάρξ, καὶ πυρήν· ὥσπερ ἐλαίας, καὶ κοκκυμηλέας, καὶ ἑτέρων. ἔνια δὲ καὶ ἐν λοβῷ, τὰ δ' ἐν ὑμένι, τὰ δ' ἐν ἀγγείῳ. τὰ δὲ καὶ γυμνόσπερμα τελείως. ἐν λοβῷ μὲν οὖν μόνον τὰ ἐπέτεια, καθάπερ τὰ χεδροπά, καὶ ἕτερα πλείω τῶν ἀγρίων. ἀλλὰ καὶ τῶν δένδρων ἔνια, καθάπερ ἥ τε κερωνία (ἥν τινα καλοῦσι συκῆν αἰγυπτίαν) καὶ ἡ † κερκὶς, καὶ ἡ κολουτία περὶ Λιπάραν. ἐν ὑμένι δ' ἔνια τῶν ἐπετείων· ὥσπερ ὁ πυρὸς, καὶ ἡ κέγχρος. ὡσαύτως δὲ καὶ ἔνια ἀγγειοσπέρματα, καὶ γυμνοσπέρματα. ἀγγειοσπέρματα μὲν, οἷον ἥ τε μήκων, καὶ ὅσα μήκωνι· ἐπεὶ γὰρ σήσαμον ἰδιωτέρως. γυμνοσπέρματα δὲ, τῶν τε λαχάνων πολλά, καθάπερ ἄνηθον, κορίαννον, κύμινον, μάραθρον, καὶ ἕτερα πλείω. τῶν δὲ δένδρων οὐδὲν γυμνόσπερμον, ἀλλ' ἢ σαρκὶ περιεχόμενον, ἢ δέρμασιν, τὰ μὲν σπερματικοῖς, ὥσπερ ἡ βάλανος καὶ τὸ εὐβοϊκόν, τὰ δὲ ξυλώδεσιν, ὥσπερ ἡ ἀμυγδάλη καὶ τὸ κάρυον. οὐδὲν δὲ ἐν ἀγγειόσπερμον, εἰ μή τις τὸν κῶνον ἀγγεῖον θήσει, διὰ τὸ χωρίζεσθαι τῶν καρπῶν. αὐτὰ δὲ τὰ σπέρματα, τῶν μὲν εὐθὺς σαρκώδη, καθάπερ ὅσα καρυηρὰ καὶ βαλανηρά· τῶν δὲ

† κερκὶς

ἐν

κατωτέρω δ' ἐν τῷ Δέλτα, μικρὸν πάνυ χρόνον διαλείπει, τὸ μὴ ἀεὶ βλαστάνειν. ἐν Κρήτῃ δὲ λέγεται πλάτανόν τινα εἶναι ἐν τῇ Γορτυναίᾳ, πρὸς †σκηνῇ τινι, ἣ οὐ φυλλοβολεῖ. μυθολογοῦσι δὲ, κρήνῃ ὡς ὑπὸ ταύτῃ ἐμίγη τῇ Εὐρώπῃ ὁ Ζεύς. τὰς δὲ πλησίον πάσας, φυλλοβολεῖν. ἐν δὲ Συβάρει, δρῦς ἐστιν, εὐσύνοπτος ἐκ τῆς πόλεως, ἣ οὐ φυλλοβολεῖ· φασὶ δὲ οὐ βλαστάνειν αὐτὴν ἅμα ταῖς ἄλλαις, ἀλλὰ μετὰ κύνα. λέγεται δὲ καὶ ἐν Κύπρῳ πλάτανος εἶναι τοιαύτη. φυλλοβολεῖ δὲ πάντα τὸ μετόπωρον, καὶ μετὰ τὸ μετόπωρον· πλὴν τὸ μὲν θᾶττον, τὸ δὲ βραδύτερον, ὥστε καὶ τοῦ χειμῶνος ἐπιλαμβάνειν. οὐκ ἀνάλογον δὲ αἱ φυλλοβολίαι ταῖς βλαστήσεσιν, ὥστε τὰ πρότερον βλαστήσαντα φυλλοβολεῖν· ἀλλ' ἔνια πρωῒ βλαστάνει μὲν, οὐδὲν δὲ προτερεῖ τῶν ἄλλων, ἀλλὰ καὶ ἐνίων καὶ ὑστερεῖ· καθάπερ ἡ ἀμυγδαλῆ. τὰ δὲ ὀψιβλαστεῖ μὲν, οὐδὲν δὲ, ὡς εἰπεῖν, ὕστερον τῶν ἄλλων, ὥσπερ ἡ συκάμινος. δοκεῖ δὲ καὶ ἡ χώρα συμβάλλεσθαι, καὶ ὁ τόπος ὁ ἔνικμος, πρὸς τὸ διαμένειν. τὰ γὰρ ἐν τοῖς ξηροῖς, καὶ ὅλως λεπτογείοις, πρότερα φυλλοβολεῖ, καὶ τὰ πρεσβύτερα δὲ τῶν νέων. ἔνια δὲ καὶ πρὸ τοῦ πεπᾶναι τὸν καρπὸν, ἀποβάλλει τὰ φύλλα· καθάπερ αἱ ὄψιμαι συκαῖ, καὶ ἀχράδες. τῶν δ' ἀειφύλλων ἡ ἀποβολὴ καὶ ἡ αὔανσις κατὰ μέρος. οὐ γὰρ δὴ ταὐτὰ αἰεὶ διαμένει· ἀλλὰ τὰ μὲν βλαστάνει, τὰ δ' ἀφαυαίνεται. τοῦτο δὲ περὶ τροπὰς μάλιστα γίνεται θερινάς. εἰ δέ τινων καὶ μετ' ἀρκτοῦρον, ἢ καὶ κατ' ἄλλην ὥραν, ἐπισκεπτέον. καὶ τὰ μὲν περὶ τῆς φυλλοβολίας, οὕτως ἔχει.

Τὰ δὲ φύλλα τῶν μὲν ἄλλων δένδρων ὅμοια πάντων αὐτὰ ἑαυτοῖς. τῆς δὲ 16 λεύκης, καὶ τοῦ κιττοῦ, καὶ τῆς καλουμένης κρότωνος, ἀνόμοια, καὶ ἑτεροσχήμονα. τὰ μὲν γὰρ νέα, περιφερῆ· τὰ δὲ παλαιότερα, γωνιοειδῆ. καὶ εἰς τοῦτο ἡ μετάστασις πάντων. τοῦ δὲ κιττοῦ, ἀνάπαλιν. νέου μὲν ὄντος, ἐγγωνιώτερα· πρεσβυτέρου δὲ, περιφερέστερα. μεταβάλλει γὰρ καὶ οὗτος. ἴδιον δὲ καὶ τὸ τῆς ἐλαίας, καὶ τὸ τῆς φιλύρας, καὶ τῆς πτελέας, καὶ τῆς λεύκης συμβαῖνον· στρέφειν γὰρ δοκοῦσι τὰ ὕπτια μετὰ τροπὰς θερινάς. καὶ τούτῳ γνωρίζουσιν, ὅτι γεγένηνται τροπαί. πάντα δὲ τὰ φύλλα διαφέρει, καὶ τὰ ὕπτια καὶ τὰ πρανῆ. καὶ τῶν μὲν ἄλλων τὰ ὕπτια ποωδέστερα, καὶ λειότερα· τὰς γὰρ ἶνας καὶ τὰς φλέβας ἐν τοῖς πρανέσιν ἔχουσιν, ὥσπερ ἡ χείρ. τῆς δ' ἐλαίας λευκότερα, καὶ ἧττον λεῖα. λεῖα δὲ καὶ τὰ τοῦ κιττοῦ. πάντα δὲ, ἢ τά γε πλεῖστα, ἐκφανῆ ἔχει τὰ ὕπτια· καὶ ταῦτα γίνεται τῷ ἡλίῳ φανερά, καὶ στρέφεται τὰ πολλὰ πρὸς τὸν ἥλιον. διὸ καὶ οὐ ῥᾴδιον εἰπεῖν, ὁπότερον πρὸς τῷ κλωνὶ μᾶλλόν ἐστιν. ἡ μὲν γὰρ ὑπτιότης, μᾶλλον δοκεῖ ποιεῖν τὸ πρανές· ἡ δὲ φύσις, οὐχ ἧττον βούλεται τὸ ὕπτιον· ἄλλως τε καὶ ἡ ἀνάπλασις διὰ τὸν ἥλιον. ἴδοι δ' ἄν τις, ὅσα πυκνὰ καὶ κατάλληλα, καθάπερ ἡ τῶν μυρρίνων. οἴονται δέ τινες καὶ τὴν †στροφὴν τῶν ὑπτίων διὰ τῶν πρανῶν εἶναι, διὰ τὸ ἔνικμον ἀεὶ τοῦτο καὶ χνοῶδες εἶναι· οὐ καλῶς λέγοντες. τροφὴν + ἀλλὰ τοῦτο μὲν ἴσως συμβαίνει χωρὶς τῆς ἰδίας φύσεως, καὶ διὰ τὸ μὴ ὁμοίως ἀλλοιοῦσθαι. ἡ δὲ †στροφὴ διὰ τῶν φλεβῶν ἢ ἰνῶν ὁμοίως ἀμ- τροφὴ + φοτέροις δ' ἐκ θατέρου εἰς θάτερον, οὐκ εὔλογον, μὴ ἔχοντι πόρους, μηδὲ βάθος δ' οἷον. ἀλλὰ περὶ μὲν τροφῆς, διὰ τίνων, ἕτερος λόγος.

Διαφέρουσι δὲ καὶ τὰ φύλλα πλείοσι διαφοραῖς. τὰ μὲν γάρ ἐστι πλατύφυλλα, καθάπερ ἄμπελος, συκῆ, πλάτανος· τὰ δὲ στενόφυλλα, καθάπερ ἐλαία, ῥοιά, μύρρινος· τὰ δ' ὥσπερ ἀκανόφυλλα, καθάπερ πεύκη, πίτυς, κέδρος· τὰ δ' οἷον σαρκόφυλλα (τοῦτο δ' ὅτι σαρκώδες ἔχουσι τὸ φύλλον) οἷον κυπάριττος, μυρίκη, μηλέα· τῶν δὲ φρυγανικῶν, κνέωρος, στοιβή· καὶ τῶν ποωδῶν, ἀείζωον, πόλιον· τοῦτο δὲ καὶ πρὸς τοὺς σῆτας τοὺς ἐν τοῖς ἱματίοις, ἀγαθόν. τὰ γὰρ αὖ τοῦ τευτλίου, ἢ ῥαφανίδων, ἄλλον τρόπον σαρκώδη, καὶ τὰ τοῦ πηγανίου καλουμένου· ἐν πλάτει γὰρ, καὶ οὐκ ἐν στρογγυλότητι, τὸ σαρκῶδες. καὶ τῶν θαμνωδῶν δὲ ἡ μυρίκη, σαρκῶδες τὸ φύλλον ἔχει. ἔνια δὲ καὶ καλαμόφυλλα, καθάπερ ὁ φοῖνιξ, καὶ ὁ κόιξ, καὶ ὅσα τοιαῦτα. ταῦτα δὲ, ὡς καθόλου εἰπεῖν, γωνιόφυλλα. καὶ γὰρ ὁ κάλαμος, καὶ ἡ κύπειρος, καὶ ὁ βούτομος, καὶ τἄλλα δὲ τῶν λιμνωδῶν, τοιαῦτα. πάντα δὲ ὥσπερ ἐκ δυεῖν συνθέτα, καὶ τὸ μέσον οἷον ῥόπις· ὅθεν τοῖς ἄλλοις μέγας πόρος ὁ μέσος. Διαφέρουσι δὲ καὶ τοῖς σχήμασι· τὰ μὲν γὰρ περιφερῆ, καθάπερ τὰ τῆς ἀπίου· τὰ δὲ προμηκέστερα, καθάπερ τὰ τῆς μηλέας· τὰ δὲ εἰς ὀξὺ προήκοντα, καὶ παραγωνίζοντα, καθάπερ τὰ τῆς σμίλακος. καὶ τὰ μὲν ἐσχισμένα, καὶ οἷον πριονώδη· καθάπερ τὰ τῆς ἐλάτης, καὶ τὰ τῆς πτελέας. τρόπον δέ τινα σχιστὰ καὶ τὰ τῆς ἀμπέλου, καὶ τὰ τῆς συκῆς (ὥσπερ ἂν εἴποι τις) σκολοπώδη. ἔνια δὲ καὶ ἐντομὰς ἔχοντα, καθάπερ τὰ τῆς πτελέας, καὶ τὰ τῆς ἡρακλεωτικῆς, καὶ τῆς δρυός. τὰ δὲ καὶ παρακανθίζοντα καὶ ἐκ τοῦ ἄκρου καὶ ἐκ τῶν πλαγίων· οἷον τὰ τῆς πρίνου, τὰ τῆς δρυός, καὶ σμίλακος, καὶ βάτου, καὶ

πάλι

ξος, λεπτός. εἰσὶ δὲ τῶν μὲν ἄτακτοι, καὶ ὡς ἔτυχεν, οἱ ὄζοι· τῶν δὲ τεταγμένοι, καὶ τοῖς διαστήμασι καὶ τῷ πλήθει, καθάπερ εἴρηται. διὸ καὶ ἀξιολογώτατα ταῦτα καλοῦσι. τῶν μὲν γὰρ οἷον διίσου, τῶν δὲ μεῖζον ἀεὶ τὸ πρὸς τῷ πάχει, καὶ ὥσπερ κατὰ λόγον, ὅπερ μάλιστα ἔνδηλον καὶ ἐν τοῖς κοτίνοις καὶ ἐν τοῖς καλάμοις. τὸ γὰρ γόνυ, καθάπερ ὄζος. καὶ οἱ μὲν κατ' ἀλλήλους, ὥσπερ οἱ τῶν κοτίνων· οἱ δ' ὡς ἔτυχεν. ἔστι δὲ τὰ μὲν δίοζα, τὰ δὲ τρίοζα, τὰ δὲ πλείους ἔχοντα. ἔνια δὲ πεντάοζά ἐστι. καὶ τῆς μὲν ἐλάτης, ὀρθοὶ καὶ οἱ ὄζοι, καὶ οἱ κλάδοι, ὥσπερ ἐμπεπηγότες· τῶν δ' ἄλλων, οὔ. διὸ καὶ ἰσχυρότατον ἡ ἐλάτη. ἰδιώτατοι δὲ οἱ τῆς μηλέας· ὅμοιοι γὰρ θηρίων προσώποις, εἷς μὲν ὁ μέγιστος, ἄλλοι δὲ περὶ αὐτὸν μικροὶ πλείους.

εἰσὶ δὲ τῶν ὄζων οἱ μὲν τυφλοί, οἱ δὲ γόνιμοι. λέγω δὲ τυφλούς, ἀφ' ὧν μηδεὶς βλαστός ἐστι. δὲ καὶ φύσει καὶ πηρώσει γίνονται. ἢ ὅταν ἡ μὴ λυθῇ, καὶ ἐκβιάζηται, καὶ ἢ ἀποκοπῇ, καὶ οἷον ἀποκαυθεὶς πηρωθῇ. γίνονται δὲ μᾶλλον ἐν τοῖς πάχεσι τῶν ἀκρεμόνων· ἐνίων δὲ καὶ ἐν τοῖς στελέχεσιν. ὅλως δέ, καὶ τοῦ στελέχους καὶ τοῦ κλάδου καθὸ ἂν ἐπικόψῃ ἢ ἐπιτέμῃ τις, ὄζος γίνεται· καθάπερ ἂν διαιρῶν τὸ ἓν, καὶ ποιῶν ἑτέραν ἀρχήν, εἴτε διὰ τὴν πήρωσιν, εἴτε δι' ἄλλην αἰτίαν. οὐ γὰρ δὴ κατὰ φύσιν τὸ ὑπὸ τῆς πληγῆς. ἀεὶ δὲ ἐν ἅπασιν οἱ κλάδοι φαίνονται πολυοζότεροι, διὰ τὸ μήπω ἀνὰ μέσον προσκυζᾶσθαι· καθάπερ καὶ τῆς συκῆς οἱ νεόβλαστοι, τραχύτατοι· καὶ τῆς ἀμπέλου τὰ ἄκρα τῶν κλημάτων. ὡς γὰρ ὁ ὄζος ἐν τοῖς ἄλλοις, οὕτω καὶ ὀφθαλμὸς ἐν ἀμπέλῳ, καὶ ἐν καλάμῳ γόνυ. φύονται δὲ καὶ οἷον κράδαι γίνονται· καθάπερ πτελέα, καὶ δρῦς, καὶ μάλιστα ἐν πλατάνῳ. ἐὰν δὲ ἐν τραχέσι, καὶ ἀνύδροις, καὶ πνευματώδεσι, καὶ παντελῶς. πάντως δ' ὁ πρὸς τῇ γῇ, καὶ οἷον τῇ κεφαλῇ τοῦ στελέχους ἀπογηράσκον, τῶν παχυτέρων γίνεται. ἔνια δὲ καὶ ἰχθῦς καλουμένους ὑπό τινων ἢ γόγγρους, ἢ τὸ ἀνάλογον· οἷον ἡ ἐλαία. κυριώτατον γὰρ ἐπὶ ταύτης ἐστὶ τοὔνομα, καὶ πάσχειν δοκεῖ μάλιστα τὸ εἰρημένον. καλοῦσι δ' ἔνιοι τοῦτο πρέμνον, οἱ δὲ κροτώνην, οἱ δὲ ἄλλο ὄνομα. τοῖς δ' εὐθέσι καὶ μονορρίζοις, καὶ ἀπαραβλάστοις, οὐ γίνεται τὸ ὅλως, ἢ ἧττον.

\+ * φοῖνιξ δὲ παραβλαστικόν. ἡ δ' ἐλαία, καὶ ὁ κότινος, καὶ τὰς κοιλότητας ἰδίας ἔχουσι, τὰς ἐν τοῖς στελέχεσιν.

14 ἔστι μὲν οὖν τὰ μὲν εἰς μῆκος αὐξητικὰ μάλιστα μόνα, οἷον ἐλάτη, φοῖνιξ, κυπάριττος· καὶ ὅλως τὰ μονοστελέχη, καὶ ὅσα μὴ πολύρριζα, μηδὲ πολύκλαδα· τὰ δὲ, ὁμοίως τούτοις ἀναλόγως, καὶ εἰς βάθος. ἔνια δὲ εὐθὺς σχίζεται, οἷον ἡ μηλέα. τὰ δὲ πολύκλαδα, καὶ μᾶλλον τὸν ὄγκον ἔχει τὸν ἄνω, καθάπερ ῥοά. οὐ μὴν ἀλλ' ἓν μέγιστόν γε συμβάλλεται πρὸς ἕκαστον ἡ ἀγωγή, καὶ ὁ τόπος, καὶ ἡ τροφή. σημεῖον δ' ὅτι ταῦτα πυκνὰ μὲν ὄντα, μακρὰ καὶ λεπτὰ γίνεται· μανὰ δὲ, παχύτερα καὶ βραχύτερα· καὶ ἐὰν μὲν

Forſan, ὄζος. εὐθύς τις ἀφῇ τοὺς † ὅρους, βραχέα. ἐὰν δὲ ἀνακαθαίρῃ, μακρά, καθάπερ ἡ ἄμπελος. ἱκανὸν δὲ κἀκεῖνο πρὸς πίστιν, ὅτι καὶ τῶν λαχάνων ἔνια λαμβάνει δένδρου σχῆμα, καθάπερ εἴπομεν τὴν μαλάχην, καὶ τὸ τεῦτλον. ἅπαντα δὲ ἐν τοῖς οἰκείοις τόποις ἐξαύξεται καὶ τὸ αὐτὸ κάλλιστον. ἐπεὶ καὶ τῶν ὁμογενῶν εὐοζότερα καὶ μείζω καὶ καλλίω τὰ ἐν τοῖς οἰκείοις· οἷον, ἐλάτη ἡ μακεδονικὴ τῆς παρνασίας, καὶ τῶν ἄλλων. ἅπαντα δὲ ταῦτα, καὶ ὅλως ἡ ὕλη ἡ ἀγρία καλλίων καὶ πλείων τοῦ ὄρους ἐν τοῖς πρὸς βορέαν, ἢ ἐν τοῖς πρὸς μεσημβρίαν. ἔτι δὲ τὰ μὲν ἀείφυλλα, τὰ δὲ φυλλοβόλα.

15 Τῶν μὲν ἡμέρων ἀείφυλλα, ἐλαία, φοῖνιξ, δάφνη, μύρρινος, πεύκης γένος, κυπάριττος· τῶν δ' ἀγρίων, ἐλάτη, πεύκη, ἄρκευθος, σμῖλαξ, θυία, καὶ ἣν ἀρκάδες καλοῦσι φελλόδρυν, φίλυρα, κέδρος, πίτυς, μυρίκη, πύξος, πρῖνος, ἀγρία, κήλαστρον, φιλύκη, ὀξυάκανθος, ἀφάρκη (ταῦτα δὲ φύεται περὶ τὸν ὄλυμπον)

ὀξυάκανθος

ἀνδράχνη, κόμαρος, τέρμινθος, ἀγρία δάφνη. δοκεῖ δ' ἡ ἀνδράχνη, καὶ ὁ οἴναρος, τὰ μὲν κάτω φυλλοβολεῖν, τὰ δὲ ἔσχατα τῶν ἀκρεμόνων ἀεὶ φύλλα ἔχειν, ἐπιφύειν δὲ ἀεὶ τοὺς ἀκρέμονας. τῶν μὲν οὖν δένδρων, ταῦτα. τῶν δὲ θαμνωδῶν, κιττός, βάτος, ῥάμνος, κάλαμος, κέδρις. ἔστι γάρ τι μικρόν, ὃ οὐ δενδροῦται. τῶν δὲ φρυγανικῶν, καὶ ποωδῶν, πήγανον, ῥάφανος, ῥοδωνιά, ἰωνιά, ἀβρότονον, ἀμάρακον, ἕρπυλλος, ὀρίγανον, σέλινον, ἱπποσέλινον, μήκων· καὶ τῶν ἀγρίων ἄλλα πλείω. διαμένει δὲ καὶ τούτων ἔνια τοῖς ἄκροις, τὰ δὲ ἄλλα

\+ ἱπποσέλινον ἀποβάλλει· οἷον ὀρίγανον, σέλινον, † ἐπεὶ καὶ τὸ πήγανον κακοῦται, καὶ ἀλλάττει. πάντα δὲ καὶ τῶν ἄλλων τὰ ἀείφυλλα, στενοφυλλότερα, καὶ ἔχοντά τινα λιπαρότητα καὶ εὐωδίαν. ἔνια δ' οὐκ ὄντα τῇ φύσει, παρὰ τὸν τόπον ἐστὶν ἀείφυλλα· καθάπερ ἐλέχθη περὶ τῆς ἐν ἐλεφαντίνῃ καὶ μέμφει.

κάτω

τῶν τῶν τοιούτων ἡ φύσις ἐπὶ τὸ κάτω γε μᾶλλον ῥέπει, φανερόν. οἱ μὲν γὰρ καυλοὶ, καὶ ὅ-
λως τὰ ἄνω, βραχέα καὶ ἀσθενῆ. τὰ δὲ, καὶ τὰ κάτω μεγάλα, καὶ πολλὰ, καὶ ἰσχυρά· οὐ μόνον
ἐπὶ τῶν εἰρημένων, ἀλλὰ καὶ ἐπὶ καλάμου, καὶ ἀγρώστεως, καὶ ὅλως ὅσα καλαμώδη, καὶ
τοῖς ὅμοια, καὶ ὅσα δὲ ναρθηκώδη, καὶ τούτων ῥίζαι μεγάλαι καὶ σαρκώδεις. Πολ- 11
λὰ δὲ καὶ τῶν † πολλῶν ἔχει τοιαύτας ῥίζας, οἷον † σπάλαξ, κρόκος, καὶ τὸ περδίκιον κα- Fortè ποωδῶν, et ἀσπάλαξ
λούμενον. τοῦτο γὰρ παχείας τε καὶ πλείους ἔχει τὰς ῥίζας, ἢ φύλλα. καλεῖται δὲ περδί-
κιον, διὰ τὸ τοὺς περδίκας ἐγκυλίεσθαι, καὶ ὀρύττειν. ὁμοίως δὲ καὶ τὸ ἐν Αἰγύπτῳ καλούμενον
† εἶδον. τὰ μὲν γὰρ φύλλα μεγάλα, καὶ ὁ βλαστὸς αὐτοῦ βραχύς· ἡ δὲ ῥίζα μακρά, καὶ ἔστιν ὥσπερ † ὕιγγον
καρπός. διαφέρει τε, καὶ ἐσθίεται. καὶ συλλέγουσι δὲ, ὅταν ὁ ποταμὸς ἀποβῇ, στρέφοντες βω-
μούς. φανερώτατα δὲ καὶ πλείστην ἔχοντα πρὸς τὰ ἄλλα διαφορὰν, τὸ σίλφιον, καὶ ἡ καλουμέ-
νη μαγύδαρις. ἀμφότερα γὰρ τούτων, καὶ ἁπάντων τῶν τοιούτων, τὰς ῥίζας μᾶλλον ἡ φύ-
σις. ταῦτα μὲν οὖν ταύτῃ ληπτέα. ἔνιαι δὲ τῶν ῥιζῶν, πλείω δόξαιεν ἂν ἔχειν διαφορὰς, πα-
ρὰ τὰς εἰρημένας· οἷον αἵ τε τῆς ἀραχίδνης, καὶ τοῦ ὁμοίου τούτῳ ἀράκου· φέρουσι γὰρ ἀμφότερα
καρπὸν, οὐκ ἐλάττω τοῦ ἄνω. καὶ μίαν μὲν ῥίζαν τὸ σαρκῶδες τοῦτο παχεῖαν ἔχει, τὴν κατὰ
βάθους· τὰς δὲ ἄλλας, ἐφ' ὧν ὁ καρπὸς, λεπτοτέρας, καὶ ἐπ' ἄκρον, καὶ σχιζομένας πολλαχῇ.
φιλεῖ δὲ μάλιστα χωρία τὰ ὕφαμμα. φύλλον δὲ οὐδέτερον ἔχει τούτων, οὐδ' ὅμοια τοῖς φυλ-
λοις, ἀλλ' ὥσπερ ἀμφίκαρπα μᾶλλόν ἐστιν. καὶ φαίνεται θαυμάσιον. αἱ μὲν οὖν φύσεις καὶ αἱ δυ- ὁ
νάμεις τοσαύτας ἔχουσι διαφοράς. Αὐξάνονται δὲ πάντων δοκοῦσιν αἱ ῥίζαι πρότερον, τῶν
ἄνω. καὶ γὰρ φύονται εἰς βάθος οὐδεμία καθίκει πλέον, ἢ ὅσον ὁ ἥλιος ἐφικνεῖται. τὸ γὰρ θερμόν,
τὸ γεννῶν. οὐ μὴν ἀλλὰ ταῦτα μεγάλα συμβάλλεται πρὸς βαθυρριζίαν, καὶ ἔτι μᾶλλον πρὸς
μακρορριζίαν, ἡ τῆς χώρας φύσις, ἐὰν ᾖ κούφη, καὶ μανή, καὶ εὐδίοδος. ἐν γὰρ ταῖς τοιαύταις,
πορρωτέρω καὶ μείζους αὐξήσεις. φανερὸν δὲ ἐπὶ τῶν ἡμερωτάτων. ἔχοντα γὰρ ὕδωρ, ὅπου ἂν διῇ-
σιν, ὡς εἰπεῖν· ἐπεὶ κἂν ὁ τόπος ᾖ κενός, καὶ μηδὲν τὸ ἀντικόπτον, καθάπερ φρέατος, ἢ ὀχετοῦ
τινος· ἐγγὺς ἐν τῷ Λυκείῳ ἡ πλάτανος, ἡ κατὰ τὸν ὀχετὸν ἔτι νέα οὖσα, περὶ τρεῖς καὶ τριάκοντα
πήχεις ἀφῆκεν, ἔχουσα τόπον τε ἅμα καὶ τροφήν. δοκεῖ δὲ, ὡς εἰπεῖν, ἡ συκῆ μακρορριζότα-
τον εἶναι. καὶ ὅλως δὲ, μᾶλλον τὰ μανά, καὶ εὐθύρριζα. πάντα δὲ τὰ νεώτερα τῶν παλαιῶν, ἕως
εἰς ἀκμὴν ἥκωσιν, ἔτι βαθυρριζότερα καὶ μακρορριζότερα. συμφθίνουσι γὰρ καὶ αἱ ῥίζαι τοῖς
ἄλλοις σώμασι. πάντων δὲ ὁμοίως οἱ χυλοὶ τοῖς φυτοῖς δριμύτεροι. τοῖς δὲ, ὡς ἐπίπαν. διὸ καὶ
ἐνίων πικραί, ὧν οἱ καρποὶ γλυκεῖς. Αἱ δὲ καὶ φαρμακώδεις. ἔνιαι φύονται, ὥσπερ αἱ τῆς 12
ἴρεως. ἴδια δὲ ῥίζης φύσις, καὶ δύναμις· οἷον ἡ τῆς ἰνδικῆς συκῆς. ἀπὸ γὰρ τῶν βλαστῶν ἀφίη-
σι, μέχρις ἂν συνάψῃ τῇ γῇ, καὶ ῥιζωθῇ. καὶ γίνεται περὶ τὸ δένδρον κύκλος συνεχὴς τὸ
τῶν ῥιζῶν, οὐχ ἁπτόμενον τοῦ στελέχους, ἀλλ' ἀφεστηκός. παραπλήσιον δὲ τούτῳ, μᾶλλον δὲ τρόπον
τινὰ θαυμασιώτερον, εἴ τις ἐκ τοῦ φύλλου ἀφίησι ῥίζαν· οἷον φασὶ περὶ Ὀποῦντα πόαν τινὰ εἶναι,
ὃ καὶ ἐδώδιμόν ἐστιν ἡδύ. τὸ γὰρ αὐτῶν θέρμον, θαυμαστὸν ἧττον, ὅτι αὖ ἐν ὕλῃ βαθείᾳ σπαρῇ,
διαιρεῖ τὴν ῥίζαν πρὸς τὴν γῆν, καὶ βλαστάνει διὰ τὴν ἰσχύν. ἀλλὰ δεῖ τὰς μὲν τῶν ῥιζῶν δια-
φορὰς, ἐκ τούτων θεωρητέον. Τῶν δένδρων καὶ τὰς τοιαύτας δὲ ἄν τις λάβοι διαφοράς. 13
ἔστι γὰρ τὰ μὲν ὀζώδη, τὰ δ' ἄνοζα, καὶ φύσει καὶ τόπῳ, κατὰ τὸ μᾶλλον καὶ ἧττον. ἄνοζα δὲ λέ-
γω, οὐχ ὥστε μὴ ἔχειν ὅλως. οὐδὲν γὰρ τοιοῦτο δένδρον· ἀλλ' ὅπερ ἧττον ἄλλων, οἷον σχῖνος, τί-
φη, κύπειρος. ὅλως, ἅ τε ἐπὶ τῶν λιμνωδῶν, ἀλλ' ὥς τε ὀλίγους ἔχειν, φύσει μὲν οἷον, ἀκτὴ δάφ-
νη, συκῆ ὅλως, πάντα τὰ λειόφλοια, καὶ ὅσα κοῖλα καὶ μανά. ὀζώδη δὲ, ἐλαία, πεύκη, κό-
τινος. τούτων δὲ τὰ μὲν ἐν παλισκίοις, καὶ νηνέμοις, καὶ ἐφύδροις· τὰ δὲ ἐν εὐηλίοις, καὶ χειμερίοις,
καὶ † πνευματώδεσι, καὶ λεπτοῖς, καὶ ξηροῖς. τὰ μὲν γὰρ ἀνοζώτερα, τὰ δὲ ὀζωδέστερα τῶν ὁμογενῶν. Fortè πνευματώδεσι
ὅλως δὲ, ὀζωδέστερα τὰ ὀρεινὰ τῶν πεδεινῶν, καὶ τὰ ξηρὰ τῶν ἑλείων. ἔτι δὲ καὶ τῇ φυτείᾳ τὰ μὲν
πυκνά, ἄνοζα καὶ ὀρθά· τὰ δὲ μανά, ὀζωδέστερα καὶ σκολιώτερα. συμβαίνει γὰρ ὥστε τὰ μὲν ἐν
παλισκίῳ εἶναι, τὰ δὲ ἐν εὐηλίῳ. καὶ τὰ ἄρρενα δὲ τῶν θηλειῶν ὀζωδέστερα, ἐν οἷς ἐστιν ἄμφω· οἷον
κυπάριττος, ἐλάτη, ὀστρυΐς, κρανία. καλοῦσι γὰρ γένος τι, θηλυκρανίαν. καὶ τὰ ἄγρια δὲ τῶν ἡμέ-
ρων, καὶ ἁπλῶς, καὶ κατὰ τὸ αὐτὸ γένος· οἷον κότινος ἐλαίας, ἐρινεὸς συκῆς, καὶ ἀχρὰς ἀπίου. πάν-
τα γὰρ ταῦτα ὀζωδέστερα. καὶ ὡς ἐπὶ τὸ πολὺ, πάντα τὰ πυκνὰ τῶν μανῶν. καὶ γὰρ τὰ ἄρρενα πυ-
κνότερα, καὶ τὰ ἄγρια· πλὴν εἴ τι διὰ πυκνότητα παντελῶς ἄνοζον, ἢ ὀλιγοζον, οἷον πύ-

καθάπερ ἄμπελον. διαφέρουσι δὲ καὶ λειότητι, καὶ τραχύτητι, καὶ πυκνότητι. πάντων γὰρ αἱ ῥίζαι μανότεραι τῶν ἄνω, πυκνότεραι δ' ἄλλαι ἄλλων, καὶ ξυλωδέστεραι. καὶ αἱ μὲν ἰνώδεις, ὡς αἱ τῆς ἐλάτης· αἱ δὲ σαρκώδεις μᾶλλον, ὥσπερ αἱ τῆς δρυός· αἱ δ' οἷον ὀζώδεις, καὶ θυσανώδεις, ὥσπερ αἱ τῆς ἐλαίας. τοῦτο δέ, ὅτι τὰς λεπτὰς καὶ μικρὰς πολλὰς ἔχουσι, καὶ ἀθρόας. ἐπεὶ πᾶσαί γε καὶ ταύτας ἀποφύουσιν ἀπὸ τῶν μεγάλων, ἀλλ' οὐχ ὁμοίως ἀθρόας καὶ πολλάς. ἔστι δὲ καὶ τὰ μὲν βαθύρριζα, καθάπερ δρῦς· τὰ δ' ἐπιπολαιόρριζα, καθάπερ ἐλαία, ῥοιά, μηλέα, κυπάριττος. ἔτι δ' αἱ μὲν εὐθεῖαι καὶ ὁμαλεῖς, αἱ δὲ σκολιαὶ καὶ παραλλάττουσαι. τοῦτο γὰρ οὐ μόνον συμβαίνει διὰ τοὺς τόπους, ὅταν μὴ δύνωνται, ἀλλὰ καὶ διὰ τὴν φύσιν αὐτῶν, ὥσπερ ἐπὶ τῆς δάφνης καὶ τῆς ἐλαίας. ἡ δὲ συκῆ καὶ τὰ τοιαῦτα σκολιοῦται, διὰ τὸ μὴ δύνασθαι. ἅπασαι δ' † ἔμμητροι, καθάπερ καὶ τὰ στελέχη, καὶ οἱ ἀκρέμονες, ἢ ὀλίγον ἀπὸ τῆς ἀρχῆς. εἰσὶ δὲ καὶ αἱ μὲν παραβλαστικαὶ εἰς τὸ ἄνω, καθάπερ ἄμπελος, ῥοά· αἱ δὲ ἀπαράβλαστοι, καθάπερ ἐλάτης, κυπαρίττου, πεύκης. αἱ αὐταὶ δὲ διαφοραὶ καὶ τῶν φρυγανικῶν, καὶ τῶν ποωδῶν, καὶ τῶν ἄλλων, πλὴν εἰ ὅλως ἔνια μὴ ἔχει, καθάπερ ὕδνον, μύκης, πύξος, κεραύνιον. τὰ μὲν πολύρριζα, καθάπερ πυρός, τίφη, κριθή, πᾶν τὸ τοιοῦτον καθάπερ * ἀναζοῦσαν· τὰ δ' ὀλιγόρριζα, καθάπερ τὰ χεδροπά. σχεδὸν δὲ καὶ τῶν λαχανωδῶν τὰ πλεῖστα μονόρριζα, οἷον ῥάφανος, τεῦτλον, σέλινον, λάπαθος. πλὴν ἔνια καὶ παραφυάδας ἔχει μεγάλας, οἷον τὸ σέλινον, τὸ τεῦτλον· καὶ ὡς κατὰ λόγον ταῦτα βαθυρριζότερα τῶν δένδρων. εἰσὶ δὲ τῶν μὲν σαρκώδεις, καθάπερ ῥαφανίδος, γογγυλίδος, ἄρου, κρόκου· τῶν δὲ ξυλώδεις, οἷον εὐζώμου, ὠκίμου, καὶ τῶν ἀγρίων δὲ τῶν πλείστων ὅσα μὴ εὐθὺς πλέκει. καὶ σχιζόμενα, καθάπερ πυροῦ, κριθῆς, καὶ τῆς καλαμώδους πόας. αὕτη γὰρ ἐν τοῖς ἐπετείοις καὶ ἐν τοῖς ποώδεσιν ἡ διαφορὰ τῶν ῥιζῶν, ὥστε τὰς μὲν εὐθὺς σχίζεσθαι, πλείους οὔσας καὶ ὁμαλεῖς· τῶν δὲ ἄλλων μίαν ἢ δύο, τὰς μεγίστας † δὲ ἄλλας ἀπὸ τούτων. ὅλως δέ, πλείους αἱ διαφοραὶ τῶν ῥιζῶν ἐν τοῖς ὑλήμασι καὶ λαχανώδεσιν. εἰσὶ γὰρ αἱ μὲν λαχανώδεις, ὥσπερ αἱ τοῦ ἀνήμου· αἱ δὲ σαρκώδεις, ὥσπερ αἱ τοῦ τεύτλου, καὶ ἔτι δὲ μᾶλλον τοῦ ἄρου, καὶ ἀσφοδέλου, καὶ κρόκου. αἱ δὲ ὥσπερ ἐκ φλοιοῦ καὶ σαρκός, ὥσπερ αἱ τῶν ῥαφανίδων καὶ γογγυλίδων. αἱ δὲ γονατώδεις, ὥσπερ αἱ τῶν καλάμων καὶ ἀγρώστεων, καὶ εἴ τι καλαμῶδες. καὶ μόναι δὴ αὗται, ἢ μάλιστα ὅμοιαι τοῖς ὑπὲρ γῆς. ὥσπερ γὰρ κάλαμοί εἰσιν, ὑπερριζούμεναι ταῖς λεπταῖς. αἱ δὲ λεπυρώδεις, ἢ φλοιώδεις, οἷον αἵ τε τῆς σκίλλης, καὶ τοῦ βολβοῦ, καὶ ἔτι κρομμύου, καὶ τῶν τούτοις ὁμοίων· ἀεὶ γὰρ ἔστι περιαιρεῖν αὐτῶν. πάντα δὲ τὰ τοιαῦτα δοκεῖ καθάπερ δύο γένη ῥιζῶν ἔχειν. τοῖς δέ, καὶ ὅλως τὰ κεφαλόβαρη, καὶ κατάρριζα, τήν τε σαρκώδη ταύτην καὶ φλοιώδη, καθάπερ ἡ σκίλλα, καὶ τὰς ἀπὸ ταύτης ἀποπεφυκυίας. οὐ γὰρ λεπτότητι καὶ παχύτητι διαφέρουσι μόνον, ὥσπερ αἱ τῶν δένδρων καὶ τῶν λαχάνων, † ἀλλὰ λεῖον ἔχοντες τὸ γένος. ἐκφανέστατα δ' ἴδοι ἄν τις τοῦ ἄρου, καὶ ἡ τοῦ κυπέρου. ἡ μὲν γὰρ παχεῖα, καὶ λεία, καὶ σαρκώδης· ἡ δὲ λεπτή, καὶ ἰνώδης. διόπερ ἀπορήσειεν ἄν τις, εἰ ῥίζας τὰς τοιαύτας θετέον. ἡ μὲν γὰρ κατὰ γῆς δόξειεν ἄν. ἡ δ' ὑπεναντίως ἔχουσα ταῖς ἄλλαις, οὐκ ἂν δόξειεν. ἡ μὲν γὰρ ῥίζα, λεπτοτέρα, πρὸς τὸ πόρρω, καὶ ἀεὶ συνόξυς. αἱ δὲ τῶν σκιλλῶν, καὶ τῶν βολβῶν, καὶ τῶν ἄρων, ἀνάπαλιν. ἔτι δ' αἱ μὲν ἄλλαι κατὰ τὸ πλάγιον ἀφιᾶσι ῥίζας, αἱ δὲ τῶν σκιλλῶν καὶ τῶν βολβῶν οὐκ ἀφιᾶσιν· οὐδὲ τῶν σκορόδων καὶ τῶν κρομμύων. ὅλως δ' ἔν γε τούτοις αἱ κατὰ μέσον ἐκ τῆς κεφαλῆς ἠρτημέναι, φαίνονται ῥίζαι, καὶ τρέφονται. τοῦτο δ' ὥσπερ κύημα, ἢ καρπός. ὅθεν καὶ οἱ ἐν τούτοις λέγοντες οὐ κακῶς. κατὰ δὲ τῶν ἄλλων τοῦτο μὲν ὄντων. ἐπεὶ δὲ πλείων ἡ φύσις ἡ κατὰ ῥίζαν, ταύτῃ ἀπορίαν ἔχει. τὸ γὰρ δὴ πᾶν λέγειν τὸ κατὰ τὴν ῥίζαν, οὐκ ὀρθόν. καὶ γὰρ ὁ καυλὸς τοῦ βολβοῦ, καὶ ὁ τοῦ γηθύου. καὶ ὅλως ὅσα κατὰ βάθος ὄντων, ἄνευ ἂν αἱ ῥίζαι. καὶ τὸ ὕδνον δέ, ὃ καλοῦσί τινες ἄσχιον· καὶ τὸ † οὔιτον, καὶ εἴ τι ἄλλο ὑπόγειόν ἐστιν· ὧν οὐδέν ἐστι ῥίζα. δυνάμει γὰρ δεῖ φυσικῇ διαιρεῖν, καὶ οὐ τόπῳ. τάχα δὲ τοῦτο μὲν ὀρθῶς λέγεται· ῥίζα δὲ οὐδὲν ἧττον ἐστίν. ἀλλὰ διαφορά τις αὕτη τῶν ῥιζῶν, ὥστε τὴν μὲν τοιαύτην εἶναι, τὴν δὲ τοιαύτην, καὶ τρέφεσθαι τὴν ἑτέραν ὑπὸ τῆς ἑτέρας. καίτοι καὶ αὐταὶ καὶ αὐτῶν αἱ σαρκώδεις ἐοίκασιν ἕλκειν. τὰς γοῦν τῶν ἄρων πρὸ τοῦ βλαστάνειν τρέφουσι, καὶ γίνονται μείζους κωλυόμεναι διαβαίνειν πρὸς τὴν βλάστησιν. ἐπεὶ ὅτι γε πάν-

των

ὀρθοφυῆ, καὶ μακροστελέχη, καθάπερ ἐλάτη, πεύκη, κυπάριττος· τὰ δὲ σκολιώτερα, καὶ βραχυστελέχη, οἷον ἰτέα, συκῆ, ῥοιά. καὶ περὶ πάχος δὲ, καὶ λεπτότητα ὁμοίως. καὶ πάλιν τὰ μὲν μονοστελέχη, τὰ δὲ πολυστελέχη. ὅπερ δ' αὐτότροπον, τινὰ καὶ τῶν παραβλαστικὰ ἢ ἀπαράβλαστα εἶναι, καὶ πολυκλαδῆ καὶ ὀλιγόκλαδα, καθάπερ ὁ φοίνιξ. καὶ ἐν αὐτοῖς τούτοις, ἔτι περὶ τὴν ἰσχὺν, ἢ πάχος, ἢ τὰς τοιαύτας διαφοράς. πάλιν τὰ μὲν λεπτόφλοια, καθάπερ δάφνη, φιλύρα· τὰ δὲ παχύφλοια, καθάπερ δρῦς. ἔτι τὰ μὲν λειόφλοια, καθάπερ μηλέα, συκῆ· τὰ δὲ τραχύφλοια, καθάπερ ἀγρία δρῦς, φελλὸς, φοῖνιξ. ταῦτα δὲ, νέα μὲν ὄντα λειοφλοιότερα, ἐγγηράσκοντα δὲ παχυφλοιότερα. ἔνια δὲ καὶ ῥηξίφλοια, καθάπερ ἄμπελος· τὰ δὲ, καὶ ὥστε περιπίπτειν, οἷον ἀνδράχνη, μηλέα, κόμαρος. ἔστι δὲ καὶ τῶν μὲν σαρκώδης ὁ φλοιὸς, οἷον φελλοῦ, δρυὸς, αἰγείρου· τῶν δὲ ἰνώδης, καὶ ἄσαρκος, ὁμοίως δένδρων καὶ θάμνων καὶ ἐπετείων, οἷον ἀμπέλου, καλάμου, πυροῦ. καὶ τῶν μὲν πολύλοπος, οἷον φιλύρας, ἐλάτης, ἀμπέλου, λινοσπάρτου, κρομμύων· τῶν δὲ μονόλοπος, οἷον συκῆς, καλάμου, αἴρας. περὶ μὲν δὴ τοὺς φλοιοὺς, ἐν τούτοις αἱ διαφοραί. τῶν δὲ ξύλων αὐτῶν, καὶ ὅλως τῶν καυλῶν, οἱ μὲν εἰσὶ σαρκώδεις, οἷον δρυὸς, συκῆς, καὶ τῶν ἐλαττόνων βαλάνου, τεύτλου, κωνείου· οἱ δὲ ἄσαρκοι, καθάπερ κέδρου, λωτοῦ, κυπαρίττου. καὶ οἱ μὲν ἰνώδεις, τὰ μὲν γὰρ τῆς ἐλάτης καὶ τοῦ φοίνικος ξύλα τοιαῦτα· τὰ δὲ μανὰ, καθάπερ τῆς συκῆς. ὡσαύτως δὲ καὶ τὰ μὲν φλεβώδη, τὰ δ' ἄφλεβα. περὶ δὲ τὰ φρυγανικὰ καὶ θαμνώδη, καὶ ὅλως τὰ κλήματα, καὶ ἄλλας τις ἂν λάβοι διαφοράς. ὁ μὲν γὰρ κάλαμος, γονατώδης. ὁ δὲ βάτος, καὶ ὁ παλίουρος, ἀκανθώδης. ἡ δὲ τίφη, καὶ ἔνια τῶν ἑλείων ἢ λιμναίων, ὁμοίως ἀδιάφρακτα καὶ ὁμαλῆ, καθάπερ σχοῖνος. ὁ δὲ τοῦ κυπείρου καὶ βουτόμου καυλὸς ὁμαλότητά τινα ἔχει παρὰ τούτοις. ἔτι δὲ μᾶλλον ἴσως ὁ τοῦ μύκητος. αὗται μὲν δὴ δόξαιεν ἂν, ἐξ ὧν ἡ σύνθεσις. † ἡ δὲ περὶ τὰ πάθη, καὶ τὰς δυνάμεις· οἷον σκληρότης, γλισχρότης, κραυρότης, μανότης, κουφότης, βαρύτης, καὶ ὅσα ἄλλα τοιαῦτα. ἡ μὲν γὰρ ἰτέα, καὶ χλωρὸν, εὐθὺ, κοῦφον, ὥσπερ ὁ φελλός· ἡ δὲ πύξος, καὶ ἡ ἔβενος, οὐδὲ αὐανθέντα. καὶ τὰ μὲν σχιστὰ, καθάπερ ὁ τῆς ἐλάτης· τὰ δὲ ἄθραυστα μᾶλλον, οἷον ὁ τῆς ἐλαίας. καὶ τὰ μὲν λοξὰ, οἷον τὰ τῆς ἀκτῆς· τὰ δὲ ὀζώδη, οἷον τὰ τῆς πεύκης καὶ ἐλάτης. δεῖ δὲ καὶ ταύτας ὑπολαμβάνειν τῆς φύσεως. εὔσχιστον μὲν γὰρ ἡ ἐλάτη, διὰ τὸ εὐθυπορεῖν· ἄθραυστον δὲ ἡ ἐλαία, διὰ τὸ σκολιὸν καὶ σκληρόν. εὐκαμπτὸν δὲ ἡ φιλύρα, καὶ ὅσα ἄλλα, διὰ τὸ γλίσχρον ἔχειν τὴν ὑγρότητα. βαρὺ δὲ, ἡ μὲν πύξος, καὶ ἡ ἔβενος, ὅτι πυκνά· ἡ δὲ δρῦς, ὅτι γεώδης. ὡσαύτως δὲ καὶ τὰ ἄλλα πάντα πρὸς τὴν φύσιν πως ἀνάγεται.

9 Διαφέρουσι δὲ καὶ ταῖς μήτραις. πρῶτον μὲν, εἰ ἔνια ἔχει ἢ μὴ ἔχει, καθάπερ τινές φασιν· ἄλλά τε καὶ τὴν ἀκτήν. ἐπεὶ καὶ τὰ ἐν αὐτοῖς τοῖς ἔχουσι. τῶν μὲν γὰρ εἶναι σαρκώδεις, τῶν δὲ ξυλώδεις, τῶν δὲ ὑμενώδεις. σαρκώδεις μὲν, οἷον ἀμπέλου, συκῆς, μηλέας, ῥοιᾶς, ἀκτῆς, νάρθηκος· ξυλώδεις δὲ, πίτυος, ἐλάτης, πεύκης, καὶ μάλιστα αὐτῆς διὰ τὸ ἔνδαδος εἶναι. τούτων δ' ἔτι σκληρότεραι καὶ πυκνότεραι, κρανίας, πρίνου, δρυὸς, κυτίσου, συκαμίνου, ἐβένου, λωτοῦ. διαφέρουσι δὲ αὗται καὶ τοῖς χρώμασι· μέλαιναι γὰρ δὴ πᾶσαι, καὶ τῆς δρυὸς, ἣν καλοῦσι μελάνδρυον· ἅπασαι δὲ σκληρότεραι τῶν ξύλων, διὸ καὶ ὑπομένουσι καμπτήν· μανότεραι δὲ αἱ μὲν, αἱ δ' οὔ. ὑμενώδεις δὲ, ἐν μὲν τοῖς δένδροις οὐκ εἰσὶν, ἢ σπάνιοι· ἐν δὲ τοῖς θαμνώδεσι, καὶ ὅλως τοῖς ὑλήμασιν, οἷον καλάμῳ τε καὶ νάρθηκι, καὶ τοῖς τοιούτοις εἰσίν. ἔχει δὲ τὴν μήτραν, τὰ μὲν μεγάλην καὶ φανερὰν, ὡς πρῖνος, δρῦς, καὶ τὰ ἄλλα τὰ προειρημένα· τὰ δὲ ἀφανεστέραν, οἷον ἐλαία, πύξος· οὐ γὰρ ἔστιν ἀφωρισμένην οὕτω λαβεῖν. ἀλλά καὶ φασί τινες, οὐ περὶ τὸ μέσον, ἀλλὰ περὶ τὸ πᾶν ἔχειν, ὥστε μὴ εἶναι τόπον ἀφωρισμένον· διὸ καὶ ἔνια οὐδ' ἂν δόξειεν ὅλως ἔχειν, ἐπεὶ καὶ τοῦ φοίνικος οὐδεμία φαίνεται διαφορὰ κατ' οὐδέν. διαφέρουσι δὲ καὶ ταῖς ῥίζαις. τὰ μὲν γὰρ πολύῤῥιζα, καὶ ἀκρόῤῥιζα, καθάπερ συκῆ, δρῦς, πλάτανος· ἐὰν γὰρ ἔχωσι τόπον, ἐφ' ὅσον ἂν προέρχονται. τὰ δὲ ὀλιγόῤῥιζα, καθάπερ * ἐλαία, ῥοιὰ, μηλέα. τὰ δὲ μονόῤῥιζα, καθάπερ ἐλάτη, πεύκη. μονόῤῥιζα οὕτως, ὅτι μίαν μεγάλην τὴν εἰς βάθος ἔχει, μικρὰς δὲ ἀπὸ ταύτης πλείους. ἔχουσι δὲ καὶ τῶν μονοῤῥίζων ἔνια τὴν ἐκ τοῦ μέσου μεγίστην, καὶ περὶ βάθος, ὥσπερ ἀμυγδαλαῖ, ἐλαία † μικρὰν ταύτην, τάς τε ἄλλας μείζους, καὶ ὡς κατακεχυμένας. ἔτι δὲ τῶν μὲν παχεῖαι μᾶλλον, τῶν δὲ ἀνωμαλεῖς, καθάπερ δάφνης, ἐλαίας· τῶν δὲ πᾶσαι λεπταί,

a 3 καθά-

× μυκῶν καλάμου ἡ δὲ ἄοζα + δὲ

ὅλως ἔστι παραβλαστικὰ ἀπὸ τῆς ῥίζης· ἀλλὰ τῇ ἀγωγῇ τοιαῦτα, παραιρουμένων τῶν ἄλλων. ἔνια δὲ καὶ ἐῶσι πολυστελέχη διὰ λεπτότητα, καθάπερ ῥόαν, μηλέαν. ἐῶσι δὲ καὶ τὰς † ἐλάτας κοπάδας, καὶ τὰς συκᾶς. τάχα δ' ἄν τις φαίη, καὶ ὅλως μεγέθει καὶ μικρότητι διαιρετέον ἔνια, τὰ δὲ ἰσχύϊ καὶ ἀσθενείᾳ, καὶ πολυχρονιότητι. τῶν τε γὰρ φρυγανωδῶν καὶ λαχανωδῶν ἔνια μονοστελέχη, καὶ οἷον δένδρου φύσιν ἔχοντα γίνεται, καθάπερ ῥαφανίς, πήγανον. ὅθεν καὶ καλοῦσί τινες τὰ τοιαῦτα, δενδρολάχανα. τά τε λαχανώδη πάντα, ἢ τὰ πλεῖστα ὅταν ἐγκαταμένῃ, λαμβάνει τινὰς ὥσπερ ἀκρέμονας, καὶ γίνεται τὸ ὅλον ἐν σχήματι δενδρώδει, πλὴν ὀλιγοχρονιώτερα.

+ ἐλαίας, καὶ κοπάδας τὰς συκᾶς.

6 Διὰ δὴ ταῦτα, ὥσπερ ἐλέγομεν, οὐκ ἀκριβολογητέον τῷ ὅρῳ, ἀλλὰ τῷ τύπῳ ληπτέον τοὺς ἀφορισμούς· ἐπεὶ καὶ τὰς διαιρέσεις ὁμοίως, οἷον ἡμέρων ἀγρίων, καρποφόρων ἀκάρπων, ἀνθοφόρων ἀνανθῶν, ἀειφύλλων φυλλοβόλων. τὰ μὲν γὰρ ἄγρια καὶ ἥμερα παρὰ τὴν ἀγωγὴν εἶναι δοκεῖ. πᾶν γὰρ ἄγριον καὶ ἥμερον, φασὶν ἵππων γίνεσθαι, τυγχάνον καὶ μὴ τυγχάνον θεραπείας· ἄκαρπα δὲ, καὶ κάρπιμα, καὶ καρποφόρα ἄνθη παρὰ τοὺς τόπους καὶ τὸν ἀέρα τὸν περιέχοντα. τὸν αὐτὸν δὲ τρόπον καὶ φυλλοβόλα, καὶ ἀείφυλλα. περὶ γὰρ ἐλεφαντίνην, οὐδὲ τὰς ἀμπέλους, οὐδὲ τὰς συκᾶς φασὶ φυλλοβολεῖν· ἀλλ' ὅμως τοῖς αὐτοῖς αἱρετέον. ἔχει γάρ τι περὶ φύσεως κοινόν, ὁμοίως ἐν δένδροις καὶ θάμνοις καὶ τοῖς φρυγανικοῖς καὶ ποώδεσιν· ὑπὲρ ὧν καὶ τὰς αἰτίας ὅταν τις λέγῃ, περὶ πάντων κοινῇ δηλονότι λεκτέον, οὐχ ὁρίζοντα καθ' ἕκαστον. εὔλογον δὲ, καὶ ταύτας κοινὰς εἶναι πάντων. ἅμα δὲ καὶ φαίνεταί τινα ἔχειν φυσικὴν διαφορὰν εὐθὺς ἐπὶ τῶν ἀγρίων καὶ τῶν ἡμέρων, εἴπερ ἔνια μὴ δύναται ζῆν, ὥσπερ τὰ γεωργούμενα † μηδόλως δέχεται θεραπείαν, ἀλλὰ καὶ χείρω γίνεται, καθάπερ ἐλάτη, πεύκη, κέδρον, καὶ ἁπλῶς, ὅσα ψυχροὺς τόπους φιλεῖ, καὶ χιονώδεις. ὡσαύτως δὲ, καὶ τῶν φρυγανικῶν καὶ ποωδῶν, οἷον κάππαρις καὶ θέρμος. ἥμερον δὲ καὶ ἄγριον δίκαιον καλεῖν, ἀναφέροντα πρός τε ταύτας, καὶ ὅλως πρὸς τὸ ἡμερώτατον. ὁ δὲ ἄνθρωπος, ἢ μόνον, ἢ μάλιστα ἥμερον.

+ ἔνια δὲ

7 Φανεραὶ δὲ καὶ περὶ ταύτας τὰς μορφὰς αἱ διαφοραὶ τῶν ὅλων τε καὶ μορίων, οἷον λέγω, μέγεθος καὶ σμικρότης, σκληρότης μαλακότης, λειότης τραχύτης φλοιοῦ, φύλλων, τῶν ἄλλων ἁπλῶς, εὐμορφία καὶ δυσμορφία τις· ἔτι δὲ καὶ καλλικαρπία, καὶ κακοκαρπία. πλείω μὲν γὰρ δοκεῖ τὰ ἄγρια φέρειν, ὥσπερ ἀχράς, κότινος· καλλίω δὲ τὰ ἥμερα, καὶ τοὺς χυλοὺς δὲ αὐτοὺς γλυκυτέρους καὶ † ἰδίους, καὶ τὸ ὅλον ὡς εἰπεῖν εὐκράτους. μᾶλλον αὗταί τε δὴ φυσικαί τινες, ὥσπερ εἴρηται, διαφοραί, καὶ ἔτι δὴ μᾶλλον τῶν ἀκάρπων καὶ καρποφόρων, καὶ φυλλοβόλων καὶ ἀειφύλλων, καὶ ὅσα ἄλλα τοιαῦτα. πάντων δὲ ληπτέον ἀεὶ καὶ πάσας τοῖς τόποις· οὐ γὰρ οὐδ' οἷόν τε ἴσως ἄλλως. αἱ δὲ τοιαῦται δόξαιεν ἂν γενικήν τινα ποιεῖν χωρισμόν, οἷον ἐνύδρων καὶ χερσαίων, ὥσπερ ἐπὶ τῶν ζώων. ἔστι γὰρ ἔνια τῶν φυτῶν, ἃ οὐ δύναται μὴ ἐν ὑγρῷ ζῆν. διῄρηται δ' ἄλλο κατ' ἄλλο γένος τῶν ὑγρῶν, ὥστε τὰ μὲν ἐν τέλμασι, τὰ δὲ ἐν λίμναις, τὰ δ' ἐν ποταμοῖς, τὰ δὲ καὶ ἐν αὐτῇ τῇ θαλάττῃ φύεσθαι, τὰ μὲν ἐλάττω καὶ ἐν τῇ παρ' ἡμῖν, τὰ δὲ μείζω περὶ τὴν ἐρυθράν. ἔνια δὲ, ὥσπερεὶ κάθυγρα καὶ ἕλεια, καθάπερ ἰτέα καὶ πλάτανος· τὰ δὲ οὐκ ἐν ὕδατι δυνάμενα ζῆν ἐν τούτοις, ἀλλὰ διώκοντα τοὺς ξηροὺς τόπους. τῶν δ' ἐλαττόνων, ἔστιν ἃ καὶ τοὺς αἰγιαλούς. οὐ μὴν ἀλλὰ καὶ τούτων, εἴ τις ἀκριβολογεῖσθαι θέλοι, τὰ μὲν ἂν εὕροι κοινά, καὶ ὥσπερ ἀμφίβια, καθάπερ μυρρίνην, ἰτέαν, κλήθραν· τὰ δὲ καὶ τῶν ὁμολογουμένων χερσαίων, πεφυκότα ποτὲ ἐν τῇ θαλάττῃ βιοῦν, φοίνικα, σκίλλαν, ἀνθέρικον. ἀλλὰ τὰ τοιαῦτα πάντα, καὶ ὅλως τὸ οὕτω σκοπεῖν, οὐκ οἰκείως δεῖ σκοπεῖν· οὐδὲ γὰρ οὐδ' ἡ φύσις οὕτως, οὐδ' ἐν τοῖς τοιούτοις ἔχει τὸ ἀναγκαῖον. τὰς μὲν οὖν διαιρέσεις, καὶ ὅλως τὴν ἱστορίαν τῶν φυτῶν οὕτω ληπτέον. ἅπαντα δ' οὖν καὶ ταῦτα, καὶ τ' ἄλλα διοίσει καθάπερ εἴρηται, ταῖς τε τῶν ἄλλων μορφαῖς, καὶ ταῖς τῶν μορίων διαφοραῖς· ἢ τῷ ἔχειν, τὰ δὲ μὴ ἔχειν, ἢ τῷ πλείω, τὰ δὲ ἐλάττω, ἢ τῷ ἀνομοίως, ἢ ὅσοι τρόποι διῄρηνται πρότερον. οἰκεῖον δὲ ἴσως, καὶ τοὺς τόπους συμπαραλαμβάνειν, ἐν οἷς ἕκαστα πέφυκεν, ἢ μὴ πέφυκε γίνεσθαι. μεγάλη γὰρ καὶ αὕτη διαφορά, καὶ οὐχ ἥκιστα, οἰκεία τῶν φυτῶν, διὰ τὸ συνηρτῆσθαι τῇ γῇ, καὶ μὴ ἀπολελύσθαι καθάπερ τὰ ζῶα.

Forte ἀλύους

8 Πειρατέον δ' εἰπεῖν τὰς κατὰ μέρος διαφοράς, ὡς ἂν καθόλου λέγοντας πρότερον, καὶ κοινῶς, εἶτα καθ' ἕκαστον, ὕστερον ἐπὶ πλεῖον ὥσπερ ἀναθεωροῦντας. ἔτι δὲ τὰ μὲν ὀρ-

θοφυῆ

φανερόν, ὃ δὴ καλοῦσί τινες ἁπλῶς ἐν ἅπασιν ὀπὸν, ὥσπερ καὶ Μενέστωρ † οἳ δὲ μὲν τοῖς ἄλλοις ἀνωνύμως, ἐν δέ τισιν ὀπὸν· καὶ ἐν ἄλλοις δάκρυον. ἶνες δὲ καὶ φλέβες καθ' αὑτὰ μὲν ἀνώνυμα, τῇ δὲ ὁμοιότητι μεταλαμβάνουσι τῶν ἐν τοῖς ζώοις μορίων· ἔχει δὲ ἴσως καὶ ἄλλας διαφορὰς καὶ ταῦτα, καὶ ὅλως τὸ τῶν φυτῶν γένος. πολύχουν γὰρ, ὥσπερ εἰρήκαμεν. ἀλλ' ἐπεὶ διὰ τῶν γνωρίμων μεταδιώκειν δεῖ τὰ ἀγνώριστα, γνωριμώτερα δὲ τὰ μείζω καὶ ἐμφανῆ τῇ αἰσθήσει, δῆλον ὅτι, καθάπερ ὑφήγηται, περὶ τούτων λεκτέον. ἐπαναφορὰν γὰρ ἕξομεν τῶν ἄλλων πρὸς ταῦτα, μέχρι πόσου καὶ πῶς ἕκαστα μετέχει τῆς ὁμοιότητος· ἀληλημμένων δὲ τῶν μερῶν, μετὰ ταῦτα ληπτέον τὰς τούτων διαφοράς. οὕτω γὰρ ἅμα καὶ ἡ οὐσία φανερὰ, καὶ ἡ ὅλη τῶν γενῶν πρὸς ἄλληλα διάστασις. ἡ μὲν οὖν τῶν μεγίστων, σχεδὸν εἴρηται. λέγω δ' οἷον ῥίζης, καυλοῦ, τῶν ἄλλων. αἱ γὰρ δυνάμεις, καὶ ὧν χάριν ἕκαστον, ὕστερον ῥηθήσονται. ἐξ ὧν γὰρ καὶ ταῦτα καὶ τ' ἄλλα σύγκειται, πειρατέον εἰπεῖν, ἀρξαμένους ἀπὸ τῶν πρώτων. πρῶτα δὲ ἐστι, τὸ ὑγρὸν καὶ θερμόν. ἅπαν γὰρ φυτὸν ἔχει τινὰ ὑγρότητα καὶ θερμότητα σύμφυτον, ὥσπερ καὶ ζῶον· ὧν ὑπολειπόντων, γίνεται γῆρας καὶ φθίσις· τελέως δὲ ὑπολειπόντων, θάνατος καὶ αὔανσις. ἐν μὲν οὖν τοῖς πλείοσιν ἀνώνυμος ἡ ὑγρότης· ἐν ἐνίοις δὲ ὠνομασμένη, καθάπερ εἴρηται. τὸ αὐτὸ δὲ τοῦτο καὶ ἐπὶ τῶν ζώων ὑπάρχει· μόνη γὰρ ἡ τῶν ἐναίμων ὑγρότης ὠνόμασται· διὸ καὶ διώρισται πρὸς τοῦτο στερήσει. τὰ μὲν γὰρ ἄναιμα, τὰ δ' ἔναιμα λέγεται. ἓν μὲν οὖν τοῦτο τὸ μέρος, καὶ τὸ τούτῳ συνηρτημένον θερμόν.

οἱ δὲ ἐν τοῖς ἄλλοις

ἐν

4 Ἄλλα δὲ ἄδηλα ἕτερα τῶν ἐντός, ἃ καθ' ἑαυτὰ μὲν ἐστιν ἀνώνυμα, διὰ δὲ τὴν ὁμοιότητα ἀπεικάζεται τοῖς τῶν ζώων μορίοις. ἔχουσι γὰρ ὥσπερ ἶνας, ὅ ἐστι συνεχὲς καὶ σχιστὸν καὶ ἐπίμηκες, ἀπαράβλαστον δὲ, καὶ ἄβλαστον, ἔχον φλέβας. αὗται δὲ τὰ μὲν ἄλλα ἐοίκασιν ὅμοιαι τῇ ἰνί, μείζους δὲ καὶ παχύτεραι, καὶ παραβλαστὰς ἔχουσαι καὶ ὑγρότητας· εἶτα ξύλον, καὶ σάρξ. τὰ μὲν γὰρ ἔχει σάρκα, τὰ δὲ ξύλον. ἔστι δὲ τὸ μὲν ξύλον, σχιστόν· ἡ δὲ σὰρξ, πάντῃ διαιρεῖται, ὥσπερ γῆ, καὶ ὅσα γῆς· μεταξὺ δὲ γίνεται ἰνὸς καὶ φλεβός. φανερὰ δὲ ἡ φύσις αὐτῆς ἔν τε ἄλλοις τε, καὶ ἐν τοῖς τῶν περικαρπίων δέρμασι. φλοιὸς δὲ, καὶ μήτρα, κυρίως μὲν λέγεται. δεῖ δὲ αὐτὰ καὶ τῷ λόγῳ διορίσαι. φλοιὸς μὲν οὖν ἐστι, τὸ ἔσχατον, καὶ χωριστὸν τοῦ ὑποκειμένου σώματος· μήτρα δὲ, τὸ μεταξὺ τοῦ ξύλου, τρίτον ἀπὸ τοῦ φλοιοῦ· οἷον ἐν τοῖς ὀστοῖς μυελός. καλοῦσι δέ τινες τοῦτο καρδίαν, οἱ δὲ μυελόν. τὰ μὲν οὖν μόρια σχεδὸν ἐστι τοσαῦτα· σύγκειται δὲ τὰ ὕστερα ἐκ τῶν προτέρων· ξύλον μὲν ἐξ ἰνὸς καὶ ὑγροῦ, καὶ ἔνια σαρκός. ξυλοῦται γὰρ σκληρυνόμενα, οἷον ἐν τοῖς φοίνιξι, καὶ νάρθηξι, καὶ εἴ τι ἄλλο ἐκξυλοῦται, ὥσπερ αἱ τῶν ῥαφανίδων ῥίζαι. μήτρα δὲ, ἐξ ὑγροῦ καὶ σαρκός. φλοιὸς δ' ὁ μέν τις ἐκ πάντων τῶν τριῶν, οἷον ὁ τῆς δρυὸς, καὶ αἰγείρου, καὶ ἀπίου· ὁ δὲ τῆς ἀμπέλου, ἐξ ὑγροῦ καὶ ἰνός· ὁ δὲ τοῦ φύλλου, ἐκ σαρκὸς καὶ ὑγροῦ. πάλιν δὲ ἐκ τούτων συνίσταται τὰ μέγιστα καὶ πρῶτα ῥηθέντα, καθάπερ ἀνεὶ μέλη, πλὴν οὐκ ἐκ τῶν αὐτῶν πάντα, οὐδὲ ὡσαύτως, ἀλλὰ διαφόρως. εἰλημμένων δὲ πάντων τῶν μορίων, ὡς εἰπεῖν, τὰς τούτων διαφορὰς πειρατέον ἀποδιδόναι, καὶ τὰς ὅλων τῶν δένδρων καὶ φυτῶν οὐσίας.

ἀνὰ μέλη

5 Ἐπεὶ δὲ συμβαίνει σαφέστερον εἶναι τὴν μάθησιν διαιρουμένων κατ' εἴδη, καλῶς ἔχει τοῦτο ποιεῖν, ἐφ' ὧν ἐνδέχεται. πρῶτα δ' ἐστὶ καὶ μέγιστα, καὶ σχεδὸν ὑφ' ὧν πάντα τὰ πλεῖστα περιέχεται, τάδε· δένδρον, θάμνος, φρύγανον, πόα. δένδρον μὲν οὖν ἐστι, τὸ ἀπὸ ῥίζης μονοστέλεχες, πολύκλαδον, ὀζωτόν, οὐκ εὐαπόλυτον· οἷον ἐλαία, συκῆ, ἄμπελος.* φρύγανον δὲ, τὸ ἀπὸ ῥίζης, καὶ πολυστέλεχες, καὶ πολύκλαδον· οἷον βάτος, παλίουρος. πόα δὲ, τὸ ἀπὸ ῥίζης φυλλοφόρον, προϊὸν ἀστέλεχες, οὗ ὁ καυλὸς σπερμοφόρον· οἷον ὁ σῖτος, καὶ τὰ λάχανα. δεῖ δὲ τοὺς ὅρους οὕτως ἀποδέχεσθαι καὶ λαμβάνειν, ὡς τύπῳ ὡς ἐπὶ τὸ πᾶν λεγομένους. ἔνια γὰρ ἴσως ἐπαλλάττειν δόξει, τὰ δὲ καὶ παρὰ τὴν ἀγωγὴν ἀλλοιότερα γίνεται καὶ ἐκβαίνει τῆς φύσεως· οἷον μαλάχη τε εἰς ὕψος ἀναγομένη, καὶ ἀποδενδρουμένη. συμβαίνει γὰρ τοῦτο καὶ οὐκ ἐν πολλῷ χρόνῳ, ἀλλ' ἐν ἓξ ἢ ἑπτὰ μησίν, ὥστε μῆκος καὶ πάχος δορατιαῖον γίνεσθαι, διὸ καὶ βακτηρίαις αὐταῖς χρῶνται. πλείονος δὲ χρόνου γενομένου, κατὰ λόγον ἡ ἀπόδοσις. ὁμοίως δὲ καὶ ἐπὶ τῶν τεύτλων. καὶ γὰρ ταῦτα λαμβάνει μέγεθος· ἔτι δὲ μᾶλλον ἄγνος, καὶ ὁ παλίουρος, καὶ ὁ κιττός, ὥσθ' ὁμολογουμένως ταῦτα γίνεται δένδρα, καίτοι θαμνώδη ἐστίν. ὁ δὲ μύρρινος, μὴ ἀνακαθαιρόμενος ἐκθαμνοῦται. καὶ ἡρακλεωτικὴ καρύα. δοκεῖ δὲ αὕτη γε καὶ τὸν καρπὸν βελτίω καὶ πλείω φέρειν, ἐὰν ῥάβδους τις ἐᾷ πλείους, ὡς τῆς φύσεως θαμνώδους οὔσης. οὐ μονοστέλεχον δ' αὖ δόξειεν οὐδ' ἡ μηλέα, οὐδ' ἡ ῥοιὰ † ἄπιος ἐστὶν, οὐδ'

* λείπει ὁ ὅρος τοῦ θάμνου

οὐδ' ἡ

τῷ μὴ ὅμοια, μηδ᾽ ἴσα ἢ πρὶν, ἢ τῷ μὴ ὁμοίως. τούτων δὲ ἡ μὲν ἀνομοιότης ἔοικεν τοῖς σχήμα-
σι, χρώμασι, πυκνότητι, μανότητι, τραχύτητι, λειότητι, καὶ τοῖς ἄλλοις πάθεσιν· ἔτι δὲ, ὅσαι
διαφοραὶ τῶν χυλῶν. ἡ δὲ ἀνισότης, ὑπεροχῇ καὶ ἐλλείψει περὶ πλῆθος ἢ μέγεθος. ὡς δ᾽ εἰ-
πεῖν τύπῳ, κἀκεῖνα πάντα καθ᾽ ὑπεροχὴν καὶ ἔλλειψιν· τὸ γὰρ μᾶλλον καὶ ἧττον, ὑπεροχὴ
καὶ ἔλλειψις. τὸ δὲ μὴ ὁμοίως, τῇ θέσει διαφέρει· λέγω δὲ, οἷον τὸ τοὺς καρποὺς τὰ μὲν ἐπάνω,
τὰ δ᾽ ὑποκάτω τῶν φύλλων ἔχειν· καὶ αὐτοῦ τοῦ δένδρου, τὰ μὲν ἐξ ἄκρου, τὰ δὲ ἐκ τῶν πλαγίων,
ἔνια δὲ καὶ ἐκ τοῦ στελέχους, οἷον ἡ αἰγυπτία συκάμινος· καὶ ὅσα δὴ καὶ ὑπὸ γῆς φέρει καρ-
πόν, οἷον ἥ τε ἀραχίδνα, καὶ τὸ ἐν αἰγύπτῳ καλούμενον οὔιγγον· καὶ εἰ τὰ μὲν ἔχει μίσχον, τὰ
δὲ μή. καὶ ἐπὶ τῶν ἀνθέων ὁμοίως· τὰ μὲν γὰρ περὶ αὐτὸν τὸν καρπόν, τὰ δ᾽ ἄλλως. ὅλως δὲ,
τὸ τῆς θέσεως ἔν τε τούτοις, καὶ τοῖς φύλλοις, καὶ ἐν τοῖς βλαστοῖς ληπτέον. διαφέρει δὲ ἔνια καὶ
τῇ τάξει· τὰ μὲν, ὡς ἔτυχε· τῆς ἐλάτης, οἱ κλῶνες κατ᾽ ἀλλήλους ἑκατέρωθεν· τῶν δὲ καὶ οἱ ὄζοι
δι᾽ ἴσου τε κατ᾽ ἀριθμὸν ἴσοι, καθάπερ τῶν τριόζων. ὥστε καὶ τὰς μὲν διαφορὰς ἐκ τούτων λη-
2 πτέον, ἐξ ὧν καὶ ὅλη μορφὴ συνδηλοῦται καθ᾽ ἕκαστον. Αὐτὰ δὲ δὴ τὰ μέρη διαριθμη-
σαμένους, πειρατέον περὶ ἑκάστου λέγειν. ἔστι δὲ πρῶτα μὲν καὶ μέγιστα καὶ κοινὰ τῶν πλείστων,
τάδε· ῥίζα, καυλὸς, ἀκρέμων, κλάδος· εἰς ἃ διέλοιτ᾽ ἄν τις ὥσπερ εἰς μέρη, καθάπερ ἐπὶ τῶν
ζώων. ἕκαστόν τε γὰρ ἀνόμοιον, καὶ ἐξ ἁπάντων τούτων τε τὰ ὅλα. ἔστι δὲ ῥίζα μὲν, δι᾽ οὗ
τὴν τροφὴν ἐπάγεται. καυλὸς δὲ, εἰς ὃ φέρεται· καυλὸν δὲ λέγω, τὸ ὑπὲρ γῆς πεφυ-
κὸς ὑφ᾽ ἕν. τοῦτο γὰρ κοινότατον ὁμοίως ἐπετείοις καὶ χρονίοις, ὃ ἐπὶ τῶν δένδρων καλεῖται
στέλεχος. ἀκρέμονας δὲ, τοὺς ἀπὸ τούτου σχιζομένους, οὓς ἔνιοι καλοῦσιν ὄζους. κλάδον δὲ,
τὸ βλάστημα, τὸ ἐκ τούτων ὑφ᾽ ἕν· οἷον μάλιστα τὸ ἐπέτειον. καὶ ταῦτα μὲν οἰκειότερα τῶν
δένδρων. ὁ δὲ καυλὸς, ὥσπερ εἴρηται, κοινότερος. ἔχει δὲ οὐ πάντα οὐδὲ τοῦτον, οἷον ἔνια τῶν
ποωδῶν, τὰ μὲν ἔχει μὲν, οὐκ ἀεὶ δὲ, ἀλλ᾽ ἐπέτειον, καὶ ὅσα χρονιώτερα ταῖς ῥίζαις. ὅλως δὲ,
φύλον πολύχουν τὸ τῶν φυτῶν, καὶ ποικίλον, καὶ χαλεπὸν εἰπεῖν καθόλου. σημεῖον δὲ, τὸ μηδὲν εἶναι
κοινὸν λαβεῖν, ὃ πᾶσιν ὑπάρχει, καθάπερ τοῖς ζώοις στόμα, καὶ κοιλία. τὰ δὲ ἀναλογίᾳ ταυτά,
τὰ δ᾽ ἄλλον τρόπον. οὔτε γὰρ ῥίζαν πάντ᾽ ἔχει, οὔτε καυλὸν, οὔτε ἀκρέμονα, οὔτε κλάδον, οὔ-
τε φύλλον, οὔτε ἄνθος, οὔτε καρπὸν, οὔτ᾽ αὖ φλοιὸν, ἢ μήτραν, ἢ ἶνας, ἢ φλέβας· οἷον μύκης,
ὕδνον. ἐν τούτοις δὲ ἡ οὐσία, καὶ ἐν τοῖς τοιούτοις. ἀλλὰ μάλιστα ταῦτα ὑπάρχει, καθάπερ εἴ-
ρηται, τοῖς δένδροις· κἀκείνων οἰκειότερος ὁ μερισμός, πρὸς ἃ καὶ τὴν ἀναφορὰν τῶν ἄλλων
ποιεῖσθαι δίκαιον. σχεδὸν δὲ καὶ τὰς ἄλλας μορφὰς ἑκάστων ταῦτα διασημαίνει. διαφέρουσι
γὰρ πλήθει περὶ τούτων, καὶ ὀλιγότητι, καὶ πυκνότητι, καὶ μανότητι, καὶ περὶ ἐφ᾽ ἓν ἢ εἰς
πλείω σχίζεσθαι τοῖς ἄλλοις τοῖς ὁμοίοις. ἔστι δὲ ἕκαστον τῶν εἰρημένων οὐχ ὁμοιομερές. λέγω δὲ
ὁμοιομερὲς, ὅτι ἐκ τῶν αὐτῶν ὁτιοῦν μέρος σύγκειται τῆς ῥίζης, καὶ τοῦ στελέχους· ἀλλ᾽ οὐ λέγεται
στέλεχος τὸ ληφθὲν, ἀλλὰ μόριον· ὡς αὐτοῖς τῶν ζώων μέλεσίν ἐστιν, ἐκ τῶν μὲν ὁτιοῦν τῆς κνή-
μης ἢ τοῦ ἀγκῶνος, οὐχ ὁμώνυμον δὲ, καθάπερ σὰρξ καὶ ὀστοῦν, ἀλλ᾽ ἀνώνυμον· οὐδὲ δὴ τῶν ἄλ-
λων οὐδενὸς, ὅσα μονοειδῆ τῶν ὀργανικῶν. ἁπάντων γὰρ τῶν τοιούτων, ἀνώνυμα τὰ μέρη. τῶν δὲ
πολυειδῶν, ὠνομασμένα, καθάπερ ποδὸς, χειρὸς, κεφαλῆς, οἷον δάκτυλος, ῥὶς, ὀφθαλμός.
3 καὶ τὰ μὲν μέγιστα μέρη, σχεδὸν ταῦτά ἐστιν. Ἄλλα δὲ, ἐξ ὧν ταῦτα, φλοιὸς, μήτρα, ξύλα, ἢ
ὅσα ἔχει μήτραν. πάντα δὲ ὁμοιομερῆ, καὶ τὰ τούτων δὲ ἔτι πρότερα, ἐξ ὧν ταῦτα, ὑγρὸν,
ἶς, φλὲψ, σάρξ. ἀρχαὶ γὰρ αὗται, πλὴν εἴ τις λέγοι τὰς τῶν στοιχείων δυνάμεις· αὗται δὲ κοιναὶ
πάντων. ἡ μὲν οὖν συνουσία, καὶ ἡ ὅλη φύσις ἐν τούτοις. ἄλλα δ᾽ ἐστὶν, ὥσπερ ἐπέτεια μέρη, τὰ
πρὸς τὴν καρποτοκίαν· οἷον, φύλλον, ἄνθος, μίσχος· τοῦτο δ᾽ ἐστὶν, ᾧ συνήρτηται πρὸς τὸ φυτὸν
τὸ φύλλον, καὶ ὁ καρπός. ἔτι δὲ ἕλιξ, βρύον, οἷς ὑπάρχει. καὶ ἐπὶ πᾶσι σπέρμα τὸ τοῦ καρποῦ.
καρπὸς δ᾽ ἐστὶ, τὸ συγκείμενον σπέρμα μετὰ τοῦ περικαρπίου. παρὰ δὲ ταῦτα ἐνίοις ἴδι᾽ ἄτ-
τα· καθάπερ ἡ κηκὶς δρυὸς, καὶ ἡ ἕλιξ ἀμπέλου. καὶ τοῖς μὲν δενδρικοῖς ἐστιν οὕτω διαλαβεῖν·
τοῖς δ᾽ ἐπετείοις, δῆλον ὡς ἅπαντα ἐπέτεια· μέχρι γὰρ τοῦ καρπῶν ἡ φύσις. ὅσα δὲ ἐπετειόκαρ-
πα, καὶ ὅσα διετίζει, καθάπερ σέλινον, καὶ ἄλλ᾽ ἄττα, καὶ ὅσα δὲ πλείω χρόνον ἔχει, τούτοις ἅπα-
σιν καὶ ὁ καυλὸς ἀκολουθήσει κατὰ λόγον. ὅταν γὰρ σπερμοφορεῖν μέλλωσι, τότε ἐγκαυλοῦσιν·
ὡς ἕνεκα τοῦ σπέρματος ὄντων τῶν καυλῶν. ταῦτα μὲν οὖν ταύτῃ διῃρήσθω. τῶν δὲ ἄρτι
εἰρημένων μερῶν πειρατέον ἕκαστον εἰπεῖν, τί ἐστιν, ὡς ἐν τύπῳ λέγοντας. τὸ μὲν οὖν ὑγρὸν
φανερόν,

ΘΕΟΦΡΑΣΤΟΥ ΠΕΡΙ ΦΥΤΩΝ ΙΣΤΟΡΙΑΣ ΤΟ Α.

BIBLIOTECA NAZ. ROMA VITTORIO EMANUEL

ΤΩΝ φυτῶν τὰς διαφορὰς, καὶ τὴν ἄλλην φύσιν ληπτέον, κατά τε τὰ μέρη, καὶ τὰ πάθη, καὶ τὰς γενέσεις, καὶ τοὺς βίους. ἤθη γὰρ καὶ πράξεις οὐκ ἔχουσιν, ὥσπερ τὰ ζῶα. εἰσὶ δὲ αἱ μὲν κατὰ τὴν γένεσιν καὶ τὰ πάθη καὶ τοὺς βίους, εὐθεωρητότεραι καὶ ῥάους· αἱ δὲ κατὰ μέρη, πλείους ἔχουσαι ποικιλίας. αὐτὸ γὰρ τοῦτο πρῶτον οὐχ ἱκανῶς ἀφώρισται, τὰ ποῖα δεῖ μέρη, καὶ μὴ μέρη καλεῖν· ἀλλ' ἔχει τινὰ ἀπορίαν. τὸ μὲν οὖν μέρος, ἅτε ἐκ τῆς ἰδίας φύσεως ὄν, ἀεὶ δοκεῖ διαμένειν ἢ ἁπλῶς, ἢ ὅταν γένηται, καθάπερ ἐν τοῖς ζώοις τὰ ὕστερον γενησόμενα, πλὴν εἰ διὰ νόσον ἢ γῆρας ἢ πήρωσιν ἀποβάλλεται. τῶν δ' ἐν τοῖς φυτοῖς ἔνια τοιαῦτ' ἐστὶν, ὥστ' ἐπέτειον ἔχειν τὴν οὐσίαν. οἷον ἄνθος, βρύον, φύλλον, καρπόν· ἁπλῶς ὅσα πρὸ τῶν καρπῶν, ἢ ἅμα γίνεται τοῖς καρποῖς· ἔτι δὲ, αὐτὸς ὁ βλαστός. ἀεὶ γὰρ ἐπίφυσιν λαμβάνει τὰ δένδρα κατ' ἐνιαυτὸν, ὁμοίως ἔν τε τοῖς ἄνω καὶ ἐν τοῖς περὶ τὰς ῥίζας. ὥστε εἰ μέν τις ταῦτα θήσει μέρη, τό, τε πλῆθος ἀόριστον ἔσται, καὶ οὐδέποτε οὐδὲν τὸ αὐτὸ τῶν μορίων· εἰ δ' αὖ μὴ μέρη, συμβήσεται δι' ὧν τέλεια γίνεται καὶ φαίνεται, ταῦτα μὴ εἶναι μέρη. βλαστάνοντα γὰρ, καὶ θάλλοντα, καὶ καρπὸν ἔχοντα, πάντα καλλίω καὶ τελειότερα καὶ δοκεῖ καὶ ἔστιν. αἱ μὲν οὖν ἀπορίαι σχεδὸν εἰσὶν αὗται. τάχα δ' οὐχ ὁμοίως ἅπαντα ζητητέον, οὔτε ἐν τοῖς ἄλλοις, οὔθ' ὅσα πρὸς τὴν γένεσιν· αὐτά τε τὰ γεννώμενα, μέρη θετέον· οἷον τοὺς καρπούς. οὐδὲ γὰρ τὰ ἔμβρυα, τῶν ζώων. εἰ δὲ τῇ ὥρᾳ ὄψει τό γε κάλλιστον, οὐδὲν σημεῖον· ἐπεὶ καὶ τῶν ζώων εὐθενεῖ κύοντα· πολλὰ δὲ καὶ τὰ μέρη κατ' ἐνιαυτὸν ἀποβάλλει, καθάπερ οἵ, τε ἔλαφοι τὰ κέρατα, καὶ τὰ φωλεύοντα τὰ πτερὰ, καὶ τρίχας τετράποδα ὥστ' οὐδὲν ἄτοπον, ἄλλως τε καὶ ὅμοιον τῷ φυλλοῤῥοεῖν τὸ πάθος. ὡσαύτως δ' οὐδὲ τὰ πρὸς τὴν γένεσιν. ἐπεὶ καὶ ἐν τοῖς ζώοις τὰ μὲν συναποτίκτεται, τὰ δ' ἀποκαθαίρεται καθάπερ ἀλλότρια τῆς φύσεως. ἔοικε δὲ παραπλησίως καὶ τὰ περὶ τὴν βλάστησιν ἔχειν. ἡ γάρ τοι γένεσις, γενέσεως χάριν ἐστὶ τῆς τελείας. ὅλως δὲ, καθάπερ εἴπομεν, οὐδὲ πάντα ὁμοίως καὶ ἐπὶ τῶν ζώων ληπτέον· διὸ καὶ ὁ ἀριθμὸς ἀόριστος. πανταχῇ γὰρ βλαστικόν, ἅτε καὶ πανταχῇ ζῶν. ὥστε ταύτας μὲν οὕτως ὑποληπτέον οὐ μόνον εἰς τὰ νῦν, ἀλλὰ καὶ τῶν μελλόντων χάριν. ὅσα γὰρ μὴ οἷόν τε ἀφομοιοῦν, περίεργον τὸ γλίχεσθαι πάντως, ἵνα μὴ καὶ τὴν οἰκείαν ἀποβάλλωμεν θεωρίαν. ἡ δὲ ἱστορία τῶν φυτῶν ἐστὶν, ὡς ἁπλῶς εἰπεῖν, ἢ κατὰ τὰ ἔξω μόρια καὶ τὴν ὅλην μορφὴν, ἢ κατὰ τὰ ἐντὸς, ὥσπερ ἐπὶ τῶν ζώων τὰ ἐκ τῶν ἀνατεμνομένων. ληπτέον δ' ἐν αὐτοῖς, ποῖα τε πᾶσιν ὑπάρχει ταὐτὰ, καὶ ποῖα ἴδια καθ' ἕκαστον γένος· ἔτι δὲ τῶν αὐτῶν, ποῖα ὅμοια. λέγω δ' ἴδιον, φύλλον, ῥίζαν, φλοιόν. οὐ δεῖ δὲ οὐδὲ τοῦτο λανθάνειν, εἴ τι κατ' ἀναλογίαν θεωρητέον, ὥσπερ ἐπὶ τῶν ζώων τὴν ἀναφορὰν ποιουμένους, δηλονότι πρὸς τὰ ἐμφερέστατα καὶ τελειότατα. καὶ ἁπλῶς δὲ, ὅσα τῶν ἐν φυτοῖς ἀφομοιωτέον τῶν ἐν τοῖς ζώοις, ὡς ἄν τις * ἀφομοιοῖ. ταῦτα μὲν οὖν διῃρήσθω τὸν τρόπον τοῦτον. Αἱ δὲ τῶν μερῶν διαφοραὶ σχεδὸν, ὡς τύπῳ λαβεῖν, εἰσὶν ἐν τρισὶν· ἢ τῷ τὰ μὲν ἔχειν, τὰ δὲ μὴ, καθάπερ φύλλα, καὶ καρπόν· ἢ

—βολάς

a τῷ

LIBRORVM THEOPHRASTI OMNIVM QVI HOC Opere continentur, & quos conquirere hactenus ſummo ſtudio partim impreſſos antea, partim manu ſcriptos licuit, Catalogus.

ΘΕΟΦΡΑΣΤΟΥ ΒΙΟΣ ΚΑΤΑ Διογένην.		THEOPHRASTI VITA SEcundum Diogenem.
Θεοφράστου περὶ φυτῶν ἱστορίας.	Βιβλ. ι.	De plantarum hiſtoria lib. X. pag. 1
Περὶ φυτῶν αἰτιῶν.	Βιβ. ϛ.	De plantarum cauſis, lib. VI. 101
Ἀριστοτέλους περὶ φυτῶν.	Βιβ. β.	Ariſtotelis De plantis, lib. II. 198
Θεοφράστου περὶ λίθων.	Βιβ. α.	Theophr. De lapidibus, lib. I. 215
Περὶ ἰχθύων.	Βιβ. α.	De piſcibus, lib. I. 221
Περὶ πυρός.	Βιβ. α.	De igne, lib. I. 223
Περὶ ἀνέμων.	Βιβ. α.	De uentis, lib. I. 231
Περὶ σημείων ὑδάτων καὶ πνευμάτων.		De ſignis aquarũ et uẽtorũ, lib. I. 239
Περὶ ἰλίγγων.	Βιβ. α. (Βιβ. α.	De uertigine oculorum, lib. I. 245
Περὶ κόπων.	Βιβ. α.	De laboribus, lib. I. 247
Περὶ ὀσμῶν.	Βιβ. α.	De odoribus, lib. I. 249
Περὶ ἱδρώτων.	Βιβ. α.	De ſudoribus, lib. I. 261 (lib. I. 265
Χαρακτῆρες ἠθικοί.	Βιβ. α.	Characteres morales, ſiue De notis,
Τῶν μετὰ τὰ φυσικά.	Βιβ. α.	Metaphyſicorum, lib. I. 267
Πρισκιανοῦ φιλοσόφου Λυδοῦ μετάφρασις Θεοφράστου περὶ αἰσθήσεως.		Priſciani philoſophi Lydi expoſitio Theophraſti De ſenſu. 273
Τοῦ αὐτοῦ μετάφρασις, Θεοφράστου περὶ φαντασίας.		Eiuſdẽ expoſitio, Theophraſti De phantaſia. 284

ΤΕΛΟΣ.

BIBLIOTECA NAZ. ROMA VITTORIO EMANUELE

παγκρέοντι, εἰ μὴ μὰ ὀρθῶς Ἵππαρχον, καὶ ἃ μὲν πρότερον χρείαν παρεσχημένον, καὶ νῦν ἐν τοῖς ἰδίοις μάλα συνηναγκακότα, προστάξαιμι ἂν μετὰ Μελάντου καὶ Παγκρέοντος ἐξάγειν αὐτά. ἐπειδὴ δὲ οὔτε ἐκείνοις ἑώρων ῥᾴδιον ὄντα συνοικονομεῖν, λυσιτελέστερόν τε αὐτοῖς ὑπολαμβάνον ἐν τεταγμένον τι λαβεῖν παρὰ Ἱππάρχου, δότω δ᾽ Ἵππαρχος Μελάντῃ καὶ Παγκρέοντι ἑκατέρῳ τάλαντον. διδόναι δ᾽ Ἵππαρχον καὶ τοῖς ἐπιμεληταῖς, εἰς τὰ ἀναλώματα τὰ ἐν τῇ διαθήκῃ γεγραμμένα, κατὰ τοὺς ἑκάστου καιροὺς τῶν δαπανημάτων· οἰκονομήσαντα δὲ ταῦτα Ἵππαρχον ἀπηλλάχθαι τῶν συμβολαίων, τῶν πρὸς ἐμὲ πάντων. καὶ εἴ τι ἐπὶ τοῦ ἐμοῦ ὀνόματος συμβέβηκεν Ἵππαρχος ἐν Χαλκίδι, Ἱππάρχου τοῦτ᾽ ἔσται. ἐπιμεληταὶ δ᾽ ἔστωσαν τῶν ἐν τῇ διαθήκῃ γεγραμμένων, Ἵππαρχος, Νηλεύς, Στράτων, Καλλῖνος, Δημότιμος, Καλλισθένης, Κτήσαρχος. αἱ δὲ διαθῆκαι κεῖνται ἀντίγραφα τῷ Θεοφράστου δακτυλίῳ σεσημασμέναι, μία μὲν παρὰ Ἡγησίᾳ Ἱππάρχου· μάρτυρες, Κάλλιππος Πελληνεύς, Φιλόμηλος, Εὐωνυμεὺς, Λύσανδρος, Ὑβάδης, Λέων Ἀλωπεκῆθεν. τὴν δ᾽ ἑτέραν ἔχει Ὀλυμπιόδωρος· μάρτυρες δ᾽ οἱ αὐτοί. τὴν δ᾽ ἑτέραν ἔλαβεν Ἀδείμαντος· ἀπήνεγκε δὲ Ἀνδροσθένης ὁ υἱός. μάρτυρες, Ἀείμνηστος Κλεοβούλου, Λυσίστρατος Φείδωνος Θάσιος, Στράτων Ἀρκεσιλάου Λαμψακηνός, Θήσιππος Θησίππου ἐκ Κεραμέων, Διοσκουρίδης Διονυσίου Ἐπικηφίσιος. ὧδε ἔχουσιν αὐτῷ καὶ αἱ διαθῆκαι. ἀκοῦσαι δ᾽ αὐτοῦ καὶ Ἐρασίστρατον τὸν ἰατρόν, εἰσὶν οἳ λέγουσι. καὶ εἰκός. διεδέξατο δ᾽ αὐτοῦ τὴν σχολὴν Στράτων.

ΤΕΛΟΣ.

περὶ ποιητικῆς ἄλλο, ᾱ. περὶ τῶν σοφῶν, ᾱ. περὶ συμβουλῆς, ᾱ. περὶ σολοικισμῶν, ᾱ. περὶ τέχνης ῥητορικῆς, ᾱ. περὶ τεχνῶν ῥητορικῶν, εἴδη † ιζ. περὶ ὑποκρίσεως, ᾱ. ὑπομνημάτων ἀριστοτελικῶν ἢ θεοφραστικῶν, ᾱ β̄ γ̄ δ̄ ε̄ ς̄ †. ἱστορικῶν γεωμετρικῶν, ᾱ β̄ γ̄ δ̄. ἐπιτομῶν Ἀριστοτέλους περὶ ζώων † φρονήσεως καὶ ἤθους, ᾱ. περὶ κινήσεως, ᾱ β̄. περὶ ὄψεως, ᾱ β̄ γ̄ δ̄. πρὸς ὅρους, ᾱ β̄. περὶ τοῦ δεδόσθαι, ᾱ. περὶ μείζονος καὶ ἐλάττονος, ᾱ. περὶ τῶν μουσικῶν, ᾱ. περὶ τῆς θείας εὐδαιμονίας πρὸς τοὺς ἐξ ἀκαδημίας, ᾱ. προτρεπτικός, ᾱ. πῶς ἄριστ' ἂν πόλεις οἰκοῖντο, ᾱ. τὰ ὑπομνήματα, ᾱ. περὶ ῥύακος τοῦ ἐν σικελίᾳ, ᾱ. περὶ τῶν ὁμολογουμένων, ᾱ. τίνες τρόποι τοῦ ἐπίστασθαι, ᾱ. περὶ τοῦ ψευδομένου, ᾱ β̄ γ̄. τὰ περὶ τῶν τόπων, ᾱ. πρὸς αἰσχύλον, ᾱ. ἀστρολογικῆς ἱστορίας, ᾱ β̄ γ̄ δ̄ ε̄ ς̄. ἀριθμητικῶν ἱστοριῶν περὶ αὐξήσεως, ᾱ. ἀκίχαρος, ᾱ. περὶ δικανικῶν λόγων, ᾱ. περὶ διαβολῆς, ᾱ. ἐπιστολαὶ αἱ ὑπὲρ τοῦ ἀσυγκρίοντι, φανίᾳ, νικάνορι. περὶ εὐσεβείας, ᾱ. εὐιάδος, ᾱ. περὶ καιρῶν, ᾱ β̄. περὶ οἰκείων λόγων, ᾱ. περὶ παίδων ἀγωγῆς, ᾱ. ἄλλο διάφορον, ᾱ. περὶ παιδείας, ἢ περὶ ἀρετῶν, ἢ περὶ σωφροσύνης, ᾱ. περὶ ἀριθμῶν, ᾱ. ὁριστικὰ περὶ λέξεως συλλογισμῶν, ᾱ. περὶ οὐρανοῦ. ᾱ. πολιτικῶν, ᾱ β̄. περὶ φύσεως, ᾱ. περὶ καρπῶν, † περὶ ζώων, ἃ γίνονται στίχων μ ζω ν. τοσαῦτα μὲν οὖν καὶ τὰ βιβλία. εὗρον δ' αὐτοῦ καὶ διαθήκας, τοῦτον ἐχούσας τὸν τρόπον· ἔσται μὲν εὖ. ἐὰν δέ τι συμβῇ, τάδε διατίθεμαι. τὰ μὲν οἴκοι ὑπάρχοντα πάντα, μελάντῃ καὶ παγκρέοντι τοῖς υἱοῖς λέοντος. ἀπὸ δὲ τῶν παρ' ἱππάρχου συμβεβλημένων, τάδε μοι βούλομαι γίνεσθαι. τὰ περὶ τὸ μουσεῖον καὶ τὰς θεὰς συντελεσθῆναι, κἂν εἴ τι ἄλλο δύναται περὶ αὐτὰς ἐπικοσμηθῆναι πρὸς τὸ κάλλιον. ἔπειτα τὴν ἀριστοτέλους εἰκόνα τεθῆναι εἰς τὸ ἱερόν, καὶ τὰ λοιπὰ ἀναθήματα, ὅσα πρότερον ὑπῆρχεν ἐν τῷ ἱερῷ. εἶτα τὸ στωΐδιον οἰκοδομηθῆναι, τὸ πρὸς τῷ μουσείῳ, μὴ χεῖρον ἢ πρότερον. ἀναθεῖναι δὲ καὶ τοὺς πίνακας, ἐν οἷς αἱ τῆς γῆς περίοδοί εἰσιν, εἰς τὴν κάτω στοάν. ἐπισκευασθῆναι δὲ καὶ τὸν βωμόν, ὅπως ἔχῃ τὸ τέλειον καὶ τὸ εὔσχημον. βούλομαι δὲ καὶ τὴν † λυκομάχου εἰκόνα συντελεσθῆναι ἴσην. τὸ μὲν τῆς πλάσεως ἔχει πραξιτέλης, τὸ δ' ἄλλο ἀνάλωμα ἀπὸ τούτου γινέσθω. σταθῆναι δέ, ὅπου ἂν δοκῇ τοῖς καὶ τῶν ἄλλων ἐπιμελουμένοις τῶν ἐν τῇ διαθήκῃ γεγραμμένων. καὶ τὰ μὲν περὶ τὸ ἱερὸν καὶ τὰ ἀναθήματα, τοῦτον ἐχέτω τὸν τρόπον. τὸ δὲ χωρίον τὸ ἐν σταγείροις ἡμῖν ὑπάρχον, δίδωμι καλλίνῳ, τὰ δὲ βιβλία πάντα νηλεῖ. τὸν δὲ κῆπον, καὶ τὸν περίπατον, καὶ τὰς οἰκίας τὰς πρὸς τῷ κήπῳ πάσας, δίδωμι τῶν γεγραμμένων φίλων ἀεὶ τοῖς βουλομένοις συσχολάζειν καὶ συμφιλοσοφεῖν ἐν αὐτῷ (ἐπειδήπερ οὐ δυνατὸν ἀεὶ πᾶσιν ἀνθρώποις ἐπιδημεῖν) μήτε ἐξαλλοτριοῦσι, μήτε ἐξιδιαζομένοις μηδενός, ἀλλ' ὡς ἂν ἱερὸν κοινῇ κεκτημένοις, καὶ τὰ πρὸς ἀλλήλους οἰκείως καὶ φιλικῶς χρωμένοις, ὥσπερ πρέπον καὶ δίκαιον. ἔστωσαν δὲ οἱ κοινωνοῦντες, ἵππαρχος, νηλεύς, στράτων, καλλῖνος, δημότιμος, δημάρατος, καλλισθένης, μελάντης, παγκρέων, νίκιππος. ἐξεῖναι δὲ βουλομένῳ φιλοσοφεῖν καὶ ἀριστοτέλει τῷ μειδίου καὶ πυθιάδος υἱῷ, καὶ μετέχειν τούτων. καὶ αὐτοῦ πᾶσαν ἐπιμέλειαν ποιεῖσθαι τοὺς πρεσβυτάτους, ὅπως ὅτι μάλιστα προαχθῇ κατὰ φιλοσοφίαν. θάψαι δὲ καὶ ἡμᾶς, ὅπου ἂν δοκῇ μάλιστα ἁρμόδιον εἶναι τοῦ κήπου, μηδὲν περίεργον περὶ τὴν ταφὴν, μήτε περὶ τὸ μνημεῖον ποιοῦντας. ὅπως δὲ συνείρηται, μετὰ τὰ περὶ ἡμᾶς συμβαίνοντα, περὶ τὸ ἱερὸν καὶ τὸ μνημεῖον καὶ κῆπον καὶ τὸν περίπατον θεραπευόμενα, συνεπιμελεῖσθαι καὶ πομπύλον τοῦτον ἐποικοῦντα αὐτοῦ, καὶ τὴν τῶν ἄλλων ἐπιμέλειαν ποιούμενον, ἣν καὶ πρότερον· τῆς δὲ λυσιτελείας ἐπιμελεῖσθαι αὐτὸν τοὺς ἔχοντας ταῦτα. πομπύλῳ δὲ καὶ θρέπτῃ, πάλαι ἐλευθέροις οὖσι, καὶ ἡμῖν πολλὴν χρείαν παρεσχημένοις, εἴ τι πρότερον ἔχουσι παρ' ἡμῶν, καὶ εἴ τι αὐτοὶ ἐκτήσαντο, καὶ ἃ νῦν παρ' ἱππάρχου αὐτοῖς συνέταξα δισχιλίας δραχμάς, ἀσφαλῶς οἶμαι δεῖν αὐτοῖς ὑπάρχειν ταῦτα, καθάπερ καὶ αὐτοῖς διελέχθην μελάντῃ καὶ παγκρέοντι πλεονάκις. καὶ πάντα μοι συγκατετίθεντο. δίδωμι δ' αὐτοῖς καὶ σωματάλην, καὶ τὴν παιδίσκην. τῶν δὲ παίδων, μόλωνα μὲν καὶ κίμωνα καὶ παρμένοντα, ἤδη ἐλευθέρους ἀφίημι. μάνην δὲ, καὶ καλλίαν, παραμείναντας ἔτη τέτταρα ἐν τῷ κήπῳ, καὶ συνεργασαμένους, καὶ ἀναμαρτήτους γενομένους, ἀφίημι ἐλευθέρους. τῶν δ' οἰκηματικῶν σκευῶν ἀποδόντας πομπύλῳ ὅσα ἂν δοκῇ τοῖς ἐπιμεληταῖς καλῶς ἔχειν, τὰ λοιπὰ ἐξαργυρίσαι. δίδωμι δὲ καὶ καρίωνα δημοτίμῳ, δόνακα δὲ νηλεῖ, εὔβοιον δ' ἀποδόσθαι. δότω δ' ἵππαρχος καλλίνῳ τρισχιλίας δραχμάς. μελάντῃ δὲ καὶ παγκρέοντι,

ζ. ζ. Interpres haec omnia hoc loco inserit, ᾱ β̄ γ̄ δ̄ ε̄ ς̄. περὶ θεῶν ἱστορημάτων, ᾱ β̄. [illegible], ᾱ β̄ γ̄. περὶ βασιλείας, ᾱ β̄. περὶ αἰτιῶν, ᾱ. περὶ δημοκρίτου, ᾱ. περὶ διαβολῆς, ᾱ. περὶ γενέσεως, ᾱ. περὶ ζώων

καὶ ζώων

νικομάχῳ

μένον ἱστορῶν Ἀρκεσίλαον τὸν Πιταναῖον, ἐν οἷς ἔφασκε πρὸς Λακύδην τὸν Κυρηναῖον. κα-
ταλέλοιπε δὲ βιβλία καὶ αὐτὸς ὅτι μάλιστα πάμπλειστα, ἃ καὶ αὐτὰ ἄξιον ἡγησάμην ἀνα-
γράψαι, διὰ τὸ πάσης ἀρετῆς πεπληρῶσθαι. ἔστι δὲ τάδε· ἀναλυτικῶν προτέρων, α β γ. ἀνα-
λυτικῶν ὑστέρων, α β γ δ ε ς ζ. περὶ ἀναλύσεως συλλογισμῶν, α. ἀναλυτικῶν ἐπιτο-
μή, α. ἀνηγμένων τόπων, α β. ἀγωνιστικὸν, τῆς περὶ τοὺς ἐριστικοὺς λόγους θεωρίας. περὶ αἰσθή-
περὶ τῶν ἀνα- σεως, α. πρὸς Ἀναξαγόραν, α. περὶ τῶν Ἀναξαγόρου, α. † περὶ τῶν Ἀρχελάου, α. περὶ ἁλῶν νί-
ξιμένους, α. τρου στυπτηρίας, α. περὶ τῶν λιθουμένων, α β. περὶ τῶν ἀτόμων γραμμῶν, α. ἀκροάσεως, α β.
περὶ ἀνέμων, α. ἀρετῶν διαφοραί, α. περὶ βασιλείας, α. περὶ παιδείας βασιλέως, α. περὶ
βίων, α β γ. περὶ γήρως, α. περὶ τῆς Δημοκρίτου ἀστρολογίας, α. τῆς μετεωρολογίας, α.
περὶ τῶν εἰδώλων, α. περὶ χυμῶν χροῶν σαρκῶν, α. περὶ τοῦ διακόσμου, α. περὶ τοῦ *
περὶ ἀνθρώπων, α. τῶν Διογένους συναγωγὴ, α. διορισμῶν, α β γ. ἐρωτικός, α. ἄλλο
περὶ ἔρωτος, α. περὶ εὐδαιμονίας, α. περὶ εἰδῶν, α β. περὶ ἐπιλήψεως, α. περὶ ἐν-
θουσιασμοῦ, α. περὶ Ἐμπεδοκλέους, α. ἐπιχειρημάτων, α β γ δ ε ς ζ η θ ι,
ια ιβ ιγ ιδ ιε ις ιζ ιη. ἐνστάσεων, α β γ. περὶ ἑκουσίου, α. ἐπιτομὴ τῆς Πλάτωνος
πολιτείας, α β. περὶ ἑτεροφωνίας ζώων τῶν ὁμογενῶν, α. περὶ τῶν ἀθρόον φαινομένων, α.
φρονῶν περὶ δακετῶν καὶ βλητικῶν α. περὶ τῶν ζώων ὅσα λέγεται † φθονεῖν, α. περὶ τῶν ἐν ξηρῷ διαμενόν-
α β. των, † α. περὶ τῶν τὰς χρόας μεταβαλλόντων, α. περὶ τῶν φωλευόντων, α. περὶ ζώων,
α β γ δ ε ς ζ. περὶ ἡδονῆς, ὡς Ἀριστοτέλης, α. περὶ ἡδονῆς ἄλλο, α. θέσεις, κδ. περὶ
θερμοῦ καὶ ψυχροῦ, α. περὶ ἰλίγγων καὶ σκοτώσεων, α. περὶ ἱδρῶτος, α. περὶ καταφάσεως καὶ
ἀποφάσεως, α. Καλλισθένης, ἢ περὶ πένθους, α. περὶ κόπου, α. περὶ κινήσεως, α β γ.
περὶ λίθων, α. περὶ λοιμῶν, α. περὶ λειποψυχίας, α. μεγαρικός, α. περὶ μελαγχολίας,
α. περὶ μετάλλων, α β. περὶ μέλιτος, α. περὶ τῶν Μητροδώρου συναγωγῆς, α. μεταρ-
σιολογικῶν, α β. περὶ μέθης, α. νόμων κατὰ στοιχεῖον, κδ. νόμων ἐπιτομῆς, α
β γ δ ε ς ζ η θ ι. πρὸς τοὺς ὁρισμούς, α. περὶ ὀσμῶν, α. περὶ οἴνου καὶ ἐλαίου
πρώτων προτάσεων, α β γ δ ε ς ζ η θ ι, ια ιβ ιγ ιδ ιε ις ιζ ιη. νομοθετῶν, α β
γ. πολιτικῶν, α β γ δ ε ς. πολιτικῶν πρὸς τοὺς καιρούς, α β γ δ. πολιτικῶν ἐθῶν, α
β γ δ. περὶ τῆς ἀρίστης πολιτείας, α. προβλημάτων συναγωγῆς, α β γ δ ε. περὶ πα-
ροιμιῶν, α. περὶ πήξεων καὶ τήξεων, α. περὶ πυρός, α β. περὶ πνευμάτων, α. περὶ πα-
α. ραλύσεως, α. περὶ πνιγμοῦ, † α β. περὶ παραφροσύνης, α. περὶ παθῶν, α. περὶ ση-
μείων, α. σοφισμάτων, α β. περὶ συλλογισμῶν λύσεως, α. τοπικῶν, α β. περὶ τιμω-
ρίας, α β. περὶ τριχῶν, α. περὶ τυραννίδος, α. περὶ ὕδατος, α β γ. περὶ ὕπνου καὶ
ἐνυπνίων, α. περὶ φιλίας, α β γ. περὶ φιλοτιμίας, α β. περὶ φύσεως, α β γ. περὶ φυ-
σικῶν, α β γ δ ε ς ζ η θ ι, ια ιβ ιγ ιδ ιε ις ιζ ιη. περὶ φυσικῶν ἐπιτομῆς, α
β. φυσικῶν, α β γ δ ε ς ζ η. πρὸς τοὺς φυσικούς, α. περὶ φυσικῶν ἱστοριῶν, α β γ δ
ε ς ζ η θ ι. φυσικῶν αἰτιῶν, α β γ δ ε ς ζ η. περὶ χυλῶν, α β γ δ ε. περὶ ψευ-
δοῦς ἡδονῆς, α. περὶ ψυχῆς, θέσις μία. περὶ τῶν ἀτέχνων πίστεων, α. περὶ τῶν ἁπλῶν δια-
πορημάτων, α. ἁρμονικῶν, α. περὶ ἀρετῆς, α. ἀφορμαὶ ἢ ἐναντιώσεις, α. περὶ ἀποφάσεως, α.
περὶ γνώμης, α. περὶ γελοίου, α. δειλινῶν, α β. διαιρέσεις, α β. περὶ τῶν διαφορῶν, α.
περὶ ἀδι- † περὶ ἐπαίνου, α. περὶ ἐμπειρίας, α. ἐπιστολῶν, α β γ. περὶ τῶν αὐτομάτων ζώων, α. πε-
κιῶν, α. ρὶ ἐκκρίσεως, α. ἐγκώμια θεῶν, α. περὶ ἑορτῶν, α. περὶ εὐτυχίας, α. περὶ ἐνθυμημάτων,
α. περὶ εὑρημάτων, α β. ἠθικῶν σχολῶν, α. ἠθικοὶ χαρακτῆρες, α. περὶ θορύβου, α. πε-
ρὶ ἱστορίας, α. περὶ κρίσεως συλλογισμῶν, α. περὶ θαλάττης, α. περὶ κολακείας, α. πρὸς Κά-
σανδρον περὶ βασιλείας, α. περὶ κωμῳδίας, α. περὶ μετεώρων, α. περὶ λέξεως, α. λό-
α β γ. γων συναγωγὴ, α. λύσεις, α. περὶ μουσικῆς, † α β γ δ ε ς. φυσικῶν δοξῶν, α β γ
ιζ. δ ε ς ζ η θ ι ια ιβ ιγ ιδ ιε ις †. φυσικῶν ἐπιτομῆς, α. † περὶ ψεύδους καὶ ἀλη-
περὶ χαλει- θοῦς, α. τῆς περὶ τὸ θεῖον ἱστορίας, α β γ δ ε ς. περὶ θεῶν, α β γ. περὶ μίξεων, α. μεγαπλοῦς,
του, α. α. περὶ νόμων, α. περὶ παρανόμων, α. τῆς Ξενοκράτους συναγωγῆς, α. ὁμιλητικός, α. περὶ
ὅρκου α. παραγγέλματα ῥητορικῆς, α. περὶ πλούτου, α. περὶ ποιητικῆς, α. προβλή-
προοιμίων ματα πολιτικά, ἠθικά, φυσικά, ἐρωτικά, α. † προοιμίων, α. προβλημάτων συναγωγῆς, α.
περὶ προβλημάτων φυσικῶν, α. περὶ παραδείγματος, α. περὶ προθέσεως καὶ διηγήματος, α.

περὶ

ΘΕΟΦΡΑΣΤΟΥ ΒΙΟΣ
ΚΑΤΑ ΔΙΟΓΕΝΗΝ.

ΘΕΟΦΡΑΣΤΟΣ μελάντα ἐρέσιος, κναφέως υἱός, ὥς φησιν ἀθηνόδωρος ἐν ὀγδόῳ περιπάτων. οὗτος πρότερον μὲν ἤκουσε λευκίππου τοῦ πολίτου ἐν τῇ πατρίδι. εἶτ' ἀκούσας πλάτωνος, μετέστη πρὸς ἀριστοτέλην. κἀκείνου εἰς χαλκίδα ὑποχωρήσαντος, αὐτὸς διεδέξατο τὴν σχολήν, ὀλυμπιάδι τετάρτῃ καὶ δεκάτῃ καὶ ἑκατοστῇ. φέρεται δ' αὐτοῦ καὶ δοῦλος φιλόσοφος, ὄνομα πομπύλος, καθά φησι μυρωνιανὸς ἀμαστριανὸς ἐν τῷ πρώτῳ τῶν ὁμοίων ἱστορικῶν κεφαλαίων. ὁ δὲ θεόφραστος γέγονεν ἀνὴρ συνετώτατος καὶ φιλοπονώτατος, καὶ καθά φησι πάμφιλος ἐν τῷ τριακοστῷ δευτέρῳ τῶν ὑπομνημάτων, διδάσκαλος μενάνδρου τοῦ κωμικοῦ, ἄλλως τε καὶ εὐεργετικὸς καὶ φιλόλογος. κάσανδρος γοῦν αὐτὸν ἀπεδέχετο, καὶ πτολεμαῖος ἔπεμψεν πρὸς αὐτόν. τοσοῦτον δ' ἀποδοχῆς ἠξιοῦτο παρὰ ἀθηναίοις, ὥστε ἀγνωνίδης τολμήσας ἀσεβείας αὐτὸν γράψασθαι, μικροῦ καὶ προσῶφλεν. ἀπήντων τε εἰς τὴν διατριβὴν αὐτοῦ μαθηταὶ πρὸς δισχιλίους. οὗτος τά τε ἄλλα καὶ περὶ δικαστηρίου τοιαῦτα διείλεκται, ἐν τῇ πρὸς φανίαν τὸν περιπατητικὸν ἐπιστολῇ· οὐ γὰρ ὅτι πανήγυριν ῥᾴδιον, ἀλλ' οὐδὲ συνέδριον οἷόν τις βούλεται λαβεῖν. αἱ δὲ ἀναγνώσεις ποιοῦσιν ἐπανορθώσεις· τὸ δ' ἀναβάλλεσθαι πάντα καὶ ἀμελεῖν, οὐκ ἔτι φέρουσιν αἱ ἡλικίαι. ἐν ταύτῃ τῇ ἐπιστολῇ, σχολαστικὸν ὠνόμακε. τοιοῦτος δ' ὤν, ὅμως ἀπεδήμησε πρὸς ὀλίγον καὶ οὗτος, καὶ πάντες οἱ λοιποὶ φιλόσοφοι. σοφοκλέους τοῦ ἀμφικλείδου νόμον εἰσενεγκόντος, μηδένα τῶν φιλοσόφων σχολῆς ἀφηγεῖσθαι, ἂν μὴ τῇ βουλῇ καὶ τῷ δήμῳ δόξῃ· εἰ δὲ μή, θάνατον εἶναι τὴν ζημίαν. ἀλλ' αὖθις ἐπανῆλθον εἰς νέωτα, φίλωνος τὸν σοφοκλέα γραψαμένου παρανόμων. ὅτε καὶ τὸν νόμον μὲν ἄκυρον ἐποίησαν οἱ ἀθηναῖοι, τὸν δὲ σοφοκλέα πέντε ταλάντοις ἐζημίωσαν, κάθοδόν τε τοῖς φιλοσόφοις ἐψηφίσαντο, ἵνα καὶ θεόφραστος κατέλθῃ, καὶ ἐν τοῖς ὁμοίοις ᾖ. τοῦτον τύρταμον λεγόμενον, θεόφραστον διὰ τὸ τῆς φράσεως θεσπέσιον ἀριστοτέλης μετωνόμασεν. οὗ καὶ τοῦ υἱέος νικομάχου φησὶν ἐρωτικῶς διατεθῆναι, καίπερ ὄντα διδάσκαλον, ἀρίστιππος ἐν τετάρτῳ περὶ παλαιᾶς τρυφῆς. λέγεται δ' ἐπ' αὐτοῦ τε καὶ καλλισθένους τὸ ὅμοιον εἰπεῖν ἀριστοτέλην, ὅπερ πλάτωνα, καθὰ προείρηται, φασὶν εἰπεῖν ἐπί τε ξενοκράτους καὶ αὐτοῦ τούτου. φάναι γάρ, τοῦ μὲν θεοφράστου καθ' ὑπερβολὴν ὀξύτητος, πᾶν τὸ νοηθὲν ἐξερμηνεύοντος, τοῦ δὲ νωθροῦ τὴν φύσιν ὑπάρχοντος, ὡς τῷ μὲν χαλινοῦ δέοι, τῷ δὲ κέντρου. λέγεται δ' αὐτὸν καὶ ἴδιον κῆπον σχεῖν μετὰ τὴν ἀριστοτέλους τελευτήν, δημητρίου τοῦ φαληρέως, ὃς ἦν καὶ γνώριμος αὐτῷ, τοῦτο συμπράξαντος. φέρεται δ' αὐτοῦ ἀποφθέγματα ταυτὶ χρειώδη. θᾶττον, ἔφη, πιστεύειν δεῖν ἵππῳ ἀχαλίνῳ, ἢ λόγῳ ἀσυντάκτῳ. πρὸς δὲ τὸν ἐν τῷ συμποσίῳ σιωπῶντα τὸ ὅλον, ἔφη, εἰ μὲν ἀμαθὴς εἶ, φρονίμως ποιεῖς· εἰ δὲ πεπαίδευσαι, ἀφρόνως. συνεχές τε ἔλεγε, πολυτελὲς ἀνάλωμα εἶναι τὸν χρόνον. ἐτελεύτα δὲ γηραιός, βιοὺς ἔτη πέντε καὶ ὀγδοήκοντα, ἐπειδὴ ὀλίγον ἀνῆκε τῶν πόνων. καὶ ἔστιν ἡμῶν εἰς αὐτόν,

οὐκ ἄρα τοῦτο μάταιον ἔπος μερόπων τινὶ λέχθη, "
ῥήγνυσθαι σοφίης τόξον ἀνιέμενον. "
δὴ γὰρ καὶ θεόφραστος ἕως ἐπόνει μέν, ἄπηρος "
ἦν δέμας, εἶτ' ἀνεθεὶς κάτθανε πηρομελής. "

φασὶ δ' αὐτὸν ἐρωτηθέντα ὑπὸ τῶν μαθητῶν, εἴ τι ἐπισκήπτει; εἰπεῖν, ἐπισκήπτειν μὲν ἔχειν οὐδέν, πλὴν ὅτι πολλὰ τῶν ἡδέων ὁ βίος διὰ τὴν δόξαν καταλαζονεύεται. ἡμεῖς γὰρ ὁπότ' ἠρχόμεθα ζῆν, τότ' ἀποθνήσκομεν. οὐδὲν οὖν ἀλυσιτελέστερόν ἐστι φιλοδοξίας. ἀλλ' εὐτυχεῖτε. καὶ ἤτοι τὸν λόγον ἄφετε, πολὺς γὰρ ὁ πόνος· ἢ καλῶς αὐτοῦ πρόστητε, μεγάλη γὰρ ἡ δόξα. τὸ δὲ κενὸν τοῦ βίου, πλεῖον τοῦ συμφέροντος. ἀλλ' ἐμοὶ μὲν οὐκέτ' ἐκποιεῖ βουλεύεσθαι τί πρακτέον, ὑμεῖς δ' ἐπισκέψασθε τί ποιητέον. ταῦτα, φασίν, εἰπὼν ἀπέπνευσε. καὶ αὐτόν, ὡς λόγος, ἀθηναῖοι πανδημεὶ παρέπεμψαν ποσί, τὸν ἄνδρα τιμήσαντες. φαβωρῖνος δέ φησι, γηράσαντα αὐτὸν ἐν φορείῳ περιφέρεσθαι, καὶ τοῦτο λέγειν ἕρμιππον, παρατιθέμενον

Spiritus at ſuperi petijt loca lucida templi,
  Immortalia gaudia carpens.
Vnde iterum fragiles quondam demiſſus in artus,
  Me totum ſine fine beabit.
Hæc ego credebam uiuus, nunc omnia noui:
  Iſta fides me conſeruauit.
Te quoq; complexum cœlo mox inferet alto,
  Et morti eripiet morientem.
Nunc dilecte uale. & quod ego, ſi uita daretur,
  Feciſſem, ſtudio atq; opera omni,
Fac, pro parte bonas artes Muſasq; uirili
  Aſſiduus tueare, colasq;,
Sic quidem, ut ad Chriſti referas tamen omnia laudem,
  Cura Deo & tua ſeruiat uni.
Tum placatus & ille dabit bona tempora Muſis,
  Et ſtudijs reparabit honorem.

Τῷ αὐτῷ.

Μουσάων θεράποντα καὶ Ἀπόλλωνος ἄνακτος
  Γρυναῖον κεύθει ἥδε Σίμωνα κόνις.
Τόν ποτε παντοίας ἀρετῆς τέχνας τε διδάξας,
  Τοὔνομα καὶ τὸ μὲν νῦν ἔχει, Φοῖβος ἔφη.
Ὡς σὺ τις εὖ ἤδη τοῦτ' ὄνομ' ἐπέχειν ἀκούσῃ
  Ἐν σοφίῃ πάσῃ μηδὲν ὅμοιον ἔχειν.
Τὸν χθονῶν τ' ἄρα μοιρίδιον προέλασθ' ἐλίθεα,
  Κηροφόρος δ' ἤδη νῆμ' ἐκέκοπτε λίνου.
Ὃς δ' ἔθαν' ὃ ζωῆς ἱμείρων, ὅτε φοβεῖθ'
  Τὸν μόρον, ἀλλ' ἄμφω τοῦτ' ἐτέλεσσε καλῶς.
Σοὶ ψυχὴν τ' ἄρα Χριστὲ διδοὺς, κοιμήσατο πιστῶς,
  Ἐλπίδος ἐν καθαρῷ σωσιβίοιο πέπλων.

Τέλος.

DE MORTE SIMONIS GRYNEI ἐπικήδιον.

Te quoq; Pierij decus & ſpes unica cœtus,
  Doctrinæ ingenuæq; parentem,
Nunc Simo mors nobis rapuit, lumenq; tenebræ
  Præclarum cohibent Grynee.
Occidit & ſatis à nullo laudatus Eraſmus,
  Budæus terraſq; reliquit.
Nec Viuem ulterius ſiuit fera uiuere Parca,
  Helio & hæc lucem abſtulit Heſſo.
Heſſo, qui ueteres æquauit carmine uates,
  Atq; nouos ſuperauit cunctos.
Quoſq; alios mora ſit nimium mihi longa referre,
  In quos fatum ſæuijt atrum,
Annis quàm paucis, quàm paucis menſibus? ad quæ
  Acceſſit ſubitus mala luctus,
Et ſubitus, nec opinatus, quo triſtior ille
  Perturbauit corda bonorum.
Heu mihi, præſidium quantum mors rebus ademit
  Humanis, qua deſtituit ſpe?
Te doctrina arteſq; bonæ, ſapientia, uirtus,
  Et pietas, & debile uerum,
Spectabant, de te ſibi polliciti omnia, & abſq;
  Te conſiſtere poſſe negabant.
Auxilium moriens illis cùm ſubtrahis omne,
  Firmus adhuc atq; integer æui.
An ſunt hæc ſtudijs quæ dantur præmia rectis,
  Artium & hæc labor improbus affert?
Lubrica morborum mala, nec durabile corpus,
  Interitum ſimul improuiſum.
QVID quereris? mors eſt cui tanto noſtra dolori,
  Cur lacrimas gemituſq; laceſſis?
Triſte tuo acciderit quaſi quicquam morte ſodali,
  Interituq; ſuo ille miſer ſit.
Fundere iam molli de pectore deſine queſtus,
  Nec mœror proceſſerit ultra.
An me ſic malles poſt longæ tempora uitæ,
  Effœtum perijſſe ſenecta?
Vt pars magna hominum, quibus aufert omnia letum,
  Et fugiens nil uita relinquit.
An quaſi qui hoſtili miles configitur enſe,
  In dubij certamine Martis?
Aut etiam, ut pelagi ſæuis mercator in undis
  Vitam ac merces perdit auarus?
Immo ego felici functus mea funere mando
  Corpora caſſa anima, & ſine ſenſu,

quem inter ueteres maxima in admiratione et laude fuiſſe ſcimus, ſed ne mẽ-
tionem prorſus nudam faceremus maximi & præſtantiſs. ſapientia ac do-
ctrina uiri in ſcriptorũ ipſius quaſi indicatione. Quæ utinam extarent, con-
ſeruataq́ eſſent plura. Sola enim Phyſica quædam ad nos peruenêre, eaq́
perpauca: Dialectica & Rhetorica nulla. Sed neq́ ulla, maximè quidem illa
deſideranda, Ethica ac Politica. Cicero Calliſthenis, quem librũ in luctu ob
calamitatẽ condiſcipuli compoſuit, & libri De uirtute fecit mentionẽ, quos
libros et ſtudioſe eum legiſſe, & magni feciſſe ſatis apparet. Fecit & Hiſtoriæ
ſtirpiũ, Cauſſarumq́, id eſt περὶ φυτῶν, ἢ αἰτιῶν. alij à Laertio recenſentur. Sed
& hæ reliquiæ, Italiæ duobus in locis editæ, penuria correctiorum exemplo-
rum, ut libet credere, ſatis mendoſæ exierunt in publicum. atq́ etiam tales
paſſim tamen requiri ſolitas ſcimus. Nunc uero ut & parabiles omnibus, &
caſtigatiores eſſent, opera ac diligentia Ioannis Oporini optimi & doctiſs.
uiri perfectum eſt, qui ſumma cum cura & attentione conquiſitis exempla-
ribus, quorũ omnino copia fieri potuit, ad eam ſpeciem & bonitatem hanc
editionem expreſſit, ut prioribus nõ deterior uſpiam, multis in locis melior
hæc & purior nunc proferatur. In quo tamen labore atq́ ſtudio ſic eſt, quẽ-
admodum decuit, uerſatus religioſe, nihil ut temerè mutandũ, tollendum,
abijciendum ſibi putarit, ac ſatius conſultiusq́ eſſe, aut qualemcunq́ priorẽ
lectionem, aut ſuam addubitationem notatam relinquere cenſuerit, quàm
uel leuiſs. in ſuſpicionem uenire, ſi nõ apud alios, at ipſe apud ſe, deprauati
ulla in parte tanti autoris. Addita etiam nunc primũ quædam ſunt, neq́ an-
tè edita, & pergrata futura eruditis. Quæ ipſa, et in primis Theophraſti ipſi-
us hæc, quæ temporum iniuria & barbariæ uaſtitas reliqua nobis ſcripta fe-
cit, ita elaborata, ut diximus: Etſi cum uniuerſis iam communicantur, tamẽ
ad te, Illuſtriſs. Princeps, noſtra dedicatione peculiariter uiſum tranſmittere,
hoc ſimul ut ſtudio gratificaremur tibi, cupientiſſimo officiorum doctrinæ
& literarum: ſimul ut augeremus inſtitutam à te bibliothecam, quam omni-
um bonorum librorum copia complere, & præcipua hac etiam in parte rui-
nam ſapientiæ ac uirtutis fulcire nõ ceſſas. Quare & hoc, per ſe quidem pre-
clarum, ſed, ut à nobis, qualecunq́ donum libenter admittes, & cupiditatẽ
erga optimas artes ac diſciplinas, erga honeſtatem & decus, erga pietatem,
indies maiorem auctioremq́ reddes, & uoluntatem erga nos tuam
conſeruabis. Vale, Tubingæ. XI. Cal. Septembris.
Anno Salutiferi partus M. D. XLI.

DE MORTE

modico dignum caſum. Qui ut, Illuſtriſſime Princeps, non ſolum percutiet
perturbabitq; animum tuum, ſed incitabit etiam ad curam & reſpectum do-
ctrinæ ac ſtudiorum humanitatis maiorem: ita optare debemus ſimiliter, ut
alios quoq; regnorum & ciuitatum gubernatores tangat hic dolor, ut in de-
ſperatione ſpes, in timore fiducia, in ruina inſtauratio, in ipſo etiam interitu
ſalus retineatur. Nam mihi hoc maximè terribile obijcitur, quod ſæpe uide-
or notare Reip. aduerſiſſimos & grauiſſimos caſus, ualde leuiter & contem
ptim ferri. Siue enim non tanti fiunt opinione illi hominum quanti fieri par
erat, ſeu nota & perſpecta mala diſſimulantur, qui exitus impendeant, ne-
mini paulo cordatiori obſcurum eſſe poteſt. Vt incendio orto cũ nemo aut
rari ſuccurrunt, cũ augeſcente flamma auxilium tamen ſegnius fertur, quæ
calamitas metuenda ſit, facilè apparet: ita omnia quę Remp. peſſundare cõ
ſueuerunt, de errore, inertia, neglectione magiſtratuum colliguntur. Quæ
quanto ſubtilius diſſereret, quanto melius exponeret, quanto diligentius
proſequeretur GRYNEVS, ſi ei hunc edere librum cum ſuo prooemio, ut
ſtatuerat, licuiſſet, ſicq; hoc quoq; argumentum illi aliqua occaſio ſubiecíſſet.
quicquid uerò ab eo proferretur, optimum profectò eſſet, & abſolutiſſimũ.
Sed eripuit etiam hanc commoditatis partem mortis ſæuitia ſtudioſis, occa-
ſionemq; hanc triſtiſs. orationis de illo habitæ nobis dedit, & effecit ut qua-
liacunq; noſtra hoc loco & tempore pro illius ſcriptis legerentur, utq; hoc o-
pus mediocri pręconio noſtræ commendationis contentum eſſe cogeretur.
Etſi autem de alijs quoq; non peſſima in ſpe ſumus, facturos, ut cum hanc
opellam ſtudij noſtri & exilis induſtriæ laborem, tum illa quæ de ſummo ui-
ro GRYNEO commemorauimus, boni conſulant, uel etiam comprobent,
neq; ubi legerint cognouiſſe nolint: De te tamen, Illuſtriſs. Princeps, non
modò ſperamus, ſed planè confidimus, imò certè exploratum & certum no-
bis eſt, hoc & conſilium & factum noſtrum admodum tibi placiturum eſſe,
non modò propter illam eximiam & immortaliter prædicandam cupiditatẽ
erga optimarum artium & diſciplinarum ac humanitatis ſtudia, de qua di-
ximus, ſed uoluntatem etiam ſingularem erga me tuam, quę cùm literis tuis
tum ſermonibus aliorũ iuſſu tuo prolixè mihi eſt declarata. Vt enim quos
odimus, illos etiam quæ rectè facta ſunt, malè & peruerſe feciſſe nobis uide-
ri ſolet: ita ineptijs quoq; eorum quos beneuolentia noſtra complectimur,
non ſinimus facilè nos offendi. Quare cùm omnino noſtra libenter te ad-
miſſurum eſſe perſuaſum habeo, tum uerò in publica cauſſa doctrinæ, & er
ga hanc affectione animi tui mihi ſunt omnia. Quod igitur reſtat, confiden-
ter, ſicut ſuperiora, de hoc opere pertexemus. Cuius quidem autorem præ-
clarè celebrat nomen ipſius, quod de priore Tyrtami, ut accepimus, primũ
in Euphraſti, mox Theophraſti appellationem, Ariſtoteles uir acerrimo in-
genio commutauit: qui & hunc iudicio ac ſententia ſua ad ſuccedendum ſi-
bi in doctrinæ principatu uniuerſis alijs prætulit, & uini Leſbij approbati-
one, tectius, ut traditũ eſt, deſignauit. fuit enim huius Ereſus oppidum Leſ-
bi patria. Etſi autem nihil huius oratione dulcius, neq; illo quiſquam locu-
tus melius fuit, nõ tamen ſermonis ſolummodo ſuauitatem, ut nomen mu-
taretur, in cauſſa fuiſſe credendum, ſed etiam rationis ac mentis celeritatem
atq; prudentiam, ut non tam eloquentiæ quàm intelligentiæ diuinæ in hoc
facultatem atq; uim Magiſtrum huius ipſum, & eloquendi & intelligendi
principem, ſignificare uoluiſſe ſit credendum. Quæ non ideo referuntur à
nobis, quaſi aliquid ponderis conemur addere exiſtimationi autoris huius,

quamcunq; partem tueri atq; ornare poſſe crederet, quàm ſeſe. Itaq; erat in
hoc diligentia illius immenſa, omnes qui aliqua ingenij & doctrinæ fama
innotuiſſent, eos ut ſcriptis ſuis ſolicitaret, urgeret, planeq; extimularet, ad
hæc uel illa ſuſcipienda quaſi munia curationum Muſicarum. ut compone-
rent ipſi aliquid, ut emitterent quæ elaboraſſent, ut explicarent & interpreta
rentur monumenta ueterum. in quibus conquirendis ad editionem cupidi
tate infinita flagrabat. Itaq; et facere tentareq; omnia literis, & ipſe peregrina
tiones hac de cauſſa ſuſcipere, mare quoq; tranſire nõ dubitauit. Neq; ſecta
batur in hoc uel lucrum uel gloriam, ſed aliorum tantummodo utilitati con-
ſulere ſtudebat. ſi uerò alicui ſperaret ſe, opera, labore, conſilio, autoritate,
gratia, deniq; facultatibus ſuis, uel ciui uel externo gratificari prodeſſe ue,
tanta erat alacritas, tanta propenſio, tanta auiditas, tam parata uoluntas ad
danda beneficia, quàm in nullo ad accipienda reperias. Nemini nõ accidiſ-
ſe aliquid aduerſius reſciuerat, ut ipſe minus propemodum quàm læſus affli
geretur. Nullius ſucceſſu atq; proſperitate non æquè, ac ille cui res ſecundæ
eſſent, gaudebat. Mutuas autem uoluntates & coniunctiones animorũ in-
ter doctos, quàm ardẽter procurare, quàm anxiè retinere nitebatur? Itaq; ſtu
dio ſuo hac neceſſaria in re concordiæ & conſenſus nunquã defuit Reipub.
opis autem, tantum attulit, quantum omnino licuit. Ipſe quidem cum nõ mi
nus quàm quiſquam alius ad omnium bonarum rerũ diſciplinas ſtudij adhi
buiſſet, tantumq; conſecutus eſſet, ut alijs doctrinæ laude illuſtrib. ſuperior,
alijs par, ab omnibus haberetur, tantum abfuit ab obtrectationis & inuidiæ
uitio, quod ſolet plærunq; in uicinitate artium & æmulatione laudis quaſi
uermiculus in proba materia exiſtere atq; uerſari, ut non modò nihil ab hoc
calumniatoriè aut criminoſe in ullum, ſed ne liberius quidem aut confiden-
tius quicquam diceretur. In primis ſuaui erat & placido animo, mireq; cùm
comis, tum affabilis. Nihil iracundè, nihil ferociter, nihil uehemẽter aut tur
bulentè agere. Etſi inciderat in eos fluctus cuiuſdam fatalis, ut uidetur, tu-
multus, in quibus & alij boni doctiq; uiri periculoſe iactarentur. Sed con-
ſtat GRYNEVM ſuſpicionibus quidem fortè quibuſdam, nulla tamen iu
ſta aut ſua culpa prouocata accuſatione uapulaſſe. Corripuit eundẽ ea flam
ma quæ plurimos. quam ſi uitare noluit, laudanda eſt fortitudo illius: ſi non
potuit, miſeranda fortuna. Sed de his uerba facere non eſt propoſitum.
Non enim inſtituimus curſu quodam uitæ illius commemorato, laudatio-
nem pertexere. Quantum modò præſidium doctrinæ, quam ſtudijs ſpem,
quam opem literis luctuoſiſſima mors GRYNEI, cum ingenio, humanita
te, ſapientia, erudirione ipſius abſtuliſſet, oſtendere uoluimus. Quæ hoc tri
ſtior maioriq; curæ ac moleſtiæ nobis eſſe debet, quò minus matura & ma-
gis ſubita ac inopinata hac ille extinctus eſt. Eo autem in dolore & miſeria
lætior, quo præſentiore animo & magis intrepidè hanc oppetijt. quoq; plu
res & inſigniores dedit ſignificationes piæ & Chriſtianæ mentis, in declara-
tione ſanctiſſimæ fidei & profeſſione ueritatis. cum etiam patientiſſimè fer-
ret cruciatuum & morbi acerrimi afflictionem, in planè Herculano exitu ui
tæ, poſt ſimiliter plurimos exanclatos in uita labores. O minimè malã, neq;
dolendam GRYNEI cauſſa mortem: Noſtra uero & calamitoſam, & acer-
bam. Quàm ſpes noſtra miſerum in modum decepta? Quàm fortuna ſtudi-
orum grauiter labefactata eſt? Quorum autem contentiones non debilitatæ
nunc frangentur? Quorum curſus in hoc ſpacio non retardabitur? Sed fi-
nem tandem faciamus lamentandi deflendiq;, & ſi miſeratione fletuq; im-
modico

ſi quo etiam præ reliquis cum ornatus ac poſteritati commendatus ille fuerit, quibus uulnerib. ſauciabitur animus tuus, quam plagam accipiet nuncio mortis tam inopinatæ? Sed conſolemur ſanè ipſi nos, & priuatum dolorem compeſcamus. feramus æquo animo noſtrum malum, & ad alia, ut ille ſapiens Ithacus de periculis exitij ſui dicit, apponamus & iſtud. hoc amico tanto in hac amicitiæ non admodum ferace ætate ſpoliatos nos eſſe, non facile quidem, ſed patiamur tamen. Quid publicam calamitatem & communia damna pietatis omniſq; uirtutis & ſapientiæ, ullo'ne pacto tolerare poterimus? Sit fortitudo tanta quantam maximam capere humana natura poteſt, ipſa tamen non ferri ſe res ſinet. Superioribus annis nunciata morte Eraſmi Roterodami, omnes eruditionis amantes mirabiliter perturbatos fuiſſe meminimus. ſed ſenem obijſſe diem ſuum, poſt nauatam operam, curſu quaſi confecto, cum lege naturæ excedere è uita iuſſus fuiſſet, id & leuabat deſiderium & dolorem ſedabat. Idem accidit poſtea, cum allatum fuiſſet de Budæi morte. Idem cum Viuem deſijſſe uiuere audiſſemus. In Eobano grauiores querelæ fuere. Qui conuerſo ſtudio ſuo, & illa diuinæ naturæ ui atq; copia ad res grandiores & dignas facultate ingenij cœleſtis, ad Hectoris buſtum, ut quondam Iliada Homerus, finiuit uniuerſam poëſin ſuam. Cuius tanquam Muſarum uocem obticuiſſe, quis non prorſus ἄμουσος non tulit flebiliter? Senſimus & in Vincentio Obſopœo datum damnum ſtudijs. Senſimus & in alijs, partim progreſſis ad laudem eruditionis, partim ad hanc ſtrenuè tendentibus. quæ mala profectò & oſtentis, ſi mens non læua fuiſſet, ut ait Poeta, prædicta, animaduertere potuimus. Sed nunc quaſi colophon impoſita his eſt GRYNEI mors. Quæ ita afflixit cauſſam ſtudiorũ, ut ſi non deſerenda etiam penitus adhuc illa uideatur, futurũ tamen ſit multo ut agatur poſthac & timidius et remiſſius, uel etiã oſcitantius. Quid enim non iam oppugnare hanc cernimus? Nullo in cultu illa ſunt, nullo honore, deſtituta præmijs, expertia laudis, omnibus commodis priuata. Adhuc tamen fouentur & teguntur à paucis. Hos pręcipites actos mors aufert, et adiuuat uiuentium iniurias ſua inuicta ui. Quid autem omnium non fuit in GRYNEO, quæ requiri ad ſtudiorum conſeruationem & durabilitatem poſſe uideantur? ut ſecundum Cratylum Platonicum uerè & rectè imponi ea quæ propria & non aliena ſint nomina, huius quoq; comprobet Apollineum nomen, eo quidem & celebrius, & illo dignius, quod & Maro nobilitauit carminib. ſuis. Literarum utriuſq; linguæ cognitio perfecta. Artium earum quæ rerum inueniendarum atq; cogitationum uias aperiunt, & iudicium ac elocutionem formant, ſumma peritia. At philoſophię, tam huius quæ de moribus, quàm illius quæ de natura & cauſſis anquirit, tum uero eius quę progreditur ulterius, & ipſas res extra corporum quaſi materiam ſeuocatas contemplatur, ſcientia admirabilis. hanc adiuuabat augebatq; mathematicarum diſciplinarum abſoluta perſpectio. In quarum omnibus partibus nihil hunc fugit, nihil ille non enucleatum habuit ſtudio & induſtria ſua. Geometriam quidem & Muſicam, quæ difficillimæ putantur & intricatiſſimæ, eas uero ad unguẽ callebat, &, id quod de alijs in laudis ſolemus mentione quadam nimia, de hoc autem uerè poſſumus dicere, memoriter tenebat. Cum autem in ipſo hæc omnia quæ retulimus bona ineſſent, cum his opib. doctrinæ atq; ſapientię afflueret, ea tamen hominis erat modeſtia, ut quemuis plus poſſe ac pollere ingenio, omnium ut maiorem doctrinam, neminem ut non ſplendidius eruditionis & literarum bonarumq; artium

bus SIMONIS GRYNEI. Heu mihi, quam calamitatem, quàm paucis uerbis comprehendi. Quid nunc agam? ut amens opinor, Deum & homines incuſem? dolorem ipſum uerbis irritem? malum agitando exaſperem? An illum ut mortuũ deplorem? An uirtutes ſummi uiri ut commemorem? ut doceam quid detrimenti, quantumq́ damnum acceperint hoc amiſſo literarum ſtudia? Hoc agam. Nam alia uel non decent perſuaſionem de ueritate noſtram, uel cognitione qualicunq́ præceptorum ſapientiæ indigna ſunt. Deplorare autem mortuum, quem tantopere dilexerim, quî poſſum? Illum optimum, & pietate erga Deum ac homines eximia, uitæ admirabili honeſtate, moribus ſanctiſſimis? ereptum horum temporum miſeriȩ, in his imminentium malorum præſagijs, hac etiam morborum innocentiſs. uiri moleſtia & cruciatu. Verè illi mors medicam manum admouit, & pæonijs herbis auocauit in uitam certam & ſtabilem, ex hac uita fragili & caduca. De qua ſi unquã, nũc iure quæri poſſit, Vtrum hoc quod uiuere uocamus, re ipſa mori ſit, et quod mori, uiuere. Pręclarè tecum eſt actum GRYNEE. Reliquiſti lucẽ obſcuram, et malignam. Exceſſiſti è uita illa, in quã omnes diuini terrores, omnis ira cœleſtis, omnis ſors mala ac terribilis quaſi effluerent. Verè enim, ſecundum Euripidem,

οὐκ ἔστιν οὐδὲν δεινὸν, ὡς εἰπεῖν ἔπος,
οὐδὲ πάθος οὐδὲ ξυμφορὰ θεήλατος,

quæ non hanc noſtram in uitam exundare uideatur. Terras deſeruiſti, qua uel re uel ſpe concupiſcendas? Vtrum ob diuini Numinis uenerationem ac cultũ? At illud quis metuit, aut colit? Ob ueritatis cognitionem? Omnia errorib. & mendacijs implicantur. Propter eruditionem & pulcherrima ſtudia humanitatis? Barbaria his infeſta imminet. Quietis uero & ocij gratia? Diſſidijs, contentionibus atq́ rixis omnia referta ſunt, & bellorum uel tumultibus uel metu perſtrepunt. Bene ſitus es GRYNEE, humo mandato corpore, in ſinu Abraami conditus, fide erga Deum pura & inuiolata. Optimo iure acclamare tibi poſſumus illa omnia: Bene · placidè · molliter · fœliciter. Nihil eſt quod tua cauſſa doleamus, uel cur non potius magnopere lætemur. Reſtat igitur noſter dolor, noſtraq́ miſeria. Noſtrã uicẽ ut defleamus, hoc reſtat. ut lugeamus opẽ atq́ ſpem ablatã doctrinę & ſapiẽtiæ. Me quidem tanta triſticia hac morte nunciata inuaſit, tantus corripuit mœror, ut doloris magnitudo ſenſum ipſum doloris aliquantiſper quaſi retunderet. poſtea uerò confertim ille erumpens, perdita commoda cum lacrimabili deſiderio ſubiecit. Heu mihi, quàm mirificè nos amantem amicum amiſimus? quàm ſincero & candido animo erga nos, quàm piè affectũ? Quanti nos ille facere iudicio ſuo, quo honore uerborũ, quibus ornamentis grauiſſimi teſtimonij afficere conſueuerat? Caremus nunc non modò amico cariſſimo, et ſocio ſtudiorum iucundiſſimo, quo ipſo quid flebilius dici poſſit? ſed etiam prædicatore & commendatore ingenij, induſtriæ, ſtudij noſtri, etiam profectò eruditionis & doctrinæ. Quales ille literas nobis de pietate, de ratione ſtudiorum noſtrorum, de honeſtatis omni cultu mittere ſolebat? Hoc quidem ſciebat, conſtantiam et fidem mihi nõ deeſſe. Sed tribuebat intelligentiam quoq́, & conſilium, etiam ſapientiam et doctrinam: quæ ut nõ agnoſcebam, ita in me tanti uiri ſententia et affirmatione conferri, admodum, ut uerũ fatear, lætabar. Atq́ hæc cogitanti, tui uenit mihi in mentem, mi ſuauiſſime PHILIPPE, quem cũ GRYNEVS noſter eximiũ in modum obſeruauerit, cui cum omnia ſummæ amicitiæ officia perſoluerit, à quo

BIBLIOTECA NAZ. ROMA VITTORIO EMANUELE

IOACHIMVS CAMERARIVS PABERGENSIS ALBERTO MARCHIONI, &c. DVci *Pruſſiæ, Illuſtriſſ. & laudatiſſimo Principi,* S. D.

ETSI mihi dubium non erat, quin tibi, Illuſtriſſ. Princeps, grata acceptaque futura eſſet uoluntas in hoc munere tibi mittendo noſtra, ſciebamque minimè omnium te hoc ſtudiũ noſtrum repudiaturũ eſſe, ſæpe tamẽ ſubijt ut optarem occaſionem hanc oblatam mihi non fuiſſe, utque prorſus ſilerent potius Muſæ noſtræ, quàm tali uoce te alloquerentur. Cur te autem potiſſimum? aut quæ huius conſilij noſtri ratio? Solus tu mihi uiſus es non repulſurus hanc communis ſtudiorum damni querelam. Tu & quaſi præeuntem dolorem noſtrũ in primis tuo ſecuturus. Iam nõnihil recreari me ſentio: aliquantulum iam redit ad ſe animus, triſtiſſimo caſu exterminatus, cum te, Illuſtriſſ. Princeps, hac uitæ excellentia, hoc fortunæ ſplendore, hac maximarum rerũ laude clarum, hoc reperio ſenſu etiam humanitatis præditum, literarum & eruditionis reſpectu maximopere ut tangaris: ut optimarum artium & diſciplinarum incrementis gaudeas, detrimentis contriſteris: ut harum omnes cupidos & ſtudioſos incredibili fauore proſequaris. Recordor enim, quas cũ ad alios, tum me, nuper huius uoluntatis certiſſ. interpretes literas miſeris. Quid enim non promptiſſimè facturum te ſignificabas, ut doctrina ſingulari inſtructos quàmplurimos ad te poſſes adducere? atque oſtendebas in eo nunc uerſari conſilia conatusque tuos, ut Muſis, hoc eſt doctrinæ & ſtudijs bonarum artium & pietatis quaſi templa quædam dedicares atque conſecrares. Te igitur eũ inuenit doctrina literarũ, ad quem confidenter quocunque tempore accedere auſit. Nullus ianitor hanc repellit à congreſſu tuo, nulla occupatio excludit. O uerè magnũ, & immortali gloria dignum Principẽ, qui principatus decus & ſpeciem non in potentiæ ſeueritate, neque alijs in rebus quæ uulgò magni fiũt, ſed in uirtute & humanitate cõſtitutam eſſe cenſeat. Omnis faſtus, omnis ſuperbiæ elatio, omnis ferocia à te longiſſ. abeſt. adeſt autem manſuetudo, temperantia, moderatio. Sic principem te eſſe ſtatuis, ut exiſtimes eam quam à maioribus accepiſti generis nobilitatem incõparabilem, uirtute tua conſeruandam atque augendam, & hanc unicam ac ſolam nobilitatem: & miſerũ eſſe, aliorũ incumbere famæ, ut ait Poeta. Quæ autem uirtus nomen uirtutis tueri poſſit, ut laudabilis & honeſta perhibeatur, à qua humanitas & lenitas aberit? Itaque tota uia aberrant, ſi qui excellentiam & illa faſtigia nobilitatis in faſtidijs aliorũ, & ſui ueluti exaggeratione ſtatus collocant: Cyclopeam quandam altitudinem uſurpantes, quos neque tueri contrà neque affari queas, ut ueterum quidam Poetarum dixit. Ad hos ſi quis adeat, abitum quàm aditum malit, ut ait Plautus. Si paululum modò moleſtus ſit, quamuis diuina & humana præfatus fuerit, illa tamen audiat, uel horum ſimilia, quæ in Odyſſea efflat Polyphemus, *νήπιος εἰς ὦ ξεῖν.*

Licet igitur Illuſtriſſ. Princeps, licet queri quoque apud te, licet tecum communicare omnia, ijs qui colũt ea ſtudia quę tu incredibili cupiditate et amore maximo complecteris. Me miſerum uerò, quale hoc malum obiectũ eſt? Maius profectò atque grauius, quàm quod luctũ ferre poſſe uideatur, quodque planè ſtuporem mihi quendam incuſſit. Nunciata enim mors fuit his die-

ΘΕΟΦΡΑΣΤΟΥ
ΤΟΥ ΠΛΑΤΩΝΟΣ ΜΕΝ ΠΡΩ-
ΤΟΝ, ΕἼΤΑ ΔῈ ἈΡΙΣΤΟΤΈΛΟΥΣ ΜΑΘΗΤΟΥ͂
καὶ διαδόχου, τὰ μέχρι νῦν σωζόμενα, ἅπαντα.

THEOPHRASTI
PRIMVM QVIDEM PLATONIS, MOX ARISTO-
telis quoque diſcipuli, & in Philoſophiæ profeſſione ſucceſſoris, omnium uero Philoſophorum, M. Tullij quoq; teſtimonio, elegantiſſimi atq; eruditiſſimi, Opera, quæ quidem à tot ſæculis adhuc reſtant, omnia: ſummo ſtudio Partim hinc inde conquiſita, atq; in unum ueluti corpus nunc primùm redacta: partim à multis quibus etiam hactenus ſcatebant mendis, doctorum uirorum induſtria ac meliorum exemplarium ope repurgata.

Acceſſit quoq; IOACHIMI CAMERARII *Præfatio, in qua cum de præſtita in hiſce omnibus opera, tum de* SIMONIS GRYNAEI *pietate ac eruditione Clariſſimi uiri obitu, unà cum Epicedio in eundem.*

ITEM.

Autoris uita ex Diogene Laertio, ac librorum qui in hoc Opere continentur Catalogus.

BIBLIOTECA NAZ. ROMA VITTORIO EMANUELE

Cum Cæſareæ Maieſt. & Chriſtianiſs. Galliarum Regis gratia ac priuilegio ad ſeptennium.

BASILEAE

apud Oporinum 1541.

4. 6. E. 10.

71
3 E
11

4.–6. E. 10.